68
2 F
15

9-2 F 8

XXIV. 17. f
T. 12.

ΑΡΡΙΑΝΟΥ
ΠΕΡΙ ΑΝΑΒΑΣΕΩΣ
Ἀλεξάνδρου, ἱστοριῶν βιβλία η̄.

ARRIANI
(qui alter Xenophon vocatus fuit)

DE EXPEDIT. ALEX. MAGNI,
Hiſtoriarum Libri VIII.

EX BONAVENT. VVLCANII BRVG.
noua interpretatione.

Ab eodem quamplurimi loci ope veteris exemplaris reſtituti.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Cum Indice copioſiſſimo.

ALEXANDRI VITA, EX PLVT.
EIVSDEM LIBRI II, DE FORTVNA
vel virtute Alexandri.

ex libris



ANNO M. D. LXXV,
Excudebat Henr. Stephanus,

CVM PRIVILEGIO CAES. MAIEST.
In decennium.

DOMINO THOMÆ REDIGERO SILESIO,

BONAVENTVRA VVLCANIVS BIBLIOTECA NAZ. ROMA VITT. EMANUELE
BRVGENSIS S. P. D.

Qvanta ſit hiſtoriæ vtilitas, domine Redigere, ad omnes humanæ vitæ actiones rectè inſtituendas, quanta etiam ex eius lectione voluptas percipiatur, ſuperuacaneum exiſtimauerim longa apud te oratione comprobare: quum id ab aliis copioſè accuratéque pertractatum ſit, & tu mirificè hiſtorica lectione delecteris, tantámque eius cognitionẽ pectore tuo incluſam habeas, vt meritò ἔμψυχος ἱστοριῶν βιβλιοθήκη dici poſſis: neque dubitem quin ſtudii tui fructum in communis vitæ vſibus vberrimum quotidie ſentias. Illud tantùm dicam, ex omnibus hiſtoriis nullam mihi Alexandri hiſtoria digniorem lectu videri: quippe cuius res geſtæ iiſdem quibus terrarum orbis terminis circunſcribantur: neque vlla omnino regio ſit quò non illius famæ ſplendor penetrarit. Porro ſi Alexander is fuit, vt Calliſthenes ille philoſophus Ariſtotelis auditor, acerrimus adulatorum hoſtis, cum πόῤῥω τοῦ ἱκανοῦ ἀνδρῶν ἀγαθῶν τὸν ἄριστον εἶναί τι καὶ δοκεῖν, καὶ βασιλέων τὸν βασιλικώτατον, καὶ στρατηγῶν τὸν ἀξιοστρατηγότατον cenſuerit: neceſſe omnino fuerit eius res geſtas auguſtius aliquid diuiniúſque quàm reliquorum principum ac regum in ſe continere: ac proinde admiratione lectionéque digniores eſſe. Et certè, ſiquis rerum ab Alexandro geſtarum magnitudinem propius intueatur, is in illo heroica omnia maioráque quàm in hominem cadere poſſe videantur, inueniet, & quæ ſingula aliis præclaris regibus admirationem apud homines, nominíſque immortalitatem compararunt, ea in vno Alexandro cumulata comperiet. Nam, vt de corporis ſtatura, qua præditus fuit pulcherrima, déque laborum tolerantia incredibili nihil dicam: nemo profectò eſt, qui non eximiam quandam animi magnitudinem atque fortitudinem, pietatem, clementiam, continentiam etiam hoſtibus admirandam, liberalitatem ſummam in eo agnoſcat. Quid dicam quanta iudicii acrimonia, & conſilii dexteritate, quid in rebus obſcuris facto opus eſſet cerneret? quantáque felicitate ex veriſimilibus rerum euentus colligeret? Quid de ordinandi exercitus, armandi, gubernandíque ſumma peritia? quid de priuati periculi, vt omnem è militum animo metum eximeret, contemptu? quid de admirabili eius in dubiis rebus adeundis audacia? de præclara in anticipandis hoſtibus ſolertia, atque incredibili in rebus gerendis celeritate? adeo vt verè de Alexandro illud etiam Callimachi dici poſſit,

> Ἑσπέριος κεῖνός γε τελεῖ τά κεν ἠοῖ νοήσῃ,
> Ἑσπέριος τὰ μέγιστα, τὰ μείονα δ᾽ εὖ τι νοήσῃ.

Quid de fide, ſummáque pactorum obſeruantia? quid denique de reliquis virtutibus omnibus dicam? Profectò omnes illæ in eo fuerunt ſingulares ac propè diuinæ. Et certè quum imperia omnia, corúmque mutationes & tranſlationes à Deo pendeant, diuinum aliquid in Alexandro agnoſcamus oportet, quem Deus æterno ſuo decreto ad potentiſſimum imperium à Perſis ad Macedonas transferendum delegerat. Quam quidem imperii transferendi neceſſitatem quum Arrianus ipſe intellexerit, eámque Dei voluntate metitus fuerit, (ita enim ait, ἐχρῆν γὰρ ἤδη καὶ Πέρσαις πρὸς Μακεδόνων ἀφαιρεθῆναι τῆς Ἀσίας τὴν ἀρχήν, καθάπερ οὖν Μῆδοι μὲν πρὸς Περσῶν ἀφῃρέθησαν, πρὸς Μήδων δ᾽ ἔτι πρόσθεν Ἀσσύριοι) quúmque humanis viribus res adeo arduas præſtari non poſſe viderit, meritò Alexandrum οὐκ ἔξω τοῦ θείου terris datum fuiſſe dicit, qui tanta corporis animíque fortitudine præditus, diuinæ voluntati exequendæ par eſſet. Quæ quidem Arriani ſententia vt pia & Chriſtianæ religioni conſentanea, mihi mirum in modum placet. Neque enim eos audiendos eſſe cenſeo, qui quicquid ab Alexandro præclarè geſtum eſt, fortunæ tribuunt, quum potius diuinæ in eo potentiæ vim ſuſpicere & colere deberent. Sed nec illos probauerim, qui, veluti

ille ex templi Dianæ Epheſiæ incendio nominis immortalitatem captabat: ita imminuendis Alexandri laudibus, vitiíſque atrociter exaggerandis laudem quærunt. Quæ quidem vitia ſi æquum iudicem nanciſcantur, facilè excuſari & multis eius virtutibus condonari poſſint. Nam quòd immodicam gloriæ cupiditatem iræque vehementiã ei obiiciunt, certè quo quiſque animo eſt præſtantiore præditus, eo eſt etiam laudis ac gloriæ appetentior: neque vllam mercedem laborum ſuorum petit quàm gloriam. Cuius deſiderium ſi ex animo humano tollas, quíſnam (obſecro) ſe laboribus atque periculis obiiciat? aut quídnã tandem in vita præclarum, niſi laudis ſtudio animos exſtimulante, geri poſſit? De ira verò, vt omittam veriſſimam illam Senecæ ſententiam, tantum cuique eſſe iræ, quantum ingenii: illud conſtat, Alexandrum non facilè iraſci ſolitum, niſi quis illam ipſam cui ſtudebat gloriam eleuare atque imminuere conaretur. Quicquid verò ira impulſus commiſit, ſi iuuenilis ætatis feruorem, ſi perpetuæ felicitatis curſum, ſi aſſentatores (pernicioſiſſimam regum peſtem) aſpicias, leue in eo peccatum veniáque digniſſimum iudicabis. præſertim quum id præ cæteris regibus ſingulare & veluti proprium ac genuinum habuerit, quòd culpam ſuam agnoſcens, manifeſtæ pœnitentiæ (quæ quidem vnica eſt peccati medela) ſigna ediderit. Iam quod inauditam illius arrogantiam taxant, qua præpeditus diuinos honores vſurpauit: quid mirum, ſi iuuenis ethnicus, regum omnium maximus, quíque rerum geſtarum magnitudine non ſolùm mortales vniuerſos, verumetiam eos ipſos quos pro diis colebant, Dionyſum, inquam, atque Herculem, antecellebat, ampliores ſibi quàm vulgo regum, deferri poſtularit? quum ii qui ſeſe hodie Chriſtianorum coryphæos dici volunt, à quibus omnis arrogantiæ ſpecies alieniſſima eſſe debebat, τῷ ποδῶν φιλήματι, alióſque diuinos honores admittant: eóque tandem inſolentiæ ac veſaniæ reguli nonnulli, nulla alia re quàm cædibus, rapinis ac ſtupris illuſtres, eruperint, vt ſtatuas æneas inaudita ſuperbia ſibiipſis erigant. Deinde, quòd diuturnis potationibus delectatum clamant, id Ariſtobulus (qui ſocius expeditionis Alexandro fuit, eiúſque res geſtas conſcripſit) non tam quòd ſua natura vinolentus eſſet ab eo factitatum narrat (parciſſimè enim bibere ſolitum ait) quàm vt Perſarum ac Medorum moribus atque ingeniis ſeſe accommodaret, & beneuolentiam cum amicis foueret. Vitia igitur ſiquæ in Alexandro fuerunt, eiuſcemodi ſunt vt næui potius (qui etiam in formoſiſſimis corporibus gratiam aliquam venuſtatémque addunt) dici mereãtur. Sed ego in præſentia Alexãdri defenſioné aduerſus Alexãdromaſtigas non inſtituo. Alterius enim loci eſt, Liuii, Iuſtini, Plutarchi, Curtii aliorúmque temerariis de Alexandro iudiciis reſpõdere. Hoc tantum teſtatũ volui, quod initio dicere cœperam, me ſummum perpetuò Alexandri amatorem admiratorémque fuiſſe. Ex quo quidem meo erga Alexandrum verè magnum ſtudio factum eſt, vt nuper, poſt meum à dubiis Vbiis diſceſſum, ab Henr. Stephano, viro doctiſſimo tibíque amiciſſimo, pòſt varios inter nos Francofurti de re literaria ſermones habitos, ſeriáſque eius de veterum interpretum negligentia querimonias (quorum innumeros errores eum in præclaro illo ſuo linguæ Græcæ Theſauro detexiſſe comperiſſem) poſtulante à me vt Arriani De expeditione Alexandri hiſtoriam recognoſcendam ſuſciperem, facilè induci paſſus ſim, cùm ob argumentum ipſum ad ingenium meum accommodatum, tum quòd id ab eo ſcriptore tractatum eſſet, qui ob Græci ſermonis puritatem, Xenophonti propemodum par, atque adeò alter Xenophon à Suida dictus, mihi debebat eſſe chariſſimus. Accepto itaque ab Henrico Stephano codice manuſcripto, eóque peruetuſto, ſed aliquot chartis mutilo, ſepoſito è manibus Cyrillo, cui vertendo, & Iſidoro, cui caſtigando longam iam operam nauaram, totum me magna animi alacritate ad Arrianum contuli. Quúmque vetuſtum codicem cum eo qui Baſileæ olim Græcè Gerbelii opera editus fuit, conferrem, ſummámque lectionis diſcrepantiã offenderem, cœpi etiã quid Bartholomæus Facius, qui illum Latinè olim vertit, præſtitiſſet, explorare: quúmque in ipſo ſtatim limine & primis aliquot paginis magnam varietatem inueniſſem, facilè non ex vngue (quod aiunt) leonem, ſed ex auriculis aſinum agnoui, nihílque totius triennii quod huic autori vertendo impendit labore dignum. ita paſſim quamplurima de ſuo addit, quamplurima ſumma quadam confidentia demit, temerè innumera pulcherrimè ab Arriano dicta truncat, conciſéque transfert, in aliis ſexcentis locis à ſe non intellectis, turpiſſimè labitur, vt alibi Arriani paraphraſim, alibi epitomen te legere putes: alibi ipſum Arrianum non agnoſcas. adeò vt dolendũ ſit Arrianũ in eiuſcemodi graſſatoris manus incidiſſe, qui eum omni ornatu exutum, adeo pannoſum lacerúmque nobis obiecerit.

Sed nequis hęc à me cõficta exiſtimet, paucula huius rei exempla adferã. Vbi Arrianus Alexandri interitũ ex vulnere apud Mallos accepto falſo rumore in caſtra perlatũ, hiſce verbis deſcribit, lib. VI, καὶ τὰ μὲν πρῶτα οἰμωγὴ ἦν τῆς στρατιᾶς ξυμπάσης, ἄλλου ἄλλῳ παραδιδόντος τὴν φήμην. παυσάμενοι δὲ τῆς οἰμωγῆς, ἄθυμοί τε καὶ ἄποροι ἦσαν, ὅστις μὲν ἐξηγούμενος ἔσται τῆς στρατιᾶς· πολλοῖς γὰρ δὴ ἐν ἴσῳ ᾗ τῆς ἀξιώσεως ἐδόκει πρός τε αὐτοῦ Ἀλεξάνδρου καὶ πρὸς Μακεδόνων καθεστηκέναι. vide obſecro vt

Fac. hæc Latinè reddat. *Ac primùm quidē eiulatus ac fremitus totis caſtris fuit, regis ſui fortunam deplorantium: Tantum imperatorem ac ducem, in tanto ætatis flore, tantíſque rebus geſtis, in ipſo rerum cardine, quum is totum orbem terrarum imperio ſuo ſubiecturus videretur, ſibi immatura morte ereptum. Inuidiſſe deos felicitati eius, qui inuictum per tot gentes regem, atque omnibus terris formidabilem & deo quàm mortali ſimiliorem, è vita ſuſtuliſſent. Deinde ad ſe conuerſi, ſortem ſuam deplorare ac lamentari, animi ſimul & conſilij inopes, quiſnam tanti exercitus dux poſthac futurus eſſet inter ſe mœſti requirebant. Plerique rem Alexandri & Macedonum in æquo ponebant.* Hæc Facius. In quibus primùm Arriani ſententiam truncat: quum illa ἄλλου ἄλλῳ παραδιδόντος τὴν φήμην inexplicata prætermittit: deinde reliqua, vt nimis tenuiter, eius iudicio, ab Arriano dicta, amplificat. Tandem bellam illam exaggerationem ænigmate concludit, inquiens, *Plerique rem Alexandri ac Macedonum in æquo ponebant*: quum Arriani ſententia ſit, tot in exercitu duces fuiſſe bellica virtute inter ſe, tam Alexandri quàm Macedonum iudicio, pares, vt neſcirent quem potius deligerent, atque in demortui Alexandri locum ſufficerent. Pari licentia vſus libro ſeptimo, vbi Callines Macedonum indignationem Alexandro exponit, quòd barbaris ad oſculum admiſſis, Macedones ab eo honore excluderentur, hæc Callinis verba, Μακεδόνων δὲ οὔπω τις γέγευται ταύτης τῆς τιμῆς, Facius ita amplificat, *Quam rem vſqueadhuc Macedonū nemini conceſſiſti, qui te per infinitos labores, per immenſa pericula, tandiu procul à patria ſequuti ſumus. Nos verò te quoquò velis ſequi decreuimus, nec recuſamus quominus eoſdem labores ac pericula deintegro ſubeamus. Nam quod huic peregrinationi finem imponi cupiebamus, non ſanè odio tui, non militiæ ſatietate fiebat, ſed (quod tibi minimè mirum videri debet) patriæ, parentum, coniugum liberorúmque diuturno deſiderio. Itaque ſiue regredi ſiue progredi velis, imperium tuum non detrectabimus.* Quid hoc eſt Faci, annon τὸ μύρον ἐν τῇ φακῇ, quod dici ſolet? Cæterùm Facii exaggerationes oratorias excuſabit aliquis, iiſque ſtudio ornandi res Alexandri interdum vſum dicet. Ego verò in interprete fidem requiro, eúmque prolixè officio ſuo ſatisfeciſſe iudico, ſi nudam autoris ſententiam explicarit. At Facius vt in eo non leuiter peccat, quòd Arriano multa quæ ſua non ſunt affingit: ita grauius delinquit quòd quæ eius ſunt propria ei nefariè detrahit, miſeréque truncat & mutilat. Nam libro quinto, vbi Arrianus qua ratione veteres Romani in fluminibus ponte iungendis vſi fuerint explicat, vbi totum illum locum miſerè lacerauit, tandem meliorem eius partem, qua illam Romanorum rationem à facilitate optimóque ordine commendat, omittit. quæ ita habet, Δι' ὀλίγου τε ξυντελεῖται ἅπαν, καὶ ξὺν πολλῷ θορύβῳ, καὶ τὸ τεταγμένον ἐν τῷ δρωμένῳ ὅμως οὐκ ἄπεστιν. οἵ τε παρακελευσμοὶ ὡς ἐντύχοιεν κατὰ ναῦν ἑκάστην, καὶ αἱ ἐπιτιμήσεις τοῦ ἐκλιποῦς, οὔτε τὴν κατήκουσιν τῶν παραγγελμάτων οὔτε τὴν ὀξύτητα τοῦ ἔργου ἀφαιροῦνται. Ita etiam egregium maximéque memorabile Alexandri factum, omiſſione ſiue detractione eorum quæ pulcherrimè ab Arriano dicta ſunt, obſcurat, multúmque eius laudi detrahit. Nam quum exercitus apud Gadroſos ingenti ſiti premeretur, ipſeque vt plus animi ducibus pariter ac militibus adderet, pedes difficillimum iter conficeret: hîc inſignem illam parentheſim, οἷάπερ φιλεῖ ἐν τῷ τοιῷδε κουφοτέρως φέρειν τοὺς πόνους ἐν τῇ ἰσότητι τῆς ταλαιπωρίας, ſuppreſſit, hoc eſt, *Quemadmodum ferè fit vt ſocietas laborum leuiores eos tolerabilioréſque efficiat.* Deinde quum Alexandro iam propemodū ſiti extincto aqua à milite in galea oblata eſſet, ipſéq;, collaudata eius opera qui attuliſſet, eam in conſpectu omnium profudiſſet, præclarum illud elogium omiſit, ἐπὶ τῷδε τῷ ἔργῳ ἐς τοσόνδε ἐπιρρωσθῆναι τὴν στρατιὰν ξύμπασαν, ὥστε εἰκάσαι ἄν τινα ποτὸν γενέσθαι πᾶσιν ἐκεῖνο τὸ ὕδωρ τὸ πρὸς Ἀλεξάνδρου ἐκχυθέν. Præterea libro ſexto, vbi Arrianus, quod anni tempus in India ad nauigationem idoneum ſit deſcribit, ait hyeme, κατὰ γῆν μᾶλλον, εἶτα δὴ πολλῷ ὕδατι ἐξ οὐρανοῦ βεβρεγμένην, αὔρας ἵστασθαι μαλθακὰς, καὶ ἐς τὸν παράπλουν ταῖς τε κώπαις καὶ τοῖς ἱστίοις ξυμμέτρους: Facius, *terra frequentibus pluuiis madefacta ventos exhalat*: quum vertendum fuerit, *lenes auras excitari, & ad nauigationem tam remis quàm velis faciendam accommodatas.* Eodem libro non ſemel, vbi Arrianus Macedones apud Gadroſos ſiti ſuæ conſuluiſſe ait διαμωμένους τὸν κάχληκα, hoc eſt, ſabulo ad littus effoſſo, id vtpote à ſe non intellectum præterit. Libro octauo, vbi Arrianus de Sila Indiæ flumine agit, quem eius naturæ eſſe dicit vt nihil omnino ſuſtineat, neque quicquam ei innatare aut ſupernauigare poſſit, ſed continuò in fundum demergi, pulcherrimam eius rei rationem ab Arriano allatam temerariè omittit, οὕτω τοι ἀμενηνότερον πάντων εἶναι τὸ ὕδωρ ἐκεῖνο καὶ ἠερωδέστερον. quòd nimirum ea aqua reliquis omnibus magis euanida magíſque aërea ſit. Rurſus agricolarum apud Indos officia deſcribens, quum eos belli tempore capi, aut agrum eorum vaſtari nefas eſſe ſcribit, omnia hæc, ἀροῦσιν, ἢ τρυγῶσιν, ἢ κλαδοῦσιν, ἢ θερίζουσι, hoc eſt, *vel arationi aut vindemiæ, vel frondationi aut meſſi vacant*, hiſce verbis complexus eſt, *Aliquod opus ruſticum faciunt.*

Paulo pòſt, vbi de ratione frenorum Indicorum agit, omnem illam rationem ab Arriano

ità deſcriptam omittit, ἐν δὲ τῷ στόματι σίδηρον αὐτοῖσιν οἱ ἵπποι ἔχουσιν, οἷόν περ ὀβελὸν, ἔνθεν ἐξηρτημένοι εἰσὶν αὐτοῖσιν οἱ ῥυτῆρες. ἐπεὰν ὦν ἐπαγάγωσι τὸν ῥυτῆρα, ὅ,τε ὀβελὸς κρατέει τὸν ἵππον, καὶ τὰ κέντρα, οἷα δὴ ἐξ αὐτοῦ ἠρτημένα, κεντέοντα, οὐκ ἐᾷ ἄλλο τι ἢ πείθεσθαι τῷ ῥυτῆρι. τὰ δὲ σώματα ἰσχνοί τε εἰσὶν Ἰνδοὶ καὶ εὐμήκεες, καὶ κοῦφοι πολλόν τι ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους. Ibidem vbi de Ichthyophagorum piſcatu agit, hæc omnia ſuperuacanea illi ſunt viſa, Ἐπεὰν δὲ ἡ θάλασσα ὑπονοστήσῃ καὶ γῆ ὑπολειφθῇ, ἵνα μὲν ξηρὴ ἡ γῆ ὑπολείπεται, ἔρημη τὸ πολὺ ἐστὶν ἰχθύων· ἔνθα δὲ βαθέα ἐστὶν, ὑπολείπεταί τι τοῦ ὕδατος, καὶ ἐν τῷδε κάρτα πολλοὶ ἰχθύες· οἱ μὲν πολλοὶ σμικροὶ αὐτῶν, οἱ δὲ μέζονες· τούτοις δὲ περιβάλλοντες τὰ δίκτυα αἱρέουσι. Sexcenta ſunt eiuſcemodi loca lectu digniſſima, negligenter neſcio an impudenter à Facio prætermiſſa. Iam quid de craſſiſſima illius hominis ignorantia dicam, qua præpeditus, innumera optimi huius ſcriptoris loca ita deprauauit, vt nulla ferè ſit pagina quæ non inſigne aliquod erratũ, & flagris etiam in puero dignum, habeat? Ex horum genere, vt nonnulla adiiciã, ſunt: Libro 1, βοιωταρχοῦντες quos Bœotorum præfectos ſiue principes eſſe nemo ignorat, Facius, *ambitione capti*, vertit. Τόπον ὑλώδη hoc eſt *ſyluoſum, tenaci limo impeditum*. ἐνδόσιμόν τι παρασχεῖν εἰς ξύμβασιν vertit, *errati veniam deprecari*, quum ſignificet *inuitamentum aliquod compoſitionis præbere*. Ἀναβολέα τῶν βασιλικῶν, vertit, *qui proximus erat*, quum ſignificet, *Equorum regiorum ſtratorem*. ὅσοις προὐχώρει vertit, *quibus res procedebat*, pro *quotquot potuere*. ἣ Ἀλέξανδρος προεκινδύνευεν. Fac. *quò Alexãder curabat*. Τὰ τῶν Λυδῶν βασίλεια vertit, *regna Lydorum*, pro *Lydorum regia*. ὑπορύττειν τὸ τεῖχος, *ſubruere*, pro *ſuffodere*. Ἀνάσπαστοι Κᾶρες, vnicam vocem fecit, *Anaſpaſticares*, quum ſignificet; *Cares ſedibus ſuis pulſi*. Σκόλοπας vertit *clauos*, quos Curtius *murices* vocat. οὐδέν τι προσήκων τοῖς Μακεδόσι, vertit, *Macedonibus haudquaquam virtute ac fama comparandus*, pro *nihil ad Macedones pertinens*, vel, *nihil cum Macedonibus commune habens*. Lib. 4, De filiis nobilium qui regi inſeruiebant, Καὶ ἀνέβαλλον οὗτοι βασιλέα τὸν Περσικὸν τρόπον. vertit, *Perſico habitu ornati*, pro; *Perſico habitu regem veſtiebant*. vel (vt Henricus Stephanus interpretandum cenſet) *Perſico more regem in equum tollebant*. πασσάλους vertit *vectes*, pro *palos*. Libro quinto, vbi de Pori acie loquitur, κατὰ στόμα τε γὰρ αὖ πρὸς τῶν ὁπλιτῶν βαλλόντων εἴργεσθαι. Facius vertit, *Quum & equos inſolito odore & ſpecie conſternaturi viderentur*. Vbi neſcio quid de odore delirus Facius ſomniet. Sed audi obſecro quas nobis inauditas omnib⁹ ſeculis μεταμορφώσεις ſomniator iſte effingat. Vbi Arrianus elephantos quibuſcum Porus pugnam cum Alexandro inibat, vulneribus iam confectos ac languentes deſcribit, ita ait, ὡς δὲ καματηρά τε ἦν τὰ θηρία, καὶ οὐκέτι ἐρρωμέναι αἱ ἐκδρομαὶ ἐγίγνοντο, ἀλλὰ συριγμῷ μόνον διαχρώμενα, ὥσπερ αἱ πρύμναν κρουόμεναι νῆες, ἐπὶ πόδα ὑπεχώρουν. Hîc Facius, *clamorem*, inquit, *edere cœperunt, & anterioribus pedibus erectis ægrè refugere*. O egregium interpretem! Primùm enim συριγμὸν *clamorẽ* vertit, *ſibilum* vertere non auſus, ne ex elephanto ſerpentem facere videretur: quum reuera Arrianus elegantiſſima ſimilitudine elephantos multis vulneribus languidos, ægréque membra trahentes, nauibus quibus prora conuulſa eſt comparet. Sed Facius, quum illud, ὥσπερ αἱ πρύμναν κρουόμεναι νῆες non intelligeret, prudenter omiſit. Quum verò illud ἐπὶ πόδα ὑπεχώρουν, *anterioribus pedibus erectis refugientes* vertit: vrſos fortaſſis fuiſſe putauit. Atque ita etiam libro octauo, vbi Arrianus ſe elephantum ἐν ῥυθμῷ, hoc eſt, *in numerum* ſaltantem vidiſſe teſtatur, Facius *in gyrum*, vertit: quod tamen ſpectaculum non ita mirum ſpectatoribus videri poſſet, atque ſi ei Taurus Philoxenus ſeſſor contigiſſet: quem Facius libro tertio ex monte Tauro in hominem vertit, quum ait, *Et in Phœnicia quidem Copanum quæſtorem, in Aſia Taurum Philoxenum conſtituit*. Simili errore, quum Arrianus libro ſeptimo dicit: *non fuiſſe vitio verſum Theſeo quòd ortum ſuum ad Neptunum, nec Ioni quòd ortum ſuum ad Apollinem retulerit*. quod quidem Græcè ita habet: οἷς δὴ ἐς Δία ἀνενεχθεῖσα ἡ γένεσις πρὸς τῶν πάλαι ἀνθρώπων οὐδεμιᾷ αὐτῶν ὕβρει προστίθεται· οὐδὲ Θησέως, τοῦ Ποσειδῶνος· οὐδὲ Ἴωνος, τοῦ Ἀπόλλωνος. Facius totum locum fœdiſſimè ita peruertit: *Nec verò aut Theſeus, aut Apollo carpitur, quòd ille ſibi Neptunum patrem, hic Iouem finxerit*. Ibidem, quum Arrianus temerarios Ἀλεξανδρομάστιγας incuſet, ita ait, οὕτω δὴ ἐκλογιζέσθω, ὅστις τε ὢν αὐτὸς, καὶ ὁποίᾳ τύχῃ κεχρημένος, ὅντινα γενόμενον ἐκεῖνον, καὶ εἰς ὅσον εὐτυχίας τῆς ἀνθρωπίνης ἐλθόντα κακίζει. Facius ſententiã totam eneruat, *Conſideret*, inquit, *quis fuerit, quali fortuna vſus, in quantã gloriã euectus ſit*. quum Arrianus id velit, vt qui Alexandrũ incuſant, priuatã ipſorũ fortunã cum Alex. fortuna conferãt. Ea enim ratione facilè cognituros ſeſe quàm indigni ſint qui cum eo comparentur, vel cum incuſent. Lib VIII, Arrianus quum Indiam à ſeptentrione Tauro monte terminari ait, addit Καλέεται δὲ ὁ Ταῦρος ἔτι ἐν τῇ γῇ ταύτῃ. Facius, *regióque adiacens Taurus appellatur*. At Arrianus hoc vult, *Taurum montem in ea regione adhuc appellationem ſuam retinere*.. O taurinam Facii ſtupiditatem! Nunc aliam ineptiam ſimul cum iudicii inopia coniunctam vide. Arrianus quum Indicas virgines abſque vllà dote nubere dicit, eas nubiles ad publicos ludos à parentibus adduci inquit, ἐκλέξασθαι τῷ νικήσαντι πάλην, ἢ πὺξ &c. vt ei qui aut luctã aut

alio certamine viciſſet, liberum eſſet deligere ſibi ſpõſam quam vellet. Fac. *permittere vti eum ſibi deligant virum qui vicerit*. Sed heus tu? ſi Græcam phraſim planè perſpicuam non intelligebas, hoc tamen ignorare non debebas, homo inſulſe, honeſtius id officii viro quàm iuuenculæ tribui. Eiuſdem cum reliquis erroribus farinæ eſt, quòd ταρσοὺς qui palmulæ remorum ſunt, *nauium corpora* interpretetur. Et, ὅσοι ἐν τῷ ἔργῳ βλακεύειν ἐφαίνοντο, *quos maris tædebat*. pro, *qui ſegniores in opere cernebãtur*. Et quod de Ichthyophagis dicit Arrianus, οἱ δὲ μάζας ἐκ τούτων τῶν ἀλεύρων (piſcium nimirũ) πέσσουσι, Fac. *Sunt qui ipſum puluerem triticea farina inſpergant*. Ita δοκοὺς *tabulas* vocat, quum *trabes* ſint. Sic, ὅτι βραχέα τὰ κύκλῳ αὐτοῦ ἡ ἀνάπωτις ἐποίει. Facius vertit, *nam maris æſtus os eius coartauerat*. pro, *vadoſum omni ex parte marini æſtus receſſus fecerat*. Ineptè nimirum βραχέα legit, ignorans βράχεα ſubſt. *vada* ſiue *breuia* ſignificare, vt Virgilius,

In breuia ac Syrtes vrget (miſerabile viſu)

Item lib. 8, καὶ πρὸς τῇ σχεδίῃ ὁρμίζονται, ἐφ᾽ ἧ τὸ στράτευμα διαβιβάσειν ἔμελλεν Ἀλέξανδρος ἐς Σοῦσα. Facius ita vertit, *Et ipſe quoque aduerſo flumine claſſem ſubigi, vti regi occurreret, iuſſit, ibique ſubſtitit, vbi paratas naues Alexandri reperit, quibus Suſas exercitum traducere conſtituerat*. quum ita vertendum fuerit, *Ad pontem quendam recenter factum, per quem Alexander exercitum in Suſas traducturus erat, conſiſtunt*. nam ad σχεδίῃ ſubaudiẽdum puto γεφύρῃ. Sed faciam finem tot Facianis ineptiis recẽſendis. neque enim dubito, mi Redigere, quin tibi iamdudum animus tædioſa earum commemoratione nauſeet. Nolui tamẽ, neque potui committere quin ex infinitis locis perperam ab eo traductis, paucos hoſce annotarem. Primùm, ne quis me temerè ad hunc autorem denuò vertendum acceſſiſſe exiſtimet: néve quis me eos imitari ſuſpicetur, qui quum hodie veteris alicuius autoris poſt omnes aliorum editiones, recognitionẽ pollicentur, ſi conferas, nihilo amplius eos præſtitiſſe reperias, quàm is qui ante biennium Cyrilli opera Lutetiæ edidit. Quem quidem autorem quum ſummopere corruptum habeamus, nemóque ſit ex orthodoxis ſcriptoribus qui maiore recognitione egeat, nullum tamen ab eo qui cũ edendũ curauit verbum immutatum aut correctum inuenias: quum interim is omnia priorum interpretum nomina ſupprimat, totiúſque operis laudem inaudita quadam impudentia ſibi vendicet. Deinde, vt meo ſtomacho nonnihil ſatiſfacerem, quem mihi meritò Facii epiſtola, quam Arriano abs ſe Latinè verſo præfixit, mouit: qua Pauli Vergerii verſionem, (quam quidem mihi nondum, quod doleo, videre contigit) vt barbaram, Germanis incultioribus relinquere ſe prædicat: ſuam verò Italis politioribus (vti vocat) legendã proponit. quam certè adeo atrocem in vniuerſam nationem Germanicam iniuriam non potui moderatè ferre. Ac ſtatueram quidem initio, emẽdatis iis locis quæ recognitione egere viderentur, animaduerſiones meas ad marginem adiungere exemplo Henrici Stephani, qui Herodotum & Thucydidem à Valla Latinè verſos, & Xenophontem ea ratione caſtigauit: idémque in Alexandri vita à Plutarcho conſcripta, quam huic operi adiecit, præſtitit. Cæterùm quum tantam erratorum vim offenderem, vt oræ ſiue margines paginarum annotationibus capiendis nequaquam ſuffecturæ viderentur, tantúmque operæ mihi ea in re ponendum viderem acſi totum deintegro verterem, malui lectoribus gratificari, eóſque tædioſa illa cõferendi mora liberare, & nouam totius Arriani interpretationem, in qua quamminimum hærerẽt, proponere. Nũc quid hac in re præſtiterim, aut vt præſtarem laborarim, accipe. Curaui primùm ſumma religione vt omnia quæ habet Arrianus exprimerem: nihil omitterem (quod fecit Facius omnibus in locis quæ non intellexit) nihil de meo adderem: quod paſſim ab eodẽ factitatum eſt. Deinde vt oratione ſimplici ac terſa, &, quod ipſum Arriano propoſitum fuiſſe videtur, minimè affectata, vterer. Præterea quum eadem hiſtoria à Curtio tractata eſſet, diligenter vtrunque autorem inter ſe contuli. quúmque multa in Arriano offenderim quæ in Curtio ad verbum expreſſa ſunt, ea ſuis locis ad marginem adieci: quòd & iucundam & commodam lectoribus eam collationem fore iudicarem: neque dubitarem quin cõmentarii aut notarum loco (quibus hodie multi, mirum in modum ſuis opellis ſibi placentes, typographos pariter & lectores onerant) eſſe poſſent. Certè Curtius mihi multis locis magno adiumento fuit ad Arriani ſententiam rectius explicandam. Nam, vt paucula aliquot exempla adferam, vbi Arrianus Alexandrum pellibus tẽtoriorum τῇ κάρφῃ impletis ad iungẽdos ponte fluuios vſum fuiſſe commemorat, Facius, qui paſſim vt mus (quod aiunt) in pice hæret, *leuem materiã* exponit, quum Curtius ſignificantiſſimo vocabulo *ſtramenta* vocet, & quod alibi Arrianus φορυτὸν, in eundẽ vſum accommodatum, Curtius *ſarmenta* appellet. Quod Arrianus σκόλοπας vocat, Facius imperitè *clauos*, eos nimirũ quos Galli pulchro vocabulo *Chauſſetrapes* appellãt, Curtius *murices*. quòd Arrianus χῶμα, in Tyri expugnatione ab Alexandro in mari ſtructum, Curtius *molem* eleganti & propria voce. nam in Græcis epigramm. extat Epigr. Εἰς μῶλον ἐν Σμύρνῃ, Cyprianus *munitiones*, Ioſephus προχώματα vocat, Veneti & Ligures *Il molo*. quæ quidem moles vt

in mari ad defenſionem alicuius loci, ita etiam ad offenſionē (vt ita dicam) ſtrui poſſunt. Item φάλαγγα ἀμφίστομον, Curtius, *aciem verſatilem.* Item καταβάλλειν Ἀλέξανδρον καὶ τὰ τούτου ἔργα, Curtius, *Alexandri laudes obterere.* Ita vbi Arrianus tuguria Indorū ſpinis piſcium tecta dicit, Curtius ſpinas illas, *purgamēta maris* appellat. Arrianus Alexandro ſiti afflicto aquam ex galea porrectā dicit, Curtius, *ex vaſe quod ex vtre reſoluto implerant.* Sed hæc aliáque eius generis multa in ipſo Arriano ſuis locis annotaui. Magno etiā vſui fuit Arrianus ad multos Curtii (quem quidem ſi exēplari aliquo manuſcripto adiutus fuiſſem, huic operi adiiciendum curaſſem) locos deprauatos emendandos. Cuius generis eſt quod Curtius lib. 6, *Darium à Batanis mouiſſe ait,* quum legendum ſit ex Arriano Ecbatanis. quod quidem Eraſmus (fortaſſe gentis ſuæ ſtudio præpeditus) non animaduertit. Eodem lib. *dimichæ* pro *dimachæ,* qui nimirum vtroque munere funguntur, equitis & peditis. Ita lib. v i i, Curtius, *Iter pronuntiari iubet in armatos. quos iam tunc mutato nomine Euergetas appellabāt*: ex Arriano corrigēdus eſt locus, & pro *amatos* legendum *Agriaſpas.* Ita enim prius Euergetæ dicti fuerunt. Eodem lib. *Irrupiſſe in Aulicos*, legendum ex Arriano *Areos.* Curtius *Pharaphernes*, Arrianus *Phrataphernes.* Curtius *Cardos*, Arrianus *Mardos.* Curtius *Tāſonor*; Arrianus *Staſanor.* Curtius *Oxidates*, Arrianus *Exodates.* Curtius *Deditamenes*, Arrianus *Stamenes.* Curtius *Ephimanes*, Arrianus *Epimenes.* Curtius *Oxartes*, Arrianus *Oxyartes.* Curtius *Petram Dorinim*, Arrianus *Petram Chorienis*, à Choriene eius præfecto. Curtius *Critobulum* Alexandri medicum vocat, Arrianus *Critodemū.* Curtius *Porticanum regem*, Arrianus *Oxycanum.* Curtius *Sabi regis fines.* &, *quâ erat iter in regnum Sami*, Arrianus Σάμβου χώρα, & οἰκέται τοῦ Σάμβου. Curtius *Noritas*, Arrianus *Oritas.* Curtius *Gedroſios*, Arrianus alibi *Gedroſos*, alibi *Gadroſos*, alibi *Gadroſios.* Curtius *Pataliam* Indorū vrbem, Arrianus *Pattala.* Curtius *Ozinem*, Arrianus *Ordonem.* Curtius *Siburtium*, Arrianus *Siſyrtium* vocat. Atque hoc quidem ex mutua inter ſe Arriani & Curtii collatione ſum conſequutus. tametſi in hac nominum propriorum differentia nondum ſtatui vtrius autoritas valere debeat, Arrianíne an Curtii. Neque enim inter autores vter altero prior fuerit conuenit.

Quantus verò veteris codicis vſus fuerit, quem ab Henr. Stephano accepi, (Conſtantinopoli ad eum vnà cum quibuſdam Ariſtotelis aliorúmque Græcorū ſcriptorum libris miſſum) ad Arriani inueterata vulnera curādum, ex pauculis aliquot eíſq; ſelectioribus locis quos huic epiſtolæ ſubiungā conſtabit. Leuiora enim errata quæ illius manuſcripti exēplaris ope reſtitui, tot propemodū fuerūt, quot ſunt periodi. Nonnulli tamē loci, de quorū integritate vehemēter dubito, incurati à me ſunt relicti, quòd exemplar manuſcriptum multis locis (vt dixi) mutilū fuerit, & ego nudis meis coniecturis niti noluerim. neq; id religioſa Henr. Stephani diligentia permiſſura fuerit. Nōnullas tamen (præter illas quas ad marginem paſſim adieci) & in aliquot Arriani obſcuriores locos explicationes confeciſſem, niſi temporis anguſtia conſilium meum infregiſſet. cui quidem tribuendum erit ſi non omni ex parte palato tuo ſatisfactum fuerit.

Cogitanti verò mihi, domine Redigere, cuinā meū hoc non τριττὲς, quod de ſe teſtatur Facius, ſed ἐξάμβλωον κύημα offerrem: tu ſtatim occurriſti, cui multis nominibus id dedicari debere iudicarem. Primùm, quòd quū tibi hiſtoricam lectionem maximè cordi eſſe ſciam, tum hanc iucundiſſimam fore non dubitem: in qua tantam rerum varietatem, tot regionum, populorum, vrbium, montium, fluminum luculentiſſimas deſcriptiones: tot expeditiones terra maríque factas, tot conſilia, tot ſtratagemata, tot denique præclara & ad vſum vitæ accommodata exempla, quæ omnia in copioſiſſimum indicem redegi, es reperturus. Videbis inter alia & miraberis bellicoſiſſimæ Indorum gentis mores ac inſtituta, regionem ipſam, domos, tecta, arma denique ipſa, arcus ac tela (quæ aliquando in ædibus tuis inter alia κειμήλια ac veneranda antiquitatis monimenta abs te mihi oſtenſa memini) accuratiſſimè deſcripta. Deinde quū tanta ſit nominis tui celebritas, tanta erga virtutis bonarúmque literarum ſtudioſos animi propenſio & beneficentia, vt nemo hodie ſit cui ita certatim etiam ignoti quauis occaſione captata lucubrationes ſuas dicent: ego, qui ſingularem tuam erga me beneuolētiam, eximiáque merita non ſemel ſum expertus, ingratus ſim profectò καὶ ἀνάξιος τῶν ὑπηρεσιῶν, niſi ea literario aliquo munuſculo agnoſcam. Accipe igitur, mi Redigere, hoc qualecunque animi mei ſingularis erga te obſeruantiæ monimentum: quod quidem, ſi tibi (vt confido) non ingratum fuiſſe intellexero, magnū me operæpretium feciſſe iudicabo. Deus Opt. Max. te reip. literariæ diu ſeruet incolumem. Ex muſæo meo. Anno c i ɔ. i ɔ. l x x v. Kal. Aug.

LOCI ALIQVOT INSIGNES IN ARriano ex veteri codice Henr. Steph. manuſcr. reſtituti.

Codex Baſil. exc. ita habet.	Codex v. manuſcr. ita habet.
Pag. 11. ἐξήεσαν.	Cod. v. ἐξήλασαν.
p. 21. πρὸς μίξιν.	cod. v. προσμίξειν.
p. 24. Φιλῶν.	cod. v. Ψιλῶν.
p. 26. κληθείς.	cod. v. βληθείς.
p. 92. ἀγρείας.	cod. v. Εὐβοίας.
p. 96. ἔξω τοῦ ῥυμοῦ τὸν ζυγόν.	cod. v. ἔξω τοῦ ζυγοῦ τὸν ῥυμόν.
ibid. τοῦ ἐπὶ τῇ λύσει.	cod. v. τῇ ἐπιλύσει.
p. 98. ἐνόησεν.	cod. v. ἐνόσησεν.
p. 102. μᾶλλον.	cod. v. Μαλλόν.
p. 105. ἔπαθε.	cod. v. ἔπειθε.
p. 141. κρεῖαι.	cod. v. κεραῖαι.
p. 148. αὖα.	cod. v. αὖθι.
p. 150. ἐπικρατῶν.	cod. v. ἐπιβατῶν.
p. 153. ἀσθενέστεροι.	cod. v. ἀσθέντεροι, & interdum ἀστένεροι: alibi ἀστεμφέστεροι.
p. 158. καὶ τὸ μὴ ἐλεῖναι.	cod. v. καὶ τὸ μὴ ἑλεῖν αἰσχρὸν εἶναί οἱ.
p. 186. ἅμα τά.	cod. v. ἅρματα.
p. 191. ἀρετήν.	cod. v. Ἀρέτην.
ibid. πεφραγμένοι.	cod. v. πιφραγμένοι.
p. 192. αὐτὰ σῶα,	cod. v. αὐτὰ σῶα.
ibid. ὠθισμένοις.	cod. v. ὠθισμοῖς.
p. 195. ξελισμοῖς.	cod. v. ἐξελιγμοῖς.
p. 199. ἐπιστολαῖς.	cod. v. ἐπιστολεῖς.
p. 212. ὡς ἐπέγνω κατὰ πόδας.	cod. v. ὡς ἀπέγνω καταπόδας.
p. 226. Ἀρτοβόανα.	cod. v. Ἀρταχόανα.
p. 233. κατὰ ἔθνη τῶν ἑκάστων.	cod. v. κατὰ ἤθη τὰ ἑκάστων.
ibid. μηδὲ ὑπελάσαιεν.	cod. v. μηδ' εἰ πελάσαιεν.
p. 235. οὐδὲ βαθέως.	cod. v. βεβαίως.
p. 237. ἔσεσθαι ἐν τάξει.	cod. v. ἕπεσθαι.
p. 240. Μαλῶτιν.	cod. v. Μαιῶτιν.
p. 244. κατὰ λόγους.	cod. v. λόχους.
p. 247. στρατιώτας ἐντός.	cod. v. διὰ πεζῶν.
p. 253. οἱ δὲ ἐν Μαρακάνδοις.	cod. v. addit, ἐν τῇ ἄκρᾳ φρουρούμενοι Μακεδόνες προσβολῆς γενομένης τῇ ἄκρᾳ.
p. 257. εἰ δὴ τι πταῖσαν.	cod. v. εἰδότες πταίσαντας.
p. 258. πολλοῦ ὄντος ὕδατος.	cod. v. πολλοῦ ὄντος τοῦ ῥεύματος.
p. 333. γίνονται αὐτῷ.	cod. v. γίγνεται.
p. 334. καὶ Κτησίας.	cod. v. addit (εἰ δή τῳ ἱκανὸς καὶ Κτησίας ἐς τεκμηρίωσιν)
p. 340. εἶναι τὰς νήσους.	cod. v. νῆας.
p. 342. λέγουσιν ἄξια.	cod. v. λόγου ἐστὶν ἄξια.
ibid. καταστήσῃ.	cod. v. καταντήσῃ.
p. 345. ἐπιζεύγων.	cod. v. ἐπὶ ζυγῶν.
p. 349. εἴδη παντοίων δένδρων.	cod. v. παντοίων δένδρων εἴδη.

Codex Baſil. exc. ita habet.	Codex v. manuſcr. ita habet.
p. 350. ἐκάλετο.	cod. v. ἐκαίετο.
p. 351. ἡ δὲ ἄλλη στρατιά.	cod. v. addit, μενέτω.
ibid. παῖδα φθάσαι.	cod. v. παῖδα λέγει φθάσαι.
p. 361. τεταγμένην.	cod. v. πεπαραγμένην.
p. 364. ἥκει αὐτῷ.	cod. v. ἤρκει.
p. 365. κατέκτανε αὖ τυχόν.	cod. v. κατέκανεν αὖ τυχόν.
p. 371. ἐπὶ δὲ ἐν τοῖς πλοίοις διαβάλλοντας.	cod. v. τοῖς δ' ἐν τοῖς πλοίοις διαβαίνουσιν.
ibid. ἵνα μέσως.	cod. v. ἵν' ἀμέσως.
p. 372. ἐλαύνων.	cod. v. ἔγνω δεῖν ἐλαύνειν.
p. 377. πληγὰς γίγνεσθαι αὐτοῖς.	cod. v. καταπλῆγας γίγνεσθαι αὐτούς.
p. 393. ἐβόησε.	cod. v. βοήσεις.
ibid. μνείαν.	cod. v. μνημεῖα.
p. 482. ποιηθέντας, οὐ προθύμους.	cod. v. γνωμένοις οὐ προθυμοῦ.
ibid. πέμπει ἐπὶ τούτοις.	cod. v. πέμπει.
p. 484. ἄλλων αὐτῶν.	cod. v. ἄλλαι αὐτῷ.
p. 489. μεγάλων.	cod. v. μετάλλων.
ibid. οἷς πάλαι ἐτεθνήκει τι δέει.	cod. v. ὧν πάλαι ἐτεθνήκασι τι δέει.
p. 498. καὶ ὅπως ἔχει.	cod. v. addit, φιλίας τε καὶ πόθου.
p. 501. οὐδὲν τι πρός.	cod. v. οὐδ' ἔτι πρό.
p. 515. τοσοῦτον ἐδέησε.	cod. v. τοσούτου δεῆσαι.
p. 520. ἀφ' ἔτους.	cod. v. ἀφέτους.
p. 525. ὑπόπτερος.	cod. v. ὑπόπτερος.
p. 531. κατὰ δεῖπνα.	cod. v. κατὰ δὴ τινα.
p. 549. Κηκέων.	cod. v. Μηκέων.
ibid. Εὔδρον.	cod. v. Νεῦδρον.
p. 552. καθάπερ ἐών.	cod. v. καταπεπερῶν.
p. 559. ὥρα ἦν.	cod. v. ὡραίην.
p. 560. Στυφαῖος.	cod. v. Στυμφαῖος.
ibid. Νιθάφων.	cod. v. Νιθάδων.
p. 562. Μακεδαιμονίοισιν.	cod. v. Λακεδαιμονίοισιν.
ib. ἐμβολάς.	cod. v. συμβολάς.
p. 566. ἔργα γὰρ ἐφάνη.	cod. v. ἔρμα.
p. 570. οἰσθῶσιν.	cod. v. οἰηθῶσιν.
p. 575. πυρφορέοις.	cod. v. πορφυρέοις.
ibid. πταραγμένας.	cod. v. πεπαμμένας.
p. 587. τὰ δὲ ἐν τοῖσιν ἀγῶσι.	cod. v. τὰ δὲ ἐν τοῖς σταγόσι.
ibid. τὰ οἰκία εἶναι. ὧν.	cod. v. τὰ οἰκία. εἶναι ὧν.
p. 591. ἐσέχει.	cod. v. ἐπέχοι.
p. 592. αἱ λαῖαι.	cod. v. ἐλαῖαι
p. 593. βοῶντες.	cod. v. addit τε καὶ κεραίοντες.
p. 602. Δωδώνη.	cod. v. Σιδωδώνη.
p. 603. λιμὴν περὶ νήσου.	cod. v. λειμῶνες Διονύσου.
p. 604. συγκεκοσμημένον.	cod. v. συγκεκομισμένον.

Codex basil. exc. ita habet.	Codex v. manuſcr. ita habet.	Codex basil. exc. ita habet.	Codex v. manuſc. ita habet.
p.605.ἐφύετο.	cod.v.ἐφαίνετο.	p.607.πλωώ.	cod.v.πολλώ.
ibid.γώχην.	cod.v.ταίχην.	p.609.πλεομένου.	cod.v.addit, βαθύς.
ibid.ἔσω θαλάσσῃ.	cod.v.ἔσω.	p.611.σχεδίων.	cod.v.σχεδίῃ.
p.606.ἐπὶ ποταμῷ. ὄνομα δὲ τῷ ποταμῷ Ἄρεσσις, μέγιστος τῶν ποταμῶν.	cod.v.ἐπὶ ποταμῷ Ἄροϊ, μεγίστῳ ποταμῶν.	p.614.ἄλσεα καὶ λειμῶνες.	cod. v. ἀλσέων καὶ λειμώνων.

Cæteri loci (ſiquis omnes requirat) conferenti hanc editionem cum Baſilienſi ſeſe offerent.

QVI AVTEM SEQVVNTVR LOCI, IN CHARtis quæ exemplari deſunt, ita mihi ex coniectura videntur emendandi.

Codex basil. exc. ita habet.	B. Vvlc. ita emendat.
Pag.73.ἐς καλόν τι.	leg.ἐσβαλόντι.
p.80.κρατῆρα.	leg.κατῆρσαν.
p.87.Φρυσίας.	leg.Φρυγίας.
p.145.σκελὴ ἦν.	leg.σκηνή.
p.149.ξυν τόνῳ.	leg.ξυντόνῳ.
p.262.οὐκ ἐάν.	leg.ἐᾶν.
p.264.οὐδὲν ἄλλο ὅτι μὴ ὄνομα ἦν βασιλέως.	Legendum mihi videtur ἔχειν pro ἦν.
p.266.εἰσὶ δὲ Ἀνάξαρχον.	leg.φασί.
p.279. ἀπαλλασσομένου ἐκ τοῦ τόπου.	leg.πόνου.
ibid.πεῖναι νομίσαντα.	leg.εἶναι.
p.283.πέτοις καταστρεψάμενος.	leg.τούτοις.
p.290.Βαβυλώνιος ὑπάρχει.	leg. Βαβυλῶνος ὕπαρχος.
p.294.ἢ οὐκ ἔθελεν εἰς ἐπιθυμίαν.	leg.ἦλθεν.
p.297.Φάλαγγα.	leg.Φάραγγα.
pag.300.τρίχηρα κατασκευήν.	leg.τριήρεα κατὰ σκηνήν.
p.302.παρὰ Φάσιν.	leg.σφίσιν.
p.305.ἄτε κλίμακος.	leg.αἵ τε κλίμακες.
ibid.ἐς ἄνδρα ἄλλην πόλιν.	leg.Ἄνδρακα.
p.333.γίνονται αὐτῷ.	leg.γίγνεται.
p.355.ἐξέσθαι.	leg.ἔξεσθαι.
p.365.τὸν Φόνον.	leg.Φόβον.
p.377.ἔλαττον.	leg.ἔλαθον.
ibid. οὐκέτι ἐπὶ τῶν τρίπων.	Hæc verba ἐπὶ τῶν τρίπων ſuperuacanea mihi videntur.

Codex. basil. exc. ita habet.	B. Vvlc. ita emendat.
p.384.ὅταν ἐς τὰ πρόσω.	Legendũ puto οἵτε, &c.
p.385.ὅτι μέν.	leg.ὅτι μή.
p.400.τῇ τε ἐρημίᾳ.	leg.εἰρεσίᾳ.
p.403.βιαιοτάτη.	Fortaſſe βεβαιοτάτη.
p.407.κατειληθέντων.	leg.κατακλεισθέντων.
p.414.πάροικοι.	leg.παρείκοι.
p.416.διότι.	leg.δι' ὅτι.
ibid. κινδυνεύσει μηδὲν, ὅτι.	leg. κινδυνεύσει, μηδὲν εἰ, &c.
p.424.καὶ πλοίων κατά.	leg.καὶ καταπλέων.
p.425.καθάπερ οἱ.	leg.καθαπερεί.
p.432.ἀπηριθμήθη.	leg.ἀναρίθμητα.
p.433.ὁ δή.	leg.ὅπου δή.
p.442.σπαλιαῖς τὰ αὐτά.	leg.τὰ Φρέατα.
p.447.ἤδη τινῶν.	leg.εἰ δή τινων.
ibid.καὶ οὔτοι οὕτως.	leg.ὅτι.
p.449.διανεμωμένοις.	leg.διαμωμένοις.
p.470.ἔνθεν δὲ οἱ μέν.	adde λέγουσι, aut aliquid eiuſmodi.
p.483.τῶν γὰρ δή.	leg.δύο.
p.505. καὶ λέγουσι τὸ μὲν στάδιον πλῆρες εἶναι.	Locus mihi vehementer ſuſpectus.
p.506. ὕστερον ἐπ' Ἀλεξάνδρου.	leg.Ἡφαιστίωνος.
p.527. Ἀριστόβουλος μὲν λέγει.	leg.Πτολεμαῖος.
p.537.κόσμου.	leg.κώμου.
p.559.ἐνταῦθα.	leg.εἰ ταῦτα.
p.585.πεποίηται.	leg.ποιέεται.
p.595.ἀλοῖοι.	leg.ἀλλοῖοι.

B. VVLC. LECTORI.

Atque hi quidem ſunt ferè præcipui loci qui in Arriano emendati fuerunt: tametſi non dubito quin alii nonnulli in colligendo me fugerint. Vale benigne lector, & meos labores boni conſule.

ΠΕΡῚ ἈῬῬΙΑΝΟΥ͂, ἐκ τῶν Σουΐδα.

Ἀῤῥιανὸς Νικομηδεὺς, φιλόσοφος Ἐπικτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. Ἦν δὲ ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ καὶ Μάρκου καὶ Ἀντωνίνου τῶν βασιλέων, καὶ ἀξιωμάτων μεταλαβὼν, καὶ μέχρις αὐτοῦ τοῦ ὑπατεῦσαι, καθά φησιν Ἑλικώνιος, διὰ τὴν τῆς παιδείας δεξιότητα. Ἔγραψε δὲ βιβλία παμπληθῆ.

DE ARRIANO, ex Suida.

Arrianus Nicomedēſis, philoſophus Epicteti auditor, alter Xenophon dictus. Floruit Romę ſub Adriano & Marco atque Antonino regibus. à quibus variis honorib⁹ affectus, atque adeò ad conſulatum euectus eſt, vt ſcribit Heliconius, ob eximiam eruditionem. Scripſit autem libros permultos.

ἈῬῬΙΑΝΌΣ ΒΙΒΛ. Α περὶ ἑαυτοῦ ὧδε λέγει.

Οὐκ ἔστιν ὅστις ἄλλος εἷς ἀνὴρ τοσαῦτα ἢ τηλικαῦτα ἔργα κατὰ πλῆθος ἢ μέγεθος ἐν Ἕλλησιν ἢ βαρβάροις ἀπεδείξατο [ὥσπερ Ἀλέξανδρος.] ἔνθεν καὶ αὐτὸς ὁρμηθῆναι φημὶ ἐς τήνδε τὴν ξυγγραφὴν, οὐκ ἀπαξιώσας ἐμαυτὸν φανερὰ καταστήσειν ἐς ἀνθρώπους τὰ Ἀλεξάνδρου ἔργα. Ὅστις δὲ ἂν ταῦτα ὑπὲρ ἐμαυτοῦ γιγνώσκω, τὸ μὲν ὄνομα οὐδὲν δέομαι ἀναγράψαι (οὐδὲ γὰρ οὐδὲ ἄγνωστον ἐς ἀνθρώπους ἐστὶν) οὐδὲ πατρίδα, ἥτις μοι ἐστὶν, οὐδὲ γένος τὸ ἐμὸν, οὐδὲ εἰ δή τινα ἀρχὴν ἐν τῇ ἐμαυτοῦ ἦρξα. ἀλλ᾽ ἐκεῖνο ἀναγράφω, ὅτι ἐμοὶ πατρίς τε καὶ γένος καὶ ἀρχαὶ, οἵδε οἱ λόγοι εἰσί τε καὶ ἀπὸ νέου ἔτι ἐγένοντο· καὶ ἐπὶ τῷδε οὐκ ἀπαξιῶ ἐμαυτὸν τῶν πρώτων ἐν τῇ φωνῇ τῇ Ἑλλάδι, εἴπερ οὖν καὶ Ἀλέξανδρος τῶν ἐν τοῖς ὅπλοις.

ARRIANVS LIB. I, de ſeipſo ita dicit.

Nemo eſt inter mortales qui ſolus tam præclara & numero & magnitudine, aut inter Græcos aut inter barbaros facinora ediderit [atque Alexander.] Atque hac quidem de cauſa me ad hanc hiſtoriam conſcribendum impulſum fuiſſe profiteor. non indignũ me cenſens per quem Alexandri res geſtæ apud homines notæ celebréſque efficerentur. Quiſquis verò ſim qui ita de me ſentiam, nomen quidem adſcribere nihil attinet (neque enim obſcurum inter mortales eſt) ſed nec patriam, nec genus meum, neq; an aliquem in ciuitate mea magiſtratum geſſerim. Illud dixiſſe ſatis fuerit, mihi nec patriæ, nec generis, nec honorum ornamenta deeſſe: literas verò à puero ſemper mihi cordi fuiſſe. præterea me non immeritò inter primos Græcæ linguæ ſcriptores, vt Alexandrum inter eos qui in re militari præſtiterunt, cenſendum.

ΕἸΣ ἈΡΡΙΑΝΟΝ.

Πελλαῖος Μακεδὼν ἔτι κήρυκος οὔπωθ' Ὁμήρου
Ἔλλαχεν, οὗ προγόνοις ἔργματ' ἀεισομένου,
Ἄχνυτο θυμὸν ἑὸν, μάκαρόν τ' Ἀχιλῆα δοκεύσας,
Τὴν αὐτοῦ ἀπλῆ ᾠετ' εὐτυχίην·
Ἀρριανοῦ δὲ τυχὼν, τόσσῳ πλέον ἔλλαβεν εὖχος
Ὅσσῳ μυθολόγων κρείσσονες ἱστορικοί.

Εὐτυχ. Ἡφαιστίωνος Βρουγιέως.

IDEM LATINE.

Magnus Alexander præconem haud nactus Homerum,
Qui caneret laudem in poſtera ſecla ſuam:
Felicem præ ſe meritò cenſebat Achillem,
Fortunæque ſuæ laudis ineſſe minus:
At præcone iſto tanto eſt plus laudis adeptus,
Quàm præſtant vanis vatibus hiſtorici.

Bonauent. Vulcanij Brugenſis.

HENRICI STEPHANI.

Ἀρριανὸς μεγάλου μεγάλας μεγάλως τι ἄνακτος
Πρήξιας ἱστορέων, Φήμη μέγαν ὃν καλέεσκε,
Πᾶσιν ἔδειξε μέγιστον, ἔδειξε τρὶς ὄντα μέγιστον.

EIVSDEM.

Ὅσσον Ἀλέξανδρος μέγας ἔπλετο ἐν βασιλεῦσι,
Τόσσον ὅδ' ἐν πάντεσσιν (ἑκὰς φθόνος) ἱστορικοῖσι.

BIBL. NAZ. ROMA

ἈΡΡΙΑΝΟΥ ἹΣΤΟΡΙΩ͂Ν ἈΝΑΒΑ΄ΣΕΩΣ ἈΛΕΞΑΝΔΡΟΥ,

Βιβλίον πρῶτον.

ΠΡΟΟΙ΄ΜΙΟΝ.

ΠΤΟΛΕΜΑΙ͂ΟΣ ὁ Λάγου, καὶ Ἀριστόβουλος ὁ Ἀριστοβούλου, ὅσα μὲν ταὐτὰ ἄμφω περὶ Ἀλεξάνδρου τοῦ Φιλίππου ξυνέγραψαν, ταῦτα ἐγὼ ὡς πάντῃ ἀληθῆ ἀναγράφω· ὅσα δὲ οὐ ταὐτά, τούτων τὰ πιστότερα ἐμοὶ φαινόμενα καὶ ἅμα ἀξιαφηγητότερα ἐπιλεξάμενος. ἄλλοι μὲν δὴ ἄλλα ὑπὲρ Ἀλεξάνδρου ἀνέγραψαν, οὐδ᾽ ἔστιν ὑπὲρ ὅτου πλείονες, ἢ ἀξυμφωνότεροι ἐς ἀλλήλους· ἀλλ᾽ ἐμοὶ Πτολε- A μαῖός τε καὶ Ἀριστόβουλος πιστότεροι ἔδοξαν ἐς τὴν ἀφήγησιν· ὁ μέν, ὅτι συνεστράτευσε βασιλεῖ Ἀλεξάνδρῳ, Ἀριστόβουλος· Πτολεμαῖος δέ, πρὸς τῷ ξυστρατεῦσαι, ὅτι καὶ αὐτῷ βασιλεῖ ὄντι αἰσχρότερον ἤ τῳ ἄλλῳ ψεύσασθαι ἦν· ἄμφω δέ, ὅτι τετελευτηκότος ἤδη Ἀλεξάνδρου ξυγγράφουσιν, ὅτε αὐτοῖς ἥ τε ἀνάγκη καὶ ὁ μισθὸς τοῦ ἄλλως τι, ἢ ὡς συνηνέχθη, ξυγγράψαι, ἀπῆν. ἔστι δὲ ἃ καὶ πρὸς ἄλλων ξυγγεγραμμένα, ὅτι καὶ αὐτὰ ἀξιαφήγητά τέ μοι ἔδοξαν, καὶ οὐ πάντῃ ἄπιστα, ὡς λεγόμενα μόνον ὑπὲρ Ἀλεξάνδρου, ἀνέγραψα. ὅστις B δὲ θαυμάσεται ἀνθ᾽ ὅτου ἐπὶ τοσοῖσδε συγγραφεῦσι, καὶ ἐμοὶ ἐπὶ νοῦν ἦλθεν ἥδε ἡ συγγραφή, τά τε ἐκείνων πάντα τις ἀναλεξάμενος, καὶ τοῖσδε τοῖς ἡμετέροις ἐντυχών, οὕτω θαυμαζέτω.

ARRIANI HISTORIARVM DE EXPEDITIONE Alexandri,

Liber primus.

Bonauentura Vulcanio Brugenſi interprete.

PRAEFATIO.

PTOLEMAEVS Lagi, & Ariſtobulus Ariſtobuli filius, quæcũque de Alexãdro Philippi filio ſcribentes, eadem ambo cõmemorant, ea tanquam veriſsima conſcribam: ex iis verò in quibus inter ſe diſſentiũt, quæ mihi fide pariter & narratione digniora videbuntur, ſeligam. Certè de Alexandro alij alia memoriæ prodiderunt: neque vllus eſt de quo aut plures extẽt ſcriptores, aut magis inter ſe diſſentientes: ſed mihi Ptolemæus & Ariſtobulus præ cæteris fide digni viſi ſunt: hic quidem, quòd regi Alexandro ſocius expeditionis fuerit: Ptolemæus autem, quia præterquam quòd vnà militarit, turpius in eo (quippe qui rex etiam eſſet) mendacium, quàm in alio quopiam eſſet futurum: vterque, quòd mortuo iam tum Alexandro ſcribunt, quum neque neceſsitas, neque merces, qua adducti aliter quidpiam atque accidiſſet ſcriberent, eſſet propoſita. Sunt porro nonnulla & ab aliis conſcripta, quæ quòd non indigna narratu iudicarem, neque prorſus incredibilia, " quippe quæ de Alexandro ſpargantur tantùm, etiam commemoraui. Quiſquis verò mirabitur, ecquid mihi in mentem venerit vt poſt tam multos ſcriptores, ipſe etiam ad hanc hiſtoriam conſcribendam me conferrem, is, euolutis omnibus illorum ſcriptis, quum ad meorum lectionem acceſſerit, tum demum miretur.

Pr. interp. Ex omnibus rerũ Alexandri ſcriptoribus, quæcũque Ptolem. Lagi, & Ariſtob. &c. Sed quæ reſpondeãt illis verbis, Ex omn. r. Al. ſcrip. in Gr. exempl. non extant.

Vel, Commemoraui tanquam eiuſmodi quæ de Alexandro fama tantùm iactarentur.

ΛΈΓΕΤΑΙ δὴ Φίλιππος μὲν τελευτῆσαι ἐπὶ ἄρχοντος Πυθοδήμου Ἀθήνησι· παραλαβόντα δὲ τὴν βασιλείαν Ἀλέξανδρον, παῖδα ὄντα Φιλίππου, ἐς Πελοπόννησον παρελθεῖν. εἶναι δὲ τότε ἀμφὶ τὰ εἴκοσιν ἔτη Ἀλέξανδρον. ἐνταῦθα ξυ- C ναγαγόντα τοὺς Ἕλληνας ὅσοι ἐντὸς Πελοποννήσου ἦσαν, αἰτεῖν παρ᾽ αὐτῶν τὴν ἡγεμονίαν τῆς ἐπὶ τοὺς Πέρσας στρατιᾶς, ἥντινα Φιλίππῳ ἤδη ἔδοσαν· καὶ αἰτήσαντα λαβεῖν παρ᾽ ἑκάστων, πλὴν Λακεδαιμονίων. Λακεδαιμονίους δὲ ἀποκρίνασθαι, μὴ εἶναι σφίσι πάτριον, ἀκολουθεῖν ἄλλοις, ἀλλ᾽ αὐτοὺς ἄλλων ἐξηγεῖσθαι. νεωτερίσαι δὲ ἄττα καὶ τὴν Ἀθηναίων πόλιν· ἀλλὰ Ἀθηναίοις γε τῇ πρώτῃ ἐφόδῳ τῇ Ἀλεξάνδρου ἐκπλαγέντας, καὶ πλείονα ἔτι τῶν Φιλίππῳ δοθέντων, Ἀλεξάνδρῳ εἰς τι-

PHILIPPVM ferunt mortem obiiſſe archonte Pythodemo Athenis. Alexandrum autem eius filium, accepto regno in Peloponneſum profectum, viginti circiter tunc temporis annos natum. Ibi, coacto Græcorum, quotquot in Peloponneſo erant, concilio, petiiſſe ab iis vti imperator exercitus aduerſus Perſas crearetur: quod quidem Philippo antea conceſſerant. Id ab omnibus impetratum, exceptis Lacedæmoniis: à quibus reſponſum fuiſſe, Lacedæmonios eam conſuetudinem à maioribus non accepiſſe, vt alios ſectarentur, ſed ipſi aliis præirent. Athenas verò noui etiam aliquid fuiſſe molitas: ſed Athenienſes primo ſtatim Alexandri aduentu perculſos, plura etiam, quàm Philippo fecerant, Alexandro,

Pr. interpr. Regnante Ath. Pythodemo. Sed Cic. Græcam vocem non fruſtra retinet, quum dicit, Archõte Pytharato.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

quæ ad ipſius dignitatem pertinerent, detuliſſe. Deinde, in Macedoniam reuerſum, exercitum quem in Aſiam duceret apparaſſe. Ineunte autem vere ſtatuiſſe per Thraciam in Triballos & Illyrios excurrere, quos nouis rebus ſtudere acceperat, &, quia finitimi erant, neque ſatis adhuc domiti, minimè negligendos putabat, quum adeò longinquam atque remotam à domo expeditionem ſuſciperet. Arrepto itaque ex Amphipoli itinere, irrupiſſe in eam Thraciæ partem quã Thraces Autonomi dicti habitant, vbi Philippi (vrbis id nomen eſt) & Orbelus mons ipſi à ſiniſtra erant. Traiecto autem Neo flumine, aiunt eum decimo poſtquam iter ingreſſus eſſet die ad AEmum mõtem perueniſſe. Hîc, ad fauces & anguſtias aſcenſus, negotiatorũ non pauci armati, & Thraces Autonomi occurrerunt, vt quum ipſi verticem montis occupaſſent, exercitum inde arcerent, qua aditus militibus patebat. Congregatis etiam plauſtris, & in orbem diſpoſitis, non pro vallo ſolùm ac propugnaculo iis vtebantur, vt ex iis, ſi premerentur, pugnarent: verumetiã in animo habebant, adnitente in aduerſum hoſte, ex editiſsimo montis præcipitio plauſtra in Macedonum phalangem deturbare. Ita enim ſecum ſtatuebant, quanto confertior phalanx eſſet, in quam plauſtra propulſa ferrentur, tanto magis vi ſua atque impetu eam diſsipatura. Alexandri verò conſilium erat, vt quàm tutiſsimè poſſet montem caperet. Poſtquam ergo ſtatuit periculum omnino ſubeundum eſſe (neque enim alius aditus oſtẽdebatur) milites ſtatarios monet, vt quũ plauſtra è ſublimi delabi cernerent, ij quibus per viæ latitudinem integrum id eſſet, ſoluto ordine cedant, ita vt proruentia plauſtra ipſos non feriant. Quotquot verò anguſtiis viæ premerentur, ij reclinati, atque in humũ flexi ſcuta inter ſe accuratè conſererent, vt nimirum plauſtra in ipſos delapſa, impetu ipſo, vt par eſt, tranſilientia, nihil damni inferrent. Neque aliter quàm iuſſerat atque animo conceperat Alexander, euenit. Diuiſa enim phalange, plauſtra ſcutis deuoluta parum damni intulerunt. nemo enim eorum ruina interiit. Tum Macedones alacriores facti, quòd plauſtra, quæ præcipuè metuerant, nullo ipſis damno fuiſſent, clamore edito in Thracas feruntur. Alexander ſagittarios à dextero cornu ante aliam phalangem (quòd illac facilior aditus videretur) progredi iubet, vtque Thracas, quacunque proruant, telis petant: ipſe agmen ducens, ſcutatos & Agrianos in læuum cornu mittit. Sagittarij, prout quiſque Thracum proſiliebat, ſagittis ferientes reprimunt. Tum phalanx immiſſa, paruo negotio exiles homines, maléque armatos barbaros loco mouit: ita vt Alexãdrum à læua irruentem ſuſtinere nõ poſſent, ſed abiectis, prout cuique licebat, armis per montem diffugerent. Cæſi ex iis mille circiter & quingenti. Virorum pauci in poteſtatem viui venerunt, pedum celeritate & loci notitia elapſi: fœminæ quotquot eos ſectabantur, omnes captæ: pueri etiam & præda omnis abducta.

Et quòd no. reb. ſt. acc. & quòd niſi omnino domitos relinquẽdos non putabat.

A μὴν ξυγχωρῆσαι. ἐπανελθόντα δὲ ἐς Μακεδονίαν, ἐν παρασκευῇ εἶναι τοῦ ἐς τὴν Ἀσίαν στόλου· ἅμα δὲ τῷ ἦρι ἐλαύνειν ἐπὶ Θρᾴκης, ἐς Τριβαλλοὺς καὶ Ἰλλυριούς· ὅτι τι νεωτερίζειν ἐπύθετο Ἰλλυριούς τε καὶ Τριβαλλούς, καὶ ἅμα ὁμόρους ὄντας οὐκ ἐδόκει ὑπολείπεσθαι, ὅτι μὴ πάντη ταπεινωθέντας, οὕτω μακρὰν ἀπὸ τῆς οἰκείας στελλόμενον. ὁρμηθέντα δὴ ἐξ Ἀμφιπόλεως ἐμβαλεῖν ἐς Θρᾴκην, τὴν τῶν αὐτονόμων καλουμένων Θρᾳκῶν, Φιλίππους πόλιν ἐν ἀριστερᾷ ἔχοντα, καὶ τὸν Ὄρβηλον τὸ ὄρος. διαβὰς δὲ τὸν
B Νέον ποταμόν, λέγουσιν ὅτι δεκαταῖος ἀφίκετο ἐπὶ τὸ ὄρος τὸν Αἷμον. καὶ ἐνταῦθα ἀπήντων αὐτῷ κατὰ τὰ στενὰ τῆς ἀνόδου τῆς ἐπὶ τὸ ὄρος, τῶν τε ἐμπόρων πολλοὶ ὡπλισμένοι, καὶ οἱ Θρᾷκες οἱ αὐτόνομοι, παρεσκευασμένοι εἴργειν τοῦ πρόσω, κατειληφότες τὴν ἄκραν τοῦ Αἵμου, τὸν στόλον, παρ' ὃν ἦν τῷ στρατεύματι ἡ πάροδος. ξυναγαγόντες δὲ ἁμάξας, καὶ προβαλόμενοι πρὸ σφῶν, ἅμα μὲν χάρακι ἐχρῶντο ταῖς ἁμάξαις, εἰς τὸ ἀπομάχεσθαι ἀπ' αὐτῶν, εἰ βιάζοιντο· ἅμα δὲ ἐν νῷ εἶχον ἐπαφιέναι ἀνιοῦσιν, ᾗ
C ἀποτομώτατον τοῦ ὄρους, ἐπὶ τὴν φάλαγγα τῶν Μακεδόνων τὰς ἁμάξας. γνώμην δὲ πεποίηντο, ὅτι ὅσῳ πυκνοτέρᾳ τῇ φάλαγγι καταφερόμεναι συμμίξουσιν αἱ ἅμαξαι, τοσῷδε μᾶλλόν τι διασκεδάσουσιν αὐτὴν βίᾳ ἐμπεσοῦσαι. Ἀλεξάνδρῳ δὲ βουλὴ γίγνεται, ὅπως ἀσφαλέστατα ὑπερβάλῃ τὸ ὄρος. καὶ ἐπειδὴ ἐδόκει διακινδυνευτέα (οὐ γὰρ εἶναι ἄλλην τὴν πάροδον) παραγγέλλει τοῖς ὁπλίταις, ὁπότε καταφέροιντο κατὰ τοῦ ὀρθίου αἱ ἅμαξαι, ὅσοις μὲν ὁδὸς πλατεῖα οὖσα παρέχοι λῦσαι τὴν τάξιν, τού-
D τους δὲ διαχωρῆσαι, ὡς δι' αὐτῶν ἐμπεσεῖν τὰς ἁμάξας· ὅσοι δὲ περικαταλαμβάνοιντο, ξυννεύσαντας τοὺς δὲ καὶ πεσόντας ἐς γῆν, συγκλεῖσαι ἐς ἀκριβὲς τὰς ἀσπίδας, τοῦ, κατ' αὐτῶν φερομένας τὰς ἁμάξας, καὶ τῇ ῥύμῃ κατὰ τὸ εἰκὸς ὑπερπηδώσας, ἀβλαβῶς ἐπελθεῖν. καὶ οὕτω ξυνέβη ὅπως παρήνεσέ τε Ἀλέξανδρος, καὶ εἴκασεν. οἱ μὲν γὰρ διέσχον τὴν φάλαγγα· αἱ δὲ ὑπὲρ τῶν ἀσπίδων ἐπικυλισθεῖσαι ὀλίγα ἔβλαψαν· ἀπέθανε δὲ οὐδεὶς ἐπὶ ταῖς ἁμάξαις. ἔνθα δὴ οἱ Μακεδόνες θαρσήσαντες, ὅτι ἀβλαβεῖς αὐ-
E τοῖς ἃς μάλιστα ἐδεδίεσαν αἱ ἅμαξαι ἐγένοντο, σὺν βοῇ ἐπὶ τοὺς Θρᾷκας ἐνέβαλον. Ἀλέξανδρος δὲ τοὺς τοξότας μὲν ἀπὸ τοῦ δεξιοῦ κέρως, πρὸ τῆς ἄλλης φάλαγγος, ὅτι ταύτῃ εὐπορώτερα ἦν, ἐλθεῖν ἐκέλευσε, καὶ ἐκτοξεύειν ἐς τοὺς Θρᾷκας, ὅπῃ προσφέροιντο· αὐτὸς δὲ ἀναλαβὼν τὸ ἄγημα, καὶ τοὺς ὑπασπιστάς, καὶ τοὺς Ἀγριᾶνας, κατὰ τὸ εὐώνυμον ἦγεν. ἔνθα δὴ οἱ τοξόται βάλλοντες τοὺς προεκθέοντας τῶν Θρᾳκῶν, ἀνέστελλον· καὶ ἡ φάλαγξ προσμίξασα, οὐ χαλεπῶς ἐξέωσεν ἐκ τῆς χώρας ἀνθρώπους ψιλούς, καὶ
F κακῶς ὡπλισμένους βαρβάρους. ὥστε Ἀλέξανδρον ἀπὸ τοῦ εὐωνύμου ἐπάγοντα οὐκέτι ἐδέξαντο, ἀλλὰ ῥίψαντες ὡς ἑκάστοις προὐχώρει τὰ ὅπλα, κατὰ τοῦ ὄρους ἔφυγον· καὶ ἀπέθανον μὲν αὐτῶν ἐς χιλίους καὶ πεντακοσίους, ζῶντες δὲ ἄνδρες μὲν ὀλίγοι ἐλήφθησαν, δι' ὠκύτητα, καὶ τῆς χώρας ἐμπειρίαν· γυναῖκες δὲ ὅσαι ξυνείποντο αὐτοῖς, ἑάλωσαν πᾶσαι· καὶ τὰ παιδάρια, καὶ ἡ λεία πᾶσα ἑάλω. Ἀλέξαν-

δρος. ὁ δὲ τὴν μὲν λείαν ὀπίσω ἀπέπεμψεν ἐς τὰς πόλεις τὰς ἐπὶ θαλάσσῃ, Λυσανίᾳ καὶ Φιλώτᾳ παραδοὺς διαθέσθαι· αὐτὸς δὲ τὸ ἄκρον ὑπερβαλὼν, προῄει διὰ τοῦ Αἵμου ἐς Τριβαλλοὺς, καὶ ἀφικνεῖται ἐπὶ τὸν Λύγινον ποταμόν· ἀπέχει δὲ οὗτος ἀπὸ τοῦ Ἴστρου, ὡς ἐπὶ τὸν Αἷμον ἰόντι, σταθμοὺς τρεῖς. Σύρμος δὲ ὁ τῶν Τριβαλλῶν βασιλεὺς, ἐκ πολλοῦ πυνθανόμενος τοῦ Ἀλεξάνδρου τὸν στόλον, γυναῖκας μὲν καὶ παῖδας τῶν Τριβαλλῶν προύπεμψεν ἐπὶ τὸν Ἴστρον, διαβαίνειν κελεύσας τὸν ποταμὸν ἐς νῆσον ἵνα τῶν ἐν τῷ Ἴστρῳ· Πεύκη ὄνομα τῇ νήσῳ ἐστίν· ἐς ταύτην δὲ τὴν νῆσον καὶ οἱ Θρᾷκες οἱ πρόσχωροι τοῖς Τριβαλλοῖς, προσάγοντος Ἀλεξάνδρου, ἐκ πολλοῦ συμπεφευγότες ἦσαν· καὶ αὐτὸς ὁ Σύρμος ἐς ταύτην ξυμπέφευγε, ξὺν τοῖς ἀμφ' αὐτόν. τὸ δὲ πολὺ πλῆθος τῶν Τριβαλλῶν ἔφυγον ὀπίσω ἐπὶ τὸν ποταμὸν, ἐς νῆσον ἵνα τῶν ἐν τῷ Ἴστρῳ, ἔνθεν περ τῇ προτεραίᾳ ὡρμήθη Ἀλέξανδρος. ὡς δὲ ἔμαθεν αὐτῶν τὴν ὁρμὴν, καὶ αὐτὸς ὑποστρέψας τὸ ἔμπαλιν, ἐπὶ τοὺς Τριβαλλοὺς ἦγε, καὶ καταλαμβάνει καταστρατοπεδεύοντας ἤδη, καὶ οἱ μὲν καταληφθέντες πρὸς τῇ νάπῃ τῇ παρὰ τὸν ποταμὸν, παρετάσσοντο. Ἀλέξανδρος δὲ, καὶ αὐτὸς τὴν μὲν φάλαγγα ἐς βάθος ἐκτάξας ἐπῆγε· τοὺς δὲ τοξότας καὶ τοὺς σφενδονήτας προεκθέοντας ἐκέλευσεν ἐκτοξεύειν τε καὶ σφενδονᾶν ἐς τοὺς βαρβάρους, εἴπως προκαλέσαιτο αὐτοὺς ἐς τὰ ψιλὰ ἐκ τῆς νάπης· οἱ δὲ, ὡς ἐντὸς βέλους ἐγένοντο, παιόμενοι ἐξέθεον ἐπὶ τοὺς τοξότας, ὅπως ἐς χεῖρας ξυμμίξειαν γυμνοῖς οὖσι τοῖς τοξόταις. Ἀλέξανδρος δὲ, ὡς προήγαγεν αὐτοὺς ἐκ τῆς νάπης ἔξω, Φιλώταν μὲν, ἀναλαβόντα τοὺς ἐκ τῆς ἄνωθεν Μακεδονίας ἱππέας, προσέταξεν ἐμβαλεῖν κατὰ τὸ κέρας τὸ δεξιὸν, ᾗπερ μάλιστα προὐκεχωρήκεσαν ἐν τῇ ἐκδρομῇ· Ἡρακλείδην δὲ καὶ Σώπολιν, τοὺς ἐκ Βοττιαίας τε καὶ Ἀμφιπόλεως ἱππέας, κατὰ τὸ εὐώνυμον κέρας ἐπάγειν ἔταξε. τὴν δὲ φάλαγγα τῶν πεζῶν, καὶ τὴν ἄλλην ἵππον, πρὸ τῆς φάλαγγος παρατείνας, κατὰ μέσους ἐπῆγε· καὶ ἔστε μὲν ἀκροβολισμὸς παρ' ἑκατέρων ἦν, οἱ Τριβαλλοὶ οὐ μεῖον εἶχον· ὡς δὲ ἥ τε φάλαγξ πυκνὴ ἐνέβαλλεν ἐς αὐτοὺς ἐρρωμένως, καὶ οἱ ἱππεῖς οὐκ ἀκοντισμῷ ἔτι, ἀλλ' αὐτοῖς ὠθοῦντες τοῖς ἵπποις, ἄλλῃ καὶ ἄλλῃ προσέπιπτον, τότε δὴ ἐτράπησαν διὰ τῆς νάπης ἐς τὸν ποταμόν. καὶ ἀποθνήσκουσι μὲν τρισχίλιοι ἐν τῇ φυγῇ, ζῶντες δὲ ὀλίγοι καὶ τούτων ἐλήφθησαν, ὅτι ὕλη τε δασεῖα πρὸ τοῦ ποταμοῦ ἦν, καὶ νὺξ ἐπιγενομένη τὴν ἀκρίβειαν τῆς διώξεως ἀφείλετο τοὺς Μακεδόνας. αὐτῶν δὲ τῶν Μακεδόνων τελευτῆσαι λέγει Πτολεμαῖος ἱππέας μὲν ἕνδεκα, πεζοὺς δὲ ἀμφὶ τοὺς τεσσαράκοντα. Ἀπὸ δὲ τῆς μάχης τριταῖος ἀφικνεῖται Ἀλέξανδρος ἐπὶ τὸν ποταμὸν τὸν Ἴστρον, ποταμῶν τῶν κατὰ τὴν Εὐρώπην μέγιστον ὄντα, καὶ πλείστην γῆν ἐπερχόμενον, καὶ ἔθνη μαχιμώτατα ἀπείργοντα, τὰ μὲν πολλὰ, Κελτικὰ, ὅθεν γε καὶ αἱ πηγαὶ αὐτῷ ἀνίσχουσιν· ὧν τελευταίους, Κουάδους καὶ Μαρκομάνους· ἔπειτα δὲ Σαυροματῶν μοῖραν, Ἰάζυγας· ἔπειτα δὲ Γέτας, τοὺς ἀπαθανατίζοντας· ἔπειτα δὲ Σαυρομάτας, τοὺς πολλούς· ἔπειτα δὲ Σκύθας, ἔστε ἐπὶ τὰς ἐκβολὰς, ἵνα ἐκδιδοῖ κατὰ πέντε στόματα ἐς τὸν Εὔξεινον πόντον. ἐνταῦθα καταλαμβάνει αὐτῷ ἡκούσας ναῦς μακρὰς ἐκ Βυ

A Ac prędam quidem Alexander in maritimas vrbes remiſit, Lyſaniæ & Philotę eius adminiſtrandæ negotio dato: ipſe autem, ſuperato vertice per AEmum in Triballos contendit, & ad Lygium flumen (diſtat id ab Iſtro, ſi quis AEmo tranſeat, itinere tridui) peruenit. Syrmus autē Triballorum rex, cognita multo antè Alexandri expeditione, fœminas & pueros Triballorum in Iſtrum ablegarat, iuſſeratq́; vt tranſmiſſo flumine in quandā Iſtri inſulā, cui Peuce nomē eſt, ſeſe reciperent. In quā etiā inſulā Thraces illis finitimi imminē- B te Alexādro iam pridē ꝑfugerant: quinetiā, Syrmus ipſe cū familia eò cōfugerat. Ingens verò Triballorum multitudo poſtea per flumen ad aliam quandam inſulam in Iſtro ſitam ſeſe contulerat, vnde Alexander pridie ſoluerat. Quos vt Alexander eò appuliſſe intellexit, reuocato itinere in Triballos mouit, vbi eos iam in caſtris degentes offendit. Hi verò deprehenſi, ad ſyluam flumini vicinam aciem inſtruebant. Alexander etiam phalangem denſius inſtructam adducit: deinde ſa- C gittarios ac funditores præmittit, qui ſagittis & fundis barbaros laceſſant, ſi fortè ea ratione è ſyluis in aperta prouocari poſſint. Triballi intra teli iactum conſtituti, & ſagittis icti in ſagittarios proruūnt, vt cum ſagittarijs qui inermes erant, cominus manu confligerent. Quos vbi Alexander extra ſyluam produxit, Philotam ſumpto equitatu ſuperioris Macedoniæ, in ſiniſtrum cornu, qua maximè excurrendo proceſſerant: Heraclidem autem & Sopolin, cum equitatu, quem ex Bottiæa & Amphipoli D adduxerat, in ſiniſtrum cornu impetum facere iubet. Ipſe, cum peditum phalange, reliquo omni equitatu cīcta, in medios fertur. Et quidem, quamdiu telis vtrinque certatum fuit, Triballi haud inferiores erant: ſimulac verò denſa phalanx valido in eos impetu ruit, equiteſq́ue non iam haſtarum ictu, ſed ipſis equis prementes vndequaque irruerunt, protinus in fugam coniecti, per ſyluam flumen repetunt, tribus millibus in fuga cæſis. Pauci etiam ex his E viui capti, quòd denſa ſylua flumini immineret, & noctis aduentus perſequendi facultatem Macedonibus præriperet. Ex Macedonibus, Ptolemæus equites quidem vndecim, pedites circiter quadraginta deſideratos ſcribit. Tertio poſt hanc pugnam die Alexander ad Iſtrum flumen peruenit, omnium qui in Europa ſunt maximum, quódque plurimum terræ alluit, & bellicoſiſſimas nationes ſuo tractu complectitur, ac quidem præcipuè Celticas, à quibus e- F tiam fontes eius oriuntur. Harum nationum extremi ſunt Quadi & Marcomanni, deinde Iazyges, Sauromatarū pars: vlterius Getæ, q̄ Apathanatizontes dicuntur: exinde Sauromatarum vulgus: poſtremò Scythæ ad exitū fluminis vſq;, vbi per quinque oſtia in Euxinū pontum profluit. Hîc Alexander naues aliquot oblōgas occupat, quæ Byzantio

per pontum Euxinum aduerſo flumine aduenerant. In his, tanto numero ſagittariorum & armatorũ, quantum capere poterant, impoſito, inſulam ad quam Triballi & Thraces confugerant, petit. Quumque ſumma vi pedem in terra ponere niteretur, barbari ad flumen concurrentes, quacunque naues appellebant, exitum prohibebant. Porro & naues paucæ erant, & exigua in iis militum manus: & inſulæ ſitus maxima ex parte præruptus ac præceps, fluminiſque ipſius curſus (vtpote arctis ſpatiis concluſus) rapidus, & ad appellendum difiicilis. Idcirco Alexander, ſubductis nauibus, mutato conſilio Iſtrum traiicit, & Getas trans Iſtrum habitantes petit, quòd ad ripam Iſtri multos confluxiſſe videret, qui, ſi traiicere vellet, prohiberent: (erant enim equitum quatuor millia, peditum decem) ſimul etiã ꝙ illum cupiditas ceperat trans Iſtrum eundi. Naues itaque ipſe conſcendit. Pelles verò ſub quibus in caſtris degebant paleis impleri iubet, & quotquot in ea regione erant lintres, ſimul conuehi. Erat autem magna earum copia, quòd Iſtri accolæ iis vtantur partim ad piſcandum, partim vt inter ſe commeare poſſint, multi etiam vt prædationes exerceant. Iis igitur quamplurimis collectis, quantam ea ratione fieri poterat, exercitus partem traducit. Numerus eorum qui cum Alexandro traiecerunt, fuit, equitum, mille & quingenti, peditum quatuor millia. Traiecerunt autem noctu, ea parte qua denſa erat frumenti ſeges. quo factum eſt vt ad ripam appellens, minus ab hoſte cerni poſſet. Sub auroram Alexander aciem per ſegetem ducit, imperans peditibus vt tranſuerſis haſtis frumentum reclinantes, ita progrediantur donec arua exceſſerint, & in campum non cultum peruenerint. Equites verò, quamdiu phalanx per ſegetem procedebat, ſequebantur. Vbi extra culta ventum eſt, Alexander ipſe equitatum ad dextrum cornu ducit: Nicanori, vt quadrata acie phalangem ducat, iubet. Getæ ne primum quidem equitatus impetum tulêre. Inaudita enim ipſis Alexandri audacia eſſe videbatur, quòd ita facilè vnica nocte Iſtrum, omnium Europæ fluminum maximum, nullo per vadum ponte ducto tranſiſſet. Terrorem etiam eis incutiebat phalangis denſitas, & violentus equitum impetus. Ac primò quidem ad vrbem confugiunt, vna tantum paraſanga ab Iſtro diſtantem. Ceterùm vbi conſpicati ſunt Alexandrum ſumma diligentia phalangem ſecus flumen ducere, ne pedites circumueniri ex inſidiis à Getis poſſent, equitatum autem à fronte diſpoſitum, rurſus Getæ vrbem vtpote malè munitam deſerunt: tantúmque puerorum & fœminarum quantum equi ferre poterant abducunt, & quàm longiſſimè poſſunt à flumine in ſolitudines ſeſe recipiunt. Alexander vrbem capit, & prædam omnem à Getis relictam, eámque Meleagro & Philippo abducendã tradit. Ipſe verò, vrbe ſolo adęquata in Iſtri ripa Ioui Seruatori, atq; Herculi ipſique adeò Iſtro (ꝙ ſe haud difficilem ei in tranſitu præbuiſſet) ſacrum facit: eodémque die omnes ſuos

A ζαντίου, διὰ τοῦ πόντου τοῦ Εὐξείνου, κατὰ τὸν ποταμόν. ταύτας ἐμπλήσας τοξοτῶν τε καὶ ὁπλιτῶν, τῇ νήσῳ ἐπέπλει, ἵνα οἱ Τριβαλλοί τε καὶ οἱ Θρᾷκες συμπεφευγότες ἦσαν· καὶ ἐπειρᾶτο βιάζεσθαι τὴν ἀπόβασιν. οἱ δὲ βάρβαροι ἀπήντων ἐπὶ τὸν ποταμόν, ὅπῃ αἱ νῆες προσπίπτοιεν. αἱ δὲ ὀλίγαι τε ἦσαν, καὶ ἡ στρατιὰ οὐ πολλὴ ἐπ' αὐτῶν· καὶ τῆς νήσου τὰ πολλὰ ἀπότομα ἐς προσβολήν· καὶ τὸ ῥεῦμα τοῦ ποταμοῦ τὸ παρ' αὐτήν, οἷα δὴ ἐς στενὸν συγκεκλεισμένον, ὀξὺ καὶ ἄπορον προσφέρεσθαι. ἔνθα δὴ Ἀλέξανδρος ἀπαγαγὼν τὰς ναῦς, ἔ-
B γνω διαβαίνειν τὸν Ἴστρον, ἐπὶ τοὺς Γέτας τοὺς πέραν τοῦ Ἴστρου ᾠκισμένους· ὅτι τε συνειλεγμένους ἑώρα πολλοὺς ἐπὶ τῇ ὄχθῃ τοῦ Ἴστρου, ὡς εἴρξοντας, εἰ διαβαίνοι (ἦσαν γὰρ ἱππεῖς μὲν ἐς τετρακισχιλίους, πεζοὶ δὲ πλείους τῶν μυρίων) καὶ ἅμα πόθος ἔλαβεν αὐτὸν ἐπέκεινα τοῦ Ἴστρου ἐλθεῖν. τῶν μὲν δὴ νεῶν ἐπέβη αὐτός· τὰς δὲ διφθέρας, ἐφ' αἷς ἐσκήνουν, τῆς κάρφης πληρώσας, καὶ ὅσα μονόξυλα πλοῖα, ἐκ τῆς χώρας ξυναγαγὼν (ἦν δὲ καὶ τούτων εὐπορία πολλή, ὅτι τούτοις χρῶνται οἱ προσοικοι τῷ Ἴστρῳ, ἐφ' ἁλιείᾳ τῇ
C ἐκ τοῦ Ἴστρου, καὶ εἴποτε παρ' ἀλλήλους αὖ κατὰ τὸν ποταμὸν στέλλοιντο, καὶ λῃστεύοντες ἀπ' αὐτῶν οἱ πολλοί.) ταῦτα ὡς πλεῖστα ξυναγαγών, διεβίβαζεν ἐπ' αὐτῶν τῆς στρατιᾶς ὅσους δυνατὸν ἦν ἐν τῷ τοιῷδε τρόπῳ. καὶ γίγνονται οἱ διαβάντες ἅμα Ἀλεξάνδρῳ, ἱππεῖς μὲν ἐς χιλίους καὶ πεντακοσίους, πεζοὶ δὲ ἐς τετρακισχιλίους. διέβαλον δὲ τῆς νυκτός, ᾗ λήιον ἦν σίτου βαθύ· καὶ ταύτῃ μᾶλλόν τι ἔλαθον προσχόντες τῇ ὄχθῃ. ὑπὸ δὲ τὴν ἕω Ἀλέξανδρος διὰ τοῦ λήιου ἦγε, παραγγείλας τοῖς πεζοῖς, πλαγίαις ταῖς σαρίσσαις ἐπικλίνοντας τὸν σῖτον, οὕτω προάγειν ἐς τὰ οὐκ
D ἐργάσιμα. οἱ δὲ ἱππεῖς, ἔστι μὲν διὰ τοῦ λήιου προῄει ἡ φάλαγξ, ἐφείποντο· ὡς δὲ ἐκ τῶν ἐργασίμων ἐξῄεσαν, τὴν μὲν ἵππον ἐπὶ τὸ δεξιὸν κέρας αὐτὸς Ἀλέξανδρος παρῆγε, τὴν φάλαγγα δὲ ἐν πλαισίῳ Νικάνορα ἄγειν ἐκέλευσεν. καὶ οἱ Γέται οὐδὲ τὴν πρώτην ἐμβολὴν τῶν ἱππέων ἐδέξαντο. παράδοξος μὲν γὰρ αὐτοῖς ἡ τόλμα ἐφάνη τοῦ Ἀλεξάνδρου, ὅτι εὐμαρῶς οὕτω τὸν μέγιστον τῶν ποταμῶν διεβεβήκει ἐν μιᾷ νυκτὶ τὸν Ἴστρον, οὐ γεφυρώσας τὸν πόρον·
E φοβερὰ δὲ καὶ τῆς φάλαγγος ἡ ξύγκλεισις, βιαία δὲ ἡ τῶν ἱππέων ἐμβολή. καὶ τὰ μὲν πρῶτα ἐς τὴν πόλιν καταφεύγουσιν, ἣ δὴ ἀπεῖχεν αὐτοῖς ὅσον παρασάγγην τοῦ Ἴστρου· ὡς δὲ ἐπάγοντα εἶδον σπουδῇ Ἀλέξανδρον τὴν μὲν φάλαγγα παρὰ τὸν ποταμόν, ὡς μὴ κυκλωθεῖέν πῃ οἱ πεζοί, ἐνεδρευσάντων τῶν Γετῶν, τοὺς ἱππέας δὲ κατὰ μέτωπον, λείπουσιν αὖ καὶ τὴν πόλιν οἱ Γέται, κακῶς τετειχισμένην, ἀναλαβόντες τῶν παιδαρίων καὶ τῶν γυναικῶν ἐπὶ τοὺς ἵππους ὅσα φέρειν οἱ ἵπποι ἠδύναντο. ἦν δὲ αὐτοῖς ἡ ὁρμὴ ὡς
F πορρωτάτω ἀπὸ τοῦ ποταμοῦ ἐς τὰ ἔρημα. Ἀλέξανδρος δὲ τήν τε πόλιν λαμβάνει, καὶ τὴν λείαν πᾶσαν ὅσην οἱ Γέται ὑπελείποντο· καὶ τὴν μὲν λείαν Μελεάγρῳ καὶ Φιλίππῳ ἐπαναγαγεῖν δίδωσιν· αὐτὸς δὲ κατασκάψας τὴν πόλιν, θύει τε ἐπὶ τῇ ὄχθῃ τοῦ Ἴστρου Διὶ σωτῆρι, καὶ Ἡρακλεῖ, καὶ αὐτῷ τῷ Ἴστρῳ, ὅτι οὐκ ἄπορος αὐτῷ ἐγένετο· καὶ ἐπανάγει αὐτῆς ἡμέρας σώους σύμπαν-

πας ἐπὶ τὸ στρατόπεδον. Ἐνταῦθα ἀφίκοντο πρέσβεις ὡς Ἀλέξανδρον παρά τε τῶν ἄλλων ὅσα αὐτόνομα ἔθνη προσοικεῖ τῷ Ἴστρῳ, καὶ παρὰ Σύρμου τοῦ Τριβαλλῶν βασιλέως· καὶ παρὰ Κελτῶν, τῶν ἐπὶ τῷ Ἰονίῳ κόλπῳ ᾠκισμένων ἧκον (μεγάλοι οἱ Κελτοὶ τὰ σώματα, καὶ μέγα ἐπὶ σφίσι φρονοῦντες) φιλίας δὲ πάντες τῆς Ἀλεξάνδρου ἐφιέμενοι ἥκειν ἔφασαν. καὶ πᾶσιν ἔδωκε πίστεις Ἀλέξανδρος καὶ ἔλαβε· τοὺς Κελτικοὺς δὲ καὶ ἤρετο, ὅ τι μάλιστα δεδίττεται αὐτοὺς τῶν ἀνθρωπίνων· ἐλπίσας ὅτι μέγα ὄνομα τὸ αὐτοῦ καὶ ἐς Κελτικοὺς καὶ ἔτι προσωτέρω ἥκει· καὶ ὅτι αὐτὸν μάλιστα πάντων δεδιέναι φήσουσι. τοῦ δὲ παρ' ἐλπίδα ξυνέβη τῶν Κελτῶν ἡ ἀπόκρισις· οἷα γὰρ πόρρω τε ᾠκισμένοι Ἀλεξάνδρου, καὶ χωρία δύσπορα οἰκοῦντες, καὶ Ἀλεξάνδρου ἐς ἄλλα τὴν ὁρμὴν ὁρῶντες, ἔφασαν δεδιέναι μήποτε ὁ οὐρανὸς αὐτοῖς ἐμπέσοι· καὶ τούτους φίλους τε ὀνομάσας, καὶ ξυμμάχους ποιησάμενος, ὀπίσω ἀπέπεμψε· τοσοῦτον ὑπειπὼν, ὅτι ἀλαζόνες Κελτοί εἰσιν. αὐτὸς δὲ ἐπ' Ἀγριανῶν καὶ Παιόνων προὐχώρει. ἔνθα δὴ ἄγγελοι ἀφίκοντο αὐτῷ, Κλεῖτόν τε τὸν Βαρδύλεω ἀφεστάναι ἀγγέλλοντες, καὶ Γλαυκίαν προσκεχωρηκέναι αὐτῷ, τὸν Ταυλαντίων βασιλέα. οἱ δὲ καὶ τοὺς Αὐταριάτας ἐπιθήσεσθαι αὐτῷ κατὰ τὴν πορείαν ἐξήγγελλον. ὧν δὴ ἕνεκα κατὰ σπουδὴν ἐδόκει ἀναζευγνύναι. Λάγαρος δὲ ὁ τῶν Ἀγριανῶν βασιλεὺς, ὃς καὶ Φιλίππου ζῶντος ἀσπαζόμενος Ἀλέξανδρον δῆλος ἦν, καὶ ἰδίᾳ ἐπρεσβεύσατο παρ' αὐτὸν, τότε δὲ παρῆν αὐτῷ μετὰ τῶν ὑπασπιστῶν, ὅσους τε καλλίστους καὶ εὐοπλοτάτους ἀμφ' αὐτὸν εἶχε. καὶ ἐπειδὴ ἔμαθεν ὑπὲρ τῶν Αὐταριατῶν πυνθανόμενον Ἀλέξανδρον, οἵτινές τε καὶ ὁπόσοι εἶεν, οὐκ ἔφη χρῆναι ἐν λόγῳ τίθεσθαι Αὐταριάτας (εἶναι γὰρ ἀπολεμωτάτους τῶν ταύτῃ) καὶ αὐτὸς ἐμβαλεῖν ἐς τὴν χώραν αὐτῶν, ὡς ἀμφὶ τὰ σφέτερα μᾶλλον ἔχοιεν. καὶ κελεύσαντος Ἀλεξάνδρου, ἐσβάλλει ἐς αὐτούς· καὶ ἐμβαλὼν ἦγε καὶ ἔφερε τὴν χώραν αὐτῶν. Αὐταριᾶται μὲν δὴ ἀμφὶ τὰ αὐτῶν εἶχον. Λάγαρος δὲ τά τε ἄλλα ἐτιμήθη μεγάλως πρὸς Ἀλεξάνδρου, καὶ δῶρα ἔλαβεν ὅσα μέγιστα παρὰ βασιλεῖ τῷ Μακεδόνων νομίζεται· καὶ τὴν ἀδελφὴν τὴν Ἀλεξάνδρου Κυνάν, καὶ ταύτην ὡμολόγησε δώσειν αὐτῷ, ἐς Πέλλαν ἀφικομένῳ, Ἀλέξανδρος. ἀλλὰ Λάγαρος μὲν ἐπανελθὼν οἴκαδε, νόσῳ ἐπελεύτησεν. Ἀλέξανδρος δὲ παρὰ τὸν Ἐριγόνα ποταμὸν πορευόμενος, ἐς Πέλλιον πόλιν ἐστέλλετο. ταύτην γὰρ κατειλήφει ὁ Κλεῖτος, ὡς ὀχυρωτάτην τῆς χώρας· καὶ πρὸς ταύτην ὡς ἧκεν Ἀλέξανδρος, καταστρατοπεδεύσας πρὸς τῷ Ἐορδαϊκῷ ποταμῷ, τῇ ὑστεραίᾳ ἐγνώκει προσβάλλειν τῷ τείχει. οἱ δὲ ἀμφὶ τὸν Κλεῖτον τὰ κύκλῳ τῆς πόλεως ὄρη ὑπερδέξιά τε ὄντα καὶ δασέα κατεῖχον, ὡς πάντοθεν ἐπιτίθεσθαι τοῖς Μακεδόσιν, εἰ τῇ πόλει προσβάλλοιεν. Γλαυκίας δὲ αὐτῷ, ὁ τῶν Ταυλαντίων βασιλεὺς, οὔπω παρῆν. Ἀλέξανδρος μὲν δὴ τῇ πόλει προσῆγεν, οἱ δὲ πολέμιοι σφαγιασάμενοι παῖδας τρεῖς καὶ κόρας ἴσας τὸν ἀριθμὸν, καὶ κριοὺς μέλανας τρεῖς, ὡρμήθησαν μὲν ὡς δεξόμενοι ἐς χεῖρας τοὺς Μακεδόνας· ὁμοῦ δὲ γενόμενοι ἐξέλιπον καίτοι καρτερὰ ὄντα τὰ κατειλημμένα πρὸς σφῶν χωρία, ὥστε καὶ τὰ σφάγια αὐτῶν καταληφθῆ ἐπικείμενα.

A incolumes in caſtra reducit. Eò loci legati ad Alexandrum venêre cum ab aliis ſui iuris nationibus, quæ Iſtrum accolunt, tum à Syrmo Triballorum rege, & à Celtis qui Ionium ſinum incolunt. Sunt porrò Celtæ & proceræ ſtaturæ, & multum ſibiipſis tribuentes. Omnes autem ſe Alexandri amicitiam poſcentes venire aſſerebant. Fides vtrinque & data & accepta eſt. At Celtas percunctatus eſt Alexander, quid in rebus humanis maximè extimeſcerent: ratus nominis ſui ſplendorem ad Celtas multóque
B vlterius penetraſſe, quódque ipſum præ rebus omnibus timerent reſponſuros. Cæterùm à Celtis longè aliter ac ſperarat ei reſponſum fuit: ſe nimirum, quòd procul ab Alexandro agerent, & loca acceſſu difficilia habitarent, ipſúmque aliò expeditionem facere viderẽt, vereri ne cælum in ipſos ruat. Alexander, eos amicos appellans, & in confœderatorum numerum recipiens, remiſit, hoc vnum ſubdẽs, Celtas arrogãtes eſſe. Inde in Agrianos & Pæonas mouit. vbi nun-
C tium ei allatum eſt Clitum Bardylei filium ab eo defeciſſe, Glauciámque Taulantiorum regem ſe eidem coniunxiſſe. Nuntiabant etiam Autariatas ipſum in itinere adorituros. Quibus de cauſis celeriter inde mouendum cenſuit. Langarus verò Agrianorũ rex, quia dum Philippus adhuc in viuis eſſet, Alexandro charus fuerat, & priuatim ad eum legatos miſerat, ac tunc temporis cum lectiſsimis optiméque armatis ſcutatis militibus ei aderat, quum audiret Alexan-
D drum ſciſcitantem, quinam illi aut quot numero Autariatæ eſſent, monuit, Autariatas nihili faciendos eſſe, quòd eſſent omnium illius regionis hominum minimè bellicoſi: ſéque in eorum ditionem irrupturum, vt domi potius haberent quod agerent. Iubente igitur Alexandro populabundus eorum agrum ingreditur & vaſtat: atque ita Autariatæ pedem ſuis domibus non extulêre. Langarus ampliſsimis honoribus ab Alexandro affectus, munera etiam accepit quæ apud Macedonum reges habentur ſumma. Soro-
E rem etiam Alexandri, Cynam nomine, vbi Pellam reuerſus eſſet, vxorem ſe illi daturum ſpondet: ſed Langarus domũ reuerſus morbo obiit. Poſthæc Alexander ſecus Erigonem fluuium iter faciens, Pelliõ venit: quam vrbem Clitus occuparat, vt totius regionis munitiſsimam. Quò ſimulac venit Alexander, caſtris ad Eordaicum flumen poſitis muros adoriri ſtatuit: Clitus ſuis copiis montes vrbi circumiectos, qui maximè opportuni & ſyluis denſi erant, inſederat, vt omni ex parte irruere in Macedones poſſent: Glau-
F cias verò Taulantiorum rex necdum ad ipſum venerat. Quum itaque iam Alexander vrbi immineret, hoſtes, mactatis tribus pueris & totidem puellis, tribúſque nigris arietibus, erumpunt tanquam cum Macedonibus manus conſerturi. Quúmque iam propius conueniſſent, loca illa quæ occuparãt, quantũuis aſpera munitáq; eſſent, deſerunt, adeò vt etiã hoſtiæ ibidẽ relictæ ſint repertæ.

Eo ipſo die hoſtibus intra mœnia concluſis, caſtriſque ad muros poſitis, ſtatuerat Alexāder alio in orbem muro ducto ipſos intercludere. Poſtridie verò quum Glaucias Taulantiorum rex cum ingenti exercitu eò perueniſſet, nec ſperaret Alexander ſe iis quas adduxerat copiis vrbē capere poſſe, quòd & multi bellatores in vrbem confugiſſent, multiq; cum Glaucia irruituri eſſent, ſi ipſe murum oppugnaret: Philotam, ſumto equitatu qui præſidio ſufficeret, cum impedimētis caſtrenſibus frumentatum mittit. Glaucias, cognito Philotæ aduentu, in eos mouit, & montes campo, in quem Philotas frumentatum iturus erat, circumiectos occupat. Alexander, ſimulac ei renuntiatum eſt, equitatum & impedimēta in magno diſcrimine verſari, ſi nox eos occupet, ipſe confeſtim ſcutatis & ſagittariis, atque Agrianis, equitibúſque quadringentis ſecum ſumtis, auxilio aduolat, reliquo exercitu ad vrbem relicto: ne, vniuerſo exercitu diſcedente, oppidani excurrentes cum Glaucia coniungerentur. Glaucias, vt ſenſit Alexandrum aduentare, montes deſerit, atque ita Philotas tutò ſe in caſtra recepit. Exiſtimabant adhęc Clitus & Glaucias difficultate locorum interceptum eſſe Alexandrum. Nam & montes opportunos magno equitum, iaculatorum & funditorū numero occuparant, & armatis militibus non paucis: &, ſi Alexander obſidionem ſolueret, oppidanos à tergo eum adorituros cogitabant. Præterea loca per quæ Alexandro eundum erat, anguſta & ſyluoſa erant: hinc flumine, atque inde mōte excelſo atque prępupto, viam adeo coarctantibus, vt ne quatuor quidem ſcutatis militibus coniunctim iter eſſet. Alexāder aciem ita inſtruit, vt centum viginti in ſpiſsitudine phalanx habeat: equitéſque in vtroque cornu ducentos locans, mandat, vt ſilentio habito mandata celeriter excipiant. Ac primò vt in altum erectas haſtas geſtent, imperat: deinde vt ſigno dato, in aduerſum dirigant, tanquam impetum facturi, ac modò dextrorſum, modò ſiniſtrorſum haſtarum cuſpides flectant. Ipſe interea phalangem celeriter promouit, & in cornua aliter atque aliter duxit: atque ita immutata in varias formas breui tempore aciei ſtructura, phalange demum ad læuam in cuneum redacta, hoſtes inuadit. Hi verò diu mirati ſunt quanta celeritatę, quóque ordine res geſta eſſet: neque iam Macedonum impetum ſuſtinentes, montes deſerunt. Tum Alexāder clamores edi, haſtiſque ſcuta quati iubet. Quo clamore vehementius perculſi Taulantij exercitum celeriter vrbem verſus mouēre. Alexander, animaduertens exiguam quandam hoſtium manum collem tenēre, quâ iter fecerat, corporis ſui cuſtodib⁹, & familiaribus, qui præſtò erant, imperat vti aſſumtis ſcutis, ad flumen equos conſcendāt, & collem petant. Quò vbi ventum eſſet, ſi hoſtes qui locum illum occupabant eos opperirentur, ex equis deſiliant, & equitibus miſti, pedites confligant. Hoſtes, aduentantem

A ταύτῃ μὲν δὴ τῇ ἡμέρᾳ κατακλείσας αὐτοὺς ἐς τὴν πόλιν, καὶ στρατοπεδευσάμενος πρὸς τῷ τείχει, ἐγνώκει περιτειχισμῷ ἀποκλεῖσαι αὐτούς. τῇ δὲ ὑστεραίᾳ παρῆν μετὰ πολλῆς δυνάμεως Γλαυκίας, ὁ τῶν Ταυλαντίων βασιλεύς. ἔνθα δὴ Ἀλέξανδρος τὴν μὲν πόλιν ἀπέγνω ἑλεῖν ἂν ξὺν τῇ παρούσῃ δυνάμει, πολλῶν μὲν ἐς αὐτὴν καὶ μαχίμων ξυμπεφευγότων, πολλῶν δὲ ἅμα τῷ Γλαυκίᾳ προσκεισομένων, εἰ αὐτὸς τῷ τείχει προσμάχοιτο. Φιλώταν δὲ, ἀναλαβόντα τῶν ἱππέων ὅσοις ἐς προφυλακὴν, καὶ τὰ ὑποζύγια τὰ ἐκ τοῦ
B στρατοπέδου, ἐς ἐπισιτισμὸν ἔπεμπεν. καὶ ὁ Γλαυκίας μαθὼν τὴν ὁρμὴν τῶν ἀμφὶ Φιλώταν, ἐξελαύνει ἐπ' αὐτούς, καὶ καταλαμβάνει τὰ κύκλῳ ὄρη τοῦ πεδίου, ὅθεν οἱ ξὺν Φιλώτᾳ ἐπισιτιεῖσθαι ἔμελλον. Ἀλέξανδρος δὲ, ἐπειδὴ ἀπηγγέλθη αὐτῷ ὅτι κινδυνεύουσιν οἵ τε ἱππεῖς καὶ τὰ ὑποζύγια, εἰ νὺξ αὐτοὺς καταλήψεται, αὐτὸς μὲν ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, καὶ ἱππεῖς ἐς τετρακοσίους, ἐβοήθει σπουδῇ· τὸ δὲ ἄλλο στράτευμα πρὸς τῇ πόλει ἀπέλιπεν, ὡς μὴ, ἀποχωρήσαντος παντὸς τοῦ στρατοῦ,
C καὶ οἱ ἐκ τῆς πόλεως ἐπιδραμόντες τοῖς ἀμφὶ Γλαυκίαν ξυμμίξειαν. ἔνθα δὴ Γλαυκίας προσάγοντα Ἀλέξανδρον αἰσθόμενος, ἐκλείπει τὰ ὄρη· οἱ δὲ ξὺν Φιλώτᾳ, ἀσφαλῶς ἐπὶ τὸ στρατόπεδον διεσώθησαν. ἐδόκουν δὲ ἔτι τὸν Ἀλέξανδρον ἐν δυσχωρίᾳ ἀπειληφέναι οἱ ἀμφὶ τὸν Κλεῖτον καὶ Γλαυκίαν. τά τε γὰρ ὄρη τὰ ὑπερδέξια κατεῖχον, πολλοῖς μὲν ἱππεῦσι, πολλοῖς δὲ ἀκοντισταῖς καὶ σφενδονήταις, καὶ ὁπλίταις δὲ οὐκ ὀλίγοις. καὶ οἱ ἐν τῇ πόλει κατειλημμένοι, προσκείσεσθαι ἀπαλλαττομένοις ἔμελλον· τά τε χωρία, δι' ὧν ἡ πάροδος ἦν τῷ Ἀλεξάνδρῳ, στενὰ καὶ ὑλώδη ἐφαίνετο, τῇ μὲν, πρὸς τοῦ ποτα-
D μοῦ ἀπειργόμενα, τῇ δὲ, ὄρος ὑπερύψηλον ἦν καὶ κρημνοὶ πρὸς τοῦ ὄρους· ὥστε οὐδὲ ἐπὶ τεσσάρων ἀσπίδων ἂν τῷ στρατεύματι ἡ πάροδος ἐγίγνετο. ἔνθα δὴ ἐκτάσσει τὸν στρατὸν Ἀλέξανδρος, ἕως ἑκατὸν καὶ εἴκοσι τὸ βάθος τῆς φάλαγγος. ἐπὶ τὸ κέρας δὲ ἑκατέρωθεν διακοσίους ἱππεῖς ἐπιτάξας, παρήγγελλε σιγῇ ἔχειν, τὸ παραγγελλόμενον ὀξέως δεχομένους· καὶ τὰ μὲν πρῶτα ἐσήμανεν, ὀρθὰ ἀνατεῖναι τὰ δόρατα τοὺς ὁπλίτας, ἔπειτα ἀπὸ ξυνθήματος ἀποκλῖναι ἐς προσβολήν, καὶ
E νῦν μὲν ἐς τὸ δεξιὸν ἐγκλῖναι τῶν δοράτων τὴν σύγκλεισιν, αὖθις δὲ ἐπὶ τὰ ἀριστερά. καὶ αὐτὴν δὲ τὴν φάλαγγα ἐς τὸ πρόσω ὀξέως ἐκίνησε, καὶ ἐπὶ τὰ κέρατα ἄλλοτε ἄλλῃ παρήγαγε· καὶ οὕτω πολλὰς τάξεις τάξας τε καὶ μετακοσμήσας ἐν ὀλίγῳ χρόνῳ, καὶ τὸ εὐώνυμον οἷον ἔμβολον ποιήσας τῆς φάλαγγος, ἐπῆγεν ἐπὶ τοὺς πολεμίους. οἱ δὲ πάλαι μὲν ἐθαύμαζον, τήν τε ὀξύτητα ὁρῶντες καὶ τὸν κόσμον τῶν δρωμένων· τότε δὲ προσάγοντας ἤδη τοὺς ἀμφὶ Ἀλέξανδρον οὐκ ἐδέξαντο, ἀλλὰ λείπουσι τοὺς πρώτους λόφους. ὁ δὲ καὶ ἐπαλαλάξαι ἐκέλευσε τοὺς
F Μακεδόνας, καὶ τοῖς δόρασι δουπῆσαι πρὸς τὰς ἀσπίδας· οἱ δὲ Ταυλάντιοι ἔτι μᾶλλον ἐκπλαγέντες πρὸς τῆς βοῆς, ὡς πρὸς τὴν πόλιν ἐπανήγαγον σπουδῇ τὸν στρατόν. Ἀλέξανδρος δὲ λόφον τινὰς κατέχοντας ἰδὼν οὐ πολλοὺς τῶν πολεμίων, παρ' ὃν αὐτῷ ἡ πάροδος ἐγίγνετο, παρήγγελλε τοῖς σωματοφύλαξι καὶ τοῖς ἀμφ' αὐτὸν ἑταίροις, ἀναλαβόντας τὰς ἀσπίδας ἀναβαίνειν ἐπὶ τὸν ποταμὸν, ἐπὶ τοὺς ἵππους, καὶ ἐλαύνειν ἐπὶ τὸν γήλοφον· ἐκεῖσε δὲ ἐλθόντας, εἰ ὑπομένοιεν οἱ κατειληφότες τὸ χωρίον, τοὺς ἡμίσεας καταπηδῆσαι ἀπὸ τῶν ἵππων, καὶ ἀναμιχθέντας τοῖς ἱππεῦσι πεζοὺς μά-

χωρῆσαι. οἱ δὲ πολέμιοι τὴν ὁρμὴν τὴν Ἀλεξάνδρου ἰδόντες, λείπουσι τὸν γήλοφον, καὶ παρεκκλίνουσιν ἐφ' ἑκάτερα τῶν ὀρῶν. ἔνθα δὴ καταλαβὼν Ἀλέξανδρος τὸν γήλοφον σὺν τοῖς ἑταίροις, τούς τε Ἀγριᾶνας μεταπέμπεται, καὶ τοὺς τοξότας, ὄντας ἐς δισχιλίους· τοὺς δὲ ὑπασπιστὰς διαβαίνειν τὸν ποταμὸν ἐκέλευσε, καὶ ἐπὶ τούτων τὰς τάξεις τῶν Μακεδόνων· ὁπότε δὲ διαβαίης τύχοιεν, ἐπ' ἀσπίδα ἐκτάσσεσθαι, ὡς πυκνὴν εὐθὺς διαβαίντων φαίνεσθαι τὴν φάλαγγα. αὐτὸς δὲ ἐν προφυλακῇ ὤν, ἀπὸ τοῦ λόφου ἀφεώρα τῶν πολεμίων τὴν ὁρμήν. οἱ δὲ, ὁρῶντες διαβαίνουσαν τὴν δύναμιν, κατὰ τὰ ὄρη ἀντεπῄεσαν, ὡς τοῖς μετ' Ἀλεξάνδρου ἐπιθησόμενοι τελευταίοις ἀποχωροῦσιν. ὁ δὲ, πελαζόντων ἤδη, αὐτὸς ἐκθεῖ σὺν τοῖς ἀμφ' αὐτόν, καὶ ἡ φάλαγξ, ὡς διὰ τοῦ ποταμοῦ ἐπιοῦσα, ἐπηλάλαξεν· οἱ δὲ πολέμιοι, πάντων ἐπὶ σφᾶς ἐλαυνόντων, ἐγκλίναντες ἔφυγον· καὶ ἐν τούτῳ ἐπῆγεν Ἀλέξανδρος τούς τε Ἀγριᾶνας καὶ τοὺς τοξότας δρόμῳ, ὡς ἐπὶ τὸν ποταμόν. καὶ πρῶτος μὲν αὐτὸς φθάσας διαβαίνει, τοῖς τελευταίοις δὲ, ὡς εἶδεν ἐπικειμένους τοὺς πολεμίους, ἐπιστήσας ἐπὶ τῇ ὄχθῃ τὰς μηχανάς, ἐξακοντίζειν ὡς πορρωτάτω ἀπ' αὐτῶν ἐκέλευσεν ὅσα ἀπὸ μηχανῶν βέλη ἐξακοντίζεται· καὶ τοὺς τοξότας δὲ ἐκ μέσου τοῦ ποταμοῦ ἐκτοξεύειν, ἐπεσβάντας καὶ τούτους. καὶ οἱ μὲν ἀμφὶ τὸν Γλαυκίαν εἴσω βέλους προελθεῖν οὐκ ἐτόλμων· οἱ Μακεδόνες δὲ ἐν τούτῳ ἀσφαλῶς ἐπέρασαν τὸν ποταμόν· ὥστε οὐδεὶς ἀπέθανεν ἐν τῇ ἀποχωρήσει αὐτῶν. τρίτῃ δὲ ἀπ' ἐκείνης ἡμέρᾳ καταμαθὼν Ἀλέξανδρος κακῶς αὐλιζομένους τοὺς ἀμφὶ Κλεῖτον καὶ Γλαυκίαν, καὶ οὔτε φυλακὰς ἐν τῇ τάξει αὐτοῖς φυλαττομένας, οὔτε χάρακα ἢ τάφρον προβεβλημένους (οἷα δὴ ξὺν φόβῳ ἀπηλλάχθαι οἰομένων Ἀλέξανδρον) ἐς μῆκος δὲ οὐκ ὠφέλιμον ἀποτεταμένην αὐτοῖς τὴν τάξιν, ὑπὸ νύκτα ἔτι λαθὼν διαβαίνει τὸν ποταμόν, τούς τε ὑπασπιστὰς ἅμα οἷ ἄγων, καὶ τοὺς Ἀγριᾶνας, καὶ τοὺς τοξότας, καὶ τὴν Περδίκκου καὶ Κοίνου τάξιν. καὶ προστέτακτο μὲν ἀκολουθεῖν τὴν ἄλλην στρατιάν· ὡς δὲ καιρὸν εἶδεν εἰς ἐπίθεσιν, οὐ προσμείνας ὁμοῦ γενέσθαι πάντας, ἐφῆκε τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας· οἱ δὲ, ἀπροσδόκητοί τε ἐπιπεσόντες, καὶ φαλαγγηδὸν κατὰ κέρας, ᾗπερ ἀσθενεστάτοις αὐτοῖς καρτερωτάτῃ τῇ ἐμβολῇ προσμίξειν ἔμελλον, τοὺς μὲν ἔτι ἐν ταῖς εὐναῖς κατέκτεινον, τοὺς δὲ φεύγοντας εὐμαρῶς αἱροῦντες. ὥστε πολλοὶ μὲν αὐτοῦ κατελήφθησαν, καὶ ἀπέθανον· πολλοὶ δὲ ἐν τῇ ἀποχωρήσει ἀτάκτῳ καὶ φοβερᾷ γενομένῃ, οὐκ ὀλίγοι δὲ καὶ ζῶντες ἐλήφθησαν. ἐγένετο δὲ ἡ δίωξις τοῖς μὲν ἀμφὶ Ἀλέξανδρον, μέχρι πρὸς τὰ ὄρη τῶν Ταυλαντίων· ὅσοι δὲ καὶ ἀπέφυγον αὐτῶν, γυμνοὶ τῶν ὅπλων διεσώθησαν. Κλεῖτος δὲ ἐς τὴν πόλιν τὸ πρῶτον καταφυγών, ἐμπρήσας τὴν πόλιν, ἀπηλλάγη παρὰ Γλαυκίαν ἐς Ταυλαντίους. ἐν τούτῳ δὲ τῶν φυγάδων τινὲς, τῶν ἐκ Θηβῶν φευγόντων, παρελθόντες νύκτωρ ἐς τὰς Θήβας, ἐπαγομένων τινῶν αὐτοὺς ἐπὶ νεωτερισμῷ ἐκ τῆς πόλεως, Ἀμύνταν μὲν καὶ Τιμόλαον τῶν τὴν Καδμείαν ἐχόντων, οὐδὲν ὑποτοπήσαντας πολέμιον, ἔξω τῆς Καδμείας ἀπέκτειναν ξυλλαβόντες· ἐς δὲ τὴν ἐκκλησίαν παρελθόντες, ἐπῆραν τοὺς Θηβαίους ἀποστῆναι ἀπὸ Ἀλεξάνδρου, ἐλευθερίαν τε προϊσχόμενοι, παλαιὰ καὶ καλὰ ὀνόματα, καὶ τῆς βαρύτητος τῶν Μακεδόνων ἤδη ποτὲ ἀπαλ-

A Alexandrum conſpicati, collem deſerunt, & per montem diffugiunt. Eum collem Alexāder capit, & Agrianorum atque ſagittariorū duobus circiter millibus ad ſe vocatis, ſcutatos flumē traiicere iubet: póſtque hos, Macedonum cohortes. Vbi verò traiecerint, ſcuta inter ſe exporrigāt: vt confertior eorum qui tranſiſſent phalanx eſſe videretur. Ipſe in ſpecula poſitus, ex colle hoſtium motus ſpectabat. Hoſtes, quū exercitum flumen tranſeuntem cernerent, montes verſus ſeſe contulêre, veluti in eos B qui poſtremi ab Alexandro diſceſſerant impetum facturi. In quos iam appropinquantes excurrit, quum phalanx tranſmiſſo iam flumine clamores edit. Hoſtes, tota Macedonum vi in eos irruente, in fugā vertuntur: Alexander Agrianos & ſagittarios ad flumen mittit: atque ipſe quidem primus tranſit: quúmque extremos ab hoſte premi cerneret, machinis in ripa collocatis, quàm longiſsimè in eos tela, quæcunque machinis torqueri poſſunt, emitti C iubet. Sagittariis etiam, qui & ipſi flumen ingreſsi erant, vt è medio flumine hoſtem ſagittis petant imperat. Glaucias intra teli iactum progredi non audebat. Interea Macedones incolumes traiiciunt, ita vt nemo eorū in diſceſſu deſideratus fuerit. Triduo pòſt Alexander, quum audiſſet Clitum & Glauciam iniquo loco caſtrametatos, & neque excubias in caſtris agere, neque vallo aut foſſa ſeſe cinxiſſe (quippe qui Alexandrum metu impulſum diſceſsiſſe crederent) aciémque ipſo- D rum in longum, parum ex eorum commodo, porrectam: clàm ſub noctem flumen tranſit, ſumtis ſecum ſcutatis atque Agrianis & Perdiccæ ac *Cœni copiis. iuſſerátque vt reliquus exercitus ſubſequeretur. Vt verò tempus illi commodum irruptioni faciendæ viſum eſt, non expectato reliquorum aduentu, ſagittarios & Agrianos immittit. Qui quum præter omnem expectationem in illos irruerent, & phalanx ad cornu quâ debiliores E erant validiorem acrioremque impetum faceret, alios in lectis decumbentes interficiunt, alios fugientes facilè capiunt: adeò vt multi capti, multi cæſi fuerint: neque pauci in illa inordinata trepidáque fuga viui in poteſtatem venerint. Alexander fugientes ad Taulantiorum montes vſque perſequutus eſt. Quotquot verò illorum fugerunt, abiectis armis euaſerūt. Clitus, qui in vrbem primò confugerat, ea incēſa, ad Glauciam in Taulantios abiit. Dum hæc geruntur, profugorum qui F ex Thebis fugerant, nonnulli, noctu vrbem ingreſsi, ac per ciues aliquot ad nouandas res ſollicitati, Amyntam & Timolaum Cadmeæ arcis præfectos nihil hoſtile ſuſpicātes, extra arcem deprehēſos, trucidant. Deinde in concionem prodeuntes, Thebanos ad defectionem ab Alexandro moliendam cōcitarunt, libertatis vetuſtum ſpecioſúmque nomen allegantes: vtque ſeſe à graui Macedonū imperio aſ-

In vet. codice ſcriptū eſt Κοίνου: quod nomē & alibi inuenitur. Editio ſuperior habet Κίρνου: Interpres Fac. Cyeni.

ſererent. Quod quidem eo facilius multitudini perſuaſerunt, quòd Alexandrum apud Illyrios vita functum conſtanter affirmarent. Nam & frequens erat ea de re ſermo, latéque ſpargebatur. ſiquidem & multo iam tempore abfuerat, & nullus nuntius ab eo venerat. Quapropter, (vt in eiuſmodi rebus ferè ſit) quum nihil certi haberent, id quod gratius ipſis eſſet, fingebant. Alexander de Thebanorum rebus certior factus, nulla ratione negligendas eas putauit: tum quòd Athenienſiũ vrbem à multo tempore ſuſpectam haberet, tum quòd Thebanorum audaciam non leuis momenti eſſe iudicaret, ſi Lacedæmonij (quorum animi iampridem erãt alienati) atque AEtoli, vtpote parum conſtantes, Thebanorum ſeditioni ſeſe coniunxiſſent. Heordæã itaque & Elymiotin, rupéſq; Stymphæas & Paryæas cum exercitu prætergreſſus, ſeptimo die Pellam Theſſaliæ vrbem peruenit. Inde profectus, ſexto poſt die Bœotiam ingreſſus eſt. Neque prius Thebani cognouere Alexandrum Pylas tranſiiſſe, quàm Oncheſtum cum vniuerſo exercitu peruenit. Ac tunc quoque, qui defectionis autores fuerant, veniſſe ex Macedonia Antipatro exercitum fingebant: ipſum verò Alexandrum obiiſſe contendebãt. Quúmque nonnulli referrent quòd idem ipſe Alexander aduentaret, indignè ferebant, alium quempiam Alexandrum Aëropum venire dicentes. Alexander motis ab Oncheſto caſtris, propius ad Thebanam vrbem iuxta Iolai lucum venit. Eò loci caſtra fixit, Thebanis mora conceſſa, ſi fortè facinoris ſui pœnitentia ducti legatos ad eum mitterẽt. Illi verò tãtum abfuit vt aliquod compoſitionis inuitamentum præberent, vt confeſtim ex vrbe prouentes equites & velites nõ pauci in ipſas vſq; exercitus procubias tela mitterent, ac nonnullos Macedonũ interficerent. Alexãder viciſsim ſagittarios leuiſq; armaturæ milites emittit, qui illorũ excurſionẽ reprimant: paruóq; negotio eos iam exercitum ipſum laceſſentes repreſſerunt. Poſtero die vniuerſum exercitũ ad portas quæ Eleutheras atq; Atticã petũt, ducens, ne tũ quidẽ ad muros ꝓmouit, ſed haud procul à Cadmæa arce caſtra locat, vt illis Macedonibus, qui Cadmæã tenebãt, vicinia vſui eſſe poſſet. Thebani enim arcẽ illã duplici vallo in orbẽ iacto ſepſerãt: ita vt neq; extrinſecus quiſquã ſubſidio venire obſeſsis poſſet, neque ipſi excurrentes, ſuos lædere, cũ hoſtibus qui foris erant cõgredientes. Alexander, qui ad Thebanos amicitię potius fructum, quàm periculoſum obſidionis euentum peruenire cupiebat, in caſtris ad Cadmæam arcem morã trahebat. Thebanorũ nõnulli, qui quid maximè è republica eſſet norant, ad Alexandrum eundũ eſſe cenſebãt, & veniã defectionis multitudini implorandam. Exules verò quiq; illos aduocarant, Alexãdri benignitatẽ experturos ſe nõ putãtes, nonnulli etiã Bœotorum primores, plebẽ omnib⁹ rationibus ad bellũ incitabãt. Sed ne ſic quidẽ Alexan-

Vet. l. Ἀντιπάτρῳ. Ed. ſup. Ἀντιπάτρου. Fac. interpr. Ab Antipatro.

Fac. Aëropi filium. Sed vet. lib. accuſ. habet, non genitiuum.

A λεγῆναι. πιθανώτεροι δὲ ἐς τὸ πλῆθος ἐφαίνοντο, τεθνηκέναι Ἀλέξανδρον ἰσχυριζόμενοι ἐν Ἰλλυριοῖς. καὶ γὰρ καὶ πολὺς ὁ λόγος οὗτος, καὶ παρὰ πολλῶν ἐφοίτα· ὅτι τε χρόνον ἀπῆν οὐκ ὀλίγον, καὶ ὅτι οὐδεμία ἀγγελία παρ' αὐτοῦ ἀφῖκτο. ὥστε (ὅπερ φιλεῖ ἐν τοῖς τοιοῖσδε) οὐ γινώσκοντες τὰ ὄντα, τὰ μάλιστα καθ' ἡδονὴν σφίσιν εἴκαζον. πυθομένῳ δὲ Ἀλεξάνδρῳ τὰ τῶν Θηβαίων, οὐδαμῶς ἐδόκει ἀμελητέα εἶναι· τήν τε τῶν Ἀθηναίων πόλιν δι' ὑποψίας ἐκ πολλοῦ ἔχοντι, καὶ τῶν Θηβαίων τὸ τόλμημα οὐ φαῦλον ποιουμένῳ· εἰ Λα-
B κεδαιμόνιοί τε πάλαι ἤδη ταῖς γνώμαις ἀφεστηκότες, καί τινες καὶ ἄλλοι τῶν ἐν Πελοποννήσῳ· καὶ Αἰτωλοὶ οὐ βέβαιοι ὄντες, συνεπιλήψονται τοῦ νεωτερισμοῦ τοῖς Θηβαίοις. ἄγων δὴ παρὰ τὴν Ἑορδαίαν τε καὶ τὴν Ἐλυμιῶτιν, καὶ παρὰ τὰ τῆς Στυμφαίας καὶ Παρυαίας ἄκρα, ἑβδομαῖος ἀφικνεῖται ἐς Πελλήνην τῆς Θετταλίας. ἔνθεν δὲ ὁρμηθεὶς, ἕκτῃ ἡμέρᾳ ἐσβάλλει ἐς τὴν Βοιωτίαν. ὥστε οὐ πρόσθεν οἱ Θηβαῖοι ἔμαθον εἴσω Πυλῶν παρεληλυθότα αὐτὸν, πρὶν ἐν Ὀγχηστῷ γενέσθαι ξὺν τῇ στρατιᾷ πάσῃ. καὶ τότε δὲ οἱ πράξαντες τὴν ἀ-
C πόστασιν στράτευμα ἐκ Μακεδονίας Ἀντιπάτρῳ ἀφῖχθαι ἔφασκον. αὐτὸν δὲ Ἀλέξανδρον τεθνάναι ἰσχυρίζοντο, καὶ τοῖς ἀπαγγέλλουσιν ὅτι οὗτος αὐτὸς προσάγει Ἀλέξανδρος, χαλεπῶς εἶχον. ἄλλον γάρ τινα ἥκειν Ἀλέξανδρον, τὸν Ἀερόπου. ὁ δὲ Ἀλέξανδρος ἐξ Ὀγχηστοῦ ἄρας, τῇ ὑστεραίᾳ προσῆγε πρὸς τὴν πόλιν τῶν Θηβαίων, κατὰ τὸ Ἰολάου τέμενος. οὗ δὴ καὶ ἐστρατοπέδευσεν, ἐνδιδοὺς ἔτι τοῖς Θηβαίοις τριβὴν, εἰ μεταγνόντες ἐπὶ τοῖς κακῶς ἐγνωσμένοις, πρεσβεύσαιντο παρ' αὐτόν. οἱ δὲ τοσούτου ἐδέησαν ἐνδόσιμόν τι πα-
D ρασχεῖν ἐς ξύμβασιν, ὥστε ἐκθέοντες ἐκ τῆς πόλεως, οἵ τε ἱππεῖς, καὶ τῶν ψιλῶν, οὐκ ὀλίγοι, ἔστε ἐπὶ τὸ στρατόπεδον ἠκροβολίζοντο ἐς τὰς προφυλακὰς, καί τινας καὶ ἀπέκτειναν οὐ πολλοὺς τῶν Μακεδόνων. καὶ Ἀλέξανδρος ἐκπέμπει τῶν ψιλῶν καὶ τοξοτῶν, ὥστε ἀναστεῖλαι τὴν ἐκδρομήν. καὶ οὗτοι οὐ χαλεπῶς ἀνέστειλαν, ἤδη τῷ στρατοπέδῳ αὐτῷ προσφερομένους. τῇ δὲ ὑστεραίᾳ ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν, καὶ περιελθὼν κατὰ τὰς πύλας τὰς φερούσας ἐπ' Ἐλευθεράς τε καὶ τὴν Ἀττικὴν, οὐδὲ τότε προσέμιξε τοῖς
E τείχεσιν αὐτοῖς, ἀλλ' ἐστρατοπέδευσεν, οὐ πολὺ ἀπέχων τῆς Καδμείας· ὥστε ἐγγὺς εἶναι ὠφέλειαν τῶν Μακεδόνων τοῖς τὴν Καδμείαν ἔχουσιν. οἱ γὰρ Θηβαῖοι τὴν Καδμείαν διπλῷ χάρακι ἐφρούρουν ἀποτειχίσαντες, ὡς μήτε ἔξωθεν τινὰ τοῖς ἐγκατειλημμένοις δύνασθαι ἐπωφελεῖν, μήτε αὐτοὺς ἐκθέοντας βλάπτειν τοὺς σφᾶς, ὁπότε τοῖς ἔξω πολεμίοις προσφέροιντο. Ἀλέξανδρος δὲ (ἔτι γὰρ τοῖς Θηβαίοις διὰ φιλίας ἐλθεῖν μᾶλλόν τι ἢ διὰ κινδύνου ἤθελε) διέτριβε πρὸς τῇ Καδμείᾳ κατεστρατοπεδευκώς. ἔνθα δὴ τῶν Θη-
F βαίων οἱ μὲν τὰ βέλτιστα ἐς τὸ κοινὸν γιγνώσκοντες, ἐξελθεῖν ὥρμηντο παρ' Ἀλέξανδρον, καὶ εὑρέσθαι συγγνώμην τῷ πλήθει τῶν Θηβαίων τῆς ἀποστάσεως· οἱ φυγάδες δὲ, καὶ ὅσοι τοὺς φυγάδας ἐπικεκλημένοι ἦσαν, οὐδενὸς φιλανθρώπου τυχεῖν αὖ παρ' Ἀλεξάνδρου ἀξιοῦντες, ἄλλως τε καὶ βοιωταρχοῦντες εἰσὶν οἱ αὐτῶν, παντάπασιν ἐνῆγον τὸ πλῆθος ἐς τὸν πόλεμον. Ἀλέξανδρος δὲ οὐδ' ὣς τῇ

πόλει προσέβαλεν. ἀλλὰ λέγει Πτολεμαῖος ὁ Λά- A γου ὅτι Περδίκκας προστεταγμένος τῆς φυλακῆς τοῦ στρατοπέδου σὺν τῇ αὐτοῦ τάξει, καὶ τοῦ χάρακος τῶν πολεμίων οὐ πολὺ ἀφεστηκώς, οὐ προσμείνας πρὸς Ἀλέξανδρον τὸ ἐς τὴν μάχην ξύνθημα, αὐτὸς πρῶτος προσέμιξε τῷ χάρακι· καὶ διασπάσας αὐτόν, ἐνέβαλεν ἐς τῶν Θηβαίων τὴν προφυλακήν. τούτῳ δὲ ἑπόμενος Ἀμύντας ὁ Ἀνδρομένους, ὅτι καὶ ξυντεταγμένος τῷ Περδίκκᾳ ἦν, ἐπήγαγε καὶ αὐτὸς τὴν αὑτοῦ τάξιν, ὡς εἶδε τὸν Περδίκκαν προεληλυθότα εἴσω τοῦ χάρακος. ταῦτα δὲ ἰδὼν Ἀλέξανδρος, ὡς μὴ B μόνοι ἀπολειφθέντες, πρὸς τῶν Θηβαίων κινδυνεύσειαν, ἐπῆγε τὴν ἄλλην στρατιάν. καὶ τοὺς μὲν τοξότας καὶ τοὺς Ἀγριᾶνας ἐκδραμεῖν ἐσήμηνεν εἴσω τοῦ χάρακος, τὸ δὲ ἄγημα καὶ τοὺς ὑπασπιστὰς ἔτι ἔξω κατεῖχεν. ἔνθα δὴ Περδίκκας μὲν τοῦ δευτέρου χάρακος εἴσω παρελθεῖν βιαζόμενος, αὐτὸς μὲν βληθεὶς πίπτει αὐτοῦ, καὶ ἀποκομίζεται κακῶς ἔχων ἐπὶ τὸ στρατόπεδον· καὶ χαλεπῶς διεσώθη ἀπὸ τοῦ τραύματος. τοὺς μέντοι Θηβαίους ἐς τὴν κοίλην ὁδὸν τὴν κατὰ C τὸ Ἡράκλειον φέρουσαν οἱ ἅμα αὐτῷ εἰσπεσόντες ὁμοῦ τοῖς παρ' Ἀλεξάνδρῳ τοξόταις συνέκλεισαν· καὶ ἔστι μὲν πρὸς τὸ Ἡράκλειον ἀναχωροῦσιν εἵποντο τοῖς Θηβαίοις· ἐντεῦθεν δὲ ἐπιστρεψάντων αὖθις σὺν βοῇ τῶν Θηβαίων, φυγὴ τῶν Μακεδόνων γίγνεται. καὶ Εὐρυβώτας τε ὁ Κρὴς πίπτει ὁ τοξάρχης, καὶ αὐτῶν τῶν τοξοτῶν ἐς ἑβδομήκοντα· οἱ δὲ λοιποὶ κατέφυγον πρὸς τὸ ἄγημα τὸ τῶν Μακεδόνων, καὶ τοὺς ὑπασπιστὰς τοὺς βασιλικούς. κἀν τούτῳ Ἀλέξανδρος τοὺς μὲν αὑτοῦ φεύγοντας κατιδών, τοὺς Θηβαίους δὲ λελυκό- D τας ἐν τῇ διώξει τὴν τάξιν, ἐμβάλλει ἐς αὐτοὺς συντεταγμένῃ τῇ φάλαγγι. οἱ δὲ ὠθοῦσι τοὺς Θηβαίους εἴσω τῶν πυλῶν· καὶ τοῖς Θηβαίοις ἐς τοσόνδε ἡ φυγὴ φοβερὰ ἐγίγνετο, ὥστε διὰ τῶν πυλῶν ὠθούμενοι ἐς τὴν πόλιν, οὐκ ἔφθησαν συγκλεῖσαι τὰς πύλας· ἀλλὰ συνεμπίπτουσι γὰρ αὐτοῖς εἴσω τοῦ τείχους, ὅσοι τῶν Μακεδόνων ἐγγὺς φευγόντων εἴχοντο (ἅτε καὶ τῶν τειχῶν διὰ τὰς προφυλακὰς τὰς πολλὰς ἐρήμων ὄντων)· καὶ παρελθόντες εἰς τὴν Καδμείαν, οἱ μὲν ἐκεῖθεν κατὰ τὸ Ἀμφεῖον σὺν τοῖς κατέχουσι τὴν Καδμείαν E ἐξέβαινον ἐς τὴν ἄλλην πόλιν· οἱ δὲ κατὰ τὰ τείχη ἐχόμενα ἤδη πρὸς τῶν συνεισπεσόντων τοῖς φεύγουσιν ὑπερβαίνοντες, ἐς τὴν ἀγορὰν δρόμῳ ἐφέροντο. καὶ ὀλίγον μέν τινα χρόνον ἔμειναν οἱ τεταγμένοι τῶν Θηβαίων κατὰ τὸ Ἀμφεῖον· ὡς δὲ πανταχόθεν αὐτοῖς οἱ Μακεδόνες καὶ Ἀλέξανδρος ἄλλοτε ἄλλῃ ἐπιφαινόμενος προσέκειντο, οἱ μὲν ἱππεῖς τῶν Θηβαίων διεκπεσόντες διὰ τῆς πόλεως ἐς τὸ πεδίον ἐξέπιπτον, οἱ δὲ πεζοὶ ὡς ἑκάστοις προὐχώρει ἐσώζοντο. ἔνθα δὴ ὀργῇ οὐχ ὅπως τι οἱ Μακεδόνες, ἀλλὰ Φωκεῖς τε καὶ Πλαταιεῖς καὶ οἱ ἄλλοι δὲ Βοιωτοί, οὐδὲ ἀμυνομένους ἔτι τοὺς Θηβαίους F οὐδενὶ κόσμῳ ἔκτεινον, τοὺς μὲν, ἐν ταῖς οἰκίαις ἐπεισπίπτοντες, τοὺς δὲ, ἐς ἀλκὴν τετραμμένους, τοὺς δὲ, καὶ πρὸς ἱεροῖς ἱκετεύοντας· οὔτε γυναικῶν, οὔτε παίδων φειδόμενοι. καὶ πάθος τοῦτο Ἑλληνικὸν, μεγέθει τε τῆς ἁλούσης πόλεως καὶ ὀξύτητι τοῦ ἔργου, οὐχ ἥκιστα δὲ τῷ παραλόγῳ ἔς τε τοὺς παθόντας καὶ τοὺς δράσαντας, οὐ μεῖόν τι τοὺς ἄλλους Ἕλληνας ἢ καὶ αὐτοὺς τοὺς μετασχόντας τοῦ ἔργου ἐξέπληξε.

der vrbem oppugnare cœpit. At Ptolemeus Lagi filius ſcribit, Perdiccã præſidij caſtrẽſis præfectum quum ab hoſtium vallo non multum cum ſuis copiis abeſſet, non expectato "ſigno conflictus, primum in vallum impetum feciſſe, eóque ſubuerſo, in Thebanorũ præſidium irruiſſe. Hunc ſequutum Amyntam Andromenis filium, qui cõiunctas cum Perdicca copias ſuas habebat, ſimulac Perdiccam intra vallum progreſſum videret, ſuam etiam cohortem immiſiſſe. Alexander id conſpicatus, ne ſui ſoli relicti à Thebanis circumuenirẽtur, reliquum exercitum inuexit: & ſagittariis quidem atque Agrianis intra vallum ire iuſsis, agmina & ſcutatos extra vallum continet. Ibi Perdiccas, dum interius vallum penetrare conatur, telo "ictus procidit, & grauiter ſaucius in caſtra defertur: atque ægrè ex eo vulnere curatus eſt. Ac Thebanos quidem ij qui cum Perdicca vallum perruperant, vnà cum Alexandri ſagittariis, in cauam viam, quæ ad Herculis templũ fert, concludunt: & quamdiu templum verſus ſe recipiunt, perſequuntur: ſed inde conuerſis rurſum cum clamore Thebanis, Macedones ſe in fugam coniiciunt. atque Eurybotas quidem Cretenſis ſagittariorũ præfectus cadit, & ſagittariorum circiter ſeptuaginta, reliqui ad agmen Macedonum & ſcutatos " Baſilizi confugerunt. Alexander animaduerſa ſuorum fuga, & temeraria ac confuſa Thebanorum perſecutione, inſtructa phalange in eos fertur, cóſque intra portas præcipites agit. Tantus autem fugientium metus ac perturbatio erat, vt quum per portas in vrbem repellerentur, ne de claudendis quidem portis cogitarent: ſed quotquot Macedones fugientibus imminebãt, vnà cum ipſis intra muros ſeſe coniicerent: quippe quòd muri, ob frequentia præſidia, ꝓpugnatoribus vacui eſſent. Quúmque ad Cadmeam arcem progrederentur, alij quidem inde, ſecus Amphionis templum, vnà cum iis qui Cadmeam arcem occupabant, in aliam vrbis partem exierunt, alij, ſecus mœnia quæ iam ab iis qui vnà cum fugientibus illapſi in vrbem erant, tenebantur, curſim ad forum ferebantur. Ac Thebanorum quidem præfecti aliquanto tempore ad Amphionis templum ſubſtitêre: cæterùm quum ex omni parte Alexander cum Macedonibus ſuperueniens premeret, equites quidem Thebani per vrbem diffuſi in campos procurrerunt: peditum, vt quiſque potuit, ſalutem ſibi quæſiuit. At verò ira perciti non tam Macedones, quàm Phocenſes & Plataenſes, aliíque Bœoti Thebanos non iam reſiſtentes, nullo modo adhibito, trucidant: alios, irruptione in eorum ædes facta: alios, ad arma conuerſos, alios ad templa confugientes ac ſupplices: neque mulieribus neq; pueris parcentes. Porrò clades iſta Græcanica, cũ magnitudine vrbis captæ, tum celeritate rei, quódque adeò præter opinionem tam eorũ qui ea affecti eſſent, quàm qui affeciſſent, accidiſſet, non minus alios Græcos, q̃ eos qui "eius ſeditionis participes fuerant, perculſos tenuit.

Vel, Alexandri imperio.

Edit. ſup. αὐτὸς δὲ κλ...θεὶς habet pro αὐτὸς μὲν βληθεὶς.

Cod. vet. habet, τῶν Βασιλίζου: ex cuſus, τοὺς βασιλικούς.

Ipſius prælii pars fuerit. Vel, ipſi diſcriminis interfuerant.

Nanque Atheniēſium clades apud Siciliam accepta, tametſi interfectorum numero non minorem calamitatem vrbi attulit: tamen quoniam procul à domo exercitus perierat, iſque potius ex auxiliaribus quàm domeſticis copiis conſcriptus fuerat, quódque vrbs illis ſalua relicta eſſet, qua in poſterum cum Lacedæmoniis corúmque ſociis, & magno rege bellum gerentes, diu reſiſtere poſſent, neque ipſis tantum calamitatis ſenſum inflixit, neque reliquis Græcis parem cladis admirationem conſternationémque incuſsit. Rurſus alia Athenienſium ad AEgos fluenta clades naualis fuit: at vrbs nulla alia calamitate accepta, præter quàm quod longi muri diruti, multæque naues amiſſæ, & imperium aliqua ex parte imminutum erat, formam tamen decorémque patrium retinuit, priſtinámque poteſtatem, exiguo tempore pòſt recepit, ita vt & muros inſtaurarit, & maris imperium recuperarit, vtque Lacedæmonii, qui tum tēporis maximè formidabiles ipſis erant, & parum aberat quin vrbem euerterent, ipſi ſe contrà è ſummis periculis ægrè conſeruarint. At Lacedęmoniorum ad Leuctra ac Mantineam clades, inopinato potius calamitatis euentu, quàm cæſorum multitudine, Lacedæmonios perterrefecit. Sed & Bœotorum & Arcadum cum Epaminonda ad Spartam pugna, inſolentia ſpectaculi potius, quàm magnitudine periculi, & Lacedæmonios, & alios, ad quos infortunium illud communiter pertinebat, perculit. Platæenſium verò vrbis expugnatio ob paucitatem captorum (plerique enim multò antè Athenas profugerant) minus calamitoſa eſt habita. Porro Melus & Scione inſularia oppidula capta, dedecus potius victoribus quàm Græcis admirationem attulêre. At Thebanorum repentina atque incōſiderata defectio, eiúſque adeo breuis ac facilis expugnatio, ſtrages etiam multa, vtpote à tribulibus, & quidem iis veteres inimicitias perſequentibus, edita, totius denique vrbis direptio, quæ potentia bellicáque gloria inter Græciæ ciuitates eminebat, haud immeritò ad diuini numinis iram referebatur: nimirum de Thebanis, quòd Medico bello Græcos prodidiſſent, tandem pœnas exigentis: quòd Platæēſes violatis induciis oppreſsiſſent, vrbémque eorum penitus diripuiſſent: quòd eos qui ſe Lacedæmoniis dedidiſſent, præter Græcorū morem trucidaſſent: quódque eam vrbem vaſtaſſent, ex qua Græci in Medos aciem inſtruentes, periculum totius Græciæ ceruicibus auertiſſent: quódque Athenienſes ſuo etiam ſuffragio perdidiſſent, quum inter Lacedæmoniorum confœderatos de diripienda vrbe conſultaretur. Porrò ante illam vrbis calamitatem, multis prodigiis diuinitus editis monitos eos fuiſſe ferunt, quæ quidem tum temporis negligebantur: poſtea memoria repetita in eam cogitationem venerunt, illa quæ eueniſſent, iis prodigiis ſignificata fuiſſe. Alexander auxiliari-

Vel, Lacedæmonios ipſi viciſſim ſumm. per. liberarint.
Atque ita non mutatur αὐτοὺς in αὐτούς,

A τὰ μὲν γὰρ περὶ Σικελίαν Ἀθηναίοις ξυνενεχθέντα, εἰ καὶ πλήθει τῶν ἀπολομένων οὐ μείονα τὴν ξυμφορὰν τῇ πόλει ἤνεγκεν, ἀλλὰ τῷ τε πόρρω ἀπὸ τῆς οἰκείας διαφθαρῆναι αὐτοῖς τὸν στρατὸν, καὶ τὸν πολὺν, ξυμμαχικὸν μᾶλλον ἢ οἰκεῖον ὄντα, καὶ τῷ τὴν πόλιν αὐτοῖς περιλειφθῆναι, ὡς καὶ ἐς ὕστερον ἐπὶ πολὺ τῷ πολέμῳ ἀντισχεῖν, Λακεδαιμονίοις τε καὶ τοῖς ξυμμάχοις καὶ μεγάλῳ βασιλεῖ πολεμοῦντας. οὔτε αὐτοῖς τοῖς παθοῦσιν ἴσην τὴν αἴσθησιν τῆς ξυμφορᾶς προσέθηκεν, οὔτε τοῖς ἄλλοις Ἕλλησι τὴν B ἐπὶ τῷ πάθει ἔκπληξιν ὁμοίαν παρέσχε. καὶ τὸ ἐν Αἰγὸς ποταμοῖς αὖθις Ἀθηναίων πταῖσμα, ναυτικόν τε ἦν, καὶ ἡ πόλις οὐδὲν ἄλλο ὅτι μὴ τῶν μακρῶν τειχῶν καθαιρέσει, καὶ νεῶν τῶν πολλῶν παραδόσει, καὶ στερήσει τῆς ἀρχῆς, ἐς ταπεινότητα ἀφικομένη, τό, τε σχῆμα τὸ πάτριον ὅμως ἐφύλαξε, καὶ τὴν δύναμιν οὐ διὰ μακροῦ τὴν παλαιὰν ἔλαβεν· ὥστε τά τε μακρὰ τείχη ἐκτειχίσαι, καὶ τῆς θαλάσσης αὖθις ἐπικρατῆσαι, καὶ τοὺς τότε φοβεροὺς σφίσι Λακεδαιμονίους καὶ παρ᾽ ὀλίγον ἐλθόντας ἀφανίσαι τὴν πόλιν, αὐ- C τοὺς ἐν τῷ μέρει ἐκ τῶν ἐσχάτων κινδύνων διασώσασθαι. Λακεδαιμονίων τε αὖ τὸ κατὰ Λεῦκτρα καὶ Μαντίνειαν πταῖσμα, τῷ παραλόγῳ μᾶλλόν τι τῆς ξυμφορᾶς ἢ τῷ πλήθει τῶν τε ἀπολομένων τοὺς Λακεδαιμονίους ἐξέπληξεν· ἥ τε ξὺν Ἐπαμεινώνδᾳ Βοιωτῶν καὶ Ἀρκάδων γενομένη προσβολὴ πρὸς τὴν Σπάρτην, καὶ αὐτὴ τῷ ἀήθει τῆς ὄψεως μᾶλλον ἢ τῇ ἀκριβείᾳ τοῦ κινδύνου αὐτούς τε τοὺς Λακεδαιμονίους καὶ τοὺς ξυμμετασχόντας αὐτοῖς τῶν τότε πραγμάτων D ἐφόβησεν. ἡ δὲ δὴ Πλαταιέων ἅλωσις τῆς πόλεως, τῇ σμικρότητι τῶν καταληφθέντων, (ὅτι οἱ πολλοὶ αὐτῶν διαπεφεύγεσαν πάλαι ἐς τὰς Ἀθήνας,) οὐ μέγα πάθημα ἐγένετο. καὶ ἡ Μήλου καὶ Σκιώνης ἅλωσις, νησιωτικά τε πολίσματα ἦν, καὶ τοῖς δράσασιν αἰσχύνην μᾶλλόν τι προσέβαλεν ἢ ἐς τὸ ξύμπαν Ἑλληνικὸν μέγαν τὸν παράλογον παρέσχε. Θηβαίοις δὲ τά τε τῆς ἀποστάσεως ὀξέα καὶ ξὺν οὐδενὶ λογισμῷ γενόμενα, καὶ ἡ ἅλωσις δι᾽ ὀλίγου τε καὶ οὐ ξὺν πόνῳ τῶν ἑλόντων ξυνενεχθεῖσα, καὶ ὁ φόνος πολὺς, οἷα δὴ ἐξ ὁμο- E φύλων τε καὶ παλαιὰς ἀπεχθείας ἐπεξιόντων, καὶ ὁ τῆς πόλεως παντελὴς ἀνδραποδισμὸς, δυνάμει τε καὶ δόξῃ ἐς τὰ πολέμια τῶν τότε προεχόντων ἐν τοῖς Ἕλλησιν, οὐκ ἔξω τοῦ εἰκότος εἰς μῆνιν τὴν ἀπὸ τοῦ θείου ἀνηνέχθη. ὡς τῆς τε ἐν τῷ Μηδικῷ πολέμῳ προδοσίας τῶν Ἑλλήνων διὰ μακροῦ ταύτην δίκην ἐκτίσαντας Θηβαίους, καὶ τῆς Πλαταιέων ἐν ταῖς σπονδαῖς καταλήψεως, καὶ τοῦ παντελοῦς ἀνδραποδισμοῦ τῆς πόλεως, καὶ τῆς τῶν παραδόντων σφᾶς Λακεδαιμονίοις οὐχ Ἑλληνικῆς γενομένης διὰ Θη- F βαίους σφαγῆς, καὶ τοῦ χωρίου τῆς ἐρημώσεως, ἐν ὅτῳ οἱ Ἕλληνες παραταξάμενοι Μήδοις, ἀπώσαντο τῆς Ἑλλάδος τὸν κίνδυνον· καὶ ὅτι Ἀθηναίους αὐτοὶ τῇ ψήφῳ ἀπώλλυον, ὅτε ὑπὲρ ἀνδραποδισμοῦ τῆς πόλεως γνώμη προὐτέθη ἐν τοῖς Λακεδαιμονίων ξυμμάχοις. ἐπεὶ καὶ πρὸ τῆς ξυμφορᾶς πολλὰ ἀπὸ τοῦ θείου ἐπισημῆναι ἐλέγετο, ἃ δὴ ἐν μὲν τῷ παραυτίκα ἠμελήθη. ὕστερον δὲ ἡ μνήμη αὐτὰ ἐς λογισμὸν τοῦ ἐκπάλαι ἐπὶ τοῖς ξυνενεχθεῖσι προσημανθῆναι ἀνήνεγκε. τοῖς δὲ μετασχοῦσι τοῦ ἔργου ξυμμάχοις, (οἷς δὴ καὶ

ἐπέτρεψεν Ἀλέξανδρος τὰ κατὰ τὰς Θήβας διαθεῖναι) τὴν μὲν Καδμείαν φρουρᾷ κατέχειν ἔδοξε, τὴν πόλιν δὲ κατασκάψαι εἰς ἔδαφος, καὶ τὴν χώραν κατανεῖμαι τοῖς ξυμμάχοις, ὅση μὴ ἱερὰ αὐτῆς· παῖδας δὲ καὶ γυναῖκας, καὶ ὅσοι ὑπελείποντο Θηβαίων, πλὴν τῶν ἱερέων τε καὶ ἱερειῶν, καὶ ὅσοι ξένοι Φιλίππου ἢ Ἀλεξάνδρου, ἢ ὅσοι πρόξενοι Μακεδόνων ἐγένοντο, ἀνδραποδίσαι. καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν ὅτι διεφύλαξεν Ἀλέξανδρος, αἰδοῖ τῇ Πινδάρου· ἐπὶ τούτοις Ὀρχομενόν τε καὶ Πλαταιὰς ἀναστῆσαί τε καὶ τειχίσαι οἱ ξύμμαχοι ἔγνωσαν. ἐς δὲ τοὺς ἄλλους Ἕλληνας ὡς ἐξηγγέλθη τῶν Θηβαίων τὸ πάθος, Ἀρκάδες μὲν ὅσοι βοηθήσοντες Θηβαίοις ἀπὸ τῆς οἰκείας ὡρμήθησαν, θάνατον κατεψηφίσαντο τῶν ἐπαράντων σφᾶς ἐς τὴν βοήθειαν, Ἠλεῖοι δὲ τοὺς φυγάδας σφῶν κατεδέξαντο, ὅτι ἐπιτήδειοι Ἀλεξάνδρου ἦσαν· Αἰτωλοὶ δὲ πρεσβείας σφῶν κατὰ ἔθνη πέμψαντες, ξυγγνώμης τυχεῖν ἐδέοντο, ὅτι καὶ αὐτοί τι πρὸς τὰ παρὰ τῶν Θηβαίων ἀπαγγελθέντα ἐνεωτέρισαν. Ἀθηναῖοι δὲ, μυστηρίων τῶν μεγάλων ἀγομένων, ὡς ἧκόν τινες τῶν Θηβαίων ἐξ αὐτοῦ τοῦ ἔργου, τὰ μὲν μυστήρια ἐκπλαγέντες ἐξέλιπον, ἐκ δὲ τῶν ἀγρῶν ἐσκευαγώγουν ἐς τὴν πόλιν. ὁ δῆμος δὲ ἐς ἐκκλησίαν συνελθὼν, Δημάδου γράψαντος, δέκα πρέσβεις ἐκ πάντων Ἀθηναίων ἐπιλεξάμενος, πέμπει παρὰ Ἀλέξανδρον, οὕστινας ἐπιτηδειοτάτους Ἀλεξάνδρῳ ἐγίγνωσκον· ὅτι τε σῶος ἐξ Ἰλλυριῶν καὶ Τριβαλλῶν ἐπανῆλθε, χαίρειν τὸν δῆμον τῶν Ἀθηναίων, οὐκ ἐν καιρῷ ἀπαγγέλλοντας, καὶ ὅτι Θηβαίοις τοῦ νεωτερισμοῦ ἐτιμωρήσατο. ὁ δὲ τὰ μὲν ἄλλα φιλανθρώπως πρὸς τὴν πρεσβείαν ἀπεκρίνατο· ἐπιστολὴν δὲ γράψας πρὸς τὸν δῆμον, ἐξῄτει τοὺς ἀμφὶ Δημοσθένην καὶ Λυκοῦργον· καὶ Ὑπερείδην δὲ ἐξῄτει, καὶ Πολύευκτον, καὶ Χάρητα, καὶ Χαρίδημον, καὶ Ἐφιάλτην, καὶ Διότιμον, καὶ Μοιροκλέα· τούτους γὰρ αἰτίους εἶναι τῆς τε ἐν Χαιρωνείᾳ ξυμφορᾶς τῇ πόλει γενομένης, καὶ τῶν ὕστερον ἐπὶ τῇ Φιλίππου τελευτῇ πλημμεληθέντων ἔς τε αὐτὸν καὶ ἐς Φίλιππον. καὶ Θηβαίοις δὲ τῆς τε ἀποστάσεως ἀπέφαινεν αἰτίους οὐ μεῖον ἢ τοὺς αὐτῶν Θηβαίων νεωτερίσαντας. Ἀθηναῖοι δὲ τοὺς μὲν ἄνδρας οὐκ ἐξέδοσαν, πρεσβεύονται δὲ αὖθις παρὰ Ἀλέξανδρον, ἀφεῖναι δεόμενοι τὴν ὀργὴν τοῖς ἐξαιτηθεῖσι· καὶ Ἀλέξανδρος ἀφῆκε, τυχὸν μὲν, αἰδοῖ τῆς πόλεως, τυχὸν δὲ, σπουδῇ τοῦ ἐς τὴν Ἀσίαν στόλου, οὐκ ἐθέλων οὐδὲν ὕποπτον ἐν τοῖς Ἕλλησιν ὑπολείπεσθαι· Χαρίδημον μέντοι, μόνον τῶν ἐξαιτηθέντων τε καὶ οὐ δοθέντων, φεύγειν ἐκέλευσε· καὶ φεύγει Χαρίδημος ἐς τὴν Ἀσίαν παρὰ βασιλέα Δαρεῖον.

Ταῦτα δὲ διαπραξάμενος ἐπανῆλθεν εἰς Μακεδονίαν· καὶ τῷ τε Διὶ τῷ Ὀλυμπίῳ τὴν θυσίαν τὴν ἀπ' Ἀρχελάου ἔτι καθεστῶσαν ἔθυσε, καὶ τὸν ἀγῶνα ἐν Αἰγαῖς διέθηκε τὰ Ὀλύμπια· οἱ δὲ καὶ ταῖς Μούσαις λέγουσιν ὅτι ἀγῶνα ἐποίησε· καὶ ἐν τούτῳ ἀγγέλλεται τὸ Ὀρφέως τοῦ Οἰάγρου τοῦ Θρᾳκὸς ἄγαλμα, τὸ ἐν Πιερίδι, ἱδρῶσαι ξυνεχῶς. καὶ ἄλλοι ἄλλα ἐπεθείαζον τῶν μάντεων· Ἀρίστανδρος δὲ, ἀνὴρ Τελμισσεὺς μάντις, θαρρεῖν ἐκέλευσεν Ἀλέξανδρον· δηλοῦσθαι γὰρ ὅτι ποιηταῖς ἐπῶν τε καὶ μελῶν, καὶ ὅσοι ἀμφὶ ᾠδὴν ...

bus copiis ob præſtitam in ea expugnatione operam, de iis quæ in vrbe erant vt pro ſuo arbitratu ſtatuant permittit. Cadmeam arcem præſidio firmandam ſtatuit, vrbem ſolo adæquat. Adhæc agros, niſi qui ſacri eſſent, inter ſocios diſtribuit. Pueros & fœminas, ac quotquot Thebanorum cædibus ſuperfuiſſent (exceptis ſacerdotibus vtriuſque ſexus, atque iis qui Philippo aut Alexandro priuatim, aut Macedonibus hoſpitalitatis iure deuincti eſſent) in ſeruitutem redigit. Pindari verò poetæ domum, eiúſque ſtirpem ab Alexandro, Pindari reuerentia ductó, ſartam tectam conſeruatam ferunt. Orchomenum & Plateas ſocij Alexādri inſtaurant, & muro cingunt. Poſtquam ad reliquos Græcos Thebanorum clades perlata eſt, Arcades quotquot Thebanis ſuppetias laturi domibus ſuis pedem extulerant, in eos qui ſubſidij mittendi autores ipſis fuerant, mortis ſententiam ferunt. Elæi exules ſuos, quòd Alexandro familiares eſſent, recipiunt. AEtolorum vrbes ſigillatim legatos ad Alexandrum mittunt, veniā deprecantes, ꝙ & ipſi nuntiata Thebanorū defectione, nouis reb. ſtuduiſſent. Athenienſes verò quum per id tempus magna myſteria celebrarent, & Thebanorū nonnulli ex recenti clade eò veniſſent, attoniti, myſteria intermittunt, & ſarcinas ex agris in vrbē cōuehunt. Deinde populo in concionē vocato, Demade decernēte, & decē legatos ex omnibus Athenienſibus ſeligente, ad Alexandrū, quos maximè gratos ei fore putabant, mittunt: qui publicam Athenienſium lætitiā, ꝙ ab Illyriis & Triballis incolumis rediiſſet, ei ſignificarēt: quódq; Thebanorū ſeditionē vltus eſſet. Alexāder, quoad cætera humaniter ad eorum legationem reſpōdens, epiſtolā ad populū Athenienſem ſcripſit, qua Demoſthenē, Lycurgū, Hyperidem, Polyeuctū, Charetem, Charidemū, Ephialtē, Diotimum & Mœroclem ſibi dari poſtulabat. Hos enim autores cladis Chæronenſis eſſe ſtatuebat, omniúmq; facinorū quæ deinceps aduerſus ſe pariter & Philippum tentata fuiſſent: Thebanos denique nō minus ab hiſce, quàm ab iis qui in vrbe res nouas moliti erant, ad defectionē ſollicitatos eſſe. Athenienſes, iis quos poſcebat nondū deditis, alios rurſū legatos ad eū mittunt, iram aduerſus eos quos ad ſuppliciū depoſcebat, vt remittat, orātes. Quod quidē fecit, ſiue reuerētia vrbis, ſiue ſtudio traiiciēdi in Aſiā, nihil ſuſpectū in Grecia relinquere volēs. Vnū Charidemū ex omnibus quos popoſcerat, & q dediti non erāt, exulare iuſſit. Charidemus in Aſiā ad Dariū regē profugit.

His rebus geſtis in Macedoniā reuerſus, Ioui Olympico ſacrū fecit iam antea ab Archelao inſtitutū, & certamē Olympicum apud AEgas fieri curauit. Sunt qui & Muſis ludos feciſſe dicant. Per id tempus nuntiatum eſt Orphei OEagri F. Thracis ſtatuam in Pieria cōtinuè ſudaſſe. Varia fuit vatū de hoc prodigio ſententia: Ariſtāder verò Telmiſſeus, vates eximius, Alexandrum bono animo eſſe iubet. ſignificari enim, cuiuſuis generis poetas magnoperè laboraturos in Alexan-

Vel, Auxiliaribus copiis (quibus Alex. de rebus vrbis pro ſuo arb. ſtatuere permiſerat) Cadm.ar. pr. ſir. & vrbem ſ. æquandā eſſe viſum eſt. Sic in ſequ.

dro eiuſq; rebus geſtis deſcribēdis atq; decantandis. Dehinc ineunte verè, ab Helleſponto ſoluit, Macedoniæ & Græciæ adminiſtratione Antipatro cōmiſſa. Ipſe peditū, vnà cū militibus leuis armaturæ, & ſagittariorū, triginta millia, equitū quinque millia ſecū ducit: & per lacū Cercinitē Amphipolin verſus ad Strymonis fluuii oſtia claſſem agit. Traiecto itaq; Strymone, Pangæū mōtē trāſit, qua Abderam & Maroneam Græcas vrbes ad mare ſitas iter eſt. Inde ad Eurū flumē profectus, etiā hoc nullo negotio tranſmittit. Inde per Pæticā regionē, ad Melana fluuiū venit. Quo etiā traiecto, vigeſimo poſtquā domo diſceſſerat die Seſton peruenit. Inde in Eleūta profectus, Proteſilao ſuper ipſius tumulū ſacrificat: quòd Proteſilaus creditur, Græcorū qui cum Agamemnone ad Ilium militarunt, primus in Aſiam pedem intuliſſe. Sacrificii verò ſcopus hic erat, vt felicior ipſi quàm Proteſilao deſcenſus in Aſiam eſſet. Parmenioni Alexander peditatus maximam partem & equitatum ex Seſto in Abydum traiiciēdi negotium dat: qui quidem triremibus centum & ſexaginta, aliiſq; nauibus onerariis quamplurimis tranſuecti ſunt. Alexandrum ex Eleunte in Achæorum portum nauigaſſe plures ſcribunt, nauiſque prætoriæ gubernatorē fuiſſe: quúmque iam in mediis Helleſponti fluctibus verſaretur, taurum Neptuno ac Nereidibus mactaſſe, aureáque phiala in mare profuſa libaſſe. Ferunt etiam, primùm ex naue cum armis in Aſiæ terram deſcendiſſe, altariáque ſtruxiſſe Ioui deſcenſori, & Mineruæ & Herculi, ibi vnde ex Europa ſoluit, & in eo Aſiæ loco in quem deſcendit. Quúmque in Ilium veniſſet, Palladi Troianæ ſacrificaſſe: vniuerſiſq; armis, quibus vti ſoleret, in eius templo fixis, ſumpſiſſe eorum loco ſacra quædam arma, quæ ex Troiano bello adhuc ſalua erant: quæ quidem arma ſcutatos ante ipſum in prælium geſtare ſolitos narrant. Sacrificaſſe etiam cum Priamo ad Iouis Hercij aram fama tenuit, vt Priami iram aduerſus Neoptolemi progeniem, quæ ad ipſum pertingebat, deprecaretur. Porrò Alexandro Iliū conſcendenti Menœtius regiæ claſſis dux auream coronam impoſuit: poſt hunc, Chares Athenienſis, qui ex Sigeo venerat, atque alii nonnulli, partim Græci, partim illius regionis homines. Sunt qui eum etiam Achillis tumulum coronaſſe dicant: & felicem quidem, vt rumor eſt, nominauit Achillem Alexander, quòd Homerum præconem ad perpetuandam ſuam memoriam nactus eſſet. Neque verò immeritò hac de cauſa Alexandro felix cenſendus Achilles viſus eſt: quum hoc vnum ad reliquam Alexandri felicitatem defuiſſe videatur. Neque enim eius geſta pro dignitate memoriæ prodita ſunt, neque quiſquam ea aut ſoluta oratione aut verſu conſcripſit, aut lyrico carmine cecinit, quemadmodū Hieronis, Gelonis, Theronis, aliorúmq; multorum qui Alexandro comparandi non ſunt. Quo factum eſt vt minus notæ ſint Alexandri res præclarè geſtæ, quàm aliorum veterum vulgaria facta. Siquidem illa decem millium cum Cyro

Vet.cod. Εὔρον. at edit.pr. Ἕβρον. Pac.int. Hebrū.

A ἔχουσι, πολὺς πόνος ἔσται ποιεῖν τε καὶ ᾄδειν Ἀλέξανδρον, καὶ τὰ Ἀλεξάνδρου ἔργα. ἅμα δὲ τῷ ἦρι ἀρχομένῳ ἐξελαύνει ἐφ' Ἑλλησπόντου, τὰ μὲν κατὰ Μακεδονίαν τε καὶ τοὺς Ἕλληνας Ἀντιπάτρῳ ἐπιτρέψας. αὐτὸς δὲ ἄγων πεζοὺς μὲν, σὺν ψιλοῖς τε καὶ τοξόταις, οὐ πολλῷ πλείους τρισμυρίων, ἱππέας δὲ ὑπὲρ τοὺς πεντακισχιλίους. ἦν δὲ αὐτῷ ὁ στόλος παρὰ τὴν λίμνην τὴν Κερκινῖτιν, ὡς ἐπ' Ἀμφίπολιν καὶ τοῦ Στρυμόνος ποταμοῦ τὰς ἐκβολάς. διαβὰς δὲ τὸν Στρυμόνα, παρήμειψε τὸ Πάγγαιον ὄρος τὴν ὡς ἐπ' Ἄβδηρα καὶ Μαρώνειαν πόλεις Ἑλληνίδας, ἐπὶ θαλάσσῃ ᾠκισμένας. B ἔνθεν δὲ ἐπὶ τὸν Εὖρον ποταμὸν ἀφικόμενος, διαβαίνει καὶ τοῦτον εὐπετῶς. ἐκεῖθεν δὲ διὰ τῆς Παιτικῆς ἐπὶ τὸν Μέλανα ποταμὸν ἔρχεται. διαβὰς δὲ καὶ τὸν Μέλανα, ἐς Σηστὸν ἀφικνεῖται ἐν εἴκοσι ταῖς πάσαις ἡμέραις ἀπὸ τῆς οἴκοθεν ἐξορμήσεως. ἐλθὼν δὲ ἐς Ἐλαιοῦντα, θύει Πρωτεσιλάῳ ἐπὶ τῷ τάφῳ τοῦ Πρωτεσιλάου, ὅτι καὶ Πρωτεσίλαος πρῶτος ἐδόκει ἐκβῆναι ἐς τὴν Ἀσίαν τῶν Ἑλλήνων τῶν ἅμα Ἀγαμέμνονι ἐς Ἴλιον στρατευσάντων. καὶ ὁ νοῦς τῆς θυσίας ἦν, ἐπιτυχεστέραν οἱ γενέσθαι ἢ Πρωτεσιλάῳ τὴν ἀπόβασιν. Παρμενίωνα μὲν δὴ τῶν πεζῶν τοὺς πολλοὺς, καὶ τὴν C ἵππον διαβιβάσαι ἐτάχθη ἐκ Σηστοῦ ἐς Ἄβυδον· καὶ διέβησαν τριήρεσι μὲν ἑκατὸν καὶ ἑξήκοντα, πλοίοις δὲ ἄλλοις πολλοῖς στρογγύλοις. Ἀλέξανδρον δὲ ἐξ Ἐλαιοῦντος ἐς τὸν Ἀχαιῶν λιμένα κατᾶραι ὁ πλείων λόγος κατέχει, καὶ αὐτόν τε κυβερνῶντα τὴν στρατηγίδα ναῦν διαβάλλειν· καὶ ἐπειδὴ κατὰ μέσον τὸν πόρον τοῦ Ἑλλησπόντου ἐγένετο, σφάξαντα ταῦρον τῷ Ποσειδῶνι καὶ Νηρηΐσι, σπένδειν ἐκ χρυσῆς φιάλης ἐς τὸν πόντον. λέγουσι δὲ καὶ πρῶτον ἐκ τῆς νεὼς σὺν τοῖς ὅπλοις ἐκβῆναι αὐτὸν ἐς τὴν γῆν τὴν Ἀσίαν, καὶ βωμοὺς ἱδρύσασθαι, ὅθεν τε ἐστάλη ἐκ τῆς Εὐρώπης, καὶ D ὅπου ἐξέβη τῆς Ἀσίας, Διὸς ἀποβατηρίου καὶ Ἀθηνᾶς καὶ Ἡρακλέους. ἀνελθόντα δὲ ἐς Ἴλιον, τῇ τε Ἀθηνᾷ θῦσαι τῇ Ἰλιάδι, καὶ τὴν πανοπλίαν τὴν αὑτοῦ ἀναθεῖναι ἐς τὸν νεὼν, καὶ καθελεῖν ἀντὶ ταύτης τῶν ἱερῶν τινα ὅπλων ἔτι ἐκ τοῦ Τρωϊκοῦ ἔργου σωζόμενα. καὶ ταῦτα λέγουσιν ὅτι οἱ ὑπασπισταὶ ἔφερον πρὸ αὐτοῦ ἐς τὰς μάχας· θῦσαι δὲ αὐτὸν καὶ Πριάμῳ ἐπὶ τοῦ βωμοῦ τοῦ Διὸς τοῦ Ἑρκείου, λόγος κατέχει, μῆνιν Πριάμου παραιτούμενον τῷ Νεοπτολέμου γένει, ὃ δὴ ἐς αὐτὸν καθῆκεν. ἀνιόντα δ' αὐτὸν ἐς Ἴλιον Μενοίτιός τε ὁ κυβερνήτης χρυσῷ στεφάνῳ ἐστεφάνωσε, καὶ ἐπὶ τούτῳ Χάρης ὁ Ἀθηναῖος, ἐκ Σιγείου ἐλθὼν, καί τινες ἄλλοι· οἱ μὲν Ἕλληνες, οἱ δὲ ἐπιχώ- F ριοι. οἱ δὲ, ὅτι καὶ τὸν Ἀχιλλέως ἄρα τάφον ἐστεφάνωσε· καὶ εὐδαιμόνισεν ἄρα (ὡς ὁ λόγος) Ἀλέξανδρος Ἀχιλλέα, ὅτι Ὁμήρου κήρυκος ἐς τὴν ἔπειτα μνήμην ἔτυχε. καὶ μέντοι καὶ ἦν Ἀλεξάνδρῳ οὐχ ἥκιστα τοῦδε ἕνεκα εὐδαιμονιστέος Ἀχιλλεὺς, ὅτι αὐτῷ γε Ἀλεξάνδρῳ οὐ κατὰ τὴν ἄλλην ἐπιτυχίαν τὸ χωρίον τοῦτο ἐκλιπὲς ξυνέβη, οὐδὲ ἐξηνέχθη ἐς ἀνθρώπους τὰ Ἀλεξάνδρου ἔργα ἐπαξίως. οὔτ' οὖν καταλογάδην, οὔτε τις ἐν μέτρῳ ἐποίησεν, ἀλλ' οὐδὲ ἐν μέλει ᾔσθη Ἀλέξανδρος, ἐν ὅτῳ Ἱέρων τε καὶ Γέλων καὶ Θήρων, καὶ πολλοὶ ἄλλοι οὐδέν τι Ἀλεξάνδρῳ ἐπεοικότες. ὥστε πολὺ μεῖον γιγνώσκεται τὰ Ἀλεξάνδρου, ἢ τὰ φαυλότατα τῶν πάλαι ἔργων. ὁπότε καὶ ἡ τῶν μυρίων σὺν Κύρῳ ἄνοδος

ρᾳ ἄνοδος ἐπὶ βασιλέα Ἀρταξέρξην, καὶ τὰ Κλεάρχου καὶ τῶν ἅμα αὐτῷ ἁλόντων παθήματα, καὶ ἡ κατάβασις αὐτῶν ἐκείνων, ἣν Ξενοφῶν αὐτοὺς κατήγαγε, πολύ τι ἐπιφανέστερα ἐς ἀνθρώπους, Ξενοφῶντος ἕνεκα, ἐστὶν ἢ Ἀλέξανδρός τε καὶ τὰ Ἀλεξάνδρου ἔργα. καίτοι Ἀλέξανδρος οὔτε ξὺν ἄλλῳ ἐστράτευσεν, οὔτε φεύγων μέγαν βασιλέα τοὺς τῇ καθόδῳ τῇ ἐπὶ τὴν θάλατταν ἐμποδὼν γιγνομένους ἐκράτησεν. ἀλλ' οὐκ ἔστιν ὅστις ἄλλος εἷς ἀνὴρ τοσαῦτα ἢ τηλικαῦτα ἔργα κατὰ πλῆθος ἢ μέγεθος ἐν Ἕλλησιν ἢ βαρβάροις ἀπεδείξατο. ἔνθεν καὶ αὐτὸς ὁρμηθῆναι φημὶ ἐς τήνδε τὴν ξυγγραφήν, οὐκ ἀπαξιώσας ἐμαυτὸν φανερὰ καταστήσειν ἐς ἀνθρώπους τὰ Ἀλεξάνδρου ἔργα. ὅστις δὲ ὢν ταῦτα ὑπὲρ ἐμαυτοῦ γιγνώσκω, τὸ μὲν ὄνομα οὐδὲν δέομαι ἀναγράψαι (οὐδὲ γὰρ οὐδὲ ἄγνωστον ἐς ἀνθρώπους ἐστίν) οὐδὲ πατρίδα, ἥτις μοι ἐστίν, οὐδὲ γένος τὸ ἐμόν, οὐδὲ εἰ δή τινα ἀρχὴν ἐν τῇ ἐμαυτοῦ ἦρξα· ἀλλ' ἐκεῖνο ἀναγράφω, ὅτι ἐμοὶ πατρίς τε καὶ γένος καὶ ἀρχαὶ οἵδε οἱ λόγοι εἰσί τε καὶ ἀπὸ νέου ἔτι ἐγένοντο· καὶ ἐπὶ τῷδε οὐκ ἀπαξιῶ ἐμαυτὸν τῶν πρώτων ἐν τῇ φωνῇ τῇ Ἑλλάδι, εἴπερ οὖν καὶ Ἀλέξανδρος τῶν ἐν τοῖς ὅπλοις. Ἐξ Ἰλίου δὲ ἐς Ἀρίσβην ἧκεν, οὗ πᾶσα ἡ δύναμις αὐτῷ διαβεβηκυῖα τὸν Ἑλλήσποντον ἐστρατοπεδεύκει· καὶ τῇ ὑστεραίᾳ, ἐς Περκώτην. τῇ δὲ ἄλλῃ Λάμψακον παραμείψας, πρὸς τῷ Προσακτίῳ ποταμῷ ἐστρατοπέδευσεν, ὃς ῥέων ἐκ τῶν ὀρῶν τῶν Ἰδαίων, ἐκδιδοῖ ἐς θάλασσαν τὴν μεταξὺ τοῦ Ἑλλησπόντου τε καὶ τοῦ Εὐξείνου πόντου· ἔνθεν δὲ ἐς Ἑρμωτὸν ἀφίκετο, Κολωνὰς πόλιν παραμείψας. σκοποὶ δὲ αὐτῷ ἐπέμποντο πρὸ τοῦ στρατεύματος· καὶ τούτων ἡγεμὼν ἦν Ἀμύντας ὁ Ἀρραβαίου, ἔχων τήν τε ἑταίρων ἴλην τὴν ἐξ Ἀπολλωνίας, ἧς ἰλάρχης ἦν Σωκράτης ὁ Σάθωνος, καὶ τῶν προδρόμων καλουμένων ἴλας τέσσαρας. κατὰ δὲ τὴν πάροδον Πριάμου πόλιν ἐνδοθεῖσαν πρὸς τῶν ἐνοικούντων, τοὺς παραληψομένους ἀπέστειλε σὺν Πανηγόρῳ τῷ Λυκαγόρου, ἑνὶ τῶν ἑταίρων. Περσῶν δὲ στρατηγοὶ ἦσαν Ἀρσάμης καὶ Ῥεομίτρης, καὶ Πετήνης, καὶ Νιφάτης, καὶ ξὺν τούτοις Μιθριδάτης ὁ Λυδίας καὶ Ἰωνίας σατράπης, καὶ Ἀρσίτης, ὁ τῆς πρὸς Ἑλλησπόντῳ Φρυγίας ὕπαρχος. οὗτοι δὲ πρὸς Ζελείᾳ πόλει καταστρατοπεδευκότες ἦσαν, ξὺν τῇ ἵππῳ τε τῇ βαρβαρικῇ, καὶ τοῖς Ἕλλησι τοῖς μισθοφόροις. βουλευομένοις δὲ αὐτοῖς ὑπὲρ τῶν παρόντων ἐπειδὴ Ἀλέξανδρος διαβεβηκὼς ἠγγέλλετο, Μέμνων ὁ Ῥόδιος παρῄνει, μὴ διὰ κινδύνου ἰέναι πρὸς τοὺς Μακεδόνας, τῷ τε πεζῷ πολὺ περιόντας σφῶν, καὶ αὐτοῦ Ἀλεξάνδρου παρόντος, αὐτοῖς δὲ ἀπόντος Δαρείου. προϊόντας δέ, τόν τε χιλὸν ἀφανίζειν καταπατοῦντας τῇ ἵππῳ, καὶ τὸν ἐν τῇ γῇ καρπὸν ἐμπιπρᾶσαι, μηδὲ τῶν πόλεων αὐτῶν φειδομένους. οὐ γὰρ μενεῖν ἐν τῇ χώρᾳ Ἀλέξανδρον, ἀπορίᾳ τῶν ἐπιτηδείων. Ἀρσίτην δὲ λέγεται εἰπεῖν ἐν τῷ συλλόγῳ τῶν Περσῶν, ὅτι οὐκ ἂν περιίδοι μίαν οἰκίαν ἐμπρησθεῖσαν τῶν ὑποτεταγμένων ἀνθρώπων· καὶ τοὺς Πέρσας Ἀρσίτῃ προσθέσθαι, ὅτι καὶ ὕποπτόν τι αὐτοῖς ἦν ἐς τὸν Μέμνονα, τριβὰς ἐμποιεῖν ἑκόντα τῷ πολέμῳ, τῆς ἐκ βασιλέως τιμῆς ἕνεκα. ἐν τούτῳ δὲ Ἀλέξανδρος προὐχώρει ἐπὶ τὸν Γρανικὸν ποταμὸν συντεταγμένῳ τῷ στρατῷ, διπλῆν μὲν τὴν φάλαγγα τῶν ὁπλιτῶν τάξας· τοὺς δὲ ἱππέας κατὰ τὰ κέρατα ἄγων, τὰ σκευοφόρα

A aduerſus Artaxerxem expeditio, & Clearchi atque eorum qui cum eo capti fuerunt clades, & eorundem reditus, vt Xenophon eos reduxit, illuſtriora apud homines Xenophõtis opera ſunt effecta, quàm aut Alexander, aut eius res geſtæ. Cæterùm Alexander neque alterius cuiuſpiam exercitum ad ſuum coniunxit, neque magnum regem fugiens, deſcenſu ad mare impeditos vicit: neque quiſquam eſt mortalium qui ſolus tam præclara & numero & magnitudine aut inter Græcos aut inter barbaros facinora ediderit. B Atque hac quidem de cauſa me ad hanc hiſtoriam conſcribendam impulſum fuiſſe profiteor, non indignum me cenſens per quẽ Alexandri res geſtæ apud homines notæ celebréſque efficerentur. Quiſquis verò ſim qui ita de me ſentiam, nomen quidem adſcribere nihil attinet (neque enim obſcurum inter mortales eſt) ſed nec patriam, nec genus meum, neque an aliquem in ciuitate mea magiſtratum geſſerim. Illud dixiſſe ſatis fuerit, mihi nec patriæ, nec generis, nec honorum C ornamenta deeſſe, literas verò à puero ſemper cordi fuiſſe. præterea me non immeritò inter primos Græcæ linguæ ſcriptores, vt Alexandrum inter eos qui in re militari præſtiterunt, cenſendum. Alexander itaque ex Ilio ad Ariſben mouit, quo in loco vniuerſus exercitus traiecto Helleſpõto caſtra fixerat. Poſtridie Percotam, deinde Lampſacon prætergreſſus, ad Proſactium flumen conſedit, qui ex Idæis mõtibus fluens, inter Helleſpontum & Euxinum pontum in mare fertur. Inde Hermotum venit, Colonas vrbem tranſ- D greſſus. Speculatores porrò ante exercitum miſerat, quorũ dux erat Amyntas Arrabęi filius, cum turma quæ ab Apolloniis, qui tunc amici erant, venerat, cui præfectus erat Socrates Sathonis filius, & quatuor turmis præcurſorum, quos vocant. In tranſitu, Panegorum Lycagoræ filium cum aliquo comitatu mittit, qui Priami oppidũ, quod incolæ dediderãt, recipiat. Perſarũ autẽ duces erant, Arſames, Reomitres, Petanes, Niphates, & cũ his Mithridates Lydiæ & Ioniæ ſatrapa, & E Arſites, Phrygiæ quæ ad Helleſpontũ vergit præſes. Hi omnes ad Zeliã vrbẽ cum equitatu barbarico, & Græcis mercenariis, cõſtiterant. Cõſultantibus porrò iis de ſumma rerum, quũ Alexãder tranſiſſe nuntiaretur, Memnon Rhodius monuit nõ eſſe cum periculo adeundũ cum Macedonibus conflictũ, qui & peditatu ſuperiores eſſent, & pręſentẽ haberent Alexandrũ, ipſi verò Dariũ abſentem. Omne autẽ frumentũ herbidũ equitatu proculcandum deſtruendúmque eſſe, omnémque terræ fructum exurendũ, ac ne ipſis qui- F dem oppidis parcendum: atque ita Alexandrum cõmeatu deſtitutum moram in ea regione non facturum. Ad ea Arſitem in conuentu Perſarum dixiſſe ferunt, ſe ne vnam quidem, eorum qui ipſi ſubditi eſſent, domũ incendi paſſurum: atque in eius ſententiam à Perſis itum eſſe, ſuſpicantibus Memnonem, regij honoris continuandi cauſa, belli moram protractionémque quærere.

Interea Alexander ad Granicum flumen inſtructo exercitu proceſſit, duplicẽ armatorũ phalangẽ ducẽs. Equites ad cornua collocat, impedi-

mēta extrema ſubſequi iubet. Speculatorib⁹ qui hoſtes obſeruent Agelochũ præficit, ſariſſatos equites illi adiungens, velitéſque circiter quingentos. Iam non procul à Granico aberat Alexander, quum ſtatim nonnulli ex ſpeculatoribus incitatis equis aduolantes nuntiant, Perſas trans Granicum inſtructa ad prælium acie conſiſtere. Alexander omnem exercitum ad committendum prælium inſtruit. Tum Parmenio progreſſus, his verbis Alexandrum compellat: Conſultum mihi videtur, rex, in præſentia ad fluminis ripam, vt poſſumus, caſtra locare. Neque enim iudicarim tantum animi hoſtibus fore, vt, quum peditatu longè inferiores ſint, prope nos pernoctent, eámque ob cauſam facilem exercitui noſtro cras ſub primam lucem fluminis tranſitum fore. Citius enim tranſierimus, quàm ab illis acies inſtrui poſsit. Nunc verò non abſque periculo rem hanc aggreſſuri videmur. Fieri ſiquidem non poteſt vt exercitum in aduerſum hoſtem per flumen ducamus: quòd & profundum vorticoſúmque ſit & contraria ripa alta, vt vides, ac prærupta. Nam inordinatè anguſtáque acie (quod genus infirmiſſimum eſt) exeuntibus nobis, equitatus hoſtium bene inſtructus phalangi noſtræ incumbet. Fuerit porrò primum hoc infortunium, quoad præſentem rerum ſtatum, graue, quoad de toto bello iudicium, periculoſum. Ad hæc Alexander, Intelligo quidem, ô Parmenio, ſed dedecori mihi fuerit, ſi quũ ita paruo negotio Helleſpontum traiecerim, riuus hic (Granicum eo nomine extenuãs) nobis obſtiterit, quo minus, vt poſſumus, tranſeamus. quin potius hoc & à Macedonum gloria, & à mea in adeundis periculis virtute alienum eſſe cenſeo. Perſis etiam hoc animos addet, vt Macedonibus ſeſe pares exiſtiment, niſi ſtatim initio aliquid dignum ſuo ipſorum metu paſsi fuerint. His dictis, Parmenioné, vt ad ſiniſtrum cornu præſit mittit, ipſe ad dextrum ſuas copias ducit. Iunxit præterea ſibi dextrorſum Philotam Parmenionis filium, cum equitatu ſociorum, cúmque ſagittarijs & Agrianis iaculatoribus. Amyntam verò Arrabæi filium cũ ſariſſatis equitibus & Pæonibus, & Socratis cohorte, Philotæ adiunxit. Proximos his collocat ſcutatos ſociorum, quibus præerat Nicanor Parmenionis filius, tũ Perdiccæ Orrontis filij phalangem, mox Cœni Polemocratis filij: inde, Crateri Alexandri filij: præterea Amyntæ Andromenis filij: inde copias quibus Philippus Amyntæ filius præfectus erat. In ſiniſtro cornu primi erant Theſſali equites quorum dux erat Calas Harpali filius. Poſt hos auxiliariorũ equitatus, cui præerat Philippus Menelai filius. Deinde Thraces duce Agathone. Proximi his, pedites, & Crateri phalanx & Meleagri & Philippi, vſq; ad mediũ totius aciei. Perſarũ equitatus erat viginti milliũ: externorum verò, qui mercede cõducti erãt, peditatus totidẽ circiter milliũ. Equitatũ in ripa fluminis in longã phalangẽ exporrexerãt, peditatu ponè collocato. erãt enim loca ſupra ripã editiora. At qua parte

Poſſunt verba hæc, ὡς ἔχομεν, & hic & in loco qui paulo poſt ſequitur, aliter etiam exponi.

Ad pericula adeunda celeritate. Vel potius promptitudine, ſi hoc vti licet.

Vel, Cinnæ. ſi legatur Κίννου, vt in vet. cod.

A δὲ κατόπιν ἐπιτάξας ἕπεσθαι, τοὺς δὲ προκατασκεψομένους τὰ τῶν πολεμίων, ἦγεν αὐτῷ Ἡγέλοχος, ἱππέας μὲν ἔχων τοὺς σαρισσοφόρους, τῶν δὲ ψιλῶν ἐς πεντακοσίους. καὶ Ἀλέξανδρός τε οὐ πολὺ ἀπεῖχε τοῦ ποταμοῦ τοῦ Γρανικοῦ, καὶ οἱ ἀπὸ τῶν σκοπῶν σπουδῇ ἐλαύνοντες, ἀπήγγελλον ἐπὶ τῷ Γρανικῷ πέραν τοὺς Πέρσας ἐφεστάναι ὡς ἐς μάχην τεταγμένους. ἔνθα δὴ Ἀλέξανδρος μὲν τὴν στρατιὰν πᾶσαν συνέταττεν ὡς μαχουμένους· Παρμενίων δὲ προσελθὼν, λέγει Ἀλεξάνδρῳ τάδε, Ἐμοὶ δοκεῖ, βασιλεῦ, ἀγαθὸν εἶναι B ἐν τῷ παρόντι, καταστρατοπεδεῦσαι ἐπὶ τοῦ ποταμοῦ τῇ ὄχθῃ, ὡς ἔχομεν. τοὺς γὰρ πολεμίους οὐ δοκῶ τολμήσειν πολὺ τῷ πεζῷ λειπομένους, πλησίον ἡμῶν αὐλισθῆναι, καὶ ταύτῃ παρέξειν ἕωθεν εὐπετῶς τῷ στρατῷ διαβαλεῖν τὸν πόρον. ὑποφθάσομεν γὰρ αὐτοὶ περάσαντες, πρὶν ἐκείνους ἐς τάξιν καθίστασθαι. νῦν δὲ οὐκ ἀκινδύνως μοι δοκοῦμεν ἐπιχειρήσειν τῷ ἔργῳ, ὅτι οὐχ οἷόν τε ἐν μετώπῳ διὰ τοῦ ποταμοῦ ἄγειν τὸν στρατόν. πολλὰ μὲν γὰρ αὐτοῦ ὁρᾶται βαθέα· αἱ δὲ ὄχθαι αὗται, ὁρᾷς ὅτι ὑπερύψηλοι καὶ κρημνώδεις εἰσὶν αἱ C αὐτῶν. ἀτάκτως τε οὖν καὶ κατὰ κέρας, ᾗπερ ἀσθενέστατον, ἐκβαίνουσιν ἐπικείσονται ἐς φάλαγγα συντεταγμένοι τῶν πολεμίων οἱ ἱππεῖς. καὶ τὸ πρῶτον σφάλμα ἔς τε τὰ παρόντα χαλεπὸν, καὶ ἐς τὴν ὑπὲρ παντὸς τοῦ πολέμου κρίσιν σφαλερόν. Ἀλέξανδρος δὲ, Ταῦτα μὲν (ἔφη) ὦ Παρμενίων γιγνώσκω, αἰσχύνομαι δὲ, εἰ τὸν μὲν Ἑλλήσποντον διέβην εὐπετῶς, τοῦτο δὲ σμικρὸν ῥεῦμα (οὕτω τῷ ὀνόματι τὸν Γρανικὸν ἐκφαυλίσας) εἴρξει ἡμᾶς τοῦ μὴ διαβῆναι, D ὡς ἔχομεν. καὶ τοῦτο οὔτε πρὸς Μακεδόνων τῆς δόξης, οὔτε πρὸς τῆς ἐμῆς ἐς τοὺς κινδύνους ὀξύτητος ποιοῦμαι. ἀναθαρρήσειν τε δοκῶ τοὺς Πέρσας, ἀξιομάχους Μακεδόσιν ὄντας, ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους ἐν τῷ παραυτίκα ἔπαθον. Ταῦτα εἰπὼν, Παρμενίωνα μὲν ἐπὶ τὸ εὐώνυμον κέρας πέμπει ἡγησόμενον, αὐτὸς δὲ ἐπὶ τὸ δεξιὸν παρῆγε. προετάχθησαν δὲ αὐτῷ τοῦ μὲν δεξιοῦ, Φιλώτας ὁ Παρμενίωνος, ἔχων τοὺς ἑταίρους τοὺς ἱππέας, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας τοὺς ἀκοντιστάς· Ἀμύντας δὲ ὁ Ἀρραβαίου, τούς τε E σαρισσοφόρους ἱππέας ἔχων, Φιλώτᾳ ἐπετάχθη, καὶ τοὺς Παίονας, καὶ τὴν ἴλην τὴν Σωκράτους. ἐχόμενοι δὲ τούτων ἐτάχθησαν οἱ ὑπασπισταὶ τῶν ἑταίρων, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος· ἐπὶ δὲ τούτοις, ἡ Περδίκκου τοῦ Ὀρρόντου φάλαγξ· ἐπὶ δὲ, ἡ Κοίνου τοῦ Πολεμοκράτους· ἐπὶ δὲ, ἡ Κρατεροῦ τοῦ Ἀλεξάνδρου· ἐπὶ δὲ, ἡ Ἀμύντου τοῦ Ἀνδρομένους· ἐπὶ δὲ, ὧν Φίλιππος ὁ Ἀμύντου ἦρχε. τοῦ δὲ εὐωνύμου πρῶτοι μὲν οἱ Θετταλοὶ ἱππεῖς ἐτάχθησαν, ὧν ἡγεῖτο Κάλας ὁ Ἁρπάλου· ἐπὶ δὲ τούτοις, οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Φίλιππος ὁ Μενελάου. ἐπὶ δὲ τούτοις, οἱ Θρᾷκες ὧν ἦρχεν Ἀγάθων. ἐχόμενοι δὲ τούτων, πεζοὶ, ἥ τε Κρατε- F ροῦ φάλαγξ καὶ ἡ Μελεάγρου, καὶ ἡ Φιλίππου, ἔστε ἐπὶ τὸ μέσον τῆς ξυμπάσης τάξεως. Περσῶν δὲ ἱππεῖς μὲν ἦσαν ἐς δισμυρίους, ξένοι δὲ πεζοὶ μισθοφόροι ὀλίγον ἀποδέοντες δισμυρίων. ἐτάχθησαν δὲ τὴν μὲν ἵππον παρατείναντες τῷ ποταμῷ, κατὰ τὴν ὄχθην ἐπὶ φάλαγγα μακρὰν, τοὺς δὲ πεζοὺς κατόπιν τῶν ἱππέων· καὶ γὰρ ὑπερδέξια ἦν τὰ ὑπὲρ τὴν ὄχθην χωρία. ᾗ δὲ Ἀλέξανδρον

A αὐτὸν καθεώρων (δῆλος γὰρ ἦν, τῶν τε ὅπλων τῇ λαμπρότητι, καὶ τῶν ἀμφ' αὐτὸν τῇ σὺν ἐκπλήξει θεραπείᾳ) κατὰ τὸ εὐώνυμον μὲν σφῶν ἐπέχοντα, ταύτῃ πυκνὰς ἐπέταξαν τῇ ὄχθῃ τὰς ἴλας τῶν ἱππέων. χρόνον μὲν δὴ ἀμφότερα τὰ στρατεύματα ἐπ' ἄκρου τοῦ ποταμοῦ ἐφεστῶτες, ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν, ἡσυχίαν ἦγον· καὶ σιγὴ ἦν πολλὴ ἀφ' ἑκατέρων. οἱ γὰρ Πέρσαι προσέμενον τοὺς Μακεδόνας, ὁπότε ἐσβήσονται ἐς τὸν πόρον, ὡς ἐπικεισόμενοι ἐκβαίνουσιν· Ἀλέξανδρος B δὲ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος ἕπεσθαί τε καὶ ἄνδρας ἀγαθοὺς γίνεσθαι, τοὺς μὲν προδρόμους ἱππέας, καὶ μὴν καὶ τοὺς Παίονας, προεμβαλεῖν εἰς τὸν ποταμὸν ἔχοντα Ἀμύνταν τὸν Ἀρραβαίου καὶ τῶν πεζῶν μίαν τάξιν, καὶ πρὸ τούτων τὴν Σωκράτους ἴλην Πτολεμαῖον τὸν Φιλίππου ἄγοντα, ἣ δὴ καὶ ἐτύγχανε τὴν ἡγεμονίαν τοῦ ἱππικοῦ παντὸς ἔχουσα ἐκείνῃ τῇ ἡμέρᾳ. αὐτὸς δὲ ἄγων τὸ δεξιὸν κέρας ὑπὸ σαλπίγγων τε καὶ τῷ Ἐνυαλίῳ ἀλαλάζοντας, ἐμβαίνει ἐς τὸν πόρον, λοξὴν ἀεὶ παρατείνων C τὴν τάξιν, ᾗ παρεῖλκε τὸ ῥεῦμα· ἵνα δὴ μὴ ἐκβαίνοντι αὐτῷ οἱ Πέρσαι κατὰ κέρας προσπίπτοιεν, ἀλλὰ καὶ αὐτός, ὡς ἀνυστὸν, τῇ φάλαγγι προσμίξῃ αὐτοῖς. οἱ δὲ Πέρσαι, ᾗ πρῶτοι οἱ ἀμφὶ Ἀμύνταν καὶ Σωκράτην προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνωθεν ἔβαλλον· οἱ μὲν αὐτῶν, ἀπὸ τῆς ὄχθης ἐξ ὑπερδεξίου ἐς τὸν ποταμὸν ἐσακοντίζοντες· οἱ δὲ, κατὰ τὰ χθαμαλώτερα αὐτῆς ἔς τε ἐπὶ τὸ ὕδωρ καταβαίνοντες. καὶ ἦν τῶν τε ἱππέων ὠθισμὸς, τῶν μὲν ἐκβαίνειν ἐκ τοῦ ποταμοῦ, D τῶν δ' εἴργειν τὴν ἔκβασιν. καὶ παλτῶν ἀπὸ μὲν τῶν Περσῶν πολλὴ ἄφεσις, οἱ Μακεδόνες δὲ ξὺν τοῖς δόρασιν ἐμάχοντο. ἀλλὰ τῷ τε πλήθει πολὺ ἐλαττούμενοι Μακεδόνες ἐκακοπάθουν ἐν τῇ πρώτῃ προσβολῇ, καὶ αὐτοὶ ἐξ ἀβεβαίου τε καὶ ἅμα κάτωθεν ἐκ τοῦ ποταμοῦ ἀμυνόμενοι. οἱ δὲ Πέρσαι, ἐξ ὑπερδεξίου τῆς ὄχθης· ἄλλως τε καὶ τὸ κράτιστον τῆς Περσικῆς ἵππου ταύτῃ ἐπιτέτακτο. οἵ τε Μέμνονος παῖδες, καὶ αὐτὸς ὁ Μέμνων μετὰ τούτων ἐκινδύνευσε. καὶ οἱ μὲν πρῶτοι τῶν Μακεδόνων ξυμμίξαντες τοῖς Πέρσαις, κατεκόπησαν πρὸς αὐτῶν, ἄνδρες ἀγαθοὶ γενόμενοι, ὅσοι E γε μὴ πρὸς Ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐτῶν. Ἀλέξανδρος γὰρ ἤδη πλησίον ἦν, ἅμα οἱ ἄγων τὸ κέρας τὸ δεξιόν· καὶ ἐμβάλλει ἐς τοὺς Πέρσας πρῶτος, ἵνα τὸ πᾶν στῖφος τῆς ἵππου καὶ αὐτοὶ οἱ ἡγεμόνες τῶν Περσῶν τεταγμένοι ἦσαν. καὶ περὶ αὐτὸν ξυνειστήκει μάχη καρτερά, καὶ ἐν τούτῳ ἄλλαι ἐπ' ἄλλαις τῶν τάξεων τοῖς Μακεδόσι διέβαινον οὐ χαλεπῶς ἤδη. καὶ ἦν μὲν ἀπὸ τῶν ἵππων ἡ μάχη, πεζομαχίᾳ δὲ μᾶλλόν τι ἐῴκει. ξυνεχόμενοι γὰρ ἵπποι τε ἵπποις, καὶ ἄνδρες ἀνδράσιν, ἠγωνίζοντο, οἱ μὲν ἐξῶσαι εἰσάπαν ἀπὸ τῆς ὄχθης, καὶ ἐς τὸ πεδίον βιάσασθαι τοὺς F Πέρσας, οἱ Μακεδόνες· οἱ δὲ εἶρξαί τε αὐτῶν τὴν ἔκβασιν οἱ Πέρσαι, καὶ ἐς τὸν ποταμὸν αὖθις ἀπώσασθαι. καὶ ἐκ τούτου ἐπλεονέκτουν ἤδη οἱ σὺν Ἀλεξάνδρῳ τῇ τε ἄλλῃ ῥώμῃ καὶ ἐμπειρίᾳ, καὶ ὅτι ξυστοῖς κρανείνοις πρὸς παλτὰ ἐμάχοντο. ἔνθα δὴ καὶ Ἀλεξάνδρῳ ξυντρίβεται τὸ δόρυ ἐν τῇ μάχῃ· ὁ δὲ Ἀρέτην ᾔτει δόρυ ἕτερον, ἀναβολέα τῶν βασιλικῶν· τῷ δὲ καὶ αὐτῷ πονουμένῳ συντετριμμένον τὸ δόρυ ἦν· ὁ δὲ τῷ ἡμίσει κεκλασμένου τοῦ δόρατος οὐκ ἀφανῶς ἐμάχετο.

A Alexandrũ ipſum ſuiſt cõſpicati (facilè enim dignoſcebatur cum ex armorũ ſplẽdore, tum ex eorũ quibus ſtipatus erat admirabili cultu) ad ſiniſtrum ipſorum cornu ſeſe conferentem, ex ea denſiores equitum turmas ad ripam ſtatuunt. Vterque porrò exercitus ad oram fluminis aliquandiu ſubſtitit, & euentum reformidans quietè ſeſe ſummóque ſilentio tenuit. Perſæ expectabant dum Macedones flumen ingrederentur, vt in egre- B dientes impetum facerent. Alexander inſiliens in equum, iis qui circa erant ſequi viróſque ſeſe prębere iuſſis, ante curſores equos in amnem præmittit, cum Pæonibus, & vna peditum cohorte, quibus Amyntas Arrabæi filius præerat. atque ante hos Ptolemæũ Philippi filium, cui quidem totius equitatus prę fectura eo die contigerat. Ipſe dextrum cornu agens, fauſtis clamoribus Marti tuba edi iuſſis, flumen ingreditur, obliquam ſemper C aciem ducens, quà amnis ferebat, ne videlicet ipſi exeunti hoſtes in cornu impetum facerent, ſed ipſe potius, quoad eius fieri poſſet, phalange in eos inueheretur. Perſæ, qua Amyntas & Socrates primi ripæ appropinquabant, ex alto tela mittere: alij ex editiore ripa in flumen iaculantes, alij per decliuiora planioráque loca in amnem deſcendentes. Ibi tumulentus equitum conflictus fuit, his flumen exire, illis exitum prohibere D nitentibus. Ac Perſæ quidem tragulas confertim mittebant, Macedones haſtis confligebant. Sed Macedones, numero longè inferiores, primo ſtatim congreſſu non parum damni acceperunt; quòd ipſi ex lubrico pariter atque humili loco è flumine pugnarent, Perſæ verò, ex eminentiore ripa dimicarent, eámque lectiſsimo Perſarum equitatu cinxiſſent. Ibi Memnonis filij, ac poſt hos Memnon ipſe, in magno periculo ſunt verſati. & præcipui quique Macedonum cum Perſis confligentes ſtrenuéque officium ſuũ E facientes, cæſi ſunt, præter eos qui ſe ad Alexandrum appropinquantem receperunt. Neque enim longè aberat, dextrum cornu ducens. qui quidem vbi maximè confertos equites Perſarúmque duces videt primus im petum facit. Acerrimum ibi circa regem prælium excitatur. Interim alij poſt alios Macedonũ ordines facilè iam flumen tranſeunt. ac tametſi ex equis pugnaretur, pedeſtre potius prælium videbatur. Ita equi equis, viri viris conſerti confligebant, illi quidem penitus à ripa Macedones arcere nitentes, Macedones Perſas in campum repellere, F Perſæ contra Macedonas exitu prohibere, rurſúmque ad flumen protrudere. Tandem Macedones ſuperiores euadũt, partim robore, & vſu ac peritia rei bellicæ, partim quòd iaculis corneis aduerſus tragulas vterentur. Hîc Alexandro haſta in conflictu rumpitur. qui ab Arete regiorum equorum ſtratore aliam petit. cui etiam, ſtrenuè rem gerenti, ſua rupta erat, & reliquo haſtæ fragmento non malè pugnabat: id-

Ex arbore corno.

Vel, Ita vt cum haſtæ fragmento pugnare manifeſtum eſſet.

que Alexandro oſtendens, aliam peti iubet. Gibaratus Corinthius ex auxiliariis, ſuã Alexandro haſtam porrigit. Qua arrepta, Mithridatem Darij generum longè ante alios equo prouectum conſpicatus, equitum exiguo comitatu aſſumpto, ipſe etiam alios anteuertens, eques in eum fertur, atque ora traiectum proſternit. Ibi Rœſaces in Alexandrum inuectus, ſecuri caput eius ferit, galeâque nonnihil diffracta ictus irritus reſiliit. Hunc etiam Alexander ſternit, haſta per thoracem in pectus icta. Iámque Spithridates in Alexandrum altè à tergo ſecurim ſuſtulerat, quum Clitus Dropidis filius ſecuri in eius humerum adacta, brachium ei diſcidit. Interea dum hæc geruntur, equites, quotquot potuêre, flumen tranſeuntes ad exercitum ſeſe coniunxerant. At Perſæ, quum & ipſi & equi vndequaque haſtis peterentur, & ab equitatu premerentur, multum etiam ab expeditis, qui equitibus intermiſti erant, damni acciperent, primùm in eam partem inclinant in qua prius Alexander periclitabatur. Simulac verò medium agmen cedere cœpit, equitatu in vtroque cornu diſsipato, ingens fuga fuit. Equitum Perſarum mille circiter in ea fuga cæſi. Neque enim Alexander acriter illos inſequutus eſt: nam ad exteros mercede conductos ſe conuertit. quorum agmen eodem loci vbi conſiſtere iuſſum erat, ſtupore potius inopinati euentus, quàm certa aliqua ratione ſe continebat: immiſſâque in eos phalange, atque equitatu omni ex parte impetum facere iuſſo, paruo temporis ſpatio omnes trucidat: adeò vt nemo euaſerit, niſi inter cadauera deliteſcens. Viui circiter bis mille in poteſtatem venerunt. Ex ducibus Perſarum cæſi ſunt, Niphates, Petanes, Spithridates Lydiæ ſatrapa, Mithrobuzanes Cappadocum præſes, Mithridates Darij gener, Arbupales Darij Artaxerxis filius, Pharnaces vxoris Darij frater, Omares mercenarij militis dux. Arſites ex ipſa pugna in Phrygiam ſe recepit, ibíque ſibi ipſe mortem conſciſſe fertur, quòd illius cladis autor Perſis fuiſſe videretur. Ex Macedonum verò auxiliaribus copiis circiter vigintiquinque in primo conflictu ceciderunt. Horum æneæ ſtatuæ in templo Iouis ſunt erectæ, quas Lyſippus Alexãdri iuſſu finxit, vt & Alexandrum ipſum, qui Lyſippum præ reliquis ſtatuariis à quo fingeretur dignum iudicauit. Ex reliquo equitatu ſupra LX, deſiderati ſunt, pedites circiter XXX: quos Alexander poſtridie cum armis & reliquo cultu ſepeliri iuſsit. Parentibus eorum ac liberis, in ſua cuique regione, vectigalium immunitatem conceſſit, omniáque quæ aut corpore præſtantur ſeruitia, aut ex facultatibus penduntur tributa, remiſit. Sauciorum etiam magnam curam habuit, obeundo ſingulos, vulneráque inſpiciendo, & quomodo quiſque ea accepiſſet interrogando, libera cuique geſtorũ ſuorum narratione prædicationéque permiſſa. Perſarum etiã duces ſepeliit: ad hæc mercenarios Græcos,

Vt & in Alexandri ipſius ſtatua fingenda cæteris prælatus fuit. Legendo Ἀλεξάνδρου, vt in vet. cod. non Ἀλέξανδρε.

A καὶ τοῦτο δείξας Ἀλεξάνδρῳ, ἄλλο ἐν αἰτεῖν ἐκέλευε. Δημάρατος δὲ, ἀνὴρ Κορίνθιος τῶν ἀμφ' αὐτὸν ἑταίρων, δίδωσιν αὐτῷ τὸ αὑτοῦ δόρυ. καὶ ὃς ἀναλαβὼν, καὶ ἰδὼν Μιθριδάτην τὸν Δαρείου γαμβρὸν πολὺ πρὸ τῶν ἄλλων προϊππεύοντα, ἅμα οἷ ὥσπερ ἐμβολὴν τῶν ἱππέων, ἐξελαύνει, καὶ αὐτὸς πρὸ τῶν ἄλλων· καὶ παίσας ἐς τὸ πρόσωπον τῷ δόρατι, καταβάλλει τὸν Μιθριδάτην. ἐν δὲ τούτῳ, Ῥοισάκης μὲν ἐπελαύνει τῷ Ἀλεξάνδρῳ, καὶ παίει Ἀλεξάνδρου τὴν κεφαλὴν τῇ κοπίδι· καὶ τοῦ μὲν κράνους τι ἀπέθραυσε, τὴν πληγὴν δὲ ἔσχε τὸ κράνος. καὶ καταβάλλει καὶ τοῦτον Ἀλέξαν-
B δρος, παίσας τῷ ξυστῷ διὰ τοῦ θώρακος ἐς τὸ στέρνον· Σπιθριδάτης δὲ ἀνετέτατο μὲν ἤδη ἐπ' Ἀλέξανδρον ὄπισθεν τὴν κοπίδα, ὑποφθάσας δὲ αὐτὸν Κλεῖτος ὁ Δρωπίδου παίει κατὰ τοῦ ὤμου, καὶ ἀποκόπτει τὸν ὦμον τοῦ Σπιθριδάτου ξὺν τῇ κοπίδι· καὶ ἐν τούτῳ ἐπεκβαίνοντες ἀεὶ τῶν ἱππέων ὅσοις προὐχώρει κατὰ τὸν ποταμὸν, προσεγίγνοντο τοῖς ἀμφ' Ἀλέξανδρον. καὶ οἱ Πέρσαι παιόμενοί τε πανταχόθεν ἤδη ἐς τὰ πρόσωπα αὐτοί τε καὶ οἱ ἵπποι τοῖς ξυστοῖς, καὶ πρὸς τῶν ἱππέων ἐξωθούμενοι, πολλὰ δὲ καὶ πρὸς τῶν ψιλῶν ἀ-
C ναμεμιγμένων τοῖς ἱππεῦσι βλαπτόμενοι, ἐγκλίνουσι ταύτῃ πρῶτον ᾗ Ἀλέξανδρος προεκινδύνευεν. ὡς δὲ τὸ μέσον ἐνεδεδώκει αὐτοῖς, παρερρήγνυντο δὴ καὶ τὰ ἐφ' ἑκάτερα τῆς ἵππου, καὶ ἦν δὴ φυγὴ καρτερά. τῶν μὲν δὴ ἱππέων τῶν Περσῶν ἀπέθανον εἰς χιλίους. οὐ γὰρ πολλὴ ἡ δίωξις ἐγένετο, ὅτι ἐξετράπη Ἀλέξανδρος ἐπὶ τοὺς ξένους τοὺς μισθοφόρους· ὧν τὸ στῖφος, ᾗ τὸ πρῶτον ἐτάχθη, ἐκπλήξει μᾶλλόν τι τοῦ παραλόγου, ἢ λογισμῷ βεβαίῳ ἔμενε. καὶ τούτοις τήν τε φάλαγγα ἐπαγαγὼν, καὶ τοὺς ἱππέας πάντῃ
D προσπεσεῖν κελεύσας ἐν μέσῳ, δι' ὀλίγου κατακόπτει αὐτούς· ὥστε διέφυγε μὲν οὐδεὶς, ὅτι μὴ διελάθετις ἐν τοῖς νεκροῖς· ἐζωγρήθησαν δὲ ἀμφὶ τοὺς δισχιλίους. ἔπεσον δὲ καὶ οἱ ἡγεμόνες τῶν Περσῶν, Νιφάτης τε καὶ Πετήνης, καὶ Σπιθριδάτης ὁ Λυδίας σατράπης, καὶ ὁ τῶν Καππαδοκῶν ὕπαρχος Μιθροβουζάνης, καὶ Μιθριδάτης ὁ τοῦ Δαρείου γαμβρὸς, καὶ Ἀρβουπάλης ὁ Δαρείου τοῦ Ἀρταξέρξου παῖς, καὶ Φαρνάκης, ἀδελφὸς οὗτος τῆς Δαρείου γυναικὸς, καὶ ὁ τῶν ξένων ἡγεμὼν Ὠμάρης. Ἀρσίτης δὲ ἐκ μὲν τῆς μάχης φεύ-
E γει ἐς Φρυγίαν, ἐκεῖ δὲ ἀποθνήσκει αὐτὸς πρὸς αὑτοῦ, ὡς ὁ λόγος, ὅτι αἴτιος ἐδόκει Πέρσαις γενέσθαι τοῦ ἐν τῷ τότε πταίσματος. Μακεδόνων δὲ τῶν μὲν ἑταίρων ἀμφὶ τοὺς εἴκοσι καὶ πέντε τῇ πρώτῃ προσβολῇ ἀπέθανον, καὶ τούτων χαλκαῖ εἰκόνες ἐν Δίῳ ἑστᾶσιν, Ἀλεξάνδρου κελεύσαντος Λύσιππον ποιῆσαι, ὅσπερ καὶ Ἀλέξανδρον μόνος προκριθεὶς ἐποίει. τῶν δὲ ἄλλων ἱππέων, ὑπὲρ τοὺς ἑξήκοντα· πεζοὶ δὲ ἐς τοὺς τριάκοντα. καὶ τούτους τῇ ὑστεραίᾳ ἔθαψεν Ἀλέξανδρος, ξὺν τοῖς ὅπλοις τε καὶ ἄλλῳ κόσμῳ· γονεῦσι
F δὲ αὐτῶν καὶ παισὶ τῶν τε κατὰ τὴν χώραν ἀτέλειαν ἔδωκε, καὶ ὅσαι ἄλλαι ἢ τῷ σώματι λειτουργίαι, ἢ κατὰ τὰς κτήσεις ἑκάστων εἰσφοραί. καὶ τῶν τετρωμένων δὲ πολλὴν πρόνοιαν ἔσχεν, ἐπελθών τε αὐτὸς ἑκάστους καὶ τὰ τραύματα ἰδὼν, καὶ ὅπως τις ἐτρώθη ἐρόμενος, καὶ ὅ,τι πράττων, εἰπεῖν τι καὶ ἀλαζονεύσασθαί οἱ παρασχών. ὁ δὲ καὶ τῶν Περσῶν τοὺς ἡγεμόνας ἔθαψεν. ἔθαψε δὲ καὶ τοὺς μισθοφόρους Ἕλληνας, οἳ

ξὺν τοῖς πολεμίοις στρατεύοντες ἀπέθανον. ὅσους δὲ αὐτῶν αἰχμαλώτους ἔλαβε, τούτους δὲ δήσας ἐν πέδαις, εἰς Μακεδονίαν ἔπεμψεν ἐργάζεσθαι, ὅτι παρὰ τὰ κοινῇ δόξαντα τοῖς Ἕλλησιν, Ἕλληνες ὄντες, ἐναντία τῇ Ἑλλάδι ὑπὲρ τῶν βαρβάρων ἐμάχοντο. ἀποπέμπει δὲ καὶ εἰς Ἀθήνας τριακοσίας πανοπλίας Περσικὰς, ἀνάθημα εἶναι τῇ Ἀθηνᾷ ἐν τῇ πόλει· καὶ ἐπίγραμμα ἐπιγραφῆναι ἐκέλευσε τόδε, ἈΛΈΞΑΝΔΡΟΣ ΦΙΛΊΠΠΟΥ, ΚΑῚ ΟἹ ἝΛΛΗΝΕΣ, ΠΛῊΝ ΛΑΚΕΔΑΙΜΟΝΊΩΝ, ἈΠῸ ΤΩ͂Ν ΒΑΡΒΆΡΩΝ ΤΩ͂Ν ΤῊΝ ἈΣΊΑΝ ΚΑΤΟΙΚΟΎΝΤΩΝ. καταστήσας δὲ Κάλαν σατραπεύειν ἧς Ἀρσίτης ἦρχε, καὶ τοὺς φόρους τοὺς αὐτοὺς ἀποφέρειν τάξας, οὕσπερ Δαρείῳ ἔφερον, ὅσοι μὲν τῶν βαρβάρων κατιόντες ἐκ τῶν ὀρῶν, ἐνεχείριζον σφᾶς, τούτους μὲν ἀπαλλάττεσθαι ἐπὶ τὰ αὐτῶν ἑκάστους ἐκέλευσε. Ζελείτας δὲ ἀφῆκε τῆς αἰτίας, ὅτι πρὸς βίαν ἔγνωσαν συστρατεῦσαι τοῖς βαρβάροις. Δασκύλιον δὲ παραληψόμενον Παρμενίωνα ἐκπέμπει· καὶ παραλαμβάνει Δασκύλιον Παρμενίων, ἐκλιπόντων τῶν φρουρῶν. αὐτὸς δὲ ἐπὶ Σάρδεων προὐχώρει, καὶ ἀπέχοντος αὐτοῦ ὅσον ἑβδομήκοντα σταδίους Σάρδεων, ἧκεν παρ' αὐτὸν Μιθρήνης τε ὁ φρούραρχος τῆς ἀκροπόλεως τῆς ἐν Σάρδεσι, καὶ Σαρδιανῶν οἱ δυνατώτατοι· ἐνδιδόντες οἱ μὲν τὴν πόλιν, ὁ δὲ Μιθρήνης, τὴν ἄκραν καὶ τὰ χρήματα. Ἀλέξανδρος δὲ, αὐτὸς μὲν κατεστρατοπέδευσεν ἐπὶ τῷ Ἕρμῳ ποταμῷ. ἀπέχει δὲ ὁ Ἕρμος ἀπὸ Σάρδεων σταδίους εἴκοσιν· Ἀμύνταν δὲ τὸν Ἀνδρομένους τὴν ἄκραν παραληψόμενον ἐκπέμπει ἐς Σάρδεις. καὶ Μιθρήνην μὲν ἐν τιμῇ ἅμα οἷ ἦγε, Σαρδιανοὺς δὲ καὶ τοὺς ἄλλους Λυδοὺς τοῖς νόμοις τε τοῖς πάλαι Λυδῶν χρῆσθαι ἔδωκε, καὶ ἐλευθέρους εἶναι ἀφῆκεν. ἀνῆλθε δὲ αὐτὸς εἰς τὴν ἄκραν, ἵνα τὸ φρούριον ἦν τῶν Περσῶν· καὶ ἔδοξεν αὐτῷ ὀχυρὸν τὸ χωρίον. ὑπερύψηλόν τε γὰρ ἦν, καὶ ἀπότομον πάντῃ, καὶ τριπλῷ τείχει πεφραγμένον· αὐτὸς δὲ ἐπὶ τῇ ἄκρᾳ ναόν τε οἰκοδομῆσαι Διὸς Ὀλυμπίου ἐπενόει, καὶ βωμὸν ἱδρύσασθαι. σκοποῦντι δὲ αὐτῷ τῆς ἄκρας ὅπερ ἐπιτηδειότατον χωρίον, ὥρᾳ ἔτους ἐξαίφνης χειμὼν ἐπιγίγνεται. καὶ βρονταὶ σκληραὶ καὶ ὕδωρ ἐξ οὐρανοῦ πίπτει οὗ τὰ τῶν Λυδῶν βασίλεια. καὶ ἐντεῦθεν Ἀλεξάνδρῳ ἔδοξεν ἐκ θεοῦ σημανθῆναι, ἵνα χρὴ οἰκοδομεῖσθαι τῷ Διῒ τὸν νεὼν, καὶ οὕτως ἐκέλευσε. κατέλιπε δὲ τῆς μὲν ἄκρας τῆς Σάρδεων ἐπιμελητὴν Παυσανίαν τῶν ἑταίρων· τῶν δὲ φόρων τῆς συντάξεώς τε καὶ ἀποφορᾶς, Νικίαν· Ἄσανδρον δὲ τὸν Φιλώτου, Λυδίας καὶ τῆς ἄλλης τῆς Σπιθριδάτου ἀρχῆς, δοὺς αὐτῷ ἱππέας τε καὶ ψιλοὺς ὅσοι ἱκανοὶ πρὸς τὰ παρόντα ἐδόκουν· Κάλαν δὲ καὶ Ἀλέξανδρον τὸν Ἀερόπου, ἐπὶ τὴν χώραν τὴν Μέμνονος ἐκπέμπει, ἄγοντας τούς τε Πελοποννησίους, καὶ τῶν ἄλλων ξυμμάχων τοὺς πολλοὺς, πλὴν Ἀργείων. οὗτοι δὲ ἐν Σάρδεσι κατελείφθησαν τὴν ἄκραν φυλάττειν. ἐν τούτῳ δὲ, ὡς τὰ ὑπὲρ τῆς ἱππομαχίας ἐξηγγέλθη, οἵ τε τὴν Ἔφεσον φρουροῦντες μισθοφόροι ᾤχοντο φεύγοντες, δύο τριήρεις τῶν Ἐφεσίων λαβόντες. καὶ ξὺν αὐτοῖς Ἀμύντας ὁ Ἀντιόχου, ὃς ἔφυγεν ἐκ Μακεδονίας ὡς Ἀλέξανδρον· παθὼν μὲν οὐδὲν πρὸς Ἀλεξάνδρου, δυσνοίᾳ δὲ τῇ πρὸς Ἀλέξανδρον, καὶ αὐτὸς ἀπαξιώσας τι παθεῖν πρὸς αὐτοῦ ἄχαρι.

A qui hoſtibus merentes, cæſi fuerant. Quotquot verò mercenariorum viui in poteſtatem venerunt, vinctos in Macedoniam ad ergaſtula miſit, quòd contra communẽ Græcorum ſententiam, Græci quum eſſent, in Græcos pro barbaris arma geſſiſſent. Athenas porrò, C C C armaturas Perſicas miſit, quæ Mineruæ in ea vrbe donarij loco ſuſpenderentur: hácque iis inſcriptionem addi iuſsit, ALEXANDER PHILIPPI FILIVS ET GRAECI, LACEDAEMONIIS EXCEPTIS, HAEC DE BARBARIS ASIAM INCOLENTIBVS SPOLIA. B Poſthæc Cala, eius prouinciæ cui Arſites præfuerat, ſatrapa conſtituto, iiſdémque tributis, quæ Dario pendere ſoliti erant, imperatis, barbaros quotquot è montibus deſcendentes, ſeſe dediderunt, ad domos ſuas reuerti iubet. Zelitis quoque culpam remiſit, quòd coactos illos cum barbaris militaſſe ſciret. Parmenionem ad capiendum Daſcylium mittit: ídque cepit præſidio deſtitutum. Ipſe Sardes verſus C mouit: quúmque ab oppido L X X ferme ſtadiis abeſſet, obuiã habuit Mithrenem, præſidij quod in arce erat præfectum, primoribus Sardianorũ comitatũ: atque hi quidem oppidum, Mithrenes arcem & pecuniam dedunt. Alexander ad Hermum flumen caſtra locat. Diſtat id à Sardib⁹ ſtadiis x x. Amyntam Andromenis filium Sardes mittit, qui arcem occupet: ac Mithrenem honorificè ſecum ducit. Sardianis autem, aliiſque Lydis, vt antiquis Lydorum legibus vtantur permittit, liberóſque dimittit. D Ipſe in arcẽ conſcendit, vbi Perſarum præſidium erat. Viſúſque ipſi eſt locus vehementer munitus. Erat enim arx excelſo admodum loco ſita, omníque ex parte prærupta, & triplici muro cincta. Ipſe in ſumma arce templum Ioui Olympio extruendum ſtatuit. Conſideranti verò illi quiſnam arcis locus maximè eam ad rem commodus eſſet, opportuno anni tempore confeſtim tempeſtas, ingentiáque tonitrua excitantur, & vehemens imber è cælo ruit in eam partem vbi Lydorum regia eſt. E Alexandro itaque viſum eſt, à Deo ſignificari, quo loco templum Ioui extruendum eſſet: atque ita fieri imperat. Arcis curam Pauſaniæ vni ex ſociis committit, vectigalium ac tributorum collectionem Niciæ. Aſandrum autem Philotæ filium Lydiæ ac reliquæ Spithridatis prouinciæ præficit: equitéſque & expeditos, qui ad præſentem rerum ſtatum ſufficere videbantur, ei adiungit. Calan autem & Alexandrum Aëropum in Memnonis prouinciam mittit, qui Peloponnẽſes ac ſociorum pleroſque ducant, exceptis Argiuis. F Hi enim Sardibus præſidio arcis relicti erant. Interea, diſperſa paſsim equeſtris illius prælij fama, mercenarij qui apud Epheſum in præſidio erant, duabus Epheſiorum triremibus captis, profugerunt: vnáque cum iis Amyntas Antiochi filius, qui ex Macedonia ab Alexãdro ſe ſubduxerat, non quòd vllam iniuriam ab Alexandro accepiſſet, ſed odio quodam illius cõcepto, indignũ ratus ſi aliquo ab Alexandro incommodo afficeretur.

Vel Mithronem Nam in vet. cod. eſt Μιθρώνης, qui hic Μιθρήνης. itidemque in ſequentibus locis.

Is quum quarto die Epheſum perueniſſet, exules quotquot ab ipſis ciuitate eiecti fuerant, reducit, & oligarchia [ſiue paucorum dominatu] abrogata, "democratiam conſtituit. Tributa quæ barbaris detulerāt, Dianæ pendi iuſsit. Epheſiorum populus, ſublato "oligarchiæ metu, eos qui Memnona adduxerant, quique templum Dianæ ſpoliauerant, & Philippi ſtatuam in eadem æde ſubuerterant, quique Heropythi ſepulcrum, à quo ciuitas in libertatem reducta fuerat, in foro eruerant, ad necem poſcunt. Syrphacem eiúſque filium Pelagontem, & fratrum Syrphacis liberos è templo protractos lapidibus obruunt. In alios Alexander vlterius inquiri aut de iis ſupplicium ſumi vetuit: intelligens nimirum, populum, poteſtate ſibi facta, non tantum in ſontes, ſed in eos etiam qui extra culpam eſſent, partim odio, partim ſpe prædæ ſæuiturum. Et certè, ſi quibus vnquam, his præcipuè rebus in Epheſo geſtis Alexander ſibi laudem comparauit.

Dominatum populi.

Dominatus paucorum.

Dum hæc geruntur, legati ex Magneſia & Trallibus veniunt, qui vrbes Alexādro dedant. Ipſe Parmenionem mittit cum duobus millibus quingentis peditibus exteris, & Macedonibus totidem: equitibus, ex auxiliariis, ducentis. Alcimalum autem Agathoclis filium ad AEolicas vrbes & Ionicas, quæ adhuc in barbarorum poteſtate erant, cum non minoribus copiis emittit. Oligarchias vbique tolli iubet, & democratias earum loco conſtitui, patriáſque leges cunctis reſtitui. tributa etiam, quæ barbaris detulerant, reſcindi. Ipſe Epheſi commoratus, Dianæ ſacrificauit, eique, cum vniuerſo exercitu armato ac veluti ad pugnam inſtructo, pompam miſit. Poſtridie verò cum reliquo peditatu, ſagittariis & Agrianis, Thracum equitatu, & ſociorum copiis, ac cohorte regia, aliiſque inſuper tribus, Miletum profectus eſt, &" Exoda (vrbis id nomen eſt) primo aduentu, quòd præſidio vacua eſſet, cepit: ibique caſtrametatus, interiorem vrbem muro intercludere ſtatuit. Hegeſiſtratus enim, cui Mileſiorum præſidium à rege cõmiſſum erat, antea literas ad Alexandrum de Mileti deditione miſerat: ſed tum, quòd Perſarum exercitum non procul abeſſe ſciret, recepto animo, vrbem Perſis conſeruare ſtatuerat. Cæterùm Nicanor nauales Græcorum copias ducens, Perſas anteuertens, triduo antè appulerat quàm illi Miletum venirent, & centum ſexaginta nauibus ad Laden inſulam, quæ Mileto proxima eſt, portum ceperat. Perſarũ verò naues quum ſerius appuliſſent, & earum ductores Laden à Nicanore præoccupatam eſſe cognoſcerēt, ſub Mycalem montem ſe cum claſſe receperunt. Neque enim ſolùm inſulam illam nauibus in portum ductis Alexander occuparat, verumetiam Thracas, & ſociorum quatuor millia in ipſam tranſmiſerat. Barbarorum claſſis erat nauium circiter quadringentarum. Parmenio, neglecta claſſis magnitudine, ad nauale prelium Alexandrum inſtigat: cum aliis de cauſis ſuperiores nauali pugna Græcos

In vet. cod. eſt Ἔξοδα, non Ἔξωδα.

τετάρτῃ δὲ ἡμέρᾳ ἐς Ἔφεσον ἀφικόμενος, τούς τε φυγάδας, ὅσοι δι' αὐτὸν ἐξέπεσον τῆς πόλεως, κατήγαγε, καὶ τὴν ὀλιγαρχίαν καταλύσας, δημοκρατίαν κατέστησε· τοὺς δὲ φόρους, ὅσους τοῖς βαρβάροις ἀπέφερον, τῇ Ἀρτέμιδι ξυντελεῖν ἐκέλευσεν. ὁ δὲ δῆμος ὁ τῶν Ἐφεσίων, ὡς ἀφῃρέθη αὐτοῖς ὁ ἀπὸ τῶν ὀλίγων φόβος, τούς τε Μέμνονα ἐπαγομένους, καὶ τοὺς τὸ ἱερὸν συλήσαντας τῆς Ἀρτέμιδος, καὶ τοὺς τὴν εἰκόνα τοῦ Φιλίππου τὴν ἐν τῷ ἱερῷ καταβαλόντας, καὶ τὸν τάφον ἐκ τῆς ἀγορᾶς ἀνορύξαντας τὸν Ἡροπύθου, τοῦ ἐλευθερώσαντος τὴν πόλιν, ὥρμησαν ἀποκτεῖναι. καὶ Σύρφακα μὲν, καὶ τὸν παῖδα αὐτοῦ Πελάγοντα, καὶ τοὺς τῶν ἀδελφῶν τοῦ Σύρφακος παῖδας ἐκ τοῦ ἱεροῦ ἐξαγαγόντες κατέλευσαν· τοὺς δὲ ἄλλους διεκώλυσεν Ἀλέξανδρος προσωτέρω ἐπιζητεῖν καὶ τιμωρεῖσθαι· γνοὺς ὅτι ὁμοῦ τοῖς αἰτίοις, καὶ οὐ ξὺν δίκῃ, τινὰς, τοὺς μὲν, κατ' ἔχθραν, τοὺς δὲ κατὰ ἁρπαγὴν χρημάτων ἀποκτενεῖ, ξυγχωρηθὲν αὐτῷ, ὁ δῆμος. καὶ εἰ δή τῳ ἄλλῳ, καὶ τοῖς ἐν Ἐφέσῳ πραχθεῖσιν, Ἀλέξανδρος ἐν τῷ τότε εὐδοκίμει.

Ἐν τούτῳ δὲ ἐκ Μαγνησίας τε καὶ Τράλλεων παρ' αὐτὸν ἧκον, ἐνδιδόντες τὰς πόλεις· καὶ ὃς πέμπει Παρμενίωνα, δοὺς αὐτῷ δισχιλίους καὶ πεντακοσίους πεζοὺς τῶν ξένων, καὶ Μακεδόνας παραπλησίους, ἱππέας δὲ τῶν ἑταίρων ἐς διακοσίους· Ἀλκίμαχον δὲ τὸν Ἀγαθοκλέους, ἐπὶ τὰς Αἰολίδας τε πόλεις ξὺν δυνάμει οὐκ ἐλάττονι ἐξέπεμψε, καὶ ὅσαι Ἰωνικαὶ ὑπὸ τοῖς βαρβάροις ἔτι ἦσαν. καὶ τὰς μὲν ὀλιγαρχίας πανταχοῦ καταλύειν ἐκέλευσε, δημοκρατίας δέ γε ἐγκαθιστάναι, καὶ τοὺς νόμους τοὺς σφῶν ἑκάστοις ἀποδοῦναι· καὶ τοὺς φόρους ἀνεῖναι, ὅσους τοῖς βαρβάροις ἀπέφερον. αὐτὸς δὲ ἐπιμείνας ἐν Ἐφέσῳ, θυσίαν τε ἔθυσε τῇ Ἀρτέμιδι, καὶ πομπὴν ἔπεμψε ξὺν τῇ στρατιᾷ πάσῃ ὡπλισμένῃ τε καὶ ὡς ἐς μάχην ξυντεταγμένῃ. τῇ δ' ὑστεραίᾳ ἀναλαβὼν τῶν τε πεζῶν τοὺς λοιποὺς, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, καὶ τοὺς Θρᾷκας ἱππέας, καὶ τῶν ἑταίρων τήν τε βασιλικὴν ἴλην, καὶ πρὸς ταύτῃ τρεῖς ἄλλας, ἐπὶ Μιλήτου ἐστέλλετο. καὶ τὴν μὲν Ἔξωδα καλουμένην πόλιν ἐξ ἐφόδου ἔλαβεν, ἐκλιπούσης τῆς φυλακῆς· ἐνταῦθα δὲ καταστρατοπεδεύσας, ἔγνω ἀποτειχίζειν τὴν εἴσω πόλιν. Ἡγησίστρατος γὰρ ὅτῳ ἡ φρουρὰ ἡ Μιλησίων ἐκ βασιλέως ἐπιτέτραπτο, πρόσθεν γράμματα παρ' Ἀλέξανδρον ἔπεμπεν, ἐνδιδοὺς τὴν Μίλητον· τότε δὲ ἀναθαρρήσας ἐπὶ τῷ Περσῶν στρατῷ οὐ μακρὰν ὄντι, διασώζειν τοῖς Πέρσαις ἐπενόει τὴν πόλιν. Νικάνωρ δὲ τὸ Ἑλληνικὸν ναυτικὸν ἄγων, ὑποφθάνει τοὺς Πέρσας, τρισὶν ἡμέραις πρότερος καταπλεύσας ἢ τοὺς Πέρσας Μιλήτῳ προσχεῖν· καὶ ὁρμίζεται ναυσὶν ἑξήκοντα καὶ ἑκατὸν ἐν τῇ νήσῳ τῇ Λάδῃ· κεῖται δὲ αὕτη ἐπὶ τῇ Μιλήτῳ. αἱ δὲ τῶν Περσῶν νῆες ὑστερήσασαι, ἐπειδὴ ἔμαθον οἱ ναύαρχοι τῶν ἀμφὶ Νικάνορα τὴν ἐν τῇ Λάδῃ προκαταγωγὴν, πρὸς τῇ Μυκάλῃ τῷ ὄρει ὡρμίσθησαν· τὴν γὰρ Λάδην τὴν νῆσον προκατειλήφει Ἀλέξανδρος, οὐ τῶν νεῶν μόνον τῇ ἐγκαθορμίσει, ἀλλὰ καὶ τοὺς Θρᾷκας, καὶ τῶν ἄλλων ξένων ἐς τετρακισχιλίους διαβιβάσας ἐς αὐτήν. ἦσαν δὲ τῶν βαρβάρων αἱ νῆες, ἀμφὶ τὰς τετρακοσίας. Παρμενίων μὲν δὴ καὶ ὣς παρῄνει Ἀλεξάνδρῳ ναυμαχεῖν, τά τε ἄλλα κρατήσειν τῷ ναυτικῷ τοὺς Ἕλ-

λλως ἐπελπίζων, καί τι καὶ θεῖον ἀνέπειθεν αὐτὸν, ὅτι ἀετὸς ὤφθη καθήμενος ἐπὶ τοῦ αἰγιαλοῦ κατὰ πρύμναν τῶν Ἀλεξάνδρου νεῶν. καὶ δὴ νικήσαντας μὲν, μεγάλα ὠφεληθήσεσθαι ἐς τὰ ἄλλα, νικηθεῖσι δὲ, οὐ παρὰ μέγα ἔσεσθαι τὸ πταῖσμα· καὶ ὣς γὰρ θαλασσοκρατεῖν τοὺς Πέρσας. καὶ αὐτὸς δὲ ἔφη ἐπιβῆναι ἐθέλειν τῶν νεῶν, καὶ τοῦ κινδύνου μετέχειν. Ἀλέξανδρος δὲ τῇ τε γνώμῃ ἁμαρτάνειν ἔφη Παρμενίωνα, καὶ τοῦ σημείου τῇ οὐ κατὰ τὸ εἰκὸς ξυμβλήσει. ὀλίγαις τε γὰρ ναυσὶ πρὸς πολλῷ πλείους ξὺν οὐδενὶ λογισμῷ ναυμαχήσειν, καὶ οὐ μεμελετηκότι τῷ σφῶν ναυτικῷ, πρὸς ἠσκημένον τὸ τῶν Κυπρίων τε καὶ Φοινίκων. τήν τε ἐμπειρίαν τῶν Μακεδόνων καὶ τὴν τόλμαν ἐν ἀβεβαίῳ χωρίῳ οὐκ ἐθέλειν παραδοῦναι τοῖς βαρβάροις· καὶ ἡττηθεῖσι τῇ ναυμαχίᾳ οὐ μικρὰν τὴν βλάβην ἔσεσθαι ἐς τοῦ πολέμου τὴν πρώτην δόξαν· τά τε ἄλλα, καὶ τοὺς Ἕλληνας νεωτεριεῖν, πρὸς τοῦ ναυτικοῦ πταίσματος τὴν ἀπαγγελίαν ἐπαρθέντας. ταῦτα μὲν τῷ λογισμῷ ξυντιθεὶς, οὐκ ἐν καιρῷ ἀπέφαινε ναυμαχεῖν· τὸ θεῖον δὲ αὐτὸς ἄλλῃ ἐξηγεῖσθαι. εἶναι μὲν γὰρ πρὸς αὐτοῦ τὸν ἀετόν. ἀλλ' ὅτι ἐπὶ γῆς καθήμενος ἐφαίνετο, δοκεῖν οἱ μᾶλλόν τι σημαίνειν ὅτι ἐκ τῆς γῆς κρατήσει τοῦ Περσῶν ναυτικοῦ. Καὶ ἐν τούτῳ Γλαύκιππος, ἀνὴρ τῶν δοκίμων ἐν Μιλήτῳ, ἐκπεμφθεὶς παρὰ Ἀλέξανδρον παρὰ τοῦ δήμου τε καὶ τῶν ξένων τῶν μισθοφόρων, οἷς μᾶλλόν τι ἐπιτέτραπτο ἡ πόλις, τά τε τείχη ἔφη ἐθέλειν τοὺς Μιλησίους καὶ τοὺς λιμένας παρέχειν κοινοὺς Ἀλεξάνδρῳ καὶ Πέρσαις· καὶ τὴν πολιορκίαν ἐπὶ τούτοις λύειν ἠξίου. Ἀλέξανδρος δὲ Γλαυκίππῳ μὲν προστάσσει ἀπαλλάττεσθαι κατὰ τάχος ἐς τὴν πόλιν, καὶ Μιλησίοις ἀπαγγέλλειν παρασκευάζεσθαι, ὡς μαχουμένους ἕωθεν· αὐτὸς δὲ ἐπιστήσας τῷ τείχει μηχανὰς, καὶ τὰ μὲν καταβαλὼν δι' ὀλίγου τῶν τειχῶν, τὰ δὲ κατασείσας ἐπὶ πολὺ, προσῆγε τὴν στρατιὰν, ὡς ἐπιβησομένους ᾗ κατερήριπτο ἢ ἐσεσάλευτο τὸ τεῖχος, ἐφομαρτούντων καὶ μονονοὺ θεωμένων τῶν Περσῶν ἀπὸ τῆς Μυκάλης πολιορκουμένους τοὺς φίλους σφῶν καὶ ξυμμάχους. ἐν τούτῳ δὲ καὶ οἱ ἀμφὶ Νικάνορα ἀπὸ τῆς Λάδης τὴν ὁρμὴν τῶν ξὺν Ἀλεξάνδρῳ κατιδόντες, ἐς τὸν λιμένα ἐπέπλεον τῶν Μιλησίων, παρὰ γῆν τὴν εἰρεσίαν ποιούμενοι, καὶ κατὰ τὸ στόμα τοῦ λιμένος, ᾗπερ τὸ στενώτατον ἦν, ἀντιπρῴρους βύζην τὰς τριήρεις ὁρμίσαντες, ἀποκεκλείκεσαν, τῷ μὲν Περσικῷ ναυτικῷ τὸν λιμένα, τοῖς Μιλησίοις δὲ τὴν ἐκ τῶν Περσῶν ὠφέλειαν. ἔνθα οἱ Μιλήσιοί τε καὶ οἱ μισθοφόροι, πανταχόθεν ἤδη προσκειμένων σφίσι τῶν Μακεδόνων, οἱ μὲν αὐτῶν ῥιπτοῦντες σφᾶς ἐν τῇ θαλάσσῃ ἐπὶ τῶν ἀσπίδων ὑπτίων, ἐς νησῖδά τινα ἀνώνυμον τῇ πόλει ἐπικειμένην διενήχοντο· οἱ δὲ, ἐς κελήτια ἐμβαίνοντες, καὶ ἐπειγόμενοι ὑποφθάσαι τὰς τριήρεις τῶν Μακεδόνων, ἐγκατελήφθησαν ἐν τῷ στόματι τοῦ λιμένος πρὸς τῶν τριηρῶν· οἱ δὲ πολλοὶ ἐν αὐτῇ τῇ πόλει ἀπώλλυντο. Ἀλέξανδρος δὲ, ἐχομένης ἤδη τῆς πόλεως, ἐπὶ τοὺς ἐς τὴν νῆσον καταπεφευγότας ἐπέπλει αὐτὸς, καὶ βάκχας φέρειν ἐπὶ τὰς πρῴρας τῶν τριηρῶν κελεύσας, ὡς κατὰ τὰ ἀπότομα τῆς νήσου, καθάπερ πρὸς τεῖχος, ἐκ τῶν νεῶν τὴν ἀπόβασιν ποιησόμενος. ὡς δὲ διακινδυνεύειν ἐθέλοντας τοὺς ἐν τῇ νήσῳ ἑώρα, οἶκτος λαμβάνει αὐτὸν τῶν

A ſore ſperans, tum vel eo præcipuè perſuaſus, quòd aquila à puppi claſſis Alexandri in littore ſubſiſtens viſa eſſet: quódque, ſi vincerent, magnum inde ᵃad alia adiumentum, ſi vincerētur, non magnum detrimētum percepturus videretur. Nanque, vt maximè à prælio abſtineretur, maris imperium penes Perſas eſſe: ſe libenter naues conſcenſurum, & periculi partem ſubiturum. Alexander Parmenionem opinione ſua falli reſpondit, neque rectè augurium interpretari. parum enim prudenter facturū ſe, ſi cum tam paucis
B nauibus aduerſus multo plures pugnet: cúmque parum excitato in re nauali milite, aduerſus exercitatiſsimos Cyprios ac Phœnices eat. Neque velle ſe vt barbari Macedonum peritiam atque virtutem loco inſtabili experiantur: &, ſi nauali prælio ſuccumbant, non exiguum damnum inde ſecuturum ad primam de bello opinionem. Præterea Græcos naualis cladis nuntio excitatos, nouas res molituros. Quibus rebus cum animo ſuo perpenſis, naualem pugnam parum eo tem-
C pore conſultam fore iudicauit. Augurium verò ſe aliter exponere: atque aquilam quidem ad ſe pertinere, at quòd humi ſubſidiſſet, id potius ſibi portendi videri, ſe ex terra Perſarum claſſem victurum. Inter hæc Glaucippus, vnus ex Mileteſium primoribus, ad Alexandrum à populo & mercenariis, quibus potiſsimum vrbs commiſſa erat, miſſus, exponit velle Mileſios muros ac portus Alexandro & Perſis communes præbere, vtque obſidionem ea conditione ſoluat.
D Alexander Glaucippo, vt confeſtim ſe in vrbem recipiat, iubet, Mileſiiſque renuntiet vti ſe in proximam auroram ad pugnam parent. Ipſe, machinis ad mœnia admotis, & muro breui tempore partim quaſſato, partim latè diruto, exercitum propius adduxit, vt qua aut demolitus aut labefactatus murus erat, irrumperet, Perſis in portu manentibus, ac tantum non ex Mycale amicos ſuos ac ſocios obſeſſos ſpectantibus. Interea Nicanor ex Lade inſula Alexandri motum proſpiciens, iuxta littus remigans in Mileſiorum
E portum nauigat, atque in ipſis portus faucibus, vbi quamminimum ſpatij erat, conſertos vtrinque triremium ordines, proris mare verſus ſpectantibus collocans, Perſicæ claſſi portus aditum & Mileſiis Perſarum ſubſidium præcludit. Tum Mileſij & mercenarij, irruentibus iam in eos vndequaque Macedonibus, alij ſeſe in mare proiicientes, ſcutis ſupinis incumbentes in paruam quandam inſulam vrbi proximam (nomen inſulæ obſcurum eſt) traiecerunt: alij, inſcenſis lembis, quū Macedonum triremes effugere co-
F narētur, ad fauces portus capti fuerunt: multi in ipſa vrbe interfecti. Alexander vrbe potitus, eos qui in inſulam profugerant claſſe petit, ᵇſcalis in proris nauium portari iuſsis, vtpote in abrupta inſulæ veluti in murum ex nauibus conſcenſurus. Vt verò inſulares extrema tentare velle vidit, commiſeratione illorum hominum captus eſt,

Ad ſummam rerum. Vel, ad ſummam belli. legēdo ἐς τὰ ὅλα, vt in vet.

Βάκχας Fac. vertit pontes.

quòd & generoſi & fidi eſſe viderentur. Ea itaque conditione cum iis pactus eſt, vt ſecum militarent. Erant porrò ii mercenarii Græci trecenti. Mileſiis, quotquot in expugnatione vrbis cæſi non fuerant, vitam & libertatem dedit. At barbari à Mycale mouentes, interdiu quidē in Græcanicæ claſsis conſpectum adnauigabant, ſperantes illos ad naualem pugnam prouocari poſſe: noctu ad ſtationem ſuam, parum commodam, ſeſe recipiebant, quòd à Mæandri fluminis oſtiis, procul inde, aquari eos oporteret. Alexander, Mileti portu nauibus inſeſſo, ne barbari vi facta in eum ſe recipere poſſent, Philotam ad Mycalem mittit cum equitatu & peditum tribus agminibus, vt *barbaros deſcenſione in terram prohibeat iubens. Barbari, aquæ cæterarúmque rerum neceſſariarum inopia, tantumnon in nauibus obſeſſi, in Samum nauigarunt: ſumptóque inde commeatu, Miletum redeunt, plurimáſque naues ante portum in alto conſtituunt, vt Macedonas in æquor prouocent: quinque autem earum in portum quendam qui inter aliam illam inſulam & exercitum medius erat, ſeſe iniecerunt, ea ſpe vt vacuas Alexandri naues caperent: quòd nautas procul à nauibus diſperſos eſſe ſciret, alios lignatū, alios ad importanda neceſſaria, alios prædatū egreſſos eſſe. Et pars quidem naualiū ſociorum aberat: Alexander, ex iis qui præſtò erant, decem naues inſtruens, vt quinque Perſarum naues adnauigantes vidit, confeſtim obuiam iis mittit, vtque aduerſis proris in eas ferantur iubet. Perſæ Macedonas præter omnē expectationem in ſe ferri conſpicati, ſubitò conuerſi ad reliquam claſſem confugiunt: ac Iaſſeorum quidem nauis remigio tardior in fuga capta eſt: reliquæ quatuor fuga elapſæ ad ſuas triremes peruenerunt. atque ita quidem Perſæ re infecta Mileto cum claſſe diſceſſerunt. Alexander claſſem diſſoluere ſtatuit, partim quòd pecuniæ inopia tum temporis premeretur, partim quòd Perſicæ claſsi impar eſſet: ſed neque vllam exercitus ſui partem periculo exponere vellet. Animaduertebat præterea, quum iam Aſiam terreſtribus copiis teneret, ſe claſſe non egere, quódque maritimis oppidis captis, facilè vt Perſæ claſſem dimitterent eſſet effecturus. Neque enim vnde remiges in ſupplementum acciperent, neque quò ſe in Aſia reciperent, habere. Aquilam etiam ita interpretatus eſt, quòd ſignificaret ipſum è continente naues victurum. His rebus ita peractis in Cariam mouit, quòd apud Halicarnaſſum non exiguæ tum barbarorum tum exterorum copiæ eſſe nuntiabantur. Omnibus porrò quæ inter Miletum & Halicarnaſſum ſita ſunt, oppidis primo aduentu captis, quinque ab vrbe ſtadiis caſtra locat: quòd diuturna obſidio futura videretur. Nam vrbs & natura loci munita erat, & vbi aliquid ad munitionem deeſſe viſum fuerat, hoc omne Memnon, qui iam aderat, inferioris Aſiæ totiúſque claſsis præfectus à Dario declaratus, multo antea pro-

*In vet. cod. pro αὐτοὺς ſcriptum eſt τοὺς ἀπὸ τῶν νεῶν.

A ἄνδρας, ὅτι γενναῖοί τε καὶ πιστοὶ αὐτῷ ἐφαίνοντο. καὶ σπένδεται πρὸς αὐτοὺς ἐπὶ τῷδε, ὡς αὐτῷ ξυστρατεύειν. ἦσαν δὲ οὗτοι μισθοφόροι Ἕλληνες ἐς τριακοσίους. αὐτοὺς δὲ Μιλησίους, ὅσοι μὴ ἐν τῇ καταλήψει τῆς πόλεως ἔπεσον, ἀφῆκε, καὶ ἐλευθέρους εἶναι ἔδωκεν. οἱ δὲ βάρβαροι, ἀπὸ τῆς Μυκάλης ὁρμώμενοι, τὰς μὲν ἡμέρας ἐπέπλεον τῷ Ἑλληνικῷ ναυτικῷ, προκαλέσεσθαι ἐς ναυμαχίαν ἐλπίζοντες· τὰς δὲ νύκτας πρὸς τῇ Μυκάλῃ οὐκ ἐν καλῷ ὡρμίζοντο, ὅτι ὑδρεύεσθαι B ἀπὸ τοῦ Μαιάνδρου ποταμοῦ τῶν εἰσβολῶν διὰ μακροῦ ἠναγκάζοντο. Ἀλέξανδρος δὲ, ταῖς μὲν ναυσὶ τὸν λιμένα ἐφύλαττε τῶν Μιλησίων, ὡς μὴ βιάσαιντο οἱ βάρβαροι τὸν ἔσπλουν. ἐκπέμπει δ᾽ ἐς τὴν Μυκάλην Φιλώταν, ἄγοντα τούς τε ἱππέας καὶ τῶν πεζῶν τάξεις τρεῖς, παραγγείλας εἴργειν τῆς ἀποβάσεως αὐτούς. οἱ δὲ, ὕδατός τε σπάνει καὶ τῶν ἄλλων ἐπιτηδείων οὐδὲν ἄλλο ὅτι μὴ πολιορκούμενοι ἐν ταῖς ναυσὶν, ἐς Σάμον ἀπέπλευσαν· ἐκεῖθεν δὲ ἐπισιτισάμενοι, αὖθις ἐπέπλεον τῇ Μιλήτῳ. καὶ τὰς μὲν πολλὰς τῶν C νεῶν πρὸ τοῦ λιμένος ἐν μετεώρῳ παρέταξαν, εἴ πῃ ἐκκαλέσαιντο ἐς τὸ πέλαγος τοὺς Μακεδόνας· πέντε δὲ αὐτῶν εἰσέπλευσαν εἰς τὸν μεταξὺ τῆς τε ἄλλης νήσου καὶ τοῦ στρατοπέδου λιμένα, ἐλπίσαντες κενὰς καταλήψεσθαι τὰς Ἀλεξάνδρου ναῦς. ὅτι τοὺς ναύτας ἀποσκεδάννυσθαι ἐπὶ πολὺ ἀπὸ τῶν νεῶν, τοὺς μὲν ἐπὶ φρυγανισμῷ, τοὺς δὲ ἐπὶ ξυγκομιδῇ τῶν ἐπιτηδείων, τοὺς δὲ, καὶ εἰς προνομὰς ταττομένους, πεπυσμένοι ἦσαν. ἀλλὰ μέρος μέν τι ἀπῆν τῶν ναυτῶν· ἐκ δὲ τῶν παρόντων ξυμπληρώσας Ἀλέξανδρος δέκα ναῦς, ὡς προσ- D πλεούσας τὰς πέντε τῶν Περσῶν κατεῖδε, πέμπει ἐπ᾽ αὐτὰς κατὰ σπουδὴν, ἐμβάλλειν ἀντιπρώρους κελεύσας. οἱ δὲ ἐν ταῖς πέντε ναυσὶ τῶν Περσῶν, ὡς παρ᾽ ἐλπίδα ἀναγομένους τοὺς Μακεδόνας ἐπὶ σφᾶς εἶδον, ὑποστρέψαντες ἐκ πολλοῦ ἔφευγον πρὸς τὸ ἄλλο ναυτικόν. καὶ ἡ μὲν Ιασέων ναῦς ἁλίσκεται αὐτοῖς ἀνδράσιν ἐν τῇ φυγῇ, οὐ ταχυναυτοῦσα· αἱ δὲ τέσσαρες ἔφθησαν καταφυγεῖν εἰς τὰς οἰκείας τριήρεις. οὕτω μὲν δὴ ἀπέπλευσαν ἄπρακτοι ἐκ Μιλήτου οἱ Πέρσαι. Ἀλέξανδρος δὲ καταλῦσαι ἔγνω τὸ ναυτικὸν, χρημάτων τε E ἐν τῷ τότε ἀπορίᾳ, καὶ ἅμα οὐκ ἀξιόμαχον ὁρῶν τὸ αὑτοῦ ναυτικὸν τῷ Περσικῷ· οὔκουν οὐδ᾽ ἐθέλων μέρει τινὶ τῆς στρατιᾶς κινδυνεύειν. ἄλλως τε ἐπενόει, κατέχων ἤδη τῷ πεζῷ τὴν Ἀσίαν, ὅτι οὔτε ναυτικοῦ ἔτι δέοιτο, τάς τε παραλίους πόλεις λαβὼν, καταλύσει τὸ Περσῶν ναυτικὸν, οὔτε ὁπόθεν τὰς ὑπηρεσίας συμπληρώσουσιν, οὔτε ὅποι τῆς Ἀσίας προσέξουσιν ἔχοντες. καὶ τὸν αἰετὸν ταύτῃ συνέβαλλεν, ὅτι ἐσήμαινεν αὐτῷ ἐκ τῆς γῆς κρατήσειν τῶν νεῶν. ταῦτα δὲ διαπραξάμενος, F ἐπὶ Καρίας ἐστέλλετο, ὅτι ἐν Ἁλικαρνασῷ συνεστηκέναι οὐ φαύλην δύναμιν τῶν τε βαρβάρων καὶ ξένων ἐξηγγέλλετο. ὅσαι δὲ ἐν μέσῳ πόλεις Μιλήτου τε καὶ Ἁλικαρνασοῦ, ταύτας ἐξ ἐφόδου λαβὼν, καταστρατοπεδεύει πρὸς Ἁλικαρνασῷ, ἀπέχων τῆς πόλεως ἐς πέντε μάλιστα σταδίους, ὡς ἐπὶ χρονίῳ πολιορκίᾳ. ἥ τε γὰρ φύσις τοῦ χωρίου ὀχυρὸν ἐποίει αὐτὸ, καὶ ὅπῃ τι ἐνδεῖν ὡς πρὸς ἀσφάλειαν ἐφαίνετο, ξύμπαντα ταῦτα Μέμνων τε αὐτὸς παρὼν ἤδη, ἀποδεδειγμένος πρὸς Δαρείου τῆς τε κάτω Ἀσίας καὶ τοῦ ναυτικοῦ παντὸς ἡγεμὼν, ἐκ πολλοῦ παρεσκευάκει. καὶ στρατιῶται

A πολλοὶ μὲν ξένοι ἐν τῇ πόλει ἐγκατελείφθησαν, πολλοὶ δὲ καὶ Περσῶν αὐτῶν. αἵ τε τριήρεις ἐφώρμουν τῷ λιμένι, ὡς καὶ ἀπὸ τῶν ναυτῶν πολλὴν ὠφέλειαν γίγνεσθαι ἐς τὰ ἔργα. τῇ μὲν δὴ πρώτῃ ἡμέρᾳ προσάγοντος Ἀλεξάνδρου τῷ τείχει, κατὰ τὰς ἐπὶ Μύλασα φερούσας πύλας, ἐκδρομή τε γίγνεται τῶν ἐκ τῆς πόλεως καὶ ἀκροβολισμός· καὶ τούτους οὐ χαλεπῶς ἀνέστειλάν τε οἱ παρ' Ἀλεξάνδρου ἀντεκδραμόντες, καὶ ἐς τὴν πόλιν κατέκλεισαν. οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις Ἀλέξανδρος ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τὴν τῶν ἑταίρων ἵππον, καὶ τὴν Ἀμύντου τε καὶ Περδίκκου B καὶ Μελεάγρου τάξιν τὴν πεζικήν, καὶ πρὸς τούτοις τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας, περιῆλθε τῆς πόλεως ἐς τὸ πρὸς Μύνδον μέρος, τό, τε τεῖχος κατοψόμενος, εἰ ταύτῃ ἐπιμαχώτερον τυγχάνοι ὂν ἐς τὴν προσβολήν, καὶ ἅμα εἰ τὴν Μύνδον ἐξ ἐπιδρομῆς δύναιτο λαθὼν κατασχεῖν. ἔσεσθαι γὰρ οὐ σμικρὰν τὴν ὠφέλειαν ἐς τὴν τῆς Ἁλικαρνασσοῦ πολιορκίαν, τὴν Μύνδον οἰκείαν γενομένην. καίτοι ἐνεδίδοτο αὐτῷ ἐκ τῶν Μυνδίων, εἰ λάθοι νυκτὸς προσελθών. αὐτὸς μὲν δὴ κατὰ τὰ συγκείμενα ἀμφὶ μέσας νύκτας προσῆλθε τῷ C τείχει· ὡς δὲ οὐδὲν ἐνεδίδοτο ἀπὸ τῶν ἔνδον, αἵ τε μηχαναὶ καὶ αἱ κλίμακες αὐτῷ οὐ παρῆσαν, οἷα δὴ οὐκ ἐπὶ πολιορκίαν σταλέντι, ἀλλ' ὡς ἐπὶ προδοσίᾳ ἐνδιδομένης τῆς πόλεως, προσήγαγε καὶ ὣς τῶν Μακεδόνων τὴν φάλαγγα, ὑπορύττειν κελεύσας τὸ τεῖχος. καὶ ἕνα γε πύργον κατέβαλον οἱ Μακεδόνες· οὐ μέντοι ἐγύμνωσέ γε τὸ τεῖχος πεσών. καὶ οἱ ἐκ τῆς πόλεως ἅμα δι' ἐρρωμένως ἀμυνόμενοι, καὶ ἐκ τῆς Ἁλικαρνασσοῦ ἤδη κατὰ θάλασσαν πολλοὶ παραβεβοηθηκότες, ἄ- D πορον ἐποίησαν τῷ Ἀλεξάνδρῳ τὴν αὐτοσχέδιόν τε καὶ ἐξ ἐπιδρομῆς κατάληψιν τῆς Μύνδου. οὕτω μὲν δὴ ἐπανέρχεται Ἀλέξανδρος, οὐδὲν πράξας ὧν ἕνεκα ὡρμήθη· καὶ τῇ πολιορκίᾳ τῆς Ἁλικαρνασσοῦ αὖθις προσεῖχε. καὶ τὰ πρῶτα μὲν, τὴν τάφρον ἣ πρὸ τῆς πόλεως ὀρώρυκτο αὐτοῖς, πλάτος μὲν, τριάκοντα μάλιστα πηχῶν, τὸ δὲ βάθος, ἐς πεντεκαίδεκα, ἐχώννυε, τοῦ ῥᾳδίαν εἶναι τὴν προσαγωγὴν τῶν τε πύργων, ἀφ' ὧν ἔμελλε τοὺς ἀκροβολισμοὺς ἐς τοὺς προμαχομένους τοῦ τείχους ποιεῖσθαι, καὶ τῶν ἄλλων μηχα- E νῶν αἷς κατασείειν ἐπενόει τὸ τεῖχος. καὶ ἥ τε τάφρος αὐτῷ ἐχώσθη οὐ χαλεπῶς, καὶ οἱ πύργοι προσήγοντο ἤδη. οἱ δὲ ἐκ τῆς Ἁλικαρνασσοῦ, νυκτὸς ἐκδραμόντες, ὡς ἐμπρῆσαι τούς τε πύργους, καὶ ὅσαι ἄλλαι μηχαναὶ προσηγμέναι, ἢ οὐ πόρρω τοῦ προσάγεσθαι ἦσαν, ὑπὸ τῶν φυλάκων τε τῶν Μακεδόνων, καὶ ὅσοι ἐν αὐτῷ τῷ ἔργῳ ἐξεγερθέντες παρεβοήθησαν, οὐ χαλεπῶς κατεκλείσθησαν εἰς τὰ τείχη αὖθις· καὶ ἀπέθανον αὐτῶν ἄλλοι τε ἐς ἑβδομήκοντα καὶ ἑκατόν, καὶ ὁ Νεοπτό- F λεμος ὁ Ἀρραβαίου τοῦ Ἀμύντου ἀδελφός, τῶν παρὰ Δαρεῖον αὐτομολησάντων. τῶν δὲ Ἀλεξάνδρου στρατιωτῶν ἀπέθανον μὲν ἐς ἑκκαίδεκα, τραυματίαι δὲ ἐγένοντο ἐς τριακοσίους· ὅτι ἐν νυκτὶ γενομένης τῆς ἐκδρομῆς, ἀφυλακτότεροι ἐς τὸ τιτρώσκεσθαι ἦσαν.

Οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον, δύο τῶν Μακεδόνων ὁπλῖται ἐκ τῆς ὑπὸ Περδίκκου τάξεως, ξυσκηνοῦντες, καὶ ἅμα ξυμπίνοντες, αὐτόν τε καὶ τὰ αὑτοῦ ἑκάτερος ἐπὶ μέγα τῷ λόγῳ ἦγεν. ἔνθα δὴ φιλοτιμία τε ἐσπίπτει αὐτοῖς (καί τι καὶ ὁ οἶνος ὑπεθέρμαινεν)

A curarat. Et veterani quidem milites mercenarij non pauci vrbis præſidio impoſiti erant, multi etiam Perſæ. Triremes etiam in portum duxerat, quòd & nautarum opera magno vſui eſſe poſſet. Igitur primo ſtatim die Alexandro exercitum ad muros adducente, ad portas quæ Mylaſſa ferunt, magna continuò ex vrbe excurſio fit, & velitaris pugna excitatur. At Macedones contrà in eos excurrentes, paruo negotio repreſſerunt, atque in vrbem repulerũt. Paucis poſt B diebus Alexander, ſumtis ſcutatis & amicorum equitatu, & Perdiccæ atque Meleagri pedeſtribus copiis, ac præter hos ſagittariis, & Agrianis, vrbem qua Myndum ſpectat, obambulat, murum exploraturus an ea parte commodius oppugnari, & an Myndo pariter ſubita atque improuiſa excurſione potiri poſſet. Myndi enim acceſsionem magno ſibi adiumento ad Halicarnaſſi obſidionem fore cenſebat. Et quidem nonnulli Myndenſes deditionem Alexandro polliciti erant, ſi clam per noctem acceſsiſſet. Nocte C igitur intempeſta, vti conuenerat, ad muros venit: quumque oppidanos nihil de deditione agitare videret, neque machinæ ac ſcalæ ad manum eſſent, quod non oppugnaturus, ſed proditione vrbem recepturus venerat, nihilominus tamen Macedonum phalange propius admota murum ſuffodi iubet: qui ſtatim vnam turrim ſubuertunt: "cuius tamen ruina murum non nudauit. Oppidani ſumma vi reſiſtentes & ab Halicarnaſ- D ſæis, qui mari eò venerant, adiuti, Alexandri de capienda facilè primo impetu Myndo ſpem irritam fecerunt. Ita Alexander rebus, quarum cauſa venerat, infectis reuertitur, & ad Halicarnaſſi obſidionem ruſus ſe confert. ac primùm omnium foſſam quam oppidani ante vrbem duxerant, triginta ſummùm cubitorum latitudine, altitudine quindecim, repleri iubet, quò facilius turres è quibus in propugnatores iacularentur, adduci, aliæque machinæ, quibus murum quatere ſtatuerat, admoueri poſſent. Foſſa haud dif- E ficulter repleta, turres iam adduci cœperant, quum Halicarnaſſæi noctu excurrentes, animo incendendi & turres & reliquas machinas quæ iam admotæ erant, aut parum aberat quin admouerentur, à Macedonibus quibus cuſtodia machinarum erat commiſſa, aliiſque qui tumultu excitati accurrerunt, paruo negotio intra mœnia repulſi ſunt. Cæſi ſunt in hoc conflictu ex Halicarnaſſæis, C L X X. in quibus, Neoptolemus Arrabæi filius, Amyntæ frater, vnus eorum qui ad Darium transfugerant. Ex Alexandri autem militibus X V I deſiderati: vulnerati circiter C C C, quòd quum noctu excurſio illa facta eſſet, minus caueri & euitari telorum iactus poſſent.

Paucis pòſt diebus duo "armigeri cõtubernales, quũ inter pocula ſuas quiſque virtutes & facta magnificis verbis extolleret, contentione de honore inter ſeſe orta, animiſque vino excandeſcentibus, armati ad muros quà

Pac. vertit Qua collapſa, murus defenſore nudatus eſt. Quaſi ἐ μήτοι legeretur. at ego negationem retineo, ſed itidem πεσὼν lego, non πεσεῖν.

Ita vocat Suetonius milites qui alioqui dicuntur grauis armaturæ

ſummum iugum Mylaſſa verſus ſpectat, ſe conferunt, oſtētatione potius roboris, quàm animo periculoſi cum hoſtibus conflictus adeundi. Hos oppidani quidam conſpicati duos modò eſſe, & temerè murum petere, excurrunt. Illi, ſiqui propius ad ſe veniſſent, interficiunt, remotiores telis petunt, ſuperati & multitudine & loci difficultate, quòd ex editiore loco hoſtes & impetum facerent, & tela mitterēt. Multi etiam ex Perdiccæ militibus, multi ex Halicarnaſſo occurrebant. Acris inde pugna ad muros fit, & oppidani qui excurrerant, denuò à Macedonibus in vrbem aguntur, parúmque abfuit quin vrbs caperetur. Nam & in muris parum diligens tum temporis cuſtodia habebatur, & duæ turres vnà cum muro inter illas medio, in ſolum proſtratæ, facilem in murum ingreſſum exercitui, ſi vniuerſus coniunctus fuiſſet, præbebant. Tertia quoque turris quaſſata: ne ipſa quidem difficulter ſuffoſſa euerti potuiſſet. At oppidani, pro muro qui corruerat, alium lateritium inſtar lunæ incuruum, intrinſecus conſtruxerant. neque id difficulter, ob eorū qui operam ſuam conferebant, multitudinem. Huic muro quum poſtridie Alexander machinas admouiſſet, oppidani rurſus excurrunt, machinis ignem immiſſuri, ac nonnulla quidem "tabernacula muro proxima & pars vnius turris ligneæ exuſta fuerunt: cætera à Philota & Hellanico, quibus machinarum cuſtodia commiſſa erat, defenſa ſunt. Simulac verò Alexandrum ipſum in excurſione illa cōſpexere, facibus, quibus ad vim accendam excurrerant omiſsis, multi etiam armis abiectis, intra muros confugerunt. Ac primò quidem, quòd locus ſua natura commodus atque eminens eſſet, ſuperiores erant, neque ſolùm ex aduerſo in machinarum propugnatores tela iaciebāt, verumetiam ex turribus quæ ex vtraque muri diruti parte reliquæ erant, eos qui in murum recens extructū impetum faciebant, ex obliquo & tātum non à tergo feriebant. Cæterum non multis poſtea diebus, quum Alexander interiori muro lateritio machinas admoueret, atq; ipſemet operi inſtaret, vniuerſa ciuitas portis erumpit, alii, qua parte murus demolitus erat & Alexander ipſe premebat: alij, "Tripylum verſus, quà Macedones eruptionem minimè expectabant. Nonnulli faces machinis immittunt, aliáque fomenta quæ incendiū augere atque amplificare poſsint: Macedonibus contra acriter proruentibus, atq; ex turribus ingentia ſaxa & tela in eos torquentibus, facilè in fugā acti, & in vrbē repulſi ſunt: tantóque maior ibi ſtrages edita eſt, quanto plures maioréque audacia excurrerant. Nā qui manus cum Macedonibus conſeruerant, cæſi ſunt: alij iuxta muri ruinam, quum & trāſitus anguſtior eſſet quàm vt tantæ multitudini ſufficeret, & ſtrages ipſius muri difficilē aſcenſum faceret. Iis vero qui Tripylum verſus excurrerant, obuiam iuit Ptolemæus regius corporis cuſtos, Addæi & Timandri ſi-

Fac. vertit, Crates.

Vide num τρίπυλον de quopiam ipſius vrbis loco à tribus portis nomen habente intelligere oporteat.

A ὥστε ὁπλισάμενοι αὐτοὶ ἐπὶ σφῶν, προσβάλλουσι τῷ τείχει κατὰ τὴν ἄκραν τὴν πρὸς Μύλασα μάλιστα τετραμμένην, ὡς ἐπίδειξιν τῆς σφῶν ῥώμης μᾶλλόν τι ἢ πρὸς πολεμίους μετὰ κινδύνου τὸν ἀγῶνα ποιησόμενοι. καὶ τούτους κατιδόντες τινὲς τῶν ἐκ τῆς πόλεως δύο τε ὄντας, καὶ οὐ ξὺν λογισμῷ προσφερομένους τῷ τείχει, ἐπεκθέουσιν. οἱ δὲ τοὺς μὲν ἐγγὺς πελάσαντας ἀπέκτειναν, πρὸς δὲ τοὺς ἀφεστηκότας ἠκροβολίζοντο, πλεονεκτούμενοι τῷ τε πλήθει καὶ τοῦ χωρίου τῇ χαλεπότητι, ὅτι ἐξ ὑπερδεξίου τοῖς πολεμίοις ἡ ἐπιδρομή τε καὶ ὁ ἀκροβολισμὸς ἐγίγνετο. καὶ
B ἐν τούτῳ ἀντεκθέουσι τινὲς καὶ ἄλλοι τῶν τοῦ Περδίκκου στρατιωτῶν, καὶ ἀπὸ τῆς Ἁλικαρνάσσου ἄλλοι. καὶ ξυμπίπτει μάχη καρτερὰ πρὸς τῷ τείχει. καὶ κατακλείονται αὖθις πρὸς τῶν Μακεδόνων εἴσω τῶν πυλῶν οἱ ἐπεκδραμόντες. παρ' ὀλίγον δὲ ἦλθε καὶ ἁλῶναι ἡ πόλις. τά τε γὰρ τείχη ἐν τῷ τότε, οὐκ ἐν ἀκριβεῖ φυλακῇ ἦν, καὶ δύο πύργοι καὶ μεσοπύργιον εἰς ἔδαφος καταπεπτωκότα, οὐ χαλεπὴν ἂν τῷ στρατεύματι, εἰ ἅπαν προσήψατο τοῦ ἔργου, τὴν ἐς τὸ τεῖχος πάρο-
C δον παρεῖχε. καὶ ὁ τρίτος πύργος κατασεσεισμένος, οὐδὲ οὗτος χαλεπῶς ἂν ἠρείφθη ὑπορυσσόμενος. ἀλλὰ ἔφθησαν γὰρ ἀντὶ τοῦ πεπτωκότος τείχους, ἔσωθεν πλίνθινον μηνοειδὲς ἀντοικοδομησάμενοι. οὐ χαλεπῶς, ἀπὸ πολυχειρίας. καὶ τούτῳ ἐπῆγε τῇ ὑστεραίᾳ τὰς μηχανὰς Ἀλέξανδρος. καὶ ἐκδρομὴ αὖθις γίνεται τῶν ἐκ τῆς πόλεως, ἐπὶ τῷ ἐμπρῆσαι τὰς μηχανάς. καὶ μέρος μέν τι πλησίον τοῦ τείχους γέρρων καὶ ἑνὸς τῶν πύργων τῶν ξυλίνων κατεκαύθη, τὰ δὲ ἄλλα διεφύλαξαν οἱ περὶ Φιλώταν τε καὶ Ἑλλάνικον, οἷς ἡ φυλακὴ αὐτῶν ἐπε-
D τέτακτο. ὡς δὲ καὶ Ἀλέξανδρος ἐπεφάνη ἐν τῇ ἐκδρομῇ, τάς τε δᾷδας ὅσας ἔχοντες ἐκβεβοηθήκεσαν ἀφέντες, καὶ τὰ ὅπλα οἱ πολλοὶ αὐτῶν ῥίψαντες, εἴσω τοῦ τείχους ἔφυγον. καίτοι τά γε πρῶτα τῇ φύσει τε τοῦ χωρίου ὑπερδεξίου ὄντος ἐπεκράτουν, καὶ οὐ κατὰ μέτωπον μόνον ἠκροβολίζοντο ἐς τοὺς προμαχομένους τῶν μηχανῶν, ἀλλὰ καὶ ἐκ τῶν πύργων, οἳ δὴ ἑκατέρωθεν τοῦ ἐρηριμμένου τείχους αὐτοὶ ὑπολελειμμένοι, ἐκ πλαγίου τε καὶ μονονοὺ κατὰ νώτου παρεῖχον ἀκροβολίζεσθαι ἐς τοὺς τῷ ἀντῳκοδομημένῳ τείχει προσάγοντας. οὐ πολλαῖς
E δὲ ὕστερον ἡμέραις ἐπάγοντος αὖθις Ἀλεξάνδρου τὰς μηχανὰς τῷ πλινθίνῳ τῷ ἐντὸς τείχει, καὶ αὐτοῦ ἐφεστηκότος τῷ ἔργῳ, ἐκδρομὴ γίνεται πανδημεὶ ἐκ τῆς πόλεως· τῶν μέν, κατὰ τὸ ἐρηριμμένον τεῖχος, ᾗ αὐτὸς Ἀλέξανδρος ἐπιτέτακτο· τῶν δὲ κατὰ τὸ Τρίπυλον, ᾗ οὐδὲ πάνυ τι προσδεχομένοις τοῖς Μακεδόσιν ἦν. καὶ οἱ μὲν δᾷδάς τε ταῖς μηχαναῖς ἐνέβαλλον, καὶ ὅσα ἄλλα ἐς τὸ ἐξάψαι τε φλόγα καὶ ἐπὶ μέγα προαγαγέσθαι. τῶν δὲ ἀμφ' Ἀλέξανδρον, αὐτῶν τε ἐμβαλλόντων ἐς αὐτοὺς ἐρρωμένως, καὶ ταῖς μηχαναῖς ἀπὸ τῶν πύργων λίθων τῶν με-
F γάλων ἀφιεμένων, καὶ βελῶν ἐξακοντιζομένων, οὐ χαλεπῶς ἀπεστράφησάν τε καὶ ἔφυγον ἐς τὴν πόλιν. καὶ φόνος ταύτῃ οὐκ ὀλίγος ἐγένετο, ὅσῳ πλείονές τε καὶ ξὺν μείζονι τῇ τόλμῃ ἐξέδραμον. οἱ μὲν γάρ, εἰς χεῖρας ἐλθόντες τοῖς Μακεδόσιν, ἀπέθανον· οἱ δέ, ἀμφὶ τῷ τείχει τῷ καταπεπτωκότι, στενοτέρας τε ἢ κατὰ τὸ πλῆθος αὐτῶν παρόδου οὔσης, καὶ τῶν κατερηριμμένων τοῦ τείχους χαλεπὴν τὴν ὑπέρβασιν αὐτοῖς παρεχόντων· τοῖς δὲ κατὰ τὸ Τρίπυλον ἐκδραμοῦσιν ἀπήντα Πτολεμαῖος ὁ σωματοφύλαξ ὁ βασιλικὸς τήν τε Ἀδδαίου καὶ Τιμάνδρου

ἅμα οἱ τάξιν ἄγων, καὶ ἔστιν οὓς τῶν ψιλῶν. καὶ οὗτοι A
οὐδὲ αὐτοὶ χαλεπῶς ἐτρέψαντο τοὺς ἐκ τῆς πόλεως.
ξυνέβη δὲ καὶ τοῦτο ἐν τῇ ἀποχωρήσει κατὰ στενὴν γέ-
φυραν τὴν ἐπὶ τῆς τάφρου πεποιημένην φεύγουσι,
τήν τε γέφυραν αὐτὴν ὑπὸ πλήθους ξυντρῖψαι, καὶ
πολλοὺς αὐτῶν ἐς τὴν τάφρον ἐμπεσόντας, τοὺς μὲν
ὑπὸ σφῶν καταπατηθέντας διαφθαρῆναι, τοὺς δὲ,
καὶ ἄνωθεν ὑπὸ τῶν Μακεδόνων βαλλομένους. ὁ πλεῖ-
στος δὲ φόνος περὶ ταῖς πύλαις αὐταῖς ξυνέβη· ὅτι ἡ
ξύγκλεισις τῶν πυλῶν, φοβερά τι καὶ πρὸ τοῦ καιροῦ
γενομένη, δεισάντων μὴ συνεισπέσοιεν τοῖς φεύγουσιν B
ἑχόμενοι αὐτῶν οἱ Μακεδόνες, πολλοὺς καὶ τῶν φίλων
τῆς εἰσόδου ἀπέκλεισεν, οὓς πρὸς αὐτοῖς τείχεσιν οἱ Μα-
κεδόνες διέφθειραν. καὶ παρ' ὀλίγον ἧκεν ἁλῶναι ἡ
πόλις, εἰ μὴ Ἀλέξανδρος ἀνεκαλέσατο τὸ στράτευμα,
ἔτι διασῶσαι ἐθέλων τὴν Ἁλικαρνασσὸν, εἴ τι φίλιον
ἐνδοθείη ἐκ τῶν Ἁλικαρνασσέων. ἀπέθανον δὲ τῶν μὲν
ἐκ τῆς πόλεως, ἐς χιλίους, τῶν δὲ ξὺν Ἀλεξάνδρῳ, ἀμ-
φὶ τοὺς τεσσαράκοντα. καὶ ἐν τούτοις, Πτολεμαῖός τε ὁ
σωματοφύλαξ, καὶ Κλέαρχος ὁ τοξάρχης, καὶ Ἀδδαῖος
χιλιάρχης· οὗτοι, καὶ ἄλλοι τῶν οὐκ ἠμελημένων Μακεδό- C
νων. ἔνθα δὴ ξυνελθόντες οἱ ἡγεμόνες τῶν Περσῶν, Ὀρον-
τοβάτης τε καὶ Μέμνων, καὶ ἐκ τῶν παρόντων γνόντες
σφᾶς τε οὐ δυναμένους ἐπὶ πολὺ ἀντέχειν τῇ πολιορ-
κίᾳ, καὶ τοῦ τείχους τὸ μέν τι καταπεπτωκὸς ἤδη ὁρῶν-
τες, τὸ δὲ καταπεσεισμένον· πολλοὺς δὲ τῶν στρατιωτῶν ἐν
ταῖς ἐκδρομαῖς, τοὺς μὲν διεφθαρμένους, τοὺς δὲ καὶ
ὑπὸ τοῦ τετρῶσθαι ἀπομάχους ὄντας· ταῦτα ἐν νῷ λα-
βόντες, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς τόν τε
ξύλινον πύργον, ὃν αὐτοὶ ἀντῳκοδόμησαν ταῖς μηχα-
ναῖς τῶν πολεμίων ἐμπιπρᾶσι, καὶ τὰς στοὰς ἐν αἷς τὰ D
βέλη αὐτοῖς ἀπέκειτο. ἐνέβαλον δὲ καὶ ταῖς οἰκίαις
πῦρ ταῖς πλησίον τοῦ τείχους. τῶν δὲ καὶ προσήψατο ἡ
φλὸξ, ἀπό τε τῶν στοῶν καὶ τοῦ πύργου πολλὴ ἐπενε-
χθεῖσα, καί τι καὶ τοῦ ἀνέμου ταύτῃ ἐπιφέροντος. αὐ-
τῶν δὲ οἱ μὲν ἐς τὴν ἄκραν τὴν ἐν τῇ νήσῳ ἀπεχώρη-
σαν, οἱ δὲ ἐς τὴν Σαλμακίδα, ἄκραν οὕτω καλουμέ-
νην. Ἀλεξάνδρῳ δὲ ὡς ἐξηγγέλθη ταῦτα πρός τι-
νων αὐτομολησάντων ἐκ τοῦ ἔργου, καὶ τὸ πῦρ πολὺ E
καθεώρα αὐτὸς, καίτοι ἀμφὶ μέσας που νύκτας ἦν
τὸ γιγνόμενον· ὁ δὲ καὶ ὡς ἐξαγαγὼν τοὺς Μακεδόνας
τοὺς μὲν ἔτι ἐμπιπρᾶντας τὴν πόλιν ἔκτεινεν, ὅσοι δὲ ἐν
ταῖς οἰκίαις καταλαμβάνοιντο τῶν Ἁλικαρνασσέων,
τούτους σώζειν παρήγγελλεν. ἤδη τε ἠὼς ὑπέφαι-
νε, καὶ κατιδὼν τὰς ἄκρας ἃς οἵ τε Πέρσαι καὶ οἱ μι-
σθοφόροι κατειλήφεσαν, ταύτας μὲν ἀπέγνω πολιορ-
κεῖν, τριβήν τε ἐπινοῶν οὐκ ὀλίγην ἔσεσθαί οἱ ἀμφ'
αὐτὰς, τῇ φύσει τῶν χωρίων, καὶ οὐ πρὸ μέγα εἶναι
ἐξελόντι οἱ τὴν πόλιν ἤδη πᾶσαν. θάψας δὲ τοὺς ἀ-
ποθανόντας ἐν τῇ νυκτὶ, τὰς μὲν μηχανὰς ἐς Τράλλεις
ἀπαγαγεῖν ἐκέλευσε τοὺς ἐπ' αὐταῖς τεταγμένους. αὐ- F
τὸς δὲ τὴν πόλιν εἰς ἔδαφος κατασκάψας· αὐτῆς τε
ταύτης καὶ τῆς ἄλλης Καρίας φυλακὴν ἐγκαταλι-
πὼν, ξένους μὲν πεζοὺς, τρισχιλίους, ἱππέας δὲ ἐς δια-
κοσίους, καὶ Πτολεμαῖον ἡγεμόνα αὐτῶν, ἐπὶ Φρυγίας ἐστέλ-
λετο· τῆς δὲ Καρίας ξυμπάσης σατραπεύειν ἔταξεν Ἄ-
δαν, θυγατέρα μὲν Ἑκατόμνου, γυναῖκα δὲ Ἱδριέως,
ὃς καὶ ἀδελφὸς αὐτῇ ὢν, κατὰ νόμον τῶν Καρῶν
ξυνῴκει. καὶ ὁ μὲν Ἱδριεὺς τελευτῶν ταύτῃ ἐπι-

A mul agmen ſecum ducens, & nonnullos ex-
peditos, qui etiam ipſi facilè oppidanos re-
preſſerunt. quibus hoc præterea in receſſu
infortunij accidit, vt iis per anguſtum pon-
tem, quem ſupra aggerem duxerant, fu-
gientibus, ponte præ multitudine incum-
bentium rupto, alij in aggerem prolapſi, a-
lij à ſuis proculcati, alij à Macedonibus ex
alto telis icti perierint. Plurima autem cæ-
des ad portas ipſas edita eſt: quòd præ ni-
mio metu præproperè ac parum tempeſti-
B uè clauſæ fuiſſent. Veriti enim ne fugien-
tibus impliciti Macedones vnà in vrbem ir-
ruerent, multos ex ſuis excluſerunt, qui à
Macedonibus ad ipſa mœnia cæſi ſunt. pa-
rùmque aberat quin vrbs ipſa caperetur,
niſi Alexander exercitum reuocaſſet, con-
ſeruandæ adhuc vrbis cupidus: ſi quam Hali-
carnaſſei compoſitionis anſam præbuiſſent.
Ex oppidanis circiter mille cæſi: ex Ma-
cedonibus, ferè quadraginta: atque in his
Ptolemæus, corporis cuſtos, & Clearchus
ſagittariorum dux, & Addæus chiliarcha,
C aliique non obſcuri nominis Macedones.
Poſthæc Orontobates & Memnon Perſarum
duces, è re præſenti ſatis intelligentes ſe non
poſſe multo tempore obſidionem ſuſtine-
nere, & muros partim iam dirutos partim
labefactatos cernentes, pleroſque etiam
militum in excurſionibus aut cæſos, aut
vulneribus inutiles ad pugnam factos: re
accuratius perpenſa, ſub ſecundam noctis
vigiliam, turrim ligneam, quam aduer-
ſus hoſtium machinas conſtruxerant, &
D porticus, in quibus tela eorum repoſita e-
rant, incendunt: ædibus etiam muro pro-
ximis ignem iniiciunt. Ab his exæſtuans
flamma in turrim ferebatur, vento ipſo in-
cendium eò propellente. Oppidanorum ve-
rò alij in arcem eius inſulæ, alij in Salmaci-
dem arcem ita vocatam, ſeſe receperunt.
Quæ quum Alexander ex transfugis qui ex
ea clade venerant cognouiſſet, ipſeque ma-
gnos ignes cerneret, tametſi iam intempe-
E ſta nox eſſet quum id fieret, nihilominus
tamen immiſsis Macedonibus, eos qui vr-
bem incendebant, trucidari iubet: iis ve-
rò qui intra domeſticos parietes inuenti eſ-
ſent, parci. Illuceſcente porrò aurora, con-
templatus arces quas Perſæ pariter & mer-
cenarij occuparant, eas nequaquam obſi-
dendas eſſe ſtatuit: tum quòd multum tem-
poris ob locorũ naturam ſibi peritturũ eſſet,
quódque non magni momenti eſſent, poſt-
quam ipſe totam vrbem euertiſſet. Mor-
tuis itaque noctu ſepultis, machinarum
præfectis vt eas in Tralles auehant iubet.
Ipſe vrbem ſolo adæquauit: eíque & re-
F liquæ Cariæ præſidio impoſito, extero-
rum peditum trium millium, equitum du-
centorum, ac Ptolemæo iis præfecto, in
Phrygiam mouit. Satrapatum totius Cariæ
Adæ tribuit. Hecatomni filia hæc erat. Hi-
driei ſoror: qui quum frater eius eſſet, Ca-
rum tamen lege eandem & vxorem ſibi
coniunxit. Hidrieus porrò moriens re-
gni adminiſtrationem ei reliquerat.

Sic verti: & Facita vt legiſſe videantur etiã ipſe ἐσβαλόντι pro ἐς καλόν τι. Quæ tamen lectio ferri & ipſa poteſt.

Vſitatum enim eſt in Aſia, iam inde à Semiramide, vt & virorum vxores regnent. Eã Pexodarus regno eiecerat, ſummam rerum poteſtatem vſurpans. Orontobates autem Carum regnum à rege miſſus tenebat, vtpote Pexodari gener. Ada verò vnicam in Caria cámque munitiſsimam vrbem, Alinda nomine, tenebat. Hæc Alexãdro Cariam cum exercitu ingreſſo obuiam profecta, Alinda ei tradit, eúmque ſibi in filium adoptat. Alexander Alinda ei cuſtodienda reliquit, & filii nomen non aſpernatur. Porrò deleta Halicarnaſſo, quum tota Caria potitus eſſet, totius prouinciæ imperium illi detulit. Poſthæc quum ex Macedonibus qui ſecũ militabant, nonnulli paulo ante expeditionem vxores duxiſſent, etiam horum res Alexander minimè negligendas exiſtimauit. Itaque iis ex Caria dimiſſis, hybernandi cum vxoribus poteſtatem facit, Ptolemæo Seleuci filio vno ex regiis corporis cuſtodibus, iis præfecto: ex ducibus verò copiarum, Cœno Polemocratis filio, & Meleagro Neoptolemi filio, (quòd etiam hi recens vxores duxerant) adiunctis. Imperátque vt quum ipſi reuerterentur, & eos qui vnà dimiſſi erant reducerent, equitatum ac peditatum, quàm maximũ poſſent, ex ea regione conſcriberent. quo quidem facto, ſi quo vnquam, magnam ſibi Alexander apud Macedones laudem comparauit. Cleandrum autem Polemocratis filium ad militem conſcribendum in Peloponneſum, Parmenionẽ in Sardos miſit, data huic ſociorum equitum præfectura: vtq; Theſſalos equites alióſque auxiliarios, & plauſtra ducat, atque Sardibus in Phrygiam procedat, iubet. Ipſe in Lyciam & Pamphyliam tendit, vt oris maritimis in poteſtatem redactis, claſſem hoſtium inutilem ipſis efficiat. Ac primò quidem ex itinere Hyparna oppidum munitum, quódque exterum militem mercenariũ præſidio habebat, primo acceſſu cepit. Exteri enim qui arcem tenebant, fide data exiere. Deinde Lyciã cum exercitu ingreſſus, Telmiſſeos pactis ſibi cõciliauit. Tranſmiſſo inde Xantho flumine Pinara & Xanthum vrbem, & Patara deditione accepit, aliáque minora oppida, circiter xxx. His rebus geſtis media hyeme in Myliada regionem ita vocatam mouet, quæ quidem magnæ Phrygiæ pars, ſed magno rege ita iubente, Lyciæ contributaria eſt. Eo loci Phaſelitarum legati venerunt, amicitiam petentes, aureáque corona Alexandrum coronaturi: neque pauci ex inferiori Lycia legatos, qui de fœdere ineundo tractarent, miſerunt. Alexander, Phaſelitis & Lyciis, vt vrbes iis qui ad hoc miſſi eſſẽt, tradãt, imperat. quæ quidem omnes traditæ fuerunt. Ipſe paulò poſt in Phaſelitas profectus, vnà cum ipſis caſtellum quoddam munitum, quod Piſidæ in eorum regione extruxerãt, expugnat: vnde barbari excurrentes, Phaſelitas agrum colentes multis damnis afficiebant. Interea dum apud Phaſelitas eſt Alexãder, nuntiũ affertur Alexandrũ Aëropum eius vitæ inſidiari, quũ alioqui ex ſociis eſſet, & tũ tẽporis Theſſalico equitatui præeſſet. Erat hic Alexãder Heromenis & Arrabæi frater, qui necis Philippi

A τρέψε τὰ πράγματα· νενομισμένον ἐν τῇ Ἀσίᾳ ἔτι ἀπὸ Σεμιράμεως, καὶ γυναῖκας ἄρχειν ἀνδρῶν. Πηξώδαρος δὲ τὴν μὲν ἐκβάλλει τῆς ἀρχῆς, αὐτὸς δὲ κατεῖχε τὰ πράγματα. Ὀροντοβάτης δὲ τὴν Καρῶν ἀρχὴν ἐκ βασιλέως πεμφθεὶς εἶχε, γαμβρὸς ὢν Πηξωδάρου. Ἄδα δὲ Ἄλινδα μόνον κατεῖχε, χωρίον τῆς Καρίας ἐν τοῖς ὀχυρώτατον, καὶ ἐς καλόν τι Ἀλεξάνδρῳ ἐς Καρίαν ἀπήντα, τά τε Ἄλινδα ἐνδιδοῦσα, καὶ παῖδά οἱ τιθεμένη Ἀλέξανδρον. καὶ Ἀλέξανδρος τά τε Ἄλινδα αὐτῇ ἐπέτρεψε, καὶ τὸ ὄνομα τοῦ παιδὸς οὐκ ἀπηξίωσε. καὶ ἐπειδὴ Ἁλικαρνασσόν τε ἐξεῖλε, καὶ τῆς ἄλλης Καρίας ἐπεκράτησεν, αὐτῇ ἄρχειν ἁπάσης ἔδωκε.

B τῶν Μακεδόνων δὲ τῶν συνεστρατευμένων Ἀλεξάνδρῳ, ἦσαν οἳ νεωστὶ πρὸ τῆς στρατείας γεγαμηκότες· καὶ τούτων ἔγνω οὐκ ἀμελητέα εἶναί οἱ ὁ Ἀλέξανδρος· ἀλλ᾽ ἐκπέμπει γὰρ αὐτοὺς ἐκ Καρίας, διαχειμάσοντας ἐν Μακεδονίᾳ ἅμα ταῖς γυναιξίν· ἐπιτάξας αὐτοῖς Πτολεμαῖον τὸν Σελεύκου· ἕνα τῶν σωματοφυλάκων τῶν βασιλικῶν· καὶ τῶν στρατηγῶν, Κοινόν τε τὸν Πολεμοκράτους, καὶ Μελέαγρον τὸν Νεοπτολέμου, ὅτι καὶ αὐτοὶ τῶν νεογάμων ἦσαν· προστάξας, ἐπειδὰν αὐτοί τε ἐπανίωσι, καὶ τοὺς μετὰ σφῶν ἐκπεμφθέντας ἐπαναγάγωσι,

C καταλέξαι ἱππέας τε καὶ πεζοὺς ἐκ τῆς χώρας ὅσους πλείστους. καὶ τῷ ἔργῳ τούτῳ, εἴπερ τινὶ ἄλλῳ, εὐδοκίμησε παρὰ Μακεδόσιν Ἀλέξανδρος. ἔπεμψε δὲ καὶ Κλέανδρον τὸν Πολεμοκράτους ἐπὶ ξυλλογῇ στρατιωτῶν εἰς Πελοπόννησον. Παρμενίωνα δὲ πέμπει ἐπὶ Σάρδεων, δοὺς αὐτῷ τῶν τε ἑταίρων ἱππαρχίαν, καὶ τοὺς Θετταλοὺς ἱππέας, καὶ τοὺς ἄλλους ξυμμάχους. καὶ τὰς ἁμάξας ἄγειν· καὶ κελεύει προϊέναι ἀπὸ Σάρδεων ἐπὶ Φρυγίαν. αὐτὸς δὲ ἐπὶ Λυκίας τε καὶ Παμφυλίας ᾔει, ὡς τῆς παραλίου κρατήσας, ἀχρεῖον καταστῆσαι τοῖς πολεμίοις

D τὸ ναυτικόν. καὶ πρῶτον μὲν ἐν παρόδῳ Ὕπαρνα χωρίον ὀχυρὸν φυλακὴν ἔχον ξένους μισθοφόρους ἐξ ἐφόδου ἔλαβεν· οἱ δὲ ἐκ τῆς ἄκρας ξένοι ὑπόσπονδοι ἐξῆλθον. ἔπειτα εἰσβαλὼν ἐς Λυκίαν, Τελμισσεῖς μὲν ὁμολογίᾳ προσηγάγετο· περάσας δὲ τὸν Ξάνθον ποταμόν, Πίναρα, καὶ Ξάνθον τὴν πόλιν, καὶ Πάταρα, ἐνδοθέντα ἔλαβεν, καὶ ἄλλα ἐλάττω πολίσματα, ἐς τριάκοντα. ταῦτα καταπράξας ἐν ἀκμῇ ἤδη τοῦ χειμῶνος, ἐς τὴν Μυλιάδα καλουμένην χώραν ἐσβάλλει, ἣ ἔστι μὲν τῆς μεγάλης Φρυγίας, ξυνετέλει δὲ ἐς τὴν Λυκίαν,

E τότε οὕτως ἐκ βασιλέως μεγάλου τεταγμένον· καὶ ἐνταῦθα Φασηλιτῶν πρέσβεις ἧκεν περὶ φιλίας τε καὶ χρυσῷ στεφάνῳ στεφανῶσαι Ἀλέξανδρον, καὶ ὑπὲρ τῶν αὐτῶν ἐπικηρυκευσάμενοι ἐπρέσβευον Λυκίων τῶν κάτω οἱ πολλοί. Ἀλέξανδρος δὲ Φασηλίτας τε καὶ Λυκίους παραδοῦναι τὰς πόλεις τοῖς ἐπὶ τούτῳ στελλομένοις ἐκέλευσε, καὶ παρεδόθησαν ξύμπασαι. αὐτὸς δὲ ὀλίγον ὕστερον ἐς τὴν Φασηλίδα παραγενόμενος, συνεξαιρεῖ αὐτοῖς φρούριον ὀχυρὸν ἐπιτετειχισμένον τῇ χώρᾳ πρὸς Πισιδῶν· ὅθεν ὁρμώμενοι οἱ

F βάρβαροι πολλὰ ἔβλαπτον τῶν Φασηλιτῶν τοὺς τὴν γῆν ἐργαζομένους. ἔτι δὲ αὐτῷ περὶ τὴν Φασηλίδα ὄντι ἐξαγγέλλεται Ἀλέξανδρον αὐτῷ τὸν Ἀερόπου ἐπιβουλεύειν, τά τε ἄλλα τῶν ἑταίρων ὄντα, καὶ ἐν τῷ τότε Θεσσαλῶν τῆς ἵππου ἄρχοντα. ἦν μὲν δὴ ὁ Ἀλέξανδρος οὗτος, ἀδελφὸς Ἡρομένους τε καὶ Ἀρραβαίου τῶν ξυνεπιλαβόντων τῆς σφαγῆς τῆς Φιλίππου. καὶ

τότε αἰτίαν ἔχοντα αὐτὸν Ἀλέξανδρος ἀφῆκεν, ὅτι ἐν πρώτοις τε ἀφίκετο τῶν φίλων παρ' αὐτόν, ἐπειδὴ Φίλιππος ἐτελεύτησε, καὶ τὸν θώρακα συνενδὺς, συνηκολούθησεν αὐτῷ εἰς τὰ βασίλεια· ὕστερον δὲ καὶ ἐν τιμῇ ἀμφ' αὐτὸν εἶχε, στρατηγόν τε ἐπὶ Θρᾴκης στείλας· καὶ ἐπειδὴ Κάλας ὁ τῶν Θετταλῶν ἵππαρχος ἐπὶ σατραπείᾳ ἐξεπέμφθη, αὐτὸν ἀπέδειξεν ἄρχειν τῆς Θεσσαλικῆς ἵππου. τὰ δὲ τῆς ἐπιβουλῆς ἐξηγγέλθη ὧδε. Δαρεῖος, ἐπειδὴ Ἀμύντας αὐτομολήσας πρὸς αὐτόν, λόγους τέ τινας καὶ γράμματα παρὰ τοῦ Ἀλεξάνδρου τούτου ἐκόμισε, καταπέμπει ἐπὶ θάλασσαν Ἀσισίνην ἄνδρα Πέρσην, τῶν ἀμφ' αὐτὸν πιστῶν· πρόφασιν μὲν, παρὰ Ἀτιζύην τὸν Φρυγίας σατράπην, τῇ δὲ ἀληθείᾳ τῷ Ἀλεξάνδρῳ τούτῳ συνεσόμενον, καὶ πίστεις δώσοντα, ἢν ἀποκτείνῃ βασιλέα Ἀλέξανδρον, αὐτὸν βασιλέα καταστήσειν τῆς Μακεδονίας, καὶ χρυσίου τάλαντα πρὸς τῇ βασιλείᾳ ἐπιδώσειν χίλια. ὁ δὲ Ἀσισίνης ἁλοὺς πρὸς Παρμενίωνος, ταῦτ' εἶπεν ἀνακρινόμενος ὧν ἕνεκα ἀπεστάλη. καὶ τοῦτον αὐτίκα ἐν φυλακῇ πέμπει Παρμενίων παρ' Ἀλέξανδρον, καὶ πυνθάνεται ταῦτα παρ' αὐτοῦ Ἀλέξανδρος. συναγαγὼν δὲ τοὺς φίλους, βουλὴν προὐτίθη ὅ,τι χρὴ ὑπὲρ Ἀλεξάνδρου γνῶναι; καὶ ἐδόκει τοῖς ἑταίροις μήτε πάλαι εὖ βεβουλεῦσθαι, τὸ κράτιστον τοῦ ἱππικοῦ ἀνδρὶ οὐ πιστῷ ἐπιτρέψας, νῦν τε χρῆναι αὐτὸν κατὰ τάχος ἐκποδὼν ποιεῖσθαι, πρὶν καὶ ἐπιτηδειότερον γιγνόμενον τοῖς Θετταλοῖς, ξὺν αὐτοῖς τι νεωτερίσαι. καί τι καὶ θεῖον ἐφόβει αὐτούς. ἔτι γὰρ πολιορκοῦντος αὐτοῦ Ἀλεξάνδρου Ἁλικαρνασσόν, ἀναπαύεσθαι μὲν ἐν μεσημβρίᾳ, χελιδόνα δὲ πέτεσθαι ὑπὲρ κεφαλῆς τρύζουσαν μεγάλως, καὶ τῆς εὐνῆς ἄλλῃ καὶ ἄλλῃ καθίζειν, θορυβωδέστερον ἢ κατὰ τὸ εἰωθὸς ᾄδουσαν. τὸν δὲ, ὑπὸ καμάτου ἐγερθῆναι μὲν ἀδυνάτως ἔχειν ἐκ τοῦ ὕπνου, ἐνοχλούμενον δὲ πρὸς τῆς φωνῆς, τῇ χειρὶ οὐ βαρέως ἀποσοβῆσαι τὴν χελιδόνα. τὴν δὲ τοσούτου ἄρα δεῆσαι ἀποφυγεῖν πληγεῖσαν, ὥστε ἐπὶ τῆς κεφαλῆς τοῦ Ἀλεξάνδρου καθημένην, μὴ πρόσθεν ἀνεῖναι πρὶν παντελῶς ἐξεγερθῆναι Ἀλέξανδρον. καὶ Ἀλέξανδρος οὐ φαῦλον ποιησάμενος τὸ τῆς χελιδόνος, ἀνεκοίνωσεν Ἀριστάνδρῳ τῷ Τελμισσεῖ μάντει· Ἀρίστανδρον δὲ, ἐπιβουλὴν μὲν ἔκ του τῶν φίλων σημαίνεσθαι αὐτῷ εἰπεῖν· σημαίνεσθαι δὲ, καὶ ὅτι καταφανὴς ἔσται. τὴν γὰρ χελιδόνα, σύντροφόν τε εἶναι ὄρνιθα καὶ εὔνουν ἀνθρώποις, καὶ λάλον μᾶλλον ἢ ἄλλην ὄρνιθα. ταῦτά τε οὖν καὶ τὰ ἀπὸ τοῦ Πέρσου ξυνθεὶς, πέμπει ἐς Παρμενίωνα Ἀμφοτερόν, τὸν Ἀλεξάνδρου μὲν παῖδα, ἀδελφὸν δὲ Κρατεροῦ· καὶ ξυμπέμπει αὐτῷ τῶν Περγαίων τινὰς τὴν ὁδὸν ἡγησομένους. καὶ ὁ Ἀμφοτερὸς στολὴν ἐνδὺς ἐπιχώριον, ὡς μὴ γνώριμος εἶναι κατὰ τὴν ὁδόν, λανθάνει ἀφικόμενος παρὰ Παρμενίωνα· καὶ γράμματα μὲν οὐ κομίζει παρ' Ἀλεξάνδρου (οὐ γὰρ ἔδοξε γράφειν ὑπὲρ οὐδενὸς τοιούτου ἐς τὸ ἐμφανές) τὰ δὲ ἀπὸ γλώσσης οἱ ἐντεταλμένα ἐξήγγειλε· καὶ οὕτω ξυλλαμβάνεται ὁ Ἀλέξανδρος οὗτος, καὶ ἐν φυλακῇ ἦν. Ἀλέξανδρος δὲ ἄρας ἐκ Φασήλιδος μέρος μέν τι τῆς στρατιᾶς διὰ τῶν ὀρῶν πέμπει ἐπὶ Πέργης, ᾗ ὁδὸν πεποιήκεσαν αὐτῷ οἱ Θρᾷκες, χαλεπὴν ἄλλως καὶ οὐ μακρὰν οὖσαν τὴν πάροδον· αὐτὸς δὲ παρὰ τὴν θάλασσαν διὰ τοῦ αἰγιαλοῦ ἦγε τοὺς ἀμφ' αὐτόν. ἔστι δὲ ταύτῃ ἡ ὁδὸς οὐκ ἄλλως, ὅτι μὴ τῶν ἀπ'

cõſcij fuerũt. Et tum quidẽ in culpa quũ eſſet, Alexãder eum dimiſerat, ꝙ inter præcipuos amicos poſt Philippi obitũ ad ſe veniſſet, & thorace indutus eum in regiã comitatus eſſet. Poſtea verò multis honoribus affectum ſibi adiunxerat, ducémque copiarũ in Thraciã miſerat, & Cala Theſſalici equitat* præfecto ad ſatrapatum miſſo, hunc Theſſalis ducem dederat. Inſidiarum verò ratio ita inſtituta fuiſſe narratur. Darius, acceptis per Amyntam transfugam ab hoc Alexandro mandatis & literis, Aſiſinem hominem Perſam, cui plurimum fidebat, ad maritimã oram mittit, prætextu quidem legationis ad Atyziem Phrygiæ ſatrapam: re vera autem, vt Alexandrum hunc adiret, fidémque faceret, ſi regem Alexandrum interficeret, Macedoniæ regnum, & mille inſuper auri talenta ſe illi daturum. Sed Aſiſines à Parmenione comprehenſus, cauſam ſuæ legationis examinatus explicauit. Parmenio illum cum cuſtodia ad Alexandrum mittit, qui eadem ex illo cognoſcit. Conuocatis autem amicis, quid de Alexandro Aëropo ſtatuẽdum ſit, conſultat. Amicis viſum eſt, parum conſultè initio factum fuiſſe, quòd præſtantiſsimum equitatum homini non fido commiſiſſet: nunc verò celeriter illum de medio tollendum, priuſquam conciliatis Theſſalorum animis res nouas vnà cum iis moliretur. Prodigium etiam recens timorem ipſis adiecit. Alexandro enim adhuc Halicarnaſſum obſidente, & ſub meridiem quieſcente, ferunt hirundinem dormientis caput circumuolitaſſe, magnos garritus edentem, & modò in hoc modò in illud lectuli latus inſediſſe, turbulẽtius quàm illius auis conſuetudo fert, canentẽ. Ipſum præ defatigatione à ſomno excitari non potuiſſe: ſed quum vlterius ſtrepitu ſuo moleſta eſſet, leuiter manu hirundinem repuliſſe: illam tantum abfuiſſe vt repulſa auolarit, vt ipſius capiti inſidens non prius cantare deſtiterit, quàm Alexander penitus experrectus fuerit. Is prodigium illud non leuis momenti eſſe ratus, Ariſtandrum Telmiſſenſem vatem conſulit: qui, inſidias Alexandro ab amico quodam ſtrui, portendi reſpondit. fore tamen vt inſidiæ proderentur. Hirundinem enim, coalumnam atque amicam hominibus eſſe, ac præ cæteris auibus garrulam. Vatis itaque reſponſum cum Perſæ dictis conferens, Amphoterum Alexandri quidem filium, Crateri autem fratrẽ, ad Parmenionem mittit, Pergenſibus aliquot, qui itineris duces eſſent, adiunctis. Amphoterus, patrio atque aſſueto illi regioni habitu aſſumpto, ne in itinere agnoſceretur, clam ad Parmenionem peruenit: ac nihil quidem ab Alexandro literarum adfert, (nihil enim hac de re literis cõmittendũ iudicarat) ſed verbis mãdata exponit. atque ita Alexãder hic capitur, & cuſtodiæ traditur. Alexãder ex Phaſelide mouẽs, aliquã exercitus partem per montana Pergas mittit, qua Thraces iter monſtrarant, arduum quidem, ſed cõpendioſum: ipſe ſecus mare per littus ſuos ducit. Via autem hæc aliter

confici non poteſt, niſi ventis à ſeptentrione flantibus: auſtro autẽ inualeſcente, ægrè per littus iter fit. Tum verò ex vehemẽtibus auſtris boreales venti exorti, non abſque diuino quodã numine (vt ipſe Alexãder, & qui cum eo erant, interpretabantur) facilem ac celerem tranſitum præbuerunt. Ex Pergis progreſſus, obuios habuit legatos Aſpendiorum principes, oppida quidem dedentes, at ne præſidia imponeret deprecantes. Ac de præſidio quidẽ poſtulata impetrarunt: quinquaginta talenta in exercitus ſtipendia iis imperat, & equos quos tributi nomine Dario nutriebant. Equos itaque vltra argenti ſummam daturos ſe polliciti, diſcedũt. Alexander inde in Siden mouit: ſunt autem Siditæ Cumæi, ex Cumis AEoliis oriundi, qui quidem de origine ſua huiuſmodi quippiam narrant. nimirũ ſe primos qui è Cumis profecti eò appulerunt, atque in eam regionem habitandam deſcenderunt, repentè Græcanicæ linguæ oblitos fuiſſe, ſtatimque barbaros ſonos emiſiſſe: nec quidem illos cum barbaris vicinis communes, ſed ipſis proprios ac peculiares, quique ántea in vſu non fuiſſent: atque ex eo tempore Siditas à vicinis barbaris diſtinctos eſſe. Alexander, relicto apud Siden præſidio, Syllium profectus eſt, oppidum munitum, atque externi mercenariique militis præſidio firmatum, ita vt repentino inſultu capi non poſſet. Adhæc in itinere nunciatum eſt, Aſpendios nihil eorũ quæ pacta eſſent præſtare, neque equos tradere iis qui ad eos recipiendos miſſi erant, neque pecuniam numerare velle, ſed rebus ſuis ex agro in vrbem vectis, portas iis qui ab Alexandro venerant præcluſiſſe, & muros ſicubi affecti videbantur, inſtauraſſe. Quibus rebus cognitis, Aſpendum verſus caſtra mouit. Sita eſt ea vrbs magna ex parte in aſpera præruptáque rupe, quam Eurymedon fluuius alluit. Erant autem iis circum rupem decliuioribus ac planioribus in locis ædificia non pauca, modico muro circumiecto. Simulac verò Alexandrum mœnibus appropinquantem viderunt, muro ædificiiſque, quæ humilioribus in locis inhabitabãt, deſertis, quòd ea tueri ſe poſſe diffiderent, in arcem confugiunt. Alexander, vt primùm eò cum exercitu peruenit, vacuum murum tranſgreſſus, in ædificiis quæ Aſpendij deſeruerant, caſtra locat. Qui quum Alexandrum præter expectationem imminentem, ac ſeſe vndique ab exercitu circumſeſſos viderunt, miſſis legatis orarunt vt prioribus conditionibus pactio fieret. Alexander, loci munitione animaduerſa, quódque ipſe ad longam obſidionem imparatus eſſet, nihilominus tamen non iiſdem conditionibus cum eis conuenit: ſed vt principes vrbis obſides dent, & equos quos antea promiſerant tradant, & talentorũ ſummam duplicent, imperat: vtque ſatrapæ, quẽ Alexander ſtatuiſſet, pareant, & tributa conſueta Macedonibus pendant: ac de agro, cuius poſſeſſionem finitimis vi eripuiſſe accuſabantur, iudicio contendant. Omnibus iis conditionibus acceptis Pergen profectus, inde in Phrygiã caſtra mouit. Erat porrò illi iter faciendũ per Telmiſſum vrbẽ. Homines

A ἄρκτου ἀνέμων πνεόντων· εἰ δὲ νότοι κατέχοιεν, ἀπόρως ἔχει διὰ τοῦ αἰγιαλοῦ ὁδοιπορεῖν. τότε δ' ἐκ νότων σκληρῶν, βορέαι ἐπιπνεύσαντες, οὐκ ἄνευ τοῦ θείου (ὡς αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ἐξηγοῦντο) εὐμαρῆ καὶ ταχεῖαν τὴν πάροδον παρέσχον. ἐκ Πέργης δὲ ὡς προῄει, ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβεις Ἀσπενδίων αὐτοκράτορες, τὴν μὲν πόλιν ἐνδιδόντες, φρουρὰν δὲ μὴ εἰσάγειν δεόμενοι. καὶ περὶ μὲν τῆς φρουρᾶς πράξαντες ἀπῆλθον ὅσα ἠξίουν· πεντήκοντα δὲ B τάλαντα κελεύει τῇ στρατιᾷ δοῦναι αὐτοὺς ἐς μισθὸν, καὶ τοὺς ἵππους οὓς δασμὸν βασιλεῖ ἔτρεφον. οἱ δὲ, ὑπέρ τε τοῦ ἀργυρίου, καὶ τοὺς ἵππους παραδώσειν ξυνθέμενοι, ἀπῆλθον. Ἀλέξανδρος δὲ ἐπὶ Σίδης ᾔει. εἰσὶ δὲ οἱ Σιδῆται Κυμαῖοι, ἐκ Κύμης τῆς Αἰολίδος· καὶ οὗτοι λέγουσιν ὑπὲρ σφῶν τόνδε τὸν λόγον· ὅτι ὡς κατῆράν τε ἐς τὴν γῆν ἐκείνην οἱ πρῶτοι ἐκ Κύμης σταλέντες, καὶ ἐπὶ οἰκισμῷ ἐξέβησαν, αὐτίκα τὴν μὲν Ἑλλάδα γλῶσσαν ἐξελάθοντο, εὐθὺς δὲ βάρβαρον C φωνὴν ἵεσαν, οὐδὲ τῶν προσχώρων βαρβάρων ἀλλὰ ἰδίαν σφῶν, οὔπω πρόσθεν οὖσαν τὴν φωνήν. καὶ ἐκ τότε οὐ κατὰ τοὺς ἄλλους προσχώρους Σιδῆται ἐβαρβάριζον. καταλιπὼν δὲ φρουρὰν ἐν τῇ Σίδῃ, προῄει ἐπὶ Σύλλιον, χωρίον ὀχυρὸν, καὶ φρουρὰν ἔχον ξένων μισθοφόρων, καὶ αὐτῶν τῶν ἐπιχωρίων βαρβάρων. ἀλλ' οὔτε τὸ Σύλλιον ἐξ ἐφόδου αὐτοσχεδίου ἠδυνήθη λαβεῖν. ἔπειτα ἠγγέλθη αὐτῷ κατὰ τὴν ὁδὸν τοὺς Ἀσπενδίους, ὅτι οὐδὲν τῶν συγκειμένων πρᾶξαι ἐθέλοιεν· οὔτε D τοὺς ἵππους παραδοῦναι τοῖς πεμφθεῖσιν, οὔτε ἀπαριθμῆσαι τὰ χρήματα, καὶ τὰ ἐκ τῆς χώρας ὅτι ἀνασκευασάμενοι ἐς τὴν πόλιν, τάς τε πύλας ἀποκεκλείκασι τοῖς παρ' Ἀλεξάνδρου, καὶ τὰ τείχη ὅπῃ πεπονηκότα ἦν, ἐπισκευάζουσι. ταῦτα πυθόμενος, ἐπὶ Ἀσπένδου ἀνεζεύγνυεν. ᾤκισται δὲ τῆς Ἀσπένδου τὰ μὲν πολλὰ ἐπὶ ἄκρᾳ ὀχυρᾷ καὶ ἀποτόμῳ· καὶ παρ' αὐτὴν τὴν ἄκραν ὁ Εὐρυμέδων ποταμὸς ῥεῖ. ἦσαν δὲ αὐτοῖς καὶ περὶ τὴν ἄκραν ἐν τῷ χθαμαλῷ οὐκ ὀλίγαι οἰκήσεις, καὶ τεῖχος περιεβέβλητο αὐταῖς οὐ μέγα. τὸ μὲν δὴ E τεῖχος, εὐθὺς ὡς προσάγοντα Ἀλέξανδρον ἔγνωσαν, ἐκλείπουσιν ὅσοι ἐπῴκουν, καὶ τὰς οἰκίας ὅσας ἐν τῷ χθαμαλῷ ᾠκισμένας οὐκ ἐδόκουν διαφυλάξαι ἂν δύνασθαι· αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυμφεύγουσιν. Ἀλέξανδρος δὲ, ὡς ἀφίκετο ξὺν τῇ δυνάμει, εἴσω τοῦ ἐρήμου τείχους παρελθὼν, κατεστρατοπέδευσεν ἐν ταῖς οἰκίαις ταῖς καταλελειμμέναις πρὸς τῶν Ἀσπενδίων. οἱ δὲ Ἀσπένδιοι, ὡς εἶδον αὐτόν τε Ἀλέξανδρον παρ' ἐλπίδα ἥκοντα, καὶ τὸ στρατόπεδον ἐν κύκλῳ σφῶν πάντῃ, πέμψαντες πρέσβεις ἐδέοντο ἐφ' οἷσπερ τὸ πρότερον, ξυμβῆναι. καὶ Ἀλέξανδρος τό, τε χωρίον ὀχυρὸν ἰδὼν, καὶ αὐτὸς οὐκ ἐπὶ χρόνιον πολιορκίαν F παρεσκευασμένος, ἐπὶ τοῖς αὐτοῖς μὲν οὐδὲ ὣς ξυνέβη πρὸς αὐτούς· ὁμήρους δὲ δοῦναι σφῶν τοὺς δυνατωτάτους ἐκέλευσε καὶ τοὺς ἵππους, οὓς πρόσθεν ὡμολόγησαν· καὶ ἑκατὸν τάλαντα, ἀντὶ τῶν πεντήκοντα· καὶ πείθεσθαι τῷ σατράπῃ τῷ ὑπ' Ἀλεξάνδρου ταχθέντι· καὶ φόρους ἀποφέρειν ὅσα ἔτη Μακεδόσι, καὶ ὑπὲρ τῆς χώρας διακριθῆναι ἣν τῶν προσχώρων οὖσαν, βίᾳ κατέχειν ἐν αἰτίᾳ ἦσαν. ὡς δὲ πάντα οἱ ἐπεχώρησαν, ἀνέζευξεν ἐς Πέργην, κἀκεῖθεν ἐς Φρυγίαν ὥρμητο. ἦν δὲ αὐτῷ ἡ πορεία παρὰ Τελμισσὸν πόλιν. οἱ δὲ ἄνθρωποι

οὗτοι, τὸ μὲν γένος Πισίδαι εἰσὶ, βάρβαροι. χωρίον δὲ οἰκοῦσιν ὑπέρυψηλον, καὶ πάντῃ ἀπότομον· καὶ ἡ ὁδὸς παρὰ τὴν πόλιν, χαλεπή. καθήκει γὰρ ἐκ τῆς πόλεως ὄρος ἔστε ἐπὶ τὴν ὁδόν. καὶ τοῦτο μὲν αὐτοῦ ἐν τῇ ὁδῷ ἀποπαύεται· ἀντίπορον δὲ αὐτῷ ὄρος ἄλλο ἐστὶν, οὐ μεῖον ἀπότομον· καὶ ταῦτα τὰ ὄρη ὥσπερ πύλας ποιεῖ ἐπὶ τῇ ὁδῷ, καὶ ἔστιν ὀλίγῃ φυλακῇ κατέχοντας τὰ ὄρη ταῦτα, ἄπορον ποιεῖν τὴν πάροδον. καὶ τότε οἱ Τελμισσεῖς πανδημεὶ ἐκβεβοηθηκότες, ἀμφότερα τὰ ὄρη κατεῖχον. ταῦτα δὴ ἰδὼν Ἀλέξανδρος, στρατοπεδεύεσθαι αὐτοῦ, ὅπως εἶχον, ἐκέλευε τοὺς Μακεδόνας, γνοὺς ὅτι οὐ μενοῦσι πανδημεὶ οἱ Τελμισσεῖς, αὐλιζομένους σφᾶς ἰδόντες, ἀλλ' ἀποχωρήσουσιν εἰς τὴν πόλιν πλησίον οὖσαν οἱ πολλοὶ αὐτῶν, ὅσον φυλακὴν καταλιπόντες ἐπὶ τοῖς ὄρεσι. καὶ ξυνέβη, ὅπως εἴκαζεν. οἱ μὲν γὰρ πολλοὶ αὐτῶν ἀπῆλθον, αἱ φυλακαὶ δὲ ἐγκατέμειναν. καὶ ἐπὶ τούτους εὐθὺς ἀναλαβὼν τούς τε τοξότας, καὶ τὰς τῶν ἀκοντιστῶν τάξεις, καὶ τῶν ὁπλιτῶν ὅσοι κουφότεροι, ἐπήγαγεν. οἱ δὲ οὐκ ἔμειναν βαλλόμενοι, ἀλλὰ ἔλιπον τὸ χωρίον. Ἀλέξανδρος δὲ ὑπερβαλὼν τὰ στενὰ, πρὸς τῇ πόλει κατεστρατοπέδευσε. καὶ ἐνταῦθα ἀφικνοῦνται παρ' αὐτὸν Σελγέων πρέσβεις. οἱ δέ εἰσι καὶ αὐτοὶ Πισίδαι βάρβαροι, καὶ πόλιν μεγάλην οἰκοῦσι, καὶ αὐτοὶ μάχιμοί εἰσιν· ὅτι δὲ πολέμιοι τοῖς Τελμισσεῦσιν ἐκ παλαιοῦ ἐτύγχανεν, ὑπὲρ φιλίας πρὸς Ἀλέξανδρον πεπρεσβευμένοι ἦσαν. καὶ πρὸς τούτους σπένδεται Ἀλέξανδρος, καὶ ἐκ τούτου πιστοῖς ἐς ἅπαντα ἐχρήσατο· τὴν Τελμισσὸν δὲ ἀπέγνω ἑλεῖν ἂν ἐν ὀλίγῳ χρόνῳ, ἀλλ' ἐπὶ Σαλαγασσοῦ ἐστέλλετο. ἦν δὲ καὶ αὕτη οὐ μικρὰ πόλις· Πισίδαι καὶ ταύτην ᾤκουν· καὶ ἐδόκουν πάντων Πισιδῶν μαχίμων ὄντων αὐτοὶ εἶναι οἱ μαχιμώτατοι. καὶ τότε τὸν λόφον τὸν πρὸ τῆς πόλεως, ὅτι καὶ οὗτος οὐ μεῖον τοῦ τείχους ὀχυρὸς ἐς τὸ ἀπομάχεσθαι ἦν, κατειληφότες προσέμενον. Ἀλέξανδρος δὲ τὴν μὲν φάλαγγα τῶν Μακεδόνων τάττει ὧδε· ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως, ἵνα καὶ αὐτὸς ἐπιτέτακτο, τοὺς ὑπασπιστὰς εἶχεν· ἐχομένους δὲ τούτων, τοὺς πεζεταίρους ἔστε ἐπὶ τὸ εὐώνυμον παρατείνας· ὡς ἑκάστοις τῶν στρατηγῶν ἡγεμονία τῆς τάξεως ἐν τῇ τότε ἡμέρᾳ ἦν. ἐπὶ δὲ τοῦ εὐωνύμου ἐπέταξεν ἡγεμόνα Ἀμύνταν τὸν Ἀρραβαίου. προσετάχθησαν δὲ αὐτῷ, τοῦ μὲν δεξιοῦ κέρως, οἵ τε τοξόται καὶ οἱ Ἀγριᾶνες· τοῦ δὲ εὐωνύμου, οἱ ἀκοντισταὶ οἱ Θρᾷκες, ὧν ἡγεῖτο Σιτάλκης. οἱ γὰρ ἱππεῖς αὐτῷ οὐκ ὠφέλιμοι ἐν τῇ δυσχωρίᾳ ἦσαν· τοῖς Πισίδαις δὲ καὶ Τελμισσεῖς προσβεβοηθηκότες ξυνετάξαντο. ἤδη δὲ οἱ ἀμφ' Ἀλέξανδρον προσβεβληκότες τῷ ὄρει, ὅπερ κατεῖχον οἱ Πισίδαι, κατ' αὐτὸ τὸ ἀποτομώτατον τῆς ἀνόδου ἦσαν· καὶ ἐν τούτῳ ἐπιτίθενται αὐτοῖς οἱ βάρβαροι λόχοις κατὰ κέρας ἑκάτερον, ᾗ σφίσι μὲν εὐπροσοδώτατον ἦν, τοῖς πολεμίοις δὲ χαλεπωτάτη ἡ πρόσβασις· καὶ τοὺς μὲν τοξότας, οἷα δὴ οὔτε ἀκριβῶς ὡπλισμένους καὶ πρώτους πελάσαντας, ἐτρέψαντο· οἱ δὲ Ἀγριᾶνες ἔμειναν. ἐγγὺς γὰρ ἤδη καὶ ἡ φάλαγξ τῶν Μακεδόνων προσῆγε, καὶ πρὸ αὐτῆς Ἀλέξανδρος ἐφαίνετο. ὡς δὲ ἐν χερσὶν ἡ μάχη ἐγίγνετο, γυμνοί τε οἱ βάρβαροι ὄντες ὁπλίταις προσεφέροντο, καὶ πάντη κατα-

A hi ſunt barbari, à Piſidis oriundi: locum autem inhabitant vehementer excelſum, omníque ex parte præruptum: viáque ipſa quæ ad vrbẽ ducit, ardua eſt ac difficilis. Siquidem mons ab vrbe in viam protenditur, cuius radices in ipſam viam deſinunt. Huic alter ex aduerſo mons obiectus eſt, ęquè abruptus: ita vt portas in via facere videantur, faciléque aditus omnis ab exiguo præſidio montibus illis impoſito impediri poſſit. Vtrunque montem Telmiſſei omni manu accurrentes inſederant. Id conſpicatus Alexā- B der, Macedones, ibi, vt poſſent, locare caſtra iubet: ita ſecum reputans, Telmiſſenſes non ita cũ omni manu eo loci moram facturos, quum Macedonas caſtra fixiſſe cernerẽt, ſed maximam eorum partem in vrbem, quę proxima erat, ſeſe recepturam, præſidio aliquo in montibus relicto. Et quidem perinde ac cogitarat euenit. plerique enim eorum receſſerunt, præſidium ſolum remanſit. Alexander, ſumtis ſagittariis & iaculatorum ordinibus, & ex armigeris, iis qui expeditiores C erant, præſidium inuadit. Telmiſſei, quum telorum iactus ſuſtinere non poſſent, locum deſerunt. Alexander, ſuperatis anguſtiis ad vrbem caſtra mouet. Eo loci legati à Selgeis ad eum veniunt. Sunt autem & hi Piſidæ barbari, magnámque vrbem incolunt, bellicoſi etiam ipſi. Hi, quòd veteres Telmiſſeorum hoſtes eſſent, legatos ad Alexandrum, amicitiam petentes, miſerant. Fœdere itaque cum iis pacto, deinceps illis ad omnia fidis Alexander eſt vſus. Dehinc, quum Telmiſſi expugnatio nõ exiguum tẽpus re- D quirere videretur Salagaſſum petit. Erat porrò etiam hæc non parua vrbs, à Piſidis habitata: quúmque omnes Piſidæ bellicoſi exiſtimati fuerint, tum hi cæteris bellica laude ſuperiores ſemper ſunt habiti: ac tum temporis collem, qui vrbi imminebat, quòd non minus quàm muros vrbis munitum illum ad propulſandum hoſtem iudicarent, occupant. Alexander Macedonum phalangem ita inſtruit. A dextro cornu, cui ipſe præerat, ſcutatos locat: proximos his, auxi- E liarios pedites ad ſiniſtrum cornu explicat, prout ſingulis ducibus eo die ordines ducendi contigerant. A ſiniſtro quidem cornu ductorem ſtatuit Amyntam Arrabæi filium. Huic à dextro quidem latere ſagittarios & Agrianos prætendit, à ſiniſtro, iaculatores Thracas, quos ducebat Sitalces. equites enim in illa locorum difficultate nulli vſui eſſe poterant. Porrò Piſidis Telmiſſei etiã auxilio venerant, vnáque in acie ſtabant. Iámque Alexandri acies montem ſubeuntes quẽ Piſidæ tenebant, ad maximè prerupta aſcen- F ſus loca peruenerant, quum barbari in vtrunque cornu ex inſidiis proruunt, qua parte ipſis expeditior via, hoſtibus verò difficillimus acceſſus eſſet: & ſagittarios quidem, vtpote leuiter armatos, quíque primi pedem contulerant, in fugam vertunt: Agriani verò ſubſiſtunt. Nam & propinqua erat Macedonum phalanx, & Alexander ipſam ducens conſpiciebatur. Poſtquam autem cominus manu res geri cœpit, barbari nudi cum armatis confligentes, omníque ex parte

In vet. cod. Γαλασσοῦ, non Σαλαγασσοῦ.

mẽta extrema ſubſequi iubet. Speculatorib' A qui hoſtes obſeruent Agelochũ præficit, ſariſſatos equites illi adiungens, velitéſque circiter quingentos. Iam non procul à Granico aberat Alexander, quum ſtatim nonnulli ex ſpeculatoribus incitatis equis aduolantes nuntiant, Perſas trans Granicum inſtructa ad prælium acie conſiſtere. Alexander omnem exercitum ad committendum prælium inſtruit. Tum Parmenio progreſſus, his verbis Alexandrum compellat: Conſultum mihi videtur, rex, in præſentia B ad fluminis ripam, vt poſſumus, caſtra locare. Neque enim iudicarim tantum animi hoſtibus fore, vt, quum peditatu longè inferiores ſint, prope nos pernoctent, eámque ob cauſam facilem exercitui noſtro cras ſub primam lucem fluminis tranſitum fore. Citius enim tranſierimus, quàm ab illis acies inſtrui poſſit. Nunc verò non abſque periculo rem hanc aggreſſuri videmur. Fieri ſiquidem non poteſt vt exercitum in aduerſum hoſtem per flumen ducamus: quòd & profundum vorticoſúmque ſit & contraria C ripa alta, vt vides, ac prærupta. Nam inordinatè anguſtáque acie (quod genus infirmiſſimum eſt) exeuntibus nobis, equitatus hoſtium bene inſtructus phalangi noſtræ incumbet. Fuerit porrò primum hoc infortunium, quoad præſentem rerum ſtatum, graue, quoad de toto bello iudicium, periculoſum. Ad hæc Alexander, Intelligo quidem, ô Parmenio, ſed dedecori mihi fuerit, ſi quũ ita paruo negotio Helleſpontum traiece- D rim, riuus hic (Granicum eo nomine extenuãs) nobis obſtiterit, quo minus, vt poſſumus, tranſeamus. quin potius hoc & à Macedonum gloria, & à mea in adeundis periculis virtute alienum eſſe cenſeo. Perſis etiam hoc animos addet, vt Macedonibus ſeſe pares exiſtiment, niſi ſtatim initio aliquid dignum ſuo ipſorum metu paſſi fuerint. His dictis, Parmenionẽ, vt ad ſiniſtrum cornu pręſit mittit, ipſe ad dextrum ſuas copias ducit. Iunxit prætereà ſibi dextrorſum Philotam Parmenionis filium, cum equitatu E ſociorum, cúmque ſagittarijs & Agrianis iaculatoribus. Amyntam verò Arrabæi filium cũ ſariſſatis equitibus & Pæonibus, & Socratis cohorte, Philotæ adiunxit. Proximos his collocat ſcutatos ſociorum, quibus præerat Nicanor Parmenionis filius, tũ Perdiccę Orontis filij phalangem, mox Cœni Polemocratis filij: inde, Crateri Alexandri filij: pręterea Amyntę Andromenis filij: inde copias quibus Philippus Amyntę filius præfectus erat. In ſiniſtro cornu primi erant Theſſali equites quorum dux erat Calas Harpali filius. Poſt hos auxiliariorũ equitatus, cui præerat F Philippus Menelai filius. Deinde Thraces duce Agathone. Proximi his, pedites, & Crateri phalanx & Meleagri & Philippi, vſq; ad mediũ totius aciei. Perſarũ equitatus erat viginti milliũ: externorum verò, qui mercede cõducti erãt, peditatus totidẽ circiter milliũ. Equitatũ in ripa fluminis in longã phalangẽ exporrexerãt, peditatu ponè collocato. erãt enim loca ſupra ripã editiora. At qua parte

Poſſunt verba hæc, ὡς ἔχομεν, & hic & in loco qui paulo poſt ſequitur, aliter etiam exponi.

Ad pericula adeunda celeritate. Vel potius promptitudine, ſi hoc vti licet.

Vel, Cinnæ. ſic legatur Κοίνου, vt in vet. cod.

A τοὺς δὲ κατόπιν ἐπιτάξας ἕπεσθαι, τοὺς δὲ προκατασκεψομένους τὰ τῶν πολεμίων, ἦγεν αὐτῷ Ἡγέλοχος, ἱππέας μὲν ἔχων τοὺς σαρισσοφόρους, τῶν δὲ ψιλῶν ἐς πεντακοσίους. καὶ Ἀλέξανδρός τε οὐ πολὺ ἀπεῖχε τοῦ ποταμοῦ τοῦ Γρανικοῦ, καὶ οἱ ἀπὸ τῶν σκοπῶν σπουδῇ ἐλαύνοντες, ἀπήγγελλον ἐπὶ τοῦ Γρανικοῦ πέραν τοὺς Πέρσας ἐφεστάναι ὡς ἐς μάχην τεταγμένους. ἔνθα δὴ Ἀλέξανδρος μὲν τὴν στρατιὰν πᾶσαν συνέταττεν ὡς μαχουμένους· Παρμενίων δὲ προσελθὼν, λέγει Ἀλεξάνδρῳ τάδε, Ἐμοὶ δοκεῖ, βασιλεῦ, ἀγαθὸν εἶναι B ἐν τῷ παρόντι, καταστρατοπεδεῦσαι ἐπὶ τοῦ ποταμοῦ τῇ ὄχθῃ, ὡς ἔχομεν. τοὺς γὰρ πολεμίους οὐ δοκῶ τολμήσειν πολὺ τῷ πεζῷ λειπομένους, πλησίον ἡμῶν αὐλισθῆναι, καὶ ταύτῃ παρέξειν ἕωθεν εὐπετῶς τῷ στρατῷ διαβαλεῖν τὸν πόρον. ὑποφθάσομεν γὰρ αὐτοὶ περάσαντες, πρὶν ἐκείνους ἐς τάξιν καθίστασθαι. νῦν δὲ οὐκ ἀκινδύνως μοι δοκοῦμεν ἐπιχειρήσειν τῷ ἔργῳ, ὅτι οὐχ οἷόν τε ἐν μετώπῳ διὰ τοῦ ποταμοῦ ἄγειν τὸν στρατόν. πολλὰ μὲν γὰρ αὐτοῦ ὁρᾶται βαθέα· αἱ δὲ ὄχθαι αὗται, ὁρᾷς ὅτι ὑπερύψηλοι καὶ κρημνώδεις εἰσὶν αἱ C αὐτῶν. ἀτάκτως τε οὖν καὶ κατὰ κέρας, ᾗπερ ἀσθενέστατον, ἐκβαίνουσιν ἐπικείσονται ἐς φάλαγγα συντεταγμένοι τῶν πολεμίων οἱ ἱππεῖς. καὶ τὸ πρῶτον σφάλμα ἔς τε τὰ παρόντα χαλεπὸν, καὶ ἐς τὴν ὑπὲρ παντὸς τοῦ πολέμου κρίσιν σφαλερόν. Ἀλέξανδρος δὲ, Ταῦτα μὲν (ἔφη) ὦ Παρμενίων γιγνώσκω, αἰσχύνομαι δὲ, εἰ τὸν μὲν Ἑλλήσποντον διέβην εὐπετῶς, τοῦτο δὲ σμικρὸν ῥεῦμα (οὕτω τῷ ὀνόματι τὸν Γρανικὸν ἐκφαυλίσας) εἴρξει ἡμᾶς τοῦ μὴ διαβῆναι, D ὡς ἔχομεν. καὶ τοῦτο οὔτε πρὸς Μακεδόνων τῆς δόξης, οὔτε πρὸς τῆς ἐμῆς ἐς τοὺς κινδύνους ὀξύτητος ποιοῦμαι. ἀναθαρρήσειν τε δοκῶ τοὺς Πέρσας, ἀξιομάχους Μακεδόσιν ὄντας, ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους ἐν τῷ παραυτίκα ἔπαθον. Ταῦτα εἰπὼν, Παρμενίωνα μὲν ἐπὶ τὸ εὐώνυμον κέρας πέμπει ἡγησόμενον, αὐτὸς δὲ ἐπὶ τὸ δεξιὸν παρῆγε. προτετάχατο δὲ αὐτῷ τοῦ μὲν δεξιοῦ, Φιλώτας ὁ Παρμενίωνος, ἔχων τοὺς ἑταίρους τοὺς ἱππέας, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας τοὺς ἀκοντιστάς· Ἀμύντας δὲ ὁ Ἀρραβαίου, τούς τε E σαρισσοφόρους ἱππέας ἔχων, Φιλώτᾳ ἐπετέτακτο, καὶ τοὺς Παίονας, καὶ τὴν ἴλην τὴν Σωκράτους. ἐχόμενοι δὲ τούτων ἐτετάχατο οἱ ὑπασπισταὶ τῶν ἑταίρων, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος· ἐπὶ δὲ τούτοις, ἡ Περδίκκου τοῦ Ὀρόντου φάλαγξ· ἐπὶ δὲ, ἡ Κοίνου τοῦ Πολεμοκράτους· ἐπὶ δὲ, ἡ Κρατεροῦ τοῦ Ἀλεξάνδρου· ἐπὶ δὲ, ἡ Ἀμύντου τοῦ Ἀνδρομένους· ἐπὶ δὲ, ὧν Φίλιππος ὁ Ἀμύντου ἦρχε. τοῦ δὲ εὐωνύμου πρῶτοι μὲν οἱ Θετταλοὶ ἱππεῖς ἐτετάχατο, ὧν ἡγεῖτο Κάλας ὁ Ἁρπάλου· ἐπὶ δὲ τούτοις, οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Φίλιππος ὁ Μενελάου. ἐπὶ δὲ τούτοις, οἱ Θρᾷκες ὧν ἦρχεν Ἀγάθων. ἐχόμενοι δὲ τούτων, πεζοὶ, ἥ τε Κρατε- F ροῦ φάλαγξ καὶ ἡ Μελεάγρου, καὶ ἡ Φιλίππου, ἔστε ἐπὶ τὸ μέσον τῆς ξυμπάσης τάξεως. Περσῶν δὲ ἱππεῖς μὲν ἦσαν ἐς δισμυρίους, ξένοι δὲ πεζοὶ μισθοφόροι ὀλίγον ἀποδέοντες δισμυρίων. ἐτάχθησαν δὲ τὴν μὲν ἵππον παρατείναντες τῷ ποταμῷ, κατὰ τὴν ὄχθην ἐπὶ φάλαγγα μακράν, τοὺς δὲ πεζοὺς κατόπιν τῶν ἱππέων· καὶ γὰρ ὑπερδέξια ἦν τὰ ὑπὲρ τὴν ὄχθην χωρία. ᾗ δὲ Ἀλέξανδρον

αὐτὸν καθεώρων (δῆλος γὰρ ἦν, τῶν τε ὅπλων τῇ λαμπρότητι, καὶ τῶν ἀμφ' αὐτὸν τῇ σὺν ἐκπλήξει θεραπείᾳ) κατὰ τὸ εὐώνυμον μὲν σφῶν ἐπέχοντα, ταύτῃ πυκνὰς ἐπέταξαν τῇ ὄχθῃ τὰς ἴλας τῶν ἱππέων. χρόνον μὲν δὴ ἀμφότερα τὰ στρατεύματα ἐπ' ἄκρου τοῦ ποταμοῦ ἐφεστῶτες, ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν, ἡσυχίαν ἦγον· καὶ σιγὴ ἦν πολλὴ ἀφ' ἑκατέρων. οἱ γὰρ Πέρσαι προσέμενον τοὺς Μακεδόνας, ὁπότε ἐσβήσονται ἐς τὸν πόρον, ὡς ἐπικεισόμενοι ἐκβαίνουσιν· Ἀλέξανδρος δὲ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος ἕπεσθαί τε καὶ ἄνδρας ἀγαθοὺς γίνεσθαι, τοὺς μὲν προδρόμους ἱππέας, καὶ μὴν καὶ τοὺς Παίονας, προεμβαλεῖν εἰς τὸν ποταμὸν ἔχοντα Ἀμύνταν τὸν Ἀρραβαίου καὶ τῶν πεζῶν μίαν τάξιν, καὶ πρὸ τούτων τὴν Σωκράτους ἴλην Πτολεμαῖον τὸν Φιλίππου ἄγοντα, ᾗ δὴ καὶ ἐτύγχανε τὴν ἡγεμονίαν τοῦ ἱππικοῦ παντὸς ἔχουσα ἐκείνῃ τῇ ἡμέρᾳ. αὐτὸς δὲ ἄγων τὸ δεξιὸν κέρας ὑπὸ σαλπίγγων τε καὶ τῷ Ἐνυαλίῳ ἀλαλάζοντας, ἐμβαίνει ἐς τὸν πόρον, λοξὴν ἀεὶ παρατείνων τὴν τάξιν, ᾗ παρεῖλκε τὸ ῥεῦμα· ἵνα δὴ μὴ ἐκβαίνοντι αὐτῷ οἱ Πέρσαι κατὰ κέρας προσπίπτοιεν, ἀλλὰ καὶ αὐτὸς, ὡς ἀνυστὸν, τῇ φάλαγγι προσμίξῃ αὐτοῖς. οἱ δὲ Πέρσαι, ᾗ πρῶτοι οἱ ἀμφὶ Ἀμύνταν καὶ Σωκράτην προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνωθεν ἔβαλλον· οἱ μὲν αὐτῶν, ἀπὸ τῆς ὄχθης ἐξ ὑπερδεξίου ἐς τὸν ποταμὸν ἐσακοντίζοντες· οἱ δὲ, κατὰ τὰ χθαμαλώτερα αὐτῆς ἔς τε ἐπὶ τὸ ὕδωρ καταβαίνοντες. καὶ ἦν τῶν τε ἱππέων ὠθισμὸς, τῶν μὲν ἐκβαίνειν ἐκ τοῦ ποταμοῦ, τῶν δὲ εἴργειν τὴν ἔκβασιν. καὶ παλτῶν ἀπὸ μὲν τῶν Περσῶν πολλὴ ἄφεσις, οἱ Μακεδόνες δὲ ξὺν τοῖς δόρασιν ἐμάχοντο. ἀλλὰ τῷ τε πλήθει πολὺ ἐλαττούμενοι Μακεδόνες ἐκακοπάθουν ἐν τῇ πρώτῃ προσβολῇ, καὶ αὐτοὶ ἐξ ἀβεβαίου τε καὶ ἅμα κάτωθεν ἐκ τοῦ ποταμοῦ ἀμυνόμενοι. οἱ δὲ Πέρσαι, ἐξ ὑπερδεξίου τῆς ὄχθης· ἄλλως τε καὶ τὸ κράτιστον τῆς Περσικῆς ἵππου ταύτῃ ἐπιτέτακτο. οἵ τε Μέμνονος παῖδες, καὶ αὐτὸς ὁ Μέμνων μετὰ τούτων ἐκινδύνευσε. καὶ οἱ μὲν πρῶτοι τῶν Μακεδόνων ξυμμίξαντες τοῖς Πέρσαις, κατεκόπησαν πρὸς αὐτῶν, ἄνδρες ἀγαθοὶ γενόμενοι, ὅσοι γε μὴ πρὸς Ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐτῶν. Ἀλέξανδρος γὰρ ἤδη πλησίον ἦν, ἅμα οἱ ἄγων τὸ κέρας τὸ δεξιόν· καὶ ἐμβάλλει ἐς τοὺς Πέρσας πρῶτος, ἵνα τὸ πᾶν στῖφος τῆς ἵππου καὶ αὐτοὶ οἱ ἡγεμόνες τῶν Περσῶν τεταγμένοι ἦσαν. καὶ περὶ αὐτὸν ξυνειστήκει μάχη καρτερὰ, καὶ ἐν τούτῳ ἄλλαι ἐπ' ἄλλαις τῶν τάξεων τοῖς Μακεδόσι διέβαινον οὐ χαλεπῶς ἤδη. καὶ ἦν μὲν ἀπὸ τῶν ἵππων ἡ μάχη, πεζομαχίᾳ δὲ μᾶλλόν τι ἐῴκει. ξυνεχόμενοι γὰρ ἵπποι τε ἵπποις, καὶ ἄνδρες ἀνδράσιν, ἠγωνίζοντο, οἱ μὲν ἐξῶσαι εἰσάπαν ἀπὸ τῆς ὄχθης, καὶ ἐς τὸ πεδίον βιάσασθαι τοὺς Πέρσας, οἱ Μακεδόνες· οἱ δὲ εἶρξαί τε αὐτῶν τὴν ἔκβασιν οἱ Πέρσαι, καὶ ἐς τὸν ποταμὸν αὖθις ἀπώσασθαι. καὶ ἐκ τούτου ἐπλεονέκτουν ἤδη οἱ σὺν Ἀλεξάνδρῳ, τῇ τε ἄλλῃ ῥώμῃ καὶ ἐμπειρίᾳ, καὶ ὅτι ξυστοῖς κρανείνοις πρὸς παλτὰ ἐμάχοντο. ἔνθα δὴ καὶ Ἀλεξάνδρῳ ξυντρίβεται τὸ δόρυ ἐν τῇ μάχῃ· ὁ δὲ Ἀρέτην ᾔτει δόρυ ἕτερον, ἀναβολέα τῶν βασιλικῶν· τῷ δὲ καὶ αὐτῷ πονουμένῳ συντετριμμένον τὸ δόρυ ἦν· ὁ δὲ τῷ ἡμίσει κεκλασμένου τοῦ δόρατος οὐκ ἀφανῶς ἐμάχετο,

A Alexandrũ ipſum ſunt cõſpicati (facilè enim dignoſcebatur cum ex armorũ ſplẽdore, tum ex eorũ quibus ſtipatus erat admirabili cultu) ad ſiniſtrum ipſorum cornu ſeſe conferentem, ex ea denſiores equitum turmas ad ripam ſtatuunt. Vterque porrò exercitus ad oram fluminis aliquandiu ſubſtitit, & euentum reformidans quietè ſeſe ſummóque ſilentio tenuit. Perſæ expectabant dum Macedones flumen ingrederentur, vt in egre- B dientes impetum facerent. Alexander inſiliens in equum, iis qui circa erant ſequi viróſque ſeſe præbere iuſſis, ante curſores equos in amnem præmittit, cum Pæonibus, & vna peditum cohorte, quibus Amyntas Arrabæi filius præerat. atque ante hos Ptolemæũ Philippi filium, cui quidem totius equitatus præfectura eo die contigerat. Ipſe dextrum cornu agens, fauſtis clamoribus Marti tuba editis iuſſis, flumen ingreditur, obliquam ſemper aciem ducens, quâ amnis ferebat, ne vide- C licet ipſi exeunti hoſtes in cornu impetum facerent, ſed ipſe potius, quoad eius fieri poſſet, phalange in eos inueheretur. Perſæ, qua Amyntas & Socrates primi ripæ appropinquabant, ex alto tela mittere: alij ex editiore ripa in flumen iaculantes, alij per decliuiora planioráque loca in amnem deſcendentes. Ibi tumultuoſus equitum conflictus fuit, his flumen exire, illis exitum prohibere nitentibus. Ac Perſæ quidem tragulas con- D fertim mittebant, Macedones haſtis confligebant. Sed Macedones, numero longè inferiores, primo ſtatim congreſſu non parum damni acceperunt: quòd ipſi ex lubrico pariter atque humili loco è flumine pugnarent, Perſæ verò, ex eminentiore ripa dimicarent, eámque lectiſsimo Perſarum equitatu cinxiſſent. Ibi Memnonis filij, ac poſt hos Memnon ipſe, in magno periculo ſunt verſati. & præcipui quique Macedonum cum Perſis confligentes ſtrenuéque officium ſuũ E facientes, cæſi ſunt, præter eos qui ſe ad Alexandrum appropinquantem receperunt. Neque enim longè aberat, dextrum cornu ducens. qui quidem vbi maximè confertos equites Perſarúmque duces videt primus impetum facit. Acerrimum ibi circa regem prælium excitatur. Interim alij poſt alios Macedonũ ordines facilè iam flumen tranſeunt. ac tametſi ex equis pugnaretur, pedeſtre potius prælium videbatur. Ita equi equis, viri viris conſerti confligebant, illi quidem penitus à ripa Macedones arcere nitentes, Macedones Perſas in campum repellere, Perſæ contra Macedonas exitu prohibere, F rurſumque ad flumen protrudere. Tandem Macedones ſuperiores euadũt, partim robore, & vſu ac peritia rei bellicæ, partim quòd iaculis corneis aduerſus tragulas vterentur. Hîc Alexandro haſta in conflictu rumpitur. qui ab Arete regiorum equorum ſtratore aliam petit. cui etiam, ſtrenuè rem gerenti, ſua rupta erat, & reliquo haſtæ fragmento non malè pugnabat: id-

Ex arbore corno.

Vel, Ita vt cum haſtæ fragmento pugnare manifeſtum eſſet.

que Alexandro oſtendens, aliam peti iubet. Gibaratus Corinthius ex auxiliariis, ſuã Alexandro haſtam porrigit. Qua arrepta, Mithridatem Darij generum longè ante alios equo prouectum conſpicatus, equitum exiguo comitatu aſſumpto, ipſe etiam alios anteuertens, eques in eum fertur, atque ora traiectum proſternit. Ibi Rœſaces in Alexandrum inuectus, ſecuri caput eius ferit, galeáque nonnihil diffracta ictus irritus reſiliit. Hunc etiam Alexander ſternit, haſta per thoracem in pectus icta. Iámque Spithridates in Alexandrum altè à tergo ſecurim ſuſtulerat, quum Clitus Dropidis filius ſecuri in eius humerum adacta, brachium ei diſcidit. Interea dum hæc geruntur, equites, quotquot potuêre, flumen tranſeuntes ad exercitum ſeſe coniunxerant. At Perſæ, quum & ipſi & equi vndequaque haſtis peterentur, & ab equitatu premerentur, multum etiam ab expeditis, qui equitibus intermiſti erant, damni acciperent, primùm in eam partem inclinant in qua prius Alexander periclitabatur. Simulac verò medium agmen cedere cœpit, equitatu in vtroque cornu diſſipato, ingens fuga fuit. Equitum Perſarum mille circiter in ea fuga cæſi. Neque enim Alexander acriter illos inſequutus eſt: nam ad exteros mercede conductos ſe conuertit. quorum agmen eodem loci vbi conſiſtere iuſſum erat, ſtupore potius inopinati euentus, quàm certa aliqua ratione ſe continebat: immiſſáque in eos phalange, atque equitatu omni ex parte impetum facere iuſſo, paruo temporis ſpatio omnes trucidat: adeò vt nemo euaſerit, niſi inter cadauera deliteſcens. Viui circiter bis mille in poteſtatem venerunt. Ex ducibus Perſarum cæſi ſunt, Niphates, Petanes, Spithridates Lydiæ ſatrapa, Mithrobuzanes Cappadocum præſes, Mithridates Darij gener, Arbupales Darij Artaxerxis filius, Pharnaces vxoris Darij frater, Omares mercenarij militis dux. Arſites ex ipſa pugna in Phrygiam ſe recepit, ibíque ſibi ipſe mortem conſciſſe fertur, quòd illius cladis autor Perſis fuiſſe videretur. Ex Macedonum verò auxiliaribus copiis circiter vigintiquinque in primo conflictu ceciderunt. Horum æneæ ſtatuæ in templo Iouis ſunt erectæ, quas Lyſippus Alexãdri iuſſu finxit, vt & Alexandrum ipſum, qui Lyſippum præ reliquis ſtatuariis à quo fingeretur dignum iudicauit. Ex reliquo equitatu ſupra LX, deſiderati ſunt, pedites circiter XXX: quos Alexander poſtridie cum armis & reliquo cultu ſepeliri iuſſit. Parentibus eorum ac liberis, in ſua cuique regione, vectigalium immunitatem conceſſit, omniáque quæ aut corpore præſtantur ſeruitia, aut ex facultatibus penduntur tributa, remiſit. Sauciorum etiam magnam curam habuit, obeundo ſingulos, vulneráque inſpiciendo, & quomodo quiſque ea accepiſſet interrogando, libera cuique geſtorũ ſuorum narratione prædicationéque permiſſa. Perſarum etiã duces ſepeliit: ad hæc mercenarios Græcos,

Vt & in Alexandri ipſius ſtatua fingenda cæteris prælatus fuit. Legendo Ἀλεξάνδρου, vt in vet. cod. non Ἀλέξανδρον.

A καὶ τοῦτο δείξας Ἀλεξάνδρῳ, ἄλλον αἰτεῖν ἐκέλευε. Δημάρατος δὲ, ἀνὴρ Κορίνθιος τῶν ἀμφ' αὐτὸν ἑταίρων, δίδωσιν αὐτῷ τὸ αὐτοῦ δόρυ. καὶ ὃς ἀναλαβὼν, καὶ ἰδὼν Μιθριδάτην τὸν Δαρείου γαμβρὸν πολὺ πρὸ τῶν ἄλλων προϊππεύοντα, ἅμα οἷ ὥσπερ ἔμβολον τῶν ἱππέων, ἐξελαύνει καὶ αὐτὸς πρὸ τῶν ἄλλων· καὶ παίσας ἐς τὸ πρόσωπον τῷ δόρατι, καταβάλλει τὸν Μιθριδάτην. ἐν δὲ τούτῳ, Ῥοισάκης μὲν ἐπελαύνει τῷ Ἀλεξάνδρῳ, καὶ παίει Ἀλεξάνδρου τὴν κεφαλὴν τῇ κοπίδι· καὶ τοῦ μὲν κράνους τι ἀπέθραυσε, τὴν πληγὴν δὲ ἔσχε τὸ κράνος. καὶ καταβάλλει καὶ τοῦτον Ἀλέξαν- B δρος, παίσας τῷ ξυστῷ διὰ τοῦ θώρακος ἐς τὸ στέρνον· Σπιθριδάτης δὲ ἀνετέτατο μὲν ἤδη ἐπ' Ἀλέξανδρον ὄπισθεν τὴν κοπίδα, ὑποφθάσας δὲ αὐτὸν Κλεῖτος ὁ Δρωπίδου παίει κατὰ τοῦ ὤμου, καὶ ἀποκόπτει τὸν ὦμον τοῦ Σπιθριδάτου ξὺν τῇ κοπίδι· καὶ ἐν τούτῳ ἐπεκβαίνοντες ἀεὶ τῶν ἱππέων ὅσοις προὐχώρει κατὰ τὸν ποταμὸν, προσεγίγνοντο τοῖς ἀμφ' Ἀλέξανδρον. καὶ οἱ Πέρσαι παιόμενοί τε πανταχόθεν ἤδη ἐς τὰ πρόσωπα αὐτοί τε καὶ οἱ ἵπποι τοῖς ξυστοῖς, καὶ πρὸς τῶν ἱππέων ἐξωθούμενοι, πολλὰ δὲ καὶ πρὸς τῶν ψιλῶν ἀ- C ναμεμιγμένων τοῖς ἱππεῦσι βλαπτόμενοι, ἐγκλίνουσι ταύτῃ πρῶτον ᾗ Ἀλέξανδρος προεκινδύνευεν. ὡς δὲ τὸ μέσον ἐνεδεδώκει αὐτοῖς, παρερρήγνυντο δὴ καὶ τὰ ἐφ' ἑκάτερα τῆς ἵππου, καὶ ἦν δὴ φυγὴ καρτερά. τῶν μὲν δὴ ἱππέων τῶν Περσῶν ἀπέθανον εἰς χιλίους. οὐ γὰρ πολλὴ ἡ δίωξις ἐγένετο, ὅτι ἐξετράπη Ἀλέξανδρος ἐπὶ τοὺς ξένους τοὺς μισθοφόρους· ὧν τὸ στῖφος, ᾗ τὸ πρῶτον ἐτάχθη, ἐκπλήξει μᾶλλόν τι τοῦ παραλόγου, ἢ λογισμῷ βεβαίῳ ἔμενε. καὶ τούτοις τήν τε φάλαγγα ἐπαγαγὼν, καὶ τοὺς ἱππέας πάντῃ D προσπεσεῖν κελεύσας ἐν μέσῳ, δι' ὀλίγου κατακόπτει αὐτούς· ὥστε διέφυγε μὲν οὐδεὶς, ὅτι μὴ διέλαθέ τις ἐν τοῖς νεκροῖς· ἐζωγρήθησαν δὲ ἀμφὶ τοὺς δισχιλίους. ἔπεσον δὲ καὶ οἱ ἡγεμόνες τῶν Περσῶν, Νιφάτης τε καὶ Πετήνης, καὶ Σπιθριδάτης ὁ Λυδίας σατράπης, καὶ ὁ τῶν Καππαδοκῶν ὕπαρχος Μιθροβουζάνης, καὶ Μιθριδάτης ὁ τοῦ Δαρείου γαμβρὸς, καὶ Ἀρβουπάλης ὁ Δαρείου τοῦ Ἀρταξέρξου παῖς, καὶ Φαρνάκης, ἀδελφὸς οὗτος τῆς Δαρείου γυναικὸς, καὶ ὁ τῶν ξένων ἡγεμὼν Ὠμάρης. Ἀρσίτης δὲ ἐκ μὲν τῆς μάχης φεύ- E γει ἐς Φρυγίαν, ἐκεῖ δὲ ἀποθνήσκει αὐτὸς πρὸς αὑτοῦ, ὡς ὁ λόγος, ὅτι αἴτιος ἐδόκει Πέρσαις γενέσθαι τοῦ ἐν τῷ τότε πταίσματος. Μακεδόνων δὲ τῶν μὲν ἑταίρων ἀμφὶ τοὺς εἴκοσι καὶ πέντε τῇ πρώτῃ προσβολῇ ἀπέθανον, καὶ τούτων χαλκαῖ εἰκόνες ἐν Δίῳ ἑστᾶσιν, Ἀλεξάνδρου κελεύσαντος Λύσιππον ποιῆσαι, ὅσπερ καὶ Ἀλέξανδρον μόνος προκριθεὶς ἐποίει. τῶν δὲ ἄλλων ἱππέων, ὑπὲρ τοὺς ἑξήκοντα· πεζοὶ δὲ ἐς τοὺς τριάκοντα. καὶ τούτους τῇ ὑστεραίᾳ ἔθαψεν Ἀλέξανδρος, ξὺν τοῖς ὅπλοις τε καὶ ἄλλῳ κόσμῳ. γονεῦσι F δὲ αὐτῶν καὶ παισὶ τῶν τε κατὰ τὴν χώραν ἀτέλειαν ἔδωκε, καὶ ὅσαι ἄλλαι ἢ τῷ σώματι λειτουργίαι, ἢ κατὰ τὰς κτήσεις ἑκάστων εἰσφοραί. καὶ τῶν τετρωμένων δὲ πολλὴν πρόνοιαν ἔσχεν, ἐπελθών τε αὐτὸς ἑκάστους καὶ τὰ τραύματα ἰδὼν, καὶ ὅπως τις ἐτρώθη ἐρόμενος, καὶ ὅ,τι πράττων, εἰπεῖν τε καὶ ἀλαζονεύσασθαι οἱ παρασχών. ὁ δὲ καὶ τῶν Περσῶν τοὺς ἡγεμόνας ἔθαψεν. ἔθαψε δὲ καὶ τοὺς μισθοφόρους Ἕλληνας, οἳ

A ξὺν τοῖς πολεμίοις στρατευόντες ἀπέθανον. ὅσους δὲ αὐτῶν αἰχμαλώτους ἔλαβε, τούτους δὲ δήσας ἐν πέδαις, εἰς Μακεδονίαν ἔπεμψεν ἐργάζεσθαι, ὅτι παρὰ τὰ κοινῇ δόξαντα τοῖς Ἕλλησιν, Ἕλληνες ὄντες, ἐναντία τῇ Ἑλλάδι ὑπὲρ τῶν βαρβάρων ἐμάχοντο. ἀποπέμπει δὲ καὶ εἰς Ἀθήνας τριακοσίας πανοπλίας Περσικὰς, ἀνάθημα εἶναι τῇ Ἀθηνᾷ ἐν τῇ πόλει· καὶ ἐπίγραμμα ἐπιγραφῆναι ἐκέλευσε τόδε, ΑΛΕΞΑΝΔΡΟΣ ΦΙΛΙΠΠΟΥ, ΚΑΙ ΟΙ ΕΛΛΗΝΕΣ, ΠΛΗΝ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ, ΑΠΟ ΤΩΝ ΒΑΡ**B**ΒΑΡΩΝ ΤΩΝ ΤΗΝ ΑΣΙΑΝ ΚΑΤΟΙΚΟΥΝΤΩΝ. καταστήσας δὲ Κάλαν σατραπεύειν ἧς Ἀρσίτης ἦρχε, καὶ τοὺς φόρους τοὺς αὐτοὺς ἀποφέρειν τάξας, ὥσπερ Δαρείῳ ἔφερον, ὅσοι μὲν τῶν βαρβάρων κατιόντες ἐκ τῶν ὀρῶν, ἐνεχείριζον σφᾶς, τούτους μὲν ἀπαλλάττεσθαι ἐπὶ τὰ αὑτῶν ἑκάστους ἐκέλευσε. Ζελείτας δὲ ἀφῆκε τῆς αἰτίας, ὅτι πρὸς βίαν ἔγνωσαν συστρατεῦσαι τοῖς βαρβάροις. Δασκύλιον δὲ παραληψόμενον Παρμενίωνα ἐκπέμπει· καὶ παραλαμβάνει Δασκύλιον Παρμενίων, ἐκλειπόντων τῶν φρουρῶν. αὐτὸς δὲ ἐπὶ Σάρδεων προὐχώρει, καὶ ἀπέχοντος αὐτοῦ ὅσον ἑβ**C**δομήκοντα σταδίους Σάρδεων, ἧκον παρ᾽ αὐτὸν Μιθρήνης τε ὁ φρούραρχος τῆς ἀκροπόλεως τῆς ἐν Σάρδεσι, καὶ Σαρδιανῶν οἱ δυνατώτατοι· ἐνδιδόντες οἱ μὲν τὴν πόλιν, ὁ δὲ Μιθρήνης, τὴν ἄκραν καὶ τὰ χρήματα. Ἀλέξανδρος δὲ, αὐτὸς μὲν κατεστρατοπέδευσεν ἐπὶ τῷ Ἕρμῳ ποταμῷ. ἀπέχει δὲ ὁ Ἕρμος ἀπὸ Σάρδεων σταδίους εἴκοσιν· Ἀμύνταν δὲ τὸν Ἀνδρομένους τὴν ἄκραν παραληψόμενον ἐκπέμπει ἐς Σάρδεις. καὶ Μιθρήνην μὲν ἐν τιμῇ ἅμα οἱ ἦγε, Σαρδιανοὺς δὲ καὶ τοὺς ἄλλους Λυδοὺς τοῖς νόμοις τε τοῖς πάλαι Λυδῶν χρῆσθαι ἔδω**D**κε, καὶ ἐλευθέρους εἶναι ἀφῆκεν. ἀνῆλθε δὲ αὐτὸς εἰς τὴν ἄκραν, ἵνα τὸ φρούριον ἦν τῶν Περσῶν· καὶ ἔδοξεν αὐτῷ ὀχυρὸν τὸ χωρίον. ὑψηλόν τε γὰρ ἦν, καὶ ἀπότομον πάντῃ, καὶ τριπλῷ τείχει πεφραγμένον· αὐτὸς δὲ ἐπὶ τῇ ἄκρᾳ ναόν τε οἰκοδομῆσαι Διὸς Ὀλυμπίου ἐπενόει, καὶ βωμὸν ἱδρύσασθαι. σκοποῦντι δὲ αὐτῷ τῆς ἄκρας ὅπερ ἐπιτηδειότατον χωρίον, ὥρᾳ ἔτους ἐξαίφνης χειμὼν ἐπιγίγνεται καὶ βρονταὶ σκληραί· καὶ ὕδωρ ἐξ οὐρανοῦ πίπτει οὗ τὰ τῶν Λυδῶν βασίλεια. καὶ ἐντεῦ**E**θεν Ἀλεξάνδρῳ ἔδοξεν ἐκ θεοῦ σημανθῆναι, ἵνα χρὴ οἰκοδομεῖσθαι τῷ Διῒ τὸν νεών, καὶ οὕτως ἐκέλευσε. κατέλιπε δὲ τῆς μὲν ἄκρας τῆς Σάρδεων ἐπιμελητὴν Παυσανίαν τῶν ἑταίρων· τῶν δὲ φόρων τῆς συντάξεώς τε καὶ ἀποφορᾶς, Νικίαν· Ἄσανδρον δὲ τὸν Φιλώτου, Λυδίας καὶ τῆς ἄλλης τῆς Σπιθριδάτου ἀρχῆς, δοὺς αὐτῷ ἱππέας τε καὶ ψιλοὺς ὅσοι ἱκανοὶ πρὸς τὰ παρόντα ἐδόκουν· Κάλαν δὲ καὶ Ἀλέξανδρον τὸν Ἀερόπου, ἐπὶ τὴν χώραν τὴν Μέμνονος ἐκπέμπει, ἄγοντα τούς τε Πελοποννησίους, καὶ τῶν ἄλλων ξυμμάχων τοὺς πολλοὺς, πλὴν Ἀργείων. οὗτοι δὲ ἐν Σάρδεσι κατελείφθησαν τὴν ἄ**F**κραν φυλάττειν. ἐν τούτῳ δὲ, ὡς τὰ ὑπὲρ τῆς ἱππομαχίας ἐξηγγέλθη, οἵ τε τὴν Ἔφεσον φρουροῦντες μισθοφόροι ᾤχοντο φεύγοντες, δύο τριήρεις τῶν Ἐφεσίων λαβόντες. καὶ ξὺν αὐτοῖς Ἀμύντας ὁ Ἀντιόχου, ὃς ἔφυγεν ἐκ Μακεδονίας ὡς Ἀλέξανδρον· παθὼν μὲν οὐδὲν πρὸς Ἀλεξάνδρου, δυσνοίᾳ δὲ τῇ πρὸς Ἀλέξανδρον, καὶ αὐτὸς ἀπαξιώσας τι παθεῖν πρὸς αὐτοῦ ἄχαρι.

qui hoſtibus merentes, cæſi fuerant. Quotquot verò mercenariorum viui in poteſtatem venerunt, vinctos in Macedoniam ad ergaſtula miſit, quòd contra communē Græcorum ſententiam, Græci quum eſſent, in Græcos pro barbaris arma geſſiſſent. Athenas porrò, CCC armaturas Perſicas miſit, quæ Mineruæ in ea vrbe donarij loco ſuſpenderentur: háncque iis inſcriptionem addi iuſsit, ALEXANDER PHILIPPI FILIVS ET GRAECI, LACEDAEMONIIS EXCEPTIS, HAEC DE BARBARIS ASIAM INCOLENTIBVS SPOLIA. Poſthæc Cala, eius prouinciæ cui Arſites præfuerat, ſatrapa conſtituto, iiſdémque tributis, quæ Dario pendere ſoliti erant, imperatis, barbaros quotquot è montibus deſcendentes, ſeſe dediderunt, ad domos ſuas reuerti iubet. Zelitis quoque culpam remiſit, quòd coactos illos cum barbaris militaſſe ſciret. Parmenionem ad capiendum Daſcylium mittit: ídque cepit præſidio deſtitutum. Ipſe Sardes verſus mouit: quúmque ab oppido LXX ferme ſtadiis abeſſet, obuiū habuit *Mithrenem, præſidij quod in arce erat præfectum, primoribus Sardianorū comitatū: atque hi quidem oppidum, Mithrenes arcem & pecuniam dedunt. Alexander ad Hermum flumen caſtra locat. Diſtat id à Sardib⁹ ſtadiis XX. Amyntam Andromenis filium Sardes mittit, qui arcem occupet: ac Mithrenem honorificè ſecum ducit. Sardianis autem, aliiſque Lydis, vt antiquis Lydorum legibus vtantur permittit, liberóſque dimittit. Ipſe in arcē conſcendit, vbi Perſarum præſidium erat. Viſúſque ipſi eſt locus vehementer munitus. Erat enim arx excelſo admodum loco ſita, omníque ex parte prærupta, & triplici muro cincta. Ipſe in ſumma arce templum Ioui Olympio extruendum ſtatuit. Conſideranti verò illi quiſnam arcis locus maximè eam ad rem commodus eſſet, opportuno anni tempore confeſtim tempeſtas, ingentiáque tonitrua excitantur, & vehemens imber è cælo ruit in eam partem vbi Lydorum regia eſt. Alexandro itaque viſum eſt, à Deo ſignificari, quo loco templum Ioui extruendum eſſet: atque ita fieri imperat. Arcis curam Pauſaniæ vni ex ſociis committit, vectigalium ac tributorum collectionem Niciæ. Aſandrum autem Philotæ filium Lydiæ ac reliquæ Spithridatis prouinciæ præficit: equitéſque & expeditos, qui ad præſentem rerum ſtatum ſufficere videbantur, ei adiungit. Calan autem & Alexandrum Aëropum in Memnonis prouinciam mittit, qui Peloponnēſes ac ſociorum pleroſque ducant, exceptis Argiuis. Hi enim Sardibus præſidio arcis relicti erant. Interea, diſperſa paſsim equeſtris illius prælij fama, mercenarij qui apud Epheſum in præſidio erant, duabus Epheſiorum triremibus captis, profugerunt: vnáque cum iis Amyntas Antiochi filius, qui ex Macedonia ab Alexādro ſe ſubduxerat, non quòd vllam iniuriam ab Alexandro accepiſſet, ſed odio quodam illius cōcepto, indignū ratus ſi aliquo ab Alexandro incommodo afficeretur.

*Vel Mithronem. Nam in vet. cod. eſt Μιθρόνης, qui hic Μιθρήνης. itidemque in ſequentibus locis.

A Is quum quarto die Epheſum perueniſſet, exules quotquot ab ipſis ciuitate eiecti fuerant, reducit, & oligarchia [ſiue paucorum dominatu] abrogata, "democratiam conſtituit. Tributa quæ barbaris detulerãt, Dianæ pendi iuſsit. Epheſiorum populus, ſublato "oligarchiæ metu, eos qui Memnona adduxerant, quique templum Dianæ ſpoliauerãt, & Philippi ſtatuam in eadem æde ſubuerterant, quique Heropythi ſepulcrum, à quo ciuitas in libertatem reducta fuerat, in B foro eruerant, ad necem poſcunt. Syrphacem eiúſque filium Pelagontem, & fratrum Syrphacis liberos è templo protractos lapidibus obruunt. In alios Alexander vlterius inquiri aut de iis ſupplicium ſumi vetuit: intelligens nimirum, populum, poteſtate ſibi facta, non tantum in ſontes, ſed in eos etiam qui extra culpam eſſent, partim odio, partim ſpe prædæ ſeuiturum. Et certè, ſi quibus vnquam, his præcipuè rebus in Epheſo geſtis Alexander ſibi laudem comparauit.

Dominatum populi.

Dominatus paucorum.

C Dum hæc geruntur, legati ex Magneſia & Trallibus veniunt, qui vrbes Alexãdro dedant. Ipſe Parmenionem mittit cum duobus millibus quingentis peditibus exteris, & Macedonibus totidem: equitibus, ex auxiliariis, ducentis. Alcimalum autem Agathoclis filium ad AEolicas vrbes & Ionicas, quæ adhuc in barbarorum poteſtate erant, cum non minoribus copiis emittit. Oligarchias vbique tolli iubet, & democratias earum loco conſtitui, patriáſque leges cunctis reſtitui. tributa etiam, quæ barbaris detulerant, D reſcindi. Ipſe Epheſi commoratus, Dianæ ſacrificauit, eíque, cum vniuerſo exercitu armato ac veluti ad pugnam inſtructo, pompam miſit. Poſtridie verò cum reliquo peditatu, ſagittariis & Agrianis, Thracum equitatu, & ſociorum copiis, ac cohorte regia, aliiſque inſuper tribus, Miletum profectus eſt, &" Exoda (vrbis id nomen eſt) primo aduentu, quòd præſidio vacua eſſet, cepit: ibique caſtrametatus, interiorem vrbem muro intercludere ſtatuit. Hegeſiſtratus E enim, cui Mileſiorum præſidium à rege cõmiſſum erat, antea literas ad Alexandrum de Mileti deditione miſerat: ſed tum, quòd Perſarum exercitum non procul abeſſe ſciret, recepto animo, vrbem Perſis conſeruare ſtatuerat. Cæterùm Nicanor nauales Græcorum copias ducens, Perſas anteuertens, triduo antè appulerat quàm illi Miletum venirent, & centum ſexaginta nauibus ad Laden inſulam, quæ Mileto proxima eſt, portum ceperat. Perſarũ verò naues quum ſerius appuliſſent, & earum ductores Laden à Nicanore præoccupatam eſſe cognoſcerẽt, ſub F Mycalem montem ſe cum claſſe receperunt. Neque enim ſolùm inſulam illam nauibus in portum ductis Alexander occuparat, verumetiam Thracas, & ſociorum quatuor millia in ipſam tranſmiſerat. Barbarorum claſſis erat nauium circiter quadringentarum. Parmenio, neglecta claſſis magnitudine, ad nauale prælium Alexandrum inſtigat: cum aliis de cauſis ſuperiores nauali pugna Græcos

In vet. cod. eſt Ἐξώδα, non Ἔξωδα.

A τετάρτῃ δὲ ἡμέρᾳ ἐς Ἔφεσον ἀφικόμενος, τούς τε φυγάδας, ὅσοι δι' αὐτὸν ἐξέπεσον τῆς πόλεως, κατήγαγε, καὶ τὴν ὀλιγαρχίαν καταλύσας, δημοκρατίαν κατέστησε· τοὺς δὲ φόρους, ὅσους τοῖς βαρβάροις ἀπέφερον, τῇ Ἀρτέμιδι ξυντελεῖν ἐκέλευσεν. ὁ δὲ δῆμος ὁ τῶν Ἐφεσίων, ὡς ἀφῃρέθη αὐτοῖς ὁ ἀπὸ τῶν ὀλίγων φόβος, τούς τε Μέμνονα ἐπαγομένους, καὶ τοὺς τὸ ἱερὸν συλήσαντας τῆς Ἀρτέμιδος, καὶ τοὺς τὴν εἰκόνα τοῦ Φιλίππου τὴν ἐν τῷ ἱερῷ καταβαλόντας, καὶ τὸν τάφον ἐκ τῆς ἀγορᾶς ἀνορύξαντας τὸν Ἡρο- B πύθου, τοῦ ἐλευθερώσαντος τὴν πόλιν, ὥρμησαν ἀποκτεῖναι. καὶ Σύρφακα μὲν, καὶ τὸν παῖδα αὐτοῦ Πελάγοντα, καὶ τοὺς τῶν ἀδελφῶν τοῦ Σύρφακος παῖδας ἐκ τοῦ ἱεροῦ ἐξαγαγόντες κατέλευσαν· τοὺς δὲ ἄλλους διεκώλυσεν Ἀλέξανδρος προσωτέρω ἐπιζητεῖν καὶ τιμωρεῖσθαι· γνοὺς ὅτι ὁμοῦ τοῖς αἰτίοις, καὶ οὐ ξὺν δίκῃ, τινὰς, τοὺς μὲν, κατ' ἔχθραν, τοὺς δὲ κατὰ ἁρπαγὴν χρημάτων ἀποκτενεῖ, ξυγχωρηθὲν αὐτῷ, ὁ δῆμος. καὶ εἰ δή τῳ ἄλλῳ, καὶ τοῖς ἐν Ἐφέσῳ πραχθεῖσιν, Ἀλέξανδρος ἐν τῷ τότε εὐδοκίμει.

C Ἐν τούτῳ δὲ ἐκ Μαγνησίας τε καὶ Τράλλεων παρ' αὐτὸν ἧκον, ἐνδιδόντες τὰς πόλεις· καὶ ὃς πέμπει Παρμενίωνα, δοὺς αὐτῷ δισχιλίους καὶ πεντακοσίους πεζοὺς τῶν ξένων, καὶ Μακεδόνας παραπλησίους, ἱππέας δὲ τῶν ἑταίρων ἐς διακοσίους· Ἀλκίμαχον δὲ τὸν Ἀγαθοκλέους, ἐπὶ τὰς Αἰολίδας τε πόλεις ξὺν δυνάμει οὐκ ἐλάττονι ἐξέπεμψε. καὶ ὅσαι Ἰωνικαὶ ὑπὸ τοῖς βαρβάροις ἔτι ἦσαν. καὶ τὰς μὲν ὀλιγαρχίας πανταχοῦ καταλύειν ἐκέλευσε, δημοκρατίας δέ γε ἐγκαθιστάναι, καὶ D τοὺς νόμους τοὺς σφῶν ἑκάστοις ἀποδοῦναι· καὶ τοὺς φόρους ἀνεῖναι, ὅσους τοῖς βαρβάροις ἀπέφερον. αὐτὸς δὲ ἐπιμείνας ἐν Ἐφέσῳ, θυσίαν τε ἔθυσε τῇ Ἀρτέμιδι, καὶ πομπὴν ἔπεμψε ξὺν τῇ στρατιᾷ πάσῃ ὡπλισμένῃ τε καὶ ὡς ἐς μάχην ξυντεταγμένῃ. τῇ δ' ὑστεραίᾳ ἀναλαβὼν τῶν τε πεζῶν τοὺς λοιποὺς, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, καὶ τοὺς Θρᾶκας ἱππέας, καὶ τῶν ἑταίρων τήν τε βασιλικὴν ἴλην, καὶ πρὸς ταύτῃ τρεῖς ἄλλας, ἐπὶ Μιλήτου ἐστέλλετο. καὶ τὴν μὲν ἔξω δὴ καλουμένην πόλιν ἐξ ἐφόδου ἔλαβεν, ἐκλιπούσης τῆς E φυλακῆς· ἐνταῦθα δὲ καταστρατοπεδεύσας, ἔγνω ἀποτειχίζειν τὴν ἔσω πόλιν. Ἡγησίστρατος γὰρ ὅτῳ ἡ φρουρὰ ἡ Μιλησίων ἐκ βασιλέως ἐπετέτραπτο, πρόσθεν γράμματα παρ' Ἀλέξανδρον ἔπεμπεν, ἐνδιδοὺς τὴν Μίλητον· τότε δὲ ἀναθαῤῥήσας ἐπὶ τῷ Περσῶν στρατῷ οὐ μακρὰν ὄντι, διασώζειν τοῖς Πέρσαις ἐπενόει τὴν πόλιν. Νικάνωρ δὲ τὸ Ἑλληνικὸν ναυτικὸν ἄγων, ὑποφθάνει τοὺς Πέρσας, τρισὶν ἡμέραις πρότερος καταπλεύσας ἢ τοὺς Πέρσας Μιλήτῳ προσχεῖν· καὶ ὁρμίζεται ναυσὶν ἑξήκοντα καὶ ἑκατὸν ἐν τῇ νήσῳ τῇ Λάδῃ· κεῖται δὲ αὕτη ἐπὶ τῇ Μιλήτῳ. αἱ δὲ τῶν Περσῶν νῆες ὑστερήσασαι, ἐπειδὴ ἔμαθον οἱ ναύαρχοι τῶν ἀμ- F φὶ Νικάνορα τὴν ἐν τῇ Λάδῃ προκαταγωγὴν, πρὸς τῇ Μυκάλῃ τῷ ὄρει ὡρμίσθησαν· τὴν γὰρ Λάδην τὴν νῆσον προκατειλήφει Ἀλέξανδρος, οὐ τῶν νεῶν μόνον τῇ ἐγκαθορμίσει, ἀλλὰ καὶ τοὺς Θρᾶκας, καὶ τῶν ἄλλων ξένων ἐς τετρακισχιλίους διαβιβάσας ἐς αὐτήν. ἦσαν δὲ τῶν βαρβάρων αἱ νῆες, ἀμφὶ τὰς τετρακοσίας. Παρμενίων μὲν δὴ καὶ ὡς παρῄνει Ἀλεξάνδρῳ ναυμαχεῖν, τά τε ἄλλα κρατήσειν τῷ ναυτικῷ τοὺς Ἕλ-

λλωας ἐπελπίζων, καί τι καὶ θεῖον ἀνέπειθεν αὐτὸν, ὅτι ἀετὸς ὤφθη καθήμενος ἐπὶ τοῦ αἰγιαλοῦ κατὰ πρύμναν τῶν Ἀλεξάνδρου νεῶν. καὶ δὴ νικήσαντας μὲν, μεγάλα ὠφεληθήσεσθαι ἐς τὰ ἄλλα, νικηθεῖσι δὲ, οὐ παρὰ μέγα ἔσεσθαι τὸ πταῖσμα· καὶ ὣς γὰρ θαλασσοκρατεῖν τοὺς Πέρσας. καὶ αὐτὸς δὲ ἔφη ἐπιβῆναι ἐθέλειν τῶν νεῶν, καὶ τοῦ κινδύνου μετέχειν. Ἀλέξανδρος δὲ τῇ τε γνώμῃ ἁμαρτάνειν ἔφη Παρμενίωνα, καὶ τοῦ σημείου τῇ οὐ κατὰ τὸ εἰκὸς ξυμβλήσει. ὀλίγαις τε γὰρ ναυσὶ πρὸς πολλῷ πλείους ξὺν οὐδενὶ λογισμῷ ναυμαχήσειν, καὶ οὐ μεμελετηκότι τῷ σφῶν ναυτικῷ, πρὸς ἠσκημένον τὸ τῶν Κυπρίων τε καὶ Φοινίκων. τήν τε ἐμπειρίαν τῶν Μακεδόνων καὶ τὴν τόλμαν ἐν ἀβεβαίῳ χωρίῳ οὐκ ἐθέλειν παραδοῦναι τοῖς βαρβάροις· καὶ ἡττηθεῖσι τῇ ναυμαχίᾳ οὐ μικρὰν τὴν βλάβην ἔσεσθαι ἐς τοῦ πολέμου τὴν πρώτην δόξαν· τά τε ἄλλα, καὶ τοὺς Ἕλληνας νεωτεριεῖν, πρὸς τοῦ ναυτικοῦ πταίσματος τὴν ἀπαγγελίαν ἐπαρθέντας. ταῦτα μὲν τῷ λογισμῷ ξυντιθεὶς, οὐκ ἐν καιρῷ ἀπέφαινε ναυμαχεῖν· τὸ θεῖον δὲ αὐτὸς ἄλλῃ ἐξηγεῖσθαι. εἶναι μὲν γὰρ πρὸς αὐτοῦ τὸν ἀετόν. ἀλλ᾽ ὅτι ἐπὶ γῆς καθήμενος ἐφαίνετο, δοκεῖν οἱ μᾶλλόν τι σημαίνειν ὅτι ἐκ τῆς γῆς κρατήσει τοῦ Περσῶν ναυτικοῦ. καὶ ἐν τούτῳ Γλαύκιππος, ἀνὴρ τῶν δοκίμων ἐν Μιλήτῳ, ἐκπεμφθεὶς παρὰ Ἀλέξανδρον παρὰ τοῦ δήμου τε καὶ τῶν ξένων τῶν μισθοφόρων, οἷς μᾶλλόν τι ἐπιτέτραπτο ἡ πόλις, τά τε τείχη ἔφη ἐθέλειν τοὺς Μιλησίους καὶ τοὺς λιμένας παρέχειν κοινοὺς Ἀλεξάνδρῳ καὶ Πέρσαις· καὶ τὴν πολιορκίαν ἐπὶ τούτοις λύειν ἠξίου. Ἀλέξανδρος δὲ Γλαυκίππῳ μὲν προστάσσει ἀπαλλάττεσθαι κατὰ τάχος ἐς τὴν πόλιν, καὶ Μιλησίοις ἀπαγγέλλειν παρασκευάζεσθαι, ὡς μαχουμένους ἕωθεν· αὐτὸς δὲ ἐπιστήσας τῷ τείχει μηχανὰς, καὶ τὰ μὲν καταβαλὼν δι᾽ ὀλίγου τῶν τειχῶν, τὰ δὲ κατασείσας ἐπὶ πολὺ, προσῆγε τὴν στρατιὰν, ὡς ἐπιβησομένους ᾗ κατηρήριπτο ἢ ἐσεσάλευτο τὸ τεῖχος, ἐφομαρτούντων καὶ μονονοὺ θεωμένων τῶν Περσῶν ἀπὸ τῆς Μυκάλης πολιορκουμένους τοὺς φίλους σφῶν καὶ ξυμμάχους. ἐν τούτῳ δὲ καὶ οἱ ἀμφὶ Νικάνορα ἀπὸ τῆς Λάδης τὴν ὁρμὴν τῶν ξὺν Ἀλεξάνδρῳ κατιδόντες, ἐς τὸν λιμένα ἐπέπλεον τῶν Μιλησίων, παρὰ γῆν τὴν εἰρεσίαν ποιούμενοι, καὶ κατὰ τὸ στόμα τοῦ λιμένος, ᾗπερ τὸ στενώτατον ἦν, ἀντιπρώρους βύζην τὰς τριήρεις ὁρμίσαντες, ἀποκεκλείκεσαν, τῷ μὲν Περσικῷ ναυτικῷ τὸν λιμένα, τοῖς Μιλησίοις δὲ τὴν ἐκ τῶν Περσῶν ὠφέλειαν. ἔνθα οἱ Μιλήσιοί τε καὶ οἱ μισθοφόροι, πανταχόθεν ἤδη προσκειμένων σφίσι τῶν Μακεδόνων, οἱ μὲν αὐτῶν ῥιπτοῦντες σφᾶς ἐν τῇ θαλάσσῃ ἐπὶ τῶν ἀσπίδων ὑπτίων, ἐς νησῖδά τινα ἀνώνυμον τῇ πόλει ἐπικειμένην διενήχοντο· οἱ δὲ, ἐς κελήτια ἐμβαίνοντες, καὶ ἐπειγόμενοι ὑποφθάσαι τὰς τριήρεις τῶν Μακεδόνων, ἐγκατελήφθησαν ἐν τῷ στόματι τοῦ λιμένος πρὸς τῶν τριηρῶν· οἱ δὲ πολλοὶ ἐν αὐτῇ τῇ πόλει ἀπώλλυντο. Ἀλέξανδρος δὲ, ἐχομένης ἤδη τῆς πόλεως, ἐπὶ τοὺς ἐς τὴν νῆσον καταπεφευγότας ἐπέπλει αὐτὸς, καὶ βάκας φέρειν ἐπὶ τὰς πρῴρας τῶν τριηρῶν κελεύσας, ὡς κατὰ τὰ ἀπότομα τῆς νήσου, καθάπερ πρὸς τεῖχος, ἐκ τῶν νεῶν τὴν ἀπόβασιν ποιησόμενος. ὡς δὲ διακινδυνεύειν ἐθέλοντας τοὺς ἐν τῇ νήσῳ ἑώρα, οἶκτος λαμβάνει αὐτὸν τῶν

A ſore ſperans, tum vel eo præcipuè perſuaſus, quòd aquila à puppi claſſis Alexandri in littore ſubſiſtens viſa eſſet: quódque, ſi vincerent, magnum inde ad alia adiumentum, ſi vincerētur, non magnum detrimētum percepturus videretur. Nanque, vt maximè à prælio abſtineretur, maris imperium penes Perſas eſſe: ſe libenter naues conſcenſurum, & periculi partem ſubiturum. Alexander Parmenionem opinione ſua falli reſpondit, neque rectè augurium interpretari. parum enim prudenter facturū ſe, ſi cum tam paucis B nauibus aduerſus multo plures pugnet: cúmque parum excitato in re nauali milite, aduerſus exercitatiſsimos Cyprios ac Phœnices eat. Neque velle ſe vt barbari Macedonum peritiam atque virtutem loco inſtabili experiantur: &, ſi nauali prælio ſuccumbant, non exiguum damnum inde ſecuturum ad primam de bello opinionem. Præterea Græcos naualis cladis nuntio excitatos, nouas res molituros. Quibus rebus cum animo ſuo perpenſis, naualem pugnam parum eo tem- C pore conſultam fore iudicauit. Augurium verò ſe aliter exponere: atque aquilam quidem ad ſe pertinere, at quòd humi ſubſidiſſet, id potius ſibi portendi videri, ſe ex terra Perſarum claſſem victurum. Inter hæc Glaucippus, vnus ex Miletenſium primoribus, ad Alexandrum à populo & mercenariis, quibus potiſsimum vrbs commiſſa erat, miſſus, expouit velle Mileſios muros ac portus Alexandro & Perſis communes præbere, vtque obſidionem ea conditione ſoluat. Alexander Glaucippo, vt confeſtim ſe in vr- D bem recipiat, iubet, Mileſiiſque renuntiet vti ſe in proximam auroram ad pugnam parent. Ipſe, machinis ad mœnia admotis, & muro breui tempore partim quaſſato, partim latè diruto, exercitum propius adduxit, vt qua aut demolitus aut labefactatus murus erat, irrumperet, Perſis in portu manentibus, ac tantumnon ex Mycale amicos ſuos ac ſocios obſeſſos ſpectantibus. Interea Nicanor ex Lade inſula Alexandri motum proſpiciens, iuxta littus remigans in Mileſiorum E portum nauigat, atque in ipſis portus faucibus, vbi quamminimum ſpatij erat, confertos vtrinque triremium ordines, proris mare verſus ſpectantibus collocans, Perſicæ claſſi portus aditum & Mileſiis Perſarum ſubſidium præcludit. Tum Mileſij & mercenarij, irruentibus iam in eos vndequaque Macedonibus, alij ſeſe in mare proiicientes, ſcutis ſupinis incumbentes in paruam quandam inſulam vrbi proximam (nomen inſulæ obſcurum eſt) traiecerunt: alij, inſcenſis lembis, quū Macedonum triremes effugere co- F narētur, ad fauces portus capti fuerunt: multi in ipſa vrbe interfecti. Alexander vrbe potitus, eos qui in inſulam profugerant claſſe petit, " ſcalis in proris nauium portari iuſsis, vtpote in abrupta inſulæ veluti in murum ex nauibus conſcenſurus. Vt verò inſulares extrema tentare velle vidit, commiſeratione illorum hominum captus eſt,

Ad ſummam rerum. Vel, ad ſummam belli. legēdo ἐς τὰ ὅλα, vt in vet.

Βάθρας Fac. vertit pontes.

πολλοὶ μὲν ξένοι ἐν τῇ πόλει ἐγκατελείφθησαν, πολλοὶ δὲ καὶ Περσῶν αὐτῶν. αἵ τε τριήρεις ἐφώρμουν τῷ λιμένι, ὡς καὶ ἀπὸ τῶν ναυτῶν πολλὴν ὠφέλειαν γίγνεσθαι ἐς τὰ ἔργα. τῇ μὲν δὴ πρώτῃ ἡμέρᾳ προσάγοντος Ἀλεξάνδρου τῷ τείχει κατὰ τὰς ἐπὶ Μύλασα φερούσας πύλας, ἐκδρομή τε γίγνεται τῶν ἐκ τῆς πόλεως καὶ ἀκροβολισμός· καὶ τούτους οὐ χαλεπῶς ἀνέστειλάν τε οἱ παρ' Ἀλεξάνδρου ἀντεκδραμόντες, καὶ ἐς τὴν πόλιν κατέκλεισαν. οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις Ἀλέξανδρος ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τὴν τῶν ἑταίρων ἵππον, καὶ τὴν Ἀμύντου τε καὶ Περδίκκου καὶ Μελεάγρου τάξιν τὴν πεζικήν, καὶ πρὸς τούτοις τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας, περιῆλθε τῆς πόλεως ἐς τὸ πρὸς Μύνδον μέρος, τό, τε τεῖχος κατοψόμενος, εἰ ταύτῃ ἐπιμαχώτερον τυγχάνοι ὂν ἐς τὴν προσβολήν, καὶ ἅμα εἰ τὴν Μύνδον ἐξ ἐπιδρομῆς δυνάμαιτο λαθὼν κατασχεῖν. ἔσεσθαι γὰρ οὐ σμικρὰν τὴν ὠφέλειαν ἐς τὴν τῆς Ἁλικαρνασσοῦ πολιορκίαν, τὴν Μύνδον οἰκείαν γενομένην. καίτοι ἐνεδίδοτο αὐτῷ ἐκ τῶν Μυνδίων, εἰ λάθοι νυκτὸς προσελθών. αὐτὸς μὲν δὴ κατὰ τὰ συγκείμενα ἀμφὶ μέσας νύκτας προσῆλθε τῷ τείχει· ὡς δὲ οὐδὲν ἐνεδίδοτο ἀπὸ τῶν ἔνδον, αἵ τε μηχαναὶ καὶ αἱ κλίμακες αὐτῷ οὐ παρῆσαν, οἷα δὴ οὐκ ἐπὶ πολιορκίαν σταλέντι, ἀλλ' ὡς ἐπὶ προδοσίᾳ ἐνδιδομένης τῆς πόλεως, προσήγαγε καὶ ὣς τῶν Μακεδόνων τὴν φάλαγγα, ὑπορύττειν κελεύσας τὸ τεῖχος. καὶ ἕνα γε πύργον κατέβαλον οἱ Μακεδόνες· οὐ μέντοι ἐγύμνωσέ γε τὸ τεῖχος πεσών. καὶ οἱ ἐκ τῆς πόλεως ἅμα δ' ἐῤῥωμένως ἀμυνόμενοι, καὶ ἐκ τῆς Ἁλικαρνασσοῦ ἤδη κατὰ θάλασσαν πολλοὶ παραβεβοηθηκότες, ἄπορον ἐποίησαν τῷ Ἀλεξάνδρῳ τὴν αὐτοσχέδιόν τε καὶ ἐξ ἐπιδρομῆς κατάληψιν τῆς Μύνδου. οὕτω μὲν δὴ ἐπανέρχεται Ἀλέξανδρος, οὐδὲν πράξας ὧν ἕνεκα ὡρμήθη· καὶ τῇ πολιορκίᾳ τῆς Ἁλικαρνασσοῦ αὖθις προσεῖχε. καὶ τὰ πρῶτα μὲν, τὴν τάφρον ἣ πρὸ τῆς πόλεως ὀρώρυκτο αὐτοῖς, πλάτος μὲν, τριάκοντα μάλιστα πήχεων, τὸ δὲ βάθος, ἐς πεντεκαίδεκα, ἐχώννυε, τοῦ ῥᾳδίαν εἶναι τὴν προσαγωγὴν τῶν τε πύργων, ἀφ' ὧν ἔμελλε τοὺς ἀκροβολισμοὺς ἐς τοὺς προμαχομένους τοῦ τείχους ποιεῖσθαι, καὶ τῶν ἄλλων μηχανῶν αἷς κατασείειν ἐπενόει τὸ τεῖχος. καὶ ἥ τε τάφρος αὐτῷ ἐχώσθη οὐ χαλεπῶς, καὶ οἱ πύργοι προσήγοντο ἤδη. οἱ δὲ ἐκ τῆς Ἁλικαρνασσοῦ, νυκτὸς ἐκδραμόντες, ὡς ἐμπρῆσαι τούς τε πύργους, καὶ ὅσαι ἄλλαι μηχαναὶ προσηγμέναι, ἢ οὐ πόρρω τοῦ προσάγεσθαι ἦσαν, ὑπὸ τῶν φυλάκων τε τῶν Μακεδόνων, καὶ ὅσοι ἐν αὐτῷ τῷ ἔργῳ ἐξεγερθέντες παρεβοήθησαν, οὐ χαλεπῶς κατεκλείσθησαν εἰς τὰ τείχη αὖθις· καὶ ἀπέθανον αὐτῶν ἄλλοι τε ἐς ἑβδομήκοντα καὶ ἑκατὸν, καὶ ὁ Νεοπτόλεμος ὁ Ἀῤῥαβαίου τοῦ Ἀμύντου ἀδελφὸς, τῶν παρὰ Δαρεῖον αὐτομολησάντων. τῶν δὲ Ἀλεξάνδρου στρατιωτῶν ἀπέθανον μὲν ἐς ἑκκαίδεκα, τραυματίαι δὲ ἐγένοντο ἐς τριακοσίους· ὅτι ἐν νυκτὶ γενομένης τῆς ἐκδρομῆς, ἀφυλακτότεροι ἐς τὸ τιτρώσκεσθαι ἦσαν.

Οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον, δύο τῶν Μακεδόνων ὁπλῖται ἐκ τῆς ὑπὸ Περδίκκου τάξεως, ξυσκηνοῦντες καὶ ἅμα ξυμπίνοντες, αὐτόν τε καὶ τὰ αὐτοῦ ἑκάτερος ἐπὶ μέγα τῷ λόγῳ ἦγεν. ἔνθα δὴ φιλοτιμία τε ἐσέπιπτεν αὐτοῖς (καί τι καὶ ὁ οἶνος ὑπεθέρμαινεν)

A curarat. Et veterani quidem milites mercenarij non pauci vrbis præſidio impoſiti erant, multi etiam Perſæ. Triremes etiam in portum duxerat, quòd & nautarum opera magno vſui eſſe poſſet. Igitur primo ſtatim die Alexandro exercitum ad muros adducente, ad portas quæ Mylaſſa ferunt, magna continuò ex vrbe excurſio fit, & velitaris pugna excitatur. At Macedones contrà in eos excurrentes, paruo negotio repreſſerunt, atque in vrbem repulerũt. Paucis poſt diebus Alexander, ſumtis ſcutatis & amico- B rum equitatu, & Perdiccæ atque Meleagri pedeſtribus copiis, ac præter hos ſagittariis, & Agrianis, vrbem qua Myndum ſpectat, obambulat, murum exploraturus an ea parte commodius oppugnari, & an Myndo pariter ſubita atque improuiſa excurſione potiri poſſet. Myndi enim acceſsionem magno ſibi adiumento ad Halicarnaſsi obſidionem fore cenſebat. Et quidem nonnulli Myndenſes deditionem Alexandro polliciti erant, ſi clam per noctem acceſsiſſet. Nocte C igitur intempeſta, vti conuenerat, ad muros venit: quumque oppidanos nihil de deditione agitare videret, neque machinæ ac ſcalæ ad manum eſſent, quod non oppugnaturus, ſed proditione vrbem recepturus venerat, nihilominus tamen Macedonum phalange propius admota murum ſuffodi iubet: qui ſtatim vnam turrim ſubuertunt: "cuius tamen ruina murum non nudauit. Oppidani ſumma vi reſiſtentes & ab Halicarnaſſæis, qui mari eò venerant, adiuti, Alexandri D de capienda facilè primo impetu Myndo ſpem irritam fecerunt. Ita Alexander rebus, quarum cauſa venerat, infectis reuertitur, & ad Halicarnaſſi obſidionem rurſus ſe confert. ac primùm omnium foſſam quam oppidani ante vrbem duxerant, triginta ſummùm cubitorum latitudine, altitudine quindecim, repleri iubet, quò facilius turres è quibus in propugnatores iacularentur, adduci, aliæque machinæ, quibus murum quatere ſtatuerat, admoueri poſſent. Foſſa haud dif- E ficulter repleta, turres iam adduci cœperant, quum Halicarnaſſæi noctu excurrentes, animo incendendi & turres & reliquas machinas quæ iam admotæ erant, aut parum aberat quin admouerentur, à Macedonibus quibus cuſtodia machinarum erat commiſſa, aliiſque qui tumultu excitati accurrerunt, paruo negotio intra mœnia repulſi ſunt. Ceſi ſunt in hoc conflictu ex Halicarnaſſæis, CLXX. in quibus, Neoptolemus Arrabæi filius, Amyntæ frater, vnus eorum qui ad Da- F rium transfugerant. Ex Alexandri autem militibus XVI deſiderati: vulnerati circiter CCC, quòd quum noctu excurſio illa facta eſſet, minus caueri & euitari telorum iactus poſſent.

Paucis pòſt diebus duo "armigeri cõtubernales, quũ inter pocula ſuas quiſque virtutes & facta magnificis verbis extolleret, contentione de honore inter ſeſe orta, animiſque vino excandeſcentibus, armati ad muros quæ

Pac. vertit Qua collapſa, murus defenſore nudatus eſt. Quaſi οὐ μέντοι legeretur. at ego negationem retineo, ſed itidem πεσὼν lego, non πεσεῖν.

Ita vocat Suetonius milites qui alioqui dicuntur grauis armaturæ

A ſummum iugum Mylaſſa verſus ſpectat, ſe conferunt, oſtẽtatione potius roboris, quàm animo periculoſi cum hoſtibus conflictus adeundi. Hos oppidani quidam conſpicati duos modò eſſe, & temerè murum petere, excurrunt. Illi, ſi qui propius ad ſe veniſſent, interficiunt, remotiores telis petunt, ſuperati & multitudine & loci difficultate, quòd ex editiore loco hoſtes & impetum facerent, & tela mitterẽt. Multi etiam ex Perdiccæ militibus, multi ex Halicarnaſſo occurrebant. Acris inde pugna ad muros fit, & oppidani qui B excurrerant, denuò à Macedonibus in vrbem aguntur, parúmque abfuit quin vrbs caperetur. Nam & in muris parum diligens tum temporis cuſtodia habebatur, & duæ turres vnà cum muro inter illas medio, in ſolum proſtratæ, faciem in murum ingreſſum exercitui, ſi vniuerſus coniunctus fuiſſet, præbebant. Tertia quoque turris quaſſata: ne ipſa quidem difficulter ſuffoſſa euerti potuiſſet. At oppidani, pro muro qui corruerat, alium lateritium inſtar lunæ incuruum, intrinſecus conſtruxerant. neque id difficulter, ob eorũ C qui operam ſuam conferebant, multitudinem. Huic muro quum poſtridie Alexander machinas admouiſſet, oppidani rurſus excurrunt, machinis ignem immiſſuri, ac nonnulla quidem *tabernacula muro proxima & pars vnius turris ligneæ exuſta fuerunt: cætera à Philota & Hellanico, quibus machinarum cuſtodia commiſſa erat, defenſa ſunt. Simulac verò Alexandrum ipſum in excurſione illa cõſpexere, facibus, quibus ad vim arcendam excurrerant omiſſis, multi etiam armis abiectis, intra muros confugerunt. Ac D primò quidem, quòd locus ſua natura commodus atque eminens eſſet, ſuperiores erant, neque ſolùm ex aduerſo in machinarum propugnatores tela iaciebãt, verumetiam ex turribus quæ ex vtraque muri diruti parte reliquæ erant, eos qui in murum recens extructũ impetum faciebant, ex obliquo & tãtumnon à tergo feriebant. Cæterum non multis poſtea diebus, quum Alexander interiori muro lateritio machinas admoueret, atq; ipſemet operi inſtaret, vniuerſa ciuitas portis E erumpit; alii, qua parte murus demolitus erat & Alexander ipſe premebat: alij, *Tripylum verſus, quã Macedones eruptionem minime expectabant. Nonnulli faces machinis inmittunt, aliáque fomenta quæ incendiũ augere atque amplificare poſsint: Macedonibus contra acriter prorumpentibus, atq; ex turribus ingentia ſaxa & tela in eos torquentibus, facilè in fugã acti, & in vrbẽ repulſi ſunt: tantóque maior ibi ſtrages edita eſt, quanto plures maioréque audacia excurrerant. Nã F qui manus cum Macedonibus conſeruerant, cæſi ſunt: alij iuxta muri ruinam, quum & trãſitus anguſtior eſſet quàm vt tantæ multitudini ſufficeret, & ſtrages ipſius muri difficilẽ aſcenſum faceret. Iis verò qui Tripylum verſus excurrerant, obuiam iuit Ptolemæus regius corporis cuſtos, Addæi & Timandri ſi-

*Fac. verit, Crates.

*Vide num τρίπυλον de quopiam ipſius vrbis loco à tribus portis nomen habente intelligere oporteat.

A ὥστε ὁπλισάμενοι αὐτοὶ ἐπὶ σφῶν, προσβάλλουσι τῷ τείχει κατὰ τὴν ἄκραν τὴν πρὸς Μύλασα μάλιστα τετραμμένην, ὡς ἐπίδειξιν τῆς σφῶν ῥώμης μᾶλλόν τι ἢ πρὸς πολεμίους μετὰ κινδύνου τὸν ἀγῶνα ποιησόμενοι. καὶ τούτους κατιδόντες τινὲς τῶν ἐκ τῆς πόλεως δύο τε ὄντας, καὶ οὐ ξὺν λογισμῷ προσφερομένους τῷ τείχει, ἐπεκθέουσιν. οἱ δὲ τοὺς μὲν ἐγγὺς πελάσαντας ἀπέκτειναν, πρὸς δὲ τοὺς ἀφεστηκότας ἠκροβολίζοντο, πλεονεκτούμενοι τῷ τε πλήθει καὶ τοῦ χωρίου τῇ χαλεπότητι· ὅτι ἐξ ὑπερδεξίου τοῖς πολεμίοις ἡ ἐπιδρομή τε καὶ ὁ ἀκροβολισμὸς ἐγίγνετο. καὶ B ἐν τούτῳ ἀντεκθέουσι τινὲς καὶ ἄλλοι τῶν τοῦ Περδίκκου στρατιωτῶν, καὶ ἀπὸ τῆς Ἁλικαρνάσου ἄλλοι. καὶ ξυμπίπτει μάχη καρτερὰ πρὸς τῷ τείχει. καὶ κατακλείονται αὖθις πρὸς τῶν Μακεδόνων εἴσω τῶν πυλῶν οἱ ἐπεκδραμόντες. παρ' ὀλίγον δὲ ἦλθε καὶ ἁλῶναι ἡ πόλις. τά τε γὰρ τείχη ἐν τῷ τότε, οὐκ ἐν ἀκριβεῖ φυλακῇ ἦν· καὶ δύο πύργοι καὶ μεσοπύργιον εἰς ἔδαφος καταπεπτωκότα, οὐ χαλεπὴν ἂν τῷ στρατεύματι, εἰ ἅπαν προσήψατο τοῦ ἔργου, τὴν ἐς τὸ τεῖχος πάροδον C παρεῖχε. καὶ ὁ τρίτος πύργος κατασεσεισμένος, οὐδὲ οὗτος χαλεπῶς ἂν ἠρείφθη ὑπορυσσόμενος· ἀλλὰ ἔφθησαν γὰρ ἀντὶ τοῦ πεπτωκότος τείχους, ἔσωθεν πλίνθινον μηνοειδὲς ἀντοικοδομησάμενοι. οὐ χαλεπῶς, ἀπὸ πολυχειρίας. καὶ τούτῳ ἐπῆγε τῇ ὑστεραίᾳ τὰς μηχανὰς Ἀλέξανδρος. καὶ ἐκδρομὴ αὖθις γίνεται τῶν ἐκ τῆς πόλεως, ἐπὶ τῷ ἐμπρῆσαι τὰς μηχανάς. καὶ μέρος μέν τι πλησίον τοῦ τείχους γέρρων καὶ ἑνὸς τῶν πύργων τῶν ξυλίνων κατεκαύθη, τὰ δὲ ἄλλα διεφύλαξαν οἱ περὶ Φιλώταν τε καὶ Ἑλλάνικον, οἷς ἡ φυλακὴ αὐτῶν ἐπετέτακτο. ὡς δὲ καὶ Ἀλέξανδρος ἐπεφάνη ἐν τῇ ἐκδρομῇ, D τάς τε δᾷδας ὅσας ἔχοντες ἐκβεβοηθήκεσαν ἀφέντες, καὶ τὰ ὅπλα οἱ πολλοὶ αὐτῶν ῥίψαντες, εἴσω τοῦ τείχους ἔφυγον. καίτοι τά γε πρῶτα τῇ φύσει τε τοῦ χωρίου ὑπερδεξίου ὄντες ἐπεκράτουν, καὶ οὐ κατὰ μέτωπον μόνον ἠκροβολίζοντο ἐς τοὺς προμαχομένους τῶν μηχανῶν, ἀλλὰ καὶ ἐκ τῶν πύργων, οἳ δὴ ἑκατέρωθεν τοῦ ἐρηριμμένου τείχους αὐτοὶ ὑπολελειμμένοι, ἐκ πλαγίου τε καὶ μονονοὺ κατὰ νώτου παρεῖχον ἀκροβολίζεσθαι ἐς τοὺς τῷ ἀντῳκοδομημένῳ τείχει προσάγοντας. οὐ πολλαῖς E δὲ ὕστερον ἡμέραις ἐπάγοντος αὖθις Ἀλεξάνδρου τὰς μηχανὰς τῷ πλινθίνῳ τῷ ἐντὸς τείχει, καὶ αὐτοῦ ἐφεστηκότος τῷ ἔργῳ, ἐκδρομὴ γίνεται πανδημεὶ ἐκ τῆς πόλεως· τῶν μὲν, κατὰ τὸ ἐρηριμμένον τεῖχος, ᾗ αὐτὸς Ἀλέξανδρος ἐπετέτακτο· τῶν δὲ κατὰ τὸ Τρίπυλον, ᾗ οὐδὲ πάνυ τι προσδεχομένοις τοῖς Μακεδόσιν ἦν. καὶ οἱ μὲν δᾷδάς τε ταῖς μηχαναῖς ἐνέβαλλον, καὶ ὅσα ἄλλα ἐς τὸ ἐξάψαι τε φλόγα καὶ ἐπὶ μέγα προαγαγεῖν. τῶν δὲ ἀμφ' Ἀλέξανδρον, αὐτῶν τε ἐμβαλλόντων ἐς αὐτοὺς ἐρρωμένως, καὶ ταῖς μηχαναῖς ἀπὸ τῶν πύργων λίθων τε με- F γάλων ἀφιεμένων, καὶ βελῶν ἐξακοντιζομένων, οὐ χαλεπῶς ἀπεστράφησάν τε καὶ ἔφυγον ἐς τὴν πόλιν. καὶ φόνος ταύτῃ οὐκ ὀλίγος ἐγένετο, ὅσῳ πλείονές τε καὶ ξὺν μείζονι τῇ τόλμῃ ἐξέδραμον. οἱ μὲν γὰρ, εἰς χεῖρας ἐλθόντες τοῖς Μακεδόσιν, ἀπέθανον· οἱ δὲ, ἀμφὶ τῷ τείχει τῷ καταπεπτωκότι, στενοτέρας τε ἢ κατὰ τὸ πλῆθος αὐτῶν τῆς παρόδου οὔσης, καὶ τῶν κατερηριμμένων τοῦ τείχους χαλεπὴν τὴν ὑπέρβασιν αὐτοῖς παρεχόντων. τοῖς δὲ κατὰ τὸ Τρίπυλον ἐκδραμοῦσιν ἀπήντα Πτολεμαῖος ὁ σωματοφύλαξ ὁ βασιλικὸς, τήν τε Ἀδδαίου καὶ Τιμάνδρου

ἅμα οἱ τάξιν ἄγων, καὶ ἔστιν οὓς τῶν ψιλῶν. καὶ οὗτοι οὐδὲ αὐτοὶ χαλεπῶς ἐτρέψαντο τοὺς ἐκ τῆς πόλεως. ξυνέβη δὲ καὶ τοῦτο ἐν τῇ ἀποχωρήσει κατὰ στενὴν γέφυραν τὴν ἐπὶ τῆς τάφρου πεποιημένην φεύγουσι, τήν τε γέφυραν αὐτὴν ὑπὸ πλήθους ξυντρῖψαι, καὶ πολλοὺς αὐτῶν ἐς τὴν τάφρον ἐμπεσόντας, τοὺς μὲν ὑπὸ σφῶν καταπατηθέντας διαφθαρῆναι, τοὺς δὲ, καὶ ἄνωθεν ὑπὸ τῶν Μακεδόνων βαλλομένους. ὁ πλεῖστος δὲ φόνος περὶ ταῖς πύλαις αὐταῖς ξυνέβη· ὅτι ἡ ξύγκλεισις τῶν πυλῶν, φοβερά τι καὶ πρὸ τοῦ καιροῦ γενομένη, δεισάντων μὴ συνεισπέσοιεν τοῖς φεύγουσιν ἑπόμενοι αὐτῶν οἱ Μακεδόνες, πολλοὺς καὶ τῶν φίλων τῆς εἰσόδου ἀπέκλεισεν, οὓς πρὸς αὐτοῖς τείχεσιν οἱ Μακεδόνες διέφθειραν. καὶ παρ' ὀλίγον ἧκεν ἁλῶναι ἡ πόλις, εἰ μὴ Ἀλέξανδρος ἀνεκαλέσατο τὸ στράτευμα, ἔτι διασῶσαι ἐθέλων τὴν Ἁλικαρνασσόν, εἴ τι φίλιον ἐνδοθείη ἐκ τῶν Ἁλικαρνασσέων. ἀπέθανον δὲ τῶν μὲν ἐκ τῆς πόλεως, ἐς χιλίους, τῶν δὲ ξὺν Ἀλεξάνδρῳ, ἀμφὶ τοὺς τεσσαράκοντα. καὶ ἐν τούτοις, Πτολεμαῖός τε ὁ σωματοφύλαξ, καὶ Κλέαρχος ὁ τοξάρχης, καὶ Ἀδδαῖος χιλιάρχης· οὗτοι, καὶ ἄλλοι τῶν οὐκ ἠμελημένων Μακεδόνων. ἔνθα δὴ ξυνελθόντες οἱ ἡγεμόνες τῶν Περσῶν, Ὀροντοβάτης τε καὶ Μέμνων, καὶ ἐκ τῶν παρόντων γνόντες σφᾶς τε οὐ δυναμένους ἐπὶ πολὺ ἀντέχειν τῇ πολιορκίᾳ, καὶ τοῦ τείχους τὸ μέν τι καταπεπτωκὸς ἤδη ὁρῶντες, τὸ δὲ κατασεσεισμένον· πολλοὺς δὲ τῶν στρατιωτῶν ἐν ταῖς ἐκδρομαῖς, τοὺς μὲν διεφθαρμένους, τοὺς δὲ καὶ ὑπὸ τοῦ τετρῶσθαι ἀπομάχους ὄντας· ταῦτα ἐν νῷ λαβόντες, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς τόν τε ξύλινον πύργον, ὃν αὐτοὶ ἀντῳκοδόμησαν ταῖς μηχαναῖς τῶν πολεμίων ἐμπιπρᾶσι, καὶ τὰς στοὰς ἐν αἷς τὰ βέλη αὐτοῖς ἀπέκειτο. ἐνέβαλον δὲ καὶ ταῖς οἰκίαις πῦρ ταῖς πλησίον τοῦ τείχους. τῶν δὲ καὶ προσήψατο ἡ φλὸξ, ἀπό τε τῶν στοῶν καὶ τοῦ πύργου πολλὴ ἐπενεχθεῖσα, καί τι καὶ τοῦ ἀνέμου ταύτῃ ἐπιφέροντος. αὐτῶν δὲ οἱ μὲν ἐς τὴν ἄκραν τὴν ἐν τῇ νήσῳ ἀπεχώρησαν, οἱ δὲ ἐς τὴν Σαλμακίδα, ἄκραν οὕτω καλουμένην. Ἀλεξάνδρῳ δὲ ὡς ἐξηγγέλθη ταῦτα πρός τινων αὐτομολησάντων ἐκ τοῦ ἔργου, καὶ τὸ πῦρ πολὺ καθεώρα αὐτὸς, καίτοι ἀμφὶ μέσας που νύκτας ἦν τὸ γιγνόμενον· ὁ δὲ καὶ ὣς ἐξαγαγὼν τοὺς Μακεδόνας τοὺς μὲν ἔτι ἐμπιπρᾶντας τὴν πόλιν ἔκτεινεν, ὅσοι δὲ ἐν ταῖς οἰκίαις καταλαμβάνοιντο τῶν Ἁλικαρνασσέων, τούτους σώζειν παρήγγελλεν. ἤδη τε ἕως ὑπέφαινε, καὶ κατιδὼν τὰς ἄκρας ἃς οἵ τε Πέρσαι καὶ οἱ μισθοφόροι κατειλήφεσαν, ταύτας μὲν ἀπέγνω πολιορκεῖν, τριβήν τε ἐπινοῶν οὐκ ὀλίγην ἔσεσθαι οἱ ἀμφ' αὐτὰς, τῇ φύσει τῶν χωρίων, καὶ οὐ πρὸ μέγα εἶναι ἐξελόντι οἱ τὴν πόλιν ἤδη πᾶσαν. θάψας δὲ τοὺς ἀποθανόντας ἐν τῇ νυκτὶ, τὰς μὲν μηχανὰς ἐς Τράλλεις ἀπαγαγεῖν ἐκέλευσε τοὺς ἐπ' αὐταῖς τεταγμένους. αὐτὸς δὲ τὴν πόλιν εἰς ἔδαφος κατασκάψας· αὐτῆς τε ταύτης καὶ τῆς ἄλλης Καρίας φυλακὴν ἐγκαταλιπὼν, ξένους μὲν πεζοὺς, τρισχιλίους, ἱππέας δὲ ἐς διακοσίους, καὶ Πτολεμαῖον ἡγεμόνα αὐτῶν, ἐπὶ Φρυγίας ἐστέλλετο. τῆς δὲ Καρίας ξυμπάσης σατραπεύειν ἔταξεν Ἄδαν, θυγατέρα μὲν Ἑκατόμνου, γυναῖκα δὲ Ἱδριέως, ὃς καὶ ἀδελφὸς αὐτῇ ὢν, κατὰ νόμον τῶν Καρῶν ξυνῴκει. καὶ ὁ μὲν Ἱδριεὺς τελευτῶν ταύτῃ ἐπι-

A mul agmen ſecum ducens, & nonnullos expeditos, qui etiam ipſi facilè oppidanos repreſſerunt. quibus hoc præterea in receſſu infortunij accidit, vt iis per anguſtum pontem, quem ſupra aggerem duxerant, fugientibus, ponte præ multitudine incumbentium rupto, alij in aggerem prolapſi, alij à ſuis proculcati, alij à Macedonibus ex alto telis icti perierint. Plurima autem cædes ad portas ipſas edita eſt: quòd præ nimio metu præproperè ac parum tempeſtiuè clauſæ fuiſſent. Veriti enim ne fugien-
B tibus impliciti Macedones vnà in vrbem irruerent, multos ex ſuis excluſerunt, qui à Macedonibus ad ipſa mœnia cæſi ſunt. parúmque aberat quin vrbs ipſa caperetur, niſi Alexander exercitum reuocaſſet, conſeruandæ adhuc vrbis cupidus: ſi quam Halicarnaſſei compoſitionis anſam præbuiſſent. Ex oppidanis circiter mille cæſi: ex Macedonibus, ferè quadraginta: atque in his Ptolemæus, corporis cuſtos, & Clearchus ſagittariorum dux, & Addæus chiliarcha,
C aliique non obſcuri nominis Macedones. Poſthæc Orontobates & Memnon Perſarum duces, è re præſenti ſatis intelligentes ſe non poſſe multo tempore obſidionem ſuſtinenere, & muros partim iam dirutos partim labefactatos cernentes, pleroſque etiam militum in excurſionibus aut cæſos, aut vulneribus inutiles ad pugnam factos: re accuratius perpenſa, ſub ſecundam noctis vigiliam, turrim ligneam, quam aduerſus hoſtium machinas conſtruxerant, & porticus, in quibus tela eorum repoſita e-
D rant, incendunt: ædibus etiam muro proximis ignem inijciunt. Ab his exæſtuans flamma in turrim ferebatur, vento ipſo incendium eò propellente. Oppidanorum verò alij in arcem eius inſulæ, alij in Salmacidem arcem ita vocatam, ſeſe receperunt. Quæ quum Alexander ex transfugis qui ex ea clade venerant cognouiſſet, ipſéque magnos ignes cerneret, tametſi iam intempe-
E ſta nox eſſet quum id fieret, nihilominus tamen immiſsis Macedonibus, eos qui vrbem incendebant, trucidari iubet: ijs verò qui intra domeſticos parietes inuenti eſſent, parci. Illuceſcente porrò aurora, contemplatus arces quas Perſæ pariter & mercenarij occuparant, eas nequaquam obſidendas eſſe ſtatuit: tum quòd multum temporis ob locorũ naturam ſibi periturũ eſſet, quódque non magni momenti eſſent, poſtquam ipſe totam vrbem euertiſſet. Mortuis itaque noctu ſepultis, machinarum præfectis vt eas in Tralles auehant iubet. Ipſe vrbem ſolo adæquauit: eíque & re-
F liquæ Cariæ præſidio impoſito, exterorum peditum trium millium, equitum ducentorum, ac Ptolemæo ijs præfecto, in Phrygiam mouit. Satrapatum totius Cariæ Adæ tribuit. Hecatomni filia hæc erat. Hidriei ſoror: qui quum frater eius eſſet, Carum tamen lege eandem & vxorem ſibi coniunxit. Hidrieus porrò moriens regni adminiſtrationem ei reliquerat.

Vſitatum enim eſt in Aſia, iam inde à Semiramide, vt & virorum, vxores regnent. Eã Pexodarus regno eiecerat, ſummam rerum poteſtatem vſurpans. Orontobates autem Carium regnum à rege miſſus tenebat, vtpote Pexodari gener. Ada verò vnicam in Caria cámque munitiſsimam vrbem, Alinda nomine, tenebat. Hæc Alexãdro Cariam cum exercitu ingreſſo obuiam profecta, Alinda ei tradit, eúmque ſibi in filium adoptat. Alexander Alinda ei cuſtodienda reliquit, & filii nomen non aſpernatur. Porrò deleta Halicarnaſſo, quum tota Caria potitus eſſet, totius prouinciæ imperium illi detulit. Poſthæc quum ex Macedonibus qui ſecū militabant, nonnulli paulo ante expeditionem vxores duxiſſent, etiam horum res Alexander minimè negligendas exiſtimauit. Itaque iis ex Caria dimiſſis, hybernandi cum vxoribus poteſtatem facit, Ptolemæo Seleuci filio vno ex regiis corporis cuſtodibus, iis præfecto: ex ducibus verò copiarum, Cœno Polemocratis filio, & Meleagro Neoptolemi filio, (quòd etiam hi recens vxores duxerant) adiunctis. Imperátque vt quum ipſi reuerterentur, & eos qui vnà dimiſsi erant reducerent, equitatum ac peditatum, quàm maximū poſſent, ex ea regione conſcriberent. quo quidem facto, ſi quo vnquam, magnam ſibi Alexander apud Macedones laudem comparauit. Cleandrum autem Polemocratis filium ad militem conſcribendum in Peloponneſum, Parmenionẽ in Sardos miſit, data huic ſociorum equitum præfectura: vtq; Theſſalos equites alióſque auxiliarios, & plauſtra ducat, atque Sardibus in Phrygiam procedat, iubet. Ipſe in Lyciam & Pamphyliam tendit, vt oris maritimis in poteſtatem redactis, claſſem hoſtium inutilem ipſis efficiat. Ac primò quidem ex itinere Hyparna oppidum munitum, quódque exterum militem mercenariū præſidio habebat, primo acceſſu cepit. Exteri enim qui arcem tenebant, fide data exiere. Deinde Lyciã cum exercitu ingreſſus, Telmiſſeos pactis ſibi cõciliauit. Tranſmiſſo inde Xantho flumine Pinara & Xanthum vrbem, & Patara deditione accepit, aliáque minora oppida, circiter xxx. His rebus geſtis media hyeme in Myliada regionem ita vocatam mouet, quæ quidem magnæ Phrygiæ pars, ſed magno rege ita iubente, Lyciæ contributaria eſt. Eo loci Phaſelitarum legati venerunt, amicitiam petentes, aureáque corona Alexandrum coronaturi: neque pauci ex inferiori Lycia legatos, qui de fœdere ineundo tractarent, miſerunt. Alexander, Phaſelitis & Lyciis, vt vrbes iis qui ad hoc miſsi eſſẽt, tradãt, imperat. quæ quidem omnes traditæ fuerunt. Ipſe paulò poſt in Phaſelitas profectus, vnà cum ipſis caſtellum quoddam munitum, quod Piſidæ in eorum regione extruxerãt, expugnat: vnde barbari excurrentes, Phaſelitas agrum colentes multis damnis afficiebant. Interea dum apud Phaſelitas eſt Alexãder, nuntiū affertur Alexandrū Aëropum eius vitæ inſidiari, quū alioqui ex ſociis eſſet, & tũ tẽporis Theſſalico equitatui præeſſet. Erat hic Alexãder Heromenis & Arrabæi frater, qui necis Philippi

Sic vertit & Facius ita vt legiſſe videatur etiã ipſe ἐσβαλόντι pro ἐς καλόντι. Quæ tamen lectio ferri & ipſa poteſt.

A τέτρεφε τὰ πράγματα· νενομισμένον ἐν τῇ Ἀσίᾳ ἔτι ἀπὸ Σεμιράμεως, καὶ γυναῖκας ἄρχειν ἀνδρῶν. Πηξόδαρος δὲ τὴν μὲν ἐκβάλλει τῆς ἀρχῆς, αὐτὸς δὲ κατεῖχε τὰ πράγματα. Ὀροντοβάτης δὲ τὴν Καρῶν ἀρχὴν ἐκ βασιλέως πεμφθεὶς εἶχε, γαμβρὸς ὢν Πηξοδάρου. Ἄδα δὲ Ἄλινδα μόνον κατεῖχε, χωρίον τῆς Καρίας ἐν τοῖς ὀχυρώτατον, καὶ ἐσβαλόντι Ἀλεξάνδρῳ ἐς Καρίαν, ἀπήντα, τά τε Ἄλινδα ἐνδιδοῦσα, καὶ παῖδά οἱ τιθεμένη Ἀλέξανδρον. καὶ Ἀλέξανδρος τά τε Ἄλινδα αὐτῇ ἐπέτρεψε, καὶ τὸ ὄνομα τοῦ παιδὸς οὐκ ἀπηξίωσε. καὶ ἐπειδὴ Ἁλικαρνασσόν τε ἐξεῖλε, καὶ τῆς ἄλλης Καρίας ἐπεκράτησεν, αὐτῇ ἄρχειν ἁπάσης ἔδωκε. B τῶν Μακεδόνων δὲ τῶν συνεστρατευμένων Ἀλεξάνδρῳ, ἦσαν οἳ νεωστὶ πρὸ τῆς στρατείας γεγαμηκότες· καὶ τούτων ἔγνω οὐκ ἀμελητέα εἶναί οἱ ὁ Ἀλέξανδρος, ἀλλ' ἐκπέμπει γὰρ αὐτοὺς ἐκ Καρίας, διαχειμάσοντας ἐν Μακεδονίᾳ ἅμα ταῖς γυναιξίν· ἐπιτάξας αὐτοῖς Πτολεμαῖον τὸν Σελεύκου, ἕνα τῶν σωματοφυλάκων τῶν βασιλικῶν· καὶ τῶν στρατηγῶν, Κοινόν τε τὸν Πολεμοκράτους, καὶ Μελέαγρον τὸν Νεοπτολέμου, ὅτι καὶ αὐτοὶ τῶν νεογάμων ἦσαν· προστάξας, ἐπειδὰν αὐτοί τε ἐπανίωσι, καὶ τοὺς μετὰ σφῶν ἐκπεμφθέντας ἐπαναγάγωσι, C καταλέξαι ἱππέας τε καὶ πεζοὺς ἐκ τῆς χώρας ὅσους πλείστους. καὶ τῷ ἔργῳ τούτῳ, εἴπερ τινὶ ἄλλῳ, εὐδοκίμησε παρὰ Μακεδόσιν Ἀλέξανδρος. ἔπεμψε δὲ καὶ Κλέανδρον τὸν Πολεμοκράτους ἐπὶ ξυλλογῇ στρατιωτῶν εἰς Πελοπόννησον. Παρμενίωνα δὲ πέμπει ἐπὶ Σάρδεων, δοὺς αὐτῷ τῶν τε ἑταίρων ἱππαρχίαν, καὶ τοὺς Θετταλοὺς ἱππέας, καὶ τοὺς ἄλλους ξυμμάχους. καὶ τὰς ἁμάξας ἄγειν· καὶ κελεύει προϊέναι ἀπὸ Σάρδεων ἐπὶ Φρυγίαν. αὐτὸς δὲ ἐπὶ Λυκίας τε καὶ Παμφυλίας ᾔει, ὡς τῆς παραλίου κρατήσας, ἀχρεῖον καταστῆσαι τοῖς πολεμίοις D τὸ ναυτικόν. καὶ πρῶτον μὲν ἐν παρόδῳ Ὕπαρνα χωρίον ὀχυρὸν φυλακὴν ἔχον ξένους μισθοφόρους, ἐξ ἐφόδου ἔλαβεν· οἱ δὲ ἐκ τῆς ἄκρας ξένοι ὑπόσπονδοι ἐξῆλθον. ἔπειτα εἰσβαλὼν ἐς Λυκίαν, Τελμισσεῖς μὲν ὁμολογίᾳ προσηγάγετο· περάσας δὲ τὸν Ξάνθον ποταμόν, Πίναρα, καὶ Ξάνθον τὴν πόλιν, καὶ Πάταρα, ἐνδοθέντα ἔλαβεν, καὶ ἄλλα ἐλάττω πολίσματα, ἐς τριάκοντα. ταῦτα καταπράξας ἐν ἀκμῇ ἤδη τοῦ χειμῶνος, ἐς τὴν Μιλυάδα καλουμένην χώραν ἐσβάλλει, ἣ ἔστι μὲν τῆς μεγάλης Φρυγίας, ξυνετέλει δὲ ἐς τὴν Λυκίαν, E τότε οὕτως ἐκ βασιλέως μεγάλου τεταγμένον· καὶ ἐνταῦθα Φασηλιτῶν πρέσβεις ἧκον περὶ φιλίας τε καὶ χρυσῷ στεφάνῳ στεφανῶσαι Ἀλέξανδρον, καὶ ὑπὲρ τῶν αὐτῶν ἐπικηρυκευόμενοι ἐπρέσβευον Λυκίων τῶν κάτω οἱ πολλοί. Ἀλέξανδρος δὲ Φασηλίτας τε καὶ Λυκίους παραδοῦναι τὰς πόλεις τοῖς ἐπὶ τούτῳ στελλομένοις ἐκέλευσε, καὶ παρεδόθησαν ξύμπασαι. αὐτὸς δὲ ὀλίγον ὕστερον ἐς τὴν Φασηλίδα παραγενόμενος, συνεξαιρεῖ αὐτοῖς φρούριον ὀχυρὸν ἐπιτετειχισμένον τῇ χώρᾳ πρὸς Πισιδῶν· ὅθεν ὁρμώμενοι οἱ F βάρβαροι πολλὰ ἔβλαπτον τῶν Φασηλιτῶν τοὺς τὴν γῆν ἐργαζομένους. ἔτι δὲ αὐτῷ περὶ τὴν Φασηλίδα ὄντι ἐξαγγέλλεται Ἀλέξανδρον τὸν Ἀερόπου ἐπιβουλεύειν, τά τε ἄλλα τῶν ἑταίρων ὄντα, καὶ ἐν τῷ τότε Θετταλῶν τῆς ἵππου ἄρχοντα. ἦν μὲν δὴ ὁ Ἀλέξανδρος οὗτος, ἀδελφὸς Ἡρομένους τε καὶ Ἀρραβαίου τῶν ξυνεπιλαβόντων τῆς σφαγῆς τῆς Φιλίππου. καὶ

τότε

ποτε αἰτίαις ἔχοντα αὐτὸν Ἀλέξανδρος ἀφῆκεν, ὅτι ἐν A πρώτοις τε ἀφίκετο τῶν φίλων παρ' αὐτόν, ἐπειδὴ Φίλιππος ἐτελεύτησε, καὶ τὸν θώρακα συνενδὺς, συνηκολούθησεν αὐτῷ εἰς τὰ βασίλεια· ὕστερον δὲ καὶ ἐν τιμῇ ἀμφ' αὐτὸν εἶχε, στρατηγόν τε ἐπὶ Θρᾴκης στείλας· καὶ ἐπειδὴ Κάλας ὁ τῶν Θετταλῶν ἵππαρχος ἐπὶ σατραπείᾳ ἐξεπέμφθη, αὐτὸν ἀπέδειξεν ἄρχειν τῆς Θεσσαλικῆς ἵππου. τὰ δὲ τῆς ἐπιβουλῆς ἐξηγγέλθη ὧδε. Δαρεῖος, ἐπειδὴ Ἀμύντας αὐτομολήσας πρὸς αὐτόν, λόγους τέ τινας καὶ γράμματα παρὰ τοῦ Ἀλεξάνδρου τούτου ἐκόμισε, καταπέμπει ἐπὶ θάλασσαν B Ἀσισίνην ἄνδρα Πέρσην, τῶν ἀμφ' αὐτὸν πιστῶν· πρόφασιν μὲν, παρὰ Ἀτιζύην τὸν Φρυγίας σατράπην, τῇ δὲ ἀληθείᾳ τῷ Ἀλεξάνδρῳ τούτῳ συνεσόμενον, καὶ πίστεις δώσοντα, ἢν ἀποκτείνῃ βασιλέα Ἀλέξανδρον, αὐτὸν βασιλέα καταστήσειν τῆς Μακεδονίας, καὶ χρυσίου τάλαντα πρὸς τῇ βασιλείᾳ ἐπιδώσειν χίλια. ὁ δὲ Ἀσισίνης ἁλοὺς πρὸς Παρμενίωνος, ταῦτ' εἶπεν ἀνακρινόμενος ὧν ἕνεκα ἀπεστάλη. καὶ τοῦτον αὐτίκα ἐν φυλακῇ πέμπει Παρμενίων παρ' Ἀλέξανδρον, καὶ πυνθάνεται ταῦτα παρ' αὐτοῦ Ἀλέξανδρος. συναγαγὼν δὲ τοὺς C φίλους, βουλὴν προὔθηκε ὅ,τι χρὴ ὑπὲρ Ἀλεξάνδρου γνῶναι· καὶ ἐδόκει τοῖς ἑταίροις μήτε πάλαι εὖ βεβουλεῦσθαι, τὸ κράτιστον τοῦ ἱππικοῦ ἀνδρὶ οὐ πιστῷ ἐπιτρέψας, νῦν τε χρῆναι αὐτὸν κατὰ τάχος ἐκποδὼν ποιεῖσθαι, πρὶν καὶ ἐπιτηδειότερον γιγνόμενον τοῖς Θετταλοῖς, ξὺν αὐτοῖς τι νεωτερίσαι. καί τι καὶ θεῖον ἐφόβει αὐτούς. ἔτι γὰρ πολιορκοῦντος αὐτοῦ Ἀλεξάνδρου Ἁλικαρνασσόν, ἀναπαύεσθαι μὲν ἐν μεσημβρίᾳ, χελιδόνα δὲ περιπέτεσθαι ὑπὲρ κεφαλῆς τρύζουσαν μεγάλως, καὶ τῆς εὐνῆς ἄλλῃ καὶ ἄλλῃ καθίζειν, θορυβωδέστερον ἢ κατὰ D τὸ εἰωθὸς ᾄδουσαν. τὸν δὲ, ὑπὸ καμάτου ἐγερθῆναι μὲν ἀδυνάτως ἔχειν ἐκ τοῦ ὕπνου, ἐνοχλούμενον δὲ πρὸς τῆς φωνῆς, τῇ χειρὶ οὐ βαρέως ἀποσοβῆσαι τὴν χελιδόνα· τὴν δὲ τοσούτου ἄρα δεῆσαι ἀποφυγεῖν πληγεῖσαν, ὥστε ἐπὶ τῆς κεφαλῆς τῆς τοῦ Ἀλεξάνδρου καθημένην, μὴ πρόσθεν ἀνεῖναι πρὶν παντελῶς ἐξεγερθῆναι Ἀλέξανδρον. καὶ Ἀλέξανδρος οὐ φαῦλον ποιησάμενος τὸ τῆς χελιδόνος, ἀνεκοίνωσεν Ἀριστάνδρῳ τῷ Τελμισσεῖ μάντει· Ἀρίστανδρον δὲ, ἐπιβουλὴν μὲν ἔκ του τῶν φίλων σημαίνεσθαι αὐτῷ εἰπεῖν· σημαίνεσθαι δὲ, E καὶ ὅτι καταφανὴς ἔσται. τὴν γὰρ χελιδόνα, σύντροφόν τε εἶναι ὄρνιθα καὶ εὔνουν ἀνθρώποις, καὶ λάλον μᾶλλον ἢ ἄλλην ὄρνιθα. ταῦτά τε οὖν καὶ τὰ ἀπὸ τοῦ Πέρσου ξυνθεὶς, πέμπει ἐς Παρμενίωνα Ἀμφοτερὸν, τὸν Ἀλεξάνδρου μὲν παῖδα, ἀδελφὸν δὲ Κρατεροῦ· καὶ ξυμπέμπει αὐτῷ τῶν Περγαίων τινὰς τὴν ὁδὸν ἡγησομένους. καὶ ὁ Ἀμφοτερὸς στολὴν ἐνδὺς ἐπιχώριον, ὡς μὴ γνώριμος εἶναι κατὰ τὴν ὁδὸν, λανθάνει ἀφικόμενος παρὰ Παρμενίωνα· καὶ γράμματα μὲν οὐ κομίζει παρ' Ἀλεξάνδρου (οὐ γὰρ ἔδοξε γράφειν ὑπὲρ οὐδενὸς τοιούτου F ἐς τὸ ἐμφανὲς) τὰ δὲ ἀπὸ γλώσσης οἱ ἐντεταλμένα ἐξήγγειλε· καὶ οὕτω ξυλλαμβάνεται ὁ Ἀλέξανδρος οὗτος, καὶ ἐν φυλακῇ ἦν. Ἀλέξανδρος δὲ ἄρας ἐκ Φασήλιδος, μέρος μέν τι τῆς στρατιᾶς διὰ τῶν ὀρῶν πέμπει ἐπὶ Πέργης, ᾗ ὁδοποιήκεσαν αὐτῷ οἱ Θρᾷκες, χαλεπὴν ἄλλως καὶ οὐ μακρὰν οὖσαν τὴν πάροδον· αὐτὸς δὲ παρὰ τὴν θάλασσαν διὰ τοῦ αἰγιαλοῦ ἦγε τοὺς ἀμφ' αὐτόν. ἔστι δὲ ταύτῃ ἡ ὁδὸς οὐκ ἄλλως, ὅτι μὴ τῶν ἀπ'

cõſcij fuerãt. Et tum quidẽ in culpa quũ eſſet, Alexãder eum dimiſerat, φ inter præcipuos amicos poſt Philippi obitũ ad ſe veniſſet, & thorace indutus eum in regiã comitatus eſſet. Poſtea verò multis honoribus affectum ſibi adiunxerat, ducémque copiarũ in Thraciã miſerat, & Cala Theſſalici equitat' præfecto ad ſatrapatum miſſo, hunc Theſſalis ducem dederat. Inſidiarum verò ratio ita inſtituta fuiſſe narratur. Darius, acceptis per Amyntam transfugam ab hoc Alexandro mandatis & literis, Aſiſinem hominem Perſam, cui plurimum fidebat, ad maritimã oram mittit, prætextu quidem legationis ad Atyziem Phrygiæ ſatrapam: re vera autem, vt Alexandrum hunc adiret, fidémque faceret, ſi regem Alexandrum interficeret, Macedoniæ regnum, & mille inſuper auri talenta ſe illi daturum. Sed Aſiſines à Parmenione comprehenſus, cauſam ſuæ legationis examinatus explicauit. Parmenio illum cum cuſtodia ad Alexandrum mittit, qui eadem ex illo cognoſcit. Conuocatis autem amicis, quid de Alexandro Aëropo ſtatuẽdum ſit, conſultat. Amicis viſum eſt, parum conſultè initio factum fuiſſe, quòd præſtantiſsimum equitatum homini non fido commiſiſſet: nunc verò celeriter illum de medio tollendum, priuſquam conciliatis Theſſalorum animis res nouas vnà cum iis moliretur. Prodigium etiam recens timorem ipſis adiecit. Alexandro enim adhuc Halicarnaſſum obſidente, & ſub meridiem quieſcente, ferunt hirundinem dormientis caput circumuolitaſſe, magnos garritus edentem, & modò in hoc modò in illud lectuli latus inſediſſe, turbulẽtius quàm illius auis conſuetudo fert, canentẽ. Ipſum præ defatigatione à ſomno excitari non potuiſſe: ſed quum vlterius ſtrepitu ſuo moleſta eſſet, leuiter manu hirundinem repuliſſe: illam tantum abfuiſſe vt repulſa auolarit, vt ipſius capiti inſidens non prius cantare deſtiterit, quàm Alexander penitus experrectus fuerit. Is prodigium illud non leuis momenti eſſe ratus, Ariſtandrum Telmiſſenſem vatem conſulit: qui, inſidias Alexandro ab amico quodam ſtrui, portendi reſpondit. fore tamen vt inſidiæ proderentur. Hirundinem enim, coalumnam atque amicam hominibus eſſe, ac præ cæteris auibus garrulam. Vatis itaque reſponſum cum Perſæ dictis conferens, Amphoterum Alexandri quidem filium, Crateri autem fratrẽ, ad Parmenionem mittit, Pergenſibus aliquot, qui itineris duces eſſent, adiunctis. Amphoterus, patrio atque aſſueto illi regioni habitu aſſumpto, ne in itinere agnoſceretur, clam ad Parmenionem peruenit: ac nihil quidem ab Alexandro literarum adfert, (nihil enim hac de re literis cõmittendũ iudicarat, ſed verbis mãdata exponit. atque ita Alexãder hic capitur, & cuſtodiæ traditur. Alexãder ex Phaſelide mouẽs, aliquã exercitus partem per montana Pergas mittit, qua Thraces iter monſtrarunt, arduum quidem, ſed cõpendioſum: ipſe ſecus mare per littus ſuos ducit. Via autem hæc aliter

confici non poteſt, niſi ventis à ſeptentrione flantibus: auſtro autē inualeſcente, ægrè per littus iter fit. Tum verò ex vehemētibus auſtris boreales venti exorti, non abſque diuino quodā numine (vt ipſe Alexāder, & qui cum eo erant, interpretabantur) facilem ac celerem tranſitum præbuerunt. Ex Pergis progreſſus, obuios habuit legatos Aſpendiorum principes, oppida quidem dedentes, at ne præſidia imponeret deprecantes. Ac de præſidio quidē poſtulata impetrarunt: quinquaginta talenta in exercitus ſtipendia iis imperat, & equos quos tributi nomine Dario nutriebant. Equos itaque vltra argenti ſummam daturos ſe polliciti, diſcedūt. Alexander inde in Siden mouit: ſunt autem Siditæ Cumæi, ex Cumis AEoliis oriundi, qui quidem de origine ſua huiuſmodi quippiam narrant. nimirū ſe primos qui è Cumis profecti eò appulerunt, atque in eam regionem habitandam deſcenderunt, repentè Græcanicæ linguæ oblitos fuiſſe, ſtatimque barbaros ſonos emiſiſſe: nec quidem illos cum barbaris vicinis communes, ſed ipſis proprios ac peculiares, quique āntea in vſu non fuiſſent: atque ex eo tempore Siditas à vicinis barbaris diſtinctos eſſe. Alexander, relicto apud Siden præſidio, Syllium profectus eſt, oppidum munitum, atque externi mercenariique militis præſidio firmatum, ita vt repentino inſultu capi non poſſet. Adhæc in itinere nunciatum eſt, Aſpendios nihil corū quæ pacta eſſent præſtare, neque equos tradere iis qui ad eos recipiendos miſſi erant, neque pecuniam numerare velle, ſed rebus ſuis ex agro in vrbem vectis, portas iis qui ab Alexandro venerant præcluſiſſe, & muros ſicubi affecti videbantur, inſtauraſſe. Quibus rebus cognitis, Aſpendum verſus caſtra mouit. Sita eſt ea vrbs magna ex parte in aſpera præruptáque rupe, quam Eurymedon fluuius alluit. Erant autem iis circum rupem decliuioribus ac planioribus in locis ædificia non pauca, modico muro circumiecto. Simulac verò Alexandrum mœnibus appropinquantem viderunt, muro ædificiiſque, quæ humilioribus in locis inhabitabāt, deſertis, quòd ea tueri ſe poſſe diffiderent, in arcem confugiunt. Alexander, vt primùm eò cum exercitu peruenit, vacuum murum tranſgreſſus, in ædificiis quæ Aſpendij deſeruerant, caſtra locat. Qui quum Alexandrum præter expectationem imminentem, ac ſeſe vndique ab exercitu circumſeſſos viderunt, miſſis legatis orarunt vt prioribus conditionibus pactio fieret. Alexander, loci munitione animaduerſa, quódque ipſe ad longam obſidionem imparatus eſſet, nihilominus tamen non iiſdem conditionibus cum eis conuenit: ſed vt principes vrbis obſides dent, & equos quos antea promiſerant tradant, & talentorū ſummam duplicent, imperat: vtque ſatrapæ, quē Alexander ſtatuiſſet, pareant, & tributa conſueta Macedonibus pendant: ac de agro, cuius poſſeſſionem finitimis vi eripuiſſe accuſabantur, iudicio contendant. Omnibus iis conditionibus acceptis Pergen profectus, inde in Phrygiā caſtra mouit. Erat porrò illi iter faciendū per Telmiſſum vrbē. Homines

A ἄρκτου ἀνέμων πνεόντων· εἰ δὲ νότοι κατέχοιεν, ἀπόρως ἔχει διὰ τοῦ αἰγιαλοῦ ὁδοιπορεῖν. τότε δ' ἐκ νότων σκληρῶν, βορέαι ἐπιπνεύσαντες, οὐκ ἄνευ τοῦ θείου (ὡς αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ἐξηγοῦντο) εὐμαρῆ καὶ ταχεῖαν τὴν πάροδον παρέσχον. ἐκ Πέργης δὲ ὡς προῄει, ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβεις Ἀσπενδίων αὐτοκράτορες, τὴν μὲν πόλιν ἐνδιδόντες, φρουρὰν δὲ μὴ εἰσάγειν δεόμενοι. καὶ περὶ μὲν τῆς φρουρᾶς πράξαντες ἀπῆλθον ὅσα ἠξίουν· πεντήκοντα δὲ B τάλαντα κελεύει τῇ στρατιᾷ δοῦναι αὐτοὺς ἐς μισθὸν, καὶ τοὺς ἵππους οὓς δασμὸν βασιλεῖ ἔτρεφον. οἱ δὲ, ὑπέρ τε τοῦ ἀργυρίου, καὶ τοὺς ἵππους παραδώσειν ξυνθέμενοι, ἀπῆλθον. Ἀλέξανδρος δὲ ἐπὶ Σίδης ᾔει. εἰσὶ δὲ οἱ Σιδῆται Κυμαῖοι, ἐκ Κύμης τῆς Αἰολίδος· καὶ οὗτοι λέγουσιν ὑπὲρ σφῶν τόνδε τὸν λόγον· ὅτι ὡς κατῆράν τε ἐς τὴν γῆν ἐκείνην οἱ πρῶτοι ἐκ Κύμης σταλέντες, καὶ ἐπὶ οἰκισμῷ ἐξέβησαν, αὐτίκα τὴν μὲν Ἑλλάδα γλῶσσαν ἐξελάθοντο, εὐθὺς δὲ βάρβαρον C φωνὴν ἵεσαν, οὐδὲ τῶν προσχώρων βαρβάρων ἀλλὰ ἰδίαν σφῶν, οὔπω πρόσθεν οὖσαν τὴν φωνήν. καὶ ἐκ τότε οὐ κατὰ τοὺς ἄλλους προσχώρους Σιδῆται ἐβαρβάριζον. καταλιπὼν δὲ φρουρὰν ἐν τῇ Σίδῃ, προῄει ἐπὶ Σύλλιον, χωρίον ἐχυρὸν, καὶ φρουρὰν ἔχον ξένων μισθοφόρων, καὶ αὐτῶν τῶν ἐπιχωρίων βαρβάρων. ἀλλ' οὔτε τὸ Σύλλιον ἐξ ἐφόδου αὐτοσχεδίου ἠδυνήθη λαβεῖν. ἔπειτα ἠγγέλθη αὐτῷ κατὰ τὴν ὁδὸν τοὺς Ἀσπενδίους, ὅτι οὐδὲν τῶν συγκειμένων πρᾶξαι ἐθέλοιεν· οὔτε D τοὺς ἵππους παραδοῦναι τοῖς πεμφθεῖσιν, οὔτε ἀπαριθμῆσαι τὰ χρήματα, καὶ τὰ ἐκ τῆς χώρας ὅτι ἀνασκευασάμενοι ἐς τὴν πόλιν, τάς τε πύλας ἀποκεκλείκασι τοῖς παρ' Ἀλεξάνδρου, καὶ τὰ τείχη ὅπῃ πεπονηκότα ἦν, ἐπισκευάζουσι. ταῦτα πυθόμενος, ἐπὶ Ἀσπένδου ἀνεζεύγνυεν. ᾤκισται δὲ τῆς Ἀσπένδου τὰ μὲν πολλὰ ἐπὶ ἄκρᾳ ὀχυρᾷ καὶ ἀποτόμῳ· καὶ παρ' αὐτὴν τὴν ἄκραν ὁ Εὐρυμέδων ποταμὸς ῥεῖ. ἦσαν δὲ αὐτοῖς καὶ περὶ τῇ ἄκρᾳ ἐν τῷ χθαμαλῷ οὐκ ὀλίγαι οἰκήσεις, καὶ τεῖχος περιεβέβλητο αὐταῖς οὐ μέγα. τὸ μὲν δὴ E τεῖχος, εὐθὺς ὡς προσάγοντα Ἀλέξανδρον ἔγνωσαν, ἐκλείπουσιν ὅσοι ἐπῴκουν, καὶ τὰς οἰκίας ὅσαι ἐν τῷ χθαμαλῷ ᾠκισμέναι, οὐκ ἐδόκουν διαφυλάξαι ἂν δύνασθαι· αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυμφεύγουσιν. Ἀλέξανδρος δὲ, ὡς ἀφίκετο ξὺν τῇ δυνάμει, εἴσω τοῦ ἐρήμου τείχους παρελθὼν, κατεστρατοπέδευσεν ἐν ταῖς οἰκίαις ταῖς καταλελειμμέναις πρὸς τῶν Ἀσπενδίων. οἱ δὲ Ἀσπένδιοι, ὡς εἶδον αὐτόν τε Ἀλέξανδρον παρ' ἐλπίδα ἥκοντα, καὶ τὸ στρατόπεδον ἐν κύκλῳ σφῶν πάντῃ, πέμψαντες πρέσβεις ἐδέοντο ἐφ' οἷσπερ πρόσθεν, ξυμβῆναι. καὶ Ἀλέξανδρος τό, τε χωρίον ὀχυρὸν ἰδὼν, καὶ αὐτὸς οὐκ ἐπὶ χρόνιον πολιορκίαν F παρεσκευασμένος, ἐπὶ τοῖς αὐτοῖς μὲν οὐδὲ ὣς ξυνέβη πρὸς αὐτούς· ὁμήρους δὲ δοῦναι σφῶν τοὺς δυνατωτάτους ἐκέλευσε καὶ τοὺς ἵππους, οὓς πρόσθεν ὡμολόγησαν· καὶ ἑκατὸν τάλαντα, ἀντὶ τῶν πεντήκοντα· καὶ πείθεσθαι τῷ σατράπῃ τῷ ὑπ' Ἀλεξάνδρου ταχθέντι· καὶ φόρους ἀποφέρειν ὅσα ἔτη Μακεδόσι, καὶ ὑπὲρ τῆς χώρας διακριθῆναι ἣν τῶν προσχώρων οὖσαν, βίᾳ κατέχειν ἐν αἰτίᾳ ἦσαν. ὡς δὲ πάντα οἱ ἐπεχώρησαν, ἀνέζευξεν ἐς Πέργην, κἀκεῖθεν ἐς Φρυγίαν ὥρμητο. ἦν δὲ αὐτῷ ἡ πορεία παρὰ Τελμισσὸν πόλιν. οἱ δὲ ἄνθρωποι

οὗτοι, τὸ μὲν γένος Πισίδαι εἰσὶ, βάρβαροι. χωρίον δὲ οἰκοῦσιν ὑπερύψηλον, καὶ πάντη ἀπότομον· καὶ ἡ ὁδὸς παρὰ τὴν πόλιν, χαλεπή. καθήκει γὰρ ἐκ τῆς πόλεως ὄρος ἔστε ἐπὶ τὴν ὁδόν. καὶ τοῦτο μὲν αὐτοῦ ἐν τῇ ὁδῷ ἀποπαύεται· ἀντίπορον δὲ αὐτῷ ὄρος ἄλλο ἐστὶν, οὐ μεῖον ἀπότομον· καὶ ταῦτα τὰ ὄρη ὥσπερ πύλας ποιεῖ ἐπὶ τῇ ὁδῷ, καὶ ἔστιν ὀλίγῃ φυλακῇ κατέχοντας τὰ ὄρη ταῦτα, ἄπορον ποιεῖν τὴν πάροδον. καὶ τότε οἱ Τελμισσεῖς πανδημεὶ ἐκβεβοηθηκότες, ἀμφότερα τὰ ὄρη κατεῖχον. ταῦτα δὴ ἰδὼν Ἀλέξανδρος, στρατοπεδεύεσθαι αὐτοῦ, ὅπως εἶχον, ἐκέλευε τοὺς Μακεδόνας, γνοὺς ὅτι οὐ μενοῦσι πανδημεὶ οἱ Τελμισσεῖς, αὐλιζομένους σφᾶς ἰδόντες, ἀλλ' ἀποχωρήσουσιν εἰς τὴν πόλιν πλησίον οὖσαν οἱ πολλοὶ αὐτῶν, ὅσον φυλακὴν καταλιπόντες ἐπὶ τοῖς ὄρεσι. καὶ ξυνέβη, ὅπως εἴκαζεν. οἱ μὲν γὰρ πολλοὶ αὐτῶν ἀπῆλθον, αἱ φυλακαὶ δὲ ἐγκατέμειναν. καὶ ἐπὶ τούτοις εὐθὺς ἀναλαβὼν τούς τε τοξότας, καὶ τὰς τῶν ἀκοντιστῶν τάξεις, καὶ τῶν ὁπλιτῶν ὅσοι κουφότεροι, ἐπήγαγεν. οἱ δὲ οὐκ ἔμειναν βαλλόμενοι, ἀλλὰ ἔλιπον τὸ χωρίον. Ἀλέξανδρος δὲ ὑπερβαλὼν τὰ στενὰ, πρὸς τῇ πόλει κατεστρατοπέδευσε. καὶ ἐνταῦθα ἀφικνοῦνται παρ' αὐτὸν Σελγέων πρέσβεις. οἱ δέ εἰσι καὶ αὐτοὶ Πισίδαι βάρβαροι, καὶ πόλιν μεγάλην οἰκοῦσι, καὶ αὐτοὶ μάχιμοί εἰσιν· ὅτι δὲ πολέμιοι τοῖς Τελμισσεῦσιν ἐκ παλαιοῦ ἐτύγχανον, ὑπὲρ φιλίας πρὸς Ἀλέξανδρον πεπρεσβευμένοι ἦσαν. καὶ πρὸς τούτους σπένδεται Ἀλέξανδρος, καὶ ἐκ τούτου πιστοῖς ἐς ἅπαντα ἐχρήσατο· τὴν Τελμισσὸν δὲ ἀπέγνω ἑλεῖν ἂν ἐν ὀλίγῳ χρόνῳ, ἀλλ' ἐπὶ Σαλαγασσοῦ ἐστέλλετο. ἦν δὲ καὶ αὕτη οὐ μικρὰ πόλις· Πισίδαι καὶ ταύτην ᾤκουν· καὶ ἐδόκουν πάντων Πισιδῶν μαχίμων ὄντων αὐτοὶ εἶναι οἱ μαχιμώτατοι. καὶ τότε τὸν λόφον τὸν πρὸ τῆς πόλεως, ὅτι καὶ οὗτος οὐ μεῖον τοῦ τείχους ὀχυρὸς ἐς τὸ ἀπομάχεσθαι ἦν, κατειληφότες προσέμενον. Ἀλέξανδρος δὲ τὴν μὲν φάλαγγα τῶν Μακεδόνων τάττει ὧδε· ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως, ἵνα καὶ αὐτὸς ἐπιτέτακτο, τοὺς ὑπασπιστὰς εἶχεν· ἐχομένους δὲ τούτων, τοὺς πεζεταίρους ἔστε ἐπὶ τὸ εὐώνυμον παρατείνας· ὡς ἑκάστοις τῶν στρατηγῶν ἡ ἡγεμονία τῆς τάξεως ἐν τῇ τότε ἡμέρᾳ ἦν. ἐπὶ δὲ τοῦ εὐωνύμου ἐπέταξεν ἡγεμόνα Ἀμύνταν τὸν Ἀρραβαίου. προσετάχθησαν δὲ αὐτῷ, τοῦ μὲν δεξιοῦ κέρως, οἵ τε τοξόται καὶ οἱ Ἀγριᾶνες· τοῦ δὲ εὐωνύμου, οἱ ἀκοντισταὶ οἱ Θρᾷκες, ὧν ἡγεῖτο Σιτάλκης. οἱ γὰρ ἱππεῖς αὐτῷ οὐκ ὠφέλιμοι ἐν τῇ δυσχωρίᾳ ἦσαν· τοῖς Πισίδαις δὲ καὶ Τελμισσεῖς προσβεβοηθηκότες ξυνετάξαντο. ἤδη δὲ οἱ ἀμφ' Ἀλέξανδρον προσβεβληκότες τῷ ὄρει, ὅπερ κατεῖχον οἱ Πισίδαι, κατ' αὐτὸ τὸ ἀποτομώτατον τῆς ἀνόδου ἦσαν· καὶ ἐν τούτῳ ἐπιτίθενται αὐτοῖς οἱ βάρβαροι λόχοις κατὰ κέρας ἑκάτερον, ᾗ σφίσι μὲν εὐπροσοδώτατον ἦν, τοῖς πολεμίοις δὲ χαλεπωτάτη ἡ πρόσβασις· καὶ τοὺς μὲν τοξότας, οἷα δὴ οὔτε ἀκριβῶς ὡπλισμένους καὶ πρώτους πελάσαντας, ἐτρέψαντο· οἱ δὲ Ἀγριᾶνες ἔμειναν. ἐγγὺς γὰρ ἤδη καὶ ἡ φάλαγξ τῶν Μακεδόνων προσῆγε, καὶ πρὸ αὐτῆς Ἀλέξανδρος ἐφαίνετο. ὡς δὲ ἐν χερσὶν ἡ μάχη ἐγίγνετο, γυμνοί τε οἱ βάρβαροι ὄντες ὁπλίταις προσεφέροντο, καὶ πάντη κατα-

A hi ſunt barbari, à Piſidis oriundi: locum autem inhabitant vehementer excelſum, omnique ex parte præruptum: viáque ipſa quæ ad vrbẽ ducit, ardua eſt ac difficilis. Siquidem mons ab vrbe in viam protenditur, cuius radices in ipſam viam deſinunt. Huic alter ex aduerſo mons obiectus eſt, æquè abruptus: ita vt portas in via facere videantur, faciléque aditus omnis ab exiguo præſidio montibus illis impoſito impediri poſſit. Vtrunque montem Telmiſſei omni manu accurrentes inſederant. Id conſpicatus Alexā-
B der, Macedones, ibi, vt poſſent, locare caſtra iubet: ita ſecum reputans, Telmiſſenſes non ita cũ omni manu eo loci moram facturos, quum Macedonas caſtra fixiſſe cernerẽt, ſed maximam eorum partem in vrbem, quę proxima erat, ſeſe recepturam, præſidio aliquo in montibus relicto. Et quidem perinde ac cogitarat euenit. plerique enim eorum receſſerunt, præſidium ſolum remanſit. Alexander, ſumtis ſagittariis & iaculatorum ordinibus, & ex armigeris, iis qui expeditiores
C erant, præſidium inuadit. Telmiſſei, quum telorum iactus ſuſtinere non poſſent, locum deſerunt. Alexander, ſuperatis anguſtiis ad vrbem caſtra mouet. Eo loci legati à Selgeis ad eum veniunt. Sunt autem & hi Piſidæ barbari, magnámque vrbem incolunt, bellicoſi etiam ipſi. Hi, quòd veteres Telmiſſeorum hoſtes eſſent, legatos ad Alexandrum, amicitiam petentes, miſerant. Fœdere itaque cum iis pacto, deinceps illis ad omnia fidis Alexander eſt vſus. Dehinc, quum Telmiſſi expugnatio nõ exiguum tẽpus re-
D quirere videretur Salagaſſum petit. Erat porrò etiam hæc non parua vrbs, à Piſidis habitata: quúmque omnes Piſidæ bellicoſi exiſtimati fuerint, tum hi cæteris bellica laude ſuperiores ſemper ſunt habiti: ac tum temporis collem, qui vrbi imminebat, quòd non minus quàm muros vrbis munitum illum ad propulſandum hoſtem iudicarent, occupant. Alexander Macedonum phalangem ita inſtruit. A dextro cornu, cui ipſe præerat, ſcutatos locat: proximos his, auxi-
E liarios pedites ad ſiniſtrum cornu explicat, prout ſingulis ducibus eo die ordines ducendi contigerant. A ſiniſtro quidem cornu ductorem ſtatuit Amyntam Arrabæi filium. Huic à dextro quidem latere ſagittarios & Agrianos prætendit, à ſiniſtro, iaculatores Thracas, quos ducebat Sitalces. equites enim in illa locorum difficultate nulli vſui eſſe poterant. Porrò Piſidis Telmiſſei etiã auxilio venerant, vnáque in acie ſtabant. Iámque Alexandri acies montem ſubeuntes quẽ Piſidæ tenebant, ad maximè prærupta aſcen-
F ſus loca peruenerant, quum barbari in vtrunque cornu ex inſidiis proruunt, qua parte ipſis expeditior via, hoſtibus verò difficillimus acceſſus eſſet: & ſagittarios quidem, vtpote leuiter armatos, quique primi pedem contulerant, in fugam vertunt: Agriani verò ſubſiſtunt. Nam & propinqua erat Macedonum phalanx, & Alexander ipſam ducens conſpiciebatur. Poſtquam autem cominus manu res geri cœpit, barbari nudi cum armatis confligentes, omníque ex parte

In vet. cod. Γαλαγασσοῦ, non Σαλαγασσοῦ.

vulnerati cadunt, ac terga vertunt. Cæſi ſunt ex iis circiter quingenti. Multi enim, quòd leues expeditique eſſent, & locorum ſcientes, facilè euaſerunt: Macedones, ob grauitatem armorum, nullámque viarum notitiam, minus audacter fugientes inſequuti ſunt. Alexander fugientium tergis acriter inſtans, vrbem illorum magna vi capit, Cleandro, vno ex copiarum ducibus, deſiderato, aliiſq; militibus circiter viginti. Inde in alios Piſidas mouit, & nonnulla eorum caſtella vi cepit, nonnulla pactionibus ad deditionem adduxit. Poſthæc in Phrygiam venit, ad paludem cui Aſcania nomē eſt: in qua ſal ſuapte ſponte concreſcit, quo incolæ vtuntur, neque mari eam ad rem indigent. Quintis caſtris Celænas peruenit. Erat in ea vrbe arx omni ex parte prærupta ac præceps, quam Phrygiæ ſatrapa præſidio Carum mille, Græcorum mercenariorum centum, tenebat. Hi legatos ad Alexandrum mittunt, niſi ſubſidium illis intra ſtatum diem (quem nominabant) adferretur, deditionē pollicentes. Quam quidem cōditionem Alexander rebus ſuis* conuenientiorem quàm obſidionem eſſe ſtatuit, quòd difficillima omni ex parte arcis oppugnatio videretur. In ea vrbe mille quingentos milites præſidio relinquit, & dies decē ibi commoratus, Antigonum Philippi filium Phrygiæ ſatrapam declarat, & Balacrum Amyntæ filium eius loco auxiliaribus copiis præficit. Ipſe Gordium profectus eſt, literis ad Parmenionē miſſis, vti illuc ſibi cum exercitu obuiam veniat. Parmenio imperata facit, & Macedones qui vxores nouiter nuptas viſum ierant, Gordium veniunt, & cum iis exercitus recens conſcriptus: quem Ptolemæus Seleuci, & Cœnus Polemocratis, atque Meleagrus Neoptolemi filius ducebant. Erat is exercitus, peditum quidem Macedonum mille, equitum trecētorum, Theſſalorum equitum ducentorum, Eliorum, cētum quinquaginta, quibus præerat Alcias Elius. Eſt porrò Gordium in Phrygia Helleſponto proxima, ad Sangarium amnem ſita, cuius fluminis fontes in Phrygia oriuntur. Ipſe, per Thracas Bithynos fluens, in Euxinū pontum fertur. Eo loci Athenienſium etiam legati ad Alexandrum veniunt, oratum vti ciues ſuos, qui vnà cum Perſis militantes, ad Granicum amnem capti fuerant, ac tum in Macedonia cum aliis bis mille vincti tenebātur, dimittat. Hi, poſtulatione ſua nequaquam impetrata, ad domos ſuas redeūt. Neque enim conſultum Alexandro videbatur, vigente adhuc Perſico bello, Grꝫcorum metum trepidationémque imminuere, qui aduerſus Græciam pro barbaris militare veriti non fuiſſent. Hoc tantùm reſponſi dedit, vt bello Perſico ex animi ſui ſententia confecto, legatos pro ciuibus ſuis deprecatum mittant.

Vt legatur ὠφελιμώτερα. Poſſit autem verbum πολιορκεῖν iungi etiam cū ἄκραν, ſublata quæ poſt ipſum eſt interpunctione.

A πιεζωσκόμενοι ἔπιπτον, ἐνταῦθα δὴ ἐγκλίνουσι· καὶ ἀπέθανον μὲν αὐτῶν ἐς πεντακοσίους. κοῦφοι γὰρ ὄντες καὶ ἔμπειροι τῶν χωρίων, οὐ χαλεπῶς ἀπεχώρουν· καὶ οἱ Μακεδόνες, διὰ βαρύτητα τῶν ὅπλων, καὶ ἀπειρίαν τῶν ὁδῶν, οὐ θαρραλέοι ἐς τὸ διώκειν ἦσαν. Ἀλέξανδρος δὲ ἑχόμενος τῶν φευγόντων, τὴν πόλιν αὐτῶν αἱρεῖ κατὰ κράτος. τῶν δὲ ξὺν αὐτῷ, Κλέανδρός τε ὁ στρατηγὸς ἀποθνήσκει, καὶ τῶν ἄλλων ἀμφὶ τοὺς εἴκοσιν. Ἀλέξανδρος δὲ ἐπὶ τοὺς ἄλλους Πισίδας ἦγε, καὶ τὰ μὲν τινα τῶν φρουρίων βίᾳ ἐξεῖλε, τὰ δὲ ὁμολογίᾳ προσηγάγετο. B ἐντεῦθεν δὲ ᾔει ἐπὶ Φρυγίας, παρὰ τὴν λίμνην ᾗ ὄνομα Ἀσκανία, ἐν ᾗ ἅλες πήγνυνται αὐτόματοι· καὶ τούτοις χρῶνται οἱ ἐπιχώριοι, οὐδὲ θαλάσσης τι ἐπὶ τούτῳ δέονται. καὶ ἀφικνεῖται ἐς Κελαινὰς πεμπταῖος. ἐν δὲ ταῖς Κελαιναῖς ἄκρα ἦν πάντη ἀπότομος· καὶ ταύτην φυλακῇ κατεῖχον ἐκ τοῦ σατράπου τῆς Φρυγίας, Κᾶρες μὲν χίλιοι, Ἕλληνες δὲ μισθοφόροι ἑκατόν· καὶ οὗτοι πρεσβεύονται παρ' Ἀλέξανδρον, ἐπαγγελλόμενοι, εἰ μὴ ἀφίκοιτο σφίσι βοήθεια ἐν ἡμέρᾳ ᾗ ξυνέκειτο (φράσαντες τὴν ἡμέραν) C ὅτι παραδώσουσι τὸ χωρίον. καὶ ἔδοξε ταῦτα Ἀλεξάνδρῳ ὠφελιμώτερα, ἢ πολιορκεῖν ἄπορον πάντη προσφέρεσθαι τὴν ἄκραν. πρὸς μὲν δὴ ταῖς Κελαιναῖς φυλακὴν καταλείπει στρατιώτας ἐς χιλίους, καὶ πεντακοσίους. μείνας δὲ αὐτοῦ ἡμέρας δέκα, καὶ σατράπην ἀποδείξας Φρυγίας Ἀντίγονον τὸν Φιλίππου, ἐπὶ δὲ τοὺς συμμάχους ἀντ' ἐκείνου στρατηγὸν Βάλακρον τὸν Ἀμύντου ἐπιτάξας, αὐτὸς ἐπὶ Γορδίου ἐστέλλετο· καὶ Παρμενίωνι ἐπέστελλεν, ἄγοντα ἅμα οἱ τὴν δύναμιν ἐ- D κεῖσε ἀπαντᾶν· καὶ ἀπήντα ξὺν τῇ δυνάμει Παρμενίων. καὶ οἱ νεόγαμοι οἱ ἐπὶ Μακεδονίας σταλέντες, εἰς Γόρδιον ἧκον, καὶ ξὺν αὐτοῖς ἄλλη στρατιὰ καταλεχθεῖσα, ἣν ἦγε Πτολεμαῖός τε ὁ Σελεύκου, καὶ Κοῖνος ὁ Πολεμοκράτους, καὶ Μελέαγρος ὁ Νεοπτολέμου, πεζοὶ μὲν Μακεδόνες εἰς χιλίους, ἱππεῖς δὲ ἐς τριακοσίους, καὶ Θεσσαλῶν ἱππεῖς διακόσιοι, Ἠλείων δὲ, ἑκατὸν καὶ πεντήκοντα, ὧν ἡγεῖτο Ἀλκίας ὁ Ἠλεῖος. τὸ δὲ Γόρδιον ἔστι μὲν τῆς Φρυγίας τῆς ἐφ' Ἑλλησπόντου, κεῖται δὲ ἐπὶ τοῦ Σαγγαρίου ποταμοῦ· τοῦ δὲ Σαγγα- E ρίου αἱ μὲν πηγαὶ ἐκ Φρυγίας εἰσίν· αὐτὸς δὲ διὰ τῆς Θρακῶν τῶν Βιθυνῶν χώρας ἐξίησιν εἰς τὸν Εὔξεινον πόντον. ἐνταῦθα καὶ Ἀθηναίων πρεσβεία παρ' Ἀλέξανδρον ἀφίκετο, δεόμενοι Ἀλεξάνδρου ἀφεῖναι σφίσι τοὺς αἰχμαλώτους, οἳ ἐπὶ Γρανικῷ ποταμῷ ἐλήφθησαν Ἀθηναίων, ξυστρατευόμενοι τοῖς Πέρσαις· καὶ τότε ἐν Μακεδονίᾳ ξὺν τοῖς δισχιλίοις δεδεμένοι ἦσαν. καὶ ὑπὲρ αὐτῶν ἄπρακτοι ἐν τῷ τότε ἀπῆλθον· οὐ γὰρ ἐδόκει ἀσφαλὲς εἶναι Ἀλεξάνδρῳ, ἔτι συνεστῶτος τοῦ πρὸς τὸν Πέρσην πολέμου, ἀνεῖναί τι τοῦ φόβου τοῖς Ἕλλησιν, ὅσοι ἐναντία τῇ Ἑλλάδι στρατεύεσθαι ὑπὲρ τῶν βαρβάρων οὐκ ἀπηξίωσαν. ἀλλ' F ἀποκρίνεται, ἐπειδὰν τὰ παρόντα καλῶς γένηται, τότε ἥκειν ὑπὲρ τῶν αὐτῶν πρεσβευομένους.

ΑΡΡΙΑΝΟΥ ΙΣΤΟΡΙΩΝ ΑΝΑΒΑΣΕΩΣ Ἀλεξάνδρου,

Βιβλίον δεύτερον.

Ἐκ δὲ τούτου Μέμνων τοῦ τε ναυτικοῦ παντὸς ἡγεμὼν ἐκ βασιλέως Δαρείου καθεστηκὼς, καὶ τῆς παραλίου ξυμπάσης, ὡς ἐς Μακεδονίαν τε καὶ τὴν Ἑλλάδα ἀποστρέψων τὸν πόλεμον, Χίον μὲν λαμβάνει, προδοσίᾳ ἐνδοθεῖσαν· ἔνθεν δὲ ἐπὶ Λέσβον πλεύσας, ὡς οὐ προσεῖχον αὐτῷ οἱ Μιτυληναῖοι, τὰς ἄλλας πόλεις τῆς Λέσβου προσηγάγετο. ταύτας δὲ παραστησάμενος καὶ προσσχὼν τῇ Μιτυλήνῃ, τὴν μὲν πόλιν χάρακι διπλῷ ἐκ θαλάττης εἰς θάλατταν ἀπετείχισε, A στρατόπεδα δὲ πέντε ἐπικοδομησάμενος, τῆς γῆς ἐκράτει οὐ χαλεπῶς· καὶ μέρος μέν τι τῶν νεῶν τὸν λιμένα αὐτῶν ἐφύλασσε, τὰς δὲ ἐπὶ τὴν ἄκραν τῆς Λέσβου τὸ Σίγριον, ἵνα ἡ προσβολὴ μάλιστα, ἐπὶ ταῖς ἀπό τε Χίου καὶ Γεραιστοῦ καὶ Μαλαίας ὁλκάσιν ἀποπλεύσας, τὸν παράπλουν ἐν φυλακῇ εἶχεν, ὡς μή τινα ὠφέλειαν κατὰ θάλατταν γίγνεσθαι Μιτυληναίοις· καὶ ἐν τούτῳ αὐτὸς μὲν νόσῳ τελευτᾷ· καὶ εἴπερ τι ἄλλο, καὶ τοῦτο ἐν τῷ τότε ἔβλαψε τὰ βασιλέως πράγματα. Αὐτοφραδάτης δὲ καὶ Φαρνάβαζος ὁ Ἀρταβάζου B (τούτῳ καὶ ἐπέτρεψε τελευτῶν ὁ Μέμνων τὴν αὑτοῦ ἀρχὴν, ἔστε Δαρεῖόν τι ὑπὲρ αὐτῆς γνῶναι, ἀδελφιδῷ αὑτοῦ ὄντι) οὗτοι τῇ πολιορκίᾳ οὐκ ἀρρώστως προσέκειντο· καὶ οἱ Μιτυληναῖοι τῆς τε γῆς εἰργόμενοι, καὶ ἀπὸ θαλάττης πολλαῖς ναυσὶν ἐφορμούσαις φρουρούμενοι, πέμψαντες παρὰ τὸν Φαρνάβαζον, ὁμολογίας ἐποιήσαντο. τοὺς μὲν ξένους τοὺς παρ' Ἀλεξάνδρου σφίσι κατὰ συμμαχίαν ἥκοντας ἀπελθεῖν, Μιτυληναίους δὲ καθελεῖν μὲν τὰς πρὸς Ἀλέξανδρον σφίσι γενομένας στήλας, ξυμμάχους δὲ εἶναι Δαρείου C κατὰ τὴν εἰρήνην τὴν ἐπ' Ἀνταλκίδου γενομένην πρὸς βασιλέα Δαρεῖον, τοὺς φυγάδας δὲ αὐτῶν κατιέναι ἐπὶ τοῖς ἡμίσεσι τῶν τότε ὄντων ὅτε ἔφυγον.

Ἐπὶ τούτοις μὲν δὴ ἡ ξύμβασις τοῖς Μιτυληναίοις πρὸς τοὺς Πέρσας ξυνέβη. Φαρνάβαζος δὲ καὶ Αὐτοφραδάτης, ὡς παρῆλθον ἅπαξ εἴσω τῆς πόλεως, φρουράν τε ἐς αὐτὴν εἰσήγαγον, καὶ φρούραρχον ἐπ' αὐτῇ Λυκομήδην Ῥόδιον· καὶ τύραννον ἐγκατέστησαν τῇ πόλει Διογένην, ἕνα τῶν φυγάδων. χρήματά τε εἰσέπραξαν τοὺς Μιτυληναίους· τὰ μὲν βίᾳ ἀφελόμενοι D τοὺς ἔχοντας, τὰ δὲ ἐς τὸ κοινὸν ἐπιβαλόντες. ταῦτα δὲ διαπραξάμενοι, Φαρνάβαζος μὲν ἔπλει ἐπὶ Λυκίας, ἄγων τοὺς ξένους τοὺς μισθοφόρους· Αὐτοφραδάτης δὲ, ἐπὶ τὰς ἄλλας νήσους. καὶ ἐν τούτῳ καταπέμπει Δαρεῖος Θυμώνδαν τὸν Μέντορος, αὐτὸν μὲν τοὺς ξένους παρὰ Φαρναβάζου ἐσομένῳ ἄρχειν, ὅσων Μέμνων ἦρχε. καὶ παραδοὺς τούτῳ τοὺς ξένους Φαρνάβαζος, ἔπλει παρ' Αὐτοφραδάτην ἐπὶ τὰς ναῦς· ὡς δὲ ὁμοῦ ἐγένοντο, δέκα μὲν ναῦς στέλλουσιν ἐπὶ τὰς Κυκλάδας νήσους Δατάμην ἄνδρα Πέρσην ἄγοντα, αὐ-

ARRIANI HISTORIARVM DE EXPEDITIONE Alexandri,

Liber ſecundus.

Hæc dum geruntur, Memnon, quem Darius rex vniuerſæ claſſi oræque maritimę pręfecerat, de bello Macedoniæ Græciæque inferendo cogitans, proditione Chium inſulam capit. Inde in Leſbum nauigans, Mitylenęis qui eius partes ſequuti nō ſunt, exceptis, reliquas Leſbi vrbes in ſuam poteſtatem redegit. His itaque deditione acceptis, Mitylenas conuerſus, vrbem ipſam à mari ad mare duplici vallo interclusit, & quinque caſtellis extructis, facilè reliquam inſulam ſubegit. Et parte quidē nauium portum ipſorum tenebat, partem ad Sigrium, Leſbi *promontorium (quâ potiſsimum tranſitus patet) in ſpecula collocarat, quæ nauibus onerariis ex Chio, Geræſto & Malea venientibus traiiciendi poteſtatem interciperent, nequid nimirum ſubſidii Mitylenæis mari aduenire poſſet. Interea ipſe morbo obiit: quod quidem, ſi quid aliud, Darij rebus obfuit. Autophradates autem & Pharnabazus Artabazi filius, cui Memnon moriens præfecturam ſuam commendarat, tantiſper dum Darius aliquid de ea ſtatuiſſet (erat enim ei *patruelis) obſidionem acriter vrgebât. Mitylenæi & terra interclusi, & mari ingenti claſſe obſeſſi, legatis ad Pharnabazum miſſis, pactiones ineunt: vt exteri milites qui ab Alexandro auxilio miſſi erant, diſcedant, vt Mitylenæi *columnas, quas Alexandro cum fœderis inſcriptione erexerant, ſubuertant, vt Dario confœderati ſint: vt exulum dimidia pars reuertatur. Hiſce conditionibus Mitylenæi cum Perſis pacti ſunt. Pharnabazus & Autophradates quum iam vrbem ingreſſi eſſent, præſidium introducunt, eique Lycomedem Rhodium præficiunt, ac Diogenem, vnum de numero exilum, tyrannum vrbi imponunt: Mitylenæis pecuniam imperant, eámque partim ditioribus eripiunt, partim multitudini iniungunt.

His peractis, Pharnabazus in Lyciam nauigat, exteros mercenarios ducens, Autophradates alias inſulas petit. Inter hæc Darius Thymondam Mentoris filiū mittit, qui à Pharnabazo mercenarios, quibus Memnon præfuerat, petat: Pharnabazus externo milite Thymondæ tradito, ad Autophradatem, qui apud claſſem erat, nauigat. Hi, quum vna eſſent, Datamen Perſam in Cycladas cum nauibus decem mittunt. Ipſi

Fac. Arcem.

Fac. Ex ſororo natus.

Fac. Tabulas deponerent. Plin. Græco nomine ſeruato, ſtelas vocat.

centum nauium claſſe Tenedum petunt: ad quam inſulam delati, quum in portum qui Borealis dicitur, ſeſe recepiſſent, ad Tenedios mittunt, imperantes vt ſtelas quas Alexandro & Græcis poſuerant, tollant, & pacē quam cum Dario per *Antalcidam inierant, colant. Tenediorum animi magis quidem erga Alexandrum & Græcos erant propenſi, ſed (quo tum in ſtatu res ipſorum erant) de ſalute ſua, niſi ſe ad Perſarum voluntatē aggregarent, deſperabāt. Siquidē Hegelochus, cui Alexander vt nauales copias denuo compararet imperarat, nondum tantas coëgerat, vt ſperarent illas breui tempore adiumento ipſis eſſe poſſe. Ita Pharnabazus Tenedios metu potius quàm voluntate ad ſe pertraxit. Dum hæc aguntur, Proteas Andronici filius naues oblongas ex Eubœa & Peloponneſo Antipatri iuſſu collegerat, quæ & inſulis ipſique adeò Græciæ præſidio alicui eſſent, ſi, vti nuntiabatur, barbari claſſe infeſtarent. Is quum audiſſet Datamen cum decem nauibus ad *Siphnum in ſtatione agere, ipſe cum quindecim nauibus Chalcidem, ad Euripum ſitam, defertur: quúmque prima luce Cythnum appuliſſet, totum ibi diem ſubſtitit, vt certius exploratiúſque aliquid de decem illarum nauium ſtatu cognoſceret: ſimul vt impetus per noctē factus, plus horroris Phœnicibus incuteret. Poſtquam verò certior factus eſt, Datamen cum nauibus ad Siphnum in ſtatione eſſe, noctu inde mouens, & ſub ipſam auroram hoſtes nihil tale expectantes adortus, octo ex eis naues milite inſtructas capit. Datames cū duabus triremibus in primo cum Proteæ nauibus conflictu elapſus, ad reliquam claſſem ſe recepit. Alexander verò, vt Gordium peruenit, conſcenſa arce, vbi & Gordij & filij eius Midę regia erat, cepit illum cupiditas videndi currum Gordij, & nodum qui in illius currus iugo eſſe ferebatur. Multus enim erat apud finitimōs eo de nodo ſermo. Gordium fuiſſe quēdam ex veteribus Phrygibus hominem tenuis fortunæ, exiguum agrum colentem, & iuga boum duo, quorum altero ad arationem, altero ad vecturam vteretur: eo aliquando arante, aquilam in iugo conſediſſe, ibíque in id tempus vſque quo bobus iuga demuntur conſtitiſſe. Gordium ſpectaculo attonitum, Telmiſſenſes vates communicādæ rei cauſa adiiſſe. (eſſe enim Telmiſſēſes peritiſsimos prodigiorum interpretes, & vaticinandi ſcientiam ipſis pariter atque vxoribus & liberis ab ortu inſitā eſſe) quúmque ad *vicū quendam veniſſet, iuuenculæ cuipiam ad fontem eunti obuiam veniſſe, eíque, quid ſibi eueniſſet, narraſſe. Hanc verò, quòd & ipſa ex vatum progenie eſſet, vt ipſorum oppidum repetens Ioui regi ſacrificaret iuſſiſſe. Gordiū contrà vt ipſum comitaretur, & ſacrificij modum rationémque doceret, eam rogaſſe. Illum à puella edoctum, coniugem ſibi cepiſſe, puerúmque ex iis procreatum, Midam nomine. Qui quum iam in virum forma virtutéque præſtantem euaſiſſet, Phrygas interea graui inter ſe ſeditione laboraſſe, eóſque ora-

Vel Harpacidā, ſequendo lectionem vet. codicis.

Fac. Cythnum.

Fac. pagum.

A τοὶ δὲ ναυσὶν ἑκατὸν ἐπὶ Τενέδου ἔπλευσαν. καταχομισθέντες δὲ τῆς Τενέδου εἰς τὸν Βόρειον καλούμενον λιμένα, πέμπουσι παρὰ τοὺς Τενεδίους, καὶ κελεύουσι τὰς στήλας τὰς πρὸς Ἀλέξανδρον καὶ τοὺς Ἕλληνας γενομένας σφίσι, ταύτας μὲν καθελεῖν, πρὸς Δαρεῖον δὲ ἄγειν τὴν εἰρήνην ἣν ἐπὶ Ἀνταλκίδου Δαρείῳ συνέθεντο. Τενεδίοις δὲ τὰ μὲν τῆς εὐνοίας ἐς Ἀλέξανδρόν τε καὶ τοὺς Ἕλληνας ἐποίει μᾶλλον· ἐν δὲ τῷ παρόντι ἄπορον ἄλλως ἐδόκει, ὅτι μὴ προσχωρήσαντας τοῖς Πέρσαις, σώζεσθαι· ἐπεὶ οὐδὲ Ἡγελόχῳ, ὅτῳ προσ- B ετέτακτο παρ᾽ Ἀλεξάνδρου αὖθις ξυναγαγεῖν δύναμιν ναυτικὴν, τοσαύτη ξυνηγμένη ἦν ὡς δι᾽ ὀλίγου προσδοκᾶν ἔσεσθαι σφίσι παρ᾽ αὐτοῦ τινὰ ὠφέλειαν. οὕτω μὲν δὴ οἱ ἀμφὶ Φαρνάβαζον τοὺς Τενεδίους φόβῳ μᾶλλον ἢ ἐθέλοντας παρεστήσαντο. ἐν δὲ τούτῳ Πρωτέας ὁ Ἀνδρονίκου ἐτύγχανε μὲν ξυναγαγὼν ἐξ Εὐβοίας τε καὶ Πελοποννήσου ναῦς μακρὰς, ὑπὸ Ἀντιπάτρου τεταγμένος, ὡς εἶναί τινα ταῖς τε νήσοις φυλακὴν καὶ αὐτῇ τῇ Ἑλλάδι, εἰ (καθάπερ ἐξηγγέλλετο) ἐπιπλέοιεν οἱ βάρβαροι· πυθόμενος δὲ Δατάμην C περὶ Σίφνον ὁρμοῦντα δέκα ναυσὶν, αὐτὸς ἔχων πεντεκαίδεκα, νυκτὸς ἀνάγεται ἐπὶ Χαλκίδος τῆς ἐπὶ τῷ Εὐρίπῳ· καὶ προσχὼν ἕωθεν Κύθνῳ τῇ νήσῳ, τὴν μὲν ἡμέραν αὐτοῦ αὐλίζεται, ὡς σαφέστερόν τι διαπυθέσθαι τὰ περὶ τῶν δέκα νεῶν, καὶ ἅμα ἐν νυκτὶ φοβερώτερον προσπεσεῖν τοῖς Φοίνιξιν· ὡς δὲ ἔμαθε σαφῶς τὸν Δατάμην ξὺν ταῖς ναυσὶν ἐν Σίφνῳ ὁρμοῦντα, ἐπιπλεύσας ἔτι νυκτὸς οὔσης, ὑπ᾽ αὐτὴν τὴν ἕω καὶ ἀπροσδοκήτοις ἐπιπεσὼν, ὀκτὼ μὲν ναῦς αὐτοῖς ἀν- D δράσιν ἔλαβε. Δατάμης δὲ, μετὰ δυοῖν τριήρεοιν, ἐν τῇ πρώτῃ προσμίξει τῶν ἅμα Πρωτέᾳ νεῶν ὑπεκφυγὼν ἀπεσώθη πρὸς τὸ ἄλλο ναυτικόν. Ἀλέξανδρος δὲ, ὡς ἐς Γόρδιον παρῆλθε, πόθος λαμβάνει αὐτὸν ἀνελθόντα ἐς τὴν ἄκραν, (ἵνα καὶ τὰ βασίλεια ἦν τοῦ Γορδίου καὶ τοῦ παιδὸς αὐτοῦ Μίδου) τὴν ἅμαξαν ἰδεῖν τοῦ Γορδίου, καὶ τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν. λόγος δὲ περὶ τῆς ἁμάξης ἐκείνης, παρὰ τοῖς προσχώροις πολὺς κατεῖχε, Γόρδιον εἶναι τῶν πάλαι Φρυγῶν ἄνδρα πένητα, καὶ ὀλίγην εἶναι αὐτῷ γῆν ἐργάζεσθαι, καὶ ζεύ- E γη βοῶν δύο· καὶ τῷ μὲν ἀροτριᾶν, τῷ δὲ ἁμαξεύειν τὸν Γόρδιον. καί ποτε ἀροῦντος αὐτοῦ ἐπιστῆναι ἐπὶ τὸν ζυγὸν ἀετὸν, καὶ ἐπιμεῖναι ἔς τε ἐπὶ βουλυτὸν καθήμενον· τὸν δὲ ἐκπλαγέντα τῇ ὄψει, ἰέναι κοινωσόμενον ὑπὲρ τοῦ θείου παρὰ τοὺς Τελμισσέας τοὺς μάντεις. εἶναι γὰρ τοὺς Τελμισσέας σοφοὺς τὰ θεῖα ἐξηγεῖσθαι, καὶ σφίσιν ἀπὸ γένους δεδόσθαι αὐτοῖς καὶ γυναιξὶ καὶ παισὶ τὴν μαντείαν· προσάγοντα δὲ κώμῃ τινὶ τῶν Τελμισσέων, ἐντυχεῖν παρθένῳ ὑδρευομένῃ, καὶ πρὸς ταύτην εἰπεῖν ὅπως οἱ τὸ τοῦ ἀετοῦ ἔσχε· τὴν δὲ (εἶναι F γὰρ καὶ αὐτὴν τοῦ μαντικοῦ γένους) θύειν κελεῦσαι τῷ Διῒ τῷ βασιλεῖ, ἐπανελθόντα εἰς τὸν τόπον αὐτῶν. καὶ δεηθῆναι γὰρ αὐτῆς Γόρδιον, τὴν θυσίαν ξυνεπισπομένην οἱ αὐτὴν ἐξηγήσασθαι, θῦσαί τε, ὅπως ἐκείνη ὑπετίθετο, τὸν Γόρδιον, καὶ ξυγγενέσθαι ἐπὶ γάμῳ τῇ παιδὶ, καὶ γενέσθαι αὐτοῖν παῖδα Μίδαν ὄνομα. ἤδη τε ἄνδρα εἶναι τὸν Μίδαν καλὸν καὶ γενναῖον· καὶ ἐν τούτῳ στάσει πιέζεσθαι ἐν σφίσι τοὺς Φρύγας, καὶ γενέσθαι αὐτοῖς χρησμὸν, ὅτι ἅμαξα

ἄξει αὐτοῖς βασιλέα, καὶ ὅτι οὗτος αὐτοῖς καταπαύσει τὴν στάσιν. ἔτι δὲ περὶ αὐτῶν τούτων βουλευομένοις ἐλθεῖν τὸν Μίδαν ὁμοῦ τῷ πατρὶ καὶ τῇ μητρὶ, καὶ ἐπιστῆναι τῇ ἐκκλησίᾳ αὐτῇ ἁμάξῃ· τοὺς δὲ ξυμβαλόντας τὸ μαντεῖον, τοῦτον ἐκεῖνον γνῶναι ὄντα ὅντινα ὁ θεὸς αὐτοῖς ἔφραζεν ὅτι ἄξει ἡ ἅμαξα· καὶ καταστῆσαι μὲν αὐτοὺς βασιλέα τὸν Μίδαν. Μίδαν δὲ αὐτοῖς τὴν στάσιν καταπαῦσαι, καὶ τὴν ἅμαξαν τοῦ πατρὸς ἐν τῇ ἄκρᾳ ἀναθεῖναι χαριστήρια τῷ Διὶ τῷ βασιλεῖ, ἐπὶ τῇ τοῦ αἰετοῦ πομπῇ. πρὸς δὲ δὴ τούτοις, καὶ τόδε περὶ τῆς ἁμάξης ἐμυθεύετο· ὅς τις λύσειε τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμὸν, τοῦτον χρῆναι ἄρξαι τῆς Ἀσίας. ἦν δὲ ὁ δεσμὸς ἐκ φλοιοῦ κρανέας· καὶ τούτου οὔτε τέλος οὔτε ἀρχὴ ἐφαίνετο. Ἀλέξανδρος δὲ ὡς ἀπόρως μὲν εἶχεν ἐξευρεῖν λύσιν τοῦ δεσμοῦ, ἄλυτον δὲ περιϊδεῖν οὐκ ἤθελε, μή τινα καὶ τοῦτο ἐς τοὺς πολλοὺς κίνησιν ἐργάσηται, οἱ μὲν λέγουσιν ὅτι παίσας τῷ ξίφει διέκοψε τὸν δεσμὸν, καὶ λελύσθαι ἔφη. Ἀριστόβουλος δὲ λέγει, ἐξελόντα τὸν ἕστορα τοῦ ῥυμοῦ, ὅς ἦν τύλος διαβεβλημένος διὰ τοῦ ῥυμοῦ διαμπὰξ, ξυνέχων τὸν δεσμὸν, ἐξελκύσαι ἔξω τοῦ ῥυμοῦ τὸ ζυγόν. ὅπως μὲν δὴ ἐπράχθη τὰ ἀμφὶ τῷ δεσμῷ τούτῳ Ἀλεξάνδρῳ, οὐκ ἔχω ἰσχυρίσασθαι· ἀπηλλάγη δ' οὖν ἀπὸ τῆς ἁμάξης αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν, ὡς τοῦ λογίου τοῦ ἐπὶ τῇ λύσει τοῦ δεσμοῦ ξυμβεβηκότος. καὶ γὰρ καὶ τῆς νυκτὸς ἐκείνης βρονταί τε καὶ σέλας ἐξ οὐρανοῦ ἐπεσήμηναν. καὶ ἐπὶ τούτοις ἔθυε τῇ ὑστεραίᾳ Ἀλέξανδρος τοῖς φήνασι θεοῖς τά τε σημεῖα, καὶ τοῦ δεσμοῦ τὴν λύσιν· αὐτὸς δὲ τῇ ὑστεραίᾳ ἐπ' Ἀγκύρας τῆς Γαλατικῆς ἐστέλλετο, κἀκεῖ αὐτῷ πρεσβεία ἀφικνεῖται Παφλαγόνων, τό, τε ἔθνος ἐνδιδόντων, καὶ ἐς ὁμολογίαν ξυμβαινόντων· ἐς δὲ τὴν χώραν ξὺν τῇ δυνάμει μὴ ἐσβαλεῖν ἐδέοντο. τούτοις μὲν δὴ προστάσσει Ἀλέξανδρος ὑπακούειν Κάλᾳ τῷ σατράπῃ τῆς Φρυγίας. αὐτὸς δὲ ἐπὶ τῆς Καππαδοκίας ἐλάσας, ξύμπασαν τὴν ἐντὸς Ἅλυος ποταμοῦ προσηγάγετο, καὶ ἔτι ὑπὲρ τὸν Ἅλυν πολλήν. καταστήσας δὲ Καππαδοκῶν Σαβίκταν σατράπην, αὐτὸς προῆγεν ἐπὶ τὰς πύλας τῆς Κιλικίας. καὶ ἀφικόμενος ἐπὶ τὸ Κύρου τοῦ ξὺν Ξενοφῶντι στρατόπεδον, ὡς κατεχομένας τὰς πύλας φυλακαῖς ἰσχυραῖς εἶδε. Παρμενίωνα μὲν αὐτοῦ καταλείπει σὺν ταῖς τάξεσι τῶν πεζῶν, ὅσοι βαρύτερον ὡπλισμένοι ἦσαν· αὐτὸς δὲ ἀμφὶ πρώτην φυλακὴν ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας· προῆγε τῆς νυκτὸς ἐπὶ τὰς πύλας, ὡς οὐ προσδεχομένοις τοῖς φύλαξιν ἐπιπεσεῖν. καὶ προσάγων μὲν οὐκ ἔλαθεν, ἐς ἴσον δὲ αὐτῷ κατέστη ἡ τόλμα. οἱ γὰρ φύλακες αἰσθόμενοι Ἀλέξανδρον αὐτὸν προσάγοντα, λιπόντες τὴν φυλακὴν, ᾤχοντο φεύγοντες. τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἕῳ ξὺν τῇ δυνάμει πάσῃ ὑπερβαλὼν τὰς πύλας, κατέβαινεν ἐς τὴν Κιλικίαν· καὶ ἐνταῦθα ἀγγέλλεται αὐτῷ Ἀρσάμης, ὅτι πρόσθεν μὲν ἐπενόει διασώζειν Πέρσαις τὴν Ταρσὸν, ὡς δὲ ὑπερβεβληκότα ἤδη τὰς πύλας ἐπύθετο Ἀλέξανδρον, ἐκλιπεῖν ἐν νῷ ἔχει τὴν πόλιν. δεδιέναι οὖν τοὺς Ταρσεῖς μὴ ἐφ' ἁρπαγὴν τραπεὶς, οὕτω τὴν ἀπόλειψιν τῆς Ταρσοῦ ποιήσηται. ταῦτα ἀκούσας, δρόμῳ ἦγεν ἐπὶ τὴν Ταρσὸν τούς τε ἱππέας καὶ τῶν ψι-

A culo monitos fuiſſe, currum iis regē allaturum eſſe qui ſeditionē tolleret. his verò adhuc hiſce de rebus inter ſe conſultantibus, veniſſe Midā vnà cum patre ac matre, ipſúmque currui inſidentem concilium Telmiſſenſium adiiſſe. Illos, vaticinium interpretatos, hunc nimirum eſſe illum quem Deus monuerat curru aduehēdum eſſe, extemplo Midam regem "creaſſe. Hunc itaque ſeditionem ſedaſſe, paternúmque currum Ioui, pro aquila

B miſſa, gratiarum loco in arce ſuſpenſum conſecraſſe. Adhæc illud etiam de curru ferebatur: quicūque nexum quo iugum currus vinctum erat ſoluiſſet, illum Aſiæ imperio potiturum. Erat autem is nexus ex corni arboris libro, "qui vnde inciperet, quóve ſe conderet, nec ratione nec viſu percipi poterat. Alexāder quū nullam planè ſoluendi nexus rationē inueniret, inſolutum tamen prætermittere nollet, ne id "motū aliquē in multorū animis excitaret, ſunt qui dicant illū enſis

C ictu vinculum diſcidiſſe, & ſolutum eſſe dixiſſe. Ariſtobulus verò autor eſt, Alexādrum exemto paxillo temonis (erat is clauus ligneus per medium temonem traiectus, cui vinculum adſtrictū erat) iugum temoni detraxiſſe. Equidem, quomodo nodus ille ab Alexandro ſolutus fuerit, affirmare non auſim. Ipſe certè & qui cum eo erant ita à curru diſceſſerunt, perinde ac ſi "vaticinium de ſolutione nexus impletum eſſet. quod quidē

D & tonitrua & fulgura ea nocte excitata ſatis declararunt: eáque de cauſa poſtero die diis ſacrificauit, tum ob prodigia edita, tum ob rationem ſoluendi nodi oſtēſam. Alexander poſtridie Ancyrā Galatiæ v. bem profectus eſt. Eò loci Paphlagonū legati ad eum venerunt, qui prouinciā dedant, & fœdus ineant: vnū hoc orantes ne exercitus fines ſuos intret. His Alexander, vt "Calæ Phrygiorū ſatrapæ pareant, iubet. Inde in Cappadociam mouens, omnē quæ cis Halym fluuiū eſt re-

E gionē, & partē aliquā eius quæ trans Halym eſt, ſubegit. Sabictam Cappadociæ ſatrapam ſtatuit, ipſe ad "anguſtias aditus qui Ciliciā aperit contendit. quúmque ad caſtra Cyri, qui cum Xenophonte erat, veniſſet, vt Pylas valido præſidio inſeſſas vidit, Parmenionem ibi cum cohortibus peditum, qui grauioris armaturæ erāt, reliquit. Ipſe ſub primam noctis vigiliam ſumtis ſecum ſcutatis, & ſagittariis atque Agrianis, noctu ad Pylas mouit, vt ex improuiſo præſidium inuadat. Neque tamen ita clam ac putabat, hoſtes adoriri potuit: ſed æquè feliciter ipſi ceſſit audacia. præſidiarij enim cognito Alexandri aduen-

F tu, deſerto præſidio in fugam ſe coniecerunt. Poſtero die ſub auroram Pylas cum vniuerſo exercitu tranſgreſſus, in Ciliciam deſcendit. Hîc ei nuntiatum eſt, Arſamem, qui initio Tarſum in Perſarum poteſtate conſeruare ſtatuerat, poſtquam audiſſet Alexandrum iam Pylas trāſgreſſum eſſe, de vrbe deſerenda cogitare. Tarſenſes autem vereri, ne direpta vrbe, ita demum Tarſum deſereret. Quo cognito, Alexander ſumma feſtinatione Tarſum petit, equites & leuis expeditæque armaturæ pedites ſecum ducens.

Vt legatur καταστῆσαι ſicut καταπαῦσαι eſt in edit. vulg.

Curtius, Vnde nexus inc. &c.

Fac. Religionē apud milites &c. Videtur legiſſe, πολεμίων pro πολλῶν. Curtius, Ne in omen verteretur irritum inceptum.

Curtius dicit, oraculi ſortem.

Curtius, Chalæ.

Ita Curtius, Pylas vocat.

De cuius aduentu Arſames certior factus, confeſtim ex Tarſo ad Darium regem fugit, nullo damno vrbi illato. Alexander, vt Ariſtobulus refert, præ nimio labore in morbū incidit. Alii tradunt illum, vehementius excalefactum ac ſudantem, natandi animo ſeſe in Cydnum flumen, quod mediam vrbem ſecat, conieciſſe. Eius fontes quum ex Tauro monte oriantur & "puro ſolo excipiantur, fit vt vnda eius incorruptiſsima ſimulque frigidiſsima ſit: atque hinc Alexandrum ſpaſmo acutáque febri & inſomnia correptum fuiſſe. ac cæteros quidem medicos de vita eius deſperaſſe, Philippum verò Acarnanem medicum, Alexandri comitem, cui in re medica potiſsimum fidebat, quique in exercitu præcipuè celeber erat, medicatam potionē adhibere voluiſſe. atque interea dum hic iuberet vt potionem ſumeret, ille poculum pararet, literas Alexandro à Parmenione allatas, quibus denuntiabat "vt ſibi à Philippo caueret. Audiſſe enim ſe, Philippum à Dario "pecunia corruptum vt illum pharmaco interficeret. Alexandrum, perlectis literis, quum adhuc eas manu teneret, poculum in quo erat potio accepiſſe. Epiſtolam verò Philippo legendam dediſſe: vnóque tempore Alexandrum potionem hauſiſſe, & Philippum Parmenionis literas legiſſe. Philippum verò vultu ſatis declaraſſe, bene ſe ſibi de pharmaco conſcium eſſe. Neque enim lectione epiſtolæ vllam animi perturbationem præ ſe tuliſſe: hortatum ſolummodo fuiſſe Alexandrum, vt quicquid nuntiaretur, ſuo conſilio acquieſceret. Salutē enim, ſi pareret, recuperaturum. Atque Alexandrum quidem vi morbi leuatum fuiſſe, & Philippo declaraſſe, quàm fidum amicum illum ſemper habuiſſet; cæteris etiam qui ipſi aderant, teſtatum fuiſſe quàm conſtantem de ipſorum amicitia opinionem, omni ſuſpicione remota, concepiſſet, ſimúlque quàm fortiter mortem ferret. Poſt hæc Parmenionem ad præoccupādas alias anguſtias mittit, quæ Ciliciam ab Aſsyria diuidunt, vt tranſitum tueatur, peditibus auxiliariis ei adiunctis, Græciſque mercenariis ac Thracibus, quibus Sitalces præerat, atq; equitibus Theſſalis. Ipſe ex Tarſo ſubſequutus, primo die ad Anchialon oppidū peruenit. Hoc ferunt Sardanapalū Aſſyriorū regem condidiſſe. & quidem circuitus ipſe & fundamenta argumento ſunt magnam vrbem fuiſſe, & ad ſummam potētiam perueniſſe. & Sardanapali ſepulcrum ad ipſa Anchiali mœnia extabat, cui innitebatur Sardanapalus manus collidens, vt in plauſibus fieri ſolet. Inſcriptio ſtatuæ addita erat Aſsyriis literis, cui metrum ſubeſſe dicebant. Verſuum ſententia hæc erat,
» SARDANAPALVS Anacyndaraxæ filius
» Anchialum & Tarſum vno die condidit. Tu
» verò hoſpes ede, bibe, lude: quum cæteræ res humanæ tanti non ſint. plauſum ſignificans quem manus colliſæ faciūt. Illud verò *Lude*, molliore quodam laſciuioréque Aſſyrio vocabulo expreſſum aiebant. Ex Anchialo ad Solos peruenit, præſidióque vrbi impoſito,

Ita Curt. Et puro ſolo excip. & c. vſque ad Sit.

Curtius, Ne Philippo ſalutem ſuā crederet. Curtius, Mille talētis & ſpe nuptiarum ſororis eius.

λαὸν ὅσοι κουφότατοι. ὥστε ὁ Ἀρσάμης μαθὼν αὐτοῦ τὴν ὁρμήν, σπουδῇ φεύγει ἐκ τῆς Ταρσοῦ, παρὰ βασιλέα Δαρεῖον, οὐδὲν βλάψας τὴν πόλιν. Ἀλέξανδρος δὲ (ὡς μὲν Ἀριστοβούλῳ λέλεκται) ὑπὸ καμάτου ἐνόσησεν· οἱ δὲ εἰς τὸν Κύδνον ποταμὸν λέγουσι ῥίψαντα νήξασθαι ἐπιθυμήσαντα τοῦ ὕδατος, ἱδροῦντα καὶ καύματι ἐχόμενον. ὁ δὲ Κύδνος ῥεῖ διὰ μέσης τῆς πόλεως· οἷα δὲ ἐκ τοῦ Ταύρου ὄρους τῶν πηγῶν οἱ ἀνισχουσῶν, καὶ διὰ χώρου καθαροῦ ῥέων, ψυχρός τέ ἐστι καὶ τὸ ὕδωρ καθαρός. σπασμῷ τε οὖν ἔχεσθαι Ἀλέξανδρον, καὶ θέρμαις ἰσχυραῖς, καὶ ἀγρυπνίᾳ ξυνεχεῖ. καὶ τοὺς μὲν ἄλλους ἰατροὺς οὐκ οἴεσθαι εἶναι βιώσιμον· Φίλιππον δὲ Ἀκαρνᾶνα ἰατρὸν ξυνόντα Ἀλεξάνδρῳ, καὶ τά τε ἀμφὶ ἰατρικὴν ἐς τὰ μάλιστα πιστευόμενον, καὶ τὰ ἄλλα οὐκ ἀδόκιμον ἐν τῷ στρατῷ ὄντα, καθῆραι ἐθέλειν Ἀλέξανδρον φαρμάκῳ, καὶ τὸν κελεύειν καθῆραι. τὸν μὲν δὴ παρασκευάζειν τὴν κύλικα· ἐν τούτῳ δὲ Ἀλεξάνδρῳ δοθῆναι ἐπιστολὴν παρὰ Παρμενίωνος, φυλάξασθαι Φίλιππον· ἀκούειν γὰρ διεφθάρθαι ὑπὸ Δαρείου χρήμασιν, ὥστε φαρμάκῳ ἀποκτεῖναι Ἀλέξανδρον. τὸν δὲ, ἀναγνόντα τὴν ἐπιστολήν, καὶ ἔτι μετὰ χεῖρας ἔχοντα, αὐτὸν μὲν λαβεῖν τὴν κύλικα ἐν ᾗ ἦν τὸ φάρμακον, τὴν ἐπιστολὴν δὲ τῷ Φιλίππῳ δοῦναι ἀναγνῶναι. καὶ ὁμοῦ τόν τε Ἀλέξανδρον πίνειν, καὶ τὸν Φίλιππον ἀναγινώσκειν τὰ παρὰ τοῦ Παρμενίωνος. Φίλιππον δὲ εὐθὺς ἔνδηλον γενέσθαι ὅτι καλῶς οἱ ἔχει τὰ τοῦ φαρμάκου. οὐ γὰρ ἐκπλαγῆναι πρὸς τὴν ἐπιστολήν, ἀλλὰ τοσόνδε μόνον παρακαλέσαι Ἀλέξανδρον, καὶ ἐς τὰ ἄλλα οἱ πείθεσθαι ὅσα ἐπαγγέλλοιτο. σωθήσεσθαι γὰρ πειθόμενον. καὶ τὸν μὲν καθαρθῆναί τε καὶ ῥαΐσαι αὐτῷ τὸ νόσημα. Φιλίππῳ δὲ ἐπιδεῖξαι ὅτι πιστός ἐστιν αὐτῷ φίλος. καὶ τοῖς ἄλλοις δὲ τοῖς ἀμφ' αὐτὸν, ὅτι αὐτοῖς τε τοῖς φίλοις βέβαιος εἰς τὸ ἀνύποπτον τυγχάνει ὤν, καὶ πρὸς τὸ ἀποθανεῖν ἐρρωμένος. ἐκ δὲ τούτου, Παρμενίωνα μὲν πέμπει ἐπὶ τὰς ἄλλας πύλας, αἳ δὴ ὁρίζουσι τὴν Κιλίκων τε καὶ Ἀσυρίων χώραν, προκαταλαβεῖν καὶ φυλάσσειν τὴν πάροδον, δοὺς αὐτῷ τῶν τε ξυμμάχων τοὺς πεζοὺς, καὶ τοὺς Ἕλληνας τοὺς μισθοφόρους, καὶ τοὺς Θρᾷκας ὧν Σιτάλκης ἡγεῖτο, καὶ τοὺς ἱππέας δὲ τοὺς Θετταλούς. αὐτὸς δὲ ὕστερον ἄρας ἐκ Ταρσοῦ, τῇ μὲν προτέρῃ εἰς Ἀγχίαλον πόλιν ἀφικνεῖται. ταύτην δὲ Σαρδανάπαλον κτίσαι τὸν Ἀσύριον λόγος· καὶ τῷ περιβόλῳ δὲ καὶ τοῖς θεμελίοις τῶν τειχῶν δήλη ἐστὶ μεγάλη τε πόλις κτισθεῖσα, καὶ ἐπὶ μέγα ἐλθοῦσα δυνάμεως. καὶ τὸ μνῆμα τοῦ Σαρδαναπάλου ἐγγὺς ἦν τῶν τειχῶν τῆς Ἀγχιάλου, καὶ αὐτὸς ἐφειστήκει ἐπ' αὐτῷ Σαρδανάπαλος, συμβεβληκὼς τὰς χεῖρας ἀλλήλαις, ὡς μάλιστα ἐς κρότον συμβάλλονται. καὶ ἐπίγραμμα ἐπιγέγραπτο αὐτῷ, Ἀσύρια γράμματα. οἱ μὲν Ἀσύριοι καὶ μέτρον ἔφασκον ἐπεῖναι τῷ ἐπιγράμματι. ὁ δὲ νοῦς ἦν αὐτῷ, ὃν ἔφραζε τὰ ἔπη, ὅτι ΣΑΡΔΑΝΑΠΑΛΟΣ ὁ Ἀνακυνδαράξου παῖς, Ἀγχίαλον καὶ Ταρσὸν ἐν ἡμέρᾳ μιᾷ ἐδείματο. σὺ δὲ ὦ ξένε, ἔσθιε, καὶ πῖνε, καὶ παῖζε, ὡς τἆλλα τὰ ἀνθρώπινα οὐκ ὄντα τούτου ἄξια· τοῦ ψόφου αἰνισσόμενος ὅνπερ αἱ χεῖρες ἐπὶ τῷ κρότῳ ποιοῦσι. καὶ τὸ παῖζε, ῥᾳδιουργότερον ἐγγεγράφθαι ἔφασαν τῷ Ἀσυρίῳ ὀνόματι. ἐκ δὲ τῆς Ἀγχιάλου ἐς Σόλους ἀφίκετο, καὶ φρουρὰν ἐπήγαγεν ἐς Σόλους, καὶ ἐπέβαλεν

αὐτοῖς τάλαντα διακόσια ἀργυρίου ζημίαν, ὅτι πρὸς τοὺς Πέρσας μᾶλλόν τι τὸν νοῦν εἶχον. ἔνθεν δὲ ἀναλαβὼν τῶν μὲν πεζῶν τῶν Μακεδόνων τρεῖς τάξεις, τοὺς τοξότας δὲ πάντας καὶ τοὺς Ἀγριᾶνας, ἐξελαύνει ἐπὶ τοὺς τὰ ὄρη κατέχοντας Κίλικας. καὶ ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις τοὺς μὲν βίᾳ ἐξελὼν, τοὺς δὲ ὁμολογίᾳ παραστησάμενος, ἐπανῆκεν ἐς τοὺς Σόλους· καὶ ἐνταῦθα μανθάνει Πτολεμαῖον καὶ Ἄσανδρον, ὅτι ἐκράτησαν Ὀροντοβάτου τοῦ Πέρσου, ὃς τήν τε ἄκραν τῆς Ἁλικαρνασσοῦ ἐφύλασσε καὶ Μύνδον, καὶ Καῦνον, καὶ Θήραν, καὶ Καλλίπολιν κατεῖχε. προσῆκτο δὲ καὶ Κῶ, καὶ Τριόπιον. τοῦτον ἡττῆσθαι ἔγραφον μάχῃ μεγάλῃ· καὶ ἀποθανεῖν μὲν τῶν ἀμφ' αὐτὸν, πεζοὺς ἐς ἑπτακοσίους, καὶ ἱππέας ἐς πεντήκοντα, ἁλῶναι δὲ οὐκ ἐλάττους τῶν χιλίων. Ἀλέξανδρος δὲ ἐν Σόλοις θύσας τε τῷ Ἀσκληπιῷ, καὶ πομπεύσας αὐτός τε καὶ ἡ στρατιὰ πᾶσα, καὶ λαμπάδα ἐπιτελέσας, καὶ ἀγῶνα διαθεὶς γυμνικὸν καὶ μουσικὸν, Σολεῦσι μὲν δημοκρατεῖσθαι ἔδωκεν, αὐτὸς δὲ ἀναζεύξας εἰς Ταρσὸν, τοὺς μὲν ἱππέας ἀπέστειλε, Φιλώτᾳ δοὺς ἄγειν διὰ τοῦ Ἀληΐου πεδίου ἐπὶ τὸν ποταμὸν τὸν Πύραμον· αὐτὸς δὲ σὺν τοῖς πεζοῖς καὶ τῇ ἴλῃ τῇ βασιλικῇ ἐς Μαγαρσὸν ἧκε, καὶ τῇ Ἀθηνᾷ τῇ Μαγαρσίδι ἔθυσεν. ἐντεῦθεν δὲ ἐς Μαλλὸν ἀφίκετο, καὶ Ἀμφιλόχῳ ὅσα ἥρωϊ ἐνήγισε· καὶ στασιάζοντας καταλαβὼν, τὴν στάσιν αὐτοῖς κατέπαυσε· καὶ τοὺς φόρους οὓς βασιλεῖ Δαρείῳ ἀπέφερον, ἀνῆκεν, ὅτι Ἀργείων μὲν Μαλλοὶ ἄποικοι ἦσαν, αὐτὸς δὲ ἀπ' Ἄργους τῶν Ἡρακλειδῶν εἶναι ἠξίου. ἔτι δὲ ἐν Μαλλῷ ὄντι αὐτῷ ἀγγέλλεται Δαρεῖον ἐν Σώχοις ξὺν τῇ πάσῃ δυνάμει στρατοπεδεύειν. ὁ δὲ χῶρος οὗτος ἔστι μὲν τῆς Ἀσσυρίας γῆς, ἀπέχει δὲ τῶν πυλῶν τῶν Ἀσσυρίων ἐς δύο μάλιστα σταθμούς. ἔνθα δὴ ξυναγαγὼν τοὺς ἑταίρους, φράζει αὐτοῖς τὰ ἐξηγγελμένα ὑπὲρ Δαρείου τε καὶ τῆς στρατιᾶς τῆς Δαρείου. οἱ δὲ αὐτόθεν, ὡς εἶχον, ἄγειν ἐκέλευον. ὁ δὲ, τότε μὲν ἐπαινέσας αὐτοὺς, διέλυσε τὸν ξύλλογον, τῇ δὲ ὑστεραίᾳ προῆγεν, ὡς ἐπὶ Δαρεῖόν τε καὶ τοὺς Πέρσας. δευτεραῖος δὲ ὑπερβαλὼν τὰς πύλας, ἐστρατοπέδευσε πρὸς Μυριάνδρῳ πόλει· καὶ τῆς νυκτὸς χειμὼν ἐπιγίγνεται σκληρὸς, καὶ ὕδωρ τε ἐξ οὐρανοῦ καὶ πνεῦμα βίαιον. τοῦτο κατέσχεν ἐν τῷ στρατοπέδῳ Ἀλέξανδρον. Δαρεῖος δὲ τέως μὲν ξὺν τῇ στρατιᾷ διέτριβεν, ἐπιλεξάμενος τῆς Ἀσσυρίας γῆς πεδίον πάντῃ ἀναπεπταμένον, καὶ τῷ τε πλήθει τῆς στρατιᾶς ἐπιτήδειον, καὶ ἐνιππάσασθαι τῇ ἵππῳ ξύμφορον. καὶ τοῦτο τὸ χωρίον ξυνεβούλευεν αὐτῷ μὴ ἀπολείπειν Ἀμύντας ὁ τοῦ Ἀντιόχου, ὁ παρ' Ἀλεξάνδρου αὐτόμολος. εἶναι γὰρ τὴν εὐρυχωρίαν πρὸς τοῦ πλήθους τε καὶ τῆς σκευῆς τῶν Περσῶν. καὶ ἔμενε Δαρεῖος. ὡς δὲ Ἀλεξάνδρῳ πολλὴ μὲν ἐν Ταρσῷ τριβὴ ἐπὶ τῇ νόσῳ ἐγίγνετο, οὐκ ὀλίγη δὲ ἐν Σόλοις, ἵνα ἔθυέ τε καὶ ἐπόμπευε, καὶ ἐπὶ τοὺς ὀρεινοὺς Κίλικας διέτριψεν ἐξελάσας, τοῦτο ἔσφηλε Δαρεῖον τῆς γνώμης· καὶ αὐτός τε ὅ,τι περ ἥδιστον ἦν δοξασθὲν, ἐς τοῦτο οὐκ ἀκουσίως ὑπήχθη· καὶ ὑπὸ τῶν καθ' ἡδονὴν ξυνόντων τε καὶ ξυνεσομένων ἐπὶ κακῷ τοῖς ἀεὶ βασιλεύουσιν ἐπαιρόμενος, ἔγνω μηκέτι Ἀλέξανδρον ἐθέλειν προϊέναι τοῦ πρόσω, ἀλλ' ὀκνεῖν γὰρ, πυνθανόμενον ὅτι αὐτὸς προσάγοι· καταπατήσειν τε τῇ ἵππῳ τῶν Μακεδόνων τὴν στρατιὰν, ἄλλος ἄλλοθεν αὐτῷ ἐπαίροντες ἔλεγον.

A ducenta argenti talenta iis imperat, quòd propenſiore erga Perſas animo fuiſſent. Inde cum tribus Macedonum agminibus, ſagittariis omnibus, atq; Agrianis, Cilicas qui montes occupauerant adorſus, iiſque intra ſeptem in vniuerſum dies partim vi, partim pactionibus in poteſtatē ſuā redactis, Solos rediit. Hîc Orontobatem Perſam (qui Halicarnaſſi arcem, & *Myndum, & Caunum ac Theram & Callipolim tenebat) à Ptolemęo & Aſandro victum cognouit. Acceſſerat ad victoriam & Cos & Triopium. Hunc magno prælio victum perſcribebant, cęſis peditum circiter ſeptingentis, equitum quinquaginta, viuis non infra mille captis. Alexāder quum apud Solos Æſculapio ſacrificaſſet, ipſéque pariter ac totus exercitus pompam facibus circumgeſtatis peregiſſet, *ludis etiā gymnicis ac muſicis editis, Solenſibus democratiā conceſſit. Ipſe Tarſum verſus mouens (negotio Philotæ dato vt equitatū per Aleium campum ad *Pyramum flumen ducat) cum peditatu & turma regia Magarſum venit, & Mineruæ Magarſidi ſacrificauit. Inde Mallum profectus, Amphilocho vt heroi *parentauit. quúmque ciues ſeditione laborantes offendiſſet, ea ſedata, tributa quæ Dario regi pendere ſoliti erant, iis remiſit, quòd Malli Argiuorum coloni eſſent, ipſéq; ab Heraclidis Argiuis oriundum ſe perhiberet. Quum adhuc apud Mallos eſſet Alexander, nuntij ad eum veniunt, Darium cum vniuerſo exercitu ad Sochos caſtra fixiſſe. Eſt is Aſſyriæ locus ab anguſtiis quæ Aſſyriam aperiunt bidui itinere diſſitus. Conuocatis itaque amicis, quæ ſibi de Dario eiúſq; exercitu nuntiata erant exponit: qui quidem confeſtim in eos duci poſtulabant. Alexander, collaudata eorum virtute, tum quidem concilium dimiſit: poſtero verò die exercitum in Dariū & Perſas duxit: quúmq; ſecundis caſtris Pylarum anguſtias ſuperaſſet, ad Myriandrum vrbem caſtra poſuit: eáque nocte ingens orta tempeſtas, magnáque imbriū ac ventorum vis cælo effuſa, Alexandrum in caſtris continuit. Darius interea cum exercitu caſtris locum delegerat, Aſſyriæ campū planum omníque ex parte apertum, qui & magnitudini exercitus maximè commodus eſſet, & ad ducēdum equitatum peropportunus viſus fuerat. A quo quidem loco ne recederet, Amyntas Antiochi filius, ab Alexandro transfuga, ſuaſerat. Loci enim amplitudinem, & multitudini Perſarū & impedimētis percommodā eſſe. Et manſit quidem eo loci Darius. Cæterùm quū Alexander lōgiorem morā Tarſi ob ægritudinē faceret, neq; minorē Solis, vbi & ſacrificarat & ludos fecerat: multū etiā tēporis in expeditione aduerſus Cilicas mōtanos poſuiſſet: Dariū à ſententia ſua abduxit. neque inuitus ad id quod maximè cordi erat credendū pertractus eſt. Siquidē ab iis qui ad voluptatē tantū loquuntur, (maximo ſemper regibus, cū quibus verſantur, dāno futuri) impulſus, Alexandrū vlterius progredi nolle ſibi perſuaſerat, nuntio ſui aduētus perculſum. Hoc etiā modo eius animū cōmouerant, quòd Darij equitatū facilè vniuerſas Macedonū copias proculcaturū

Ex vet. lib. Myndum, non Syndum, vt in præedit. Gr.

Cur. Edito ſpectaculo ludicro.

Curt. Pyrthamū Fac. Pinarum.

Fac. Sacrificium perpetrauit.

Fac. Ex Herculis Argiui genere ſe ortum putabat.

dicebāt: quantumuis Amyntas Alexandrū, vbicūq; is Dariū eſſe audiret, venturū affirmaſſet: ibiq; eum opperiri ſuaſiſſet. Cæterùm deterior ſententia, quòd primo acceſſu gratior auribus acciderct, vicit. Ac fortaſſe Deus illū eo loci adduxit, vbi nec equitat* magno vſui eſſe poſſet, vt nec infinita hominū pariter & iaculorum ac telorum multitudo, ſed nec ipſam quidem exercitus magnificentiam oſtendere poterat: ſed Alexandro facilem omnino victoriam præbebat. Oportebat enim Aſiæ imperium Perſis à Macedonibus adimi, quemadmodum Perſæ Medis ac prius Medi Aſſyrijs ademerant. Darius, ſuperato monte qui prope Pylas Amanicas eſt, Iſſon verſus mouit, Alexandrum imprudens à tergo relinquens. Capta Iſſo, quotquot Macedones ibi propter inualetudinē relictos cōprehendit, crudeliter excruciatos interficit. Poſtero die ad Pinarum amnem proceſsit. Alexander, ſimulac audiuit Darium à tergo relictum, quoniam illi parum certum hoc nūtium videbatur, quoſdam ex amicis triremi impoſitos, Iſſum remittit, exploraturos an quæ nuntiabantur vera eſſent. Qui triremi conſcenſa, quòd mare illud ſinuoſum ſit, facilè cognouerunt Perſas ibi caſtra poſuiſſe: atque Alexandro renuntiant, Darium in manibus eſſe. Ipſe, cōuocatis cohortium turmarúmque ductoribus, & auxiliariorum præfectis, hortatur bono vt animo ſint ob ea quæ præclarè antea fortitérque geſſiſſent, & ob victoriam qua iam potituri eſſent. Deum pro ipſis potius pugnare, qui Darium impulerit vt exercitum ex ſpatioſiſsimo campo in illas anguſtias adduceret, vt Macedonibus commodus ad explicandam phalangem locus eſſet: hoſtibus verò tanta multitudo ad pugnandum inutilis. Adhæc neque corporum neque animorum viribus pares eſſe. Macedones enim cum Perſis & Medis, qui multo iam tēpore otio ac delicijs eneruati eſſent, congreſſuros: ipſos, bellicis laboribus iamdudum ad pericula ſubeunda exercitatos: præterea liberos homines cum ſeruis conflicturos. Græcos qui in vtraq; acie eſſent, non iiſdem conditionibus pugnaturos. Qui enim à Darij partibus eſſent, mercede eáque exigua conductos periculum adire: eos qui à Macedonibus eſſent, pro Græcia ſponte ſua adductos dimicare. Ex barbaris autem Thracas, Pæonas, Illyrios & Agrianos, fortiſsimos totius Europę & bellicoſiſsimos, aduerſus molles effœminatáſque Aſiæ gentes in aciem ituros. Denique Alexandrum aduerſus Darium exercitum ducere. Atque hæc quidem *ad prælij prerogatiuam ſignificandam commemorauit. Adhæc præmiorum quę huic periculo propoſita eſſent magnitudinem exponit. Neque enim eos, ſatrapas Darij illo prælio victuros, neque equitatum qualis ad Granicum amnem conſtiterat, neque viginti millia exterorum mercenariorum, ſed *ſummam imperij Perſici ac Medici, & quotquot vſquam nationes Perſis ac Medis parētes Aſiam inhabitant: ipſúmque adeò magnum regem debellaturos, nihilque ex eo prælio *reliquum futurum, quàm vt vniuerſæ Aſiæ imperent, & optatum laboribus ſuis finem

A καίτοιγε Ἀμύντας ἥξειν τε Ἀλέξανδρον ἰσχυρίζετο ὅπου ἂν πύθηται Δαρεῖον ὄντα, καὶ αὐτοῦ περιμένειν ἐκέλευεν. ἀλλὰ τὰ χείρω μᾶλλον, ὅτι καὶ ἐν τῷ παραυτίκα ἥδιω ἀκοῦσαι ἦν, ἔπειθε· καί τι καὶ δαιμόνιον τυχὸν ἦγεν αὐτὸν εἰς ἐκεῖνον τὸν χῶρον, οὗ μήτε ἐκ τῆς ἵππου πολλὴ ὠφέλεια αὐτῷ ἐγένετο, μήτε ἐκ τοῦ πλήθους αὐτοῦ τῶν τε ἀνθρώπων καὶ τῶν ἀκοντίων τε καὶ τοξευμάτων· μηδὲ τὴν λαμπρότητα αὐτῆς τῆς στρατιᾶς ἐπιδεῖξαι ἐδυνήθη· ἀλλὰ Ἀλεξάνδρῳ τε καὶ τοῖς ἀμφ' αὐτὸν εὐμαρῶς τὴν νίκην παρέδωκεν. ἐχρῆν
B γὰρ ἤδη καὶ Πέρσας πρὸς Μακεδόνων ἀφαιρεθῆναι τῆς Ἀσίας τὴν ἀρχὴν, καθάπερ οὖν Μῆδοι μὲν πρὸς Περσῶν ἀφῃρέθησαν, πρὸς Μήδων δὲ ἔτι πρόσθεν Ἀσσύριοι. ὑπερβαλὼν δὴ τὸ ὄρος Δαρεῖος τὸ κατὰ τὰς Πύλας τὰς Ἀμανικὰς καλουμένας, ὡς ἐπὶ Ἰσσὸν προῆγε, καὶ ἐγένετο κατόπιν Ἀλεξάνδρου λαθών. τὴν δὲ Ἰσσὸν κατασχὼν, ὅσους διὰ νόσον ὑπολελειμμένους αὐτοῦ τῶν Μακεδόνων κατέλαβε, τούτους χαλεπῶς αἰκισάμενος ἀπέκτεινεν. ἐς δὲ τὴν ὑστεραίαν προυχώρει ἐπὶ τὸν ποταμὸν τὸν Πίναρον. καὶ Ἀλέξανδρος ὡς
C ἤκουσεν ἐν τῷ ὄπισθεν αὐτοῦ ὄντα τὸν Δαρεῖον, ἐπεὶ οὐ πιστὸς αὐτῷ ὁ λόγος ἐφαίνετο, ἀναβιβάσας εἰς τριακόντορον τῶν ἑταίρων τινὰς, ἀποπέμπει ὀπίσω ἐπὶ Ἰσσὸν κατασκεψομένους εἰ τὰ ὄντα ἐξαγγέλλεται. οἱ δὲ, ἀναπλεύσαντες τῇ τριακοντόρῳ, ὅτι κολπώδης ἦν ἡ ταύτῃ θάλασσα, μᾶλλόν τι εὐπετῶς κατέμαθον αὐτοῦ στρατοπεδεύοντας τοὺς Πέρσας· καὶ ἀπαγγέλλουσιν Ἀλεξάνδρῳ ἐν χερσὶν εἶναι Δαρεῖον. ὁ δὲ συγκαλέσας στρατηγούς τε καὶ ἰλάρχας, καὶ τῶν ξυμμάχων τοὺς ἡγεμόνας, παρεκάλει θαῤῥεῖν μὲν ἐκ τῶν ἤδη σφίσι κα-
D λῶς κεκινδυνευμένων, καὶ ὅτι πρὸς νενικηκότας αὐτοῖς ἔσται· καὶ ὅτι ὁ θεὸς ὑπὲρ σφῶν στρατηγεῖ ἄμεινον, ἐπὶ νοῦν Δαρείῳ ἀγαγὼν καθεῖρξαι τὴν δύναμιν ἐκ τῆς εὐρυχωρίας ἐς τὰ στενόπορα· ἵνα σφίσι μὲν ξύμμετρον τὸ χωρίον ἀναπτύξαι τὴν φάλαγγα, τοῖς δὲ ἀχρεῖον τὸ πλῆθος ὅτι ἔσται τῇ μάχῃ, οὔτε τὰ σώματα οὔτε τὰς γνώμας παραπλησίοις. Μακεδόνας τε καὶ Πέρσαις καὶ Μήδοις, ἐκ πάνυ πολλοῦ τρυφῶσιν, αὐτοὺς ἐν τοῖς πόνοις τοῖς πολεμικοῖς πάλαι ἤδη μετὰ κινδύνων ἀσκουμένους, ἄλλως τε καὶ δούλοις ἀνθρώ-
E ποις ἐλευθέρους ἐς χεῖρας ἥξειν. ὅσοι τε Ἕλληνες Ἕλλησιν, οὐχ ὑπὲρ τῶν αὐτῶν μαχεῖσθαι, ἀλλὰ τοὺς μὲν ξὺν Δαρείῳ, ἐπὶ μισθῷ, καὶ οὐδὲ τούτῳ πολλῷ, κινδυνεύοντας· τοὺς δὲ ξὺν σφίσιν, ὑπὲρ τῆς Ἑλλάδος ἑκόντας ἀμυνομένους· βαρβάρων τε αὖ Θρᾷκας, καὶ Παίονας, καὶ Ἰλλυριοὺς, καὶ Ἀγριᾶνας, τοὺς εὐρωστοτάτους τε κατὰ τὴν Εὐρώπην καὶ μαχιμωτάτους, πρὸς τὰ ἀπονώτατά τε καὶ μαλακώτατα τῆς Ἀσίας γένη ἀντιτάξεσθαι· ἐπὶ δὲ Ἀλέξανδρον ἀντιστρατηγεῖν Δαρείῳ. ταῦτα μὲν οὖν ἐς πλεονεξίαν τοῦ ἀγῶνος ἐπεξῄει. τὰ δὲ
F ἆθλα ὅτι μεγάλα ἔσται σφίσι τοῦ κινδύνου ἐπεδείκνυεν. οὐ γὰρ τοὺς σατράπας τοὺς Δαρείου ἐν τῷ τότε κρατήσειν, οὐδὲ τὴν ἵππον τὴν ἐπὶ Γρανικῷ ταχθεῖσαν, οὐδὲ τοὺς δισμυρίους ξένους τοὺς μισθοφόρους, ἀλλὰ Περσῶν τε ὅ,τι περ ὄφελος καὶ Μήδων, καὶ ὅσα ἄλλα ἔθνη Πέρσαις καὶ Μήδοις ὑπήκοα ἐποικεῖ τὴν Ἀσίαν, καὶ αὐτὸν μέγαν βασιλέα παρόντα, καὶ ὡς οὐδὲν ὑπολειφθήσεται σφίσιν ἐπὶ τῷδε τῷ ἀγῶνι, ὅτι μὴ κρατεῖν τῆς Ἀσίας ξυμπάσης, καὶ πέρας τοῖς πολλοῖς πόνοις

Fac. Quo Macedones ac reliquus exercitus ſcirent quantum barbaris in eo prælio præſtaret.

Fac. Omnia quæ Perſæ tenent.

Fac. Nihilque obſtaturum.

ἐπιθεῖναι. ἐπὶ τούτοις δὲ τῶν τε εἰς τὸ κοινὸν ξὺν λαμπρότητι ἤδη πεπραγμένων ὑπεμίμνησκε. καὶ εἰ δή τῳ ἰδίᾳ τι διαπρεπὲς ἐς κάλλος τετολμημένον, ὀνομαστὶ ἕκαστον ἐπὶ τῷ ἔργῳ ἀνακαλῶν, καὶ τὸ αὑτοῦ οὐκ ἀκίνδυνον ἐν ταῖς μάχαις ὡς ἀνεπαχθέστατα ἐπεξῄει. λέγεται δὲ καὶ Ξενοφῶντος καὶ τῶν ἅμα Ξενοφῶντι μυρίων ἐς μνήμην ἐλθεῖν, ὡς οὐδέν τι οὔτε κατὰ πλῆθος οὔτε κατὰ τὴν ἄλλην ἀξίωσιν σφίσιν ἐοικότες· οὐδὲ ἱππέων αὐτοῖς παρόντων Θεσσαλῶν, οὐδὲ Βοιωτῶν, ἢ Πελοποννησίων, οὐδὲ Μακεδόνων ἢ Θρᾳκῶν, οὐδ' ὅση ἄλλη σφίσιν ἵππος ξυντέτακται· οὐδὲ τοξοτῶν, ἢ σφενδονητῶν, ὅτι μὴ Κρητῶν, ἢ Ῥοδίων ὀλίγων· καὶ τούτων ἐν τῷ κινδύνῳ ὑπὸ Ξενοφῶντος αὐτοσχεδιασθέντων. οἱ δὲ βασιλέα τε ξὺν πάσῃ τῇ δυνάμει πρὸς Βαβυλῶνι αὐτῇ ἐτρέψαντο, καὶ ἔθνη ὅσα κατιόντων εἰς τὸν Εὔξεινον πόντον καθ' ὁδὸν σφίσιν ἐπηλύετο, νικῶντες ἀπῆλθον· ὅσα τε ἄλλα ἐν τῷ τοιῷδε πρὸ τῶν κινδύνων ἐς παράκλησιν, ἀνδράσιν ἀγαθοῖς ἐξ ἀγαθοῦ ἡγεμόνος παραινεῖσθαι εἰκός. οἱ δὲ ἄλλος ἄλλοθεν δεξιούμενοί τε τὸν βασιλέα, καὶ τῷ λόγῳ ἐπαίροντες, ἄγειν ἤδη ἐκέλευον. ὁ δὲ τότε μὲν δειπνοποιεῖσθαι παραγγέλλει, προπέμπει δὲ ὡς ἐπὶ τὰς πύλας, τῶν ἱππέων ὀλίγους τινὰς καὶ τῶν τοξοτῶν προκατασκεψομένους τὴν ὁδὸν τὴν ὀπίσω, ὡς ἐπὶ τὰς πύλας· καὶ αὐτὸς τῆς νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν ᾔει, ὡς κατασχεῖν αὖθις τὰς πύλας. ὡς δὲ ἀμφὶ μέσας νύκτας ἐκράτησεν αὖθις τῶν παρόδων, ἀνέπαυε τὴν στρατιὰν τὸ λοιπὸν τῆς νυκτὸς, αὐτοῦ ἐπὶ τῶν πετρῶν προφυλακὰς ἀκριβεῖς καταστησάμενος· ὑπὸ δὲ τὴν ἕω κατῄει ἀπὸ τῶν πυλῶν κατὰ τὴν ὁδόν. καὶ ἕως μὲν πάντῃ στενόπορα ἦν τὰ χωρία, ἐπὶ κέρως ἦγεν· ὡς δὲ διεχώρει ἐς πλάτος, ἀνέπτυσσεν ἀεὶ τὸ κέρας, ἐς φάλαγγα, ἄλλην καὶ ἄλλην τῶν ὁπλιτῶν τάξιν παράγων, τῇ μὲν, ὡς ἐπὶ τὸ ὄρος, ἐν ἀριστερᾷ δὲ, ὡς ἐπὶ τὴν θάλασσαν. οἱ δὲ ἱππεῖς αὐτῷ τέως μὲν κατόπιν τῶν πεζῶν τεταγμένοι ἦσαν· ὡς δὲ ἐς τὴν εὐρυχωρίαν προῄεσαν, συνέτασσεν ἤδη τὴν στρατιὰν ὡς ἐς μάχην· πρώτους μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως πρὸς τῷ ὄρει τῶν πεζῶν, τό, τε ἄγημα καὶ τοὺς ὑπασπιστάς, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος. ἐχομένην δὲ τούτων, τὴν Κοίνου τάξιν· ἐπὶ δὲ τούτοις, τὴν Περδίκκου. οὗτοι μὲν ἔστε ἐπὶ τὸ μέσον τῶν ὁπλιτῶν, ἀπὸ τοῦ δεξιοῦ ἀρξαμένῳ τεταγμένοι ἦσαν. ἐπὶ δὲ τοῦ εὐωνύμου, πρώτη μὲν Ἀμύντου τάξις ἦν, ἐπὶ δὲ καὶ Πτολεμαίου, ἐχομένη δὲ ταύτης, ἡ Μελεάγρου. τοῦ δὲ εὐωνύμου τοῖς πεζοῖς μὲν Κρατερὸς ἐπιτέτακτο ἄρχειν, τοῦ δὲ ξύμπαντος εὐωνύμου Παρμενίων ἡγεῖτο· καὶ παρήγγελτο αὐτῷ μὴ ἀπολείπειν τὴν θάλασσαν, ὡς μὴ κυκλωθεῖεν ἐκ τῶν βαρβάρων, ὅτι πάντῃ ὑπερφαλαγγήσειν αὐτοὺς διὰ πλῆθος ἤμελλον. Δαρεῖος δὲ, ἐπειδὴ ἐξηγγέλθη αὐτῷ προσάγων ἤδη Ἀλέξανδρος, ὡς ἐς μάχην, τῶν μὲν ἱππέων διαβιβάζει πέραν τοῦ ποταμοῦ Πινάρου, ἐς τρισμυρίους μάλιστα τὸν ἀριθμόν· καὶ μετὰ τούτων, τῶν ψιλῶν ἐς δισμυρίους, ὅπως τὴν λοιπὴν δύναμιν καθ' ἡσυχίαν συντάξειε. καὶ πρώτους μὲν τοῦ ὁπλιτικοῦ τοὺς Ἕλληνας τοὺς μισθοφόρους ἔταξεν ἐς τρισμυρίους, κατὰ τὴν φάλαγγα τῶν Μακεδόνων· ἐπὶ δὲ τούτοις, τῶν Καρδάκων καλουμένων, ἔνθεν καὶ ἔνθεν, ἐς ἑξακισμυρίους· ὁπλῖται δὲ ἦσαν καὶ οὗτοι. τοσούτους γὰρ

A imponant. Adhæc quæ ſplendidè ab iis collatis viribus geſta eſſent ˚recenſebat. Siquis verò audax aliquod & laudabile facinus priuatim edidiſſet, nominatim ſingulos euocans, ˚eorum in periculis adeundis virtutem, quamminima poterat cum inuidia, collaudabat. Fertur autem etiam Xenophontis, & decem millium qui cum eo fuerant meminiſſe, quippe quòd neque numero, neque vlla alia æſtimatione comparandi fuerint: ꝙ neque Theſſalos equites, neque Bœotios, aut Pelopõnenſes, neque Ma-B cedonas, aut Thracas, neque alium vllum equitatum qui ipſis accenſus erat, habuiſſent. neque ſagittarios aut funditores, præter Cretenſes & Rhodios nonnullos, quos Xenophon in ipſo diſcrimine feſtinanter conſcripſerat. Hos tamen regem cum vniuerſo exercitu ante Babylonem in fugam vertiſſe, gentéſque omnes, quotquot iis Euxinum pontum petentibus, in itinere reſtiterunt, domuiſſe. Alia præterea adiecit, quibus boni imperatores ad bonos ac ſtrenuos C milites ad adeunda pericula exhortãdos vti par eſt. Illi ˚certatim regem cõplexi, & verbis efferentes, è veſtigio in aciem duci poſtulant. Tum Alexander corpora curari iubet, equitéſque nonnullos & ſagittarios ad Pylas præmittit, qui viam, quam iam trãſierat, explorẽt. ipſéq; noctu cũ vniuerſo exercitu mouit, vt anguſtias illas denuo occupare poſſet. Vt verò ſub medium noctis rurſus Pylas inſedit, reliquum noctis exercitui ad quietẽ dedit, excubiis ſumma diligẽtia in ipſa rupe diſpoſitis, ſub aurorã ex Pylis in viã D deſcẽdit. & quãdiu magna erat viarũ anguſtia, anguſtã etiã aciẽ ducebat: vbi verò ˚laxare ſe ſinus montiũ cœperũt, explicuit cornu, phalangẽ aliã aliũdq; armigerorũ agmẽ adducens, dextra quidẽ montem verſus, læua autẽ, ad mare. Equites porrò interea peditibus à tergo cõſtituti erant. At poſtquã in aperta loca ventũ eſt, exercitũ ſtatim ad prælium cõmittendum inſtruit. In dextro cornu montẽ verſus peditum agmen locat, & ſcutatos, quibus præerat Nicanor Parme-E nionis filiꝰ. Proximũ his, Cœni, mox Perdiccæ agmen: atque hi quidẽ ad mediã armigerorũ aciẽ, ei qui dextro lateri ˚præfuturus erat, adſtabãt. A ſiniſtro verò, primę erãt Amyntæ copiæ, inde Ptolemæi: proximę huic Meleagri. Et quidẽ ad læuã Craterus peditibus præfectus erat: totum autẽ ſiniſtrum cornu Parmenio ducebat. Huic imperatum erat ne à mari recederet, ne videlicet à barbaris circũuениretur. Nam alioqui Perſæ facilè multitudine copiarũ phalangẽ Mace-F donũ omni ex parte cinxiſſẽt. Darius, poſtquam ei nuntiatũ eſt Alexandrũ inſtructa acie aduentare, triginta millibus equitum, expeditorum viginti millibus Pinarum flumen tranſit, vt reliquum exercitum ſecurius inſtruat. Ac primos quidem ex armigeris Græcos mercede conductos numero triginta millium, aduerſus Macedonum phalangem conſtituit. Ab vtroque horum latere Cardacas, qui & ipſi armigeri erant, ad ſexaginta millia collocat. Neq; enim plures

Fac. admonebat, εἰς τὸ κοινὸν omittens.

Fac. Séque periculorum omniũ in præliis ſocium & participẽ fuiſſe, cõmemorãs.

Fac. Alter alteri dextras dantes.

Ita Curtius.

Vel legendũ eſt ἀρξάμενοι.

in ſimplici phalange conſtitui, locus in quo exercitus inſtruebatur, patiebatur. Porrò ad montem qui ipſis ad ſiniſtram erat, aduerſus Alexandri dextrum cornu viginti millia ſtatuit. Atq; horum quidē nonnulli à tergo Alexandri exercitus oppoſiti erant. mōs enim in quo acies inſtructa erat, aliqua ex parte introrſum recedens, ſinū quendā veluti in mari faciebat: deinde in anfractū porrectus efficiebat vt qui ad radicē mōtis cōſtituti erāt, dextrū Alexandri cornu auerſum cernerent. Reliqua verò expeditorum atque armigerorum multitudo, pro gentiū varietate, in cōfertos inutileſq; ordines redacta, poſt Græcos mercenarios & barbaros in phalāgem compoſitos ſtabat. Sexcenta enim bellatorum millia in Darij exercitu eſſe ferebātur. Alexāder verò, poſtquam progredienti ſibi maius ſpatiū aperiri cœperat, equitatum auxiliariorū Theſſalóſq; & Macedonas adducit. atq; hos quidē in dextro cornu iuxta ſe locat. Peloponnenſes reliquóſq; ſocios ad læuū cornu Parmenioni mittit. Darius poſtquam aciem inſtruxit, equites quos ad flumen eam ob cauſam locarat vt tutò exercitū ordinare poſſet, dato ſigno reuocat. Horum pleroſq; ad dextrum cornu mare verſus aduerſus Parmenionem ſtatuit, quòd ab ea parte maior equorū eſſet vſus: reliquam partem in ſiniſtrum cornu ad montem traducit. Quum verò propter anguſtiam locorum inutiles eo in loco ſibi viderentur, vt in dextrum ipſorum cornu ſeſe recipiant iubet. Darius medium aciei tenebat, Perſarum regum in exercitus ordinatione veteri more obſeruato. cuius quidem rei rationem Xenophon Grylli filius conſcripſit. Inter hæc Alexander animaduertens vniuerſum fermè Perſarum equitatum contra læuum ſuum cornu mare verſus traductum, ſolóſque Peloponnenſes, cum reliquo ſociorum equitatu, eam ad partem collocatos eſſe, Theſſalos etiam equites confeſtim eò mittit, imperans ne ex aduerſo totius aciei equitent, ne ab hoſtibus eò ſe transferentes cernantur, ſed à tergo phalangis non conſpecti ab hoſte tranſeant. Præſtituit autem equitibus ad dextrum cornu antecurſores, quibus præfectus erat Protomachus, & Pæonas, quibus præerat Ariſton. Peditibus verò, ſagittarios, quos Antiochus ducebat. Agrianos autē, quorum dux erat Attalus, & nonnullos equitum ac ſagittariorum ad anfractum montis qui à tergo erat, locat: ita vt ad eam partem quæ ipſi dextra erat, phalanx in duo cornua diuiſa cerneretur. alterum quidem, aduerſus Darium, eóſque qui trans flumen ſtabant, Perſas omnes: alterum, montem verſus, aduerſus eos qui ad montem à tergo imminebant. Ante ſiniſtrum latus ex peditibus Cretēſes ſagittarios & Thraces, quos ducebat Sitalces, ponit: ante hos equitatū, qui ad ſiniſtrum cornu pertinebat. Exteri verò mercenarij omnibus præſtituti erāt. Cęterū quū eorū phalanx in dextro cornu nō ſatis cōferta videretur, atq; ex ea parte potiſsimū Perſæ phalāgē circūuenire poſſe iudicarēt, ex medio agmine duas ſociorū turmas,

A ἐπὶ φάλαγγος ἁπλῆς ἐδέχετο τὸ χωρίον ἵνα ἐτάσσοντο. ἐπέταξε δὲ καὶ τῷ ὄρει τῷ ἐν ἀριστερᾷ σφῶν κατὰ τὸ Ἀλεξάνδρου δεξιὸν ἐς δισμυρίους· ἐκ τούτων ἔστιν οἳ κατὰ νώτου ἐγένοντο τῆς Ἀλεξάνδρου στρατιᾶς. τὸ γὰρ ὄρος ἵνα ἐπετάχθησαν, τῇ μὲν διεχώρει ἐς βάθος, καὶ κολπῶδές τι αὐτοῦ ὥσπερ ἐν θαλάσσῃ ἐγίνετο· ἔπειτα ἐς ἐπικαμπὴν προϊὸν τοὺς ἐπὶ ταῖς ὑπωρείαις τεταγμένους κατόπιν τοῦ δεξιοῦ κέρως τοῦ Ἀλεξάνδρου ἐποίει. τὸ δὲ ἄλλο πλῆθος αὐτοῦ ψιλῶν τε καὶ ὁπλιτῶν κατὰ ἔθνη συντεταγμένον ἐς βάθος οὐκ ὠφέλιμον, ὄπισθεν ἦν τῶν Ἑλλήνων τῶν μισθοφόρων, καὶ τοῦ ἐπὶ B φάλαγγος τεταγμένου βαρβαρικοῦ. ἐλέγετο γὰρ ἡ πᾶσα ξὺν Δαρείῳ στρατιὰ μάλιστα ἐς ἑξήκοντα μυριάδας μαχίμους εἶναι. Ἀλέξανδρος δέ, ὡς αὐτῷ πρόσω ἰόντι τὸ χωρίον διέσχεν ὀλίγον ἐς πλάτος, παρήγαγε τοὺς ἱππέας, τούς τε ἑταίρους καλουμένους, καὶ τοὺς Θεσσαλοὺς καὶ τοὺς Μακεδόνας. καὶ τούτους μὲν ἐπὶ τῷ δεξιῷ κέρατι ἅμα οἷ ἔταξε· τοὺς δὲ ἐκ Πελοποννήσου, καὶ τὸ ἄλλο τὸ συμμαχικόν, ἐπὶ τὸ εὐώνυμον πέμπει ἐς Παρμενίωνα. Δαρεῖος δέ, ὡς συντεταγμένη ἤδη ἦν αὐτῷ ἡ φάλαγξ, τοὺς ἱππέας οὕστινας πρὸ τοῦ ποτα- C μοῦ ἐπὶ τῷδε προτετάχει, ὅπως ἀσφαλῶς αὐτῷ ἡ ἔκταξις τῆς στρατιᾶς γένοιτο, ἀνεκάλεσεν ἀπὸ ξυνθήματος· καὶ τούτων τοὺς μὲν πολλοὺς ἐπὶ τῷ δεξιῷ κέρατι πρὸς τῇ θαλάσσῃ κατὰ Παρμενίωνα ἔταξεν, ὅτι ταύτῃ μᾶλλόν τι ἱππάσιμα ἦν, μέρος δέ τι αὐτῶν καὶ ἐπὶ τὸ εὐώνυμον πρὸς τὰ ὄρη παρήγαγεν. ὡς δὲ ἀχρεῖοι ἐνταῦθα διὰ στενότητα τῶν χωρίων ἐφαίνοντο, καὶ τούτων τοὺς πολλοὺς παριππεῦσαι ἐπὶ τὸ δεξιὸν κέρας σφῶν ἐκέλευσεν. αὐτὸς δὲ Δαρεῖος τὸ μέσον τῆς πάσης τάξεως ἐπεῖχε, καθάπερ νόμος τοῖς Περσῶν βα- D σιλεῦσι τετάχθαι· καὶ τὸν νοῦν τῆς τάξεως ταύτης Ξενοφῶν ὁ τοῦ Γρύλλου ἀναγέγραφεν. ἐν τούτῳ δὲ Ἀλέξανδρος κατιδὼν ὀλίγου πᾶσαν τὴν τῶν Περσῶν ἵππον μετακεχωρηκυῖαν ἐπὶ τὸ εὐώνυμον τὸ ἑαυτοῦ, ὡς πρὸς τὴν θάλασσαν, αὐτῷ δὲ τοὺς Πελοποννησίους μόνον, καὶ τοὺς ἄλλους τῶν ξυμμάχων ἱππέας ταύτῃ τεταγμένους, πέμπει κατὰ τάχος καὶ Θεσσαλοὺς ἱππέας ἐπὶ τὸ εὐώνυμον· κελεύσας μὴ πρὸ τοῦ μετώπου τῆς πάσης τάξεως παριππεῦσαι, τοῦ μὴ καταφανεῖς τοῖς πολεμίοις γενέσθαι μεταχωροῦντας, ἀλλὰ κατόπιν τῆς E φάλαγγος ἀφανῶς διελθεῖν. προέταξε δὲ τῶν μὲν ἱππέων κατὰ τὸ δεξιὸν τοὺς προδρόμους, ὧν ἡγεῖτο Πρωτόμαχος, καὶ τοὺς Παίονας, ὧν ἡγεῖτο Ἀρίστων· τῶν δὲ πεζῶν, τοὺς τοξότας, ὧν ἦρχεν Ἀντίοχος· τοὺς δὲ Ἀγριᾶνας, ὧν ἦρχεν Ἄτταλος, καὶ τῶν ἱππέων τινὰς καὶ τῶν τοξοτῶν, ἐς ἐπικαμπὴν πρὸς τὸ ὄρος τὸ κατὰ νώτου ἔταξεν. ὥστε κατὰ τὸ δεξιὸν αὐτῷ τῆς φάλαγγος ἐς δύο κέρατα διέχουσαν τετάχθαι, τὸ μὲν ὡς πρὸς Δαρεῖόν τε, καὶ τοὺς πέραν τοῦ ποταμοῦ τοὺς πάντας Πέρσας· τὸ δέ, ὡς πρὸς τοὺς ἐπὶ τῷ ὄρει κατὰ νώτου σφῶν τεταγμένους. F τοῦ δὲ εὐωνύμου προετάχθησαν, τῶν μὲν πεζῶν, οἵ τε Κρῆτες τοξόται, καὶ οἱ Θρᾷκες, ὧν ἡγεῖτο Σιτάλκης· πρὸ τούτων δὲ ἡ ἵππος ἡ κατὰ τὸ εὐώνυμον. οἱ δὲ μισθοφόροι ξένοι πᾶσιν ἐπετάχθησαν. ἐπεὶ δὲ οὔτε πυκνὴ αὐτῷ ἡ φάλαγξ κατὰ τὸ δεξιὸν τὸ ἑαυτοῦ ἐφαίνετο, πολύ τε ταύτῃ ὑπερφαλαγγήσειν οἱ Πέρσαι ἐδόκουν, ἐκ τοῦ μέσου ἐκέλευσε δύο ἴλας τῶν ἑταίρων, τήν τε Ἀν-

θεμου-

θεμουσίαν, ἧς ἰλάρχης ἦν Περίδας ὁ Μενεσθέως, καὶ τὴν Λαγαίαν καλουμένην, ἧς ἡγεῖτο Παντόρδανος ὁ Κλεάνδρου, ἐπὶ τὸ δεξιὸν ἀφανῶς παρελθεῖν. καὶ τοὺς τοξότας δὲ, καὶ μέρος τῶν Ἀγριανῶν, καὶ τῶν Ἑλλήνων μισθοφόρων ἔστιν οὓς κατὰ τὸ δεξιὸν τὸ αὑτοῦ ἐπὶ μετώπου παραγαγὼν, ἐξέτεινεν ὑπὲρ τὸ τῶν Περσῶν κέρας τὴν φάλαγγα. ἐπεὶ γὰρ οἱ ὑπὲρ τοῦ ὄρους τεταγμένοι οὔτε κατῄεσαν, ἐκδρομῆς τε ἐπ' αὐτοὺς τῶν Ἀγριανῶν, καὶ τῶν τοξοτῶν ὀλίγων κατὰ πρόσταξιν Ἀλεξάνδρου γενομένης, ῥᾳδίως ἀπὸ τῆς ὑπωρείας ἀνασταλέντες, ἐς τὸ ἄκρον ἀνέφυγον· ἔγνω καὶ τοῖς κατ' αὐτοὺς τεταγμένοις δυνατὸν ὂν, χρήσασθαι ἐς ἀναπλήρωσιν τῆς φάλαγγος, ἐκείνοις δὲ ἱππέας τριακοσίους ἐπιτάξαι ἐξήρκεσεν. οὕτω δὴ τεταγμένους χρόνον μέν τινα προῆγεν ἀναπαύων, ὥστε καὶ πάνυ ἔδοξε σχολαία γενέσθαι αὐτῶν ἡ πρόσοδος. τοὺς γὰρ βαρβάρους, ὅπως τὰ πρῶτα ἐτάχθησαν, οὐκέτι ἀντεπῆγε Δαρεῖος, ἀλλ' ἐπὶ τοῦ ποταμοῦ ταῖς ὄχθαις, πολλαχῇ μὲν ἀποκρήμνοις οὔσαις, ἔστι δὲ ὅπου καὶ χάρακα παρατείνας αὐταῖς, ἵνα εὐεφοδώτερα ἐφαίνετο, οὕτως ἔμενεν. καὶ ταύτῃ εὐθὺς δῆλος ἐγένετο τοῖς ἀμφ' Ἀλέξανδρον τῇ γνώμῃ δεδουλωμένος. ὡς δὲ ὁμοῦ ἤδη ἦν τὰ στρατόπεδα, ἐνταῦθα παριππεύων πάντῃ Ἀλέξανδρος, παρεκάλει ἄνδρας ἀγαθοὺς γίγνεσθαι· οὐ τῶν ἡγεμόνων μόνον τὰ ὀνόματα ξὺν τῷ πρέποντι κόσμῳ ἀνακαλῶν, ἀλλὰ καὶ ἰλάρχας καὶ λοχαγοὺς ὀνομαστί· καὶ τῶν ξένων τῶν μισθοφόρων, ὅσοι κατ' ἀξίωσιν, ἤ τινα ἀρετὴν γνωριμώτεροι ἦσαν. καὶ αὐτῷ πανταχόθεν βοὴ ἐγένετο, μὴ διατρίβειν, ἀλλὰ ἐσβάλλειν ἐς τοὺς πολεμίους. ἦγε δὲ ἐν τάξει ἔτι τὰ μὲν πρῶτα, καίπερ ἐν ἀπόπτῳ ἤδη ἔχων τὴν Δαρείου δύναμιν, βάδην, τοῦ μὴ διασπασθῆναί τι ἐν τῇ ξυντονωτέρᾳ πορείᾳ κυμῆναν τῆς φάλαγγος. ὡς δὲ ἐντὸς βέλους ἐγίγνοντο, πρῶτοι δὴ οἱ κατ' Ἀλέξανδρον, καὶ αὐτὸς Ἀλέξανδρος ἐπὶ τοῦ δεξιοῦ τεταγμένος, δρόμῳ ἐς τὸν ποταμὸν ἐνέβαλλον, ὡς τῇ τε ὀξύτητι τῆς ἐφόδου ἐκπλῆξαι τοὺς Πέρσας, καὶ τοῦ θᾶσσον ἐς χεῖρας ἐλθόντας, ὀλίγα πρὸς τῶν τοξοτῶν βλάπτεσθαι. καὶ ξυνέβη ὅπως εἴκασεν Ἀλέξανδρος. εὐθὺς γὰρ ὡς ἐν χερσὶν ἡ μάχη ἐγένετο, τρέπονται τοῦ Περσικοῦ στρατεύματος οἱ τῷ ἀριστερῷ κέρατι ἐπιτεταγμένοι· καὶ ταύτῃ μὲν ἐνίκα λαμπρῶς Ἀλέξανδρός τε καὶ οἱ ἀμφ' αὐτόν· οἱ δὲ Ἕλληνες οἱ μισθοφόροι, οἱ σὺν Δαρείῳ, ᾗ διέσχε τῶν Μακεδόνων ἡ φάλαγξ, ὡς ἐπὶ τὸ δεξιὸν κέρας παραρραγεῖσα, (ὅτι Ἀλέξανδρος μὲν σπουδῇ ἐς τὸν ποταμὸν ἐμβαλὼν, καὶ ἐν χερσὶ τὴν μάχην ποιήσας, ἐξώθει ἤδη τοὺς ταύτῃ τεταγμένους τῶν Περσῶν· οἱ δὲ κατὰ μέσον τῶν Μακεδόνων, οὔτε τῇ ἴσῃ σπουδῇ ἥψαντο τοῦ ἔργου, καὶ πολλαχῇ κρημνώδεσι ταῖς ὄχθαις ἐντυγχάνοντες, τὸ μέτωπον τῆς φάλαγγος οὐ δυνατοὶ ἐγένοντο ἐν τῇ αὐτῇ τάξει διασώσασθαι) ταύτῃ ἐμβάλλουσιν οἱ Ἕλληνες τοῖς Μακεδόσιν, ᾗ μάλιστα διεσπασμένην αὐτοῖς τὴν φάλαγγα κατεῖδον. καὶ τὸ ἔργον ἐνταῦθα καρτερὸν ἦν, τῶν μὲν ἐς τὸν ποταμὸν ἀπώσασθαι τοὺς Μακεδόνας, καὶ τὴν νίκην τοῖς ἤδη φεύγουσι σφῶν ἀνασώσασθαι· τῶν Μακεδόνων δὲ, τῆς τε Ἀλεξάνδρου ἤδη φαινομένης εὐπραγίας μὴ λειφθῆναι, καὶ τῆς δόξης τῆς φάλαγγος, ὡς ἀμάχου δὴ ἐς τὸ τότε διαβεβοημένης, μὴ ἀφανίσαι.

A Anthebuſiam,cui Peridas Meneſthei filius, & Lagæam,cui Pantordanus Cleandri filius præerant,vt ad dextrum latus clam hoſtibus ſe recipiant iubet. Sagittariis etiam, ac parte Agrianorum, & Græcorũ mercede conductorum nonnullis,ad dextrum ſuum cornu ex aduerſo traductis,phalangẽ vltra Perſarum cornu extendit. Quum enim ij qui ad pedẽ montis diſpoſiti erant non deſcenderent, excurſione Agrianorum ac nonnullorum ſagittariorum Alexãdri iuſſu in ipſos facta, facilè à radice montis propulſi ad B cacumen confugerunt. Viſum etiam ipſi eſt, eos quos illis ea ex parte oppoſuerat,ad corroborandã phalangem vſui eſſe poſſe. ſatiſq; eſſe ſi trecenti equites illis opponerentur. Hoc *modo diſpoſitis militibus,Alexander aliquandiu quietus ante aciem ſtabat; quòd omnino tardus hoſtium congreſſus fore videretur. Neque enim Darius barbaros loco quo primùm eos conſtituerat,motos,in aduerſum ducebat, ſed in ripis fluminis (quæ magna ex parte præruptæ erant, & qua facilior in illas conſcenſus viſus fuerat, *vallo C ducto munierat) ſeſe continebat. Quod quidem ſtatim Macedonibus argumento fuit, Darium iam ſeruitutem animo concepiſſe. Poſtquam verò acies coniunctæ ſunt, Alexander in omnem exercitus partem obequitans, vt ſtrenuos fortéſque viros ſeſe præbeant, hortatur. neque præcipuos ſolùm copiarum duces ſuis nominibus,* obſeruato decoro,verumetiam tribunos & manipulares nominatim compellabat: & ex mercenariis qui aut titulo, aut rerum geſtarũ glo-D ria illuſtriores eſſent. Hic clamor vndique ſublatus eſt, abrumpendam moram, in hoſtes ruendum. Alexander tametſi iam Darij exercitum in conſpectu haberet; ſenſim tamen initio acies ſuas duxit,ne nimia cõtentione feſtinationéq; inceſſus, fluctuans phalanx diſſiparetur. Poſteaquã verò intra teli iactũ ventũ eſt, primi qui circa Alexãdrũ erãt, ipſéq; Alexander in dextro cornu ſubſiſtẽs, curſu in flumẽ feruntur: vt ferocitate ingreſſus Perſæ perculſi, nõ ita promptè ad manus venientes, parũ damni miſſis ſagittis inferre E poſſent. quod quidẽ ita vt Alexãder cogitarat euenit. Statim enim atque ad manus ventũ eſt, Perſæ qui ad ſiniſtrũ cornu collocati erãt,terga vertũt. In eo cõflictu Alexãder cũ ſuo comitatu illuſtrẽ minimẽq; dubiã victoriã eſt cõſecutꝰ. Græci verò mercenarij, qui à Darij ꝑtibus erãt, qua Macedonũ phalãx diuiſa erat, vtpote in dextrũ cornu flexa (Alexãder enim celeriter amnẽ ingreſſus, & cominus cum hoſte cõgreſſus, facile Perſas ex ea parte poſitos propulſarat. Macedones verò F ĩ medio flumine poſiti nõ pari diligẽtia erãt vſi, ſed editis ac p̃ruptis paſſim ripis impediti, aciei frontẽ eodẽ ordine ſeruare nõ potuerãt) ea parte qua maximè conuulſã phalangẽ ſunt cõſpicati, impetũ in Macedones faciũt. Acris ibi pugna miſcetur, Perſis quidẽ, Macedonas in flumẽ repellere, & victoriã fugiẽtibus iã ſuis recuperare nitẽtibꝰ: Macedonibꝰ cõtra, ne manifeſtę Alexãdri victorię deeſſet, aut phalãgis gloriã, quæ vt inuicta tũ temporis omnium ore celebrabatur, imminuerẽt,

Fac. Hoc modò inſtructos pro tẽpore milites ſuos Alex. pedetẽtim in hoſtẽ ducebat ex quo apparebat, facilem victoriam fore.

Fac. Foſſis.

Fac. Cũ magnò honore verborũ.

Adhæc æmulatio quædam contẽtióque de honore Græcanicæ nationi cum Macedonibus intercedebat. In eo conflictu Ptolemæus Seleuci filius re fortiter geſta, aliíque nõ obſcuri nominis Macedones viginti numero ceciderunt. Dum hæc geruntur, cohortes quæ ad dextrum cornu erant, quum iam Perſas ſibi oppoſitos in fugam verſos viderent, in exteros Darij mercede cõductos, & inualidos maléque affectos conuerſi, eos à flumine propellunt. atque eam Perſici exercitus partem quæ diuulſa erat, phalange circumuenietes, è trãſuerſo in eos feruntur, ſtragémque exterorum edunt. Porro equites Perſæ qui Theſſalis oppoſiti erant, nequaquã ſe in hoc conflictu in flumine continebãt, ſed eo fortiter atque animoſè tranſmiſſo, in Theſſalicas turmas inuehuntur. Atrox ibi equeſtre prælium commiſſum eſt. neque prius Perſæ terga verterunt, quàm Darium fugiſſe cognoſcerent, aut antequam mercenarios ſuos à phalange diſſipatos cæſóſque eſſe intelligerent. Tum verò manifeſta, & quidem totius exercitus fuga fit. Perſarum equi, quòd ſeſſores grauiter armatos ferrent, multum incommodi acceperunt: ipſique equites, quũ per anguſta viarũ confertim, metu exagitati, nullo ordine ruerẽt, non minore damno, protriti à ſuis, quàm ab hoſtibus inſequentibus ſunt affecti. Theſſali enim acriter à tergo premebant, adeò vt haud minor equitum quàm peditum ſtrages in fuga edita fuerit. Darius verò, *quemadmodum ſibi initio ab Alexandro ad ſiniſtrum cornu metuerat, quum diſſipatum ea parte exercitum vidit, confeſtim inſcẽſo, vt potuit, curru, cum *primariis fugit. Et quandiu planis atque apertis locis in fuga vti licuit, curru ſibi ſalutem quæſiuit. Vbi autem in prærupta loca aliáſque viarum difficultates incidit, deſerto curru & ſcuto, exutáque cidari, arcu etiam in curru relicto, conſcenſo equo fugit. Nox non multo pòſt ſuperueniens obſtitit, quominus ab Alexandro caperetur. Alexander enim dum adhuc lux eſſet, ad exercitum reuerſus, currum Darij, eiúſque ſcutum & cidarim atque arcum cepit. Paulo enim tardius eum inſequi cœperat, quòd in prima illa phalangis diſſipatione ipſe etiam ſubſiſtens, non prius ad inſequendum ſe conuerterit, quàm exteros mercenarios, Perſicúmque equitatum à flumine repulſos conſpexit. E Perſis cecidêre Arſaces, Reomithres & Atizyes, ex iis qui apud Granicum equitatum duxerant. Sabaces etiam AEgypti ſatrapa, & Bubaces, magni inter Perſas nominis. præter hos, ingens multitudo ad centum millia, atque in his, equitum decem millia. Ptolemæus Lagi filius, qui tum temporis Alexandrum cum ſuis Darium inſequentem comitatus erat, autor eſt, quum inſtructa phalange inſequerentur, ſuper ſtrata hoſtium cadauera phalangem tranſiſſe. Poſt hæc caſtra Darij primo impetu capta ſunt, atque in iis mater Darij & vxor, ſoror etiam ac filius adhuc

Vel, Simulatque cornu ipſius ſiniſtrum ab Alexãdro fuſum eſt, atque ita abruptum à reliquo exercitu vidit. Fac. Cum iis qui proximi erant.

A καί τι καὶ τοῖς γένεσι, τοῦ τε Ἑλληνικοῦ καὶ τοῦ Μακεδονικοῦ, φιλοτιμίας ἐνέπεσεν ἐς ἀλλήλους· καὶ ἐνταῦθα πίπτει Πτολεμαῖός τε ὁ Σελεύκου, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ἄλλοι ἐς εἴκοσι μάλιστα καὶ ἑκατὸν, τῶν οὐκ ἠμελημένων Μακεδόνων. ἐν τούτῳ δὲ αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τάξεις, τετραμμένους ἤδη τοὺς κατὰ σφᾶς τῶν Περσῶν ὁρῶντες, ἐπὶ τοὺς ξένους τε τοὺς μισθοφόρους τοὺς Δαρείου, καὶ τὸ πονούμενον σφῶν ἐπικάμψαντες, ἀπὸ τοῦ ποταμοῦ ἀπώσαντο αὐτούς· καὶ κατὰ τὸ παρερρωγὸς τοῦ Περσικοῦ στρα- B τεύματος ὑπερφαλαγγήσαντες, ἐς τὰ πλάγια ἐμβεβληκότες ἤδη, ἔκοπτον τοὺς ξένους· καὶ οἱ ἱππεῖς δὲ οἱ τῶν Περσῶν κατὰ τοὺς Θεσσαλοὺς τεταγμένοι, οὐκ ἔμειναν ἐντὸς τοῦ ποταμοῦ ἐν αὐτῷ τῷ ἔργῳ, ἀλλ' ἐπιδιαβάντες εὐρώστως ἐνέβαλλον εἰς τὰς ἴλας τῶν Θετταλῶν· καὶ ταύτῃ ξυνέστη ἱππομαχία καρτερά· οὐδὲ πρόσθεν ἐνέκλιναν οἱ Πέρσαι, πρὶν Δαρεῖόν τε πεφευγότα ᾔσθοντο, καὶ πρὶν ἀπορραγῆναι σφῶν τοὺς μισθοφόρους συγκοπέντας ὑπὸ τῆς φάλαγγος. τότε δὲ ἤδη λαμπρά τε καὶ ἐκ πάντων ἡ φυγὴ ἐγίγνε- C το· καὶ οἵ τε τῶν Περσῶν ἵπποι ἐν τῇ ἀναχωρήσει ἐκακοπάθουν, βαρέως ὡπλισμένους τοὺς ἐμβάτας σφῶν φέροντες, καὶ αὐτοὶ οἱ ἱππεῖς κατὰ στενὰς ὁδοὺς, πλήθει τε πολλοὶ, καὶ πεφοβημένως, σὺν ἀταξίᾳ ἀποχωροῦντες, οὐ μεῖον ὑπ' ἀλλήλων καταπατούμενοι, καὶ πρὸς τῶν διωκόντων πολεμίων ἐβλάπτοντο. καὶ οἱ Θεσσαλοὶ εὐρώστως αὐτοῖς ἐπέκειντο· ὥστε οὐ μεῖον ἢ ὡς πεζῶν φόνος ἐν τῇ φυγῇ τῶν ἱππέων ἐγίγνετο.

Δαρεῖος δὲ, ὡς αὐτῷ τὸ πρῶτον ὑπ' Ἀλεξάνδρου ἐφοβήθη τὸ κέρας τὸ εὐώνυμον, καὶ ταύτῃ ἀπορρη- D γνύμενον κατεῖδε τοῦ ἄλλου στρατοπέδου, εὐθὺς, ὡς εἶχεν, ἐπὶ τοῦ ἅρματος σὺν τοῖς πρώτοις ἔφευγε· καὶ ἔστε μὲν ὁμαλοῖς χωρίοις ἐν τῇ φυγῇ ἐτύγχανεν, ἐπὶ τοῦ ἅρματος διεσώζετο. ὡς δὲ φάραγξί τε καὶ ἄλλαις δυσχωρίαις ἐνέκυρσε, τὸ μὲν ἅρμα ἀπολείπει αὐτοῦ καὶ τὴν ἀσπίδα, καὶ τὸν κάνδυν ἐκδύς· ὁ δὲ καὶ τὸ τόξον ἀπολείπει ἐπὶ τοῦ ἅρματος· αὐτὸς δὲ ἵππου ἐπιβὰς ἔφευγε. καὶ ἡ νὺξ οὐ διὰ μακροῦ ἐπιγινομένη ἀφείλετο αὐτὸν, τὸ πρὸς Ἀλέξανδρον ἁλῶναι. Ἀλέξανδρος γὰρ, ἔστε μὲν φάος ἦν, ἐς τὸ E ἔμπαλιν ἀπετρέπετο ὡς ἐπὶ τὸ στρατόπεδον. τὸ μέντοι ἅρμα τὸ Δαρείου ἔλαβε, καὶ τὴν ἀσπίδα ἐπ' αὐτοῦ, καὶ τὸν κάνδυν, καὶ τὸ τόξον. καὶ γὰρ καὶ ἡ δίωξις βραδυτέρα αὐτῷ ἐγεγόνει, ὅτι ἐν τῇ πρώτῃ παραρρήξει τῆς φάλαγγος ἐπιστρέψας καὶ αὐτὸς, οὐ πρόσθεν ἐς τὸ διώκειν ἐτράπετο, πρὶν τούς τε μισθοφόρους τοὺς ξένους καὶ τὸ τῶν Περσῶν ἱππικὸν ἀπὸ τοῦ ποταμοῦ ἀπωσθέντας κατεῖδε. τῶν δὲ Περσῶν ἀπέθανον μὲν Ἀρσάκης καὶ Ῥεομίθρης καὶ Ἀτιζύης, τῶν ἐπὶ Γρανικῷ ἡγησαμένων τοῦ ἱππικοῦ· ἀποθνήσκει δὲ καὶ Σα- F βάκης ὁ Αἰγύπτου σατράπης, καὶ Βουβάκης, τῶν ἐντίμων Περσῶν. τὸ δὲ ἄλλο πλῆθος, εἰς δέκα μάλιστα μυριάδας· καὶ ἐν τούτοις, ἱππεῖς ὑπὲρ τοὺς μυρίους· ὥστε λέγει Πτολεμαῖος ὁ Λάγου, ξυνεπισπόμενος τότε Ἀλεξάνδρῳ, τοὺς μετὰ σφῶν διώκοντας Δαρεῖον, ὡς ἐπὶ φάραγγί τινι ἐν τῇ διώξει ἐγένοντο, ἐπὶ τῶν νεκρῶν διαβῆναι τὴν φάραγγα. τότε στρατόπεδον τὸ Δαρείου εὐθὺς ἐξ ἐφόδου ἑάλω, καὶ ἡ μήτηρ, καὶ ἡ γυνή, αὐτὴ δὲ καὶ ἡ ἀδελφὴ Δαρείου, καὶ υἱὸς Δαρείου

νήπιος. καὶ θυγατέρες δύο ἑάλωσαν, καὶ ἄλλαι ἀμφ' αὐτὰς Περσῶν τῶν ὁμοτίμων γυναῖκες οὐ πολλαί. οἱ γὰρ ἄλλοι Πέρσαι τὰς γυναῖκας σφῶν ξὺν τῇ ἄλλῃ κατασκευῇ ἐς Δαμασκὸν ἔτυχον ἐσταλκότες. ἐπεὶ καὶ Δαρεῖος τῶν τε χρημάτων τὰ πολλὰ, καὶ ὅσα ἄλλα μεγάλῳ βασιλεῖ ἐς πολυτελῆ δίαιταν καὶ στρατευομένῳ ὅμως συνέπεται, πεπόμφει ἐς Δαμασκόν· ὥστε ἐν τῷ στρατεύματι οὐ πλείονα τρισχίλια τάλαντα ἑάλω. ἀλλὰ καὶ τὰ ἐν Δαμασκῷ χρήματα ὀλίγον ὕστερον ἑάλω ὑπὸ Παρμενίωνος, ἐπ' αὐτὸ τοῦτο σταλέντος. τοῦτο τὸ τέλος τῇ μάχῃ ἐκείνῃ ἐγένετο, ἐπὶ ἄρχοντος Ἀθηναίοις Νικοστράτου, μηνὸς Μαιμακτηριῶνος. τῇ δὲ ὑστεραίᾳ, καίπερ τετρωμένος τὸν μηρὸν Ἀλέξανδρος ξίφει, ὅμως δὲ τοὺς τραυματίας ἐπῆλθε, καὶ τοὺς νεκροὺς ξυναγαγὼν, ἔθαψε μεγαλοπρεπῶς, σὺν τῇ δυνάμει πάσῃ ἐκτεταγμένῃ ὡς λαμπρότατα ἐς πόλεμον. καὶ λόγῳ τε ἐπεκόσμησεν οἷς τι διαπρεπὲς ἔργον ἐν τῇ μάχῃ ἢ αὐτὸς ξυνέγνω εἰργασμένον, ἢ ἀκοῇ συμφωνούμενον ἔλαβε, καὶ χρημάτων ἐπιδόσει ὡς ἑκάστους σὺν τῇ ἀξίᾳ ἐτίμησε. καὶ Κιλικίας μὲν ἀποδεικνύει σατράπην Βάλακρον τὸν Νικάνορος, ἕνα τῶν σωματοφυλάκων τῶν βασιλικῶν· ἀντὶ δὲ τούτου ἐς τοὺς σωματοφύλακας κατέλεξε Μένητα τὸν Διονυσίου· ἀντὶ δὲ Πτολεμαίου τοῦ Σελεύκου, τοῦ ἀποθανόντος ἐν τῇ μάχῃ, Πολυπέρχοντα τὸν Σιμμίου ἄρχειν ἀπέδειξε τῆς ἐκείνου τάξεως. καὶ Σολεῦσι τά τε πεντήκοντα τάλαντα, ἃ ἔτι ἐνδεᾶ ἦν ἐκ τῶν ἐπιβληθέντων σφίσι χρημάτων, ἀνῆκε, καὶ τοὺς ὁμήρους ἀπέδωκεν. ὁ δὲ οὐδὲ τῆς μητρὸς τῆς Δαρείου, οὐδὲ τῆς γυναικὸς ἢ τῶν παίδων ἠμέλησεν· ἀλλὰ λέγουσι τινὲς τῶν τὰ Ἀλεξάνδρου γραψάντων, τῆς νυκτὸς αὐτῆς ἣ ἀπὸ τῆς διώξεως τῆς Δαρείου ἐπανῆκεν, ἐς τὴν σκηνὴν παρελθόντα αὐτὸν τὴν Δαρείου, ἥτις αὐτῷ ἐξῃρημένη ἦν, ἀκοῦσαι γυναικῶν οἰμωγὴν καὶ ἄλλον τοιοῦτον θόρυβον οὐ πόῤῥω τῆς σκηνῆς. πυθέσθαι οὖν αἵτινες γυναῖκες, καὶ ἀνθ' ὅτου οὕτως ἐγγὺς παρασκηνοῦσαι. καί τινα ἐξαγγεῖλαι, ὅτι, ὦ βασιλεῦ, ἡ μήτηρ τε καὶ ἡ γυνὴ Δαρείου καὶ οἱ παῖδες, ὡς ἐξηγγέλθη αὐταῖς ὅτι τὸ τόξον τε τοῦ Δαρείου ἔχεις, καὶ τὴν κάνδυν τὴν βασιλικὴν, καὶ ἡ ἀσπὶς ὅτι κεκόμισται ὀπίσω ἡ Δαρείου, ὡς ἐπὶ τεθνεῶτι Δαρείῳ ἀνοιμώζουσιν. ταῦτα ἀκούσαντα Ἀλέξανδρον, πέμψαι πρὸς αὐτὰς Λεοννάτον, ἕνα τῶν ἑταίρων, ἐντειλάμενον φράσαι ὅτι ζῇ Δαρεῖος· τὰ δὲ ὅπλα καὶ τὴν κάνδυν ὅτι φεύγων ἀπέλιπεν ἐπὶ τῷ ἅρματι, καὶ ταῦτα ὅτι μόνον ἔχει Ἀλέξανδρος. καὶ Λεοννάτον παρελθόντα ἐς τὴν σκηνὴν, τά τε περὶ Δαρείου εἰπεῖν, καὶ ὅτι τὴν θεραπείαν αὐταῖς ξυγχωρεῖ Ἀλέξανδρος τὴν βασιλικὴν, καὶ τὸν ἄλλον κόσμον καὶ καλεῖσθαι βασιλίσσας. ἐπεὶ οὐδὲ κατὰ ἔχθραν οἱ γενέσθαι τὸν πόλεμον τὸν πρὸς Δαρεῖον, ἀλλ' ὑπὲρ τῆς ἀρχῆς τῆς Ἀσίας διαπεπολεμῆσθαι ἐννόμως. ταῦτα μὲν Πτολεμαῖος καὶ Ἀριστόβουλος λέγουσι. λόγος δὲ ἔχει, καὶ αὐτὸν Ἀλέξανδρον τῇ ὑστεραίᾳ ἐλθεῖν εἴσω ξὺν Ἡφαιστίωνι μόνῳ τῶν ἑταίρων, καὶ τὴν μητέρα τὴν Δαρείου, ἀμφιγνοήσασαν ὅστις ὁ βασιλεὺς εἴη αὐτοῖν (ἐστάλθαι γὰρ ἄμφω τῷ αὐτῷ κόσμῳ) τὴν δὲ Ἡφαιστίωνι προσελθεῖν, καὶ προσκυνῆσαι, ὅτι μείζων ἐφάνη ἐκεῖνος. ὡς δὲ ὁ Ἡφαιστίων τε ὀπίσω ὑπεχώρησε, καί τις τῶν ἀμφ' αὐτὴν, τὸν Ἀλέξανδρον δείξας,

A infans. Dux prætérea eius filiæ captæ, & circum eas aliæ principum virorum vxores nõ multæ. Alij enim Perſæ vxores ſuas cum impedimentis Damaſcum miſerant. ſiquidem & Darius maiorem pecuniarum partem, & quæcunque ad ſplendidum magnificúmq; apparatum pertinentia reges etiam militantes comitari ſolent, Damaſcum miſerat. adeò vt in exercitu vltra tria millia talentorum inuenta non fuerint. Cæterum omnis ea pecunia paulo poſt Damaſci capta eſt à Parmenione, eam ad rem ab Alexandro miſſo. B Hic prælij exitus fuit, archonte Athenis Nicoſtrato, menſe *Ianuario. Poſtero die Alexander, quanuis *æger adhuc è vulnere quod in femore exceperat, ſaucios tamen obiuit, & cæſorum corporibus conquiſitis, magnificè ea ſepeliuit, vniuerſo exercitu in acie ſtante, & bellicas vniuſcuiuſque laudes, quę vel ipſe preclarum aliquod facinus in pugna patrantem viderat, vel patraſſe conſtanti fama acceperat, verbis ornauit, & pecuniarum largitione ſingulos pro ſuo merito dignitatéque honeſtauit. Poſthæc Balacrum Nicanoris filium Ciliciæ ſatrapam deſignat. is C vnus ex regiis corporis cuſtodibus erat: cuſtodiæ autem corporis in eius locum ſuffecit Menetem Dionyſij filiũ. Polyperchonti Simæi filio, agmẽ Ptolemæi Seleuci filij (qui in prælio ceciderat) ducendũ dat. Solenſib⁹ quinquaginta talenta, quæ adhuc reliqua erãt ex ſumma quã iis imperarat, remittit, & obſides reddit. Neq; verò matris Darij, neque vxoris & filiorũ curam omiſit. Nonnulli enim qui de rebus geſtis Alexandri ſcri- D bunt, autores ſunt, eadem ipſa nocte qua ab inſequendo Dario redierat, quũ in tabernaculum Darij, quod ipſi ſelectũ aſſeruatúmque erat, intraſſet, muliebrem eiulatum atque alium quendã tumultũ audiſſe nõ procul à tabernaculo, ac quęſiuiſſe quęnã eſſent hę mulieres, & cur in tã vicino tabernaculo: ſtatímq; renũtiaſſe quempiã, Mater Darij, ô » rex, eiúſque vxor & liberi, vt nuntiatum illis » fuit te & arcũ & *cidarim regiã habere, po- » ſteáque etiam ſcutum Darij allatũ eſſe, tan- » E quam mortuo Dario eiulatus edunt. Alexandrum ea re cognita, Leonnatum, vnum ex amicis, ad eas miſiſſe, iuſſum dicere, Darium ſuperſtitem eſſe. Arma verò & amiculum ab illo fugiente in curru relicta eſſe, ea ſolũm penes Alexandrum eſſe. Leonnatum tabernaculum ingreſſum, Darij ſtatum expoſuiſſe, præterea vt regio etiam cultu famulatúque illis vti liceret, reginæque appellarentur, ab Alexandro illis concedi. Neque enim inimicitiarum cauſa ſibi aduerſus Darium bellum ſuſceptum, ſed pro im- F perio Aſiæ legitimè decertaſſe. Hæc quidẽ Ptolemæus & Ariſtobulus tradunt. Fama verò tenet Alexandrũ ipſum poſtero die tabernaculũ Darij, ſolo cum ex amicis Hephæſtione comitãte, ingreſſum: & matrem quidem Darij dubitantẽ vter eorum rex eſſet (pari enim vterque corporis cultu erat) ad Hephæſtionem acceſſiſſe, cúmque *veneratã eſſe, quòd ille *habitu corporis prẽſtare videretur. Qui quum retroceſſiſſet, & quidã aſtantium, quis eſſet Alexãder, monſtraſſet,

Curt. Humos rigebat gelu.
Curt. Dextrum femur leuiter mucrone perſtrictũ.
Curt. Amiculũ.
Curt. Suo more veneratæ ſunt.
Curt. Habitu corporis præſtabat.

illam "errato pudefactam receſſiſſe, Alexandrum, "nullum erratum eſſe, reſpōdiſſe. nam & illum Alexandrum eſſe. Atque hæc quidem, non vt vera, ſed neque vt planè incredibilia, adſcripſi. Sed ſi ita geſta ſunt, Alexandrū tum ob eam qua in fœminas vſus eſt commiſerationem, tum ob fidem & honorem amico præſtitum, laudo. "& ſi ſcriptoribus hiſtoriarum appoſitus viſus eſt Alexāder ad hæc & facienda & dicenda, eo etiam nomine illum laudo.

Curt. Ignoratio neca nunquā antea vili regis exculans.
Curt. Non erraſti,inquit, mater. Nam & hic Alexander eſt.

Fac. Qui,etiamſi ficta eſſent, & rerum ipſarum ſcriptoribus veriſim. viderētur, ob id quoque Alex. laudandum putarem.

Darius noctu paucis comitatus fugerat: poſtridie verò recolligens Perſas exteróſq;, qui ex eo prælio euaſerant, "quatuor in vniuerſum millia habens, ad Thapſacum vrbē & Euphratē cum equitatu cōtendit, vt quācitiſſimè poſſet Euphratē inter ſe atq; Alexandrū mediū relinqueret. Amyntas porro Antiochi fili⁹, & Thymodes Mentoris filius, & Ariſtomedes Pherçus, & Bianor Acarnan, omnes trāsfugæ, ſtatim, ita vt per montes diſpoſiti erant, fugientes Tripolim Phœniciæ peruenerunt, octo circiter militū millia habentes: ibi ſumtis nauibus recens in nauale ſubductis, quibus antea è Lesbo tranſuecti fuerant, tot ac ſibi ad vecturam ſufficere viderentur in mare protractis: reliquiſque in nauali ſuccenſis, ne celeriter eos inſequendi facultatem ſuppeditarent, in Cyprum fugerunt, atque inde in AEgyptum. vbi paulo pòſt Amyntas res nouas moliens ab incolis interfectus eſt. Pharnabazus autem & Autophradates aliquandiu apud Chium morā fecerunt: præſidióque in inſula collocato, nonnullis in Con atque Halicarnaſſum nauibus miſſis, ipſi centum nauibus optimè ad nauigandum comparatis Siphnum appellunt. Eo loci Agis Lacedæmoniorum rex vna triremi ad eos venit, pecuniam in vſus belli, & copias nauales ac pedeſtres, quammaximas poſſet, in Peloponneſum ducendas petiturus. Inter hæc nuntius adfertur prælij apud Iſſum commiſſi. Quo nuntio perculſi, Pharnabazus quidem cum duodecim triremibus, atque exterorum mercenariorum mille quingentis, Chium repetit: veritus ne audita clade Chij defectionem molirentur. Agis, acceptis ab Autophradate talentis argenti triginta, triremibus decem, has quidem Hippiæ ad Ageſilaum fratrem ſuum ducendas tradit, mandatis additis, vt perſoluto nautis integro ſtipendio, quamcitiſsimè poſſit in Cretam nauiget, ad res illius inſulæ conſtituendas. Ipſe in iis inſulis aliquandiu commoratus, paulo pòſt Halicarnaſſum ad Autophradatem abiit.

Curt. Vbi excepere eum Græcorum quatuor millia.

Alexander, "Syriæ, quam Cœlen vocant, Memnonem Cerdiman ſatrapam conſtituit, equitatu auxiliariorum ipſi in præſidiū prouinciæ commiſſo: ipſe in Phœniciam profectus eſt: & in itinere obuium habuit Stratonem Geroſtrati filium, (erat is Geroſtratus Aradiorum, & quotquot Arado inſulæ finitimi ſunt, rex, qui quidem, vt & alij Phœnicum ac Cypriorum reges,

Curt. Syriæ, quā Cœlen vocant, præfecit. Sed in hoc diſſentit, quòd Parmenionem præfectum dicit.

A ἐκεῖνον ἔφη εἶναι Ἀλέξανδρον, τὴν μὲν καταιδεσθεῖσαν τῇ διαμαρτίᾳ ἀποχωρεῖν, Ἀλέξανδρον δὲ οὐ φάναι αὐτὴν ἁμαρτεῖν· καὶ γὰρ ἐκεῖνον εἶναι Ἀλέξανδρον. καὶ ταῦτα ἐγὼ οὐχ ὡς ἀληθῆ, οὔτε ὡς πάντη ἄπιστα ἀνέγραψα· ἀλλ' εἴτε οὕτως ἐπράχθη, ἐπαινῶ Ἀλέξανδρον τῆς τε ἐς τὰς γυναῖκας κατοικτίσεως, καὶ τῆς εἰς τὸν ἑταῖρον πίστεως καὶ τιμῆς· εἴτε πιθανὸς δοκεῖ τοῖς ξυγγράψασιν Ἀλέξανδρος, ὡς καὶ ταῦτα ἂν πράξας καὶ εἰπών, καὶ ἐπὶ τῷδε ἐπαινῶ Ἀλέ-
B ξανδρον.

Δαρεῖος δὲ τὴν μὲν νύκτα ξὺν ὀλίγοις τοῖς ἀμφ' αὐτὸν ἔφυγε· τῇ δὲ ἡμέρᾳ ἀναλαμβάνων ἀεὶ τῶν τε Περσῶν τοὺς διασωθέντας ἐκ τῆς μάχης, καὶ τῶν ξένων τῶν μισθοφόρων, ἐς τετρακισχιλίους ἔχων τοὺς πάντας, ὡς ἐπὶ Θάψακόν τε πόλιν καὶ τὸν Εὐφράτην ποταμὸν σπουδῇ ἤλαυνε, ὡς τάχιστα μέσον αὐτοῦ τε καὶ τοῦ Ἀλεξάνδρου τὸν Εὐφράτην ποιῆσαι. Ἀμύντας μὲν ὁ Ἀντιόχου, καὶ Θυμώδης ὁ Μέντορος, καὶ Ἀ-
C ριστομήδης ὁ Φεραῖος, καὶ Βιάνωρ ὁ Ἀκαρνάν, ξύμπαντες οὗτοι αὐτόμολοι μετὰ τῶν ἀμφ' αὐτοὺς στρατιωτῶν ὡς ὀκτακισχιλίων, εὐθὺς ὡς τεταγμένοι ἦσαν κατὰ τὰ ὄρη, φεύγοντες ἀφίκοντο ἐς Τρίπολιν τῆς Φοινίκης· καὶ ἐνταῦθα καταλαβόντες τὰς ναῦς νενεωλκημένας, ἐφ' ὧν πρόσθεν ἐκ Λέσβου διακεκομισμένοι ἦσαν, τούτων ὅσαι μὲν ἱκαναὶ σφίσιν ἐς τὴν κομιδὴν ἐδόκουν, ταύτας καθελκύσαντες, τὰς δὲ ἄλλας αὐτοῦ ἐν τοῖς νεωρίοις κατακαύσαντες, ὡς μὴ
D παρασχεῖν ταχεῖαν σφῶν τὴν δίωξιν, ἐπὶ Κύπρου ἔφυγον· καὶ ἐκεῖθεν εἰς Αἴγυπτον, ἵνα περ ὀλίγον ὕστερον πολυπραγμονῶν τι Ἀμύντας, ἀποθνήσκει ὑπὸ τῶν ἐγχωρίων. Φαρνάβαζος δὲ καὶ Αὐτοφραδάτης τέως μὲν περὶ τὴν Χίον διέτριβον, καταστήσαντες δὲ φρουρὰν τῆς Χίου, τὰς μέν τινας τῶν νεῶν ἐς Κῶ καὶ Ἁλικαρνασσὸν ἔστειλαν, αὐτοὶ δὲ ἑκατὸν ναυσὶ ταῖς ἄριστα πλεούσαις ἀναγόμενοι ἐς Σίφνον, κατέσχον. καὶ παρ' αὐτοὺς ἀφικνεῖται Ἆγις ὁ Λακεδαιμονίων βασιλεὺς ἐπὶ μιᾶς τριήρους, χρήματά τε αἰτήσων ἐς τὸν
E πόλεμον, καὶ δύναμιν ναυτικήν τε καὶ πεζικὴν ὅσην πλείστην ἀξιώσων συμπέμψαι οἱ ἐς τὴν Πελοπόννησον. καὶ ἐν τούτῳ ἀγγελία αὐτοῖς ἔρχεται τῆς μάχης τῆς πρὸς Ἰσσῷ γενομένης. ἐκπλαγέντες δὲ πρὸς τὰ ἐξαγγελθέντα, Φαρνάβαζος μὲν σὺν δώδεκα τριήρεσι, καὶ τῶν μισθοφόρων ξένων ξὺν χιλίοις καὶ πεντακοσίοις, ἐπὶ Χίου ἐστάλη, δείσας μή τι πρὸς τὴν ἀγγελίαν τῆς ἥττης οἱ Χῖοι νεωτερίσωσιν· Ἆγις δὲ παρ' Αὐτοφραδάτου τάλαντα ἀργυρίου λαβὼν τριάκοντα, καὶ τριήρεις δέκα, ταύτας μὲν Ἱππίαν ἄξοντα ἀποστέλλει παρὰ τὸν ἀδελφὸν αὐτοῦ Ἀγησίλαον ἐπὶ Ταίναρον· καὶ πα-
F ραγγέλλειν ἐκέλευσεν Ἀγησιλάῳ, διδόντα τοῖς ναύταις ἐντελῆ τὸν μισθόν, πλεῖν τὴν ταχίστην ἐπὶ Κρήτης, ὡς τὰ ἐκεῖ καταστησόμενον. αὐτὸς δὲ τότε μὲν αὐτοῦ ἐν ταῖς νήσοις ὑπέμενεν, ὕστερον δὲ εἰς Ἁλικαρνασσὸν παρ' Αὐτοφραδάτην ἀφίκετο.

Ἀλέξανδρος δὲ σατράπην μὲν Συρίᾳ τῇ κοίλῃ Μένωνα τὸν Κερδίμμα ἐπέταξε, δοὺς αὐτῷ εἰς φυλακὴν τῆς χώρας τοὺς τῶν συμμάχων ἱππέας· αὐτὸς δὲ ἐπὶ Φοινίκης ᾔει, καὶ ἀπαντᾷ αὐτῷ κατὰ τὴν ὁδὸν Στράτων ὁ Γηροστράτου παῖς, τοῦ Ἀραδίων καὶ τῶν Ἀράδῳ προσοίκων βασιλέως. ὁ δὲ Γηρόστρατος αὐτὸς μετ' Αὐτοφραδάτου ἔπλει ἐπὶ τῶν νεῶν, καὶ οἱ ἄλλοι οἵ τε τῶν Φοινίκων καὶ οἱ τῶν Κυπρίων βασιλεῖς,

καὶ αὐτοὶ Αὐτοφραδάτῃ ξυνέπλεον. Στράτων δὲ Ἀλεξάνδρῳ ἐντυχὼν, στεφανοῖ χρυσῷ στεφάνῳ αὐτὸν, καὶ τήν τε Ἄραδον αὐτῷ τὴν νῆσον καὶ τὴν Μάραθον τὴν καταντικρὺ τῆς Ἀράδου ἐν τῇ ἠπείρῳ ᾠκισμένην, πόλιν μεγάλην καὶ εὐδαίμονα, καὶ Μαριάμμην πόλιν, καὶ τἆλλα ὅσα τῆς σφῶν ἐπικρατείας, ἐνδίδωσιν. ἔτι δὲ ἐν Μαράθῳ Ἀλεξάνδρου ὄντος, ἀφίκοντο παρὰ Δαρείου πρέσβεις, ἐπιστολήν τε κομίζοντες Δαρείου, καὶ αὐτοὶ ἀπὸ γλώσσης δεησόμενοι ἀφεῖναι Δαρείῳ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τοὺς παῖδας. ἐδήλου δὲ ἡ ἐπιστολὴ ὅτι Φιλίππῳ τε πρὸς Ἀρταξέρξην φιλία καὶ συμμαχία ἐγένετο· καὶ ἐπειδὴ Ἄρσης ὁ υἱὸς Ἀρταξέρξου ἐβασίλευσεν, ὅτι Φίλιππος ἀδικίας πρῶτος ἐς βασιλέα Ἄρσην ἦρξεν, οὐδὲν ἄχαρι ἐκ Περσῶν παθών. ἐξ οὗ δὲ αὐτὸς βασιλεύει Περσῶν, οὔτε πέμψαι τινὰ Ἀλέξανδρον παρ' αὐτὸν ἐς βεβαίωσιν τῆς πάλαι οὔσης φιλίας τε καὶ συμμαχίας, διαβῆναι αὐτὸς τὴν χώραν ἀμυνῶν, καὶ τὴν ἀρχὴν τὴν πατρῴαν ἀνασώσων. τὴν μὲν δὴ μάχην, ὡς θεῶν τῳ ἔδοξεν, οὕτω κριθῆναι· αὐτὸς δὲ βασιλεὺς παρὰ βασιλέως γυναῖκά τε τὴν αὐτοῦ αἰτεῖν, καὶ μητέρα καὶ παῖδας τοὺς ἁλόντας, καὶ φιλίαν ἐθέλειν ποιήσασθαι πρὸς Ἀλέξανδρον, καὶ ξύμμαχος εἶναι Ἀλεξάνδρῳ. καὶ ὑπὲρ τούτων πέμπειν ἠξίου Ἀλέξανδρον παρ' αὐτὸν, ξὺν Μενίσκῳ τε καὶ Ἀρσίμᾳ τοῖς ἀγγέλοις, τοῖς ἐκ Περσῶν ἥκουσι, τοὺς τὰ πιστὰ ληψομένους τε ὑπὲρ Ἀλεξάνδρου καὶ δώσοντας.

πρὸς ταῦτα ἀντιγράφει Ἀλέξανδρος, καὶ ξυμπέμπει τοῖς παρὰ Δαρείου ἐλθοῦσι Θέρσιππον, παραγγείλας τὴν ἐπιστολὴν δοῦναι Δαρείῳ, αὐτὸν δὲ μὴ διαλέγεσθαι ὑπὲρ μηδενός. ἡ δὲ ἐπιστολὴ Ἀλεξάνδρου ὧδε ἔχει.

Οἱ ὑμέτεροι πρόγονοι, ἐλθόντες εἰς Μακεδονίαν καὶ εἰς τὴν ἄλλην Ἑλλάδα, κακῶς ἐποίησαν ἡμᾶς, οὐδὲν προηδικημένοι· ἐγὼ δὲ, τῶν Ἑλλήνων ἡγεμὼν κατασταθεὶς, καὶ τιμωρήσασθαι βουλόμενος Πέρσας, διέβην εἰς τὴν Ἀσίαν, ὑπαρξάντων ὑμῶν. καὶ γὰρ Περινθίοις ἐβοηθήσατε, οἳ τὸν ἐμὸν πατέρα ἠδίκουν· καὶ εἰς Θρᾴκην, ἧς ἡμεῖς ἄρχομεν, δύναμιν ἔπεμψεν Ὦχος. τοῦ δὲ πατρὸς ἀποθανόντος ὑπὸ τῶν ἐπιβουλευσάντων, οὓς ὑμεῖς συνετάξατε (ὡς αὐτοὶ ἐν ταῖς ἐπιστολαῖς πρὸς ἅπαντας ἐκομπάσατε) καὶ Ἄρσην ἀποκτείναντός σου μετὰ Βαγώου, καὶ τὴν ἀρχὴν κατασχόντος οὐ δικαίως, οὐδὲ κατὰ τὸν Περσῶν νόμον, ἀλλὰ ἀδικοῦντος Πέρσας, καὶ ὑπὲρ ἐμοῦ πρὸς τοὺς Ἕλληνας γράμματα οὐκ ἐπιτήδεια διαπέμποντος, ὅπως πρός με πολεμῶσι, καὶ χρήματα ἀποστέλλοντος πρὸς Λακεδαιμονίους, καὶ ἄλλους τινὰς τῶν Ἑλλήνων, καὶ τῶν μὲν ἄλλων πόλεων οὐδεμιᾶς δεχομένης, Λακεδαιμονίων τε λαβόντων, καὶ τῶν παρὰ σοῦ πεμφθέντων, τοὺς ἐμοὺς φίλους διαφθειράντων, καὶ τὴν εἰρήνην ἣν τοῖς Ἕλλησι κατεσκεύασα, διαλύειν ἐπιχειρούντων, ἐστράτευσα ἐπί σε, ὑπάρξαντός σου τῆς ἔχθρας. ἐπεὶ δὲ μάχῃ νενίκηκα, πρότερον μὲν τοὺς σοὺς στρατηγοὺς καὶ σατράπας, νῦν δέ σε καὶ τὴν μετὰ σοῦ δύναμιν, καὶ τὴν χώραν ἔχω, τῶν θεῶν μοι δόντων· ὅσοι τῶν μετὰ σοῦ παραταξαμένων μὴ ἐν τῇ μάχῃ ἀπέθανον, ἀλλὰ παρ' ἐμὲ κατέφυγον, τούτων ἐπιμέλομαι, καὶ οὐκ ἄκοντες παρ' ἐμοί εἰσιν, ἀλλ' αὐτοὶ ἑκόντες ξυστρατεύονται μετ' ἐμοῦ. ὡς οὖν ἐμοῦ τῆς Ἀσίας ἁπάσης κυρίου

naues ſuas cum Autophradate cõiunxerat) qui, aurea corona Alexandri capiti impoſita, Aradum inſulam, & Marathum ex aduerſo Aradi in continente ſitam, vrbem magnã atque opulentam, & Mariammen, ceteráque omnia quæ ad ipſorum ditionem pertinebant, ei tradit. Qum̃que adhuc Marathi eſſet Alexander, legati ad eum à Dario venerunt, qui & literas adferebant, & verbis deprecarentur vt Darij matrem, vxorem & liberos dimitteret. Significabat etiam epiſtola amicitiam ac fœdus quod Philippo cum Artaxerxe interceſſiſſet: quódque quum Arſes Artaxerxis filius regnum accepiſſet, Philippus nullo à Perſis incommodo affectus, primus Arſen iniuria laceſſiſſet. Alexandrũ verò, ex eo tempore quo Darius Perſis regnare cœpiſſet, pro confirmanda veteri amicitia ac fœdere nunquam miſiſſe: ſe ditionis ſuæ & auiti imperij tuendi cauſa expeditionem feciſſe. de prælio ita vt alicui deorum viſum fuit, decretum eſſe. Se regem à rege matrem ſuam, vxorem ac liberos captos petere, amicitiam ſe cum Alexandro & ſocietatem initurum venire, eáque de re vt Alexander ad ſe (cum Meniſco & Arſima legatis qui à Perſis venerant) qui fidem acciperent, & Alexandri nomine darent, mitteret rogabat. Alexander ad hæc reſpondet, vnáque cũ legatis, qui à Dario venerãt, Therſippum mittit, iubens vt epiſtolam Dario reddat, ipſe verò nulla de re cum Dario ſermones conferat. Epiſtola Alexãdri hæc fuit,

Curtius, Socius amicúſque eſſet: in eo ſe fidem & dare paratum & accipere.

Maiores veſtri, Macedoniam reliquámque Græciam ingreſſi, damnis nos affecerũt, quum ipſi nulla prius à nobis accepiſſent. Ego Græcorum imperator creatus, Perſarum iniuriam vindicare volens, in Aſiam traieci, à vobis laceſſitus. Siquidem & Perinthiis opem tuliſtis, qui patrem meum iniuria affecerant. Ochus etiam in Thraciam quæ noſtro imperio ſubeſt exercitum duxit. Parente autem meo per inſidiatores quos ipſi ſubornaratis occiſo (quemadmodũ vos literis quoquouerſum miſſis gloriati eſtis) quum tu Arſen cum Bagoo interfici curaſſes, regnúmque iniuſtè & contra Perſarum leges atque inſtituta occupaſſes, ſumma Perſis iniuria illata, literas etiam parum amicas ad Græcos miſiſti quibus eos ad bellũ contra me ſuſcipiendum incitares. quúmque pecunias ad Lacedæmonios, alióſque Græcorum nonnullos miſeris (quas tamen quum reliquæ omnes Græciæ ciuitates contempſiſſent, ſoli Lacedæmonij acceperunt) quũ denique ij qui abs te emiſſi fuerunt, amicos ſocióſque meos corruperint, atque abalienarint, & pacem cum Græcis conſtitutam diſſoluere omnibus modis conati ſint, bellũ tibi intuli, quippe qui inimicitiarũ autor fueris. Quũ autẽ primò ſatrapas tuos belliq; duces, nunc verò te tuúmque exercitũ prælio vicerim, & ditiones tuas, deorum benignitate, in mea poteſtate teneam, quotquot tuarum partium milites ex prælio ſeruati ad me confugerunt, horum curam gero, neque inuiti apud me ſunt, ſed ſua ſponte mecum militant. Ad me igitur, vtpote totius Aſiæ

Curt. Philippũ verò parentem meum quis ignorat ab iis interfectum eſſe, quos ingẽtis pecuniæ ſpe ſolicitauerãt veſtri?

Fac. Bagoi auxilio.

» dominum, veni. At ſi metuis ne, vbi veneris, aliquid tibi abs me acerbi accidat, mitte amicorum tuorum aliquot, qui fidem accipiant. Quum ad me veneris, matrem & vxorem ac liberos, & ſiquid præterea voles poſce atque accipe. quicquid enim à me petieris, impetrabis. De reliquo, quãdo ad me ſcribes, ad Aſiæ regem ſcribere te memineris: neque tanquam ad parem ſcribe, ſed veluti omnium tuarum rerum domino ſignifica ſiquid petas. Sin aliter feceris, ego de te tanquam iniuriam inferente decernam. Si verò, quod ad regni poſſeſſionẽ attinet, contradicis, aliud pro eo prœliũ experiri paratus, ne fugias. Ego enim te, quocũq; loci fueris, adoriar. Atque hæc quidẽ ad Dariũ ſcripſit.

Poſtquam verò cognouit, omnem pecuniam quam Darius per Cophenem Artabazi filiũ Damaſcũ miſerat captam eſſe, Perſas etiam eius pecuniæ cuſtodes, reliquũmque regium apparatum in poteſtatẽ veniſſe, eam Parmenioni Damaſcum reportandam & cuſtodiendam tradidit. Legatos autẽ Græcorum qui ad Darium ante prælium aduenerant, quum etiam captos audiret, ad ſe mitti iuſſit. Hi erant, Euthycles Lacedæmonius, Theſſaliſcus Iſmenij filius, & Dionyſodorus olympionices, Thebani: Iphicrates autem Iphicratis filius, copiarũ dux, Athenienſis. Qui quum ad Alexandrũ adducti eſſent, Theſſaliſcum quidem & Dionyſodorũ (quãuis Thebani eſſent) ſtatim dimiſit, partim commiſeratione Thebarum, tum quòd venia digni viderentur: quippe qui patria ipſorum à Macedonibus direpta euerſáque, & ſibi & patriæ vtilitatem aliquam adferre Darij ac Perſarum adminiculo conarentur. Hęc itáque modeſtè ac leniter de vtroque ſtatuens, Theſſaliſcum quidem priuatim, reuerentia generis adductus (erat enim illuſtri apud Thebanos loco) dimiſit: Dionyſodorum, q' Olympiis viciſſet: Iphicratem verò, ob amorem Athenienſis vrbis, & paternæ memoriæ gloriam. quem, & quum in viuis eſſet, magno ſemper apud ſe in honore habuit, & mortui oſſa Athenas ad propinquos reportari curauit. Cæterùm Euthyclem, quòd Lacedæmonius eſſet, eáque vrbs tum temporis manifeſtas cum Alexãdro inimicitias gereret, quódque ipſe priuatim nihil quod magnopere venia dignum videretur, inueniret, primùm quidem in cuſtodiam (citra vincula tamen) tradidit: poſtea, vt rès magnę proſperè ſucceſſerunt, etiã hunc dimiſit.

E Maratho deinde mouens, Byblum pactionibus traditam capit. Sidonem etiam, Sidoniis ipſis odio Perſarum & Darij eum accerſentibus. Tyrum inde proficiſcẽti, Tyriorum legati obuiam venerunt, à communi miſſi, ſignificãtes Tyrios paratos eſſe, quæ Alexander imperaſſet, facere. Ipſe, laudata & vrbe & legatis (erant enim hi ex principibus ciuitatis cũm alij, tum Tyriorum regis filius. nam rex Azelmicus cum Autophradate nauigabat) iuſſit vt reuerſi Tyriis renuntiarẽt, velle ſe vrbem intrare, Herculi ſacrificaturũ.

Videtur legendum, παλαιότατον ὧν μνήμη ἀνθρ. omniũ vetuſtiſſimũ quorũ humana memoria conſeruatur.

Eſt enim in ea vrbe templum Herculis, cuius vetuſtatem humana memoria conſeruat, non Ar-

A ὄντι τις, ἧκε πρὸς ἐμέ. εἰ δὲ φοβῇ μὴ ἐλθὼν πάθῃς τι ἐξ ἐμοῦ ἄχαρι, πέμπε τινὰς τῶν φίλων τὰ πιστὰ ληψομένους. ἐλθὼν δὲ πρός με, τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας, καὶ εἰ ἄλλό τι θέλεις, αἴτει καὶ λάμβανε. ὅ, τι γὰρ ἂν πείθῃς ἐμέ, ἔσται σοι. καὶ τοῦ λοιποῦ ὅταν παρ' ἐμὲ, ὡς πρὸς βασιλέα τῆς Ἀσίας πέμπε· μηδὲ ἐξ ἴσου ἐπίστελλε, ἀλλ' ὡς κυρίῳ ὄντι πάντων τῶν σῶν, φράζε εἴ του δέῃ. εἰ δὲ μὴ, ἐγὼ βουλεύσομαι περὶ σοῦ ὡς ἀδικοῦντος. εἰ δ' ἀντιλέγῃς περὶ τῆς βασιλείας, ὑπομείνας ἔτι ἀγώνισαι περὶ αὐτῆς, καὶ B μὴ φεῦγε· ὡς ἐγὼ ἐπί σε πορεύσομαι, οὗ ἂν ᾖς. Πρὸς μὲν Δαρεῖον ταῦτα ἀπέστειλεν.

Ἐπεὶ δὲ ἔμαθε τά τε χρήματα ὅσα σὺν Κωφῆνι τῷ Ἀρταβάζου ἀποπεπόμφει ἐς Δαμασκὸν Δαρεῖος, ὅτι ἑάλωκε, καὶ ὅτι Περσῶν ἀμφ' αὐτὰ ἐγκαταλειφθῆναι σὺν τῇ ἄλλῃ βασιλικῇ παρασκευῇ, ὅτι καὶ οὗτοι ἑάλωσαν· ταῦτα μὲν ὀπίσω κομίσαντα ἐς Δαμασκὸν Παρμενίωνα φυλάσσειν ἐκέλευε· τοὺς δὲ πρέσβεις ἐκ τῶν Ἑλλήνων, οἳ πρὸς Δαρεῖον πρὸ τῆς μάχης ἀφιγμένοι ἦσαν, ἐπεὶ καὶ τούτους ἑαλωκέναι ἔλαβεν, παρ' C αὐτὸν πέμπειν ἐκέλευσεν. ἦσαν δὲ, Εὐθυκλῆς μὲν Σπαρτιάτης, Θεσσαλίσκος δὲ Ἰσμηνίου, καὶ Διονυσόδωρος ὀλυμπιονίκης, Θηβαῖοι· Ἰφικράτης δὲ ὁ Ἰφικράτους, στρατηγὸς, Ἀθηναῖος. καὶ οὗτοι ὡς ἧκον παρ' Ἀλέξανδρον, Θεσσαλίσκον μὲν καὶ Διονυσόδωρον, καίπερ Θηβαίους ὄντας, εὐθὺς ἀφῆκε· τὸ μέν τι, κατοικτίσει τῶν Θηβῶν, τὸ δὲ, ὅτι συγγνωστὰ δεδρακέναι ἐφαίνοντο, ἠνδραποδισμένης ὑπὸ Μακεδόνων τῆς πατρίδος, σφίσιν τε ἥν τινα ἠδύναντο ὠφέλειαν εὑρισκόμενοι, καὶ εἰ δή τινα καὶ τῇ πατρίδι ἐκ D Περσῶν καὶ Δαρείου. ταῦτα μὲν ὑπὲρ ἀμφοῖν ἐπιεικῆ ἐνθυμηθείς· ἰδίᾳ δὲ Θεσσαλίσκον μὲν αἰδοῖ τοῦ γένους ἀφιέναι εἶπεν, ὅτι τῶν ἐπιφανῶν Θηβαίων ἦν· Διονυσόδωρον δὲ, ἐπὶ τῇ νίκῃ τῶν Ὀλυμπίων· Ἰφικράτην δὲ, φιλίᾳ τε τῆς Ἀθηναίων πόλεως, καὶ μνήμῃ τῆς δόξης τοῦ πατρὸς, ζῶντά τε ἀμφ' αὐτὸν ἔχων ἐς τὰ μάλιστα ἐτίμησε, καὶ νόσῳ τελευτήσαντος τὰ ὀστᾶ ἐς τὰς Ἀθήνας τοῖς πρὸς γένους ἀπέπεμψεν. Εὐθυκλέα δὲ, Λακεδαιμόνιόν τε ὄντα, πόλεως περιφανοῦς ἐς ἔχθρας ἐν τῷ τότε, καὶ αὐτὸν οὐδὲν ἰδίᾳ εὑρι- E σκόμενον ἐς ξυγγνώμην, ὅ, τι γε καὶ λόγου ἄξιον, τὰ μὲν πρῶτα ἐν φυλακῇ ἀδέσμῳ εἶχεν· ὕστερον δὲ, ὡς ἐπὶ μεγάλα εὐτύχει, καὶ τοῦτον ἀφῆκεν.

Ἐκ Μαράθου δὲ ὁρμηθεὶς, Βύβλον τε λαμβάνει, ὁμολογίᾳ ἐνδοθεῖσαν, καὶ Σιδῶνα, αὐτῶν Σιδωνίων ἐπικαλεσαμένων, κατὰ ἔχθραν τῶν Περσῶν καὶ Δαρείου. ἐντεῦθεν δὲ προὐχώρει ὡς ἐπὶ Τύρον, καὶ ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβεις Τυρίων, ἀπὸ τοῦ κοινοῦ ἐσταλμένοι, ὡς ἐγνωκότων Τυρίων πράσσειν ὅ, τι ἂν ἐπαγγέλλῃ Ἀλέξανδρος. ὁ F δὲ, τήν τε πόλιν ἐπαινέσας, καὶ τοὺς πρέσβεις (καὶ γὰρ ἦσαν τῶν ἐπιφανῶν ἐν Τύρῳ οἵ τε ἄλλοι, καὶ ὁ τοῦ βασιλέως τῶν Τυρίων παῖς· αὐτὸς δὲ ὁ βασιλεὺς Ἀζέλμικος μετ' Αὐτοφραδάτου ἔπλει) ἐκέλευσεν ἐπανελθόντας φράσαι Τυρίοις, ὅτι ἐθέλοι παρελθὼν ἐς τὴν πόλιν θῦσαι τῷ Ἡρακλεῖ. ἔστι γὰρ ἐν Τύρῳ ἱερὸν Ἡρακλέους, παλαιότ[illegible] μνήμη ἀνθρωπίνη

ατον ὧν

διασώζεται, οὐ τοῦ Ἀργείου Ἡρακλέους, τοῦ τῆς Ἀλκμήνης. πολλαῖς γὰρ γενεαῖς πρότερον τιμᾶται ἐν Τύρῳ Ἡρακλῆς, ἢ Κάδμον ἐκ Φοινίκης ὁρμηθέντα Θήβας κατασχεῖν, καὶ τὴν παῖδα Κάδμῳ τὴν Σεμέλην γενέσθαι· ἐξ ἧς καὶ ὁ τοῦ Διὸς Διόνυσος γίνεται. Διόνυσος μὲν δὴ τρίτος ἂν ἀπὸ Κάδμου εἴη, κατὰ Λάβδακον τὸν Πολυδώρου τοῦ Κάδμου παῖδα. Ἡρακλῆς δὲ ὁ Ἀργεῖος, κατ᾽ Οἰδίποδα μάλιστα τὸν Λαΐου. σέβουσι δὲ καὶ Αἰγύπτιοι ἄλλον Ἡρακλέα, οὐχ ὅνπερ Τύριοι, ἢ Ἕλληνες. ἀλλὰ λέγει Ἡρόδοτος ὅτι τῶν δώδεκα θεῶν Ἡρακλέα ἄγουσιν Αἰγύπτιοι, καθάπερ καὶ Ἀθηναῖοι Διόνυσον τὸν Διὸς καὶ Κόρης σέβουσιν, ἄλλον τοῦτον Διόνυσον· καὶ ὁ Ἴακχος ὁ μυστικὸς τούτῳ τῷ Διονύσῳ, οὐχὶ τῷ Θηβαίῳ, ἐπᾴδεται. ὡς τόν γε ἐν Ταρτησσῷ πρὸς Ἰβήρων τιμώμενον Ἡρακλέα (ἵνα καὶ στῆλαί τινες Ἡρακλέους ὠνομασμέναι εἰσὶ) δοκῶ ἐγὼ τὸν Τύριον εἶναι Ἡρακλέα· ὅτι Φοινίκων κτίσμα ἡ Ταρτησσὸς, καὶ τῷ Φοινίκων νόμῳ ὅ,τε νεὼς πεποίηται τῷ Ἡρακλεῖ τῷ ἐκεῖ, καὶ θυσίαι θύονται. Γηρυόνην δὲ, ἐφ᾽ ὅντινα ὁ Ἀργεῖος Ἡρακλῆς ἐστάλη πρὸς Εὐρυσθέως, τὰς βοῦς ἀπελάσαι τὰς Γηρυόνου, καὶ ἀγαγεῖν ἐς Μυκήνας, οὐδέν τι προσήκειν τῇ γῇ τῶν Ἰβήρων, Ἑκαταῖος ὁ λογοποιὸς λέγει· οὐδὲ ἐπὶ νῆσόν τινα Ἐρύθειαν, ἔξω τῆς μεγάλης θαλάσσης, σταλῆναι Ἡρακλέα· ἀλλὰ τῆς ἠπείρου τῆς περὶ Ἀμπρακίαν τε καὶ Ἀμφιλόχους βασιλέα γενέσθαι Γηρυόνην, καὶ ἐκ τῆς ἠπείρου ταύτης ἀπελάσαι Ἡρακλέα τὰς βοῦς, οὐδὲ τοῦτον φαῦλον ἆθλον τιθέμενον. οἶδα δὲ ἐγὼ καὶ εἰς τοῦτο ἔτι εὔβοτον τὴν ἤπειρον ταύτην, καὶ βοῦς τρέφουσαν καλλίστας· καὶ πρὸς Εὐρυσθέα τῶν μὲν ἐξ ἠπείρου βοῶν κλέος ἀφῖχθαι, καὶ τοῦ βασιλέως τῆς ἠπείρου τὸ ὄνομα τὸν Γηρυόνην, οὐκ ἔξω τοῦ εἰκότος τίθεμαι· τῶν δὲ ἐσχάτων τῆς Εὐρώπης Ἰβήρων, οὔτ᾽ ἂν τοῦ βασιλέως τὸ ὄνομα γινώσκειν Εὐρυσθέα, εἴτε βοῦς καλαὶ ἐν ταύτῃ τῇ χώρᾳ νέμονται· εἰ μή τις Ἥραν τούτοις ἐπάγων, ὡς αὐτὴν ταῦτα Ἡρακλεῖ δι᾽ Εὐρυσθέως ἐπαγγέλλουσαν, τὸ οὐ πιστὸν τοῦ λόγου ἀποκρύπτειν ἐθέλοι τῷ μύθῳ. Τούτῳ Ἡρακλεῖ τῷ Τυρίῳ ἔφη ἐθέλειν θῦσαι Ἀλέξανδρος. ὡς δὲ ἀπηγγέλθη ταῦτα πρὸς τῶν πρέσβεων εἰς τὴν Τύρον, τὰ μὲν ἄλλα ἔδοξε σφίσι ποιεῖν, ὅ,τιπερ ἐπαγγέλλῃ Ἀλέξανδρος, εἰς δὲ τὴν πόλιν μήτε τινὰ Περσῶν μήτε Μακεδόνων δέχεσθαι· ὡς τοῦτο ἔς τε τὰ παρόντα τῷ λόγῳ εὐπρεπέστατον, καὶ ἐς τοῦ πολέμου τὴν κρίσιν (ἄδηλον ἔτι οὖσαν) ἀσφαλέστατον σφίσι γνωσόμενοι. ὡς δὲ ἐξηγγέλθη Ἀλεξάνδρῳ τὰ ἐκ τῆς Τύρου, τοὺς μὲν πρέσβεις πρὸς ὀργὴν ὀπίσω ἀπέπεμψεν· αὐτὸς δὲ ξυναγαγὼν τούς τε ἑταίρους, καὶ τοὺς ἡγεμόνας τῆς στρατιᾶς, καὶ ταξιάρχας καὶ ἰλάρχας, ἔλεξεν ὧδε,

Ἄνδρες φίλοι καὶ ξύμμαχοι, ἡμῖν οὔτε τὴν ἐπ᾽ Αἰγύπτου πορείαν ἀσφαλῆ ὁρῶ, θαλασσοκρατούντων Περσῶν· Δαρεῖόν τε διώκειν, ὑπολειπομένους αὐτήν τε τὴν Τυρίων πόλιν ἀμφίβολον, καὶ Αἴγυπτον, καὶ Κύπρον ἐχομένην πρὸς Περσῶν· οὐδὲ τοῦτο ἀσφαλὲς, ἔς τε τὰ ἄλλα, καὶ μάλιστα δὴ ἐς τὰ Ἑλληνικὰ πράγματα· μή ποτ᾽ ἄρα ἐπικρατήσαντες αὖθις τῶν ἐπὶ θαλάσσῃ χωρίων οἱ Πέρσαι, προχωρησάντων ἡμῶν ξὺν τῇ δυνάμει, ὡς ἐπὶ Βαβυλῶνά τε καὶ Δαρεῖον, αὐτοὶ ξὺν πλείονι στόλῳ μεταγάγοιεν τὸν

giui illius Herculis qui Alcmenæ filius fuit. Multis enim ante ſeculis Tyri colebatur Hercules, quàm Cadmus è Phœnicia profectus Thebas occupaſſet, multóque ante quàm Semele Cadmi filia nata eſſet, ex qua Bacchus Iouis filius. Bacchus enim tertius à Cadmo. Polydorus nanque Cadmi filius, Polydori Labdacus. Hercules verò Argiuus poſt OEdipodem Laij filium vixit. Colunt autē & AEgyptij alium Herculem, diuerſum ab eo quē Tyrij & Græci. Sed Herodotus tradit, AEgyptios Herculem in numero duodecim deorum habere. quemadmodum etiam Athenienſes Bacchum Iouis & Proſerpinæ filium colunt, diuerſum ab hoc Baccho. & Iacchus myſtica huic Baccho, non Thebano illi, canitur. Quapropter Herculē illum qui in Tarteſſo ab Iberis colitur (vbi & columnæ quædam extant Herculeæ dictæ) Tyrium hunc Herculem eſſe cenſuerim. Tarteſſus enim à Phœnicibus condita eſt, & Phœnicum more templum eo loci Herculi structum eſt, & ſacra fiunt. Geryonem verò, aduerſus quē Hercules Argiuus ab Euryſtheo miſſus, vt boues Geryonis abreptos Mycenas duceret, nihil ad Iberorum regionē pertinere Hecatæus fabularum ſcriptor tradit, neque ad inſulam vllam Erythiam in Oceano ſitam miſſum fuiſſe: ſed Geryonem continentis, quæ circa Ambraciam & Amphilochum eſt, regem fuiſſe: atque ex hac continente Herculē boues abduxiſſe, neque paruum hunc etiam laborem iudicaſſe. Neque verò me latet, in hunc vſque diē pinguia in illa continente paſcua eſſe, & opimas boues in ea paſci, & Euryſtheum, quòd ex ea continentē boues haberet, celebrem fuiſſe. neque abſurdum putauerim regem illius continentis Geryonem appellatum fuiſſe: at quòd neq; extremos orbis Iberos, neque regis nomen nouerit Euryſtheus, aut an opimę ea in regione boues naſcantur. niſi quis Iunonem adducēs quæ id Herculi per Euryſtheū denuntiaret, rem abſimilem vero fabulæ inuolucris tegere velit. Huic Herculi Tyrio Alexander ſe ſacrificare velle dixit. Quæ poſtquam à legatis Tyrum perlata ſunt, viſum illis eſt reliqua omnia quæ Alexander imperaſſet facere: cæterum neminē vel Græcorum vel Macedonū in vrbē admittere. quòd illud pro præſenti rerum ſtatu conuenientiſſimū reſponſum eſſe, & quoad euentū belli (qui adhuc incertus erat) tutiſsimū ipſis videretur. Simulac verò Tyriorū reſponſum Alexādro renuntiatū fuit, indignatus, legatos Tyrum reuerti iubet: conuocatíſque amicis & principibus exercitus, & cohortiū turmarúmq; præfectis, ita eos alloquut' eſt,

Expeditionem in Perſas facere (ô amici ac ſocij) parum tutum nobis fore cenſeo, Perſis imperiū maris obtinētibus: & Dariū inſequi, Tyriorum vrbe dubia relicta, Perſíſque AEgyptum ac Cyprum in ſua poteſtate habentibus. idque cum ob alias res, tum ob Gręcię ſtatum, periculoſum fore iudico, ne fortaſſe maritimis oppidis recuperatis, interea dum nos exercitum in Babylonem & Darium ducimus, ipſi maiore claſſe bellum in Græ-

Fac. Hiſtoricus.

Legendum videtur, εἰς τοῦτο ἔτι. & paulo poſt, καὶ πρὸς Εὐρυσθέα.

» ciam transferant: præſertim quum Lacedæmonij apertos ſeſe nobis hoſtes declararint, Athenienſes verò in præſentia metu magis, quàm beneuolentia erga nos ſeſe contineãt. Capta autem Tyro & Phœnicia tota, & naualis apparatus Phœnicum, quo maximo & validiſsimo Perſæ vtuntur, nobis, vt veriſimile eſt, accedet. Neque enim remiges neq; nauium propugnatores Phœnices committent vt tenentibus nobis ipſorum vrbes, ipſi pro aliis periculoſam nauigationem ſubeant. Cyprus præterea vel facilè ſe nobis adiunget, vel claſſe eò miſſa paruo negotio capi poterit. atque ita Macedonum & Phœnicum coniuncta claſſe mare pernauigantes, Cypro etiam ſubacta, firmum maris imperium tenebimus, ſimúlque nobis facilis in AEgyptum expeditio fuerit. AEgypto autem noſtro imperio adiecta, nihil erit quod aut de Græcia aut de rebus domeſticis ſimus ſoliciti. Babylonicam porrò expeditionẽ, pręterquã quod cum rerum domeſticarum ſecuritate, maiore etiam noſtra cum dignitate ſuſcipiemus.

His dictis facilè perſuaſit. Vt verò Tyri oppugnationẽ aggrederetur, diuinitus ipſe monitus fuit: quòd ea ipſa nocte per ſomnum viſus ſibi eſſet Tyriorum muros adoriri, Herculíſque ſpecies ſe obtuliſſet dextram ei porrigentis, atque in vrbẽ introducentis. Quod quidem Ariſtander in hunc modum interpretabatur, Tyrũ magno cum labore captũ iri, quoniam etiam Herculis opera laborioſa fuiſſent. Et certè Tyri expugnatio laborioſa in primis videbatur. Nam & ipſa vrbs, inſula erat, altíſque mœnibus omni ex parte munita, & tum temporis Tyrij mari plurimũ pollebant, quòd nimirum & Perſæ domini maris eſſent, ipsíque præterea Tyrii magnam nauium vim haberent. In his tamen difficultatibus "aggerem ex continente ad vrbem ducere ſtatuit. Portus ipſe erat limoſus, & mare vbi continẽti proximum eſt, vadoſum ac cœnoſum: vbi vrbem ipſam attingit, qua quidẽ parte profundiſsimus traiectus eſt, tres ſummum "vlnas altum eſt. Sed & "magna vis ſaxorum ad manum erat, & ligneę materiæ quam ſaxis inſternebant. "neque difficulter tigna in cœno ſtabiliebãtur, ipſúmq; adeò cœnũ cõpagis loco ſaxa tignis cõmittebat. Magna erat Macedonũ ad opus alacritas, magna etiã Alexandri, qui & præſens erat, & ſingula ipſe deſignabat, atq; alios verbis exſtimulabat, alios appoſitè qui ingẽti quadã contẽtione operi inſtabant, laudibus extollebat. Et ſanè quãdiu ad cõtinentẽ aggerẽ ducebãt, nõ difficulter proceſsit opus. Nã & in exigua maris altitudine & nemine prohibente molẽ iaciebãt. Poſtquã verò in profundiora loca peruẽtũ eſt, atq; ad vrbẽ ipſam appropinquarũt, miſſilib⁹ ab altis muris, nõ citra dãnũ, petebãtur: quia inſtructi non tã ad pugnã quàm ad opus erãt. "Tyrij præterea diuerſis ex partibus triremibus adnauigantes (quippe qui mari potiebãtur) dubiã adhuc aggeris extructionẽ Macedonibus reddebãt. Macedones duas ligneas turres aggeri, qua plurimum in mare productus erat, imponunt, machináſque in ijs diſponunt.

Cur. iaciẽda moles erat quæ vrbem continenti committeret.

Fac. cubitos.
Curt. Magna vis ſax. ad manũ erat.
Fac. Vallum autem difficulter, vtpote in tenaci limo iaciebatur.

Curt. Leuib. nauigiis nõdũ commiſſũ. opus circuire cœperunt.

A πόλεμον ἐς τὴν Ἑλλάδα· Λακεδαιμονίων μὲν ἡμῖν ἐκ τοῦ εὐθέος πολεμούντων, τῆς δὲ Ἀθηναίων πόλεως φόβῳ μᾶλλόν τι ἢ εὐνοίᾳ τῇ πρὸς ἡμᾶς, πρὸς τὸ παρὸν κατεχομένης. ἐξαιρεθείσης δὲ Τύρου, ἥ τε Φοινίκη ἔχοιτο ἂν πᾶσα, καὶ τὸ ναυτικὸν, ὅπερ πλεῖστόν τε καὶ κράτιστον τοῦ Περσικοῦ, τὸ Φοινίκων παρ᾽ ἡμᾶς μεταχωρήσειν εἰκός. οὐ γὰρ ἀνέξονται οἱ ἐρέται, οὐδ᾽ οἱ ἐπιβάται Φοίνικες, ἐχομένων σφίσι τῶν πόλεων, αὐτοὶ ὑπὲρ ἄλλων πλέοντες κινδυνεύειν. Κύπρος δὲ ἐπὶ τῷδε ἢ οὐ χαλεπῶς ἡμῖν προσχωρήσει, ἢ ἐξ ἐπίπλου εὐμαρῶς ληφθήσεται· B καὶ ταῖς τε ἐκ Μακεδονίας ναυσὶ καὶ ταῖς Φοινίσσαις πλεόντων ἡμῶν τὴν θάλασσαν, καὶ Κύπρου ἅμα προσγινομένης, θαλασσοκρατοῖμέν τε ἂν βεβαίως, καὶ ὁ ἐς Αἴγυπτον στόλος εὐμαρῶς ἡμῖν ἐν ταυτῷ γίνεται. Αἴγυπτον δὲ παραστησαμένοις, ὑπέρ τε τῆς Ἑλλάδος καὶ τῆς οἰκείας οὐδὲν ἔτι ὕποπτον ὑπολείπεται. τόν τε ἐπὶ Βαβυλῶνος στόλον μετὰ τοῦ ἐς τὰ οἴκοι ἀσφαλοῦς, καὶ ξὺν μείζονι ἅμα ἀξιώσει ποιησόμεθα, ἀποτετμημένοι τήν τε θάλασσαν Περσῶν ξύμπασαν, καὶ τὴν ἐπὶ τάδε τοῦ Εὐφράτου γῆν.

C Ταῦτα λέγων, οὐ χαλεπῶς ἔπειθεν. ἐπιχειρεῖν δὲ τῇ Τύρῳ θεῖον αὐτὸν ἐπῆρεν, ὅτι ἐνύπνιον αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐδόκει αὐτὸς μὲν τῷ τείχει προσάγειν τῶν Τυρίων, τὸν δὲ Ἡρακλέα δεξιοῦσθαί τε αὐτὸν καὶ ἀνάγειν ἐς τὴν πόλιν. καὶ τοῦτο ἐξηγεῖτο Ἀρίστανδρος, ὡς ξὺν πόνῳ ἁλωσομένην τὴν Τύρον, ὅτι καὶ τὰ τοῦ Ἡρακλέους ἔργα ξὺν πόνῳ ἐγένοντο. καὶ γὰρ καὶ μέγα ἔργον τῆς Τύρου ἡ πολιορκία ἐφαίνετο. νῆσός τε γὰρ αὐτὴ ἡ πόλις ἦν, καὶ τείχεσιν ὑψηλοῖς πάντῃ ὠχύρωτο· καὶ τὰ ἀπὸ θαλάσσης πρὸς τῶν Τυρίων μᾶλλόν τι ἐν τῷ τότε D ἐφαίνετο, τῶν τε Περσῶν ἔτι θαλασσοκρατούντων, καὶ αὐτοῖς τοῖς Τυρίοις νεῶν ἔτι πολλῶν περ οὐσῶν. ὡς δὲ ταῦτα ὅμως ἐκράτησε, χῶμα ἔγνω χωννύναι ἐκ τῆς ἠπείρου ὡς ἐπὶ τὴν πόλιν. ἔστι δὲ πορθμὸς τεναγώδης τὸ χωρίον, καὶ τὰ μὲν πρὸς τῇ ἠπείρῳ τῆς θαλάσσης βραχέα καὶ πηλώδη αὐτοῦ· τὰ δὲ πρὸς αὐτῇ τῇ πόλει, ἵνα τὸ βαθύτατον τοῦ διάπλου, τριῶν μάλιστα ὀργυιῶν τὸ βάθος. ἀλλὰ λίθων τε πολλῶν ἀφθονία ἦν, καὶ ὕλης, ἣν ἄνω τοῖς λίθοις ἀνωθεν ἐπεφόρουν. χάρακές τε οὐ χαλεπῶς ἐν τῷ πηλῷ κατεπήγνυντο, καὶ αὐτὸς ὁ πηλὸς ξύνδεσμος τοῖς λίθοις ἐς τὸ ἐπιμένειν ἐγίγνετο. καὶ προE θυμία τῶν Μακεδόνων εἰς τὸ ἔργον καὶ Ἀλεξάνδρου πολλὴ ἦν, παρόντος τε καὶ αὐτοῦ ἕκαστα ἐξηγουμένου, καὶ τὰ μὲν λόγῳ ἐπαίροντος, τὰ δὲ καὶ χρήσιμα τοῖς τι ἐκπρεπέστερον κατ᾽ ἀρετὴν πονουμένοις ἐπικουφίζοντος. ἀλλ᾽ ἔστε μὲν τὸ πρὸς τῇ ἠπείρῳ ἐχώννυτο, οὐ χαλεπῶς προυχώρει τὸ ἔργον, ἐπὶ βάθος τε ὀλίγον χωννύμενον, καὶ οὐδενὸς ἐξείργοντος. ὡς δὲ τῷ βαθυτέρῳ ἤδη ἐπέλαζον, καὶ ἅμα τῇ πόλει αὐτῇ ἐγγὺς ἐγίγνοντο, ἀπό τε τῶν τειχῶν ὑψηλῶν ὄντων βαλλόμενοι ἐκακοπάF θουν, ἅτε καὶ ἐπ᾽ ἐργασίᾳ μᾶλλόν τι ἢ ὡς ἐς μάχην ἀκριβῶς ἐσταλμένοι· καὶ ταῖς τριήρεσιν ἄλλῃ καὶ ἄλλῃ τοῦ χώματος ἐπιπλέοντες οἱ Τύριοι, ἅτε δὴ θαλασσοκρατοῦντες, ἔτι ἄπορον πολλαχῇ τὴν πρόσχωσιν τοῖς Μακεδόσιν ἐποίουν. καὶ οἱ Μακεδόνες πύργους ἐπάνω τοῦ χώματος, ὅ,τι περ προκεχωρήκει αὐτοῖς ἐπὶ πολὺ τῆς θαλάσσης, ἐπέστησαν δύο, καὶ μηχανὰς ἐπὶ τοῖς πύργοις.

προκαλύμματα δὲ δέρρεις καὶ διφθέραι αὐτοῖς ἦσαν, ὡς μήτε πυρφόροις βέλεσιν ἀπὸ τοῦ τείχους βάλλεσθαι, τοῖς τε ἐργαζομένοις προβολὴν ἐν τῷ αὐτῷ εἶναι πρὸς τὰ τοξεύματα. ἅμα τε ὅσοι προσπλέοντες τῶν Τυρίων ἔβλαπτον τοὺς χωννύντας, ἀπὸ τῶν πύργων βαλλόμενοι οὐ χαλεπῶς ἀνασταλήσεσθαι ἔμελλον. οἱ δὲ Τύριοι πρὸς ταῦτα ἀντιμηχανῶνται τοιόνδε. ναῦν ἱππαγωγὸν κλημάτων τε ξηρῶν καὶ ἄλλης ὕλης εὐφλέκτου ἐμπλήσαντες, δύο ἱστοὺς ἐπὶ τῇ πρώρᾳ καταπηγνύουσι, καὶ ἐν κύκλῳ περιφράσσουσιν ἐς ὅσον μακρότερον, ὡς φορυτόν τε ταύτῃ καὶ δᾷδας ὅσας πλείστας δέξασθαι. πρὸς δὲ, πίσσαν τε καὶ θεῖον, καὶ ὅσα ἄλλα ἐς τὸ παρακαλέσαι μεγάλην φλόγα, ἐπὶ ταύτῃ ἐπεφόρησαν. παρέτειναν δὲ καὶ κεραίαν διπλῆν ἐπὶ τοῖς ἱστοῖς ἀμφοτέροις, καὶ ἀπὸ ταύτης ἐξήρτησαν ἐν λέβησιν, ὅσα ἐπιχυθέντα ἢ ἐπιβληθέντα, ἐπὶ μέγα τὴν φλόγα ἐξάψειν ἔμελλον. ἕρματά τε ἐς τὴν πρύμναν ἐνέθεσαν, τοῦ ἐξᾶραι εἰς ὕψος τὴν πρῴραν πιεζομένης κατὰ πρύμναν τῆς νεώς. ἔπειτα ἄνεμον τηρήσαντες, ὡς ἐπὶ τὸ χῶμα ἐπιφέροντα, ἐξάψαντες τριήρεσι τὴν ναῦν, κατ' οὐρὰν εἷλκον. ὡς δὲ ἐπέλαζον ἤδη τῷ τε χώματι καὶ τοῖς πύργοις, πῦρ ἐμβαλόντες εἰς τὴν ὕλην, καὶ ὡς βιαιότατα ἅμα ταῖς τριήρεσιν ἐπανελκύσαντες τὴν ναῦν, ἐνσείουσιν ἄκρῳ τῷ χώματι. αὐτοὶ δὲ οἱ ἐν τῇ νηῒ καιομένῃ ἤδη ἐξενήξαντο οὐ χαλεπῶς. καὶ ἐν τούτῳ ἥ τε φλὸξ πολλὴ ἐνέπιπτε τοῖς πύργοις, καὶ αἱ κεραῖαι περικλασθεῖσαι ἐξέχεαν ἐς τὸ πῦρ ὅσα ἐς ἔξαψιν τῆς φλογὸς παρεσκευασμένα ἦν. οἱ δὲ ἀπὸ τῶν τριήρων πλησίον τοῦ χώματος ἀνακωχεύοντες, ἐτόξευον ἐς τοὺς πύργους, ὡς μὴ ἀσφαλὲς εἶναι πελάσαι ὅσοι σβεστήριόν τι τῇ φλογὶ ἐπέφερον. καὶ ἐν τούτῳ κατεχομένων ἤδη ἐκ τοῦ πυρὸς τῶν πύργων, ἐκδραμόντες ἐκ τῆς πόλεως πολλοὶ, καὶ ἐς κελήτια ἐμβάντες, ἄλλῃ καὶ ἄλλῃ ἐποκείλαντες τοῦ χώματος, τόν τε χάρακα οὐ χαλεπῶς διέσπασαν τὸν πρὸ αὐτοῦ προβεβλημένον, καὶ τὰς μηχανὰς ξυμπάσας κατέφλεξαν, ὅσας μὴ τὸ ἀπὸ τῆς νεὼς πῦρ ἐπέσχεν. Ἀλέξανδρος δὲ τό, τε χῶμα ἀπὸ τῆς ἠπείρου ἀρξάμενος πλατύτερον χωννύναι, ὡς πλέονας δέξασθαι πύργους, καὶ τοὺς μηχανοποιοὺς μηχανὰς ἄλλας κατασκευάζειν ἐκέλευσεν. ὡς δὲ ταῦτα παρεσκευάζετο, αὐτὸς τούς τε ὑπασπιστὰς ἀναλαβὼν καὶ τοὺς Ἀγριάνας, ἐπὶ Σιδῶνος ἐστάλη, ὡς ἀθροίσων ἐκεῖ ὅσαι ἤδη ἦσαν αὐτῷ τριήρεις, ὅτι ἀπορώτερα τὰ τῆς πολιορκίας ἐφαίνετο, θαλασσοκρατούντων τῶν Τυρίων.

Ἐν τούτῳ δὲ Γηρόστρατός τε ὁ Ἀράδου βασιλεὺς, καὶ Ἔνυλος ὁ Βύβλου, ὡς ἔμαθον τὰς πόλεις σφῶν ὑπ' Ἀλεξάνδρου ἐχομένας, ἀπολιπόντες Αὐτοφραδάτην τε καὶ τὰς ξὺν αὐτῷ νέας, παρ' Ἀλέξανδρον σὺν τῷ ναυτικῷ τῷ σφετέρῳ ἀφίκοντο, καὶ αἱ τῶν Σιδωνίων τριήρεις σὺν αὐτοῖς· ὥστε Φοινίκων μὲν νῆες ὀγδοήκοντα μάλιστα αὐτῷ παρεγένοντο. ἧκον δὲ ἐν ταῖς αὐταῖς ἡμέραις, καὶ ἐκ Ῥόδου τριήρεις, ἥ τε περίπολος καλουμένη, καὶ ξὺν ταύτῃ ἄλλαι ἐννέα· καὶ ἐκ Σόλων καὶ Μαλλοῦ τρεῖς, καὶ Λυκίας, δέκα. ἐκ Μακεδονίας δὲ πεντηκόντορος, ἐφ' ἧς Πρωτέας Ἀνδρονίκου ἐπέπλει. οὐ πολλῷ δὲ ὕστερον καὶ οἱ τῆς Κύπρου βασιλεῖς ἐς τὴν Σιδῶνα κατέσχον ναυσὶν ἑκατὸν μάλιστα καὶ εἴκοσιν, ἐπειδὴ τήν τε ἧσσαν τὴν κατ' Ἰσσὸν Δαρείου ἐπύ-

A Coria quoque ex iumentis & diphtheras obtendunt, vt neque miſſilibus ignitis à muro peti poſſent, & iis qui in opere conſtituti erant propugnaculi loco aduerſus telorum ictus eſſent. ſimul etiam vt quotquot Tyriorum adnauigātes, operariis infeſti eſſent, è turribus ictinon magno negotio reprimerentur. Tyrij contra huiuſcemodi quid machinati ſunt. Nauem hippagogam aridis ſarmentis, aliáque materia quæ facilè ſuccendi poſſet, onerant, & malis duobus ad proram erectis, quamlatiſſimè poſſunt ea in orbem circumſepiunt, vt faces faſcéſque quāplurimos capiant: ad hæc picem & ſulphur, aliáque ad excitandam ingentem flammam accommoda accumulant. præterea ad vtrunque malum binas antennas extenderant, atque ex iis in lebetibus ſuſpendunt, quæcunque aut infuſa aut immiſſa vehementer flammam augere poſſent. Dehinc omnia nautica inſtrumenta in puppim transferūt, vt eorum pondere grauata puppis proram altius erigat. Deinde obſeruato vento qui aggerem verſus ſpiraret, nauim triremibus alligatam in mare protrahunt. Poſtquam verò moli turribúſque appropinquarūt, immiſſo in materiem igne, quanta maxima vi poſſunt nauim triremibus protrahentes ad molis caput impellunt. At qui in naui iam ſuccenſa erant remiges facilè enatarunt. Interea ingens incēdium turres comprehendit, & antennæ confractæ quæcunque ad augendum incendium præparata erant effundūt. Tyrij præterea triremibus ſuis propius ad molem admotis, in turres iaculabantur, vt non niſi cum periculo ad extinguendum incendium propius accedi poſſet. Quum itaque iam turres ignem concepiſſent, multi oppidanorū inſcenſis ſcaphis, diuerſis è partibus ad molem appulſi, vallo quod ante aggerem Macedones iecerant facilè ſubuerſo, reliquis etiam machinis, quas nauis incendium non attigerat, ignem immittunt. Alexander latiorem in continente aggerem moliri orſus, qui plures turres capere poſſet, machinarū fabris vt nouas machinas ſtruant iubet. Quibus iam confectis, ipſe cum ſcutatis & Agrianis in Sidonios mouit, triremes nimirum quotquot ibi habebat contracturus. quòd difficilis admodum vrbis expugnatio videretur, Tyriis mare tenentibus.

Inter hæc Geroſtratus Aradi, & Enulus Bybliorum rex, certiores facti vrbes ſuas ab Alexandro captas, deſerto Autophradate, & nauibus quas ducebat, ipſi cum ſua quiſq; claſſe ad Alexandrum venerunt, vnáq; cùm iis etiam ipſorum Sidoniorum triremes: adeo vt Phœnicum quidem naues octoginta ſummum haberet. Per eoſdem dies etiam ex Rhodo triremes appulere, in quibus vna peripolus dicta, & cum hac aliæ nouem. Ex Solis etiam & Mallo tres. Ex Lycia decem. Ex Macedonia quoque nauis vna quinquaginta remorum, cui præfectus erat Proteas Andronici filius. Neque multo poſt etiam Cypri reges centum & viginti nauibus Sidonem venerunt, clade quā Darius apud Iſſum

Curt. Ex iumentis coria velaque iuſſit obtendi, vt extra teli iactum eſſent: duaſque turres ex capite molis erexit, è quibus in ſubeuntes ſcaphas tela ingeri poſſent.

Valla hippagines vocat, naues equis vectandis factas.

Curt. Saxis arenáque à puppi onerāt, vt ea multum prora eminerêt.

Curt. Incēdium turr. & cæt. opera in cap. mol. poſ. compreh. At qui deſilier. in par. nauig. faces & quicq. alen. igni apt. erat in ead. opera ingerunt.

acceperat audita, ea etiã re territi quòd tota Phœnicia in Alexãdri poteſtatem veniſſet. iis omnibus Alexãder præterita errata ignouit, quòd neceſsitate potius quàm ſua ipſorũ volũtate claſſem cũ Perſis iunxiſſent. Interea verò dũ & machinæ conficiũtur, & naues ad nauigationẽ pariter & pugnam inſtruũtur, Alexãder cum aliquot equitũ turmis atq; ſcutatis, Agrianis, & ſagittariis in Arabiã contendit, ad mõtẽ cui Antilibano nomẽ eſt. Eáque regione partim vi ſubacta, partim pactionibus in ſuã poteſtatem redacta, vndecim dierũ ſpatio Sidonẽ reuerſus eſt, vbi Alexandrũ Polemocratis F. ex Peloponneſo venientẽ, & cum eo Græcorũ mercenariorũ quatuor millia cepit. Parata iam claſſe, diſpoſitiſq; ad foros nauiũ ſcutatis qui apti ad pugnã viderentur (niſi nauiũ irruptione potius quàm manu nauale prœliũ fieret) ex Sidone ſoluẽs, Tyrũ inſtructa acie nauigat. ipſe quidem ad dextrum cornu quod in mare extẽdebatur, vnáq; cũ ipſo Cypriorũ reges, reliquiq; Phœnices, excepto Pnytagora. Nã hic & Craterus læuum totius aciei cornu tenebant. At Tyrij initio nauali prælio decernere ſtatuerant, ſi Alexãder mari in eos claſſem duceret: poſtquam verò tantam nauium vim præter omnem expectationem aduentare conſpicati ſunt, (nondum enim audierant omnes & Cypriorum & Phœnicum naues ad Alexandrum confluxiſſe) quúmque eas inſtructa acie appellere cernerent. (paulo enim antè quàm vrbi appropinquarent, naues quæ circa Alexandrum erant in alto ſubſiſtebant, Tyriiſque obuiam cum claſſe non prodeuntibus, ita in ordinem redactæ magno cum impetu adnauigabant) tum Tyrij nauali prælio abſtinendũ ſibi putarunt. ſed triremibus, quotquot portuum fauces capere poterant, confertim aditum obſtruentes, curabant ne in aliquem portuum claſsis hoſtium appellere poſſet. Alexander, ſimulac Tyrios obuiam ei non venire animaduertit, propius ad vrbem nauigat. quúmque in eum portum qui Sidonem vergit perrumpere poſſe diffideret, propter faucium anguſtias, quódque multis triremibus aduerſas proras oſtendentibus aditus obſtructus eſſet, tres quæ ad extremas fauces poſitæ erant triremes, aduerſis proris in eas latus, demerſit. Qui in nauibus erant, facilè in cõtinentẽ quã amici tenebãt enatarũt. Tũ Alexãder haud procul ab aggere quẽ ſtruxerat, claſſem ad littus, qua tutamẽ aduerſus vẽtos eſſet, adducit. Poſtero die Cyprios cum ſuis nauibus & Andromacho iis præfecto, ad portũ qui Sidone veniẽtes recipit, obſidere vrbem iubet. Phœnices vltra aggerem locat, ab ea parte quæ Ægyptum reſpicit, vbi & tabernaculum eius poſitum erat. Multis interea ex Cypro totáque Phœnicia fabris collectis, machinæ permultæ confectæ erant. quarum aliæ in aggere collocatæ, aliæ hippagogis nauibus quas ſecum Sidone aduexerat, aliæ triremibus paulo tardioribus ſunt impoſitæ. Rebus omnibus ita præparatis, machinas in aggerem quem ſtruxerãt addũcunt. quumq; ex nauibus aliæ atq; aliæ muro ſuccederent cúmque explorarent,

Curt. Ipſe cum expedita manu Arabiam petit.

Fac. Decimo die ἐν δέκα ἡμέραις.

Fac. Ex Peloponneſo reuerſum recepit.

Fac. Pythagora.

A θοντο, καὶ ἡ Φοινίκη πᾶσα ἐχομένη ἤδη ὑπ' Ἀλεξάνδρου ἐφόβει αὐτούς. καὶ τούτοις πᾶσιν ἔδωκεν Ἀλέξανδρος ἄδειαν τῶν προύθεν, ὅτι ὑπ' ἀνάγκης μᾶλλόν τι ἢ κατὰ γνώμην τὴν σφῶν ἐδόκουν ξυνταχθῆναι τοῖς Πέρσαις ἐς τὸ ναυτικόν. Ἐν ᾧ δὲ αἵ τε μηχαναὶ αὐτῷ ξυνεπήγνυντο, καὶ αἱ νῆες ὡς εἰς ἔσπλουν καὶ ναυμαχίας ἀπόπειραν ἐξηρτύοντο, ἐν τούτῳ δὲ ἀναλαβὼν τῶν τε ἱππέων ἴλας τινὰς, καὶ τοὺς ὑπασπιστὰς, καὶ τοὺς Ἀγριάνας τε καὶ τοὺς τοξότας, ἐπ' Ἀραβίας στέλλεται εἰς τὸν Ἀντιλίβανον καλούμενον τὸ ὄρος. καὶ τὰ μὲν βίᾳ τῶν ταύτῃ ἐξελὼν, τὰ δὲ ὁμολογίᾳ παραστησάμενος, B ἕνδεκα ἡμέραις ἐπανῆγεν εἰς τὴν Σιδῶνα, καὶ καταλαμβάνει Ἀλέξανδρον τὸν Πολεμοκράτους ἐκ Πελοποννήσου ἥκοντα, καὶ ξὺν αὐτῷ μισθοφόρους Ἕλληνας τετρακισχιλίους. ὡς δὲ συνετέτακτο αὐτῷ τὸ ναυτικὸν, ἐπιβιβάσας τοῖς καταστρώμασι τῶν ὑπασπιστῶν ὅσοι ἱκανοὶ ἐδόκουν ἐς τὸ ἔργον, εἰ μὴ διέκπλοις μᾶλλόν τι ἢ ἐν χερσὶν ἡ ναυμαχία γίγνοιτο, ἄρας ἐκ τῆς Σιδῶνος ἐπέπλει τῇ Τύρῳ ξυντεταγμένως ταῖς ναυσίν· αὐτὸς μὲν κατὰ τὸ δεξιὸν κέρας, ὃ δὴ ἐς τὸ πέλαγος αὐτῷ ἀνεῖχε· C καὶ ξὺν αὐτῷ οἵ τε Κυπρίων βασιλεῖς, καὶ ὅσοι Φοινίκων, πλὴν Πνυταγόρου. οὗτος δὲ καὶ Κρατερὸς τὸ εὐώνυμον κέρας εἶχον τῆς πάσης τάξεως. τοῖς δὲ Τυρίοις πρότερον μὲν ναυμαχεῖν ἐγνωσμένον ἦν, εἰ κατὰ θάλατταν ἐπιπλέοι σφίσιν Ἀλέξανδρος· τότε δὲ πλῆθος νεῶν πολὺ ἀπροσδοκήτως κατιδόντες (οὐ γάρ πω πεπυσμένοι ἦσαν τάς τε Κυπρίων ναῦς καὶ τὰς Φοινίκων ξυμπάσας Ἀλέξανδρον ἔχοντα) καὶ ἅμα ξυντεταγμένως τὸν ἐπίπλουν γιγνόμενον. ὀλίγον γὰρ πρὶν προσχεῖν τῇ πόλει, ἀνεκώχευσαν ἐπὶ πελάγους αἱ ξὺν Ἀλεξάνδρῳ νῆες· ἔπειτα οὕτω ξυνταξάμεναι, ὡς οὐκ ἀντανήγοντο, πολλῷ τῷ ῥοθίῳ ἐπέπλεον. D ταῦτα ὁρῶντες οἱ Τύριοι, ναυμαχεῖν μὲν ἀπέγνωσαν, τριήρεσι δὲ, ὅσας τῶν λιμένων τὰ στόματα ἐδέχοντο, βύζην τὸν ἔσπλουν φραξάμενοι ἐφύλασσον, ὡς μὴ ἐς τῶν λιμένων τινὰ ἐγκαθορμισθῆναι τῶν πολεμίων τὸν στόλον. Ἀλέξανδρος δὲ, ὡς οὐκ ἀντανήγοντο οἱ Τύριοι, ἐπέπλει τῇ πόλει· καὶ ἐς μὲν τὸν λιμένα τὸν πρὸς Σιδῶνος βιάζεσθαι ἀπέγνω, διὰ στενότητα τοῦ στόματος· καὶ ἅμα ἀντιπρώροις τριήρεσι πολλαῖς ὁρῶν πεφραγμένον τὸν ἔσπλουν· τρεῖς δὲ τὰς ἐξωτάτω ἐφορμούσας τῷ στόματι τριήρεις προσπεσόντες E οἱ Φοίνικες καὶ ἀντιπρώροις ἐμβαλόντες καταδύουσιν. οἱ δὲ ἐν ταῖς ναυσὶν οὐ χαλεπῶς ἀπενήξαντο ἐς τὴν γῆν, φιλίαν οὖσαν. τότε μὲν δὴ οὐ πόρρω τοῦ ποιητοῦ χώματος κατὰ τὸν αἰγιαλὸν, ἵνα σκέπη τῶν ἀνέμων ἐφαίνετο, οἱ σὺν Ἀλεξάνδρῳ ὡρμίσαντο. τῇ δὲ ὑστεραίᾳ, τοὺς μὲν Κυπρίους ξὺν ταῖς σφετέραις ναυσὶ καὶ Ἀνδρομάχῳ τῷ ναυάρχῳ κατὰ τὸν λιμένα τὸν ἐκ Σιδῶνος φέροντα, ἐκέλευσεν ἐφορμεῖν τῇ πόλει. τοὺς δὲ Φοίνικας κατὰ τὸν ἐπέκεινα τοῦ χώματος, τὸν πρὸς Αἴγυπτον ἀνέχοντα, ἵνα καὶ αὐτῷ ἡ σκηνὴ ἦν. ἤδη δὲ καὶ μηχανοποιῶν F αὐτῷ πολλῶν ἔκ τε Κύπρου καὶ Φοινίκης ἁπάσης συνειλεγμένων, μηχαναὶ πολλαὶ συμπεπηγμέναι ἦσαν, αἱ μὲν ἐπὶ τοῦ χώματος, αἱ δὲ ἐπὶ τῶν ἱππαγωγῶν νεῶν, ἃς ἐκ Σιδῶνος ἅμα οἱ ἐκόμισεν· αἱ δὲ ἐπὶ τῶν τριήρων, ὅσαι αὐτῶν οὐ ταχυναυτοῦσαι ἦσαν. ὡς δὲ παρεσκεύαστο ἤδη ξύμπαντα, προσῆγον τὰς μηχανὰς κατά τε τὸ ποιητὸν χῶμα· καὶ ἀπὸ τῶν νεῶν ἄλλῃ καὶ ἄλλῃ τοῦ τείχους προσορμιζομένων τε καὶ ἀποπειρωμένων τοῦ τείχους.

A οἱ δὲ Τύριοι ἐπί τε τῶν ἐπάλξεων τῶν κατὰ τὸ χῶμα πύργους ξυλίνους ἐπέστησαν, ὡς ἀπομάχεσθαι ἀπ' αὐτῶν, καὶ εἴ ποι ἄλλῃ αἱ μηχαναὶ προσήγοντο, βέλεσί τε ἠμύνοντο, καὶ πυρφόροις οἰστοῖς ἔβαλλον αὐτὰς τὰς ναῦς· ὥστε φόβον παρέχειν τοῖς Μακεδόσι πελάζειν τῷ τείχει. ἦν δὲ αὐτοῖς καὶ τὰ τείχη κατὰ τὸ χῶμα, τό, τε ὕψος εἰς πεντήκοντα καὶ ἑκατὸν μάλιστα πόδας, καὶ ἐς πλάτος ξύμμετρον, λίθοις μεγάλοις ἐν γύψῳ κειμένοις ξυμπεπηγότα· ταῖς δὲ ἱππαγωγοῖς τε καὶ ταῖς τριήρεσι τῶν Μακεδόνων, ὅσαι τὰς μηχανὰς προσῆγον τῷ τείχει, καὶ ταύτῃ οὐκ εὔπορον ἐγίγνετο πελάζειν τῇ B πόλει· ὅτι λίθοι πολλοὶ ἐς τὸ πέλαγος προβεβλημένοι ἐξεῖργον αὐτῶν τὴν ἐγγὺς προσβολήν. καὶ τούτους Ἀλέξανδρος ἔγνω ἐξελκύσαι ἐκ τῆς θαλάσσης· ἠνύετο δὲ χαλεπῶς τοῦτο τὸ ἔργον, οἷα δὴ ἀπὸ νεῶν, καὶ οὐκ ἀπὸ γῆς βεβαίου, γινόμενον· ἄλλως τε καὶ οἱ Τύριοι ναῦς καταφράξαντες παρὰ τὰς ἀγκύρας ἐπῆγον τῶν τριήρων· καὶ ὑποτέμνοντες τὰς σχοίνους τῶν ἀγκυρῶν, ἄπορον τὴν προσόρμισιν ταῖς πολεμίαις ναυσὶν ἐποίουν. Ἀλέξανδρος δὲ τριακοντόρους πολλὰς ἐς τὸν αὐτὸν τρόπον φράξας, ἐπέστησεν ἐγκαρσίας πρὸ τῶν C ἀγκυρῶν, ὡς ὑπ' αὐτῶν ἀναστέλλεσθαι τὸν ἐπίπλουν τῶν νεῶν. ἀλλὰ καὶ ὡς ὕφαλοι κολυμβηταὶ τὰς σχοίνους αὐτοῖς ὑπέτεμνον. οἱ δὲ ἁλύσεσιν εἰς τὰς ἀγκύρας ἀντὶ σχοίνων χρώμενοι οἱ Μακεδόνες καθίεσαν, ὥστε μηδὲν ἔτι πλέον τοῖς κολυμβηταῖς γίγνεσθαι. ἐξάπτοντες οὖν βρόχους τῶν λίθων ἀπὸ τοῦ χώματος, ἀνέσπων αὐτοὺς ἔξω τῆς θαλάσσης· ἔπειτα μηχαναῖς μετεωρίσαντες, κατὰ βάθους ἀφίεσαν, ἵνα οὐκέτι προβεβλημένοι βλάψειν ἔμελλον. ὅπου δὲ καθαρὸν πεποίητο τῶν προβόλων τὸ τεῖχος, οὐ χαλεπῶς ἤδη ταύ- D τῃ αἱ νῆες προσεῖχον. οἱ δὲ Τύριοι, πάντῃ ἄποροι γιγνόμενοι, ἔγνωσαν ἐπίπλουν ποιήσασθαι ταῖς Κυπρίαις ναυσίν, αἳ κατὰ τὸν λιμένα ἐφώρμουν, τὸν ἐς Σιδῶνα τετραμμένον· ἐκ πολλοῦ δὴ καταπετάσαντες τοῦ λιμένος τὸ στόμα ἱστίοις, τοῦ μὴ καταφανῆ γενέσθαι τῶν τριήρων τὴν πλήρωσιν, ἀμφὶ μέσον ἡμέρας, ὁπότε οἵ τε ναῦται ἐπὶ τὰ ἀναγκαῖα ἐσκεδασμένοι ἦσαν, καὶ Ἀλέξανδρος ἐν τούτῳ μάλιστα ἀπὸ τοῦ ἐπὶ θάτερα τῆς πόλεως ναυτικοῦ ἐπὶ τὴν σκηνὴν ἀπεχώρει, πληρώσαντες πεντήρεις μὲν τρεῖς, καὶ τετρήρεις ἴσας, τριή- E ρεις δὲ ἑπτά, ὡς ἀκριβεστάτοις τε τοῖς πληρώμασι καὶ τοῖς ἀπὸ τῶν καταστρωμάτων μάχεσθαι μέλλουσιν εὐοπλοτάτοις, καὶ ἅμα εὐθαρσεστάτοις ἐς τοὺς ναυτικοὺς ἀγῶνας, τὰ μὲν πρῶτα ἀτρέμα τῇ εἰρεσίᾳ ἐπὶ μιᾶς νεὼς ἐξέπλεον, ἄνευ κελευστῶν τὰς κώπας παραφέροντες· ὡς δὲ ἐπέστρεφον ἤδη ἐπὶ τοὺς Κυπρίους, καὶ ἐγγὺς τοῦ καθορᾶσθαι ἦσαν, τότε δὴ ξὺν βοῇ τε πολλῇ καὶ ἐγκελευσμῷ ἐς ἀλλήλους, καὶ ἅμα τῇ εἰρεσίᾳ ξυντόνῳ ἐπεφέροντο. ξυνέβη δὲ ἐκείνῃ μὲν τῇ ἡμέ- F ρᾳ Ἀλέξανδρον ἀποχωρῆσαι ἐπὶ τὴν σκηνήν, οὐ διατρίψαντα δὲ κατὰ τὸ εἰωθός, δι' ὀλίγου ἐπὶ τὰς ναῦς ἐπανελθεῖν. οἱ δὲ Τύριοι προσπεσόντες ἀπροσδοκήτως ταῖς ναυσὶν ὡρμισμέναις, καὶ ταῖς μὲν πάντῃ κεναῖς ἐπιτυχόντες, τῶν δὲ ὑπ' αὐτὴν τὴν βοὴν καὶ τὸν ἐπίπλουν χαλεπῶς ἐκ τῶν παρόντων πεπληρωμένων, τήν τε Πνυταγόρου τοῦ βασιλέως πεντήρη εὐθὺς ἀπὸ τῆς πρώτης ἐμβολῆς κατέδυσαν, καὶ τὴν Ἀνδροκλέους τοῦ Ἀμαθουσίου, καὶ τὴν Πασικράτους τοῦ Θουριέως· τὰς δὲ

A Tyrij, in ſuprema parte murorũ qui aggeri oppoſiti erãt, turres ligneas erexerunt, vt ex iis pugnarẽt, & ſiqua ex parte machinæ admouebantur, telis ſeſe tuebantur, igniferáque miſſilia in ipſas naues coniiciebant: vt Macedonibus metum appropinquandi muris iniicerent. Erat autem murus aggeri oppoſitus CL ſummũ pedes altus, latitudine altitudini reſpondente, & ſaxis ingentibus gypſo inter ſe commiſſis. Hippagogæ verò naues & Macedonum triremes quæ machinas muro admoturæ erant, ne ipſæ quidem faci- B lè vrbi appropinquare poterant, quòd magna vis ſaxorum à Tyriis in mare proiecta acceſſum prohiberet. Alexander ſaxa è mari eximenda curauit. quod quidem opus difficulter admodum, vtpote è nauibus, vbi pes firmiter, vt in terra, figi non poterat, præſtabatur. Præterea Tyrij obtectis nauibus, ad triremium ancoras adlapſi, præciſis ancorarum funibus, omnem appellendi poteſtatem hoſtium nauibus præripiebant. Alexander complures naues triginta remo- C rum eadem ratione obtegens, obliquas ancoris præſtituit, vt Tyriarum nauium acceſſum propulſarent. Ceterum nihilo ſecius vrinatores occulto lapſu ſubeuntes, funes præſcindebant. Macedones pro funibus ferreis catenis ancoras alligantes iaciunt, vt vrinatores non amplius iam officere poſſent. Saxa itaque in ſtruem accumulata, laqueis implexa, è mari protrahunt, deinde ea machinis ſublata in altum proiiciunt, ne denuo in eundem locum coniecta, incommo- D doſint. Sublata hac ſaxorum ſtrue, facilè iam ad murum naues appellebantur. At Tyrij in tanta rerum anguſtia conſtituti, Cyprias naues adoriri ſtatuunt, quæ portum qui Sidonem ſpectat obſidebant. quúmque multo antea ipſas portus fauces velis paſſis obtexiſſent, ne nimirũ triremes milite complentes ab hoſtibus conſpicerentur: ſub meridiem (quo tempore & Macedonum nautæ neceſſariis rebus occupati, diſperſi erant, & Alexander ex claſſe, quæ ab altera vrbis parte erat, in tabernaculúm ſe contulerat) E inſtructis quinqueremibus tribus, quadriremibus totidem, & triremibus ſeptem, pręſtantiſſimiſque militibus delectis, qui ad pugnam ex ſumma nauium parte conſerẽdam optimè armati, & ad naualia certamina adeunda plus animi haberent: primò quidem ſingulæ lento remigio, nullóque celeuſmate edito prolabuntur. Poſtquam verò eò vſque prouecti ſunt, vt iam à Cypriis cerni poſſet, tum ingenti clamore ſublato, mutuóque celeuſmate ſeſe incitantes, concitato remigio F in eorum naues feruntur. Accidit porro eo die vt Alexander qui in tabernaculum conceſſerat, minorem ſolito ibi moram faceret, citò ad naues reuerſus. Tyrij, naues in ſtatione agentes ex improuiſo adorti, quum aliæ prorſus vacuæ eſſent, aliæ in ipſo clamore atque impetu non bene inſtructæ, Pnytagoræ regis quinqueremem primo ſtatim inſultu demergunt, ſimúlque aliam Androclis Amathuſij, & Paſicratis Thuriei, alias in

Curt. Subibant aquam, occultóque lapſu, &c.

littus propulſas confregerunt. Alexander cognita Tyriarum triremiū excurſione, confeſtim naues cōplures quæ ſibi aderant, prout quæq; inſtructa erat, ad fauces portus ſtare iubet, vt reliquis etiam Tyriorum nauibus prodeundi poteſtatem præcluderent. Ipſe cū quinqueremibus quas habebat, & triremibus ſummum quinque celeriter inſtructis, vrbem circumnauigās, ad Tyrios portu egreſſos contendit. Oppidani id ex muro conſpicati, ipſumq; Alexandrum in nauibus preſentem eſſe, quum clamor ob tumultum eorum qui in illo cōflictu verſabantur exaudiri non poſſet, aliis atque aliis indiciis vt ſeſe reciperent ſignificabant: at verò Alexandri incurſu ſerius intellecto, velis verſis portum petunt. paucæ tamen naues fuga euaſerunt. Nam Alexandri naues in earum pleraſq; inuectæ, nō nullas ad nauigandū inutiles reddidere: quin queremem verò vnam & quadriremem ad ipſa portus oſtia ceperunt. Propugnatorum cædes haud magna fuit, quoniā ſimulac captas naues ſenſerant, facilè in portum nando euaſerunt. Macedones, quum iam nullus Tyriis nauium vſus ſupereſſet, tormenta muris admouere. quæ quidem ab aggeris parte admota, ob muri firmitatem parum damni inferebant. Alij verò, ea parte vrbis quę Sidonē ſpectat, nonnullas naues opera portātes admouerūt. Sed quum ne hac quidem via proficeretur, murum vniuerſum qui Notum verſus eſt, atque AEgyptum ſpectat, circumiēs, omni ex parte oppugnationem tentat. Atque hac primùm, & vehementer quidem quaſſatus ac perfractus dirutúſq; eſt, tum iniectis pontibus, ea parte qua murum demolitus erat, cōtinuò vrbem oppugnare cœpit. Sed Tyrij non magno negotio Macedonas repulerūt. Tertio ab hoc die, malacia ac trāquillitate expectata, copiarum duces ad pugnā cohortatus, tormenta nauibus impoſita vrbi admouit, ac primo quidem impetu magnam muri partem labefactat: quumq; iam ſatis amplo ſpatio murus dirutus videretur, naues quibus tormenta vehebantur retrahi iubet, aliáſq; duas cū pontibus adduci, quibus murorum ſtrages trāſcendere ſtatuerat. atque alteram quidem nauium ſcutati occupant, Admeto duce: alteram Cœni cohors, è militibus*qui infirmiores dicuntur conſtās: ipſe etiam cum ſcutatis, quacunque facultas detur, murū cōſcenſurus. Triremes verò cōtra vtrūq; portum adnauigare iubet, ſi fortè cōuerſis in eos Tyriis vi irrumpere poſsint. Quotquot verò naues tela quæ ex machinis iaciūtur habebāt, aut quæ ſagittarios in foris diſpoſitos vehebant, iubet vt muros circūnauigantes, quacunque via licuerit, applicent, vtq; intra teli iactum ſeſe ſiſtant, ſi omnino applicare non poſsint, eo conſilio, vt Tyrij *omni ex parte preſsi, in tantis difficultatibus quò ſe verterent neſcirent. Cęterùm nauibus iam cum Alexandro ad vrbem appulſis, & pontibus muro iniectis, ſcutati ſtrenuè per eos murum cōſcendunt. Admetus enim per id temporis fortiter rem gerebat, ſubſequebatur & Alexander ipſe, qui & partem operis fortiter ſubibat, & alios, prout quiſque

Vet. cod. οἱ ἀδόκιμοι.

Curt. Tot ſimul malis victi.

A ἄλλας ἐς τὸν αἰγιαλὸν ἐξωθοῦντες ἐκόπτον. Ἀλέξανδρος δὲ ὡς ᾔσθετο τὸν ἔκπλουν τῶν Τυρίων τριήρων, τὰς μὲν πολλὰς τῶν ξὺν αὐτῷ νεῶν, ὅπως ἑκάστη πληρωθείη, ἐπὶ τῷ στόματι τοῦ λιμένος ἀνακωχεύειν ἔταξεν, ὡς μὴ καὶ ἄλλαι ἐκπλεύσειαν τῶν Τυρίων νῆες· αὐτὸς δὲ πεντήρεις τε τὰς ξὺν αὐτῷ ἀναλαβὼν, καὶ τῶν τριήρων ἐς πέντε μάλιστα, ὅσαι ἔφθησαν αὐτῷ κατὰ τάχος πληρωθεῖσαι, περιέπλει τὴν πόλιν ὡς ἐπὶ τοὺς ἐκπεπλευκότας τῶν Τυρίων. οἱ δὲ ἀπὸ τοῦ τείχους τόν τε ἐπίπλουν τῶν πολεμίων κατιδόντες, καὶ Ἀλέξανδρον αὐτὸν ἐπὶ τῶν νεῶν, καὶ ὡς οὐκ ἐξακουστὸν ἦν ὑπὸ θορύβου ξυνεχομένων
B ἐν τῷ ἔργῳ, σημείοις ἄλλοις καὶ ἄλλοις ἐπεκάλουν ἐς τὴν ἀναχώρησιν. οἱ δὲ ὀψέ ποτε αἰσθόμενοι τὸν ἐπίπλουν τῶν ἀμφ' Ἀλέξανδρον, ὑποστρέψαντες εἰς τὸν λιμένα ἔφευγον· καὶ ὀλίγαι μὲν τῶν νεῶν φθάνουσιν ὑπεκφυγοῦσαι, ταῖς δὲ πλείοσιν ἐμβαλοῦσαι αἱ ξὺν Ἀλεξάνδρῳ, τὰς μὲν αὐτῶν ἄπλους ἐποίησαν, πεντήρης δέ τις καὶ τετρήρης αὐτῶν ἐπ' αὐτῷ τῷ στόματι τοῦ λιμένος ἐλήφθησαν. φόνος δὲ τῶν ἐπιβατῶν οὐ πολὺς ἐγένετο. ὡς γὰρ ᾔσθοντο ἐχομένας τὰς ναῦς, ἀπενήξαντο οὐ χαλεπῶς ἐς τὸν λιμένα. ὡς δὲ οὐδεμία
C ἔτι τοῖς Τυρίοις ἐκ τῶν νεῶν ὠφέλεια ἦν, ἐπῆγον ἤδη οἱ Μακεδόνες τὰς μηχανὰς τῷ τείχει αὐτῶν. κατὰ μὲν δὴ τὸ χῶμα προσαγόμεναι, διὰ ἰσχὺν τοῦ τείχους οὐδὲν ἤνυον ὅ, τι καὶ λόγου ἄξιον. οἱ δὲ κατὰ τὸ πρὸς Σιδῶνα τετραμμένον τῆς πόλεως, τῶν νεῶν τινὰς τῶν μηχανοφόρων προσῆγον. ὡς δὲ οὐδὲ ταύτῃ ἤνυον, ὅσον ἐς τὸ πρὸς νότον ἄνεμον ἦν, καὶ πρὸς Αἴγυπτον ἀνέχον τεῖχος, μετήει, πάντῃ ἀποπειρώμενος τοῦ ἔργου. καὶ ἐνταῦθα πρῶτον κατεσείσθη τὸ τεῖχος ἐπὶ μέγα, καί τι καὶ κατηρίφθη αὐτοῦ παραρραγέν. τότε μὲν δὴ ὅσον ἐπι-
D βαλὼν γεφύρας ᾗ ἐρήριπτο τοῦ τείχους, ἀπεπειράθη ἐς ὀλίγον τῆς προσβολῆς· καὶ οἱ Τύριοι οὐ χαλεπῶς ἀπεκρούσαντο τοὺς Μακεδόνας. τρίτῃ δὲ ἀπὸ ταύτης ἡμέρᾳ, νηνεμίαν τε φυλάξας, καὶ παρακαλέσας τοὺς ἡγεμόνας τῶν τάξεων ἐς τὸ ἔργον, ἐπῆγε τῇ πόλει ἐπὶ τῶν νεῶν τὰς μηχανάς· καὶ πρῶτα μὲν κατέσεισε τοῦ τείχους ἐπὶ μέγα. ὡς δὲ ἀποχρῶν εἰς πλάτος ἐφαίνετο τὸ παρερρηγμένον, τὰς μὲν μηχανοφόρους ναῦς ἐπανάγειν ἐκέλευσεν· ὁ δὲ δύο ἄλλας ἐπῆγεν, αἳ τὰς γεφύρας αὐτῷ ἔφερον, ἃς δὴ ἐπιβάλλειν ἐπενόει τῷ κατερρηγμένῳ τοῦ
E τείχους. καὶ τὴν μὲν μίαν τῶν νεῶν οἱ ὑπασπισταὶ ἔλαβον, ᾗ ἐπετέτακτο Ἄδμητος· τὴν ἑτέραν δὲ, ἡ Κοίνου τάξις οἱ ἀσθενέστεροι καλούμενοι, καὶ αὐτὸς ξὺν τοῖς ὑπασπισταῖς ἐπιβήσεσθαι τοῦ τείχους, ᾗ παρείκοι, ἔμελλε. τὰς τριήρεις δὲ, τὰς μὲν ἐπιπλεῖν κατὰ τοὺς λιμένας ἀμφοτέρους ἐκέλευσεν, εἴ πως πρὸς σφᾶς τετραμμένων τῶν Τυρίων βιάσαιντο τὸν ἔσπλουν· ὅσαι δὲ αὐτῶν βέλη ἀπὸ μηχανῶν βαλλόμενα εἶχον, ἢ ὅσαι τοξότας ἐπὶ τῶν καταστρωμάτων ἔφερον, ταύτας ἐκέλευσεν ἐν κύκλῳ περιπλεούσας τὸ τεῖχος, ἐποκέλλειν τε ὅποι παρείκοι, καὶ ἀνα-
F κωχεύειν ἐντὸς βέλους, ἔστε τὸ ἐποκεῖλαι ἄπορον γίγνοιτο· ὡς πανταχόθεν βαλλομένους τοὺς Τυρίους, ἐν τῷ δεινῷ ἀμφιβόλους γίγνεσθαι. ὡς δὲ αἵ τε νῆες αἱ ξὺν Ἀλεξάνδρῳ προσέσχον τῇ πόλει, καὶ αἱ γέφυραι ἐπεβλήθησαν τῷ τείχει ἀπ' αὐτῶν, ἐνταῦθα οἱ ὑπασπισταὶ εὐρώστως κατὰ ταύτας ἀνέβαινον ἐπὶ τὸ τεῖχος. ὅ, τι γὰρ Ἄδμητος ἀνὴρ ἀγαθὸς ἐν τῷ τότε ἐγένετο, καὶ ἅμα Ἀλέξανδρος εἵπετο αὐτοῖς, τοῦ τε ἔργου αὐτοῦ καρτερῶς ἁπτόμενος, καὶ θεατὴς τῶν

τῶν ἄλλων ὅτῳ τι λαμπρὸν κατ' ἀρετήν ἐν τῷ κινδύνῳ ἐτολμᾶτο. καὶ ταύτῃ πρῶτον ᾗ ἐπιτέτακτο Ἀλέξανδρος, ἐλήφθη τὸ τεῖχος, οὐ χαλεπῶς ἀποκρουσθέντων ἀπ' αὐτοῦ τῶν Τυρίων, ἐπειδὴ πρῶτον βεβαίῳ τε καὶ ἅμα οὐ πάντῃ ἀποτόμῳ τῇ προσβάσει ἐχρήσαντο οἱ Μακεδόνες. καὶ Ἄδμητος μὲν, πρῶτος ἐπιβὰς τοῦ τείχους, καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευόμενος ἐπιβαίνειν, βληθεὶς λόγχῃ, ἀποθνήσκει αὐτοῦ. ἐπὶ δὲ αὐτῷ Ἀλέξανδρος ἔσχε τὸ τεῖχος ξὺν τοῖς ἑταίροις. ὡς δὲ εἴχοντο αὐτῷ πύργοι τέ τινες καὶ μεταπύργια, αὐτὸς μὲν παρῄει διὰ τῶν ἐπάλξεων ὡς ἐπὶ τὰ βασίλεια, ὅτι ταύτῃ εὐπορωτέρα ἐφαίνετο ἐς τὴν πόλιν ἡ κάθοδος. οἱ δὲ ἐπὶ τῶν νεῶν, οἵ τε Φοίνικες, κατὰ τὸν λιμένα τὸν πρὸς Αἴγυπτον (καθ' ὅνπερ καὶ ἐφορμοῦντες ἐτύγχανον) βιασάμενοι, καὶ τὰ κλεῖθρα διασπάσαντες, ἔκοπτον τὰς ναῦς ἐν τῷ λιμένι, τὰς μὲν μετεώρους ἐμβάλλοντες, τὰς δὲ ἐς τὴν γῆν ἐξωθοῦντες. καὶ οἱ Κύπριοι κατὰ τὸν ἄλλον λιμένα τὸν ἐκ Σιδῶνος φέροντα, οὐδὲ κλεῖθρόν γε ἔχοντα, εἰσπλεύσαντες, εἷλον εὐθὺς ταύτῃ τὴν πόλιν. τὸ δὲ πλῆθος τῶν Τυρίων, τὸ μὲν τεῖχος ὡς ἐχόμενον εἶδον, ἐκλείπουσιν. ἀθροισθέντες δὲ κατὰ τὸ Ἀγηνόρειον καλούμενον, ἐπέστρεψαν ταύτῃ ἐπὶ τοὺς Μακεδόνας. καὶ Ἀλέξανδρος ξὺν τοῖς ὑπασπισταῖς ἐπὶ τούτους χωρήσας, τοὺς μὲν αὐτοῦ μαχομένους διέφθειρεν αὐτῶν, τοῖς δὲ φεύγουσιν ἐφείπετο. καὶ φόνος ἦν πολύς, τῶν τε ἀπὸ τοῦ λιμένος ἐχόντων ἤδη τὴν πόλιν, καὶ τῆς Κοίνου τάξεως παρεληλυθυίας εἰς αὐτήν. ὀργῇ γὰρ ἐχώρουν ἐπίπαν οἱ Μακεδόνες, τῆς τε πολιορκίας τῇ τριβῇ ἀχθόμενοι, καὶ ὅτι λαβόντες τινὰς αὐτῶν οἱ Τύριοι πλέοντας ἐκ Σιδῶνος, ἐπὶ τὸ τεῖχος ἀναβιβάσαντες, ὅπως ἄποπτον εἴη ἀπὸ τοῦ στρατοπέδου, σφάξαντες ἔρριψαν εἰς τὴν θάλασσαν. ἀπέθανον δὲ τῶν μὲν Τυρίων ἐς ὀκτακισχιλίους· τῶν δὲ Μακεδόνων, ἐν τῇ τότε προσβολῇ, Ἄδμητός τε, ὁ πρῶτος ἑλὼν τὸ τεῖχος, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ξὺν αὐτῷ εἴκοσι τῶν ὑπασπιστῶν. ἐν δὲ τῇ πάσῃ πολιορκίᾳ, μάλιστα ἐς τετρακοσίους. τοῖς δὲ ἐς τὸ ἱερὸν τοῦ Ἡρακλέους καταφυγοῦσιν (ἦσαν δὲ αὐτῶν τε τῶν Τυρίων οἱ μάλιστα ἐν τέλει, καὶ ὁ βασιλεὺς Ἀζέλμικος· καὶ Καρχηδονίων τινὲς θεωροὶ ἐς τιμὴν τοῦ Ἡρακλέους, κατὰ δή τινα νόμον παλαιὸν, εἰς τὴν μητρόπολιν ἀφικόμενοι) τούτοις ξύμπασιν ἄδειαν δίδωσιν Ἀλέξανδρος, τοὺς δὲ ἄλλους ἠνδραπόδισε. καὶ ἐπράθησαν Τυρίων τε καὶ τῶν ξένων ὅσοι ἐγκατελήφθησαν, μάλιστα ἐς τρισμυρίους. Ἀλέξανδρος δὲ τῷ Ἡρακλεῖ ἔθυσέ τε, καὶ πομπὴν ἔστειλε, ξὺν τῇ δυνάμει ὡπλισμένῃ. καὶ αἱ νῆες ξυνεπόμπευσαν τῷ Ἡρακλεῖ, καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ἱερῷ καὶ λαμπάδα ἐποίησε· καὶ τὴν μηχανὴν, ᾗ τὸ τεῖχος κατεσείσθη, ἀνέθηκεν εἰς τὸν νεών. καὶ τὴν ναῦν τὴν Τυρίαν, τὴν ἱερὰν τοῦ Ἡρακλέους, ἥντινα ἐν τῷ ἐπίπλῳ ἔλαβε, καὶ ταύτην τῷ Ἡρακλεῖ ἀνέθηκε, καὶ ἐπίγραμμα ἐπ' αὐτῇ ἢ αὐτὸς ποιήσας, ἢ ὅτου δὴ ἄλλου ποιήσαντος οὐκ ἄξιον μνήμης τὸ ἐπίγραμμα, διὰ τοῦτο καὶ ἐγὼ αὐτὸ ἀναγράψαι ἀπηξίωσα. Τύρος μὲν δὴ οὕτως ἑάλω, ἐπὶ ἄρχοντος Ἀνικήτου Ἀθήνησι, μηνὸς Ἑκατομβαιῶνος.

præclarum aliquod & periculoſum facinus edidiſſet, ſpectabat: atque ea parte primùm qua premebat Alexander, murus captus eſt, Tyriis ex eo paruo negotio depulſis. quòd Macedones firmo ſolo pedem figebant, & à parte muri non admodum edita impetum faciebant. Admetus qui primus murum cõſcenderat, dum alios vt idem faciant cohortatur, lancea traiectus interiit. Eodem tempore Alexander cum amicis murum ſubit. Occupatis itaque turribus nonnullis, & interturriis, ipſe per ſumma propugnacula murorum ad regiam contendit, quòd facilior illa via ad vrbem deſcenſus videretur. At qui in nauibus erant, vnà cum Phœnicibus, in portum qui AEgyptum ſpectat (quem obſederat) impetu facto, clauſtriſque reuulſis, naues in portu confregerunt, in alias remotiores à terra magna vi delati, alias ad ipſam terram collidentes. Cyprij per portum qui Sidonem reſpicit, nullo clauſtro ſeptum immiſſi, ſtatim ea parte vrbem capiunt. Oppidani ſimulac murum captum conſpexerunt, eo deſerto, ad Agenorium (ita eum locum appellant) conglobati, inde in Macedones ſeſe conuertunt. Alexander cum ſcutatis in eos progreſſus, alios pugnãtes occidit, alios fugientes inſequitur. Magna hic cædes facta eſt, quum & à portu vrbs capta eſſet, & Cœni copiæ in eam irruiſſent. Macedones enim ira perciti in Tyrios graſſabantur, tum quòd obſidionis diuturnitatem moleſtiſſimè ferrent, tum etiam quòd Tyrij quum nonnullos ſuorum ex Sidone nauigantes cepiſſent, in murum ſublatos, vt ab exercitu cerni poſſent, cæſos in mare præcipitarant. *Tyriorũ circiter octo millia interfecta: ex Macedonibus, in illo quidem impetu, Admetus qui primus re fortiter geſta murum ceperat, & cum eo ſcutati viginti. in vniuerſa verò obſidione, quadringenti ſummum. Qui verò in templum Herculis cõfugerant, (erant autem hi præcipui quique Tyriorum principes, & rex Azelmicus, & nonnulli Carthaginienſes *oraculorum conſultores qui ex veteri conſuetudine in honorem Herculis ad metropolim conueniebant) iis omnibus Alexander veniam conceſſit, reliquos in ſeruitutem redegit. Tyriorum atque exterorum, qui ſupererant, xxx millia ſub haſtam miſſa. Poſt hæc Alexander Herculi ſacrificium fecit, & pompam cum exercitu armato miſit. Naues etiam Herculi pompam peregerunt. ludos quoq; gymnicos in æde Herculi ſacra multis collucentibus facibus edidit. Tormentum, quo murum demolitus fuerat, in templo poſuit. Nauem etiam Tyriam ſacrã Herculi, quam nauali incurſione cœperat, Herculi dicat, cum inſcriptione, quam ſiue ipſe, ſiue alius quiſpiam fecerit, quòd nihil habeat memoria dignum, commemorandam minimè putaui. Atque ita quidem Tyrus capta fuit, archonte Athenis Aniceto, menſe Iunio.

Curt. Intra munimenta vrbis ſex millia armatorũ trucidata ſunt.

Fac. Legati

Ἔτι δὲ ἐν τῇ πολιορκίᾳ τῆς Τύρου ξυνεχομένου Ἀλεξάνδρου, ἀφίκοντο παρὰ Δαρείου πρέσβεις πρὸς

Quũ adhuc in obſidione Tyri verſaretur Alexander, legati ad eum à Dario venerũt,

nuntiantes Darium decem millia talentûm daturum, ſi matrem, vxorem ac liberos dimitteret. quicquid præterea terrarum inter Euphratem & mare Græcanicum iacet. Adhæc, ſi Darij filiam Alexander coniugem acciperet, amicum ac ſocium fore. Qua legatione in amicorum conuentu explicata, Parmenionem Alexandro dixiſſe ferunt, ſe quidem, ſi Alexandri loco eſſet, accepta conditione, bello finẽ impoſiturum, neque ſe vlterius periculis expoſiturũ. Alexandrũ contra reſpondiſſe, & ſe quidem ſi Parmenionis loco eſſet, ita facturũ: quoniã verò Alexander eſſet, dignum Alexandro reſpõſum dediſſe. Reſpondit enim, ſe neque Darij pecuniis egere, neque partẽ ditionis loco totius accipere velle. omnẽ enim & pecuniã & regionem ſuam eſſe: Darij filiam ſe in vxorem ducturum, ſi vellet, & quidẽ ducturum citra voluntatem Darij. Si Alexandri humanitatem experiri vellet, ad ſe veniret. Hoc reſponſo cognito, Darius de compoſitione deſperãs, rurſus ad bellum ſe parat. Alexander expeditionem in AEgyptum facere inſtituit. Et cętera quidẽ Syriæ, quæ Paleſtina vocatur, oppida in ſuam poteſtatẽ adduxerat. Eunuch* verò quidã, nomine Batis, qui Gazæ vrbi prę erat, ſolus Alexandro reſtitit. Mercenariis enim Arabibus cõductis, multóque antea frumento collecto, quod diuturnæ obſidioni ferendæ ſufficeret, fretus etiã munitione oppidi, quippe quod vi capi non poſſet, Alexãdrum vrbe nequaquã recipere ſtatuerat. Diſtat Gaza à mari ſtadiis ſummum viginti, acceſſu quidẽ propter arenæ altitudinẽ difficillimo: adhæc mare vrbi propinquũ limoſum eſt, vrbs ipſa ampla, & in alto colle ſita, validóque muro cincta eſt. Nouiſſima porro incolitur, ex AEgypto in Phœniciã euntibus, ad initium ſolitudinis poſita. Alexander ſtatim atque ad vrbem peruenit, primo die caſtra eo loci poſuit, quo maximè commodus ad oppugnationẽ murus videbatur, atque ibi tormenta cõſtitui iubet. Machinarum artifices, murũ prę altitudine molis difficulter admodum vi capi poſſe iudicabant. Alexander contra, quo difficilior eſſet oppugnatio, eo magis ſuſcipiendã cẽſebat. Inopinatũ enim rei euentũ magno terrori hoſtibus futurũ. Si verò vrbẽ capere nõ poſſet, turpe id ſibi, quũ ad Græcos & ad Dariũ perferretur, fore. *Molem itaque circum vrbem ſtruere inſtituit, tantæ altitudinis, vt machinæ in ea poſitæ murorũ faſtigium æquarent. quam quidẽ molẽ ex ea præcipuè parte mœnium quæ Auſtrũ verſus ſunt, extruxit, quoniã inde faciliora ad expugnandũ videbantur. Quũmque iam ad iuſtã altitudinẽ perductũ opus videretur, Macedones machinas ei impoſitas in muros vrbis torquẽt. Inter hæc Alexãdro, corona capiti impoſita, ſacrificante, *quũ ipſe patrio more primũ ſacrificiũ auſpicaturus eſſet, auis quædã ex eo genere quæ carnibus aſſueſcũt arã ſuperuolãs, lapidẽ quẽ vnguibus gerebat in eius caput demiſit. Alexãder Ariſtandrum vatem conſuluit, quid auis illa portenderet: qui reſpõdit, Vrbẽ quidẽ, ô rex, capies: at tu ab illa tibi

Curt. Aggerem, quo mœnium altitudinem æquaret, extruxit.

Curt. Sacrum patrio more faciebat. Fac. quum pro ritu ſacrificii libaſſet.

A αὐτὸν, ἀπαγγέλλοντες μύρια μὲν τάλαντα ὑπὲρ τῆς μητρός τε καὶ τῆς γυναικὸς καὶ τῶν παίδων δοῦναι ἐθέλειν Ἀλεξάνδρῳ Δαρεῖον· τὴν δὲ χώραν πᾶσαν τὴν ἐντὸς Εὐφράτου ποταμοῦ, ἔστε ἐπὶ θάλασσαν τὴν Ἑλληνικὴν, Ἀλεξάνδρου εἶναι. γήμαντα δὲ τὴν Δαρείου παῖδα Ἀλέξανδρον, φίλον τε εἶναι Δαρείῳ καὶ ξύμμαχον. καὶ τούτων ἐν τῷ ξυλλόγῳ τῶν ἑταίρων ἀπαγγελθέντων, Παρμενίωνα μὲν λέγουσιν Ἀλεξάνδρῳ εἰπεῖν, ὅτι αὐτὸς Ἀλέξανδρος ὢν, ἐπὶ τούτοις ἂν ἠγάπησε, καταλύσας τὸν πόλεμον, μηκέτι πρόσω κιν-
B δυνεύειν. Ἀλέξανδρον δὲ Παρμενίωνι ἀποκρίνασθαι, ὅτι καὶ αὐτὸς ἄν, εἴπερ Παρμενίων ἦν, οὕτως ἂν ἔπραξεν· ἐπεὶ δὲ Ἀλέξανδρός ἐστιν, ἀποκρίνασθαι Δαρείῳ ἅπερ δὴ καὶ ἀπεκρίνατο. ἔφη γὰρ, οὔτε χρημάτων δεῖσθαι παρὰ Δαρείου, οὔτε τῆς χώρας λαβεῖν ἀντὶ πάσης τὸ μέρος. εἶναι γὰρ τά τε χρήματα καὶ τὴν χώραν αὐτοῦ πᾶσαν· γῆμαί τε ἂν ἐθέλῃ τὴν Δαρείου παῖδα, γῆμαι ἂν καὶ οὐ διδόντος Δαρείου· ἐκέλευέ τε αὐτὸν ἥκειν, εἴ τι εὑρέσθαι ἐθέλοι φιλάνθρωπον παρ' αὐτοῦ. ταῦτα ὡς ἤκουσε Δαρεῖος, τὰς μὲν ξυμβάσεις ἀπέ-
C γνω τὰς πρὸς Ἀλέξανδρον· ἐν παρασκευῇ δὲ τοῦ πολέμου αὖθις ἦν. Ἀλέξανδρος δὲ ἐπ' Αἰγύπτου ἔγνω ποιεῖσθαι τὸν στόλον· καὶ ἦν αὐτῷ τὰ μὲν ἄλλα τῆς Παλαιστίνης καλουμένης Συρίας, προσκεχωρηκότα ἤδη· εὐνοῦχος δέ τις, ᾧ ὄνομα ἦν Βάτις, κρατῶν τῆς Γαζαίων πόλεως, οὐ προσεῖχεν Ἀλεξάνδρῳ· ἀλλ' Ἄραβάς τε μισθωτοὺς ἐπαγόμενος, καὶ σῖτον ἐκ πολλοῦ παρεσκευακὼς διαρκῆ ἐς χρόνιον πολιορκίαν, καὶ τῷ χωρίῳ πιστεύων, μήποτε ἂν βίᾳ ἁλῶναι, ἔγνω μὴ δέχεσθαι τῇ πόλει Ἀλέξανδρον. ἀπέχει δὲ ἡ Γάζα τῆς
D μὲν θαλάσσης εἴκοσι μάλιστα σταδίους, καὶ ἔστι ψαμμώδης καὶ βαθεῖα ἐς αὐτὴν ἡ ἄνοδος· καὶ ἡ θάλασσα, ἡ κατὰ τὴν πόλιν, τεναγώδης πᾶσα. μεγάλη δὲ πόλις ἡ Γάζα ἦν, καὶ ἐπὶ χώματος ὑψηλοῦ ᾤκιστο, καὶ τεῖχος περιεβέβλητο αὐτῇ ὀχυρόν. ἐσχάτη δὲ ᾠκεῖτο, ὡς ἐπ' Αἰγύπτου ἐκ Φοινίκης ἰόντι, ἐπὶ τῇ ἀρχῇ τῆς ἐρήμου. Ἀλέξανδρος δὲ ὡς ἀφίκετο πρὸς τὴν πόλιν, τῇ μὲν πρώτῃ κατεστρατοπέδευσεν ᾗ μάλιστα ἐπίμαχον αὐτῷ ἐφαίνετο τὸ τεῖχος, καὶ μηχανὰς συμπηγνύναι ἐκέλευσεν· οἱ δὲ μηχανοποιοὶ γνώμην ἀπε-
E δείκνυντο, ἄπορον εἶναι βίᾳ ἑλεῖν τὸ τεῖχος, διὰ ὕψος τοῦ χώματος· ἀλλ' Ἀλεξάνδρῳ ἐδόκει αἱρετέον, ὅσῳ ἀπορώτερον. ἐκπλήξειν γὰρ τοὺς πολεμίους τὸ ἔργον τῷ παραλόγῳ ἐπὶ μέγα, καὶ τὸ μὴ ἑλεῖν αἰσχρὸν εἶναι οἱ, λεγόμενον ἔς τε τοὺς Ἕλληνας καὶ ἐς Δαρεῖον. ἐδόκει δὴ χῶμα ἐν κύκλῳ τῆς πόλεως χωννύναι, ὡς ἐξ ἴσου ἀπὸ τοῦ χωσθέντος ἐπάγεσθαι τὰς μηχανὰς τοῖς τείχεσι. καὶ ἐχώννυτο κατὰ τὸ νότιον μάλιστα τῆς πόλεως τεῖχος, ἵνα ἐπιμαχώτερα ἐφαίνετο. ὡς δὲ ἐδόκει ἐξῆρθαι συμμέτρως τὸ χῶμα, μηχανὰς ἐπιστήσαντες οἱ Μακεδό-
F νες, ἐπῆγον ὡς ἐπὶ τὸ τεῖχος τῶν Γαζαίων. καὶ ἐν τούτῳ θύοντι Ἀλεξάνδρῳ, καὶ ἐστεφανωμένῳ τε καὶ κατάρχεσθαι μέλλοντι τοῦ πρώτου ἱερείου κατὰ νόμον, τῶν τις σαρκοφάγων ὀρνίθων ὑπερπετόμενος ὑπὲρ τοῦ βωμοῦ, λίθον ἐμβάλλει εἰς τὴν κεφαλὴν, ὅντινα τοῖν ποδοῖν ἔφερε. καὶ Ἀλέξανδρος ἤρετο Ἀρίστανδρον τὸν μάντιν, ὅ,τι νοεῖ ὁ οἰωνός. ὁ δὲ ἀποκρίνεται, ὅτι, ὦ βασιλεῦ, τὴν μὲν πόλιν αἱρήσεις, αὐτῷ δέ σοι φυλακτέα ἐστὶν ἐπὶ τῇδε τῇ

ἡμέρᾳ. ταῦτα ἀκούσας Ἀλέξανδρος, τέως μὲν A
πρὸς ταῖς μηχαναῖς ἔξω βέλους αὐτὸν εἶχεν· ὡς δὲ
ἐκδρομή τε ἐκ τῆς πόλεως καρτερὰ ἐγένετο, καὶ πῦρ
τε ἐπέφερον ταῖς μηχαναῖς οἱ Ἄραβες, καὶ τοὺς Μα-
κεδόνας ἀμυνομένους κάτωθεν αὐτοὶ ἐξ ὑπερδεξίου
τοῦ χωρίου ἔβαλλόν τε καὶ ὤθουν κατὰ τοῦ ποιητοῦ χώ-
ματος· ἐνταῦθα ἢ ἑκὼν ἀπιθεῖ Ἀλέξανδρος τῷ μάν-
τει, ἢ ἐκπλαγεὶς ἐν τῷ ἔργῳ οὐκ ἐμνημόνευσε τῆς
μαντείας, ἀλλ᾽ ἀναλαβὼν τοὺς ὑπασπιστὰς, παρεβοή-
θει ἵνα μάλιστα ἐπιέζοντο οἱ Μακεδόνες. καὶ τούτους
μὲν ἔσχε τοῦ μὴ οὐκ αἰσχρᾷ φυγῇ ὠσθῆναι κατὰ τοῦ B
χώματος· αὐτὸς δὲ βάλλεται καταπέλτῃ διὰ τῆς ἀ-
σπίδος διαμπὰξ καὶ τοῦ θώρακος ἐς τὸν ὦμον. ὡς
δὲ ἔγνω τὰ ἀμφὶ τὸ τραῦμα ἀληθεύσαντα Ἀρίσταν-
δρον, ἐχάρη, ὅτι καὶ τὴν πόλιν δὴ αἱρήσειν ἐδόκει, Ἀρι-
στάνδρου ἕνεκα. καὶ αὐτὸς μὲν τὸ τραῦμα ἐθεραπεύε-
το χαλεπῶς. ἀφικνοῦνται δὲ αὐτῷ μετάπεμπτοι ἀπὸ
θαλάσσης αἱ μηχαναὶ αἷς Τύρον εἷλε· καὶ χῶμα χων-
νύναι ἐν κύκλῳ πάντοθεν τῆς πόλεως ἐκέλευσεν, εὖ-
ρος μὲν ἐς δύο σταδίους, ὕψος δὲ ἐς πόδας πεντήκοντα
καὶ διακοσίους. ὡς δὲ αἵ τε μηχαναὶ αὐτῷ ἐποιήθησαν, C
καὶ ἐπαχθεῖσαι κατὰ τὸ χῶμα κατέσεισαν τοῦ τείχους ἐπὶ
πολὺ, ὑπονόμων τε ἄλλῃ καὶ ἄλλῃ ὀρυσσομένων, καὶ τοῦ χοῦ
ἀφανῶς ἐκφερομένου, τὸ τεῖχος πολλαχῇ ἠρείπετο,
ὑφιζάνον κατὰ τὸ κενούμενον, τοῖς τε βέλεσιν ἐπὶ πο-
λὺ κατεῖχον οἱ Μακεδόνες, ἀναστέλλοντες τοὺς προμα-
χομένους ἐκ τῶν πύργων· ἐς μὲν τρεῖς προσβολὰς οἱ
ἐκ τῆς πόλεως, ἀποθνησκόντων τε αὐτοῖς πολλῶν καὶ
τιτρωσκομένων, ὅμως ἀντεῖχον· τῇ τετάρτῃ δὲ τῶν Μα-
κεδόνων τὴν φάλαγγα πάντοθεν προσαγαγὼν Ἀλέ-
ξανδρος, τῇ μὲν ὑπορυσσόμενον τὸ τεῖχος καταβάλ- D
λει, τῇ δὲ παιόμενον ταῖς μηχαναῖς κατασείει ἐπὶ πο-
λὺ, ὡς μὴ χαλεπὴν ταῖς κλίμαξι τὴν προσβολὴν
κατὰ τὰ ἐρηριμμένα ἐνδοῦναι. αἵ τε οὖν κλίμακες
προσήγοντο τῷ τείχει, καὶ ἔρις πολλὴ ἦν τῶν Μακε-
δόνων, ὅσοι τι ἀρετῆς μετεποιοῦντο, ὅστις πρῶτος
αἱρήσει τὸ τεῖχος. καὶ αἱρεῖ πρῶτος Νεοπτόλεμος, τῶν
ἑταίρων, τοῦ Αἰακιδῶν γένους· ἐπὶ δὲ αὐτῷ ἄλλαι καὶ
ἄλλαι τάξεις ὁμοῦ τοῖς ἡγεμόσιν ἀνέβαινον. ὡς δὲ ἅ-
παξ παρῆλθόν τινες ἐντὸς τοῦ τείχους τῶν Μακεδόνων,
κατασχίσαντες ἄλλας καὶ ἄλλας πύλας, ὅσαις ἕκαστοι E
ἐπετύγχανον, δέχονται εἴσω τὴν στρατιὰν πᾶσαν. οἱ δὲ
Γαζαῖοι, καὶ τῆς πόλεως σφίσιν ἤδη ἐχομένης, ξυ-
νεστηκότες ὅμως ἐμάχοντο· καὶ ἀπέθανον πάντες αὐ-
τοῦ μαχόμενοι, ὡς ἕκαστοι ἐτάχθησαν. παῖδας δὲ καὶ γυ-
ναῖκας ἐξηνδραπόδισεν αὐτῶν Ἀλέξανδρος· τὴν
πόλιν δὲ ξυνοικίσας ἐκ τῶν περιοίκων, ἐχρῆτο ὅσα φρου-
ρίῳ ἐς τὸν πόλεμον.

eo die caue. Quo audito Alexãder ſe ad ma
chinas extra teli iactum continuit. Cęterùm
quum Arabes, eruptione ex vrbe facta, ignẽ
machinis inferrent, & Macedones ex infe-
riori loco ſeſe tuentes ex editiore parte feri-
rent, atque ab aggere quem ſtruxerant re-
pellerent: tum Alexander, ſiue ſponte ſua va
tis monita negligens, ſiue ſtupore rei vatici-
nij oblitus, ſumtis ſcutatis, quà maximè pre
mebantur Macedones auxilio accurrit. at-
que hos quidem, ne turpi fuga ab aggere ex
pellerentur, retinuit: ipſe verò ſcuto ac tho-
race catapulta traiecto, in humero vulnus
accepit. quúmque vulnere ipſo ſenſiſſet A-
riſtãdri vaticinium verum fuiſſe, gauiſus eſt,
quòd ex eodem Ariſtandri vaticinio vrbem
capturus eſſet. Interea alia tormenta, quibus
Tyrum expugnarat, mari tranſmiſſa accipit:
totam deinde vrbem aggere cingi iubet, la-
tudine duorum ſtadiorum, altitudine pedũ
CCL. conſtructis verò & in aggere diſpoſi-
tis machinis, quum murus magna vi quate-
retur, cuniculiſque diuerſis ex partibus ſuf-
foſſis, & terra clam egeſta, murus pluribus in
locis ſubſidens propter exinanitiones ſub-
terraneas, proruerent, Macedones telis inſta-
bant, oppidanos ex turribus propugnantes
repellentes: ac ter quidem oppidani Ma-
cedonum impetum, multis ſuorum interfe-
ctis & ſauciis, ſuſtinuerunt. At quarto impe-
tu quum Alexander omni ex parte phalan-
gem admoueret, alibi murum ſuffoſſum di-
ruens, alibi tormentis aſſiduè quatiens, fa-
cilem Macedonibus per murorũ ruinas ſca-
larum admotionem fecit. Quæ ſimulac ap-
plicatæ fuerunt, magna ſtatim contentione
inter Macedones gloriæ auidos certatum
fuit, quiſnam primus murum caperet. Neo-
ptolemus ex AEacidarum gẽte, vnus ex ſo-
ciorum numero, primus conſcendit. Poſt
hunc alij atque alij duces cum ſuis cohorti-
bus. Quúmque iam nonnulli Macedonum
ad interiorẽ murorum partem penetraſſent,
portis aliis atque aliis, prout quæque ſeſe ob
tulerunt, recluſis, vniuerſum exercitum in-
tromittunt. Gazenſes, vrbe iam ab hoſtibus
occupata, conglobati nihilominus pugna-
bant, eóque ipſo loco quo quiſque conſti-
terat, vitam pugnans amiſit. Alexander, vxo
ribus eorum & liberis in ſeruitutẽ redactis,
coloniáque ex finitimis in vrbem deducta,
eo tanquam præſidio ad bellum eſt vſus.

Curt. Vltima pe ſtis vrbis fuit cũ niculo ſubrutus murus, &c.

ARRIANI HISTORIARVM DE EXPEDITIONE Alexandri,

Liber tertius.

Curt. Septimo die poſteaquam à Gaza mouerat, in regionē AEgypti, quam nūc caſtra Alexādri vocant, &c.

A ALEXANDER inde in AEgyptum, quò primùm iter inſtituerat, contendit, ſeptimóque poſtquam Gaza mouit die Peluſiū AEgypti vrbem peruenit: nauali interim exercitu ex Phœnice in AEgyptum adnauigante: ac naues quidem Peluſij appulſas offendit. Inter hæc Mazaces Perſa AEgypti ſatrapa à Dario conſtitutus, de pugna apud Iſſum commiſſa, déque turpi fuga Darij certior factus, B Phœniciam pręterea & Syriam magnámque Arabiæ partem in Alexandri poteſtatem redactam eſſe, quúmque ipſe Perſicum exercitum non haberet, Alexandrum in prouinciam atque vrbes amicè recepit. Præſidio itaque Peluſio impoſito, nauibúſque flumine Memphim petere iuſſis, ipſe Heliopolim contendit, Nilum flumen à dextra habens: oppidíſque quotquot in itinere erant deditione receptis, Heliopolim per deſerta peruenit. Inde, traiecto flumine Memphim venit, C vbi cùm reliquis diis, tum Apidi ſacrificium fecit, gymnicis ac muſicis ludis editis. ad quos præſtantiſſimi quique è Græcia artifices conuenere. Ex Memphi deinde ſecūdo flumine ad mare deuectus eſt. vbi ſcutatos, & ſagittarios atque Agrianos, & regiā turmam equitum ſociorum nauibus imponit. quúmque Canopum veniſſet, Mareotida paludem circumuectus, eò loci appulit, vbi nunc Alexandria ab Alexandri nomine ita dicta, condita eſt. Eius loci ſitus ei maximè opportunus condendæ vrbi eſt viſus, D & opulentam vrbem fore iam tum animo præſagiebat. Ordiendi igitur operis cupiditate ſuccenſus, vrbem deſignare cœpit, & quo loco forum ædificādum eſſet, quo tēpla extruēda, quotquot aut diis Gręcis, aut Iſidi AEgyptiæ ſacra eſſe volebat, poſtremò qua amplitudine murus circumducendus eſſet, præſcripſit. quúmque ea de re ſacrum diis faceret, ſacrificia proſperos euentus portenderunt. Narratur porro hac de re huiuſcemodi quidpiam, meo quidem iudicio, non indignum fide: E Voluiſſe quidē Alexandrum ſigna ducēdo muro fabris deſignare, quúmque nihil ad manum eſſet, quo terra inſcribi poſſet, quendā ex fabris hoc excogitaſſe, vt congeſta omni farina quam milites in vaſis habebant, eam terræ quam rex deſignabat aſpergeret, atque ita in orbem locum muro vrbi circūducendo præſcriptum fuiſſe. Addidiſſe etiam hoc vates, & quidem præcipuè Ariſtandrum Telmiſſenſem, qui multa etiam alia vera Alexandro prædixiſſe ferebatur, vrbem illam cùm aliis rebus, tum fru-

Curt. Elegit vrbi locū, vbi nunc eſt Alexandria, appellationem trahens ex nomine autoris. &c.

ἈΡΡΙΑΝΟΥ ἹΣΤΟΡΙΩΝ ἈΝΑΒΆΣΕΩΣ Ἀλεξάνδρου,

Βιβλίον τρίτον.

A ἈΛΈΞΑΝΔΡΟΣ δὲ ἐπ' Αἰγύπτου, ἵναπερ τὸ πρῶτον ὡρμήθη, ἐστέλλετο. καὶ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ τῆς Γάζης ἐλαύνων ἧκεν ἐς Πηλούσιον τῆς Αἰγύπτου. ὁ δὲ ναυτικὸς στρατὸς παρέπλει αὐτῷ ἐκ Φοινίκης ὡς ἐπ' Αἴγυπτον· καὶ καταλαμβάνει τὰς ναῦς ἐν Πηλουσίῳ ὁρμούσας. Μαζάκης δὲ ὁ Πέρσης, ὃς ἦν σατράπης Αἰγύπτου ἐκ Δαρείου καθεστηκώς, τήν τε ἐν Ἰσσῷ μάχην ὅπως συνέβη πεπυσμένος, καὶ Δαρεῖος B ὅτι αἰσχρᾷ φυγῇ ἔφυγε, καὶ Φοινίκην τε καὶ Συρίαν καὶ τῆς Ἀραβίας τὰ πολλὰ ὑπὸ Ἀλεξάνδρου ἐχόμενα· αὐτῷ τε οὐκ οὔσης δυνάμεως Περσικῆς, ἐδέχετο ταῖς πόλεσι φιλίως καὶ τῇ χώρᾳ Ἀλέξανδρον. ὁ δὲ εἰς μὲν Πηλούσιον φυλακὴν εἰσήγαγε, τοὺς δὲ ἐπὶ τῶν νεῶν ἀναπλεῖν κατὰ τὸν ποταμὸν κελεύσας, ἔστε ἐπὶ Μέμφιν πόλιν, αὐτὸς ἐφ' Ἡλιουπόλεως ᾔει, ἐν δεξιᾷ ἔχων τὸν ποταμὸν Νεῖλον, καὶ ὅσα καθ' ὁδὸν χωρία ἐνδιδόντων τῶν ἐνοικούντων κατασχών, διὰ τῆς ἐρήμου ἀφίκετο ἐς Ἡλιούπολιν. ἐκεῖθεν δὲ διαβὰς τὸν πόρον, C ἧκεν ἐς Μέμφιν· καὶ θύει ἐκεῖ τοῖς τε ἄλλοις θεοῖς, καὶ τῷ Ἄπιδι· καὶ ἀγῶνα ἐποίησε γυμνικόν τε καὶ μουσικόν. ἧκον δὲ αὐτῷ οἱ ἀμφὶ ταῦτα τεχνῖται ἐκ τῆς Ἑλλάδος οἱ δοκιμώτατοι. ἐκ δὲ Μέμφιος κατέπλει κατὰ τὸν ποταμὸν ὡς ἐπὶ θάλασσαν· τούς τε ὑπασπιστὰς ἐπὶ τῶν νεῶν λαβών, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, καὶ τῶν ἱππέων τὴν βασιλικὴν ἴλην τὴν τῶν ἑταίρων. ἐλθὼν δὲ ἐς Κάνωβον, καὶ κατὰ τὴν λίμνην τὴν Μαρίαν περιπλεύσας, ἀποβαίνει ὅπου νῦν Ἀλεξάνδρεια πόλις ᾤκισται, Ἀλεξάνδρου ἐπώνυμος, καὶ ἔδοξεν αὐτῷ ὁ χῶρος κάλλιστος κτί- D σαι ἐν αὐτῷ πόλιν, καὶ γενέσθαι ἂν εὐδαίμονα τὴν πόλιν. πόθος οὖν λαμβάνει αὐτὸν τοῦ ἔργου, καὶ αὐτὸς τὰ σημεῖα τῇ πόλει ἔθηκεν, ἵνα τε ἀγορὰν ἐν αὐτῇ δείμασθαι ἔδει, καὶ ἱερὰ ὅσα, καὶ θεῶν ὧντινων, τῶν μὲν Ἑλληνικῶν, Ἴσιδος δὲ Αἰγυπτίας· καὶ τὸ τεῖχος ᾗ περιβεβλῆσθαι. καὶ ἐπὶ τούτοις ἐθύετο, καὶ τὰ ἱερὰ καλὰ ἐφαίνετο. λέγεται δέ τις καὶ τοιόσδε λόγος, οὐκ ἄπιστος ἔμοιγε· ἐθέλειν μὲν Ἀλέξανδρον καταλείπειν αὐτὸν τὰ σημεῖα τοῦ τειχισμοῦ τοῖς τέκτοσιν, οὐκ εἶναι δὲ ὅτῳ τὴν γῆν ἐπιγράψουσι. τῶν δὴ τεκ- E τόνων ἕνα ἐπιφρασθέντα, ὅσα ἐν τεύχεσιν ἄλφιτα οἱ στρατιῶται ἐκόμιζον ξυναγαγέντα, ἐπιβάλλειν τῇ γῇ, ἵναπερ ὁ βασιλεὺς ὑφηγεῖτο· καὶ τὸν κύκλον οὕτω περιγραφῆναι τοῦ περιτειχισμοῦ, ὃν ἵνα τῇ πόλει ἐποίει. τοῦτο δὲ ἐπιλεξαμένους τοὺς μάντεις, καὶ μάλιστα δὴ Ἀρίστανδρον τὸν Τελμισσέα (ὃς δὴ πολλὰ μὲν καὶ ἄλλα ἀληθεῦσαι ἐλέγετο) Ἀλεξάνδρῳ φάναι, εὐδαίμονα ἔσεσθαι τὴν πόλιν, τά τε ἄλλα,

καὶ τῶν ἐκ γῆς καρπῶν ἕνεκα. ἐν τούτῳ δὴ καὶ Ἡγέλοχος κατέπλευσεν εἰς Αἴγυπτον, καὶ ἀπαγγέλλει Ἀλεξάνδρῳ, Τενεδίους τε ἀποστάντας Περσῶν, σφίσι προσθέσθαι (καὶ γὰρ ἄκοντας Πέρσαις προσχωρῆσαι)· καὶ Χίων ὅτι δὴ ὁ δῆμος ἐπηγάγετο σφᾶς βίᾳ τῶν κατεχόντων τὴν πόλιν, οὓς Αὐτοφραδάτης τε καὶ Φαρνάβαζος ἐγκατέστησαν. ἁλῶναι δὲ αὐτόθι καὶ Φαρνάβαζον ἐγκαταλειφθέντα, καὶ Ἀριστόνικον Μηθυμναῖον τὸν τύραννον, ἐσπλεύσαντα ἐς τὸν λιμένα τῆς Χίου ξὺν ἡμιολίαις λῃστρικαῖς πέντε· ὑπὸ σφῶν ἐχόμενον τὸν λιμένα οὐ γνόντα, ἀλλ᾽ ἐξαπατηθέντα γὰρ πρὸς τῶν τὰ κλεῖθρα ἐχόντων τοῦ λιμένος, ὅτι τὸ Φαρναβάζου ἄρα ναυτικὸν ὁρμεῖ ἐν αὐτῷ. καὶ τοὺς μὲν λῃστὰς πάντας αὐτοῦ κατακοπῆναι πρὸς σφῶν· Ἀριστόνικον δὲ ἥκειν παρ᾽ Ἀλέξανδρον, καὶ Ἀπολλωνίδην τὸν Χῖον, καὶ Φισῖνον, καὶ Μεγαρέα, καὶ τοὺς ἄλλους ὅσοι τῆς τε ἀποστάσεως τῆς Χίων ξυνεπελάβοντο, καὶ ἐν τῷ τότε τὰ πράγματα τῆς νήσου βίᾳ εἶχον. καὶ Μιτυλήνην δὲ Χάρητα ἔχοντα ἐπαφείλετο, καὶ τὰς ἄλλας τὰς ἐν Λέσβῳ πόλεις, καὶ αὐτὰς ὁμολογίᾳ προσηγάγετο. Ἀμφοτερὸν δὲ ξὺν ἑξήκοντα ναυσὶν ἐπὶ Κῶ ἔπεμψεν· ἐπικαλέσασθαι γὰρ σφᾶς τοὺς Κῴους, καὶ αὐτὸς καταπλεύσας ὅτι εὗρε τὴν Κῶ πρὸς Ἀμφοτεροῦ ἤδη ἐχομένην. καὶ τοὺς μὲν ἄλλους ὅσοι αἰχμάλωτοι, ἦγεν Ἡγέλοχος· Φαρνάβαζος δὲ ἀπέδρα ἐς Κῶ, λαθὼν τοὺς φύλακας. Ἀλέξανδρος δὲ τοὺς τυράννους μὲν τοὺς ἐκ τῶν πόλεων, ἐς τὰς πόλεις πέμπει, χρήσασθαι ὅπως ἐθέλοιεν· τοὺς δὲ ἀμφ᾽ Ἀπολλωνίδην τὸν Χῖον, ἐς Ἐλεφαντίνην πόλιν Αἰγυπτίαν ξὺν φυλακῇ ἀκριβεῖ ἔπεμψεν.

Ἐπὶ τούτοις δὲ πόθος λαμβάνει αὐτὸν ἐλθεῖν παρ᾽ Ἄμμωνα ἐς Λιβύην, τὸ μέν τι τῷ θεῷ χρησόμενον, ὅτι ἀτρεκὲς ἐλέγετο εἶναι τὸ μαντεῖον τοῦ Ἄμμωνος, καὶ χρήσασθαι αὐτῷ Περσέα καὶ Ἡρακλέα· τὸν μὲν ἐπὶ τὴν Γοργόνα ὅτε πρὸς Πολυδέκτου ἐστέλλετο· τὸν δέ, ὅτι παρ᾽ Ἀνταῖον ᾔει εἰς Λιβύην, καὶ παρὰ Βούσιριν εἰς Αἴγυπτον. Ἀλεξάνδρῳ δὲ φιλοτιμία ἦν πρὸς Περσέα καὶ Ἡρακλέα, ἀπὸ γένους τε ὄντι τοῦ ἀμφοῖν· καί τι καὶ αὐτὸς τῆς γενέσεως τῆς ἑαυτοῦ ἐς Ἄμμωνα ἀνέφερε, καθάπερ οἱ μῦθοι τὴν Ἡρακλέους τε καὶ Περσέως ἐς Δία. καὶ οὖν παρ᾽ Ἄμμωνα ταύτῃ τῇ γνώμῃ ἐστέλλετο, ὡς καὶ τὰ αὑτοῦ ἀτρεκέστερον εἰσόμενος, ἢ φήσων γε ἐγνωκέναι. μέχρι μὲν δὴ Παραιτονίου παρὰ θάλασσαν ᾔει δι᾽ ἐρήμου οὐ μέντοι δι᾽ ἀνύδρου τῆς χώρας, σταδίους ἐς χιλίους καὶ ἑξακοσίους, ὡς λέγει Ἀριστόβουλος. ἐντεῦθεν δὲ ἐς τὴν μεσόγαιαν ἐτράπετο, ἵνα τὸ μαντεῖον ἦν τοῦ Ἄμμωνος. ἔστι δὲ ἐρήμη τε ἡ ὁδός, καὶ ψάμμος ἡ πολλὴ αὐτῆς, καὶ ἄνυδρος. ὕδωρ δὲ ἐξ οὐρανοῦ Ἀλεξάνδρῳ πολὺ ἐγένετο· καὶ τοῦτο ἐς τὸ θεῖον ἀνηνέχθη. ἀνηνέχθη δὲ ἐς τὸ θεῖον καὶ τόδε· ἄνεμος Νότος ἐὰν πνεύσῃ ἐν ἐκείνῳ τῷ χώρῳ, τῆς ψάμμου ἐπιφορεῖ κατὰ τῆς ὁδοῦ ἐπὶ μέγα, καὶ ἀφανίζεται τῆς ὁδοῦ τὰ σημεῖα. οὐδὲ ἔστιν εἰδέναι ἵνα χρὴ πορεύεσθαι, καθάπερ ἐν πελάγει, τῇ ψάμμῳ· ὅτι σημεῖα οὐκ ἔστι κατὰ τὴν ὁδόν, οὔτε που ὄρος, οὔτε δένδρον, οὔτε γήλοφοι βέβαιοι ἀνεστηκότες, οἷστισιν οἱ ὁδῖται τεκμαίροιντο ἂν τὴν πορείαν, καθάπερ οἱ ναῦται τοῖς ἄστροις· ἀλλ᾽ ἐπλανᾶτο γὰρ ἡ στρατιὰ Ἀλεξάνδρῳ, καὶ οἱ ἡγεμόνες τῆς ὁδοῦ ἀμφίβολοι ἦσαν. Πτολεμαῖος μὲν δὴ ὁ Λάγου λέγει δράκοντας δύο ἰέναι πρὸ τοῦ στρατεύματος, φωνὴν ἱέντας, καὶ τούτοις

gum copia opulentam fore. Inter hæc Hegelochus in AEgyptum cum nauibus venit, qui Alexandro renuntiat, Tenedienſes ad ſe à Perſis defeciſſe. quòd inuiti Perſis ſeſe coniunxiſſent. Chios quoque vrbem ſuã ab eorum violentia vindicaſſe, quos Pharnabazus, & Autophradates præſidio reliquerant. Captum etiam in ea ipſa vrbe eſſe Pharnabazum & cuſtodiæ traditum, vnáque Ariſtonicum Methymnæum tyrannum qui in portum Chij cum quinque piraticis nauib' ſe recepiſſet, ignarus portũ ab iis teneri, deceptúſque ab iis qui clauſtra portus tuebantur, Pharnabazi claſſem in ea ſtatione eſſe affirmãtibus: ac piratas quidem omnes ad internicionem cæſos eſſe. adducere ſe ad Alexandrũ Ariſtonicum, & Apollonidẽ Chiũ, Phiſinúmque & Megareum, qui defectionis autores adiutoréſque fuerant, ac tum temporis violentam apud Chios rerum omniũ adminiſtrationem tenebant. Adhæc, Mitylenas, quas Chares occuparat, recuperatas, reliquáque Leſbiorum oppida deditione recepta eſſe. Amphoterum cum LX nauibus in Con inſulam miſſum: accerſiſſe enim ipſos Coos, ſéque quum illac præternauigaret, intellexiſſe inſulam in Amphoteri poteſtate eſſe. & cæteros quidẽ captiuos omnes Hegelochus adduxit: Pharnabazus in Con inſulã clam cuſtodibus aufugit. Alexander tyrannos quidem vrbium in vrbes mittit, vt de iis ſicut liberet ſtatuerent. Eos verò qui circa Apollonidẽ Chiũ erãt, in Elephantinẽ AEgypti vrbẽ cum accurata cuſtodia miſit.

Poſt hæc cupido Alexandrum cepit *adeundi Ammonis Libyci, oracula depoſcendi cauſa, quæ certiſſima eſſe ferebantur, Perſeúſque ipſe & Hercules deum conſuluiſſe credebantur: ille quidẽ quum aduerſus Gorgona à Polydecte miſſus eſſet: hic verò, quũ in Libyã aduerſus Antæũ, & in AEgyptum cõtra Buſiriden proficiſceretur. Erat porro Alexandro æmulatio quædã cum Perſeo & Hercule, quippe qui genus ab vtroque duceret. Siquidẽ & ipſe ortus ſui initia ad Ammonem referebat, quemadmodũ Perſei atque Herculis, fabulæ ad Iouẽ. *Hoc itaque cõſilio ad Ammonẽ proficiſcebatur, vt quæ ad genus fortunámq; ſuã pertinerẽt certius cognoſceret, aut ſaltem ſe nouiſſe iactaret. Ac quandiu Parætoniũ vſque ſecus mare per ſolitudinẽ profectus eſt, ſed nõ omnino per inaquoſam regionem, vt tradit Ariſtobulus, ad mille ſexcenta ſtadia iter fecit. Inde Meſogæam petiit, vbi Ammonis templũ eſt, vnde oracula petũtur. Eſt autem via planè deſerta altóq; ſabulo impedita, & aquæ inops. At Alexãdro larga è cęlo pluuia demiſſa eſt, quod quidẽ prodigio habitũ fuit. ſicut etiã hoc: Quotieſcunq; Auſter ea in regione ſpirat, magna vi arenę viã obruit, ita vt oĩa viarũ veſtigia obducãtur, &, perinde vt in pelago, qua eundũ ſit cerni pre arena non poſſit. Neq; enim ſigna vllã ſiue notæ ad viã extãt, nõ collis, nõ arbor, nõ certi tumuli, ex quib' viatores itineris rationẽ colligere, vt nautæ ex aſtris, poſſint. Errabat itaque Alexandri exercit', eiúſq; ductores de via ambigebãt. Ptolemæus Lagi filius autor eſt, dracones duos, clamore edito, agmen præceſſiſſe, &

Curt. Adire Iouis Ammonis oraculum.

Curt. Ingens cupido animum ſtimulabat adeundi, &c.

V. c. habet μεσόγαιαν.

Sed vt aperuere ſe campi alto obruti ſabulo, haud ſecus quàm profundum æquor ingreſſi, terram oculis requirebant.

Alexādrum ducibus imperaſſe, vt prodigio acquieſcētes, dracones ſequerentur, qui eos in oraculi ſedem & duxerunt & reduxerunt. Ariſtobulus autem (cui plures aſſentiunt) duos coruos ante exercitum volitaſſe ſcribit, eóſque Alexandro itineris duces extitiſſe. Ego verò affirmare auſim ipſum aliquo prodigio adiutum fuiſſe. veriſimile enim omnino hoc eſt: at rei veritatem ſcriptorum varietas obſcurauit. Locus autē in quo Ammonis templum eſt, omni ex parte vaſtas ſolitudines, & denſas ac ſiticuloſas arenas habet. Medium huius loci, quod exiguo ſpatio circumſcribitur, (nam vbi latiſſimum eſt, ad quadraginta ſummum ſtadia extēditur) cultis arboribus eſt refertum, oleis nimirum & palmis, ſolúmque ex circumiectis locis roſcidum. Fons etiam ex eo oritur, nihil cum reliquis fontibus quotquot è terra ſcaturiunt ſimile habens. Meridie enim frigidus eſt guſtanti, multóque magis attingenti, vtpote frigidiſſimus. Sole ad veſperum vergēte, calidior eſt, qui quidem calor à veſpero ad mediam noctem vſque incremēta accipit. Media nocte calidiſſimus eſt, poſt mediam noctem paulatim refrigeſcit: & ſub auroram frigidus eſt, meridie frigidiſſimus. atque has quidem viciſſitudines ſingulis diebus ſubit. Gignit autem etiam hoc ſolum ſuapte natura ſalē foſſilē, quem quidem nonnulli ſacerdotes Ammonis in AEgyptum portant. Quum enim in AEgyptum proficiſcuntur, ſalem in ciſtulas ex palma contextas conditum, regi aut alteri cuipiam muneri ferunt. Sunt autem fruſta oblonga (quædam enim longitudinem trium digitorum excedunt) puráque inſtar cryſtalli. Hoc genere ſalis & AEgyptij, & alij quibus diuinus cultus curæ eſt, in ſacrificiis vtuntur, quòd ſale marino ſit purior. Alexander loci naturam admiratus, oraculum conſuluit: acceptóque reſponſo ſibi (vt dicebat) grato, in AEgyptum rediit, eodem, vt Ariſtobulus autor eſt, quo venerat itinere: vt verò Ptolemæus ſcribit, rectiore via Memphim verſus.

Curt. Iámque haud procul oraculi ſede aberāt, quum complures coru &c.

Ad Memphim multæ ad eum ex Græcia legationes venere, neque quenquam, qui poſtulata non impetraſſet, dimiſit. Nouæ etiam copiæ acceſſerunt; ab Antipatro mercenarij Græci quadringenti, quibus præerat Menœtas Hegeſandri filius. Ex Thracia equites circiter quingenti, quibus præfectus erat Aſclepiodorus Eunici filius. Eo loci Ioui regi ſacrum fecit, donáque cum exercitu armato miſit. ludos etiam gymnicos & muſicos exhibuit. Deinde ad AEgypti adminiſtrationem conſtituendam cōuerſus, duos AEgypto præſides AEgyptios præfecit, Doloaſpim & Petiſim, inter quos vniuerſam AEgypti regionem diſtribuit. Petiſe verò imperium detrectante, Doloaſpis totā prouinciam ſuſcepit. Præſidiorum principes ex amicis in Memphi conſtituit Pantaleontem Pydnæum: Peluſij, Polemonē Megaclis Pellæum. Exteris militibus Lycidam AEtolum præfecit. Scribam præterea exteris adiunxit Eugnoſtum Xenophanti filium, ex amicis. Speculatores verò iiſdem adiecit AEſchylū & Ephippū

Curt. Omnes ea, quæ deſiderare viſi, impetraue-runt.

Ἀλέξανδρον κελεῦσαι ἕπεσθαι τοὺς ἡγεμόνας, πιστεύσαντας τῷ θείῳ· τοὺς δὲ ἡγήσασθαι τὴν ὁδὸν τήν τε ἐς τὸ μαντεῖον, καὶ ὀπίσω αὖθις. Ἀριστόβουλος δὲ (καὶ ὁ πλείων λόγος ταύτῃ κατέχει) κόρακας δύο προπετομένους τῆς στρατιᾶς, τούτους γενέσθαι Ἀλεξάνδρῳ τοὺς ἡγεμόνας. καὶ ὅτι μὲν θεῖόν τι ξυνεπέλαβεν αὐτῷ, ἔχω ἰσχυρίσασθαι, ὅτι καὶ τὸ εἰκὸς ταύτῃ ἔχει· τὸ δὲ ἀτρεκὲς τοῦ λόγου ἀφείλοντο οἱ ἄλλῃ καὶ ἄλλῃ αὐτὸ ἐξηγησάμενοι. ὁ δὲ χῶρος ἵναπερ τοῦ Ἄμμωνος τὸ ἱερόν ἐστι, τὰ μὲν κύκλῳ πάντα ἔρημα, καὶ ψάμμος τὸ πᾶν ἔχει, καὶ ἄνυδρος. αὐτὸς δὲ ἐν μέσῳ ὀλίγος ὢν (ὅσον γὰρ πλεῖστον αὐτοῦ ἐς πλάτος διέχει, ἐς τεσσαράκοντα δὲ μάλιστα σταδίους ἔρχεται) κατάπλεώς ἐστιν ἡμέρων δένδρων, ἐλαιῶν καὶ φοινίκων. καὶ ἔνδροσος μόνος τῶν πέριξ· καὶ πηγὴ ἐξ αὐτοῦ ἀνίσχει, οὐδέν τι ἐοικυῖα ταῖς πηγαῖς ὅσαι ἄλλαι ἐκ γῆς ἀνίσχουσιν. ἐν μὲν γὰρ μεσημβρίᾳ ψυχρὸν τὸ ὕδωρ γευσαμένῳ τε, καὶ ἔτι μᾶλλον ἁψαμένῳ, οἷον ψυχρότατον· ἐγκλίναντος δὲ τοῦ ἡλίου ἐς ἑσπέραν, θερμότερον· καὶ ἀπὸ τῆς ἑσπέρας ἔτι θερμότερον, ἔστε ἐπὶ μέσας τὰς νύκτας· μέσων δὲ νυκτῶν, ἑαυτοῦ θερμότατον· ἀπὸ δὲ μέσων νυκτῶν, ψύχεται ἐν τάξει· καὶ ἕωθεν ψυχρὸν ἤδη ἐστί, ψυχρότατον δὲ μεσημβρίας· καὶ τοῦτο ἀμείβει ἐπὶ ἑκάστῃ τῇ ἡμέρᾳ. γίγνονται δὲ καὶ ἅλες αὐτόματοι ἐν τῷ χωρίῳ τούτῳ ὀρυκτοί· καὶ τούτων ἔστιν οὓς ἐς Αἴγυπτον φέρουσι τῶν ἱερέων τινὲς τοῦ Ἄμμωνος. ἐπειδὴ γὰρ ἐπ᾽ Αἰγύπτου στέλλονται, ἐς κοιτίδας πλεκτὰς ἐκ φοίνικος ἐσβαλόντες, δῶρον τῷ βασιλεῖ ἀποφέρουσιν, ἢ εἴτῳ ἄλλῳ. ἔστι δὲ μακρός τε ὁ χόνδρος (ἤδη τινὲς αὐτῶν καὶ ὑπὲρ τρεῖς δακτύλους) καὶ καθαρὸς, ὥσπερ κρύσταλλος· καὶ τούτῳ ἐπὶ ταῖς θυσίαις χρῶνται, ὡς καθαρωτέρῳ τῶν ἀπὸ θαλάσσης ἁλῶν, Αἰγύπτιοί τε καὶ ὅσοι ἄλλοι τοῦ θείου οὐκ ἀμελῶς ἔχουσιν. ἐνταῦθα Ἀλέξανδρος τόν τε χῶρον ἐθαύμασε, καὶ τῷ θεῷ ἐχρήσατο· καὶ ἀκούσας ὅσα αὐτῷ πρὸς θυμοῦ ἦν, ὡς ἔλεγεν, ἀνέζευξεν ἐπ᾽ Αἰγύπτου· ὡς μὲν Ἀριστόβουλος λέγει, τὴν αὐτὴν ὀπίσω ὁδόν· ὡς δὲ Πτολεμαῖος ὁ Λάγου, ἄλλην εὐθεῖαν, ὡς ἐπὶ Μέμφιν.

Εἰς Μέμφιν δὲ αὐτῷ πρεσβεῖαί τε πολλαὶ ἐκ τῆς Ἑλλάδος ἧκον, καὶ οὐκ ἔστιν ὅντινα ἀτυχήσαντα ὧν ἐδεῖτο ἀπέπεμψε. καὶ στρατιὰ παραγίνεται, παρὰ μὲν Ἀντιπάτρου, μισθοφόροι Ἕλληνες ἐς τετρακοσίους, ὧν ἡγεῖτο Μενοίτας ὁ Ἡγησάνδρου· ἐκ Θρᾴκης δὲ ἱππεῖς ἐς πεντακοσίους, ὧν ἦρχεν Ἀσκληπιόδωρος ὁ Εὐνίκου. ἐνταῦθα δὲ θύει τῷ Διὶ τῷ βασιλεῖ, καὶ πομπεύει ξὺν τῇ στρατιᾷ ἐν τοῖς ὅπλοις· καὶ ἀγῶνα ποιεῖ γυμνικὸν, καὶ μουσικόν. καὶ τὰ κατὰ τὴν Αἴγυπτον ἐνταῦθα ἐκόσμησε· δύο μὲν νομάρχας Αἰγύπτου κατέστησεν Αἰγυπτίους, Δολόασπιν καὶ Πέτισιν, καὶ τούτοις διένειμε τὴν χώραν τὴν Αἰγυπτίαν. Πετισίου δὲ ἀπειπαμένου τὴν ἀρχὴν, Δολόασπις ἐκδέχεται πᾶσαν. φρουράρχους δὲ τῶν ἑταίρων ἐν Μέμφει μὲν, Πανταλέοντα κατέστησε τὸν Πυδναῖον· ἐν Πηλουσίῳ δὲ, Πολέμωνα τὸν Μεγακλέους, Πελλαῖον· τῶν ξένων δὲ ἄρχειν Λυκίδαν Αἰτωλόν. γραμματέα δὲ ἐπὶ τῶν ξένων, Εὔγνωστον τὸν Ξενοφάντου, τῶν ἑταίρων. ἐπισκόπους δὲ αὐτῶν, Αἰσχύλον τε καὶ Ἔφιππον

τὸν Χαλκηδόνα. Λιβύης δὲ τῆς προσχώρου ἄρχειν δίδωσιν Ἀπολλώνιον Χαρίνου. Ἀραβίας δὲ τῆς πρὸς ἡρώων πόλεως, Κλεομένην τὸν Ἐκναυκράτιον. καὶ τούτῳ παρηγγέλλετο, τοὺς μὲν νομάρχας ἐᾶν ἄρχειν τῶν νομῶν τῶν κατὰ σφᾶς, καθάπερ ἐκ παλαιοῦ καθειστήκει. αὐτὸν δὲ ἐκλέγειν παρ᾽ αὐτῶν τοὺς φόρους· οἱ δὲ ἀποφέρειν αὐτῷ ἐτάχθησαν. στρατηγοὺς δὲ τῇ στρατιᾷ κατέστησεν, ἣν ἵνα ἐπ᾽ Αἰγύπτῳ ὑπελείπετο, Πευκέσταν τε τὸν Μαρκατάτου, καὶ Βάλακρον τὸν Ἀμύντου. ναύαρχον δὲ ἐπὶ τῶν νεῶν, Πολέμωνα τὸν Θηραμένους. σωματοφύλακα δὲ ἀντὶ Βαλάκρου, τὸν Λεοννάτον τὸν Ὀνάσου ἔταξεν· Ἀννούβας γὰρ νόσῳ ἀπέθανεν. ἀπέθανε δὲ καὶ Ἀντίοχος, ὁ ἄρχων τῶν τοξοτῶν, καὶ ἀντ᾽ αὐτοῦ ἄρχειν ἐπέστησε τοῖς τοξόταις Ὀμβρίωνα Κρῆτα. ἐπὶ δὲ τοὺς ξυμμάχους τοὺς πεζούς, ὧν Βάλακρος ἡγεῖτο (ἐπεὶ Βάλακρος ἐν Αἰγύπτῳ ὑπελείπετο) Κάλανον κατέστησεν ἡγεμόνα. κατανεῖμαι δὲ λέγεται ἐς πολλοὺς τὴν ἀρχὴν τῆς Αἰγύπτου, τήν τε φύσιν τῆς χώρας θαυμάσας καὶ τὴν ὀχυρότητα, ὅτι οὐκ ἀσφαλὲς αὐτῷ ἐφαίνετο ἑνὶ ἐπιτρέψαι ἄρχειν Αἰγύπτου πάσης. καὶ Ῥωμαῖοί μοι δοκοῦσι, παρ᾽ Ἀλεξάνδρου μαθόντες, ἐν φυλακῇ ἔχειν Αἴγυπτον, καὶ μηδένα τῶν ἀπὸ βουλῆς ἐπὶ τῷδε ἐκπέμπειν ὕπαρχον Αἰγύπτου, ἀλλὰ τῶν εἰς τοὺς ἱππέας σφίσι ξυντελούντων. Ἀλέξανδρος δὲ ἅμα τῷ ἦρι ὑποφαίνοντι, ἐκ Μέμφιος ᾔει ἐπὶ Φοινίκης, καὶ ἐγεφυρώθη αὐτῷ ὅ, τε κατὰ Μέμφιν πόρος τοῦ Νείλου, καὶ αἱ διώρυχες αὐτοῦ πᾶσαι. ὡς δὲ ἀφίκετο ἐς Τύρον, καταλαμβάνει ἐνταῦθα ἧκον αὐτῷ ἤδη καὶ τὸ ναυτικόν. ἐν Τύρῳ δὲ αὖθις θύει τῷ Ἡρακλεῖ, καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ μουσικόν. ἐνταῦθα ἀφικνεῖται παρ᾽ αὐτὸν ἐξ Ἀθηνῶν ἡ Πάραλος, πρέσβεις ἄγουσα Διόφαντον καὶ Ἀχιλλέα. ξυνεπρέσβευον δὲ αὐτοῖς καὶ οἱ πάραλοι ξύμπαντες. καὶ οὗτοι τῶν τε ἄλλων ἔτυχον ὧν ἕνεκα ἐστάλησαν· καὶ τοὺς αἰχμαλώτους ἀφῆκεν Ἀθηναίοις ὅσοι ἐπὶ Γρανικῷ Ἀθηναίων ἑάλωσαν. τὰ δὲ ἐν Πελοποννήσῳ, ὅτι αὐτῷ νενεωτερίσθαι ἀπήγγελτο, Ἀμφοτερὸν πέμπει βοηθεῖν Πελοποννησίων ὅσοι ἔς τε τὸν Περσικὸν πόλεμον βέβαιοι ἦσαν, καὶ Λακεδαιμονίων οὐ κατήκουον. Φοίνιξι δὲ καὶ Κυπρίοις προσετάχθη ἑκατὸν ναῦς ἄλλας, πρὸς αἷς ἔχοντα Ἀμφοτερὸν ἔπεμπε, στέλλειν ἐπὶ Πελοποννήσῳ. αὐτὸς δὲ ἤδη ἄνω ὡρμᾶτο, ὡς ἐπὶ Θάψακόν τε καὶ τὸν Εὐφράτην ποταμόν. ἐν Φοινίκῃ μὲν ἐπὶ τῶν φόρων τῇ ξυλλογῇ καταστήσας Κοίρανον Βερροιαῖον· Φιλόξενον δὲ τῆς Ἀσίας, τὰ ἐπὶ τάδε τοῦ Ταύρου ἐκλέγειν. τῶν ξὺν αὐτῷ δὲ χρημάτων τὴν φυλακὴν ἀντὶ τούτων ἐπέτρεψεν Ἁρπάλῳ τῷ Μαχάτα, ἄρτι ἐκ τῆς φυγῆς ἥκοντι. Ἅρπαλος γὰρ τὰ μὲν πρῶτα ἔφυγε, Φιλίππου ἔτι βασιλεύοντος, ὅτι πιστὸς ἦν. καὶ Πτολεμαῖος ὁ Λάγου ἐπὶ τῷ αὐτῷ ἔφυγε, καὶ Νέαρχος ὁ Ἀνδροτίνου, καὶ Ἐριγύϊος ὁ Λαρίχου, καὶ Λαομέδων ὁ τούτου ἀδελφός, ὅτι ὕποπτα ἦν Ἀλεξάνδρῳ πρὸς Φίλιππον, ἐπειδὴ Εὐρυδίκην γυναῖκα ἠγάγετο Φίλιππος, Ὀλυμπιάδα δὲ τὴν Ἀλεξάνδρου μητέρα ἠτίμασε. τελευτήσαντος δὲ Φιλίππου, κατελθόντας ἀπὸ τῆς φυγῆς ὅσοι δι᾽ αὐτὸν ἔφευγον, Πτολεμαῖον μὲν, σωματοφύλακα κατέστησεν· Ἅρπαλον δὲ, ἐπὶ τῶν χρημάτων, ὅτι αὐτῷ τὸ σῶμα ἐς τὰ πολέμια ἀχρεῖον ἦν. Ἐριγύϊον

A Chalcedonem. Lybiæ verò finitimæ Apollonium Charini filium præfecit: Arabiæ quæ eſt ad vrbem heroum, Cleomenem Ecnaucratium: mandatis additis, vt legum imperium iuxta veterem conſuetudinem penes præſides eſſet: ipſe tributa colligeret, quæ quidem ipſi vt penderent imperauit. Copiis quas in AEgypto reliquerat, duces præfecit Peuceſtam Marcatati & Balacrum Amyntę filium. Claſſi verò, Polemonē Theramenis filium. Corporis cuſtodē loco Balacri Leōnatum Onaſi filium conſtituit: Annubas enim mortem obierat. Obierat autem etiam
B Antiochus ſagittariorum dux, in cuius locū Ombrionem Cretenſem ſuffecit. Sociorum peditatui cui Balacrus præerat (qui in AEgypto relinquebatur) Calanum ducē conſtituit. AEgypti imperium in plures præſides partitus eſſe dicitur, naturam regionis miratus ſimul & munimenta, neque tutum ratus vniuerſum AEgypti imperium vni cōmittere. Quod quidem Alexandri conſilium imitati Romani in tuenda AEgypto
C mihi videntur, neminémque ſenatorij ordinis, ſed equeſtris, proconſulem eò mittere. Alexander ineunte vere Mēphi in Phœniciam mouit, & Nilo flumine eiúſque anfractibus omnibus ſecus Memphim ponte ſtratis, Tyrum peruenit, vbi claſſem reperit, & Herculi rurſus ſacrum fecit, ludóſque gymnicos & muſicos edidit. Eodem loci ſacra Athenienſium nauis ad Alexandrum venit, legatos aduehens Diophantum & Achillem. Coniunxerant ſeſe huic legationi omnes maritimæ oræ incolæ. quibus qui-
D dem omnia quæ poſtularunt conceſſit, & Athenienſibus ciues quotquot ad Granicum amnem capti fuerant remiſit. Quúmque in Peloponneſo tumultus excitati eſſe nuntiarentur, Amphoterum eò mittit, iis qui conſtantes ad Perſicum vſque bellum manſerant, neque Lacedæmoniis morem geſſerant, ſubuenturum. Phœnicibus autem & Cypriis centum alias naues parare iuſſis, Amphotero eas in Peloponneſum ducendi negotium dat. Ipſe verò vlteriora
E petens, ad Thapſacum & Euphratem fluuium contendit, atque in Phœnicia quidem tributis cogendis Cœranum Berrœęū quæſtorem conſtituit. In Aſia, Philoxenum, qui trans *Taurum vectigalia cogat. Pecuniarum autem quas penes ſe habebat, Harpalo Machatæ, qui recens ab exilio redierat, in horum locum ſuffecto, curam dedit. Hic ipſe Harpalus, quòd fidus fuiſſet, Philippo adhuc regnante fugerat, eadémque de cauſa vnà cum illo etiam Ptolemæus Lagi, &
F Nearchus Androtini, atque Erigyus Larichi filius eiúſque frater Laomedon. Suſpectus enim erat Alexander Philippo, poſtquam Olympiade Alexandri matre repudiata, Eurydicen vxorem cepit. Mortuo autem Philippo quum ij qui ſua cauſa fugerant, rediiſſent, Ptolemęum quidem inter corporis cuſtodes retulit: Harpalum verò, quòd corpore eſſet ad res bellicas ſubeundas parum firmo, theſauris præfecit. Erigyum equita-

Fac. In Aſia Taurum Philoxenū conſtituit.

tui ſociorum ducem ſtatuit: Laomedontem eius fratrem, quòd duarum linguarum peritus eſſet, quantum ad literas barbaras attinet, captiuis barbaris: Nearchũ Lyciæ atq; vniuerſæ regioni quæ Lyciæ finitima eſt, ad Taurum montem vſq; præpoſuit. Paulo ante prælium quod apud Iſſon commiſſum erat, Harpalus perſuaſus à Taurisco homine improbo, vnà cũ eo fugerat. Et Tauriſcus quidem ad Alexandrum Epirotam in Italiam profectus, ibi vitam finijt. Harpalus, quum ad Megarenſes ſe recepiſſet, perſuaſus ab Alexandro vti ad ſe reuerteretur, accepta fide fugam ſibi damno non futuram, rediit. Is reuerſus, non ſolum nihil damni accepit, vt etiam pecuniarum adminiſtrationi denuo admotus fuerit. In Lydiam Menandrum vnum ex ſociis ſatrapã miſit, Clearcho exteris, quorũ dux erat Menãder, ſuffecto. In Arimmæ locũ Aſclepiodorũ Eunici F. Syriæ ſatrapã cõſtituit, quòd Arimmas ſibi viſus eſſet in præparãdis neceſſariis exercitui, interiores AEgypti partes petenti, regiam maieſtatem vſurpaſſe. Alexander Thapſacum peruenit, archõte Athenis Ariſtophane. vbi duobus pontibus iunctũ vadũ reperit. Mazæus enim, cui Darius amnis tutelam mandauerat, cum tribus fere millibus equitũ, in quibus duo erãt millia Græcorũ mercenariorũ, antea ad flumẽ cõſederat. Quũq; põs nõ cõtinuus in vlteriorẽ ripã pertingeret, veriti ſunt initio Macedones, ne qui cũ Mazæo erãt pontẽ qua parte imperfectus erat ſupplerẽt. Ceterùm Mazæus ſtatim atq; Alexandrum appropinquare cognouit, cũ omnibus copiis inde aufugit. Poſt eius fugam, pontibus in vlteriorem ripam iactis, Alexander vniuerſum exercitum traduxit. Inde vlterius per regionem, cui Meſopotamia nomen eſt, ad læuam Euphratem fluuium & Armeniæ montes habens, progreſſus eſt. Neq; verò recta via ab Euphrate mouens Babylonem contendit, quòd alia via ad exercitum ducendũ commodior, plus pabuli equis ſuppeditaret, aliáq; neceſſaria ex ea regione ſumi poſſent, neque æſtus tantopere gradientes torreret. In itinere exploratores nonnulli longius ab exercitu Darij ſpeculatum digreſſi, capti ſignificarunt Darium ad Tigrim fluuium conſediſſe, & Alexandrũ tranſitu prohibiturum, multóq; maiores copias habere, quàm quibuſcum in Cilicia pugnarat. Quo cognito, Alexander confeſtim ad Tigrim contendit. Quò poſtquam venit, neque Darium ipſum offendit, neque præſidium vllum à Dario relictum. Itaque flumen tranſit, ægrè quidem ob curſus rapiditatem, nemine tamen prohibente. Ibi nõnihil quietis exercitui dedit. Per id tẽpus ingens lunæ defectio fuit. Alexander lunæ, ſoli, ac terræ, à quibus eclipſes fieri dicuntur, ſacrificium fecit. Ariſtandro viſum eſt, felicem ac fauſtum ſucceſſum Alexãdro & Macedonibus per lunæ defectum portendi, præliúmque eo ipſo menſe committendum eſſe, & ſacrificia ipſa victoriam Alexandro promittere. Motis itaque caſtris à Tigri per Aſſyriam exercitũ duxit, â ſiniſtra habẽs Sogdianorũ mõtes, à dextra Tigrim. Quarto deinde poſt trãſitum die

Cur. Mazæo prætori ſex millia data, quibus tranſitus amnis arceretur.

Cur. Quarto die præter Arbelam penetrat ad Tigrim.

Cur. Gradũ firmare vix poterãt, quum modò ſaxa lubrica veſtigium fallerẽt, modò rapidior vnda ſubduceret.

Curt. Biduo ibi rex ſtatiua habuit.

Cur. Prima fere vigilia luna deficiẽs primũ nitorẽ ſideris ſui cõdidit &c.

Vet. cod. Ἀσυρίας.

A δὲ, ἱππαρχεῖν τῶν ξυμμάχων· Λαομέδοντα δὲ τὸν τούτου
ἀδελφὸν, ὅτι δίγλωσσος ἦν, ἐς τὰ βαρβαρικὰ γράμ-
ματα, ἐπὶ τοῖς αἰχμαλώτοις βαρβάροις· Νέαρχον δὲ,
σατραπεύειν Λυκίας, καὶ τῆς ἐχομένης Λυκίας χώρας, ἔστε
ἐπὶ τὸν Ταῦρον τὸ ὄρος. ὀλίγον δὲ πρόσθεν τῆς μάχης
τῆς ἐν Ἰσσῷ γενομένης, ἀναπεισθεὶς πρὸς Ταυρίσκου
ἀνδρὸς κακοῦ Ἅρπαλος, φεύγει ξὺν Ταυρίσκῳ· καὶ ὁ
μὲν Ταυρίσκος παρ' Ἀλέξανδρον τὸν Ἠπειρώτην ἐς Ἰ-
ταλίαν σταλεὶς, ἐκεῖ ἐτελεύτησεν· Ἁρπάλῳ δὲ ἐν τῇ Με-
γαρίδι φυγὴ ἦν. ἀλλ' Ἀλέξανδρος πείθει αὐτὸν κατελ-
B θεῖν, πίστεις δοὺς οὐδὲν αὐτῷ μεῖον ἔσεσθαι ἐπὶ τῇ φυγῇ·
οὐδὲ ἐγένετο ἐπανελθόντι, ἀλλ' ἐπὶ τῶν χρημάτων αὖ-
θις ἐτάχθη Ἅρπαλος. ἐς Λυδίαν δὲ σατράπην Μένανδρον
ἐκπέμπει, τῶν ἑταίρων. ἐπὶ δὲ τοῖς ξένοις ὧν ἡγεῖτο Μέ-
νανδρος, Κλέαρχος αὐτῷ ἐτάχθη. ἀντὶ δὲ Ἀρίμμα, σα-
τράπην Συρίας Ἀσκληπιόδωρον τὸν Εὐνίκου ἀπέδει-
ξεν, ὅτι Ἀρίμμας βασιλεῦσαι ἐδόκει αὐτῷ ἐν τῇ πα-
ρασκευῇ, ἥντινα ἐτάχθη παρασκευάσαι τῇ στρατιᾷ, κατὰ
τὴν ὁδὸν τὴν ἄνω. καὶ ἀφίκετο ἐς Θάψακον Ἀλέξαν-
δρος, μηνὸς Ἑκατομβαιῶνος, ἐπὶ ἄρχοντος Ἀθήνη-
C σιν Ἀριστοφάνους· καὶ καταλαμβάνει δυοῖν γεφύραιν
ἐζευγμένον τὸν πόρον. καὶ γὰρ καὶ Μαζαῖος, ὅτῳ ἡ φυ-
λακὴ τοῦ ποταμοῦ ἐκ Δαρείου ἐπιτέτραπτο, ἱππέας
μὲν ἔχων περὶ τρισχιλίους, καὶ τούτων Ἕλληνας μισθοφό-
ρους δισχιλίους, τέως μὲν αὐτοῦ ἐπὶ τῷ ποταμῷ ἐφύ-
λασσε. καὶ ἐπὶ τῷδε οὐ ξυνεχὴς ἡ γέφυρα ἦν ἐζευγμέ-
νη ἔστε δὲ ἐπὶ τὴν ἀντιπέρας ὄχθην, τοῖς Μακεδόσι δει-
μαίνουσι μὴ ἐπιθοῖντο οἱ ἀμφὶ Μαζαῖον τῇ γεφύρᾳ, ἵ-
να ἐπαύετο. Μαζαῖος δὲ ὡς ἤκουσεν ἤδη προσάγοντα
Ἀλέξανδρον, ᾤχετο φεύγων ξὺν τῇ στρατιᾷ πάσῃ· καὶ
D εὐθὺς ὡς ἔφυγε Μαζαῖος, ἐπεβλήθησαν αἱ γέφυραι τῇ
ὄχθῃ τῇ πέραν, καὶ διέβη ἐπ' αὐτῶν ξὺν τῇ στρατιᾷ Ἀλέ-
ξανδρος. ἔνθεν δὲ ἐχώρει ἄνω, ἐν ἀριστερᾷ ἔχων τὸν
Εὐφράτην ποταμὸν, καὶ τῆς Ἀρμενίας τὰ ὄρη, διὰ τῆς
Μεσοποταμίας καλουμένης χώρας. οὐκ εὐθεῖαν δὲ ἐπὶ
Βαβυλῶνος ἦγεν, ἀπὸ τοῦ Εὐφράτου ὁρμηθεὶς· ὅτι τὴν
ἑτέραν ἰόντι, εὐπορώτερα τὰ ξύμπαντα τῷ στρατῷ ἦν,
καὶ χιλὸς τοῖς ἵπποις, καὶ τὰ ἐπιτήδεια ἐκ τῆς χώρας
λαμβάνειν· καὶ τὸ καῦμα οὐχ ὡσαύτως ἐπιφλέγον.
ἁλόντες δέ τινες κατὰ τὴν ὁδὸν τῶν ἀπὸ τοῦ Δαρείου στρα-
E τεύματος κατασκοπῆς ἕνεκα ἀποσκεδασμένων, ἐξήγ-
γελλον ὅτι Δαρεῖος ἐπὶ τοῦ Τίγρητος ποταμοῦ κάθη-
ται, ἐγνωκὼς εἴργειν Ἀλέξανδρον εἰ διαβαίνοι· καὶ εἶναι
αὐτῷ στρατιὰν πολὺ μείζονα ἢ ξὺν ᾗ ἐν Κιλικίᾳ ἐμάχε-
το. ταῦτα Ἀλέξανδρος ἀκούσας, ᾔει σπουδῇ ὡς ἐπὶ τὸν
Τίγρητα. ὡς δὲ ἀφίκετο, οὔτε αὐτὸν Δαρεῖον καταλαμ-
βάνει, οὔτε τὴν φυλακὴν ἥντινα ἀπολελοίπει Δαρεῖος·
ἀλλὰ διαβαίνει τὸν πόρον, χαλεπῶς μὲν διὰ ὀξύτητα
τοῦ ῥοῦ, οὐδενὸς δὲ εἴργοντος. ἐνταῦθα ἀναπαύει τὸν
στρατόν· καὶ τῆς σελήνης τὸ πολὺ ἐκλιπὲς ἐγένετο. καὶ Ἀ-
F λέξανδρος ἔθυε τῇ τε σελήνῃ καὶ τῷ ἡλίῳ, καὶ τῇ γῇ,
ὅτων τὸ ἔργον τοῦτο λόγος εἶναι κατέχει. καὶ ἐδόκει Ἀρι-
στάνδρῳ πρὸς Μακεδόνων καὶ Ἀλεξάνδρου εἶναι τῆς σε-
λήνης τὸ πάθημα, καὶ ἐκείνου τοῦ μηνὸς ἔσεσθαι ἡ μά-
χην· καὶ ἐκ τῶν ἱερῶν, νίκην σημαίνεσθαι Ἀλεξάνδρῳ. ἄ-
ρας δὲ ἀπὸ τοῦ Τίγρητος, ᾔει διὰ τῆς Συρίας χώρας,
ἐν ἀριστερᾷ μὲν ἔχων τὰ Σογδιανῶν ὄρη, ἐν δεξιᾷ δὲ αὐ-
τὸν τὸν Τίγρητα. τῇ τετάρτῃ δὲ ἡμέρᾳ ἀπὸ τῆς διαβάσεως, οἱ

A πρόδρομοι αὐτῷ ἐξαγγέλλουσιν ὅτι ἱππεῖς οὗτοι πολέμιοι ἀνὰ τὸ πεδίον φαίνονται· ὅσοι δὲ, οὐκ ἔχειν εἰκάσαι. ξυντάξας οὖν τὴν στρατιὰν, προὐχώρει ὡς ἐς μάχην, καὶ ἄλλοι αὖ τῶν προδρόμων προσελάσαντες, ἀκριβέστερον οὗτοι κατιδόντες, ἔφασκον δοκεῖν εἶναι σφίσι τοὺς ἱππέας οὐ πλείους ἢ χιλίους. ἀναλαβὼν οὖν τήν τε βασιλικὴν ἴλην, καὶ τῶν ἑταίρων μίαν, καὶ τῶν προδρόμων τοὺς Παίονας, ἤλαυνε σπουδῇ, τὴν δὲ ἄλλην στρατιὰν, βάδην ἕπεσθαι ἐκέλευσεν. οἱ δὲ τῶν Περσῶν ἱππεῖς κατιδόντες τοὺς ἀμφ' Ἀλέξανδρον ὀξέως ἐπάγοντας, ἔφευγον ἀνακράτος. καὶ Ἀλέξανδρος B διώκων ἐνέκειτο, καὶ οἱ μὲν πολλοὶ ἀπέφυγον, τινὰς δὲ καὶ ἀπέκτειναν, ὅσοις οἱ ἵπποι ἐν τῇ φυγῇ ἔκαμον· τοὺς δὲ καὶ ζῶντας αὐτοῖς ἵπποις ἔλαβον. καὶ παρὰ τούτων ἔμαθον, ὅτι οὐ πόρρω εἴη Δαρεῖος ξὺν δυνάμει πολλῇ. βεβοηθήκεσαν γὰρ Δαρείῳ Ἰνδῶν τε ὅσοι Βακτρίοις ὅμοροι, καὶ αὐτοὶ Βάκτριοι καὶ Σογδιανοί· τούτων μὲν πάντων ἡγεῖτο Βῆσσος, ὁ τῆς Βακτρίων χώρας σατράπης. εἵποντο δὲ αὐτοῖς καὶ Σάκαι· Σκυθικὸν τοῦτο τὸ γένος, τῶν τὴν Ἀσίαν ἐποικούντων Σκυθῶν· οὐχ ὑπήκοοι οὗτοι Βήσσου, ἀλλὰ κατὰ συμμαχίαν C τὴν Δαρείου. ἡγεῖτο δὲ αὐτῶν Μαβάκης· αὐτοὶ δὲ ἱπποτοξόται ἦσαν. Βαρσαέτης δὲ Ἀραχωτῶν σατράπης, Ἀραχώτους τε ἦγε, καὶ τοὺς ὀρείους Ἰνδοὺς καλουμένους. Σατιβαρζάνης δὲ ὁ Ἀρείων σατράπης, Ἀρείους ἦγε. Παρθυαίους δὲ, καὶ Ὑρκανίους, καὶ Τοπείρους, τοὺς πάντας ἱππέας, Φραταφέρνης ἦγεν. Μήδων δὲ ἡγεῖτο Ἀτροπάτης· ξυνετάττοντο δὲ Μήδοις Καδούσιοί τε καὶ Ἀλβανοὶ, καὶ Σακεσῖναι. τοὺς δὲ προσοίκους τῇ ἐρυθρᾷ θαλάσσῃ, ὁ Κονδοβάτης καὶ Ἀριοβαρζάνης καὶ Ὀξίνης ἐκόσμουν. Οὔξιοι δὲ καὶ Σουσιανοὶ ἡγεμόνα πα- D ρείχοντο Ὀξάθρην τὸν Ἀβουλήτου. Βουπάρης δὲ Βαβυλωνίων ἡγεῖτο. οἱ δ' ἀνάσπαστοι Κᾶρες, καὶ Σιτακινοὶ σὺν Βαβυλωνίοις ἐτετάχατο. Ἀρμενίων δὲ Ὀρόντης καὶ Μιθραύστης ἦρχε, καὶ Ἀριάκης Καππαδοκῶν. Σύρους δὲ τούς τε ἐκ τῆς Κοίλης, καὶ ὅσοι τῆς μεταξὺ τῶν ποταμῶν Συρίας, Μαζαῖος ἦγεν. ἐλέγετο δὲ ἡ πᾶσα στρατιὰ Δαρείου, ἱππεῖς μὲν, ἐς τετρακισμυρίους, πεζοὶ δὲ ἐς ἑκατὸν μυριάδας· καὶ ἅρματα δρεπανηφόρα διακόσια. ἐλέφαντες δὲ οὐ πολλοὶ, ἀλλὰ ἐς πεντεκαίδεκα μάλιστα Ἰνδοῖς τοῖς ἐπὶ τάδε τοῦ E Ἰνδοῦ ἦσαν. ξὺν ταύτῃ τῇ δυνάμει ἐστρατοπεδεύκει Δαρεῖος ἐν Γαυγαμήλοις, πρὸς ποταμῷ Βουμάδῳ, ἀπέχων Ἀρβήλων τῆς πόλεως ὅσον ἑξακοσίους σταδίους, ἐν χώρῳ ὁμαλῷ πάντῃ· καὶ γὰρ καὶ ὅσα ἀνώμαλα αὐτοῦ ἐς ἱππασίαν, ταῦτα δὲ ἐκ πολλοῦ οἱ Πέρσαι τοῖς τε ἅρμασιν ἐπελαύνειν εὐπετῆ πεποιήκεσαν, καὶ τῇ ἵππῳ ἱππάσιμα. ἦσαν γὰρ οἳ ἀνέπειθον Δαρεῖον ὑπὲρ τῆς πρὸς Ἰσσῷ γενομένης μάχης, ὅτι ἄρα ἐμειονέκτησε, τῶν χωρίων τῇ στενότητι· καὶ Δαρεῖος οὐ χαλεπῶς ἐπείθετο. ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ F πρὸς τῶν κατασκόπων τῶν Περσῶν, ὅσοι ἑάλωσαν, ἔμεινεν αὐτοῦ ἵνα ἐξηγγέλθη, ἡμέρας τέσσαρας· καὶ τήν τε στρατιὰν ἐκ τῆς ὁδοῦ ἀνέπαυσε, τό, τε στρατόπεδον τάφρῳ τε καὶ χάρακι ἐτείχισεν· ἔγνω γὰρ τὰ μὲν σκευοφόρα ἀπολείπειν, καὶ ὅσοι τῶν στρατιωτῶν ἀπόμαχοι ἦσαν. αὐτὸς δὲ ξὺν τοῖς μαχίμοις, οὐδὲν ἄλλο ὅτι μὴ ὅπλα φέρουσιν, ἰέναι ἐς τὸν ἀγῶνα. ἀναλαβὼν οὖν τὴν δύναμιν, νυκτὸς ἦγεν ἀμφὶ δευτέραν φυλακὴν

anteceſſores renuntiant, hoſtilem equitatũ in campis cerni. quantus autem eorum numerus eſſet, colligi non poſſe. Inſtructo igitur exercitu ad pugnam procedit: quum alij rurſum ex præcurſoribus incitatis equis aduolant, qui re certius comperta, equites ab ſe viſos non vltra mille eſſe affirmabãt. Quo audito, confeſtim aſſumta turma regia, & ſociorum alia, & antecurſoribus Pæonibus, in eos fertur: reliquo exercitu lento gradu ſequi iuſſo. Perſarum equites Alexandrum acriter in ſeſe ruentem conſpicati, fugam arripiunt. Alexander fugiẽtium terga premit, & multi quidem incolumes euaſere, nonnulli occiſi ſunt: alij, quos equi in fuga deficiebant, vnà cum equis viui in poteſtatem venere. ex quibus cognouit, Darium cum ingenti exercitu non procul inde abeſſe. Venerant enim auxilio ad Darium Indi quotquot Bactrianis finitimi ſunt, ipſiq; Bactriani & Sogdiani. quorum omnium Beſſus dux erat, Bactrianorum ſatrapa. Coniunxerant ſeſe his etiam Sacæ ex Scythis oriundi, iis qui Aſiam incolunt: non imperio Beſſi ſubiecti, ſed Dario confœderati. Ducebat hos Mabaces, erántque omnes hi equeſtres ſagittarij. Barſaetes autem Arachotorum ſatrapa Arachotos & Indos qui montani dicuntur ducebat. Satibarzanes Ariorum ſatrapa, Arios. Phratapher nes, Parthos, Hyrcanos ac Topirios, omnes equites. Atrocates Medorum dux erat: coniuncti autem erant Medis Caduſij & Albani ac Saceſinæ. Rubri maris accolas Condobates, Aribarzanes, & Oxines ducebant. Vxij verò & Suſiani ducem habebant Oxanthẽ Abuleti filium, Babylonij Buparem. Cares autẽ anaſpaſti, hoc eſt, ſedibus ſuis pulſi, & Sitacini Babyloniis coniuncti erant. Armeniis Orontes & Mithrauſtes præerant. Cappadocibus Ariaces. Syros qui ex Cœle ſunt, & quotquot intra fluuios Syriæ habitant, Mazæus regebat. Vniuerſus porro Darij exercitus ferebatur eſſe, equitũ CCCC M. peditũ decies cẽtena millia, currus falcati CC. elephanti non multi, at circiter XV, cum Indis qui trans Indum flumen venerant. Cum his copiis Darius in Gaugamelis ad flumen Bumadum caſtra poſuerat, ſexcentis circiter ab Arbelo oppido ſtadiis, plano vndique & patenti campo. Quicquid enim inæqualis ſoli erat, quódque curribus ducendis impedimento eſſet, id omne Perſæ multo antè adæquarant, commodúmque ad equitandum fecerant. Perſuaſerant enim nonnulli Dario, nullam aliã fuiſſe cauſam cladis apud Iſſum acceptæ, quàm anguſtiam locorum: idque Darius facilè credidit. Quæ poſtquam Alexandro à ſpeculatoribus Perſarum captis relata ſunt, quatuor diebus eo in loco vbi hæc nunciata ſunt moratus, exercitui quiete ab itineris labore dedit: caſtra vallo ac foſſa muniuit. Statuerat enim impedimenta omnia ac militem qui inutilis ad pugnam eſſet relinquere. ipſe verò cum bellatoribus nihil aliud quàm arma portantibus prælium adire. Noctu itaque copiis eductis, circiter ſecundam vigiliam mouit, vt prima ſtatim luce manus cum bar-

Curt. Inde octoginta fer. ſtadia progreſſus, ad alterum amnem, Boumello nomẽ eſt, &c.

baris confereret. Darius, ſimulac ei nunciatum eſt Alexandrum appropinquare, cõfeſtim exercitum ad committendum prælium inſtruit. Alexander etiam inſtructam aciem ducit. Diſtabant caſtra à caſtris ſexaginta ferme ſtadiis. Iámque ad ipſos prope tumulos exercitus proceſſerat, vbi conſpectis barbaris phalangẽ ſiſtit, conuocatíſque amicis & copiarũ ductoribus turmarúmq; præfectis, ſociorum etiam ac mercenariorum exterorum ducibus, conſultat an ex eo loco phalanx in hoſtem agenda eſſet (quæ plurium ſententia erat) an potius (vt Parmenio rectè cenſebat) poſitis tum ibi caſtris, omnem illum locũ accuratè perluſtrarent, an quid alicubi ſuſpectum parúmq; tutum eſſet, an foſſæ vſpiã tectæ, an murices ſolo ſuffixi laterent: quem etiam in modum acies inſtructæ eſſent diligentius certiúſq; explorarent. Vicítq; Parmenionis ſententia, & caſtra ibi poſita ſunt, acie ad pugnam inſtructa. Deinde Alexãder ſumtis expeditis & equitatu ſociorum, locũ omnem in quo prælium committendum erat, in circuitu luſtrat. Reuerſúſq;, conuocatis rurſum copiarum ducibus:

Curt. Igitur ſiue dubius animi, ſiue vt ſuos experiretur, conſiliũ adhibet, quid optimũ factu eſſet exquirens.

Fac. Claui. Cur. Murices ferreos in terram defodiſſe Darium.

Cur. Omnes ferme Parmenioni aſſentiebant.

» Non oportere eos ſua oratione
» ad pugnam incitari, inquit. Veterem enim i-
» pſorum virtutem, multáq; præclara facinora
» iã ſæpenumero edita magno ſatis incitamen
» to ipſis eſſe: id modò rogare, vt prout quiſq;
» eorũ alicui turmæ, cohorti, agmini, aut pha-
» lãgi præfectus eſſet, ita ſuos milites cohorta-
» retur, non iam illos pro Cœleſyria, aut Phœ-
» nicia, neque pro AEgypto, vt prioribus præ-
» liis, pugnaturos, ſed pro vniuerſa Aſia. illó-
» que conflictu decernendum eſſe quóſnam
» regnare oporteat. Neque verò illos multis
» verbis ad fortitudinem excitandos eſſe, qui-
» bus virtus illa genuina propriáq; ſit: monen-
» dos tantùm, vt vnuſquiſq; eos quibus præ-
» eſt inter pugnandum in ordine cõtineat. vtq;
» quum ſilentio opus ſit, id accuratè obſeruet:
» altiore item voce, quum id ex re fuerit, vtan-
» tur: clamores denique quàm maximè poſ-
» ſint terribiles, quum occaſio ita poſtulauerit,
» edant. Adhęc, vt ipſi mandata celeriter au
» ribus excipiant: excepta, accuratè in agmina
» tranſmittãt. Demum, vt priuatim quiſque in
» animo ſuo ita ſtatuat, quemadmodum ſum-
» ma rei ducum negligentia in diſcrimen vo-
» catur, ita diligentia ſolicitudinéq; cõſeruari.

His atque huiuſcemodi aliis verbis non multis cohortatus duces, & viciſſim ipſe à ducibus animatus, fretus eorũ virtute, milites corpora curare & quietẽ capere iubet. Sunt qui dicant Parmenionem poſtea ad ipſius tabernaculũ veniſſe, vtq; per noctem in Perſas irrueret ſuaſiſſe. Inopinantibus enim ipſis atq; perturbatis impetum noctu factũ magis terribilem fore. Alexandrum verò ei reſpondiſſe, ita vt verba ab aſtãtibus intelligi poſſent: Furtiuam victoriam cum turpitudine eſſe cõiunctam: Alexandri eſſe, aperto Marte non aſtu victoriam conſequi. Atq; hæc magnifica eius vox nõ tã arrogãtiæ quàm fortitudini in adeundis periculis tributa eſt. At (mea ſentẽtia) ſumma prudẽtia hac in re eſt vſus. Noctu enim iis qui planè imparati ad pugnam ſunt,

Curt. Parmenio furto non prælio opus eſſe cenſebat, intempeſta nocte opprimi poſſe hoſtes, &c.

A μάλιστα, ὡς ἅμ' ἡμέρᾳ προσμίξων τοῖς βαρβάροις. Δαρεῖος δὲ ὡς προσηγγέλθη αὐτῷ προσάγων ἤδη Ἀλέξανδρος, ἐκτάσσει τὴν στρατιὰν ὡς ἐς μάχην· καὶ Ἀλέξανδρος ἦγεν ὡσαύτως τεταγμένους. καὶ ἀπεῖχε μὲν ἀλλήλων τὰ στρατόπεδα ὅσον ἑξήκοντα σταδίους· καὶ κατ' αὐτῶν ἤδη τῶν γηλόφων ᾔει αὐτῷ ὁ στρατός. ἐνταῦθα δὲ ὡς εἶδε τοὺς βαρβάρους, ἔστησε τὴν αὐτοῦ φάλαγγα· καὶ ξυγκαλέσας αὐτούς τε τοὺς ἑταίρους, καὶ στρατηγούς, καὶ ἰλάρχας, καὶ τῶν συμμάχων τε καὶ τῶν μισθοφόρων ξένων τοὺς ἡγεμόνας, ἐβουλεύετο εἰ αὐτόθεν ἐπάγοι ἤδη τὴν φάλαγγα, ὡς οἱ πλεῖστοι ἄγειν ἐκέλευον· B ἢ (καθάπερ Παρμενίωνι καλῶς ἐδόκει) τότε μὲν αὐτοῦ καταστρατοπεδεύειν, κατασκέψασθαι δὲ τόν τε χῶρον ἅπαντα, εἰ δή τι ὕποπτον αὐτοῦ ἢ ἄπορον ἦ, ἢ εἴ ποι τάφροι ἢ σκόλοπες καταπεπηγότες ἀφανεῖς· καὶ τὰς τάξεις τῶν πολεμίων ἀκριβέστερον κατιδεῖν· καὶ νικᾷ Παρμενίων τῇ γνώμῃ· καὶ καταστρατοπεδεύουσιν αὐτοῦ ὅπως τεταγμένοι ἔμελλον ἰέναι ἐς τὴν μάχην. Ἀλέξανδρος δὲ, ἀναλαβὼν τοὺς ψιλοὺς καὶ τῶν ἱππέων τοὺς ἑταίρους, περιῄει ἐν κύκλῳ, σκοπῶν τὴν χώραν πᾶσαν ἵνα τὸ ἔργον αὐτῷ ἔσεσθαι ἔμελλεν. ἐπανελθὼν δὲ, καὶ ξυγκαλέσας C αὖθις τοὺς αὐτοὺς ἡγεμόνας, αὐτοὺς μὲν οὐκ ἔφη χρῆναι παρακαλεῖσθαι πρὸς οὗ ἐς τὸν ἀγῶνα. πάλαι γὰρ εἶναι δι' ἀρετήν τε τὴν σφῶν παρακεκλημένους, καὶ ὑπὸ τῶν πολλάκις ἤδη καλῶν ἔργων ἀποδεδειγμένων. τοὺς κατὰ σφᾶς δὲ ἑκάστους ἐξορμᾶν ἠξίου, λοχαγόν τε λοχίτας, καὶ ἰλάρχην τὴν ἴλην τὴν αὐτοῦ ἕκαστον, καὶ ταξιάρχην τὰς τάξεις, τούς τε ἡγεμόνας τῶν πεζῶν τὴν φάλαγγα, ἕκαστον τὴν οἱ ἐπιτετραμμένην· ὡς ἐν τῇδε τῇ μάχῃ οὐχ ὑπὲρ κοίλης Συρίας, ἢ Φοινίκης, οὐδὲ ὑπὲρ Αἰγύπτου, ὡς πρόσθεν, μαχουμένους, ἀλλὰ ὑπὲρ D τῆς ξυμπάσης Ἀσίας, οὕστινας χρὴ ἄρχειν ἐν τῷ τότε κριθησόμενον. οὔκουν τὴν ἐς τὰ καλὰ ἐξόρμησιν διὰ πολλῶν ἀναγκαίαν αὐτοῖς εἶναι, οἴκοθεν τοῦτο ἔχουσιν· ἀλλὰ κόσμου τε ἐν τῷ κινδύνῳ ὅπως τις καθ' αὑτὸν ἐπιμελήσεται, καὶ σιγῆς ἀκριβοῦς, ὁπότε σιγῶντας ἐπιέναι δέοι· καὶ αὖ λαμπρᾶς τῆς βοῆς, ἵνα ἐμβοῆσαι καλόν· καὶ ἀλαλαγμοῦ ὡς φοβερωτάτου, ὁπότε ἐπαλαλάξαι καιρός. αὐτοί τε ὅπως ὀξέως κατακούοιεν τῶν τε παραγγελλομένων, καὶ παρ' αὐτῶν αὖ ὅπως ἐς τὰς τάξεις ὀξέως παραδιδῶνται τὰ παραγγέλματα· ἕν E τε τῷ καθ' αὑτὸν ἕκαστον καὶ τὸ πᾶν μεμνῆσθαι ξυγκινδυνεῦον τε ἀμελουμένῳ, καὶ δι' ἐπιμελείας ἐκπονουμένῳ ξυνορθούμενον. ταῦτα καὶ τοιαῦτα ἄλλα οὐ πολλὰ παρακαλέσας τε, καὶ ἀντιπαρακληθεὶς πρὸς τῶν ἡγεμόνων, θαρρεῖν ἐπὶ σφίσι, δειπνοποιεῖσθαι καὶ ἀναπαύεσθαι ἐκέλευσε τὸν στρατόν. Παρμενίωνα δὲ λέγουσιν ὅτι ἀφικόμενος παρ' αὐτὸν ἐπὶ τὴν σκηνὴν νύκτωρ, παρῄνει ἐπιθέσθαι τοῖς Πέρσαις. ἀπροσδοκήτοις τε γὰρ καὶ ἀνατεταραγμένοις, καὶ ἅμα ἐν νυκτὶ φοβερωτέροις ἐπιθήσεσθαι. ὁ δὲ ἐκείνῳ μὲν ἀποκρίνεται F (ὅτι οἱ ἄλλοι κατήκουον τῶν λόγων) αἰσχρὸν εἶναι κλέψαι τὴν νίκην, ἀλλὰ φανερῶς καὶ δίχα σοφίσματος χρῆναι νικῆσαι Ἀλέξανδρον. καὶ τὸ μεγαλήγορον αὐτοῦ τοῦτο, οὐχ ὑπέρογκον μᾶλλόν τι, ἢ εὐθαρσὲς ἐν τοῖς κινδύνοις ἐφαίνετο. δοκεῖν δ' ἔμοιγε, καὶ λογισμῷ ἀκριβεῖ ἐχρήσατο ἐν τῷ τοιῷδε. ἐν νυκτὶ γὰρ τοῖς τε ἀποχρώντως καὶ τοῖς ἐνδεῶς πρὸς τὰς μάχας παρεσκευασμένοις,

A πολλὰ ἐκ τοῦ παραλόγου ξυμβάντα, τοὺς μὲν ἔσφηλε τοὺς κρείσσονας, τοῖς χείροσι δὲ παρὰ τὰ ἐξ ἀμφοῖν ἐλπισθέντα τὴν νίκην παρέδωκεν· αὐτῷ τε κινδυνεύοντι τὸ πολὺ ἐς τὰς μάχας σφαλερὰ ἡ νὺξ κατεφαίνετο· καὶ ἅμα ἡττηθέντι τι αὖθις Δαρείῳ, τὴν ξυγχώρησιν, τοῦ χείρονι ὄντι χειρόνων ἡγεῖσθαι, ἡ λαθραία τε καὶ νυκτερινὴ ἐκ σφῶν ἐπίθεσις ἀφῃρεῖτο. εἴτε τι ἐκ τοῦ παραλόγου πταῖσμα σφίσι ξυμπέσοι, τοῖς μὲν πολεμίοις τὰ κύκλῳ φίλια, καὶ αὐτοὶ B τῆς χώρας ἔμπειροι· σφεῖς δὲ ἄπειροι ἐν πολεμίοις τοῖς πᾶσιν, ὧν οὐ μικρὰ μοῖρα οἱ αἰχμάλωτοι ἦσαν, ξυνεπιθησόμενοι ἐν νυκτί, μὴ ὅτι πταίσασιν, ἀλλὰ καὶ εἰ μὴ παρὰ πολὺ νικῶντες φαίνοιντο. τούτων τε τῶν λογισμῶν ἕνεκα ἐπαινῶ Ἀλέξανδρον, καὶ τοῦ ἐς τὸ φανερὸν ὑπερόγκου οὐ μεῖον. Δαρεῖος δὲ καὶ ὁ ξὺν Δαρείῳ στρατός, οὕτως ὅπως τὴν ἀρχὴν ἐτάξαντο, ἔμειναν τῆς νυκτὸς ξυντεταγμένοι· ὅτι οὔτε στρατόπεδον αὐτοῖς περιεβέβλητο ἀκριβές, καὶ ἅμα ἐφοβοῦντο μὴ σφίσι C νύκτωρ ἐπιθοῖντο οἱ πολέμιοι. καὶ εἴπερ τι ἄλλο, καὶ τοῦτο ἐκάκωσε τοῖς Πέρσαις ἐν τῷ τότε τὰ πράγματα, ἡ στάσις ἡ πολλὴ ἡ ξὺν τοῖς ὅπλοις, καὶ τὸ δέος, ὅ, τι περ φιλεῖ πρὸ τῶν μεγάλων κινδύνων γίγνεσθαι, οὐκ ἐκ τοῦ παραυτίκα σχεδιασθέν, ἀλλ' ἐν πολλοῖς πολλοῦ χρόνῳ μελετηθέν τι, καὶ τὰς γνώμας αὐτῶν δουλωσάμενον. ἐτάχθη δὲ αὐτῷ ἡ στρατιὰ ὧδε· ἑάλω γὰρ ὕστερον ἡ τάξις ἣν ἔταξε Δαρεῖος, γεγραμμένη, ὡς λέγει Ἀριστόβουλος. τὸ μὲν εὐώνυμον αὐτοῦ κέρας οἵ τε D Βάκτριοι ἱππεῖς εἶχον, καὶ ξὺν τούτοις Δάαι, καὶ Ἀραχῶτοι. ἐπὶ δὲ τούτοις Πέρσαι ἐτετάχατο, ἱππεῖς τε ὁμοῦ καὶ πεζοὶ ἀναμεμιγμένοι, καὶ Σούσιοι ἐπὶ Πέρσαις, ἐπὶ δὲ Σουσίοις Καδούσιοι. αὕτη μὲν ἡ τοῦ εὐωνύμου κέρως, ἔστε ἐπὶ τὸ μέσον τῆς πάσης φάλαγγος, τάξις ἦν. κατὰ δὲ τὸ δεξιόν, οἵ τε ἐκ κοίλης Συρίας, καὶ οἱ ἐκ τῆς μέσης τῶν ποταμῶν ἐτετάχατο· καὶ Μῆδοι ἔτι κατὰ τὸ δεξιόν· ἐπὶ δέ, Παρθυαῖοι καὶ Σάκαι· ἐπὶ δὲ Τόπειροι καὶ Ὑρκάνιοι· ἐπὶ δέ, Ἀλβανοὶ καὶ Σακεσῖναι. οὗτοι μὲν ἔστε ἐπὶ τὸ μέσον τῆς πάσης φά- E λαγγος. κατὰ τὸ μέσον δέ, ἵνα ἦν βασιλεὺς Δαρεῖος, οἵ τε συγγενεῖς τοῦ βασιλέως ἐτετάχατο, καὶ οἱ μηλοφόροι Πέρσαι, καὶ Ἰνδοί, καὶ Κᾶρες οἱ ἀνάσπαστοι καλούμενοι, καὶ οἱ Μάρδοι τοξόται. Οὔξιοι δέ, καὶ Βαβυλώνιοι, καὶ οἱ πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ Σιτακηνοί, ἐς βάθος ἐπιτεταγμένοι ἦσαν. προετετάχατο δὲ ἐπὶ μὲν τοῦ εὐωνύμου, κατὰ τὸ δεξιὸν τοῦ Ἀλεξάνδρου, οἵ τε Σκύθαι ἱππεῖς, καὶ τῶν Βακτριανῶν ἐς χιλίους, καὶ ἅρματα δρεπανηφόρα ἑκατόν. οἱ δὲ ἐλέφαντες ἔστησαν κατὰ τὴν Δαρείου ἴλην τὴν βασιλικήν, καὶ ἅρματα ἐς πεντήκοντα. τοῦ δὲ δεξιοῦ οἵ τε Ἀρμενίων καὶ Καππαδοκῶν ἱππεῖς προετετάχατο, καὶ ἅρματα δρεπανηφό- F ρα πεντήκοντα. οἱ δὲ Ἕλληνες οἱ μισθοφόροι παρὰ Δαρεῖόν τε αὐτὸν ἑκατέρωθεν, καὶ τοὺς ἅμα αὐτῷ Πέρσας, κατὰ τὴν φάλαγγα αὐτὴν τῶν Μακεδόνων, ὡς μόνοι δὴ ἀντίρροποι τῇ φάλαγγι, ἐτάχθησαν. Ἀλεξάνδρῳ δὲ ἡ στρατιὰ ἐκοσμήθη ὧδε. τὸ μὲν δεξιὸν αὐτῷ εἶχον τῶν ἱππέων οἱ ἑταῖροι, ὧν προετέτακτο ἡ ἴλη ἡ βασιλική, ἧς Κλεῖτος ὁ Δρωπίδου ἰλάρχης ἦν. ἐπὶ δὲ ταύτῃ, ἡ Γλαυκίου ἴλη· ἐχομένη δ' αὐτῆς, ἡ τοῦ Ἀρίστωνος· ἐπὶ δέ, ἡ Σωπόλιδος τοῦ Ἑρμοδώρου· ἐπὶ δέ, ἡ Ἡρακλείτου τοῦ Ἀντιόχου· ἐπὶ ταύτῃ δέ, ἡ Δημητρίου

A multa ex improuiſo accidere ſolent, quæ & fortioribus cladẽ, & imbecillioribus inopinatã vtriſq; victoriã adferant. Ipſi quoque Alexandro plerunque ad prælium ineundũ nox periculoſa videbatur. Simul verebatur, ne victo rurſum Dario, clancularia nocturnáque à ſuis irruptio facta, in cauſa eſſet quo minus Darius confiteretur, ſe pariter & milites ſuos Alexandro & Macedonibus bellica virtute inferiores fuiſſe. Adhæc ſi præ- B ter expectationem ſuam Macedones cladẽ aliquam accepiſſent, hoſtes omnia loca circũiecta amica eſſe habituros, & peritos locorũ fore: ſeſe cõtra imperitos illorum inter hoſtes verſaturos, quorum non parua pars erant captiui, qui quidem noctu eos inuadere poſſent, nõ ſolùm ſi Macedones ſemel inferiores eſſe cœpiſſent, verumetiã niſi longè ſuperiores in pugna eſſe viderẽtur. Harũ itaque cogitationũ cauſa, Alexandrũ laudãdum cẽſeo, nihilóq; ſecius ob tam manifeſtã C animi altitudinem. Darius verò eiúſque exercit⁹, quemadmodũ initio aciẽ inſtruxerat, ita totã noctem ſtetit. Neque enim caſtra accuratè munierat, ſimúlque metuebat ne hoſtes noctu impetũ facerẽt. Et ſanè longa illa in armis mora, ſiquid aliud, Perſarũ rebus tum tẽporis damno fuit, & metus qui ante magnũ aliquod prælium oriri ſolet, neque is quidẽ repentinus, ſed qui multo antè tẽpore animos multorũ inſederat ac peni- D tus ſubiugarat. Inſtruxerat autem exercitũ Darius hoc modo. deſcriptio enim aciei poſt pugnã reperta eſt, vt tradit Ariſtobulus. Siniſtrum cornu Bactriani equites tenebãt, & cum his Daæ & Arachoti. poſt hos, Perſæ equites ſimul ac pedites permiſti. proximi Perſis Suſij. Suſios Caduſij ſequebantur. Et hic quidem ſiniſtri cornu ordo erat vſq; ad mediũ totius phalangis. Dextrum cornu Cœleſyrij, & qui inter duo flumina incolũt, tuebantur. His Medi adiuncti erant: deinde Parthi ac Sacæ: ſecũdum hos Topiri atque E Hyrcani: his proximi Albani & Saceſinæ. & hi quidem vſque ad mediã phalangem pertingebant. Ad medium verò, vbi Darius erat, eius cõſanguinei collocati erant, & Perſæ melophori, Indiq;, & Cares anaſpaſti vocati, ac Mardi ſagittarij. Vxij verò & Babylonij, ac rubri maris accolæ, & Sitacini poſt hos cõſtituti erant. Ad ſiniſtrum porro cornu, contra dextrum Alexandri, ſtabãt equites Scythæ, & Bactriani circiter mille, ac currus falcati centum. Elephanti circa regiam Darij turmam, & currus quinquaginta. Ad dextrum cornu Armenij equites & Cappa- F doces, currúſque falcati quinquaginta. Græci autem mercenarij vtrinque Dariũ & Perſas ei adſtantes cingebant, phalangi Macedonum oppoſiti, vt qui ſoli virtute pares illis eſſent. Alexandri autem acies ita inſtructa fuit. Dextrum cornu tuebantur equitũ auxiliares turmæ, quibus præſtituta erat turma regia, cui Clitus Dropidi filius præerat. Huic adiuncta erat Glauciæ turma. proxima huic, Ariſtonis. inde, Sopolidis Hermodori filij. poſt hanc Heracliti Antiochi F. ab hac Demetrij Althæmenis filij: hanc ſe-

quebatur Meleagri. vltima verò regiarũ turmarum, illa cui Hegelochus Hippoſtrati F. præfectus erat Vniuerſo autem equitatui ſociorum Philotas Parmenionis F. præerat. At phalangi Macedonicæ, quæ equitibus cõiuncta erat, proximè ſtatutum eſt agmen ſcutatorum, quorum dux erat Nicanor Parmenionis F. Huic proximum erat agmen Cœni Polemocratis F. deinde Perdiccæ Orõtis F. mox Meleagri Neoptolemi F. deinde Polyperchõris Simmiæ F. ab hoc Amyntæ Philippi F. Huius agminis dux erat Simmias, quòd Amyntas in Macedoniam ad conſcribendum militem miſſus eſſet. Siniſtram phalangis Macedonicæ partem tenebat agmen Crateri Alexandri F. & Craterus quidem vniuerſo peditatui ad ſiniſtrum cornu præerat. Huic proximi erant equites ſociorum, quibus præfectus erat Erigyus Larichi F. Hos proximè ſequebantur verſus læuum cornu Theſſali equites, quos ducebat Philippus Menelai F. Vniuerſo autem equitatui ſiniſtri lateris imperabat Parmenio Philotæ F. Circa hũc Pharſeliorum equites ſtabant, qui & præſtantiſſimi & plurimi ex Theſſalico equitatu erant. In hunc modum Alexander acies à frõte inſtruxit. Alium verò etiam ordinem ſuperadiecit, vt anceps ac verſatilis phalanx eſſet, traditis mandatis ducibus eius agminis quod ſuperaddiderat, vt ſi circumueniri ſuos à Perſico exercitu cernerent, retrorſum conuerſi barbaros exciperent, ita ſeſe flectentes, vt & laxare & coartare phalangem, ſi neceſſitas aliqua id poſtularet poſſent. Ad dextrũ quidem cornu proxima regiæ turmæ collocata erat Agrianorum pars altera, quos Attalus ducebat. Poſt hos Macedones ſagittarii, quibus præerat Briſo. Sagittariis adiuncti erant ij quos veteranos exteros nominãt, quorum dux erat Cleãder. Ante Agrianos poſiti erãt equites antecurſores & Pęones, quos Aretes atq; Ariſto ducebãt. Vniuerſis autẽ præſtituti erãt equites mercenarij, Menida duce. Regiæ autem turmæ aliíſq; ſociis præpoſita erat Agrianorum & ſagittariorum pars altera, & Balacri iaculatores, aduerſus currus falcatos diſpoſiti. Porro Menidæ & iis quos circa ſe habebat, imperatũ eſt, vt ſi hoſtes cornu ſuũ circumequitarent, ex tranſuerſo in eos irrũperẽt. Et hæc quidẽ in dextro cornu ita ſunt ab Alexãdro conſtituta. Ad læuũ verò cornu reflexa acie Thraces collocati ſunt, quos ducebat Sitalces. Poſt hos, ſociorũ equitatus, quibus præerat Cœranus. Ab his Odryſæ equites, ductore Agathone Tyrimma. Vniuerſis autem hac parte prępoſiti ſunt equites exteri mercenarij, quibus pręfectus erat Andromachus Hieronis F. impedimẽtis, Thracum peditatus præſidio poſitus eſt. Erat autem totus Alexandri exercitus, equites ad ſeptẽ millia, pedites circiter, XL M. Poſtquam verò iam propiores inter ſe exercitus facti ſunt, videbatur Darius, & qui circa illũ erant melophori Perſæ, Indi, Albani, Cares anaſpaſti, & Mardi ſagittarij aduerſus ipſum Alexandrum turmámq; regiam ſeſe oppoſuiſſe. Alexander magis aduerſus dextrum cornu aciem ducit. Perſæ contra procedunt, ad ſiniſtrum cornu

Cur. adeóq; aciẽ verſatilẽ poſuit, vt qui vltimi ſtabant, ne circuirẽtur, verti tamen & in frontem circumagi poſſent.

Cur. Impedimẽta cum captiuis, inter quos mater liberiq; Darii cuſtodiebantur, &c.

A τοῦ Ἀλθαιμένους. ταύτης δὲ ἐχομένη, ἡ Μελεάγρου. τελευταία δὲ τῶν βασιλικῶν ἰλῶν, ἧς Ἡγέλοχος ὁ Ἱπποστράτου ἰλάρχης ἦν. ξυμπάσης δὲ τῆς ἵππου τῶν ἑταίρων Φιλώτας ἦρχεν ὁ Παρμενίωνος. τῆς δὲ φάλαγγος τῶν Μακεδόνων ἐχόμενον τῶν ἱππέων πρῶτον τὸ ἄγημα ἐτέτακτο τῶν ὑπασπιστῶν, καὶ ἐπὶ τούτῳ οἱ ἄλλοι ὑπασπισταί. ἡγεῖτο δὲ αὐτῶν Νικάνωρ ὁ Παρμενίωνος. τούτων δὲ ἐχομένη ἡ Κοίνου τοῦ Πολεμοκράτους τάξις ἦν· μετὰ δὲ τούτους, ἡ Περδίκκου τοῦ Ὀρόντου· ἔπειτα ἡ Μελεάγρου τοῦ Νεοπτολέμου· ἐπὶ δὲ, ἡ Πολυπέρχοντος τοῦ Σιμμίου· ἐπὶ δὲ, ἡ Ἀμύντου τοῦ Φιλίππου. ταύτης δὲ ἡγεῖτο B Σιμμίας, ὅτι Ἀμύντας ἐπὶ Μακεδονίας ἐς ξυλλογὴν στρατιᾶς ἐσταλμένος ἦν. τὸ δὲ εὐώνυμον τῆς φάλαγγος τῶν Μακεδόνων ἡ Κρατεροῦ τοῦ Ἀλεξάνδρου τάξις εἶχε. καὶ αὐτὸς Κρατερὸς ἐξῆρχε τοῦ εὐωνύμου τῶν πεζῶν, καὶ ἱππεῖς ἐχόμενοι αὐτοῦ οἱ ξύμμαχοι, ὧν ἡγεῖτο Ἐριγύϊος ὁ Λαρίχου. τούτων δὲ ἐχόμενοι ὡς ἐπὶ τὸ εὐώνυμον κέρας οἱ Θεσσαλοὶ ἱππεῖς, ὧν ἦρχε Φίλιππος ὁ Μενελάου. ξύμπαν δὲ τὸ εὐώνυμον ἦγε Παρμενίων ὁ Φιλώτα. καὶ ἀμφ' αὐτὸν οἱ τῶν Φαρσαλίων ἱππεῖς οἱ κράτιστοί τε καὶ πλεῖστοι τῆς Θεσσαλικῆς ἵππου ἀνε- C στρέφοντο. ἡ μὲν ἐπὶ μετώπου τάξις Ἀλεξάνδρῳ ὧδε ἐκεκόσμητο. ἐπέταξε δὲ καὶ δευτέραν τάξιν, ὡς εἶναι τὴν φάλαγγα ἀμφίστομον. καὶ παρήγγελτο τοῖς ἡγεμόσι τῶν ἐπιτεταγμένων, εἰ κυκλουμένους τοὺς σφῶν πρὸς τοῦ Περσικοῦ στρατεύματος κατίδοιεν, ἐπιστρέψαντας ἐς τὸ ἔμπαλιν δέχεσθαι τοὺς βαρβάρους· ἐς ἐπικαμπὴν δὲ, εἴ πού ἀνάγκη καταλαμβάνοι, ἢ ἀναπτύξαι ἢ ξυγκλεῖσαι τὴν φάλαγγα. κατὰ μὲν τὸ δεξιὸν κέρας ἐχόμενοι τῆς βασιλικῆς ἴλης τῶν Ἀγριάνων ἐτάχθησαν οἱ ἡμίσεες, ὧν ἡγεῖτο Ἄτταλος. καὶ μετὰ τούτων οἱ Μακεδόνες οἱ τοξό- D ται, ὧν Βρίσων ἦρχεν. ἐχόμενοι δὲ τῶν τοξοτῶν, οἱ ἀρχαῖοι καλούμενοι ξένοι, καὶ ἄρχων τούτων Κλέανδρος. προετάχθησαν δὲ τῶν τε Ἀγριανῶν καὶ τῶν τοξοτῶν οἵ τε πρόδρομοι ἱππεῖς καὶ οἱ Παίονες, ὧν Ἀρέτης καὶ Ἀρίστων ἡγοῦντο. ξυμπάντων δὲ προτεταγμένοι ἦσαν οἱ μισθοφόροι ἱππεῖς, ὧν Μενίδας ἦρχε. τῆς δὲ βασιλικῆς ἴλης καὶ τῶν ἄλλων ἑταίρων προτεταγμένοι ἦσαν τῶν τε Ἀγριανῶν καὶ τῶν τοξοτῶν οἱ ἡμίσεες, καὶ οἱ Βαλάκρου ἀκοντισταί. οὗτοι κατὰ ἅρματα δρεπανηφόρα ἐτετάχατο. Μενίδᾳ δὲ καὶ τοῖς ἀμφ' αὐτὸν παρήγγελτο, εἰ περιιππεύ- E οιεν οἱ πολέμιοι τὸ κέρας σφῶν, ἐς πλαγίους ἐμβάλλειν αὐτοὺς ἐπικάμψαντας. τὰ μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως οὕτως ἐτέτακτο Ἀλεξάνδρῳ. κατὰ δὲ τὸ εὐώνυμον, ἐς ἐπικαμπὴν, οἵ τε Θρᾷκες ἐτετάχατο, ὧν ἡγεῖτο Σιτάλκης. καὶ ἐπὶ τούτοις οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Κοίρανος. ἐπὶ δὲ, οἱ Ὀδρύσαι ἱππεῖς, ὧν ἡγεῖτο Ἀγάθων ὁ Τυρίμμα. ξυμπάντων δὲ ταύτῃ προετάχθη ἡ ξενικὴ ἵππος ἡ τῶν μισθοφόρων, ὧν Ἀνδρόμαχος ὁ Ἱέρωνος ἦρχεν. ἐπὶ δὲ τοῖς σκευοφόροις, οἱ ἀπὸ Θρᾴκης F πεζοὶ ἐς φυλακὴν ἐτάχθησαν. ἡ πᾶσα δὲ στρατιὰ Ἀλεξάνδρου, ἱππεῖς μὲν ἐς ἑπτακισχιλίους, πεζοὶ δὲ ἀμφὶ τὰς τέσσαρας μυριάδας. ὡς δὲ ὁμοῦ ἤδη τὰ στρατόπεδα ἐγίγνετο, ὤφθη Δαρεῖος, καὶ οἱ ἀμφ' αὐτὸν, οἵ τε μηλοφόροι Πέρσαι, καὶ Ἰνδοὶ, καὶ Ἀλβανοὶ, καὶ Κᾶρες οἱ ἀνάσπαστοι, καὶ οἱ Μάρδοι τοξόται κατ' αὐτὸν Ἀλέξανδρον τεταγμένοι καὶ τὴν ἴλην τὴν βασιλικήν. ἦγε δὲ, ὡς ἐπὶ τὸ δεξιὸν τὸ αὑτοῦ Ἀλέξανδρος μᾶλλον, καὶ οἱ Πέρσαι ἀντιπαρῆγον, ὑπερφαλαγγοῦντες ἐς πολὺ ἐπὶ τῷ σφῶν εὐωνύμῳ.

εὐωνύμου. ἤδη τε οἱ τῶν Σκυθῶν ἱππεῖς παριππεύοντες ἥπτοντο τῶν προτεταγμένων τῆς Ἀλεξάνδρου τάξεως· καὶ Ἀλέξανδρος ἔτι ὅμως ἦγεν ἐπὶ δόρυ, καὶ ἐγγὺς ἦν τοῦ ἐξαλλάσσειν τὸν ὡδοπεποιημένον πρὸς τῶν Περσῶν χῶρον. ἔνθα δὴ δείσας Δαρεῖος μὴ προχωρησάντων ἐς τὰ οὐχ ὁμαλὰ τῶν Μακεδόνων, ἀχρεῖά σφισι γένηται τὰ ἅρματα, κελεύει τοὺς προτεταγμένους τοῦ εὐωνύμου, περιϊππεύειν τὸ κέρας τὸ δεξιὸν, ᾗ Ἀλέξανδρος ἦγε, τοῦ μηκέτι προσωτέρω αὐτοὺς ἐξάγειν τὸ κέρας. τούτου δὲ γιγνομένου, Ἀλέξανδρος ἐμβάλλειν κελεύει ἐς αὐτοὺς, τοὺς μισθοφόρους ἱππέας, ὧν ἡγεῖτο Μενίδας. ἀντεκδραμόντες δὲ ἐπ' αὐτοὺς οἵ τε Σκύθαι ἱππεῖς, καὶ τῶν Βακτρίων οἱ ξυντεταγμένοι τοῖς Σκύθαις, Ἀλέξανδρος τοὺς περὶ Ἀρέταν τε Παίονας καὶ τοὺς ξένους ἐμβαλεῖν τοῖς Σκύθαις ἐκέλευσε· καὶ ἐκκλίνουσιν οἱ βάρβαροι. Βάκτριοι δὲ καὶ ἄλλοι πελάσαντες τοῖς Παίοσί τε καὶ ξένοις, τούς τε σφῶν φεύγοντας ἤδη ἀνέστρεψαν ἐς τὴν μάχην, καὶ τὴν ἱππομαχίαν ξυνεστάναι ἐποίησαν. καὶ ἔπιπτον μὲν πλείονες τῶν Ἀλεξάνδρου, τῷ τε πλήθει τῶν βαρβάρων βιαζόμενοι, καὶ ὅτι αὐτοί τε οἱ Σκύθαι καὶ οἱ ἵπποι αὐτοῖς ἀκριβέστερον ἐς φυλακὴν πεφραγμένοι ἦσαν. ἀλλὰ καὶ ὣς τάς τε προσβολὰς αὐτῶν ἐδέχοντο οἱ Μακεδόνες, καὶ βίᾳ κατ' ἴλας προσπίπτοντες ἐξώθουν ἐκ τῆς τάξεως. καὶ ἐν τούτῳ τὰ ἅρματα τὰ δρεπανηφόρα ἀφῆκαν οἱ βάρβαροι κατ' αὐτὸν Ἀλέξανδρον, ὡς ἀναταράξοντες αὐτῷ τὴν φάλαγγα. καὶ ταύτῃ μάλιστα ἐψεύσθησαν. τὰ μὲν γὰρ εὐθὺς ὡς προσεφέρετο, κατηκόντισαν οἵ τε Ἀγριᾶνες, καὶ οἱ ξὺν Βαλάκρῳ ἀκοντισταὶ, οἱ προτεταγμένοι τῆς ἵππου τῶν ἑταίρων· τὰ δὲ τῶν ῥυτήρων ἀντιλαμβανόμενοι, τούς τε ἀναβάτας κατέσπων, καὶ τοὺς ἵππους περιϊστάμενοι ἔκτεινον. ἔστι δὲ ἃ καὶ διεξέπεσε διὰ τῶν τάξεων. διέσχον γὰρ, ὥσπερ παρήγγελτο αὐτοῖς, ἵνα προσέπιπτε τὰ ἅρματα· καὶ ταύτῃ μάλιστα ξυνέβη αὐτά τε σῶα, καὶ οἷς ἐπηλάθη, ἀβλαβεῖς διελθεῖν. ἀλλὰ καὶ τούτων οἵ τε ἱπποκόμοι τῆς Ἀλεξάνδρου στρατιᾶς, καὶ οἱ ὑπασπισταὶ οἱ βασιλικοὶ ἐκράτησαν. ὡς δὲ Δαρεῖος ἐπῆγεν ἤδη τὴν φάλαγγα πᾶσαν, ἐνταῦθα Ἀλέξανδρος Ἀρέταν μὲν κελεύει ἐμβαλεῖν τοῖς περιϊππεύουσι τὸ κέρας σφῶν τὸ δεξιὸν, ὡς ἐς κύκλωσιν· αὐτὸς δὲ τέως μὲν ἐπὶ κέρως τοὺς ἀμφ' αὐτὸν ἦγε. τῶν δὲ ἐκβοηθησάντων ἱππέων τοῖς κυκλουμένοις τὸ κέρας σφῶν τὸ δεξιὸν, παραρρηξάντων τι τῆς προτέρας φάλαγγος τῶν βαρβάρων, ἐπιστρέψας κατὰ τὸ διέχον, καὶ ὥσπερ ἔμβολον ποιήσας τῆς τε ἵππου τῆς ἑταιρικῆς καὶ τῆς φάλαγγος τῆς ταύτῃ τεταγμένης, ἦγε δρόμῳ τε καὶ ἀλαλαγμῷ ὡς ἐπ' αὐτὸν Δαρεῖον. καὶ χρόνον μέν τινα ὀλίγον ἐν χερσὶν ἡ μάχη ἐγένετο· ὡς δὲ οἵ τε ἱππεῖς οἱ ἀμφ' Ἀλέξανδρον καὶ αὐτὸς Ἀλέξανδρος εὐρώστως ἐνέκειντο, ὠθισμοῖς τε χρώμενοι, καὶ τοῖς ξυστοῖς τὰ πρόσωπα τῶν Περσῶν κόπτοντες, ἥ τε φάλαγξ ἡ Μακεδονικὴ πυκνὴ καὶ ταῖς σαρίσαις πεφρικυῖα, ἐμβεβλήκει ἤδη αὐτοῖς, καὶ πάντα ὁμοῦ τὰ δεινὰ καὶ πάλαι φοβερῷ ὄντι Δαρείῳ ἐφαίνετο, πρῶτος αὐτὸς ἐπιστρέψας ἔφευγεν. ἐφοβήθησαν δὲ καὶ οἱ περιϊππεύοντες τῶν Περσῶν τὸ κέρας, ἐμβαλόντων ἐς αὐτοὺς εὐρώστως τῶν ἀμφὶ Ἀρέταν. ταύτῃ μὲν δὴ τῶν Περσῶν φυγὴ καρτερὰ ἦν· καὶ οἱ Μακεδόνες ἐφεπόμενοι, ἐφόνευον τοὺς φεύγοντας. οἱ δὲ ἀμφὶ Σιμμίαν, καὶ ἡ τούτου τάξις, οὐκέτι συνεξορμῆσαι Ἀλεξάνδρῳ δυνα-

phalangē circūducētes. Iámq; ferè Scytharū equitatus eos qui Alexādri agmini prȩſtituti erāt attigerat, Alexāder tamē nihilominus in dextrū cornu ducebat. iámq; propemodū ad eum locum peruenerat quem Perſæ adæquauerant: quum Darius metuēs ne Macedonibus ad loca non plana progreſsis, currus falcati inutiles ſibi fierent, iubet vt qui ante ſiniſtrum latus poſiti erant, dextrū cornu circumequitent, qua Alexander ſuos ducebat, ne producendi longius cornu Alexandro facultas eſſet. Quo facto, Alexander equites mercenarios quos Menidas ducebat, inuadere eos iubet. Sed quum Scytharū equites, & qui ex Bactrianis equitibus Scythis coniuncti erant, ex aduerſo acriter in eos inueherētur, Alexander Aretam cū ſuis equitibus & exteris in Scythas inuehi imperat. Et barbari quidem pedem retulerunt: Bactrij aliíſque Pęonibus atque exteris propinqui, ſuos in fugam verſos ad pugnam retrahunt. commiſſóque ibi equeſtri prælio complures ab Alexandri partibus cadunt, tum quòd multitudine barborum premerentur, tum etiam quòd Scythæ & eorum equi tutioribus armis muniti eſſent. Sed vel ita Macedones eorum impetum ſuſtinebant, & in turmas regias magna vi inuecti earum ordines turbarūt. Barbari contrà currus falcatos aduerſus Alexandrum immittunt, eo conſilio vt phalangem diſturbarent. qua in re maximè ſpe ſua fruſtrati ſunt. Statim enim atque currus emittebantur, partim Agriani eos telis excipiebāt, ſimúlque iaculatores quibus Balacrus præerat, amicorū equitatui pręſtituti, partim loris comprehenſis, ſeſſores è curribus deturbati, equíque circumuenti ac cæſi ſunt. Nonnulli etiam per medios ordines peruaſerunt. *Laxabant enim ſe, prout imperatum erat, ea parte qua currus impetum facerent. atque ita factum eſt vt & currus ſalui, per illos etiā in quos ferebantur ſaluos peruaderent. Cæterùm etiam hos magiſtri equitatus Alexandri, & ſcutati in ſuam poteſtatem redegerūt. Poſtquam verò Darius vniuerſam phalangē admouit, Alexāder Aretā in eos immittit qui ad dextrum ſuum cornu equitatū circumueniendi animo ducebant: ipſe interea ſuos in cornu agebat. Cæterū vt vidit equites, qui ſuis iā ad dextrū cornu in fugā inclinatis auxilio erant, priores phalangis barbarorū ordines nonnihil rupiſſe, eò repentè conuerſus qua abruptio patebat, cuneata acie, ex equitatu ſociorū & phalāge quæ eo loco cōſtituta erat, facta, cōcitato curſu ingētiq; clamore ſublato in Dariū ipſū fertur. Atq; exiguo quidē tēpore manu pugnatū eſt: quū verò equites qui circa Alexandrū erant, atq; adeò ipſe Alexander magna vi premerēt, grauiſsimiſq; ictibus atq; haſtis Perſarū ora ferirēt, & Macedonū phalāx conferta ac ſariſsis horrida in eos irrueret, omniáq; Dario, (cuius animū iā multo antè Alexādri metus ac terror inſederat) deplorata viderētur, primus ipſe terga vertit. Magno etiā terrore perculſi erāt Perſę qui cornu circūequitabāt, Areta grauē in eos impetū faciēte. Ingens hac parte Perſarū fuga erat, & Macedones inſequentes magnam fugientium ſtragem fecere. Simmias verò cum ſuo agmine non amplius Alexandrum Perſarum

Curt. ſupra, His itaq; ordinatis, præcipit, vt ſi falcatos currus cū fremitu barbari emitterent, ipſi laxatis ordinibus impetū occurrentiū ſilētio exciperent, &c.

terga prementē ſequi poterat, ſed phalangē ſiſtens pugnabat: quoniam ſiniſtrum Macedonū cornu laborare nuntiabatur. Ea enim parte, rarefacta nonnihil acie, qua vacuum ſpatium ob laxatos ordines erat, Indorum nonnulli Perſęque equites ad ipſa Macedonum impedimenta penetrarant: acerriméq; ibi pugnatū fuit. Perſę enim audacter in Macedones ferebantur, inermes pleroſque, neque expectantes fore vt pauci in ſe irruerent, duplicata phalange perfracta. Barbari quoque captiui Perſarum impetum in Macedonas conſpicati, in medio pugnæ & ipſi in Macedones cōuerſi ſunt. Duces verò Macedonum qui primæ phalangi ſuperadditi erant, re confeſtim cognita, cōuerſa (vti imperatum ipſis fuerat) acie, Perſas à tergo adorti ſunt, multóſque eorū circa impedimenta implicitos interficiunt: alij fuga euaſerūt. At Perſæ qui ad dextrum cornu ſtabant, nōdum intellecta fuga Darij, ſiniſtrum Alexandri cornu obequitantes, ex obliquo in Parmenionis agmē feruntur. Interea, quum dubię initio eſſent Macedonum res, Parmenio confeſtim nuntium ad Alexandrum emittit, qui agmen ſuum in conflictu verſari ſignificet, auxilióque ſuo opus eſſe. Quæ vbi Alexandro nuntiata ſunt, protinus à perſequendo hoſte deſiſtens, & cum equitatu amicorū ad exercitum conuerſus, in dextrum barbarorū cornu magna vi fertur. Ac primùm quidem in fugientes hoſtiū equites, Parthos nimirum & Indorum nonnullos, inque Perſas plurimos fortiſſimóſque irruit. Ibi acrius q̃ vſquam antea equeſtre prælium committitur: conferti enim quemadmodum turmatim conſtiterant, terga vertunt barbari, & in Alexandri copias ex aduerſo incidentes, nō iam telorum iactu, non equis in gyrū actis equeſtris prælij more vtebantur, ſed alius alium equo deturbare conantes, perinde acſi hac vna in re eorum ſalus verſaretur, cædebant ſimul & cædebantur, quaſi iam non de aliena victoria, ſed de propria quiſque ſalute dimicaret. In hac pugna, ex ſociis Alexandri circiter LX cæſi ſunt, *Hephæſtione & Cœno ac Menida vulneratis. Sed & his Alexander ſuperior euaſit. Reliqui enim, qui in eos qui circa Alexandrum erant inciderunt, effuſa fuga ſalutem ſibi quæſierunt: iámque prope eò ventum erat vt Alexander cum dextro hoſtium cornu congrederetur: at Theſſali equites re præclarè geſta, nihil Alexandro conficiēdum reliqui fecerant. Iam enim terga verterant Barbari qui ad dextrum cornu ſtabant, quum Alexander illis appropinquaret. Rurſus itaque ad inſequendum Darium conuerſus, non prius deſtitit quàm nocte impediretur. Parmenio etiam cum ſuo comitatu quantum poterat fugientes inſequebatur. Alexander Lycum amnē tranſgreſſus, ibi caſtra poſuit, vt milites pariter atque equi nonnihil ſeſe relaxarent. Parmenio caſtris barbarorū potitus, impedimēta omnia & elephantos ac camelos cepit. Alexāder, equitib⁹ qui circa ipſum erāt quiete data, ad mediam noctem rurſus ad Arbela contendit, quòd Darium, & pecuniam, omnémque

A τοὶ ἐγένοντο ἐς τὴν δίωξιν· ἀλλ' ἐπιστρέψαντες τὴν φάλαγγα αὐτοῦ, ἠγωνίζοντο, ὅτι τὸ εὐώνυμον τῶν Μακεδόνων πονεῖσθαι ἠγγέλλετο. καὶ ταύτῃ παραρραγείσης αὐτοῖς τῆς τάξεως, κατὰ τὸ διέχον, διεκπαίουσιν τῶν τε Ἰνδῶν τινὲς, καὶ τῆς Περσικῆς ἵππου, ὡς ἐπὶ τὰ σκευοφόρα τῶν Μακεδόνων· καὶ τὸ ἔργον ἐκεῖ καρτερὸν ἐγίγνετο. οἵ τε γὰρ Πέρσαι θρασέως προσέκειντο, ἀνόπλοις τοῖς πολλοῖς, καὶ οὐ προσδοκήσασιν ἐπὶ σφᾶς διεκπεσεῖσθαι τινὰς, διακόψαντας διπλῆν τὴν φάλαγγα. καὶ οἱ αἰχμάλωτοι βάρβαροι, ἐμβαλλόντων τῶν B Περσῶν, ξυνεπέθεντο καὶ αὐτοὶ τοῖς Μακεδόσιν ἐν τῷ ἔργῳ. τῶν δὲ ἐπιτεταγμένων τῇ πρώτῃ φάλαγγι οἱ ἡγεμόνες, ὀξέως μαθόντες τὸ γινόμενον, μεταβαλόντες (ἧπερ παρήγγελτο αὐτοῖς) τὴν τάξιν, ἐπιγίγνονται κατὰ νώτου τοῖς Πέρσαις, καὶ πολλοὺς μὲν αὐτῶν αὐτοῦ ἀμφὶ τοῖς σκευοφόροις ξυνεχομένους ἀπέκτειναν· οἱ δὲ αὐτῶν ἐκκλίναντες, ἔφευγον. οἱ δ' ἐπὶ τοῦ δεξιοῦ κέρως τῶν Περσῶν, οὔπω τῆς φυγῆς τῆς Δαρείου ᾐσθημένοι, περιϊππεύσαντες τὸ Ἀλεξάνδρου εὐώνυμον, κατὰ κέρας τοῖς ἀμφὶ τὸν Παρμενίωνα ἐνέβαλον. C καὶ ἐν τούτῳ ἀμφιβόλων τὰ πρῶτα γιγνομένων τῶν Μακεδόνων, πέμπει Παρμενίων παρ' Ἀλέξανδρον σπουδῇ ἀγγελοῦντα, ὅτι ἐν ἀγῶνι ξυνέχεται τὸ κατὰ σφᾶς, καὶ βοηθεῖν δεῖ. ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, τοῦ μὲν διώκειν ἔτι ἀπετράπετο, ἐπιστρέψας δὲ σὺν τῇ ἵππῳ τῶν ἑταίρων, ὡς ἐπὶ τὸ δεξιὸν τῶν βαρβάρων ἦγε δρόμῳ. καὶ πρῶτα μὲν τοῖς φεύγουσι τῶν πολεμίων ἱππεῦσι, τοῖς τε Παρθυαίοις, καὶ τῶν Ἰνδῶν ἔστιν οἷς, καὶ Πέρσαις τοῖς πλείστοις καὶ κρατίστοις ἐμβάλλει. καὶ ἱππομαχία αὕτη καρτερωτάτη τοῦ παντὸς ἔργου ξυνέστη. ἐς βάθος D τε γὰρ οἷα δὴ ἰλαδὸν τεταγμένοι, ἀνέστρεφον οἱ βάρβαροι, καὶ ἀντιμέτωποι τοῖς ἀμφ' Ἀλέξανδρον ξυμπεσόντες, οὔτε ἀκοντισμῷ ἔτι, οὔτ' ἐξελιγμοῖς τῶν ἵππων, ἧπερ ἱππομαχίας δίκη, ἐχρῶντο, ἀλλὰ διεκπαῖσαι πᾶς τις τὸ καθ' αὑτὸν, ὡς μόνην ταύτην σωτηρίαν σφίσιν οὖσαν ἐπειγόμενοι, ἔκοπτόν τε καὶ ἐκόπτοντο ἀφειδῶς, οἷα δὴ οὐχ ὑπὲρ νίκης ἀλλοτρίας ἔτι, ἀλλ' ὑπὲρ σωτηρίας οἰκείας ἀγωνιζόμενοι, καὶ ἐνταῦθα μὲν πίπτουσιν ἀμφὶ ἑξήκοντα τῶν ἑταίρων τοῦ Ἀλεξάνδρου· καὶ τιτρώσκεται Ἡφαιστίων τε αὐτὸς E καὶ Κοῖνος, καὶ Μενίδας· ἀλλ' ἐκράτησε καὶ τούτων Ἀλέξανδρος. καὶ τούτων μὲν ὅσοι ἐξέπεσον διὰ τῶν ἀμφ' Ἀλέξανδρον, ἔφευγον ἀνακράτος. Ἀλέξανδρος δὲ ἐγγὺς ἦν προσμίξαι ἤδη τῷ δεξιῷ κέρατι τῶν πολεμίων. καὶ ἐν τούτῳ οἱ Θεσσαλοὶ ἱππεῖς, λαμπρῶς ἀγωνισάμενοι οὐχ ὑπελείποντο Ἀλεξάνδρῳ τοῦ ἔργου· ἀλλὰ γὰρ ἔφευγον ἤδη οἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τῶν βαρβάρων, ὁπότε Ἀλέξανδρος αὐτοῖς συνέμιξεν. ὥστε ἀποτραπόμενος Ἀλέξανδρος, ἐς τὸ διώκειν αὖθις Δαρεῖον ἐξώρμησε, καὶ ἐδίωξεν ἔστε φάος ἦν. καὶ οἱ ἀμφὶ Παρ- F μενίωνα τὸ καθ' αὑτοὺς διώκοντες εἵποντο. ἀλλὰ Ἀλέξανδρος μὲν διαβὰς τὸν ποταμὸν τὸν Λύκον, κατεστρατοπέδευσεν αὐτοῦ, ὡς ἀναπαῦσαι ὀλίγον τούς τε ἄνδρας καὶ τοὺς ἵππους. Παρμενίων δὲ τό, τε στρατόπεδον τῶν βαρβάρων εἷλε, καὶ τὰ σκευοφόρα, καὶ τοὺς ἐλέφαντας, καὶ τὰς καμήλους. Ἀλέξανδρος δὲ, ἀναπαύσας τοὺς ἀμφ' αὐτὸν ἱππέας, ἔστε ἐπὶ μέσας νύκτας, προὐχώρει αὖθις κατὰ σπουδὴν ἐπ' Ἄρβηλα, ὡς Δαρεῖόν τε αἱρήσων ἐκεῖ, καὶ

Curt. Nec duces quidem copiarū ſua laude fraudandi ſunt, quippe vulnera quiſque excepit, quæ indicia virtutis ſunt, &c.

τὰ χρήματα, καὶ τὴν ἄλλην κατασκευὴν τὴν βασιλικήν· καὶ ἀφίκετο εἰς Ἄρβηλα τῇ ὑστεραίᾳ, διώξας τοὺς πάντας ἐκ τῆς μάχης σταδίους μάλιστα ἐς ἑξακοσίους· καὶ Δαρεῖον μὲν οὐ καταλαμβάνει ἐν Ἀρβήλοις, ἀλλ' ἔφευγεν οὐδέν τι ἐλινύσας Δαρεῖος· τὰ χρήματα δὲ ἐγκατελήφθη, καὶ ἡ ἀσπὶς αὖθις καὶ τὰ τόξα ἑάλω. ἀπέθανον δὲ τῶν ἀμφ' Ἀλέξανδρον, ἄνδρες μὲν ἐς ἑκατὸν μάλιστα· ἵπποι δὲ ἔκ τε τῶν τραυμάτων καὶ τῆς κακοπαθείας τῆς ἐν τῇ διώξει, ὑπὲρ τοὺς χιλίους. καὶ τούτων τῆς ἑταιρικῆς ἵππου σχεδόν τι οἱ ἡμίσεες. τῶν βαρβάρων δὲ, νεκρῶν μὲν ἐλέγοντο ἐς τριάκοντα μυριάδας· ἑάλωσαν δὲ πολὺ πλείονες τῶν ἀποθανόντων, καὶ οἱ ἐλέφαντες, καὶ τῶν ἁρμάτων ὅσα μὴ κατεκόπη ἐν τῇ μάχῃ. τοῦτο τέλος τῇ μάχῃ ταύτῃ ἐγένετο, ἐπὶ ἄρχοντος Ἀθήνησιν Ἀριστοφάνους, μηνὸς Πυανεψιῶνος. καὶ Ἀριστάνδρῳ ξυνέβη ἡ μαντεία, ἐν τῷ αὐτῷ μηνὶ ἐν ὅτῳ ἡ σελήνη ἐκλιπὴς ἐφάνη, τήν τε μάχην Ἀλεξάνδρῳ καὶ τὴν νίκην γενέσθαι.

Δαρεῖος μὲν δὴ ἐκ τῆς μάχης παρὰ τὰ ὄρη τὰ Ἀρμενίων ἤλαυνεν ἐπὶ Μηδίας, καὶ Περσῶν οἵ τε συγγενεῖς οἱ βασιλέως, καὶ τῶν μηλοφόρων καλουμένων οὐ πολλοί. προσεγένοντο δὲ αὐτῷ κατὰ τὴν φυγὴν καὶ τῶν μισθοφόρων ξένων ἐς δισχιλίους· οὓς Πάρων τε ὁ Φωκεὺς καὶ Γλαῦκος ὁ Αἰτωλὸς ἦγον. ταύτῃ δὲ αὐτῷ ἡ φυγὴ ἐπὶ Μηδίας ἐγένετο, ὅτι ἐδόκει τὴν ἐπὶ Σούσων τε καὶ Βαβυλῶνος ἥξειν Ἀλέξανδρον ἐκ τῆς μάχης· ὅτι οἰκουμένη τε ἐκείνη πᾶσα ἦν, καὶ ὁδὸς τοῖς σκευοφόροις οὐ χαλεπὴ, καὶ ἅμα τοῦ πολέμου τὸ ἆθλον ἡ Βαβυλὼν καὶ τὰ Σοῦσα ἐφαίνετο· ἡ δὲ ἐπὶ Μηδίας, μεγάλῳ στρατεύματι οὐκ εὔπορος. καὶ οὐκ ἐψεύσθη Δαρεῖος. Ἀλέξανδρος γὰρ ἐξ Ἀρβήλων ὁρμηθεὶς, τὴν ἐπὶ Βαβυλῶνος εὐθὺς προὐχώρει. ἤδη τε οὐ πόρρω Βαβυλῶνος ἦν, καὶ τὴν δύναμιν ξυντεταγμένην ὡς ἐς μάχην ἦγε. καὶ οἱ Βαβυλώνιοι πανδημεὶ ἀπήντων αὐτῷ, ξὺν ἱερεῦσί τε σφῶν καὶ ἄρχουσι, δῶρά τε ὡς ἕκαστοι φέροντες, καὶ τὴν πόλιν ἐκδιδόντες, καὶ τὴν ἄκραν, καὶ τὰ χρήματα. Ἀλέξανδρος δὲ παρελθὼν εἰς τὴν Βαβυλῶνα, τὰ ἱερὰ, ἃ Ξέρξης καθεῖλεν, ἀνοικοδομεῖν προσέταξε Βαβυλωνίοις. τά τε ἄλλα, καὶ τοῦ Βήλου τὸ ἱερὸν, ὃν μάλιστα θεῶν τιμῶσι Βαβυλώνιοι. σατράπην δὲ κατέστησε Βαβυλῶνος, Μαζαῖον. Ἀπολλόδωρον δὲ τὸν Ἀμφιπολίτην, στρατηγὸν τῶν μετὰ Μαζαίου ὑπολειπομένων στρατιωτῶν, καὶ Ἀσκληπιόδωρον τὸν Φίλωνος τοὺς φόρους ἐκλέγειν. κατέπεμψε δὲ καὶ ἐς Ἀρμενίαν Μιθρήνην σατράπην, ὃς τὴν ἐν Σάρδεσιν ἀκρόπολιν Ἀλεξάνδρῳ ἐνέδωκεν. ἔνθα δὴ καὶ τοῖς Χαλδαίοις ἐνέτυχεν, καὶ ὅσα ἐδόκει Χαλδαίοις ἀμφὶ τὰ ἱερὰ τὰ ἐν Βαβυλῶνι, ἔπραξε· τά τε ἄλλα, καὶ τῷ Βήλῳ, καθὰ ἐκεῖνοι ἐξηγοῦντο, ἔθυσεν. αὐτὸς δὲ ἐπὶ Σούσων ἐστέλλετο· καὶ ἐντυγχάνει αὐτῷ κατὰ τὴν ὁδὸν ὅ, τε παῖς τοῦ Σουσίων σατράπου, καὶ παρὰ Φιλοξένου ἐπιστολεύς. Φιλόξενον γὰρ εὐθὺς ἐκ τῆς μάχης ἐπὶ Σούσων ἐστάλκει Ἀλέξανδρος. τῇ δὲ ἐπιστολῇ τῇ παρὰ Φιλοξένου ἐνεγέγραπτο, ὅτι τήν τε πόλιν οἱ Σούσιοι παραδεδώκασιν, καὶ τὰ χρήματα πάντα σῶά ἐστιν Ἀλεξάνδρῳ. ἀφίκετο δὲ ἐς Σοῦσα Ἀλέξανδρος ἐκ Βαβυλῶνος ἐν ἡμέραις εἴκοσι. καὶ παρελθὼν εἰς τὴν πόλιν, τά τε χρήματα παρέλαβεν, ὄντα ἀργυρίου τάλαντα ἐς πεντακισμύρια, καὶ τὴν ἄλλην κατασκευὴν τὴν βασιλικήν. πολλὰ δὲ καὶ ἄλλα κατελήφθη αὐτοῦ, ὅσα Ξέρξης

A regium apparatum ſe ibi capturum ſperaret.
Poſtero itaque die eò peruenit; eos qui ex
prælio eua ſerãt ad ſexcẽta circiter ſtadia in-
ſequutus. Ac Darium quidẽ in Arbelis non
offendit. fugerat enim nulla vſpiã intermiſ-
ſione aut mora facta: pecuniam verò nactus
eſt, & ſcutũ denuo Darij atque arcum cepit.
Ab Alexandri partibus centũ ſummũ capi-
ta in eo prælio ſunt deſiderata: equi, partim
vulneribus acceptis, partim ex nimia in per-
ſequẽdo defatigatione, mille: ex quibus ꝓ-
pe dimidia pars ſociorũ erat. Ex barbaris ve-
B rò circiter trecenta millia cæſa ferebantur;
multóque maior numerus captorum quàm
cæſorũ fuit. Elephanti etiam omnes, & cur-
rus quotquot in prælio confracti non fue-
rant, in poteſtatẽ venerunt. Hic fuit pugnæ
exitus, archonte Athenis Ariſtophane, men
ſe Iulio. atque ita Ariſtandri vaticiniũ verax
fuit, nimirum eodem illo menſe quo lunæ
defectus viſus erat, Alexandrum & prælium
commiſſurum, & victoria potiturum.

Darius ex hoc prælio trans montes Armẽ
C niæ in Mediam fugit, Perſis nõnullis cõſan-
guineis, paucíſque melophoris comitatus.
Acceſſerunt etiã ad eum poſt fugam merce-
nariorũ exterorũ duo millia, quorum duces
erant Paron Phocæus & Glaucus AEtolus.
Porro hoc cõſilio in Mediam fugit, quòd A-
lexandrum ex prelio Suſas & Babylonẽ pro-
fecturum exiſtimabat: quia omnis ea regio
cultoribus frequens eſſet, atque iter impedi
mentis vehẽdis non incommodũ. præterea
quòd Babylon & Suſæ præmia quodammo-
do belli fore viderẽtur: iter verò in Mediam
D ingenti exercitui ducendo parum commo-
dum eſt. Neque eum ſua opinio fefellit. Ale
xander enim ex Arbelis mouẽs, recta Baby-
lonẽ eſt profectus. Iámque non procul Ba-
bylone aberat, *quũ inſtructa ad pugnãdum
acie exercitum duxit. Babyloniorũ vniuer-
ſa multitudo portis effuſa, cum ſacerdotibus
& principibus ciuitatis Alexandro obuiam
iuit, munera certatim offerentes, vrbémque
& arcem cum pecunia tradentes. Alexander
Babylonẽ ingreſſus, templa quæ Xerxes ſub-
E uerterat, inſtaurari Babylonis iuſſit, & in his
templum Beli, quem præcipuè deum Baby-
lonij colunt. Satrapam eis conſtituit Ma-
zæum. Apollodorũ verò Amphipolitẽ, du-
cem eorum militũ qui cum Mazæo relicti
erãt, & Aſclepiodorũ Philonis filiũ tributis
cogendis præfecit. Mithrinẽ etiã ſatrapã in
Armeniã miſit, qui Sardium arcem Alexan-
dro tradiderat. *Chaldæos quoq; in hac vr-
be cõſuluit, & quæcunque circa templorum
inſtaurationẽ faciẽda monuerũt, peregit. at-
que inter cętera Belo, ex ipſorũ cõſilio, ſacrũ
F fecit. ipſe inde Suſas mouit: in itinere obuiũ
habuit filiũ ſatrapæ Suſiorũ, & tabellarium
cũ literis à Philoxeno, quẽ Alexãder ſtatim
ex prælio Suſas miſerat. Epiſtolæ ſententia
hæc erat, Suſios vrbẽ tradidiſſe, omnémq; pe
cuniã Alexãdro ſaluã eſſe. è Babylone Suſas
vigeſimo die peruenit, vrbémq; ingreſſus, pe
cuniã omnẽ, argẽti millia quinquaginta, re-
liquũmque apparatũ regium accepit. Mul-
ta præterea alia ibi reperta ſunt, quæ Xerxes

*Curt. Quadrato agmine, quod ipſe ducebat, velut in acie irent, ingredi ſuos iubet.

*Curt. Chaldæi ſiderum motus, & ſtatas temporũ vices oſtendere.

è Græcia attulerat. inter quæ Harmodij & Ariſtogitonis æneæ ſtatuæ, quas quidem Athenienſibus poſtea remiſit Alexander, & in hunc vſq; diẽ Athenis in Ceramico habetur: ea parte qua ad vrbẽ aſcendimus, è regione Metroi, ſiue aræ Matris deûm: non procul ab ara Eudanemi: quã quiſquis Eleuſiniis ſacris initiatus eſt in *porticu ſitam eſſe non ignorat. Eo loco Alexander patrio more collucentibus facibus ſacrum fecit, ludóſque gymnicos edidit. Inde Abulite homine Perſa ſatrapa Suſianis relicto, Mazaróque vno ex ſociis præfecto præſidij arcis & Archelao Theodori filio conſtituto, in Perſas mouit. Ad mare Menetem miſit, Syriæ, Phœniciæ & Ciliciæ præſidem. Huic tria millia talentûm argenti ad mare vehenda tradit, iubétque vt ex iis Antipatro tantum quantum ad bellũ cum Lacedæmoniis gerendũ ſufficiat, mittat. Eo loci Amyntas Andromenis F. cum exercitu quẽ ex Macedonia ducebat venit. Atque equites quidem Alexander ad ſociorum equitatum coniunxit: pedites verò in ſuæ quoſque gentis ordines diſtribuit. Duos præterea ad ſingulas turmas *tribunos conſtituit, quum antea equeſtres tribuni nulli fuiſſent: ad hoc munus ex ſociis eos qui virtute bellica præſtitiſſent delegit. Deinde Suſis cum exercitu mouens, Paſitigrem amnẽ tranſgreſſus, Vxiorum regionem ingreditur. Et Vxij quidem plana incolentes, quũ Perſarum ſatrapæ parerent, Alexandro deditionem fecerant: at verò Vxij, quos montanos vocant, Perſis ſubditi non erant. Hi Alexandro nuntiant, ſe nequaquã paſſuros vt cum exercitu in Perſas tranſiret, niſi tantundem daret quantum à Perſarũ regibus pro tranſitu accipere ſoliti eſſent. Quos Alexãder remittit, vtq; anguſtias illas inſideãt iubet, quibus occupatis tranſitum in Perſiam impediri poſſe credebant, vt eo loci pecuniam pendi ſolitam accipiant. Ipſe ſumtis ſecum corporis cuſtodibus regiis, & ſcutatis, atque ex reliquo exercitu octo circiter millibus, aliã quàm quæ cõſpicua erat viam noctu ingreſſus eſt, Suſiis ductoribus vſus. Via itaque difficili atque ardua ſuperata, vno die in vicos Vxiorum peruenit, multóſque eorum adhuc ſomno preſſos interfecit: alij in mõtes diffugiunt. Ipſe celeriter ad eas fauces contendit, ad quas confluxuros cateruatim Vxios cenſebat, ad pactam tranſitus mercedem recipiendam. At Craterum antea præmiſerat ad iuga montium occupanda, in quæ Vxios preſſos ſeſe recepturos exiſtimabat. Ipſe greſſum accelerans trãſitum occupat, iiſque qui circa ipſum erant in ordinẽ redactis, in barbaros ex editioribus maximéque opportunis locis fertur. Barbari celeritate Alexandri conſternati, quum eos locos, in quibus plurimũ fiduciæ poſuerant, ereptos ſibi eſſe cernerent, non tentato conflictu in fugam vertuntur. Horũ multi ab Alexandri comitatu interficiuntur: multi per abrupta viarum præcipitia ruunt. plurimi verò ad iuga montium confugientes, in Crateri copias incidunt, & ab iis cæduntur. Hac mercede accepta, ægrè multis precibus ab Alexandro

Fac. in Dapedo.

Fac. Decuriones

A ἀπὸ τῆς Ἑλλάδος ἄγων ἦλθε· τά τε ἄλλα, καὶ Ἁρμοδίου καὶ Ἀριστογείτονος χαλκαῖ εἰκόνες· καὶ ταύτας Ἀθηναίοις πέμπει ὀπίσω Ἀλέξανδρος, καὶ νῦν κεῖνται Ἀθήνησιν ἐν Κεραμεικῷ αἱ εἰκόνες, ᾗ ἄνιμεν ἐς πόλιν, καταντικρὺ μάλιστα τοῦ Μητρῴου, οὐ μακρὰν τῶν Εὐδανέμων τοῦ βωμοῦ· ὅστις δὲ μεμύηται τοῖν θεαῖν ἐν Ἐλευσῖνι, οἶδε τὸν Εὐδανέμου βωμόν, ἐπὶ τοῦ δαπέδου ὄντα. ἐνταῦθα θύσας τῷ πατρίῳ νόμῳ Ἀλέξανδρος, καὶ λαμπάδα ποιήσας, καὶ ἀγῶνα γυμνικόν, καταλιπὼν
B σατράπην μὲν τοῖς Σουσιανοῖς Ἀβουλίτην ἄνδρα Πέρσην, φρούραρχον δὲ ἐν τῇ ἄκρᾳ τῶν Σούσων Μάζαρον, τῶν ἑταίρων, καὶ στρατηγὸν Ἀρχέλαον τὸν Θεοδώρου, προὐχώρει ὡς ἐπὶ Πέρσας. ἐπὶ θάλασσαν δὲ κατέπεμψεν ὕπαρχον Συρίας καὶ Φοινίκης καὶ Κιλικίας, Μένητα. καὶ τούτῳ ἔδωκεν ἀργυρίου τάλαντα ἐς τρισχίλια φέρειν ἐπὶ θάλασσαν. καὶ ἀπ᾽ αὐτῶν ἀποστεῖλαι παρ᾽ Ἀντίπατρον, ὅσων ἂν δέηται Ἀντίπατρος ἐς τὸν πρὸς Λακεδαιμονίους πόλεμον. ἐνταῦθα καὶ Ἀμύν-
C τας ὁ Ἀνδρομένους ξὺν τῇ δυνάμει ἀφίκετο, ἣν ἐκ Μακεδονίας ἦγε· καὶ τούτων τοὺς μὲν ἱππέας ἐς τὴν ἵππον τὴν ἑταιρικὴν κατέταξεν Ἀλέξανδρος, τοὺς πεζοὺς δὲ προσέθηκε ταῖς τάξεσι ταῖς ἄλλαις, κατὰ ἔθνη ἑκάστους ξυντάξας. κατέστησε δὲ καὶ λόχους δύο ἐν ἑκάστῃ ἴλῃ, οὐ πρόσθεν ὄντας λόχους ἱππικούς· καὶ λοχαγοὺς ἐπέστησε, τοὺς κατ᾽ ἀρετὴν προκριθέντας ἐκ τῶν ἑταίρων. ἄρας δὲ ἐκ Σούσων, καὶ διαβὰς τὸν Πασιτίγρην ποταμόν, ἐμβάλλει εἰς τὴν Οὐξίων γῆν. Οὐ-
D ξίων δὲ οἱ μὲν τὰ πεδία οἰκοῦντες, τοῦ τε σατράπου τῶν Περσῶν ἤκουον, καὶ τότε Ἀλεξάνδρῳ σφᾶς ἐνέδοσαν· οἱ δὲ ὄρειοι καλούμενοι Οὔξιοι, Πέρσαις τε οὐχ ὑπήκοοι ἦσαν, καὶ τότε πέμψαντες παρ᾽ Ἀλέξανδρον, οὐκ ἄλλως παρήσειν ἔφασαν τὴν ἐπὶ Πέρσας ἰόντα ξὺν τῇ δυνάμει, ἢ λαβεῖν ὅσα καὶ παρὰ τοῦ Περσῶν βασιλέως ἐπὶ τῇ παρόδῳ ἐλάμβανον. καὶ τούτους ἀποπέμπει Ἀλέξανδρος, ἥκειν κελεύσας ἐπὶ τὰ στενά, ὧν κρατοῦντες ἐπὶ σφίσιν ἐδόκουν τὴν πάροδον εἶναι τὴν ἐς Πέρσας, ἵνα καὶ παρ᾽ αὐτοῦ λάβοιεν τὰ τεταγμένα.
E αὐτὸς δὲ ἀναλαβὼν τοὺς σωματοφύλακας τοὺς βασιλικούς, καὶ τοὺς ὑπασπιστάς, καὶ τῆς ἄλλης στρατιᾶς ἐς ὀκτακισχιλίους, τῆς νυκτὸς ᾔει ἄλλην ἢ τὴν φανεράν, ἡγησαμένων αὐτῷ τῶν Σουσίων. καὶ διελθὼν ὁδὸν τραχεῖαν καὶ δύσπορον, ἐν μιᾷ ἡμέρᾳ ἐμπίπτει ταῖς κώμαις τῶν Οὐξίων· καὶ λείαν τε πολλὴν ἔλαβε, καὶ αὐτῶν ἔτι ἐν ταῖς εὐναῖς ὄντων πολλοὺς κατέκτεινεν. οἱ δὲ ἀπέφυγον εἰς τὰ ὄρη· αὐτὸς δὲ ᾔει σπουδῇ ἐπὶ τὰ στενά, ἵνα ἀπαντήσεσθαι οἱ Οὔξιοι πανδημεὶ ἐδόκουν, ληψόμενοι τὰ τεταγμένα. Κρατερὸν δὲ ἔτι πρόσθεν ἀπέστειλε, τὰ ἄκρα καταληψόμενον, ἔνθα ᾤετο βιαζομένους τοὺς Οὐξίους ἀποχωρήσειν. αὐτὸς δὲ πολλῷ τά-
F χει ᾔει. καὶ φθάνει τε κρατήσας τῶν παρόδων, καὶ ξυντεταγμένους τοὺς ἀμφ᾽ αὐτὸν ἔχων, ἐξ ὑπερδεξίων χωρίων ἐπῆγεν ὡς ἐπὶ τοὺς βαρβάρους. οἱ δὲ τῷ τε τάχει τοῦ Ἀλεξάνδρου ἐκπλαγέντες, καὶ τοῖς χωρίοις οἷς μάλιστα δὴ ἐπεποίθεσαν πλεονεκτούμενοι, ἔφυγον, οὐδὲ εἰς χεῖρας ἐλθόντες. καὶ οἱ μὲν αὐτῶν ὑπὸ τῶν περὶ Ἀλέξανδρον ἐν τῇ φυγῇ ἀπέθανον· πολλοὶ δὲ καὶ κατὰ τὴν ὁδόν, κρημνώδη οὖσαν. οἱ πλεῖστοι δὲ ἐπὶ τὰ ὄρη ἀναφεύγοντες, ἐμπίπτουσιν ἐς τοὺς ἀμφὶ Κρατερόν, καὶ ὑπὸ τούτων ἀπόλλυνται. ταῦτα τὰ γέρα παρ᾽ Ἀλεξάνδρου

λαβόντες, χαλεπῶς δ' εὕραντο δεόμενοι παρ' αὐτοῦ, τὴν χώραν τὴν σφῶν ἔχοντες, φόρους ὅσα ἔτη Ἀλεξάνδρῳ ἀποφέρειν. Πτολεμαῖος δὲ ὁ Λάγου λέγει, τὴν Δαρείου μητέρα δεηθῆναι ὑπὲρ αὐτῶν Ἀλεξάνδρου, δοῦναί σφισι τὴν χώραν οἰκεῖν. ὁ φόρος δὲ ὁ συνταχθεὶς ἦν, ἵπποι ἐς ἔτος ἑκατὸν, καὶ ὑποζύγια πεντακόσια, καὶ πρόβατα τρισμύρια. χρήματα γὰρ οὐκ ἦν Οὐξίοις, οὐδὲ γῆ οἵα ἐργάζεσθαι, ἀλλὰ νομεῖς αὐτῶν οἱ πολλοὶ ἦσαν.

Ἐκ δὲ τούτου τὰ μὲν σκευοφόρα, καὶ τοὺς Θετταλοὺς ἱππέας καὶ τοὺς ξυμμάχους, καὶ τοὺς μισθοφόρους τοὺς ξένους, καὶ ὅσοι ἄλλοι τοῦ στρατεύματος βαρύτερον ὡπλισμένοι, ξὺν Παρμενίωνι ἐκπέμπει, ὡς ἐπὶ Πέρσας ἄγειν κατὰ τὴν ἁμαξιτὸν τὴν ἐς Πέρσας φέρουσαν. αὐτὸς δὲ τοὺς πεζοὺς τοὺς Μακεδόνας ἀναλαβὼν, καὶ τὴν ἵππον τὴν ἑταιρικὴν, καὶ τοὺς προδρόμους ἱππέας, καὶ τοὺς Ἀγριᾶνας, καὶ τοὺς τοξότας, ᾔει σπουδῇ τὴν διὰ τῶν ὀρῶν. ὡς δὲ ἐπὶ τὰς πύλας τὰς Περσίδας ἀφίκετο, καταλαμβάνει αὐτοῦ Ἀριοβαρζάνην τὸν Περσῶν σατράπην, πεζοὺς μὲν ἐς τετρακισχιλίους ἔχοντα, ἱππέας δὲ ἐς ἑπτακοσίους, διατετειχικότα τὰς πύλας, καὶ αὐτοῦ πρὸς τῷ τείχει ἐστρατοπεδευκότα, ὡς εἴργειν τῆς παρόδου Ἀλέξανδρον. τότε μὲν δὴ αὐτοῦ κατεστρατοπεδεύσατο· τῇ δὲ ὑστεραίᾳ ξυντάξας τὴν στρατιὰν, ἐπῆγε τῷ τείχει. ὡς δὲ ἄπορόν τε διὰ δυσχωρίαν ἐφαίνετο αἱρεθῆναι, καὶ πολλὰς πληγὰς οἱ ἀμφ' αὐτὸν ἐλάμβανον, ἐξ ὑπερδεξίου τε χωρίου καὶ ἀπὸ μηχανῶν βαλλόμενοι, τότε μὲν ἀποχωρεῖ ἐς τὸ στρατόπεδον· τῶν δὲ αἰχμαλώτων φρασάντων ἄλλην ὁδὸν περιάξειν αὐτὸν, ὡς εἴσω παρελθεῖν τῶν πυλῶν, ἐπεὶ τραχεῖαν τὴν ὁδὸν καὶ στενὴν ἐπύθετο, Κρατερὸν μὲν αὐτοῦ καταλείπει ἐπὶ στρατοπέδου, τήν τε αὐτοῦ τάξιν ἔχοντα, καὶ τὴν Μελεάγρου, καὶ τῶν τοξοτῶν ὀλίγους, καὶ τῶν ἱππέων ἐς πεντακοσίους. καὶ προστάττει αὐτῷ, ἐπειδὰν ἐκπεριεληλυθότα αὐτὸν αἴσθηται, καὶ προσάγοντα ἤδη τῷ στρατοπέδῳ τῶν Περσῶν, (αἰσθήσεσθαι δὲ οὐ χαλεπῶς, σημανεῖν γὰρ αὐτῷ τὰς σάλπιγγας) τότε δὲ προσβαλεῖν τῷ τείχει. αὐτὸς δὲ προυχώρει νύκτωρ, καὶ διελθὼν ὅσον ἑκατὸν σταδίους, ἀναλαμβάνει τοὺς ὑπασπιστὰς, καὶ τὴν Περδίκκου τάξιν, καὶ τῶν τοξοτῶν τοὺς κουφοτάτους, καὶ τοὺς Ἀγριᾶνας, καὶ τῶν ἑταίρων τὴν ἴλην τὴν βασιλικὴν, καὶ τετραρχίαν πρὸς ταύτῃ μίαν ἱππικὴν, καὶ ξὺν τούτοις ᾔει ἐπικάμψας, ὡς ἐπὶ τὰς πύλας, ἵν' οἱ αἰχμάλωτοι ἦγον. Ἀμύνταν δὲ καὶ Φιλώταν, καὶ Κοῖνον τὴν ἄλλην στρατιὰν ὡς ἐπὶ τὸ πεδίον ἄγειν, καὶ τὸν ποταμὸν, ὃν ἐχρῆν περᾶσαι ἰόντι ἐπὶ Πέρσας, γεφυροῦν ἐκέλευσεν· αὐτὸς δὲ ᾔει ὁδὸν χαλεπὴν καὶ τραχεῖαν, καὶ ταύτην δρόμῳ τὸ πολὺ ἦγε. τὴν μὲν δὴ πρώτην φυλακὴν τῶν βαρβάρων πρὶν φάους ἐπιπεσὼν διέφθειρε, καὶ τῶν δευτέρων τοὺς πολλούς· τῆς τρίτης δὲ οἱ πλείους διέφυγον, καὶ οὐδὲ οὗτοι ἐς τὸ στρατόπεδον τὸ Ἀριοβαρζάνου ἔφυγον, ἀλλ' αὐτόθεν, ὡς εἶχον, ἐς τὰ ὄρη πεφοβημένοι· ὥστε ἔλαθεν ἐπιπεσὼν ὑπὸ τὴν ἕω τῷ στρατοπέδῳ τῶν πολεμίων, καὶ ἅμα μὲν προσέβαλλε τῇ τάφρῳ, ἅμα δὲ αἱ σάλπιγγες ἐσήμαινον τοῖς ἀμφὶ Κρατερὸν, καὶ Κρατερὸς προσῆγε τῷ προτειχίσματι. οἱ δὲ πολέμιοι πανταχόθεν ἀμφίβολοι γιγνόμενοι, οὐδὲ ἐς χεῖρας ἐλθόντες ἔφυγον, ἀλλὰ πανταχόθεν γὰρ εἴργοντο, ᾗ μὲν Ἀλεξάνδρου ἐπικειμένου, ἄλλῃ

impetrarũt, vt agrorum ſuorum poſſeſſione ipſis relicta annua tributa penderent. Ptolemæus Lagi filius autor eſt, Darij matrẽ pro iis Alexãdro ſupplicaſſe, agrũmq; eius rogatu, illis incolendum eſſe datum. Tributũ annuum iis impoſitum eiuſcemodi fuit: Equi centum, iumenta quingenta, pecudum triginta millia. Neque enim moneta Vxij vtebantur, neque agros ad colendum aptos habebant, ſed plerique eorum pecori paſcẽdo vacabant.

Poſthęc Alexãder ſarcinas & impedimẽta, Theſſalóſque equites, ac ſocios, & mercenarios exteros, reliquúmque exercitum grauioris armaturæ cũ Parmenione mittit, qui eos in Perſam, via curribus apta, ducat. Ipſe peditatu Macedonum ſecum ſumto, equitatúque ſociorũ, atque equitibus antecurſoribus, ſimúlq; Agrianis & ſagittariis, per mõtana citatim iter facit. Poſtquã verò ad pylas Perſidis ventum eſt, Ariobarzanẽ ibi reperit Perſarum ſatrapam, cum peditib⁹ prope iiii. millibus, equitibus circiter ſeptingentis, ipſáſque fauces muro clauſiſſe, & ſubtẽ murum caſtris poſitis tranſitu prohibere inſtituiſſe. Primo itaque aduentu ibi caſtra locat: poſtero autẽ die inſtructo exercitu murũ oppugnationẽ aggreditur. Cæterum quũ ob aſperitatem loci difficillima expugnatio fore videretur, quòd ſuĩ multa vulnera exciperẽt, partim ex editioribus locis partim ex machinis icti, tum quidẽ temporis exercitũ ab oppugnatione reuocauit. Pollicentibus autem captiuorũ nonnullis, ſeſe alia via circunducturos, quia in ipſas pylas introitus pateret, vt audiuit tramites illos arduos anguſtóſque eſſe, *Craterum ibi cum caſtris relinquit, ad ſuum agmen Meleagri etiam copiis, & ſagittariorum nonnullis, atque equitibus quingẽtis adiunctis. Huic imperat, vt ſimul ac ſe pertranſiſſe ſenſerit, & Perſarum caſtris imminere, (quod quidem haud difficulter ex tubarum clangoribus ſenſurus eſſet) impetum in murum faciat. Ipſe per noctẽ ad centum ſtadia progreſſus, aſſumtis ſcutatis & Perdiccæ agmine, ſagittariiſq; expeditioribus & Agrianis, atq; ex amicis turma regia, additáque his *tetrarchia equeſtri vna, flexo itinere ad pylas cõtendit, ea qua captiui ducebant via. Amyntã autem, Philotam & Cœnum reliquũ exercitum per plana ducere iubet. Flumen præterea, quod in Perſiam euntibus tranſeundũ erat, ponte iungi mãdat. Ipſe viam difficilẽ aſperámque perſequitur, eámq; magnã ex parte curſu peregit. Quũmque ad primam barbarorũ ſtationẽ ante lucem veniſſet, cuſtodes trucidat. Secũdæ deinde ſtationis cuſtodibus etiã pleriſq; cæſis, quũ ad tertiã venit, cõplures diffugerũt. Sed ne hi quidẽ in caſtra Ariobarzanis fugerunt, ſed inde in mõtes, prout quiſque potuit, ſeſe metu perculſi proripuerũt. adeo vt ſub aurorã inopinatò caſtra hoſtiũ ſit adortus. Simulac ad foſſam caſtrorũ peruentũ eſt, Craterus ſigno tubæ exaudito, impetũ in murũ facit. Hoſtes ſũma cõſilij inopia laborãtes, ne tẽtata quidẽ pugna in fugã vertuntur. Cæterum quũ omni ex parte intercluderentur, hac enim Alexander premebat, illac Crateri

Curt. Cratero igitur ad cuſtodiam caſtrorum relicto, cum peditibus quis aſſueuerat &c.

Fac. Centuriæ.

copiæ infeſtæ occurrebant, plerique eorum muros curſu repetere ſunt coacti. & iam Macedones muros occuparant. Alexander enim idipſum quod euenerat antè ſuſpicat*, Ptolemæum eo loci cum peditũ tribus millibus reliquerat. Maxima itaque barbarorũ pars à Macedonibus trucidata eſt: alij fuga terroris plena, in præcipitia delapſi, periere. Ariobarzanes cum paucis equitibus in montes refugit. Alexander rurſus ad flumen celeriter profectus, ponte iam perfecto facilè omnem exercitum tranſmittit. Inde magnis itineribus in Perſas cõtendit, vt nuntios aduentus ſui præueniret, priuſquam regij theſauri ab cuſtodibus diriperentur. Cepit & apud Paſargades pecunias, quæ in theſauris Cyri prioris fuerant. Perſis ſatrapam conſtituit Phraſaortẽ Reomithris filium. Regiam autem Cyri incendit, ſuadente interim Parmenione vt intactã eam ſeruaret, tum quòd pulchrum non eſſet poſſeſſiones virtute ſua partas diſperdere, tum quòd Aſiaticos minus beneuolos ob id factum eſſet habitur*, exiſtimaturos illum Aſiã retinere nolle, ſed ea debellata receſſurum. Alexander, ſe Perſarum facinus vlciſci velle reſpondit, ꝗ quum in Græciam cum exercitu veniſſent, Athenas ſubuerterant, templáque incenderant, aliáque multa in Græcos perpetrarant. Cæterum neque mihi prudenter hoc ab Alexandro factum videri poteſt, neque vlla de veteribus Perſis hac ratione vltio ſumta fuiſſe. His rebus ita geſtis, Alexander in Mediã mouit. ibi enim Darium eſſe acceperat. Siquidem Darius ita apud ſe ſtatuerat, ſi apud Suſas & Babylonem hęreret Alexander, etiam apud Medos opperiri, an qui circa Alexandrum erant noui aliquid molirentur: ſi verò in ſe exercitum duceret, in Parthiã & Hyrcaniam vſque ad Bactra ſe recipere, totáque regione vaſtata, omnem Alexandro progrediendi poteſtatem præriperet. Et mulieres, reliquúmque apparatum vniuerſum quem penes ſe habebat, vehiculáque omnia ad pylas Caſpias mittit: ipſe cum copiis quas pro tempore collegerat, in Ecbátanis expectabat. Quibus cognitis Alexander in Mediam progreditur: & Paritacas quidem, impetu in eorum regionem facto, ſubegit, ſatrapámque iis dedit Oxoathrem Abuleti filiũ, qui antea apud Suſas ſatrapatum geſſerat. Qúumque Alexandro in itinere nuntiaretur Darium ei obuiam ire ſtatuiſſe, denuóque prælij fortunam experiri velle (Scythas enim & Caduſios ei auxilio venire) impedimentis, corúmque præſidio & reliquo apparatu ſubſequi iuſſis, omnibúſque copiis ſecũ ductis, inſtructa acie ad pugnãdum proceſſit, & duodecimis caſtris in Mediam peruenit. vbi Dario non eas eſſe copias quibus prælio decernere poſſet cognouit, & neque Caduſios neque Scythas ei auxilio venire, & Darium omnem potius in fuga ſpem collocaſſe. quapropter maiore celeritate Alexander in eum contendebat. Qúumque ab Ecbatanis trium dierum itinere abeſſet, Biſthanem Ochi filium, qui ante Darium in Perſide regnarat, obuium habuit. is Alexandro

Curt. Thais maximam apud omnes Græcos mutorum gratiã affirmat, ſi regiã Perſarũ iuſſiſſet incendi, &c.

A δὲ τῶν ἀμφὶ Κρατερὸν ἐπιθεόντων, ὥστε ἠναγκάσθησαν οἱ πολλοὶ αὐτῶν ἐς τὰ τείχη ἀποστρέψαντες φεύγειν. εἴχετο δὲ καὶ τὰ τείχη πρὸς τῶν Μακεδόνων ἤδη. Ἀλέξανδρος γὰρ τοῦτο αὐτὸ ὅπερ ξυνέβη ὑποτοπήσας, Πτολεμαῖον ἀπολελοίπει αὐτοῦ, ἔχοντα τῶν πεζῶν ἐς τρισχιλίους· ὥστε οἱ μὲν πλεῖστοι τῶν βαρβάρων ἐν χερσὶ πρὸς τῶν Μακεδόνων κατεκόπησαν· οἱ δὲ, καὶ ἐν τῇ φυγῇ φοβερᾷ γινομένῃ, κατὰ τῶν κρημνῶν ἑαυτοὺς ῥίψαντες, ἀπώλλυντο· αὐτὸς δὲ ὁ Ἀριοβαρζάνης ξὺν ὀλίγοις ἱππεῦσιν ἐς τὰ ὄρη ἀπέφυγεν. Ἀλέξανδρος δὲ σπουδῇ αὖ- B θις ἦγεν ὡς ἐπὶ τὸν ποταμὸν, καὶ καταλαμβάνει ἤδη πεποιημένην ἐπ' αὐτοῦ γέφυραν, καὶ διαβαίνει ξὺν τῇ στρατιᾷ εὐπετῶς. ἐντεῦθεν δὲ σπουδῇ αὖθις ἤλαυνεν ἐς Πέρσας, ὥστε ἔφθη ἀφικέσθαι πρὶν τὰ χρήματα διαρπάσασθαι τοὺς φύλακας. ἔλαβε δὲ καὶ τὰ ἐν Πασαργάδαις χρήματα, ἐν τοῖς Κύρου τοῦ προτέρου θησαυροῖς. σατράπην μὲν δὴ Περσῶν κατέστησε Φρασαόρτην τὸν Ῥεομίθρου παῖδα· τὰ βασίλεια δὲ τὰ Περσικὰ ἐνέπρησε, Παρμενίωνος σώζειν συμβουλεύοντος, τά τε ἄλλα καὶ ὅτι οὐ καλὸν αὐτοῦ κτήματα ἤδη C ἀπολλύναι, καὶ ὅτι οὐχ ὡσαύτως προσέξουσιν αὐτῷ, οἱ κατὰ τὴν Ἀσίαν ἄνθρωποι· ὡς οὐδὲ αὐτῷ ἐγνωκότι κατέχειν τῆς Ἀσίας τὴν ἀρχὴν, ἀλλ' ἀπελθεῖν μόνον νικῶντα· ὁ δὲ, τιμωρήσασθαι ἐθέλειν Πέρσας ἔφασκεν, ἀνθ' ὧν ἐπὶ τὴν Ἑλλάδα ἐλάσαντες, τάς τε Ἀθήνας κατέσκαψαν, καὶ τὰ ἱερὰ ἐνέπρησαν, καὶ ὅσα ἄλλα κατὰ τοὺς Ἕλληνας εἰργάσαντο, ὑπὲρ τούτων δίκας λαβεῖν. ἀλλ' οὐδ' ἐμοὶ δοκεῖ σὺν νῷ δρᾶσαι τοῦτό γε Ἀλέξανδρον, οὐδὲ εἶναί τις αὕτη Περσῶν τῶν πάλαι τιμωρία. ταῦτα δὲ διαπραξάμενος, προὐχώρει ἐπὶ Μηδίας· ἐκεῖ D γὰρ ἐπυνθάνετο εἶναι Δαρεῖον. γνώμην δὲ ἐπεποίητο Δαρεῖος, εἰ μὲν ἐπὶ Σούσων καὶ Βαβυλῶνος μένοι Ἀλέξανδρος, αὐτοῦ προσμένειν καὶ αὐτὸς ἐν Μήδοις, εἰ δή τι νεωτερισθείη τῶν ἀμφ' Ἀλέξανδρον· εἰ δὲ ἐλαύνοι ἐπ' αὐτὸν, αὐτὸς δὲ ἄνω ἰέναι τὴν ἐπὶ Παρθυαίους τε καὶ Ὑρκανίαν, ἔστε ἐπὶ Βάκτρους, τήν τε χώραν φθείρων πᾶσαν, καὶ ἄπορον ποιῶν Ἀλεξάνδρῳ τὴν πρόσω ὁδόν. τὰς μὲν δὴ γυναῖκας καὶ τὴν ἄλλην τὴν ἔτι ἀμφ' αὐτὸν κατασκευὴν, καὶ τὰς ἁρμαμάξας ἐπὶ τὰς Κασπίας καλουμένας πύλας πέμπει· αὐτὸς E δὲ ξὺν τῇ δυνάμει, ἥ τις ἐκ τῶν παρόντων ξυνείλεκτο αὐτῷ, προσέμενεν ἐν Ἐκβατάνοις. ταῦτα ἀκούων Ἀλέξανδρος, προὐχώρει ἐπὶ Μηδίας· καὶ Παραιτάκας μὲν, ἐς τὴν χώραν αὐτῶν ἐμβαλὼν, κατεστρέψατο, καὶ σατραπεύειν ἔταξεν αὐτῶν, Ὀξοάθρην τὸν Ἀβουλήτου τοῦ πρότερον Σούσων σατράπου παῖδα. αὐτὸς δὲ ὡς ἠγγέλθη κατὰ τὴν ὁδὸν, ὅτι ἐγνωκὼς εἴη Δαρεῖος ἀπαντᾶν τε αὐτῷ ὡς ἐς μάχην, καὶ αὖθις διακινδυνεύειν (Σκύθας τε γὰρ αὐτῷ ἥκειν, καὶ Καδουσίους συμμάχους) τὰ μὲν ὑποζύγια, καὶ τοὺς τούτων φύλακας, καὶ τὴν ἄλ- F λην κατασκευὴν ἕπεσθαι ἐκέλευσε. τὴν στρατιὰν δὲ τὴν ἄλλην ἀναλαβὼν, ἦγεν ἐσταλμένους ὡς ἐς μάχην, καὶ ἀφικνεῖται δωδεκάτῃ ἡμέρᾳ ἐς Μηδίαν· ἔνθα ἔμαθεν οὐκ οὖσαν ἀξιόμαχον δύναμιν Δαρείῳ, οὐδὲ Καδουσίους ἢ Σκύθας αὐτῷ συμμάχους ἥκοντας. ἀλλ' ὅτι φεύγειν ἐγνωκὼς εἴη Δαρεῖος· ὁ δὲ ἔτι μᾶλλον ἦγε σπουδῇ. ὡς δὲ ἀπεῖχεν Ἐκβατάνων, ὅσον τριῶν ἡμερῶν ὁδὸν, ἐνταῦθα ἀπήντα αὐτῷ Βισθάνης ὁ Ὤχου παῖς, τοῦ πρὸ Δαρείου βασιλεύσαντος Περσῶν. καὶ οὗτος ἀπήγγελλεν, ὅτι Δαρεῖος ἐς πέμπτην ἡμέραν εἴη

πεφευγὼς, ἔχων τά τε χρήματα ἐκ Μήδων ἐς ἑπτακισχίλια τάλαντα· καὶ στρατιὰν, ἱππεῖς μὲν ἐς τρισχιλίους, πεζοὺς δὲ ἐς ἑξακισχιλίους. ἐλθὼν δὲ ὡς Ἐκβάτανα Ἀλέξανδρος, τοὺς μὲν Θετταλοὺς ἱππέας καὶ τοὺς ἄλλους ξυμμάχους ἀποπέμπει ὀπίσω ἐπὶ θάλασσαν, τόν τε μισθὸν ἀποδοὺς αὐτοῖς ἐντελῆ τὸν ξυντεταγμένον, καὶ δισχίλια παρ' αὐτοῦ τάλαντα ἐπιδούς. ὅστις δὲ ἰδίᾳ βούλοιτο ἔτι μισθοφορεῖν παρ' αὐτῷ, ἀπογράφεσθαι ἐκέλευσε· καὶ ἐγένοντο οἱ ἀπογραψάμενοι, οὐκ ὀλίγοι. Ἐπόκιλλον δὲ τὸν Πολυειδοῦς ἔταξε καταγαγεῖν αὐτοὺς ὡς ἐπὶ θάλασσαν, ἱππέας ἄλλους ἔχοντα ἐς φυλακὴν αὐτῶν. οἱ γὰρ Θεσσαλοὶ τοὺς ἵππους αὐτοῦ ἀπέδοντο. ἐπέστελλε δὲ καὶ Μένητι, ἐπειδὰν ἀφίκωνται, τοὺς ἐπὶ θάλασσαν ἐπιμεληθῆναι ὅπως ἐπὶ τριήρων κομισθήσονται ἐς Εὔβοιαν. Παρμενίωνα δὲ προσέταξε τὰ χρήματα τὰ ἐκ Περσῶν κομιζόμενα, εἰς τὴν ἄκραν τὴν ἐν Ἐκβατάνοις καταθέσθαι, καὶ Ἁρπάλῳ παραδοῦναι. Ἅρπαλον γὰρ ἐπὶ τῶν χρημάτων κατέλιπε, καὶ φυλακὴν τῶν χρημάτων Μακεδόνας ἐς ἑξακισχιλίους, καὶ ἱππέας, καὶ ψιλοὺς ὀλίγους. αὐτὸν δὲ Παρμενίωνα τοὺς ξένους ἀναλαβόντα, καὶ τοὺς Θρᾷκας, καὶ ὅσοι ἄλλοι ἱππεῖς, ἔξω τῆς ἵππου τῆς ἑταιρικῆς, παρὰ τὴν χώραν τὴν Καδουσίων ἐλαύνειν ἐς Ὑρκανίαν. Κλείτῳ δὲ τῷ τῆς βασιλικῆς ἴλης ἡγεμόνι ἐπέστελλεν, ἐπειδὰν ἐκ Σούσων εἰς Ἐκβάτανα ἀφίκηται (καταλέλειπτο γὰρ ἐν Σούσοις ἀρρωστῶν) ἀναλαβόντα τοὺς Μακεδόνας τοὺς ἐπὶ τῶν χρημάτων τότε ὑπολειφθέντας, ἰέναι τὴν ἐπὶ Παρθυαίους, ἵνα καὶ αὐτὸς ἥξειν ἔμελλεν. αὐτὸς δὲ ἀναλαβὼν τήν τε ἵππον τῶν ἑταίρων, καὶ τοὺς προδρόμους, καὶ τοὺς μισθοφόρους ἱππέας, ὧν Ἐριγύϊος ἡγεῖτο· καὶ τὴν φάλαγγα τὴν Μακεδονικὴν, ἔξω τῶν ἐπὶ τοῖς χρήμασι ταχθέντων, καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριανας, ἤλαυνεν ὡς ἐπὶ Δαρεῖον. καὶ αὐτῷ κατὰ τὴν ὁδὸν σπουδῇ γιγνομένην, τῶν τε στρατιωτῶν πολλοὶ κάμνοντες ὑπελείποντο, καὶ ἵπποι ἀπέθνησκον· ἀλλὰ καὶ ὣς ἦγε, καὶ ἀφικνεῖται ἐς Ῥάγας, ἑνδεκάτῃ ἡμέρᾳ. διέχει δὲ ὁ χῶρος οὗτος ἀπὸ τῶν Κασπίων πυλῶν ὁδὸν ἡμέρας μιᾶς, ἐλαύνοντι ὡς Ἀλέξανδρος ἦγε. Δαρεῖος δὲ ἐφθάκει ἤδη παρεληλυθὼς εἴσω τῶν πυλῶν τῶν Κασπίων. τῶν δὲ συμφευγόντων Δαρείῳ, πολλοὶ μὲν ἀπολιπόντες αὐτὸν ἐν τῇ φυγῇ, ἐπὶ τὰ αὑτῶν ἕκαστος ἀπεχώρουν· οὐκ ὀλίγοι δὲ καὶ Ἀλεξάνδρῳ σφᾶς ἐνεδίδοσαν. Ἀλέξανδρος δὲ, ὡς ἀπέγνω κατὰ πόδας αἱρήσειν Δαρεῖον, μείνας αὐτοῦ πέντε ἡμέρας, καὶ ἀναπαύσας τὸν στρατὸν, Μηδίας μὲν σατράπην ἀπέδειξεν Ὀξυδάτην Πέρσην ἄνδρα, ὃς ἐτύγχανε πρὸς Δαρείου ξυνειλημμένος, καὶ ἐν Σούσοις εἰργόμενος. τοῦτο αὐτῷ ἐς πίστιν ἦν πρὸς Ἀλέξανδρον. αὐτὸς δὲ ὡς ἐπὶ Παρθυαίους ἦγε· καὶ τῇ μὲν προτέρᾳ πρὸς ταῖς Κασπίαις πύλαις ἐστρατοπέδευσε· τῇ δευτέρᾳ δὲ εἴσω παρῆλθε τῶν πυλῶν, ἔστε οἰκούμενα ἦν. ἐπισιτισάμενος δὲ αὐτόθι, ὅτι ἔρημον τὴν πρόσω χώραν ἤκουεν, ἐς προνομὴν ἐκπέμπει Κοῖνον ξὺν ἱππεῦσί τε καὶ τῶν πεζῶν ὀλίγοις. καὶ ἐν τούτῳ ἀφικνεῖται παρ' αὐτὸν ἀπὸ τοῦ Δαρείου στρατοπέδου, Βαγιστάνης Βαβυλώνιος ἀνὴρ, τῶν γνωρίμων, καὶ ξὺν τούτῳ Ἀντίβηλος, τῶν Μαζαίου παίδων. οὗτοι ἀπήγγελλον, ὅτι Ναβαρζάνης τε χιλιάρχης τῶν ξὺν Δαρείῳ φευγόντων ἱππέων, καὶ Βῆσσος ὁ Βακτρίων

nuntiauit, quintũ iam diem eſſe ex quo Darius fugiſſet, pecunia ex Media ad VII M. talentũm ſecum ablata, cum exercitu equitum trium millium, peditum ſex millium. Alexander vbi in Ecbatana venit, Theſſalos equites alióſque ſocios in maritimam oram remiſit, ac præter integrum ſtipendium duo millia talẽtûm militibus donat. Quicunque autem illorum priuatim ſtipendia mereri vellent, conſcribi iuſſit. neque pauci nomen
A dederunt. Reliquos per Epocillum Polyeidis F. ad mare deduci iubet, alio equitũ præſidio adiuncto. Theſſali enim equos ibi reddiderunt. Meneti etiam per literas mandat, vt quum eò peruenerint, nauibus in Eubœam tranſuehendos curet. Parmenioni quoque negotium dat, vti pecuniam omnẽ ex Perſis allatam in Ecbatanis Harpalo cuſtodiendam tradat, quem ibi cum præſidio ſex millium Macedonum, & equitum ſociorúmque nonnullis reliquit. Parmenionem
B verò ipſum aſſumtis exteris, & Thracibus, reliquóque equitatu, præterquam amicorũ, per Caduſiorum fines in Hyrcaniam mittit. Clito autem regiæ turmæ duci ſcribit, vt quum è Suſis in Ecbatana veniſſet, (ibi enim valetudinis cauſa relictus erat) receptis Macedonibus qui pecuniarum præſidio poſiti fuerant, in Parthos moueat, quò & ipſe venturus erat. Alexander aſſumto equitatu amicorum, & antecurſoribus, equitibúſque mercede conductis, quos Erigyus ducebat, & phalange Macedonica, iis exceptis qui pe-
C cuniarum præſidio relicti fuerant, Agrianis etiam & ſagittariis ſibi coniunctis, in Darium mouit. Qúmque ſumma feſtinatione contenderet, multi in itinere milites præ laſſitudine relicti, multi etiã equi extincti ſunt. Alexander nihilo ſecius inſtitutum iter vrgebat, & vndecimis caſtris Rhagas peruenit. Diſtat hic locus vnius diei itinere à Caſpiis pylis, equitanti ita vt Alexander ducebat. Darius verò iam Caſpias portas prætergreſſus erat: & eorum qui fugientem comita-
D bantur, plerique in domos ſuas ſeſe recipiebant, non pauci etiam ſeſe Alexandro dedebant. Alexander depoſita ſpe Darium vlla celeritate abs ſe comprehendi poſſe, quinque diebus ibi ſubſtitit, recreatóque exercitu Oxydatem hominem Perſam Mediæ ſatrapam conſtituit. qui à Dario captus apud Suſas in cuſtodia habitus fuerat. Hoc ei fidem apud Alexandrum conciliabat. Inde in Parthos exercitum duxit. ac primo quidem die iuxta Caſpias pylas caſtra poſuit. poſtridie ipſas pylas ingreſſus eſt, ad loca
E cultoribus frequentia. Qúmque inde commeatum in exercitum intuliſſet, quòd interiorem regionem incultam eſſe audiſſet, Cœnum cum equitatu exiguóque peditatu frumentatum mittit. Inter hæc Bagiſtanes Babylonius vir illuſtris, & cum eo Antibelus vnus ex Mazæi filiis è Darij exercitu ad Alexandrum venerunt, nuntiantes Nabarzanem mille equitum qui cum Dario fugerant præfectum, & Beſſum Bactrianorum

Fac. Darnarum.

ſatrapam, ac Brazam Arachotorum & Drangorum ſatrapam, Darium in cuſtodia tenere. Quo audito Alexander maiore adhuc celeritate ſibi vtendum putauit. amicis tantùm, equitibúſque antecurſoribus, ac peditum fortiſsimis ſimul atque expeditiſsimis delectis, non expectato Cœni, qui frumentatum iuerat, reditu. Reliquo exercitui Craterũ præficiens, mandat vt itinera moderatius faciat. qui ſecum ibant, arma ſolùm & duorũ dierum cibaria gerebant. Tota itaque nocte, & poſtero die ad meridiem vſque continuato itinere, aliquantulum tẽporis militi ad quietem dedit. Inde rurſus tota nocte progreſſus, diluculo in ea caſtra peruenit, vnde Bagiſtanes diſceſſerat. & hoſtes quidem ibi nactus eſt. De Dario certior factus eſt captiuum illum in curru portari, Beſſum loco Darij imperium obtinere, & à Bactrianis equitibus aliíſque barbaris qui cum Dario fugerant, ducem nominari, præterquam ab Artabazo & Artabazi filiis, Græciſq; mercenariis. Hos fidos perpetuò in Darium fuiſſe, neque ea quæ accidiſſent impedire potuiſſe. eóſque à publica via deflexos, montes petere, nec cum Beſſo conſilia communicare. Præterea eos qui Darium cepiſſent ita ſecum ſtatuiſſe, vt ſi audiant Alexandrum ſe inſequi, Darium tradant, & rebus ſuis conſulant. Sin retroceſſiſſe intelligãt, exercitum quàm poſſint maximum conſcribant, & cõmuni inter ſe ope imperium tueantur. Beſſum in præſentia exercitus ducem deſignatum eſſe, ob eam neceſsitudinem quæ ipſi cum Dario intercedebat, tum etiam quòd in eius ſatrapatu id perpetratum erat. Hæc quum audiſſet Alexander, omni ſtudio perſequendam rem exiſtimauit. ac tametſi tam viri, quàm equi continuato itineris labore defatigati eſſent, nihilo tamen minus vrgebat. magnóque itinere per noctem, & inſequentem diem ad meridiem vſque confecto, in pagum quendã peruenit, vbi qui Darium ducebant pridie conſederant. Ibi certior factus barbaris ſtatutum eſſe noctu iter ingredi, percontatus eſt incolas, an aliquod viæ compẽdium noſſent, qua fugientes aſſequi poſſet. Qui quidem ſe noſſe affirmarunt, cæterum viam illam præ aquarum inopia deſertam eſſe. Ipſe nihilominus vt illac ducant imperat: quúmque intelligeret non poſſe pedites ſe feſtinanter equitantem ſequi, equites circiter quingẽtos equis deſilire iubet, & duces peditum alióſq; præſtantiſsimos quoſq;, ita vt pedites armati erant, equos cõſcendere. Nicanori verò ſcutatorũ præfecto, & Attalo Agrianorũ duci, per viã qua Beſſus cum ſuis proceſſerat, reliquos (qui quidem leuiſsimè armati eſſent) vt ducant iniungit. cæteri pedites, vt quadrato agmine ſequantur. Ipſe ſub veſperum iter ingreſſus, citato agmine proceſsit. confectíſq; per noctem quadringentis ſtadiis, ſub lucem barbaros incompoſitè fugiẽtes atq; inermes aſſecutus eſt. pauci admodum ex iis reſtitere: cõplures ſtatim conſpecto Alexandro, antequã diſcrimen experirentur in fugam vertũtur: ex iis verò qui ad arma confugerũt cæſis nonnullis, reliqui terga verterũt. Beſſus autẽ

Cur. Itaque delectis equitũ ſex millibus, trecentos, quos dimachas appellant, adiungit. duobus his grauiora arma portabant, cæterũ equis vehebantur. Quũ res & locus poſceret, pedeſtris acies erat.

A σατράπης, καὶ Βράζας ὁ Ἀραχωτῶν καὶ Δραγγῶν σατράπης, ξυνειληφότες εἶεν Δαρεῖον. ταῦτα ἀκούσας Ἀλέξανδρος, ἔτι μᾶλλον ἦγε σπουδῇ, τοὺς ἑταίρους μόνους ἔχων ἀμφ' αὐτὸν, καὶ τοὺς προδρόμους ἱππέας, καὶ τῶν πεζῶν τοὺς εὐρωστοτάτους τε καὶ κουφοτάτους ἐπιλεξάμενος, οὐδὲ τοὺς ἀμφὶ Κοῖνον προσμείνας ἐκ τῆς προνομῆς ἐπανελθεῖν. τοῖς δὲ ὑπολειπομένοις ἐπιστήσας Κρατερὸν, προστάττει, μὴ μακρὰς ὁδοὺς ἄγοντα. οἱ δὲ ἀμφ' αὐτὸν, τὰ ὅπλα εἶχον μόνον, καὶ δύο ἡμερῶν σιτία. ἐλθὼν δὲ τήν τε νύκτα ὅλην καὶ τῆς ἐπιούσης ἡμέ- B ρας μέχρι μεσημβρίας, ὀλίγον χρόνον ἀναπαύσας τὸν στρατὸν, αὖθις ᾔει ὅλην τὴν νύκτα, καὶ ἅμα ἡμέρᾳ ὑποφαινούσῃ παρῆν εἰς τὸ στρατόπεδον, ὅθεν ἀφωρμήκει ὀπίσω Βαγιστάνης· καὶ τοὺς μὲν πολεμίους κατέλαβε. Δαρείου δὲ πέρι ἐπύθετο, αὐτὸν μὲν συνειλημμένον ἄγεσθαι ἐφ' ἁρμαμάξης, Βήσσῳ δὲ ἀντὶ Δαρείου γεγενῆσθαι τὸ κράτος, καὶ ἡγεμόνα ὠνομάσθαι Βῆσσον, πρός τε τῶν Βακτρίων ἱππέων, καὶ τῶν ἄλλων ὅσοι βάρβαροι ξυνέφυγον Δαρείῳ, πλὴν Ἀρταβάζου, καὶ τῶν Ἀρταβάζου παίδων, καὶ τῶν Ἑλλήνων τῶν μισθοφόρων. τούτους δὲ C πιστοὺς εἶναι Δαρείῳ, καὶ εἴργειν μὲν τὰ γιγνόμενα οὐ δυνατοὺς εἶναι. ἐκτραπέντας δὲ ἔξω τῆς λεωφόρου ὁδοῦ, ὡς ἐπὶ τὰ ὄρη ἰέναι σφᾶς, οὐ μετέχοντας τοῦ ἀμφὶ Βῆσσον τοῦ ἔργου. γνώμην δὲ πεποιῆσθαι τοὺς ξυλλαβόντας Δαρεῖον, εἰ μὲν διώκοντα σφᾶς Ἀλέξανδρον πυνθάνοιντο, παραδοῦναι Δαρεῖον Ἀλεξάνδρῳ, καὶ σφίσι τι ἀγαθὸν εὑρίσκεσθαι. εἰ δὲ τὸ ἔμπαλιν ἐπανεληλυθότα μάθοιεν, τοὺς δὲ στρατιάν τε ξυλλέγειν ὅσην πλείστην δύναιντο, καὶ διασώζειν ἐς τὸ κοινὸν τὴν ἀρχήν. Βῆσσον δὲ ἐν τῷ παρόντι ἐξηγεῖσθαι κατ' οἰκειότητά τε τὴν Δαρείου, καὶ ὅτι ἐν τῇ αὐτοῦ σατραπείᾳ τὸ ἔργον ἐγίγνε- D το. ταῦτα ἀκούσαντι Ἀλεξάνδρῳ, ἀνὰ κράτος διωκτέα ἐφαίνετο. καὶ ἤδη μὲν ἐξέκαμνον οἵ τε ἄνδρες καὶ οἱ ἵπποι, ὑπὸ τῇ ταλαιπωρίᾳ τῇ ξυνεχεῖ, ἀλλὰ καὶ ὣς ἦγε. καὶ διελθὼν ὁδὸν πολλὴν τῆς τε νυκτὸς, καὶ τῆς ἐπὶ ταύτῃ ἡμέρας ἔστε ἐπὶ μεσημβρίαν, ἀφικνεῖται ἔς τινα κώμην, ἵνα τῇ προτεραίᾳ ἐστρατοπεδεύκεσαν οἱ Δαρεῖον ἄγοντες. ἐνταῦθα ἀκούσας ὅτι νυκτὸς ποιεῖσθαι τὴν πορείαν ἐγνωσμένον εἴη τοῖς βαρβάροις, ἤλεγχε τοὺς προσχώρους, εἰ δή τινα εἰδεῖεν ἐπιτομωτέραν ὁδὸν ἐπὶ τοὺς φεύγοντας. οἱ δὲ εἰδέναι μὲν ἔφασκον, E ἐρήμην δὲ εἶναι τὴν ὁδὸν δι' ἀνυδρίαν. ὁ δὲ, ταύτην ἄγειν ἐκέλευσε. καὶ γνοὺς ὅτι οὐχ ἕψονται οἱ πεζοὶ αὐτῷ σπουδῇ ἐλαύνοντι, τῶν μὲν ἱππέων ἐς πεντακοσίους κατεβίβασεν ἀπὸ τῶν ἵππων· τοὺς ἡγεμόνας δὲ τῶν πεζῶν καὶ τῶν ἄλλων ἐπιλεξάμενος τοὺς κρατιστεύοντας, ἐπιβῆναι τῶν ἵππων ἐκέλευσεν οὕτως, ὥσπερ οἱ πεζοὶ ὡπλισμένοι ἦσαν. Νικάνορα δὲ τὸν τῶν ὑπασπιστῶν ἡγεμόνα, καὶ Ἄτταλον τὸν τῶν Ἀγριάνων, κατὰ τὴν ὁδὸν ἥν τινα οἱ ἀμφὶ Βῆσσον προὐκεχωρήκεσαν, τοὺς ὑπολειφθέντας ἄγειν ἐκέλευσε. καὶ τούτους, ὡς κουφότατα ἐσταλμένους, F τοὺς δὲ ἄλλους πεζοὺς ἐν τάξει ἕπεσθαι. αὐτὸς δὲ ἀμφὶ δείλην ἄγειν ἀρξάμενος, δρόμῳ ἡγεῖτο. διελθὼν δὲ τῆς νυκτὸς σταδίους ἐς τετρακοσίους, ὑπὸ τὴν ἕω προστυγχάνει τοῖς βαρβάροις ἀτάκτως ἰοῦσι καὶ ἀνόπλοις, ὥστε ὀλίγοι μέν τινες αὐτῶν ὡς ἀμυνούμενοι ὥρμησαν. οἱ δὲ πολλοὶ εὐθὺς ὡς Ἀλέξανδρον αὐτὸν κατεῖδον, οὐδὲ ἐς χεῖρας ἐλθόντες ἔφυγον· καὶ οἱ τραπέντες ἐς ἀλκὴν ὀλίγων πεσόντων, καὶ οὗτοι ἔφυγον. Βῆσσος δὲ καὶ οἱ ξὺν

αὐτῷ τέως μὲν ἐφ' ἁρμαμάξης Δαρεῖον μετὰ σφῶν ἐκόμιζον. ὡς δὲ ὁμοῦ ἤδη ἦν Ἀλέξανδρος, Δαρεῖον μὲν Σατιβαρζάνης καὶ Βαρσαέντης κατατρώσαντες, αὐτοῦ ἀπέλιπον· αὐτοὶ δὲ ἔφυγον ξὺν ἱππεῦσιν ἑξακοσίοις. Δαρεῖος δὲ ἀποθνήσκει ὀλίγον ὕστερον ἐκ τῶν τραυμάτων, πρὶν ὀφθῆναι Ἀλεξάνδρῳ. Ἀλέξανδρος δὲ τὸ μὲν σῶμα τοῦ Δαρείου ἐς Πέρσας ἔπεμψε, θάψαι κελεύσας ἐν ταῖς βασιλικαῖς θήκαις, καθάπερ καὶ οἱ ἄλλοι οἱ πρὸ Δαρείου βασιλεῖς. Σατράπην δὲ ἀπέδειξε Παρθυαίων καὶ Ὑρκανίων Ἀμμινάπην Παρθυαῖον· ἦν δὲ οὗτος τῶν Αἴγυπτον ἐνδόντων Ἀλεξάνδρῳ μετὰ Μαζαίου. Τληπόλεμος δὲ Πυθοφάνους, τῶν ἑταίρων, ξυνετάχθη αὐτῷ, σκοπεῖν τὰ ἐν Παρθυαίοις τε καὶ Ὑρκανίοις. τοῦτο τὸ τέλος Δαρείῳ ἐγένετο, ἐπὶ ἄρχοντος Ἀθηναίοις Ἀριστοφῶντος, μηνὸς Ἑκατομβαιῶνος· ἀνδρὶ τὰ μὲν πολέμια, εἴπερ τινὶ ἄλλῳ, μαλθακῷ τε, καὶ οὐ φρενήρει, ἐς δὲ τὰ ἄλλα οὐδὲν ἀνεπιεικὲς ἔργον ἀποδειξαμένῳ, ἢ οὐδὲ ἐγγενόμενον αὐτῷ ἀποδείξασθαι· ὅτι ὁμοῦ μὲν ἐς τὴν βασιλείαν παρελθεῖν, ὁμοῦ δὲ προσπολεμεῖσθαι πρός τε Μακεδόνων καὶ τῶν Ἑλλήνων ξυνέβη. οὔκουν οὐδὲ ἐθέλοντι ἐξῆν ἔτι ὑβρίζειν ἐς τοὺς ὑπηκόους, ἐν μείζονι κινδύνῳ ἤπερ ἐκεῖνοι καθεστηκότι. ζῶντι μὲν δὴ ξυμφοραὶ αὐτῷ ἄλλαι ἐπ' ἄλλαις ξυνηνέχθησαν, οὐδέ τις ἀνακωχὴ ἐγένετο, ἐπειδὴ πρῶτον ἐς τὴν ἀρχὴν παρῆλθεν. ἀλλὰ εὐθὺς μὲν τὸ τῶν σατραπῶν ἐπὶ Γρανικῷ πταῖσμα ξυνέβη τὸ ἱππικόν, εὐθὺς δὲ Ἰωνία τε καὶ Αἰολὶς εἴχοντο, καὶ Φρύγες ἀμφότεροι, καὶ Λυδία, καὶ Κᾶρες, πλὴν Ἁλικαρνασσέων· ὀλίγον δὲ ὕστερον καὶ Ἁλικαρνασσὸς ἐξῄρητο. ἐπὶ δὲ ἡ παραλία πᾶσα, ἔστε ἐπὶ τὴν Κιλικίαν. ἐνθένδε ἡ αὐτοῦ ἐπ' Ἰσσῷ ἧσσα, ἵνα τήν τε μητέρα αἰχμαλωτισθεῖσαν, καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐπεῖδεν. ἐπὶ τῷδε Φοινίκη τε ἀπώλετο καὶ Αἴγυπτος πᾶσα. ἐπὶ δὲ, αὐτὸς ἐν Ἀρβήλοις ἔφυγέ τε καὶ ἐν πρώτοις αἰσχρῶς, καὶ στρατιὰν πλείστην παντὸς τοῦ βαρβαρικοῦ γένους ἀπώλεσε. φυγάς τε ἐκ τούτου τῆς αὑτοῦ ἀρχῆς πλανώμενος, καὶ τελευτῶν πρὸς τῶν ἀμφ' αὐτὸν ἐς τὰ ἔσχατα προδοθείς· βασιλεύς τε ἐν τῷ αὐτῷ καὶ δεσμώτης ξὺν ἀτιμίᾳ ἀγόμενος, τέλος δὲ πρὸς τῶν οἰκειοτάτων ἐπιβουλευθεὶς ἀπώλετο. ζῶντι μὲν Δαρείῳ τοιαῦτα ξυνηνέχθη· τελευτήσαντι δὲ, ταφή τε ἡ βασιλικὴ, καὶ τῶν παίδων, ὁποία καὶ βασιλεύοντος αὐτοῦ, τροφή τε Ἀλεξάνδρου καὶ παίδευσις, καὶ γαμβρὸς Ἀλέξανδρος. ὁπότε δὲ ἐτελεύτα, ἐγεγόνει ἀμφὶ τὰ πεντήκοντα ἔτη.

Ἀλέξανδρος δὲ τοὺς ὑπολειφθέντας ἐν τῇ διώξει τῆς στρατιᾶς ἀναλαβὼν, ἐς Ὑρκανίαν προὐχώρει. κεῖται δὲ ἡ Ὑρκανία χώρα ἐν ἀριστερᾷ τῆς ὁδοῦ τῆς ἐπὶ Βάκτρα φερούσης· καὶ τῇ μὲν ὄρεσιν ἀπείργεται δασέσι καὶ ὑψηλοῖς, τὸ πεδίον δὲ αὐτῆς καθήκει ἔστε ἐπὶ τὴν μεγάλην τὴν ταύτῃ θάλασσαν. ταύτην δὲ ἦγεν, ὅτι ταύτῃ τοὺς ξένους τοὺς ἐπὶ Δαρεῖον διαπεφευγέναι ἐς τὰ τῶν Πάγρων ὄρη ἐπύθετο, καὶ αὐτοὺς ἅμα τοὺς Πάγρους χειρωσόμενος. τριχῇ δὲ διελὼν τὸν στρατὸν, αὐτὸς μὲν τὴν ἐπιτομωτάτην καὶ χαλεπωτάτην ἡγήσατο, τὸ πλεῖστον καὶ ἅμα τὸ κουφότατον τῆς δυνάμεως ἄγων· Κρατερὸν δὲ, τήν τε αὐτοῦ τάξιν ἔχοντα, καὶ τὴν Ἀμύντου, καὶ τῶν τοξοτῶν ἔστιν οὓς, καὶ ὀλίγους τῶν ἱππέων, ἐπὶ Ταπούρους ἔστειλεν. Ἐριγύϊον δὲ, τούς τε ξένους καὶ τὴν

A eiúſque comites interea Darium curru antehebant. At quum Alexāder eorum tergo inſtaret, Satibarzanes & Barzaentes Darium abs ſe grauiter vulneratū ibidem relinquūt. ipſi cum DC equitibus ſeſe in præcipitem fugam dederunt. neque multo pòſt Darius ex acceptis vulneribus, priuſquā ab Alexandro viſus eſſet, interiit. Alexander Darij corp' ad Perſas miſit, vt in regiis mauſoleis, more aliorum regū qui Darium anteceſſerant, conderetur. Poſt hęc Ammynapem Parthū, (Al. Amminatē.) qui ſibi vnà cum Mazęo AEgyptum tradiderat, B Parthorum & Hyrcanorum ſatrapā conſtituit. Adiunxit autem illi Tlepolemum Pythophanis filium, vnum ex ſociis, qui rerū Parthicarum & Hyrcanicarum ſimul curam gereret. Atque hic quidem Dario vitæ exitus fuit, archonte Athenis Ariſtophonte, menſe Iunio: viro quod ad res bellicas attinet, languido parúmque prudenti: quod ad cætera, qui nihil iniqui in ſuos commiſerit, aut certè poteſtatem committendi non habuerit. Nam ſimulac regnare cœpit, ſtatim C à Macedonibus & Græcis bello laceſſitus eſt. Quocirca ne volenti quidem integrum erat ſubditos ſibi iniuria afficere, quum ipſe in maiore periculo quàm ipſi verſaretur. Quandiu in viuis fuit, aliæ illum ex aliis calamitates exceperunt, neque vlla intermiſſio aut requies fuit, ex quo primùm ad regnandum acceſſit. Nam ſtatim initio equeſtris illa ſatraparum ad Granicum amnem clades accidit: mox Ioniam & AEoliam amiſit, & vtranque Phrygiam, Lydiam quoque & Cariam, præter Halicarnaſſenſes: ſed paulo pòſt D ipſa etiam Halicarnaſſus erepta eſt. deinde vniuerſa regio maritima ad Ciliciam vſque. Poſt hęc ingentē illā apud Iſſum cladem accepit, in qua mater, vxor ac liberi eius capti ſunt. deinde Phœnicia atque AEgyptus imperio eius detractæ. Poſtea ipſe in Arbelis & quidē primus turpiter fugit, & ingentē exercitum ex omni barbarorū gente amiſit. Inde profugus è ſuo regno errans, eodémque tempore & rex & captiuus à ſuis habitus, ac cum ignominia ductus, tandē ab intimis ſiE bi proditus & cæſus interiit. Hæc quidē omnia viuenti Dario acciderūt: at cōtrà mortuo, regia ſepultura, filiorum, perinde atque ipſo regnante, educatio atque inſtitutio ab Alexandro, & Alexander gener contigit. Mortuus eſt annos natus circiter L.

Alexander autem, iis quos in perſequenda fuga poſt ſe reliquerat aſſumtis, in Hyrcaniam mouit. Sita porro eſt Hyrcania ad læuam viæ quæ in Bactra ducit: atque hac quidem montibus denſis ac precelſis diuiditur. Campus verò eius in magnum mare quod F ex ea parte eſt porrigitur. Hac Alexāder exercitum ducebat, quòd acceperat externos milites, qui Darij ſtipendiis meruerāt, in Pagrorum montes confugiſſe, ipſos etiam Pagros ſubiugare ſtatuens. Tripartito itaque exercitu, ipſe per breuiſſimos difficillimóſque tramites contendebat, maximam expeditiſſimámque copiarum partē ducens. Craterum autem, cum ſuo & Amyntæ agmine, cúmque equitibus ac ſagittariis nonnullis in Tapúros mittit. Erigyū verò, exteros, re-

liquúmq; equitatum via plana cæterum longiore ducere iubet, cui currus, atque impedimenta ac cæteram turbam adiungit. Superatis itaque primis montibus, caſtriſq; ibi poſitis, ipſe ſumtis ſcutatis, & Macedonicæ phalangis expeditiſsimis quibuſq;, & ſagittariorum nonnullis, viam perdifficilem atque impeditam ingreſſus eſt: diſpoſitis per viam præſidiis, vbi quid periculi eſſe videbatur, ne barbari montani in eos qui ſequebantur impetum facerent. Ipſe cum ſagittariis anguſtias tranſgreſſus, in planitie iuxta amnem nõ magnum caſtra poſuit. Eo loci Nabarzanes Darij chiliarcha & Phradaphernes Hyrcanorũ ac Parthorum ſatrapa, & alij quidam Perſarũ qui apud Darium illuſtriore loco fuerant, ad Alexandrum accedunt, ſeque ei dedũt. Quatuor ibi in caſtris dies moratus, partem copiarum quam in itinere reliquerat, recepit. & pars quidem tutò tranſierant: in Agrianos verò nouiſsimi agminis cuſtodiam tenentes barbari montani irruentes, iaculis repulſi, ſeſe receperunt. Motis inde caſtris, in Hyrcaniã progreſſus, Zadracarta vrbem petit. Eodem fere tempore Craterus ad eum venit, non inuentis quidem exteris qui Dariũ ſecuti fuerant: omnem verò regionem per quam iter fecerat, partim vi partim deditione incolarum receperat. Erigyus quoque cum impedimẽtis & curribus eodẽ peruenit. Neque multo pòſt Artabazus cum filio Cophene ad Alex. acceſsit, & Aribarzanes & Arſames, vnáque cũ iis legati ab exteris Darium ſecutis, & Autophradates Tapurorũ ſatrapa. Autophradatem quidem in ſatrapiam ſuam reſtituit. Artabazum autem & liberos ſecum in honore habuit, tum quòd ex principibus Perſicæ nationis eſſent, tum propter eorũ erga Dariũ fidem. Græcorum verò legatis poſtulantibus vt vniuerſos exteros in fidem amicitiámque ſuam reciperet, reſpondit ſe nullam cum iis pactionem initurum. Grauiſsimè enim delinquere, qui aduerſus Grecos pro barbaris militarent, contra Grecorum inſtituta ac leges. Iuſsit autem vt omnes ad ſe venirent, ſeq; dederent, vt de ipſis pro ſuo arbitrio ſtatuere poſſet, aut ſibi quacunque via poſſent ſalutem quærerent. Illi ſemetipſos atq; alios Alexandro committunt, petentes vt aliquem ipſis ducem mitteret, quò tutò ad eum venire poſsint. Ij circiter mille quingẽti eſſe ferebantur. Alexander Andronicum Agerri F.& & Artabazum ad eos mittit. Ipſe in Mardos profectus eſt, ſumtis ſecum ſcutatis & ſagittariis, atque Agrianis, Cœni etiam & Amyntæ agminibus, ac dimidia equitum ſociorum parte, & iaculatoribus equeſtribus. Iam enim etiam agmen iaculatorum equeſtrium conſtituerat. Magna itaq; Mardorum regionis parte percurſa, multos eorum fugiẽtes, nõnullos ad arma cõuerſos interficit, multos etiã viuos capit. Ante Alexandrũ nemo eã regionẽ hoſtiliter inuaſerat, cùm ob aſperitatem locorum, tum inopiam incolarũ. quę quidẽ inopia bellicoſos eos faciebat. Quocirca neq; Alexandrũ vnquam ipſos adoriturũ ſuſpicati, (quũ & ipſe alioqui iã vlterius progreſſus eſſet) ex improuiſo capti ſunt.

Fac. Anabarzanes.

Fac. præſidio relictus.

Cur. Ventum eſt in Mardorum gẽtem bellicoſiſſimam, & multum à cæteris Perſis cultu vitæ abhorrentem.

A λοιπὴν ἵππον ἀναλαβόντα, τὴν λεωφόρον τε καὶ μακροτέραν ἡγεῖσθαι ἐκέλευσε, τὰς ἁμάξας καὶ τὰ σκευοφόρα καὶ τὸν ἄλλον ὅμιλον ἄγοντα. ὑπερβαλὼν δὲ τὰ πρῶτα ὄρη, καὶ καταστρατοπεδεύσας αὐτοῦ, ἀναλαβὼν τούς τε ὑπασπιστὰς, καὶ τῆς Μακεδονικῆς φάλαγγος τοὺς κουφοτάτους, καὶ τῶν τοξοτῶν ἔστιν οὓς, ᾔει χαλεπὴν ὁδὸν καὶ δύσπορον, φύλακας τῶν ὁδῶν καταλιπὼν ἵνα σφαλερόν τι αὐτῷ ἐφαίνετο· ὡς μὴ τοῖς ἑπομένοις κατ' ἐκεῖνο ἐπιθοῖντο οἱ τὰ ὄρη ἔχοντες τῶν βαρβάρων. αὐτὸς δὲ μετὰ τῶν τοξοτῶν διελθὼν τὰ στενὰ, ἐν τῷ πεδίῳ καταστρατοπεδεύει πρὸς ποταμῷ οὐ μεγάλῳ. καὶ ἐνταῦθα
B ὄντος αὐτοῦ, Ναβαρζάνης τε ὁ Δαρείου χιλιάρχης, καὶ Φραδαφέρνης ὁ Ὑρκανίας τε καὶ Παρθυαίων σατράπης, καὶ τῶν ἀμφὶ Δαρεῖον Περσῶν οἱ ἐπιφανέστατοι ἀφικόμενοι παρέδοσαν σφᾶς αὐτούς. ὑπομείνας δὲ ἐν τῷ στρατοπέδῳ τέσσαρας ἡμέρας, ἀνέλαβε τοὺς ὑπολειφθέντας κατὰ τὴν ὁδὸν, τοὺς μὲν ἄλλους ἀσφαλῶς διελθόντας, τοῖς δὲ Ἀγριᾶσιν ὀπισθοφυλακοῦσιν ἐπέθεντο οἱ ὄρειοι τῶν βαρβάρων· καὶ μεῖον ἔχοντες τῷ ἀκροβολισμῷ, ἀπηλλάγησαν. ἄρας δὲ ἐντεῦθεν, προῄει ὡς ἐφ'
C Ὑρκανίας εἰς Ζαδράκαρτα πόλιν Ὑρκανίων. καὶ ἐν τούτῳ οἱ περὶ Κρατερὸν ξυνέμιξαν αὐτῷ, τοῖς μὲν ξένοις τοῖς Δαρείου οὐκ ἐντετυχηκότες, τὴν χώραν δὲ ὅσην διαπεπορευμένοι ἦσαν, τὴν μὲν, βίᾳ, τὴν δὲ, ἐνδιδόντων τῶν κατοικούντων προσπεποιημένοι. ἐνταῦθα καὶ Ἐριγύιος ἧκε ξὺν τοῖς σκευοφόροις, καὶ ταῖς ἁμάξαις. ὀλίγον δὲ ὕστερον Ἀρτάβαζος ἀφίκετο παρ' Ἀλέξανδρον, καὶ τῶν παίδων αὐτοῦ Κωφὴν, καὶ Ἀριβαρζάνης· καὶ Ἀρσάμης, καὶ ξὺν τούτοις παρὰ τῶν ξένων τῶν ξὺν Δαρείῳ πρέσβεις, καὶ Αὐτοφραδάτης, ὁ Ταπύρων σατράπης.
D Αὐτοφραδάτῃ μὲν δὴ τὴν σατραπείαν ἀπέδωκεν, Ἀρτάβαζον δὲ καὶ τοὺς παῖδας ἅμα οἱ ἐν τιμῇ ἦγε, τά τε ἄλλα ἐν τοῖς πρώτοις Περσῶν ὄντας, καὶ τῆς ἐς Δαρεῖον πίστεως ἕνεκα. τοῖς πρέσβεσι δὲ τῶν Ἑλλήνων δεομένοις σπείσασθαι σφίσιν ὑπὲρ τοῦ παντὸς ξενικοῦ, ἀπεκρίνατο, ὁμολογίαν μὲν οὐκ ἂν ποιήσασθαι πρὸς αὐτοὺς οὐδεμίαν· ἀδικεῖν γὰρ μεγάλα τοὺς στρατευομένους ἐναντία τῇ Ἑλλάδι παρὰ τοῖς βαρβάροις, παρὰ τὰ δόγματα τὰ Ἑλλήνων· ἐκέλευσε δὲ ἥκειν ξύμπαντας, καὶ παραδιδόναι σφᾶς αὐτοὺς, ἐπιτρέποντας Ἀλεξάνδρῳ,
E χρῆσθαι ὅ, τι βούλοιτο, ἢ σώζεσθαι ὅπῃ δύναιντο. οἱ δὲ, ἐπιτρέπειν ἔφασαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους Ἀλεξάνδρῳ. ξυμπέμπειν τε ἐκέλευον τὸν ἡγησόμενον αὐτοῖς, ὡς ἀσφαλῶς διακομισθεῖεν παρ' αὐτόν. εἶναι δὲ ἐλέγοντο ἐς χιλίους καὶ πεντακοσίους. καὶ Ἀλέξανδρος πέμπει Ἀνδρόνικον τὸν Ἀγέρρου καὶ Ἀρτάβαζον παρ' αὐτούς. αὐτὸς δὲ προῆγεν ὡς ἐπὶ Μάρδους, ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, καὶ τὴν Κοίνου καὶ Ἀμύντου τάξιν, καὶ τῶν ἑταίρων ἱππέων τοὺς ἡμίσεας, καὶ τοὺς ἱππακοντιστάς. ἤδη γὰρ αὐτῷ καὶ ἱπ-
F πακοντισταὶ ἦσαν τάξις. ἐπελθὼν δὲ τὸ πολὺ μέρος τῆς χώρας τῶν Μάρδων, πολλοὺς μὲν ἀπέκτεινεν αὐτῶν φεύγοντας, οὓς δέ τινας ἐς ἀλκὴν τετραμμένους· πολλοὺς δὲ ζῶντας ἔλαβεν. οὐ γάρ ἐστιν ὅστις χρόνῳ ἐμβεβλήκει ἐς τὴν γῆν αὐτῶν ἐπὶ πολέμῳ, διά τε δυσχωρίαν, καὶ ὅτι πένητες οἱ Μάρδοι, καὶ μάχιμοι ἐπὶ τῇ πενίᾳ ἦσαν. οὔκουν οὐδὲ Ἀλέξανδρον ἐμβαλεῖν ἄν ποτε δείσαντες, ἄλλως τε καὶ προκεχωρηκότα ἤδη ἐς τὸ πρόσω, ταύτῃ μᾶλλόν τι ἀφύλακτοι ἡλίσκοντο. πολλοὶ δὲ

αὐτῶν καὶ εἰς τὰ ὄρη κατέφυγον, ἃ δὴ ὑπερύψηλά τε καὶ ἀπότομα αὐτοῖς ἐν τῇ χώρᾳ ἐστίν, ὡς πρός ταῦτά γε οὐχ ἥξοντα Ἀλέξανδρον. ἐπεὶ δὲ καὶ ταύτῃ προσῆγεν, οἱ δὲ πέμψαντες πρέσβεις, σφᾶς τε αὐτοὺς ἐνέδοσαν, καὶ τὴν χώραν· καὶ Ἀλέξανδρος αὐτοὺς μὲν ἀφῆκεν, σατράπην δὲ ἀπέδειξεν αὐτῶν Αὐτοφραδάτην, ὅνπερ καὶ Ταπούρων· αὐτὸς δ᾽ ἐπανελθὼν ἐς τὸ στρατόπεδον, ἔνθενπερ ὡρμήθη ἐς τὴν Μάρδων γῆν, κατέλαβε τοὺς Ἕλληνας τοὺς μισθοφόρους ἥκοντας, καὶ τοὺς Λακεδαιμονίων πρέσβεις, οἳ παρὰ βασιλέα Δαρεῖον ἐπρέσβευον, Καλλιστρατίδαν τε, καὶ Παύσιππον, καὶ Μόνιμον, καὶ Ἀνόμαντα, καὶ Ἀθηναίων Δρωπίδην. τούτους μὲν δὴ ξυλλαβὼν, ἐν φυλακῇ εἶχε. τοὺς Σινωπέων δὲ, ἀφῆκεν· ὅτι Σινωπεῖς οὔτε τοῦ κοινοῦ τῶν Ἑλλήνων μετεῖχον, ὑπὸ Πέρσαις τε τεταγμένοι, οὐκ ἀπεικότα ποιεῖν ἐδόκουν, παρὰ τὸν βασιλέα σφῶν πρεσβεύοντες. ἀφῆκε δὲ καὶ τῶν ἄλλων Ἑλλήνων, ὅσοι πρὸ τῆς εἰρήνης τε καὶ τῆς ξυμμαχίας τῆς πρὸς Μακεδόνας γενομένης, παρὰ Πέρσαις ἐμισθοφόρουν, καὶ Καρχηδονίων Ἡρακλείδην τὸν πρεσβευτὴν ἀφῆκε· τοὺς δ᾽ ἄλλους ξυστρατεύεσθαί οἱ ἐπὶ μισθῷ τῷ αὐτῷ ἐκέλευσε. καὶ ἐπέταξεν αὐτοῖς Ἀνδρόνικον, ὅσπερ ἤγαγέ τε αὐτοὺς, καὶ ἔνδηλος ἐγεγόνει οὐ φαῦλον ποιούμενος σῶσαι τοὺς ἄνδρας. ταῦτα δὲ διαπραξάμενος, ἦγεν ὡς ἐπὶ Ζευδράκαρτα, τὴν μεγίστην πόλιν τῆς Ὑρκανίας, ἵνα καὶ τὰ βασίλεια τοῖς Ὑρκανίοις ἦν. καὶ ἐνταῦθα διατρίψας ἡμέρας πεντεκαίδεκα, καὶ θύσας τοῖς θεοῖς, ὡς νόμος, καὶ ἀγῶνα γυμνικὸν ποιήσας, ὡς ἐπὶ Παρθυαίους ἦγεν. ἐκεῖθεν δὲ ἐπὶ τὰ τῆς Ἀρείας ὅρια, καὶ Σουσίαν πόλιν τοῖς Ἀρείοις, ἵνα καὶ Σατιβαρζάνης ἧκεν παρ᾽ αὐτὸν, ὁ τῶν Ἀρείων σατράπης. τούτῳ μὲν δὴ τὴν σατραπείαν ἀποδοὺς, ξυμπέμπει αὐτῷ Ἀνάξιππον τῶν ἑταίρων, δοὺς αὐτῷ τῶν ἱππακοντιστῶν ἐς τεσσαράκοντα, ὡς ἔχοι φύλακας καθιστάναι τῶν τόπων, τοῦ μηδὲν ἀδικεῖσθαι τοὺς Ἀρείους πρὸς τῆς στρατιᾶς κατὰ τὴν πάροδον. ἐν τούτῳ δὲ ἀφικνοῦνται παρ᾽ αὐτὸν Περσῶν τινὲς, οἳ ἤγγελλον Βῆσσον τήν τε τιάραν ὀρθὴν ἔχειν, καὶ τὴν Περσικὴν στολὴν φοροῦντα· Ἀρταξέρξην τε καλεῖσθαι ἀντὶ Βήσσου, καὶ βασιλέα φάσκειν εἶναι τῆς Ἀσίας· ἔχειν τε ἀμφ᾽ αὐτὸν Περσῶν τε τοὺς ἐς Βάκτρα διαφυγόντας, καὶ αὐτῶν Βακτριανῶν πολλούς· προσδοκᾶσθαι δὲ ἥξειν αὐτῷ καὶ Σκύθας ξυμμάχους. Ἀλέξανδρος δὲ ὁμοῦ ἤδη ἔχων τὴν πᾶσαν δύναμιν, ᾔει ἐπὶ Βάκτρων, ἵνα καὶ Φίλιππος ὁ Μενελάου παρ᾽ αὐτὸν ἀφίκετο ἐκ Μηδίας, ἔχων τούς τε μισθοφόρους ἱππέας, ὧν ἡγεῖτο αὐτὸς, καὶ Θεσσαλῶν τοὺς ἐθελοντὰς ὑπομείναντας, καὶ τοὺς ξένους τοὺς Ἀνδρομάχου. Νικάνωρ δὲ ὁ Παρμενίωνος, ὁ τῶν ὑπασπιστῶν ἄρχων, τετελευτήκει ἤδη νόσῳ. ἰόντι δὲ Ἀλεξάνδρῳ τὴν ἐπὶ Βάκτρα, ἐξηγγέλθη Σατιβαρζάνης ὁ Ἀρείων σατράπης, Ἀνάξιππον μὲν καὶ τοὺς ἱππακοντιστὰς τοὺς ξὺν αὐτῷ ἀπεκτονὼς, ὁπλίζων δὲ τοὺς Ἀρείους, καὶ ξυνάγων εἰς Ἀρτακόανα πόλιν, ἵνα τὸ βασίλειον ἦν τῶν Ἀρείων. ἐκεῖθεν δὲ, ὅτι ἔγνωκεν, (ἐπειδὰν προκεχωρηκότα Ἀλέξανδρον πύθηται) ἰέναι ξὺν τῇ δυνάμει παρὰ Βῆσσον, ὡς ξὺν ἐκείνῳ ἐπιθησόμενος, ὅποι ἂν τύχῃ, τοῖς Μακεδόσιν. ταῦτα ὡς ἐξηγγέλθη αὐτῷ, τὴν μὲν ἐπὶ Βάκτρα ὁδὸν οὐκ ἦγεν· ἀναλαβὼν δὲ τούς τε ἑταίρους ἱππέας, καὶ τοὺς ἱππακοντιστὰς, καὶ τοὺς τοξότας, καὶ τοὺς

A Complures autem eorum in montes confugerunt, qui & vehementer excelſi atque abrupti ea in regione erant, exiſtimantes Alexandrum eò nequaquam peruaſurum. Poſtquam verò ea etiam loca adiſſet, miſsis legatis ſeſe pariter & regionem dediderunt. quibus dimiſſis Autophradatem iis ſatrapam, vt & Tapuris, ſtatuit. Ipſe in caſtra reuerſus vnde in Mardos mouerat, Græcos mercenarios qui ad ſe venerant, reperit: item Lacedæmoniorum legatos qui ad Darium miſſi fuerant. hi erant Calliſtratidas, Pauſippus, B Monimus, Anomantus: ac Dropides Athenienſiũ. quos comprehenſos in cuſtodiā tradit. Sinopeorũ legatos liberos dimiſit, quòd Sinopei, nullam cum republica Græcorum ſocietatem habentes, vtpote Perſis ſubditi, non iniquè facere viderentur, ſi ad regem ſuum legatos mitterent. Reliquos præterea Græcos, quotquot ante pacem & ſocietatē cum Macedonibus initam apud Perſas mercede militauerant, atque item Heraclidem Carthaginenſium legatum, dimiſit. Cæteros C ſecum eadem mercede, qua ſub Dario meruerant, militare iuſſit, iiſque Andronicum præfecit, qui illos adduxerat, iudicatúſque eſt non malè feciſſe, quòd illorũ vitæ conſuluiſſet. His rebus peractis ad * Zeudracarta maximam Hyrcaniæ vrbem vbi regia erat, exercitum duxit. atque ibidem dies quindecim cōmoratus, ſacrificio diis rite facto, gymnicíſque ludis editis, in Parthos contendit. Inde in * Areos fines, ad Suſiam Areorum vrbem. quo loci Satibarzanes Areorum ſatrapes ad eum venit. Huic ſatrapatum red- D dit, vnáque cum eo Anaxippum vnum ex amicis mittit, quadraginta equeſtribus iaculatoribus ei adiunctis, quos cuſtodes locorum diſponeret, ne Arei ab exercitu illac tranſeunte damni aliquid acciperent. Per id tēpus Perſarũ nõnulli ad eũ venerũt, nuntiantes Beſſum tiarā erectam, Perſicámque veſtē geſtare, & immutato Beſſi nomine Artaxerxem vocari, ſéque Aſiæ regem appellare. habere apud ſe Perſas qui in Bactra profugerant, & ex Bactrianis complures. Scytharum E etiam confœderatorum aduentum expectare. Alexãder omnes iam copias coniunctas habens in Bactra mouet. Eo loci Philippus etiam Menelai filius ad eum ex Media venit, equites mercenarios habēs, quibus ipſe præerat, & Theſſalos qui voluntarij remanſerāt, ac peregrinos Andromacho duce. Nicanor autem Parmenionis filius, Argyraſpidum præfectus, iam morbo ſublatus erat. Eunti in Bactra Alexandro, nuntiatur Satibarzanem Areorum ſatrapam, interfecto Anaxippo, & equitibus iaculatoribus qui ei aderāt, F Areos armare, & ad vrbē Artacoana, in qua regia Areorum erat, congregare. Inde verò (quòd Alexandrum vlterius progreſſum audiſſet) ſtatuiſſe cum exercitu ad Beſſum ire, vt coniunctis cum illo copiis, quacũque via facultas daretur, Macedones adoriretur. His rebus nuntiatis, intermiſſo itinere in Bactra, ſumtis ſecum ſociis equitibus, & iaculatoribus equeſtribus, atque ſagittariis, & Agria-

* Supr. Zadracarta.

* Fac. Arin.

nis,& Amyntæ ac Cœni agminibus: reliquo exercitu ibi relicto, Craterǫ́q; ei præfecto, ipſe celeriter aduerſus Satibarzanem & Areos ducit. ſtadiíſque ſexcentis biduo emenſis,ad Artacoana peruenit. Satibarzanes, vt appropinquare Alexandrum ſenſit,celeritate aduentus conſternatus, cum paucis equitibus Areorum fugit. Pleriq; enim milites, quum iam imminere ipſis Alexandrum audirent, eum in fuga deſtituerunt. Alexander quotquot conſcios defectionis fuiſſe cognouit,deſertiſque pagis abiiſſe,acriter eos inſecutus, partim interfecit, partim in ſeruitutẽ redegit. Arſacéque Perſa ſatrapa Areorum conſtituto, ipſe vnà cum iis qui cum Cratero relicti erant in Zarangeos profectus, eò peruenit vbi gentis illius regia erat. * Barſaentes verò, qui tum eam regionem obtinebat,vnus ex iis qui Darium in fuga oppreſſerant, cognito Alexandri aduentu, ad Indos qui cis Indum flumen incolunt fugit. quem Indi comprehenſum ad Alexandrum mittunt. Alexander illum, ob perfidiam qua erga Darium vſus fuerat, interfici iuſſit. *Ibidẽ Alexander Philotam Parmenionis filium vitæ ſuæ inſidiari cognouit. Ptolemæus & Ariſtobulus autores ſunt, quum antea in AEgypto ſibi de inſidiis ſignificatũ fuiſſet, veteris amicitiæ cauſa, & honoris quẽ Parmenioni Philotæ patri habebat, ſimul etiam fiduciæ cauſa quam de Philota cõceperat, nequaquam ſibi veriſimile id viſum fuiſſe. At Ptolemæus Lagi filius Philotam ad Macedones adductum ſcribit, grauitérque in concione ab Alexandro accuſatũ fuiſſe: ac Philotam quidẽ ſe purgaſſe: deinde indices acceſſiſſe, & criminationem aduerſus Philotã atque ſuos inſtituiſſe,idque cùm aliis nõ obſcuris argumentis, tum præcipuè quòd Philotas quidem ſe de quibuſdã inſidiis Alexandro paratis audiſſe confeſſus eſſet, quas celaſſe Alexandrum conuincebatur, quum alioqui bis per ſingulos dies Alexandri tabernaculum adire ſolitus eſſet: ac Philotam cęteróſque omnes inſidiarum conſcios à Macedonibus *iaculis confoſſos fuiſſe. Ad Parmenionem verò miſſum Polydamãta,vnum ex amicis, literas ab Alexandro ad duces exercitus qui in Media erant ferentem. Hi erant,Cleander,Sitalces,& Menidas, qui quidem in exercitu cui præerat Parmenio duces erant conſtituti, & ab his Parmenionem interfectum: ſiue quòd haud veriſimile videretur Alexandro,quum Philotas ſibi inſidias ſtruxiſſet,Parmenionem patrem eius conſilij ignarum fuiſſe: ſiue, vt maximè conſcius non eſſet, quòd periculoſum videretur illum interfecto filio ſupereſſe: præcipuè quũ tanta eius eſſet autoritas tum apud Alexandrũ, tum apud vniuerſum exercitum non ſolùm Macedonum,verumetiam exterorum, cuius ſæpenùmero magnæ parti, interdum etiam maiori,iuſſu Alexandri,ſumma cum gratia præfuerat. Ferunt quoque eodem tempore etiam Amyntam Andromenis in iudicium vocatum,& cum eo Polemonem,Attalum, Simmiámque,Attali fratres,tanquam & ipſi inſidiarum aduerſus Alexandrum conſcij,

Curt. Cuius cognito aduentu, Satibarzanes cum duobus millibus equitum, Bactra perfugit: cæteri proximos montes occuparunt.

Fac. Barzanetes

Hæc de re prolixè agit Curtius lib.6.

Curt. Demetriũ & ſemetipſum id facinus cogitaſſe confeſſus eſt. Omnes ergo à Nicomacho nominatos,more patrio dato ſigno, ſaxis obruerunt.

A Ἀγριανάς, καὶ τὴν Ἀμύντου τε καὶ Κοίνου τάξιν· τὴν δὲ ἄλλην δύναμιν αὐτοῦ καταλιπὼν, καὶ ἐπ' αὐτῇ Κρατερὸν ἡγεμόνα, σπουδῇ ἦγεν ὡς ἐπὶ Σατιβαρζάνην τε καὶ τοὺς Ἀρείους. καὶ διελθὼν ἐν δυσὶν ἡμέραις σταδίους ἑξακοσίους, πρὸς Ἀρτακόανα ἧκε. Σατιβαρζάνης μὲν οὖν, ὡς ἔγνω ἐγγὺς ὄντα Ἀλέξανδρον, τῇ ὀξύτητι τῆς ἐφόδου ἐκπλαγεὶς, ξὺν ὀλίγοις ἱππεῦσι τῶν Ἀρείων ἔφυγε. πρὸς γὰρ τῶν πολλῶν στρατιωτῶν κατελείφθη ἐν τῇ φυγῇ, ὡς κἀκεῖνοι ἔμαθον προσάγοντα Ἀλέξανδρον. Ἀλέξανδρος δὲ, ὅσους ξυναιτίους τῆς
B ἀποστάσεως κατέμαθε, καὶ ἐν τῷ τότε ἀπολελοιπότας τὰς κώμας, τούτων δὲ ἄλλῃ καὶ ἄλλῃ ὀξείας τὰς διώξεις ποιησάμενος, τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἠνδραπόδισε. σατράπην δὲ Ἀρείων ἀπέδειξεν Ἀρσάκην, ἄνδρα Πέρσην, αὐτὸς δὲ σὺν τοῖς ἀμφὶ Κρατερὸν ὑπολελειμμένοις ὁμοῦ οὖσιν, ἤδη ὡς ἐπὶ τὴν Ζαραγγαίων χώραν ἦγε· καὶ ἀφικνεῖται ἵνα τὰ βασίλεια τῶν Ζαραγγαίων ἦν. Βαρσαέντης δὲ, ὃς τότε κατεῖχε τὴν χώραν, εἷς ὢν τῶν ξυνεπιθεμένων Δαρείῳ ἐν τῇ φυγῇ, προσιόντα Ἀλέξανδρον μαθὼν, ἐς Ἰνδοὺς τοὺς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ ἔφυγε. ξυλλαβόντες δὲ αὐτὸν οἱ Ἰνδοὶ,
C παρ' Ἀλέξανδρον ἀπέστειλαν· καὶ ἀποθνήσκει πρὸς Ἀλεξάνδρου, τῆς ἐς Δαρεῖον ἀδικίας ἕνεκα. ἐνταῦθα δὲ καὶ τὴν Φιλώτα ἐπιβουλὴν τοῦ Παρμενίωνος ἔμαθεν Ἀλέξανδρος. καὶ λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος ὅτι προηγγελμένην ἤδη οἱ καὶ πρότερον ἐν Αἰγύπτῳ· οὐ μέντοι πιστή γε ἐφάνη, τῆς τε φιλίας τῆς πάλαι ἕνεκα, καὶ τῆς ἐξ αὐτοῦ ἐς Παρμενίωνά τε τὸν πατέρα Φιλώτα τιμῆς, καὶ ἐς αὐτὸν Φιλώταν πίστεως. Πτολεμαῖος δὲ ὁ Λάγου λέγει εἰσαχθῆναι ἐς Μακεδόνας Φιλώταν, καὶ
D κατηγορῆσαι μὲν αὐτοῦ ἰσχυρῶς Ἀλέξανδρον· ἀπολογήσασθαι δὲ αὐτὸν Φιλώταν, καὶ τοὺς ἐπιμηνυτὰς τοῦ ἔργου παρελθόντας, ἐξελέγξαι Φιλώταν τε καὶ τοὺς ἀμφ' αὐτὸν ἄλλοις τε ἐλέγχοις οὐκ ἀφανέσι, καὶ μάλιστα δὴ ὅτι αὐτὸς Φιλώτας πεπύσθαι μὲν ἐπιβουλήν τινα Ἀλεξάνδρῳ παρασκευαζομένην συνέφη, ἐξηλέγχετο δὲ κατασιωπήσας ταύτην πρὸς Ἀλέξανδρον, καίτοι δὶς ἐπὶ τὴν σκηνὴν ὁσημέραι τὴν Ἀλεξάνδρου φοιτῶν· καὶ Φιλώταν μὲν κατακοντισθῆναι πρὸς τῶν Μακεδόνων, καὶ ὅσοι ἄλλοι μετέσχον αὐτῷ τῆς ἐπιβουλῆς. ἐπὶ Παρμενίωνα δὲ σταλῆναι Πολυδάμαντα,
E ἕνα τῶν ἑταίρων, γράμματα φέροντα παρ' Ἀλεξάνδρου πρὸς τοὺς στρατηγοὺς τοὺς ἐν Μηδίᾳ, Κλέανδρόν τε, καὶ Σιτάλκην, καὶ Μενίδην. οὗτοι γὰρ ἐπὶ τῆς στρατιᾶς, ἧς ἦρχε Παρμενίων, τεταγμένοι ἦσαν. καὶ πρὸς τούτων ἀποθανεῖν Παρμενίωνα· τυχὸν μὲν, ὅτι οὐ πιστὸν ἐδόκει εἶναι Ἀλεξάνδρῳ, Φιλώτα ἐπιβουλεύοντος, μὴ ξυμμετασχεῖν Παρμενίωνα τῷ παιδὶ τοῦ βουλεύματος· τυχὸν δὲ, ὅτι εἰ καὶ μὴ ξυμμετέσχε, σφαλερὸς ἤδη ἦν περιὼν Παρμενίων, τοῦ παιδὸς αὐτοῦ ἀνῃρημένου, ἐν τοσαύτῃ ὢν ἀξιώσει παρά τε αὐτῷ Ἀλεξάν-
F δρῳ, καὶ ἐς τὸ ἄλλο στράτευμα μὴ ὅτι τὸ Μακεδονικὸν, ἀλλὰ καὶ τῶν ἄλλων ξένων· ὧν πολλάκις καὶ ἐν μέρει, καὶ παρὰ τὸ μέρος, κατὰ πρόσταξιν τὴν Ἀλεξάνδρου, ξὺν χάριτι ἐξηγεῖτο. λέγουσι δὲ καὶ Ἀμύνταν τὸν Ἀνδρομένους κατὰ τὸν αὐτὸν χρόνον ὑπαχθῆναι ἐς κρίσιν, καὶ Πολέμωνα, καὶ Ἄτταλον, καὶ Σιμμίαν, τοὺς Ἀμύντου ἀδελφοὺς, ὡς ξυμμετασχόντας καὶ αὐτοὺς τῆς ἐπιβουλῆς τῆς κατ' Ἀλεξάνδρου, κατὰ πίστιν τε καὶ

ἑταιρείαν

ἐπαιρείαν τὴν Φιλώτα. καὶ ἐδόκει πιστοτέρα ἡ ἐπιβου-
λὴ ἐς τὸ πλῆθος, ὅτι Πολέμων εἷς τῶν ἀδελφῶν τῶν Ἀ-
μύντου, ξυλληφθέντος Φιλώτα, ἔφυγεν ἐς τοὺς πολε-
μίους· ἀλλ' Ἀμύντας γε ξὺν τοῖς ἀδελφοῖς ὑπομεί-
νας τὴν δίκην, καὶ ἀπολογησάμενος ἐν Μακεδόσι καρ-
τερῶς, ἀφίεται τῆς αἰτίας. καὶ εὐθὺς ὡς ἀπέφυγεν
ἐν τῇ ἐκκλησίᾳ, ἠξίωσεν ἀφεθῆναί οἱ ἐλθεῖν παρὰ
τὸν ἀδελφὸν, καὶ ἐπαναγαγεῖν αὐτὸν παρὰ τὸν Ἀλέ-
ξανδρον. καὶ οἱ Μακεδόνες ξυγχωροῦσιν. ὁ δὲ ἀπελθὼν
αὐτῇ τῇ ἡμέρᾳ, τὸν Πολέμωνα ἐπανήγαγε· καὶ ταύτῃ πο- A
λὺ ἔτι μᾶλλον ἢ πρόσθεν ἔξω αἰτίας ἐφάνη Ἀμύν-
τας. ἀλλ' ὀλίγον γε ὕστερον κώμην τινὰ πολιορκῶν,
τοξευθεὶς, ἐκ τοῦ τραύματος ἐτελεύτησεν, ὥστε οὐδὲν πλέον
αὐτῷ γίγνεται τοῦ κρίσιν ἀποφυγεῖν, ὅτι μὴ ἀγαθῷ
νομιζομένῳ ἀποθανεῖν. Ἀλέξανδρος δὲ καταστήσας
ἐπὶ τοὺς ἱππάρχας ἑταίρους δύο, Ἡφαιστίωνά τε τὸν
Ἀμύντορος, καὶ Κλεῖτον τὸν Δρωπίδου, καὶ δίχα δι-
ελὼν τὴν τάξιν τῶν ἑταίρων (ὅτι οὐδὲ Φιλώταν ἂν ἠ-
βούλετο, ἕνα, τοσούτων ἱππέων, ἄλλως τε καὶ τῶν κρα-
τίστων τοῦ παντὸς ἱππικοῦ, κατά τε ἀξίωσιν καὶ τὴν B
ἄλλην ἀρετὴν, ἐξηγεῖσθαι) ἀφικνεῖται ἐς τοὺς πάλαι
μὲν Ἀγριάσπας καλουμένους, ὕστερον δὲ Εὐεργέτας ἐ-
πονομασθέντας, ὅτι Κύρῳ τῷ Καμβύσου ξυνεπελά-
βοντο τῆς ἐς Σκύθας ἐλάσεως. καὶ τούτους Ἀλέξανδρος
ὧν τε ἐς Κῦρον ὑπῆρξαν οἱ πρόγονοι αὐτῶν, τιμήσας·
καὶ αὐτὸς καταμαθὼν ἄνδρας οὐ κατὰ τοὺς ἄλλους
τοὺς ταύτῃ βαρβάρους πολιτεύοντας, ἀλλὰ τοῦ δι-
καίου ἴσα καὶ τοῖς κρατίστοις τῶν Ἑλλήνων μεταποιου-
μένους, ἐλευθέρους τε ἀφῆκε, καὶ χώραν τῆς ὁμόρου
ὅσην αὐτοὶ σφίσιν ᾔτησαν (οὐ πολλὴν δὲ οὐδ' αὐτοὶ C
ᾔτησαν) προσέθηκεν. ἐνταῦθα θύσας τῷ Ἀπόλλωνι,
Δημήτριον μὲν ἕνα τῶν σωματοφυλάκων, ὑποπτεύ-
σας μετασχεῖν Φιλώτᾳ τῆς ἐπιβουλῆς, ξυνέλαβε· σω-
ματοφύλακα δὲ ἀντὶ Δημητρίου ἀπέδειξε Πτολε-
μαῖον τὸν Λάγου. ταῦτα δὲ διαπραξάμενος, προ-
ῄει ὡς ἐπὶ Βάκτρα τε καὶ Βῆσσον, Δράγγας τε καὶ
Δραγγογοὺς ἐν τῇ παρόδῳ παραστησάμενος. παρε-
στήσατο δὲ καὶ τοὺς Ἀραχώτους, καὶ σατράπην κατέστησεν
ἐπ' αὐτοῖς Μένωνα. ἐπῆλθε δὲ καὶ τῶν Ἰνδῶν τοὺς προσ-
χώρους Ἀραχώτοις. ξύμπαντα δὲ ταῦτα τὰ ἔθνη διὰ χιό- D
νος τε πολλῆς, καὶ ξὺν ἀπορίᾳ τῶν ἐπιτηδείων, καὶ τῶν
στρατιωτῶν ταλαιπωρίᾳ ἐπῆλθε. μαθὼν δὲ τοὺς Ἀρείους
αὖθις ἀφεστάναι, Σατιβαρζάνου ἐς τὴν χώραν αὐτῶν
ἐμβαλόντος ξὺν ἱππεῦσι δισχιλίοις, οὓς παρὰ Βήσσου
ἔλαβεν, ἀποστέλλει παρ' αὐτοὺς Ἀρτάβαζόν τε τὸν Πέρ-
σην, καὶ Ἐριγύϊον, καὶ Κάρανον, τῶν ἑταίρων. προσέταξε δὲ
καὶ Φραταφέρνην τὸν τῶν Παρθυαίων σατράπην ξυνεμ-
βαλεῖν αὐτοῖς ἐς τοὺς Ἀρείους. καὶ γίγνεται μάχη τῶν ἀμ-
φὶ Ἐριγύϊον καὶ Κάρανον πρὸς Σατιβαρζάνην καρτε-
ρά. οὐδὲ πρόσθεν οἱ βάρβαροι ἐνέκλιναν, πρὶν Σατιβαρ- E
ζάνην ξυμπεσόντα Ἐριγυίῳ, ὡς Ἐριγυΐου πλήξαντος
δόρατι ἐς τὸ πρόσωπον, ἀποθανεῖν. τότε δὴ ἐγκλίναν-
τες οἱ βάρβαροι, προτροπάδην ἔφυγον.

Ἐν τούτῳ δὲ Ἀλέξανδρος πρὸς τὸν Καύκασον τὸ ὄρος
ἦγεν, ἵνα καὶ πόλιν ἔκτισε, καὶ ὠνόμασεν Ἀλεξάνδρειαν·
καὶ θύσας ἐνταῦθα τοῖς θεοῖς, ὅσοις νόμος αὐτῷ, ὑ-
περέβαλε τὸ ὄρος τὸν Καύκασον· σατράπην μὲν τῇ χώ-
ρᾳ ἐπιτάξας Προέξην ἄνδρα Πέρσην. τῶν δ' ἑταίρων,

fuiſſent, ob fidem atque amicitiam quã cum
Philota coluerant. Hoc etiam inſidiarũ ſu-
ſpicionem veriſimiliorem apud multitudi-
nem effecit, quòd Polemon, vnus ex Amyn-
tæ fratribus, Philota comprehenſo, ad ho-
ſtes profugerat. At quum Amyntas cum fra-
tribus actionem publicam ſuſtinuiſſet, cau-
ſámque ſuam ſtrenuè apud Macedones di-
xiſſet, ab ea criminatione abſolutus eſt: ſta-
tímque poſt abſolutionem in concilio fa-
ctam, poteſtatẽ ſibi fieri petiit eundi ad fra-
trem, vt eum ad Alexandrũ reduceret. quod
quum à Macedonibus illi conceſſum eſſet,
abiit, eodémque die Polemonem reduxit.
Ex eo multo quàm antea manifeſtius appa-
ruit Amyntam extra culpam fuiſſe. Cæterũ
paulo pòſt pagum quendam oppugnans, ſa-
gitta ictus, ex eo vulnere interiit: adeo vt
nihil illi ex illa abſolutione acceſſerit, pręter
quã quòd vir bonus habitus interierit. Poſt
hæc Alexãder equitatui duos ex amicis He-
phæſtionem Amyntoris filium, & Clitum
Dropidis præfecit, diuiſiſque in duas partes
ſociorum copiis (neque enim Philotam vo-
lebat tot equitibus, qui alioqui præſtantiſſi-
mi totius equitatus & dignitate & bellica
virtute erant, ſolum præfectum eſſe) ad eos
peruenit qui olim quidem Agriaſpę, poſtea
verò Euergetæ vocati ſunt, hoc eſt benefici,
quòd Cyrum Cambyſæ filium in expeditio-
nem Scythicam adiuuiſſent. Hos Alexãder,
quòd illorum maiores de Cyro bene meriti
fuiſſent, honore affecit. Quúmque ipſe intel
ligeret eos non more reliquorum eius regio-
nis barbarorũ viuere, ſed perinde atque qui
apud Græcos optimè inſtituti ſunt, iuſtitiã
colere, liberos dimiſit, tantúmque ex finiti-
mis locis agri quantum petiere (exiguum au
tem petiere) dedit. Eo loci Apollini ſacrum
fecit: & * Demetrium, vnum ex corporis cu-
ſtodibus, quẽ Philotæ conſiliorum partici-
pem fuiſſe ſuſpicabatur cõprehendit, & Pto-
lemæum Lagi in eius locum ſuffecit. His
peractis in Bactra & Beſſum mouit, Drangis
Dragogiſque in ipſo itinere ſubactis. Sube-
git autem etiam Arachotos, & Memnonem
iis ſatrapam conſtituit. Poſthæc Indos Ara-
chotis finitimos inuadit: * omnes has gentes
per multas niues, in magna rerum omnium
penuria, ſummis militum laboribus ſubiuga
uit. Quúmq; cognouiſſet Areos denuo deſ-
ciuiſſe, Satibarzane cum duobus millibus e-
quitum quos à Beſſo acceperat, in eorum a-
gros ingreſſo, Artabazum Perſam, & Erigyũ,
Caranúmque, vnum ex ſociis, in eos mittit,
Phratapherne Parthorum ſatrapa vnà cum
eis in Areos miſſo. Atrox ibi * Erigyi & Ca-
rani aduerſus Satibarzanem prælium com-
mittitur. neque prius barbari in fugam ſeſe
inclinarunt, quàm Satibarzanes cum Erigyo
congreſſus, iaculóque faciem transfoſſus ce-
cidit. Tum effuſa barbarorum fuga fit.

Inter hæc Alexander ad Caucaſum montẽ
profectus, vrbẽ ibi condidit, quã Alexandriã
nominauit, & ſacrificio diis patrio more fa-
cto, Caucaſũ montẽ ſuperauit. Satrapã illi re
gioni cõſtituit Proexẽ Perſam, ex amicis verò

Curt. Demetrius, qui proximi ſceleris particeps eſſe arguebatur, producitur.

Curt. Multos exanimauit rigor inſolitus niuis, multorum aduſſit pedes.

Curt. plerunque Erigyium vocat.

Niloxenum Satyri filium ſpeculatorem cum exercitu ibi relinquit. Mons Caucaſus, nulli montium qui in Aſia ſunt altitudine ſecũdus eſt, vt Ariſtobulus autor eſt. Eius ab ea parte tum temporis vt plurimum *nudum dorſum erat. In magnã enim longitudinẽ porrigitur Caucaſus, adeo vt & Taurum montẽ qui Ciliciam Pamphyliámque diſterminat, à Caucaſo duci velint, alióſque ingentes montes qui pro varietate gentium, à quibus incoluntur, nomina variant. At in hoc Caucaſo nihil præter terminthum & ſilphium naſcitur, vt autor eſt Ariſtobulus: & nihilominus multos incolas habet, multæque in eo pecudes atque armenta paſcuntur, quòd pecudes ſilphium ament: & ſi ex longinquiore loco id per odoratum ſenſerint, citatim eò feruntur, depaſtóque flore radicem etiam ſuffodiunt atque arrodunt: eámque ob cauſam Cyrenæi greges ouium quamlongiſſimè ab iis locis arcent, quibus ſilphium naſcitur: alij ſepem obducunt, ne ſi pecudes propius accedant, ad interiora loca penetrare poſſint. magno enim apud Cyrenæos in pretio eſt ſilphium. Beſſus autem Perſis, qui participes conſiliorum in capiendo Dario fuerant, comitatus, Bactrianiſque circiter ſeptem millibus, & Dais vltra Tanaim fluuium habitantibus, regionem Caucaſo adiacentem depopulatus eſt, vt præ vaſtitate regionis inter ſe & Alexandrum interiectæ, rerúmque neceſſariarum penuria, Alexandrum quominus progrederetur impediret. Is verò idcirco nihilominus proceſſit, difficulter quidem ob niuium altitudinem, & commeatus inopiam: proceſſit tamen. Beſſus, vt cognouit Alexãdrum non procul abeſſe, Oxo flumine traiecto, nauigia quibus copias tranſuexerat incendit. ipſe in Nautaca Sogdianæ regionis ſe recepit. Sequebãtur eum Spitamenes & Oxyartes cum equitibus Sogdianis, & Dais à Tanai profectis. Bactriani equites, quum in vna fuga Beſſum ſalutis ſuæ ſpem poſuiſſe intellexerunt, alius aliò dilapſi domum reuerterunt. Alexander inde Drapſaca profectus, recreato exercitu, in Aornos & Bactra mouit, quæ quidem maximæ ſunt in Bactris vrbes: quibus primo impetu captis, præſidium in arce Aorni conſtituit, cui Archelaum Androcli filium, vnum ex amicis, præfecit. Reliquis verò Bactriis non difficulter ſeſe dedentibus Artabazum Perſam ſatrapam dedit. Ipſe ad Oxum flumen exercitũ duxit. Oxus fluuius è monte Caucaſo fluit, omnium Aſiæ fluminum, quotquot Alexander cum exercitu adiit, maximum, Indorum fluminibus exceptis. Hæc enim omnia flumina magnitudine ſuperant. Oxus porro in mare magnum, iuxta Hyrcaniam, influit. conanti Alexandro flumen tranſire, nulla ſe facultas offerre videbatur. nãque eius latitudo ad ſex maximè ſtadia extenditur. altitudo latitudini nõ reſpondet, ſed profundior & ſabuloſus eſt. Curſus fluminis adeo rapidus, vt facilè quæ vado infixa fuerint ſubuertat ſecũmq; rapiat, vtpote q̃ ob ſabulũ firmiter ſtabilita nõ ſint. ad hæc

Curt. In nudo eius mõtis dorſo.

In vet. χωρὶς τὸ ἄ[illegible]

A Νειλόξενον τὸν Σατύρου, ἐπίσκοπον ξὺν στρατιᾷ ἀπολιπών. τὸ δὲ ὄρος ὁ Καύκασος, ὑψηλὸν μέν ἐστιν, ὥσπερ τι ἄλλο τῆς Ἀσίας, ὡς λέγει Ἀριστόβουλος, ψιλὸν δὲ τὸ πολὺ αὐτοῦ τό γε ταύτῃ. μακρὸν γὰρ ὄρος παρατέταται ὁ Καύκασος· ὥστε καὶ τὸν Ταῦρον τὸ ὄρος, ὃς δὴ τὴν Κιλικίαν τε καὶ Παμφυλίαν ἀπείργει, ἀπὸ τοῦ Καυκάσου εἶναι λέγουσι, καὶ ἄλλα ὄρη μεγάλα διακεκριμένα ἀπὸ τοῦ Καυκάσου ἄλλη καὶ ἄλλη ἐπωνυμίᾳ, κατὰ ἔθνη τὰ ἑκάστων. ἀλλὰ ἔν γε τούτῳ τῷ Καυκάσῳ οὐδὲν ἄλλο ὅτι μὴ τέρμινθοι πεφύκασι, καὶ
B σίλφιον, ὡς λέγει Ἀριστόβουλος. ἀλλὰ καὶ ὣς ἐπῳκεῖτο πολλοῖς ἀνθρώποις, καὶ πρόβατα πολλὰ καὶ κτήνη ἐνέμοντο, ὅτι καὶ χαίρουσι τῷ σιλφίῳ τὰ πρόβατα. καὶ εἰ ἐκ πολλοῦ πρόβατον σιλφίου αἴσθοιτο, καὶ θεῖ ἐπ' αὐτό, καί τό, τε ἄνθος ἐπινέμεται, καὶ τὴν ῥίζαν ἀνορύττον καὶ ταύτην κατεσθίει. ἐπὶ τῷδε ἐν Κυρήνῃ ὡς μακροτάτω ἀπελαύνουσι τὰς ποίμνας τῶν χωρίων, ἵνα καὶ αὐτοῖς τὸ σίλφιον φύεται. οἱ δὲ, καὶ περιφράσσουσι τὸν χῶρον, τοῦ μηδ' εἰ πελάσειεν
C αὐτῷ τὰ πρόβατα, δυνατὰ γενέσθαι εἴσω παρελθεῖν· ὅτι πολλοῦ ἄξιον Κυρηναίοις τὸ σίλφιον. Βῆσσος δὲ ἔχων ἀμφ' αὐτὸν Περσῶν τε τοὺς μεταχόντας αὐτῷ τῆς Δαρείου συλλήψεως, καὶ αὐτῶν Βακτρίων ἐς ἑπτακισχιλίους, καὶ Δάας τοὺς ἐπὶ τάδε τοῦ Ταναΐδος ποταμοῦ ἐποικοῦντας, ἔφθειρε τὴν ὑπὸ τῷ ὄρει τῷ Καυκάσῳ, ὡς ἐρημίᾳ τε τῆς χώρας τῆς ἐν μέσῳ αὐτοῦ τε καὶ Ἀλεξάνδρου καὶ ἀπορίᾳ τῶν ἐπιτηδείων, ἀπείρξων Ἀλέξανδρον τοῦ μὴ ἐλαύνειν πρόσω. ἀλλ' Ἀλέξανδρος ἤλαυνεν οὐδὲν μεῖον, χαλεπῶς μὲν διά τε χιόνος πολλῆς, καὶ ἐνδείᾳ τῶν ἀναγκαίων, ᾔει δὲ
D ὅμως. Βῆσσος δὲ, ἐπεὶ ἐξηγγέλλετο αὐτῷ οὐ πόρρω ἤδη ὢν Ἀλέξανδρος, διαβὰς τὸν Ὦξον ποταμόν, τὰ μὲν πλοῖα ἐφ' ὧν διέβη κατέκαυσεν, αὐτὸς δὲ εἰς Ναύτακα τῆς Σογδιανῆς χώρας ἀπεχώρει. εἵποντο δὲ αὐτῷ οἵ τε ἀμφὶ Σπιταμένην καὶ Ὀξυάρτην, ἔχοντες τοὺς ἐκ τῆς Σογδιανῆς ἱππέας, καὶ Δάαι οἱ ἀπὸ τοῦ Ταναΐδος. οἱ δὲ τῶν Βακτρίων ἱππεῖς, ὡς φεύγειν ἐγνωκότα ἔμαθον Βῆσσον, ἄλλος ἄλλῃ ἐπὶ τὰ σφῶν ἕκαστοι ἀπηλλάγησαν. Ἀλέξανδρος δὲ ἐς Δράψακα ἀφικόμενος, καὶ ἀναπαύσας τὴν στρατιάν, ἐς Ἄορ-
E νόν τε ἦγε καὶ Βάκτρα, αἳ δὴ μέγισταί εἰσι πόλεις ἐν τῇ Βακτρίων χώρᾳ. καὶ ταύτας τε ἐξ ἐφόδου ἔλαβε, καὶ φυλακὴν ἐν τῇ ἄκρᾳ τῆς Ἀόρνου ἀπέλιπε, καὶ ἐπὶ ταύτης Ἀρχέλαον τὸν Ἀνδροκλέους, τῶν ἑταίρων. τοῖς δ' ἄλλοις Βακτρίοις οὐ χαλεπῶς προσχωρήσασιν, ἐπέταξε σατράπην Ἀρτάβαζον τὸν Πέρσην. αὐτὸς δὲ ἦγεν ὡς ἐπὶ τὸν Ὦξον ποταμόν. ὁ δὲ Ὦξος ποταμὸς ῥέει μὲν ἐκ τοῦ ὄρους τοῦ Καυκάσου, ἔστι δὲ ποταμῶν μέγιστος τῶν ἐν τῇ Ἀσίᾳ, ὅσους γε δὴ Ἀλέξανδρος καὶ οἱ ξὺν Ἀλεξάνδρῳ ἐπῆλθον, πλὴν τῶν Ἰνδῶν ποτα-
F μῶν. οἱ δὲ Ἰνδοὶ ποταμοὶ, πάντων μέγιστοί εἰσιν. ἐξίησι δὲ ὁ Ὦξος ἐς τὴν μεγάλην θάλασσαν, τὴν καθ' Ὑρκανίαν. διαβαίνειν δὲ ἐπιχειροῦντι αὐτῷ τὸν ποταμὸν, πάντη ἄπορον ἐφαίνετο. τὸ μὲν γὰρ εὖρος ἦν ἐς ἓξ μάλιστα σταδίους· βάθος δὲ, οὐδὲ πρὸς λόγον τοῦ εὔρους, ἀλλὰ πολύ δή τι βαθύτερος, καὶ ψαμμώδης. καὶ ῥεῦμα ὀξὺ, ὡς τὰ καταπηγνύμενα πρὸς αὐτοῦ τοῦ ῥοῦ ἐκστρέφεσθαι ἐκ τῆς γῆς οὐ χαλεπῶς, οἷα δὴ οὐδὲ βεβαίως κατὰ τῆς ψάμμου ἱδρυμένα. ἄλλως τε καὶ

ἀπορία ὕλης ἐν τοῖς τόποις ἦν· καὶ τριβὴ πολλὴ ἐφαίνετο, εἰ μακρόθεν μετίασιν ὅσα ἐς γεφύρωσιν τοῦ πόρου. ξυναγαγὼν οὖν τὰς διφθέρας, ὑφ' αἷς ἐσκήνουν οἱ στρατιῶται, φορυτοῦ ἐμπλῆσαι ἐκέλευσεν ὡς ξηροτάτου, καὶ καταδῆσαί τε καὶ ξυρράψαι ἀκριβῶς, τοῦ μὴ ἐνδύεσθαι ἐς αὐτὰς τοῦ ὕδατος. ἐμπλησθεῖσαι δὲ καὶ ξυρραφεῖσαι, ἱκαναὶ ἐγένοντο διαβιβάσαι τὴν στρατιὰν ἐν πέντε ἡμέραις. πρὶν δὲ διαβαίνειν τὸν ποταμὸν, τῶν τε Μακεδόνων ἐκλέξας τοὺς πρεσβυτάτους, καὶ ἤδη ἀπολέμους, καὶ τῶν Θεσσαλῶν τοὺς ἐθελοντὰς καταμείναντας, ἐπ' οἴκου ἀπέστειλεν. ἐκπέμπει δὲ καὶ Στασάνορα, ἕνα τῶν ἑταίρων, ἐς Ἀρείους, προστάξας Ἀρσάκην μὲν τὸν σατράπην τῶν Ἀρείων ξυλλαβεῖν, ὅτι ἐθελοκακεῖν αὐτῷ Ἀρσάκης ἔδοξεν· αὐτὸν δὲ σατράπην εἶναι ἀντ' ἐκείνου Ἀρείων. περάσας δὲ τὸν Ὦξον ποταμὸν, ἦγε κατὰ σπουδὴν, ἵνα Βῆσσον εἶναι ξὺν τῇ δυνάμει ἐπυνθάνετο. καὶ ἐν τούτῳ ἀφικνοῦνται παρὰ Σπιταμένους καὶ Δαταφέρνου, πρὸς αὐτὸν ἀγγέλλοντες, ὅτι Σπιταμένης καὶ Δαταφέρνης, εἰ πεμφθείη αὐτοῖς ὀλίγη στρατιὰ, καὶ ἡγεμὼν τῇ στρατιᾷ, ξυλλήψονται Βῆσσον, καὶ παραδώσουσιν Ἀλεξάνδρῳ· ἐπεὶ καὶ νῦν ἀδέσμῳ φυλακῇ φυλάσσεσθαι πρὸς αὐτῶν Βῆσσον. ταῦτα ὡς ἤκουσεν Ἀλέξανδρος, αὐτὸς μὲν ἀναπαύων ἦγε τὴν στρατιὰν σχολαιότερον ἢ πρόσθεν· Πτολεμαῖον δὲ τὸν Λάγου ἀποστέλλει, τῶν τε ἑταίρων ἱππαρχίας τρεῖς ἄγοντα, καὶ τοὺς ἱππακοντιστὰς ἅπαντας· πεζῶν δὲ, τήν τε Φιλώτα τάξιν, καὶ τῶν ὑπασπιστῶν χιλιαρχίαν μίαν, καὶ τοὺς Ἀγριάνας πάντας, καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, σπουδῇ ἐλαύνειν κελεύσας, ὡς ἐς Σπιταμένην τε καὶ Δαταφέρνην. καὶ Πτολεμαῖος ᾔει ὡς ἐτέτακτο· καὶ διελθὼν ἐν ἡμέραις τέσσαρσι σταθμοὺς δέκα, ἀφικνεῖται ἐς τὸ στρατόπεδον, οὗ τῇ προτεραίᾳ ηὐλισμένοι ἦσαν οἱ ἀμφὶ τὸν Σπιταμένην βάρβαροι. ἐνταῦθα ἔμαθε Πτολεμαῖος ὅτι οὐ βεβαία τῷ Σπιταμένῃ καὶ Δαταφέρνῃ ἡ γνώμη ἐστὶν ἀμφὶ τῇ παραδόσει τοῦ Βήσσου. τοὺς μὲν δὴ πεζοὺς κατέλιπε, προστάξας ἕπεσθαι ἐν τάξει· αὐτὸς δὲ ξὺν τοῖς ἱππεῦσιν ἐλάσας ἀφίκετο πρὸς κώμην τινὰ, ἵν' ὁ Βῆσσος ἦν ξὺν ὀλίγοις στρατιώταις. οἱ γὰρ ἀμφὶ τὸν Σπιταμένην μετακεχωρήκεσαν ἤδη ἐκεῖθεν, καταιδεσθέντες αὐτοὶ παραδοῦναι τὸν Βῆσσον. Πτολεμαῖος δὲ περιστήσας ἐν κύκλῳ τῆς κώμης τοὺς ἱππέας (ἦν γάρ τι καὶ τεῖχος περιβεβλημένον καὶ πύλαι κατ' αὐτὸ) ἐπεκηρυκεύετο τοῖς ἐν τῇ κώμῃ βαρβάροις, ἀπαθεῖς σφᾶς ἀπαλλάσσεσθαι παραδόντας Βῆσσον. οἱ δὲ ἐδέχοντο τοὺς ξὺν Πτολεμαίῳ ἐς τὴν κώμην· καὶ Πτολεμαῖος ξυλλαβὼν Βῆσσον, ὀπίσω ἐπανῄει. προπέμψας δὲ, ἤρετο Ἀλέξανδρον ὅπως χρὴ ἐς ὄψιν ἄγειν Ἀλεξάνδρου Βῆσσον. καὶ Ἀλέξανδρος, γυμνὸν ἐν κλοιῷ δήσαντα, οὕτως ἄγειν ἐκέλευσε, καὶ καταστήσαντα ἐν δεξιᾷ τῆς ὁδοῦ, ᾗ αὐτός τε καὶ ἡ στρατιὰ παρελάσεσθαι ἔμελλε. καὶ Πτολεμαῖος οὕτως ἐποίησεν. Ἀλέξανδρος δὲ ἰδὼν τὸν Βῆσσον, ἐπιστήσας τὸ ἅρμα, ἤρετο ἀνθ' ὅτου τὸν βασιλέα τὸν αὑτοῦ καὶ ἅμα οἰκεῖον καὶ εὐεργέτην γενόμενον Δαρεῖον, τὰ μὲν πρῶτα ξυνέλαβε καὶ δήσας ἦγεν, ἔπειτα ἀπέκτεινε. καὶ ὁ Βῆσσος, οὐ μόνῳ οἱ ταῦτα δό-

materia etiam pontibus ſtruendis deerat. Multum præterea moræ faciendum videbatur, ſi ex longinquo apportáda eſſent quæcunque ad flumen ponte iungendum erant neceſſaria. Collectis itaque pellibus ſub quibus milites in tentoriis degebant, *ſarmentis quammaximè ſiccis eas impleri, accuratéque vinciri & conſui iubet, ne aquam aliqua ex parte admittere poſſent. quibus ita obligatis & conſutis, exercitum quinque dierum ſpatio traduxit. Antequam verò flumen traiiceret, ſeligés ex Macedonibus qui aut præ ætate aut vulneribus inepti ad pugnã erant, & ex Theſſalis qui voluntarij remanſerant, in domos ſuas remiſit. Staſanorem quoq;, vnum ex amicis, in Areos mittit, qui Arſacem Areorum ſatrapam comprehenderet, quòd mali aliquid moliri videretur: vtque eius loco ſatrapatum obtineat iubet. Traiecto autem amne Oxo, celeriter eò exercitũ duxit, vbi Beſſum cum copiis eſſe acceperat. Interea nuntij ad eum à Spitamene & Dataphérne veniunt, pollicentes, ſi aliquem ex ducibus ſuis cum aliquantis copiis mitteret, ſeſe Beſſum comprehenſum Alexandro tradituros eſſe. In cuſtodia enim illũ, citra vincula tamẽ, teneri. Qua re cognita, Alexãder relaxationẽ dans, lentius quàm antea exercitum duxit. Ac Ptolemæum quidem Lagi filium cum tribus ſociorum equitum cohortibus, & haſtatis equitibus omnibus: ex peditibus verò, Philotæ agmine, & argyraſpidibus mille, Agrianíſque omnibus ac ſagittariorum dimidia parte, vt ad Spitamenem & Daphernem contendat iubet. Ptolemæus imperata facit, & decem mãſionum iter quatriduo emenſus, eò peruenit vbi pridie barbari cum Spitamene caſtra habuerant. Ibi certior factus eſt, dubiam eſſe Spitamenis & Dataphernis de tradẽdo Beſſo ſententiam. Peditibus itaque relictis, & quadrato agmine ſequi iuſſis, ipſe cum equitatu progreſſus ad vicum quendam venit, in quo Beſſus cum paucis militibus agebat. Nam qui cum Spitamene erant iam inde abierant, quòd eos Beſſum tradere puderet. Ptolemæus, pago equitibus circumſeſſo (erat enim pagus muro & portis cinctus) barbaris paganis denuntiari iubet, incolumes eos abituros, ſi Beſſum tradãt. Barbari Ptolemæũ cum ſuis copiis intromittũt. Ptolemęus capto Beſſo ad Alexandrũ reuertitur: nuntiúmque præmittit, qui percõtetur quomodo illũ in cõſpectũ ſuũ adduci velit. Alexander *nudum capiſtro alligatum adduci iubet, & ad dextrũ viæ latus, qua ſibi cum exercitu trãſeundum eſſet, ſiſti. Ptolemæus ita vt imperatum ei eſt facit. Alexãder Beſſum conſpicatus, currum ſiſtens, rogauit quam ob cauſam Darium regem ſuum pariter atque amicum, & optimè de ſe meritum, comprehenſum & in vinculis ductum interfeciſſet. cui Beſſus, Non ex ſuo vnius conſi-

Curt. Vtres quã plurimos ſtramẽtis refertos diuiſit. His incubantes tranſnauere amnem.

Curt. Productus eſt Beſſus nõ vinctus modò, ſed etiam omni velamento corporis ſpoliatus.

lio id factum fuiſſe, ſed omniū qui tum temporis Dario adfuerāt, vti ea ratione ſalutem ſibi apud Alexandrum inuenirent. Tum Alexāder Beſſum flagris cædi iuſſit, ac per præconem pronuntiari eadem illa quæ ipſe Beſſo ob perfidiam ſuam exprobrarat. Beſſus ita flagellis cæſus, in Bactra pœnas capite perſoluturus, remittitur. Hæc Ptolemæus de Beſſo. Ariſtobulus verò autor eſt, eos qui cum Spitamene & Datapherne erant, Beſſum Ptolemæo adduxiſſe, atque ita nudum capiſtro vinctum Alexādro traditum fuiſſe. Alexander, equis quos ibi nactus eſt in ſupplemētum ſui equitatus ſumtis (multos enim equos tam in tranſitu Caucaſi montis, quàm in itinere ad Oxum amnē & diſceſſu ab Oxo amiſerat) in Maracanda mouit, qua in vrbe Sogdianorum regia eſt. Inde ad Tanaim fluuiū profectus eſt. huius fluminis (quod & alio nomine Orxantē à finitimis barbaris appellari Ariſtobulus dicit) fontes è Caucaſo etiam monte oriuntur. in Hyrcanium etiam mare fertur. Alius porro eſt Tanais, de quo Herodotus hiſtoriarum ſcriptor dicit, octauum eſſe flumē Scythicum Tanaim, eiúſque fontes ex magno lacu ortos fluere, & in aliū maiorem lacum, Mæotim dictum, ferri. Atque hunc Tanaim ſunt qui Aſiæ atque Europæ terminum ſtatuant. quibus quidem ex intimo ſinu ponti Euxini Mæotis palus oritur: atque hic Tanais in eam prolapſus, Aſiam ab Europa ſeparat: quemadmodū mare quod inter Gades, & inter eos qui ex aduerſo ſunt Afros Numidas, Africam ab Europa diuidit, ſicut etiam Africa à reliqua Aſia Nilo flumine dirimitur. Eo loco nonnulli ex Macedonibus longius quàm par erat pabulatum digreſſi à barbaris cæſi ſunt, qui ſeſe ſtatim in montes aſperrimos omníque ex parte præruptos receperunt. Hi ad XXX M. erant: aduerſus quos Alexander aſſumptis expeditioribus totius exercitus celeriter profectus eſt. Macedones frequentes in montem inſultus faciunt: ac initio quidē icti à barbaris, multis vulneribus acceptis, repelluntur. atque ipſe Alexander ſagitta medium crus traiectus eſt, ſagittæ ſpiculum in ipſo crure abruptum hæſit. Collis nihilominus captus eſt, ac plerique barbarorum à Macedonibus cæſi, alij è rupibus ſeſe præcipitantes interierunt: adeo vt ex triginta millibus non plures octo millibus euaſerint.

Curt. Quos dum obſidet rex inter promptiſſimos dimicās, ſagitta ictus eſt, quæ in medio crure fixa reliquerat ſpiculum.

A ξαντα πρᾶξαι ἔφη, ἀλλὰ ξὺν τοῖς τότε ἀμφὶ Δαρεῖον οὖσιν, ὡς σωτηρίαν σφίσιν εὑρέσθαι παρ' Ἀλεξάνδρου. Ἀλέξανδρος δὲ, ἐπὶ τοῖσδε μαστιγοῦν ἐκέλευεν αὐτὸν, καὶ ἐπιλέγειν τὸν κήρυκα ταῦτα ἐκεῖνα, ὅσα αὐτὸς τῷ Βήσσῳ ἐν τῇ πύστει ὠνείδισε. Βῆσσος μὲν δὴ οὕτως αἰκισθεὶς, ἀποπέμπεται ἐς Βάκτρα ἀποθανούμενος. καὶ ταῦτα Πτολεμαῖος ὑπὲρ Βήσσου ἀναγέγραφεν. Ἀριστόβουλος δὲ, τοὺς ἀμφὶ Σπιταμένην τε καὶ Δαταφέρνην, Πτολεμαίῳ ἀγαγεῖν Βῆσσον, καὶ παραδοῦναι Ἀλεξάνδρῳ γυμνὸν ἐν κλοιῷ δήσαντας. Ἀλέ- B ξανδρος δὲ ἀναπληρώσας τὸ ἱππικὸν ἐκ τῶν αὐτόθεν ἵππων (πολλοὶ γὰρ αὐτῷ ἵπποι ἔν τε τῇ ὑπερβολῇ τοῦ Καυκάσου, καὶ ἐν τῇ ἐπὶ τὸν Ὦξόν τε καὶ ἀπὸ τοῦ Ὤξου πορείᾳ ἐξέλιπον) ὡς ἐπὶ Μαράκανδα ἦγε. τὰ δέ ἐστι βασίλεια τῆς Σογδιανῆς χώρας. ἐνθένδε ἐπὶ τὸν Τάναϊν ποταμὸν προῄει. τῷ δὲ Ταναΐδι τούτῳ, ὃν δὴ καὶ Ὀρξάντην ἄλλῳ ὀνόματι πρὸς τῶν ἐπιχωρίων βαρβάρων καλεῖσθαι λέγει Ἀριστόβουλος, αἱ πηγαὶ μὲν ἐκ τοῦ Καυκάσου ὄρους καὶ αὐτῷ εἰσίν· ἐξίησι δὲ καὶ οὗτος ὁ ποταμὸς ἐς τὴν Ὑρκανίαν θάλασσαν. ἄλλος δ' ἂν εἴη Τάναϊς, C ὑπὲρ ὅτου λέγει ὁ Ἡρόδοτος ὁ λογοποιὸς, ὄγδοον εἶναι τὸν ποταμὸν τὸν Σκυθικὸν Τάναϊν, καὶ ῥέειν μὲν ἐκ λίμνης μεγάλης ἀνίσχοντα, ἐκδιδόναι δὲ ἐς λίμνην ἔτι μείζω τὴν καλουμένην Μαιῶτιν. καὶ τὸν Τάναϊν τοῦτον εἰσὶν οἳ ὅρον ποιοῦσι τῆς Ἀσίας καὶ τῆς Εὐρώπης· οἷς δὴ ἀπὸ τοῦ μυχοῦ τοῦ πόντου τοῦ Εὐξείνου ἥ λίμνη τε ἡ Μαιῶτις, καὶ ὁ ἐς ταύτην ἐξιὼν ποταμὸς ὁ Τάναϊς οὗτος, διείργει τὴν Ἀσίαν τε καὶ τὴν Εὐρώπην, καθάπερ ἡ κατὰ Γάδειρά τε καὶ τοὺς ἀντιπέραν Γαδείρων Λίβυας τοὺς Νομάδας θάλασσα, τὴν Λιβύην αὖ καὶ τὴν Εὐ- D ρώπην διείργει· οἷς γε δὴ ἡ Λιβύη ἀπὸ τῆς Ἀσίας τῆς ἄλλης τῷ Νείλῳ ποταμῷ διακέκριται. ἐνταῦθα ἀποσκεδασθέντες τινὲς τῶν Μακεδόνων ἐς προνομὴν, κατακόπτονται πρὸς τῶν βαρβάρων. οἱ δὲ δράσαντες τὸ ἔργον, ἀπέφυγον ἐς ὄρος τραχύτατον, καὶ πάντη ἀπότομον. ἦσαν δὲ τὸ πλῆθος ἐς τρισμυρίους· καὶ ἐπὶ τούτους Ἀλέξανδρος τοὺς κουφοτάτους τῆς στρατιᾶς ἀναλαβὼν ἦγεν· ἔνθα δὴ προσβολαὶ πολλαὶ ἐγίγνοντο τοῖς Μακεδόσιν ἐς τὸ ὄρος. καὶ τὰ μὲν πρῶτα ἀπεκρούοντο, βαλλόμενοι ἐκ τῶν βαρβάρων· καὶ ἄλλοι τε πολλοὶ E τραυματίαι ἐγένοντο, καὶ αὐτὸς Ἀλέξανδρος ἐς τὴν κνήμην τοξεύεται διαμπὰξ, καὶ τῆς περόνης τι ἀποθραύεται αὐτῷ ἐκ τοῦ τοξεύματος. ἀλλὰ καὶ ὣς ἔλαβέ τε τὸ χωρίον, καὶ τῶν βαρβάρων οἱ μὲν αὐτοῦ κατεκόπησαν πρὸς τῶν Μακεδόνων, πολλοὶ δὲ καὶ κατὰ τῶν πετρῶν ῥίψαντες σφᾶς ἀπέθανον· ὥστε ἐκ τρισμυρίων οὐ πλείους ἀποσωθῆναι ὀκτακισχιλίων.

ΑΡΡΙΑΝΟΥ ΙΣΤΟΡΙΩΝ ΑΝΑΒΑΣΕΩΣ Ἀλεξάνδρου,

Βιβλίον τέταρτον.

Οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον, ἀφικνοῦνται παρ' Ἀλέξανδρον πρέσβεις, παρά τε Σκυθῶν τῶν Ἀβίων καλουμένων (οὓς καὶ Ὅμηρος δικαιοτάτους ἀνθρώπους εἰπὼν ἐν τῇ ποιήσει, ἐπῄνεσεν. οἰκοῦσι δὲ ἐν τῇ Ἀσίᾳ οὗτοι αὐτόνομοι, οὐχ ἥκιστα διὰ πενίαν τε καὶ δικαιότητα) καὶ παρὰ τῶν ἐκ τῆς Εὐρώπης Σκυθῶν, οἳ δὴ τὸ μέγιστον ἔθνος Σκυθικὸν ἐν τῇ Εὐρώπῃ ἐποικοῦσι. καὶ τούτοις ξυμπέμπει Ἀλέξανδρος τῶν ἑταίρων, πρόφασιν μὲν, κατὰ πρεσβείαν φιλίαν ξυνθησομένους· ὁ δὲ νοῦς τῆς πομπῆς, ἐς κατασκοπήν τι μᾶλλον ἔφερε, φύσεώς τε τῆς χώρας τῆς Σκυθικῆς, καὶ πλήθους αὐτῶν, καὶ νομαίων, καὶ ὁπλίσεων ἥντινα ἔχοντες στέλλονται ἐς τὰς μάχας. αὐτὸς δὲ πρὸς τῷ Ταναΐδι ποταμῷ ἐπενόει πόλιν οἰκίσαι, καὶ ταύτην ἑαυτοῦ ἐπώνυμον. ὅ, τε γὰρ χῶρος ἐπιτήδειος αὐτῷ ἐφαίνετο αὐξῆσαι τὴν πόλιν ἐπὶ μέγα, καὶ ὅτι ἐν καλῷ οἰκισθήσεσθαι τῆς ἐπὶ Σκύθας, εἴποτε ξυμβαίνοι, ἐλάσεως, καὶ τῆς προφυλακῆς τῆς χώρας πρὸς τὰς καταδρομὰς τῶν πέραν τοῦ ποταμοῦ ἐποικούντων βαρβάρων. ἐδόκει δ' ἂν καὶ μεγάλη γενέσθαι ἡ πόλις, πλήθει τε τῶν ἐς αὐτὴν ξυνοικιζομένων, καὶ τοῦ ὀνόματος τῇ λαμπρότητι. καὶ ἐν τούτῳ οἱ πρόσχωροι τῷ ποταμῷ βάρβαροι τούς τε τὰ φρούρια ἐν ταῖς πόλεσι σφῶν ἔχοντας στρατιώτας τῶν Μακεδόνων ξυλλαβόντες ἀπέκτειναν, καὶ τὰς πόλεις ἐς ἀσφάλειαν τινὰ μᾶλλον ὠχύρουν. ξυνεπελάβοντο δὲ αὐτοῖς τῆς ἀποστάσεως καὶ τῶν Σογδιανῶν οἱ πολλοὶ, ἐπαρθέντες πρὸς τῶν ξυλλαβόντων Βῆσσον. ὥστε καὶ τῶν Βακτριανῶν ἔστιν οὓς σφίσιν οὗτοι ξυναπέστησαν· εἴτε δὴ καὶ δείσαντες Ἀλέξανδρον, εἴτε καὶ λόγον ἐπὶ τῇ ἀποστάσει διδόντες, ὅτι ἐς ἕνα ξύλλογον ἐπηγγέλκει Ἀλέξανδρος ξυνελθεῖν τοὺς ὑπάρχους τῆς χώρας ἐκείνης, εἰς Ζαρίασπα τὴν μεγίστην πόλιν, ὡς ἐπ' ἀγαθῷ οὐδενὶ τοῦ ξυλλόγου γιγνομένου. ταῦτα ὡς ἀπηγγέλθη Ἀλεξάνδρῳ, παραγγείλας τοῖς πεζοῖς κατὰ λόχους κλίμακας ποιεῖσθαι, ὅσαι ἑκάστῳ λόχῳ ἐπηγγέλθησαν, αὐτὸς μὲν ἐπὶ τὴν πρώτην ἀπὸ τοῦ στρατοπέδου ὁρμηθεὶς πόλιν προυχώρει, ᾗ ὄνομα ἦν Γάζα. ἐς γὰρ ἑπτὰ πόλεις συμπεφευγέναι ἐλέγοντο οἱ ἐκ τῆς χώρας βάρβαροι. Κρατερὸν δ' ἐκπέμπει πρὸς τὴν καλουμένην Κυρούπολιν, ὥσπερ μεγίστην πασῶν· καὶ ἐς αὐτὴν οἱ πλεῖστοι ξυνειλεγμένοι ἦσαν τῶν βαρβάρων. παρήγγελτο δὲ αὐτῷ στρατοπεδεῦσαι πλησίον τῆς πόλεως, καὶ τάφρον τε ἐν κύκλῳ αὐτῆς ὀρύξαι, καὶ χάρακα περιβάλλεσθαι, καὶ τὰς μηχανὰς ὅσαις χρῆσθαι ξυμπηγνύναι· ὡς πρὸς τοὺς ἀμφὶ Κρατερὸν τὴν γνώμην τετραμμένοι οἱ ἐκ τῆς πόλεως ταύτης, ἀδύνατοι ὦσι ταῖς ἄλλαις πόλεσιν ἐπωφελεῖν. αὐτὸς δὲ ἐπὶ τὴν Γάζαν

ARRIANI HISTORIARVM DE EXPEDItione Alexandri,

Liber quartus.

PAVCIS pòſt diebus legati ad Alexandrum veniūt à Scythis, quos Abios vocant (quos & Homerus iuſtiſſimos mortalium appellās in ſuo opere laudat. hi Aſiam incolunt, nullis legibus ſubiecti, ob paupertatem nimirum cum iuſtitia cōiunctam) & à Scythis Europæis. maxima enim natio Scythica Europam colit. Cum his redeuntibus Alexander quoſdam ex amicis mittit, prætextu quidem amicitiæ per legationem componendæ: re autem vera non aliò ſpectabat hæc miſſio, quàm vt naturam Scythicæ regionis ſpecularentur, & quanta eſſet incolarum multitudo, qui mores, quáve armaturæ vtentes in pugnam prodirēt, cognoſcerent. Ipſe iuxta Tanaim fluuium vrbem condere ſtatuerat, eámq; ſuo de nomine vocare. Nam & ipſe locus percommodus videbatur ad vrbem amplificandam, & opportunam ſedem cenſebat ad expeditionem (ſiquando id res poſtularet) in Scythas faciēdam. tum etiam propugnaculum fore regionis aduerſus barbarorum qui cis flumen degebant incurſiones. Magnam autem vrbem fore, tum ex incolarum frequentiâ, tum ex nominis ſplendore, autumabat. Interea barbari fluuio finitimi Macedonum milites, qui in Scythicis vrbibus præſidio conſtituti erant, comprehenſos interficiūt, vrbéſque ſuas maioris ſecuritatis cauſa muniunt. Coniunxerant ſe illorum defectioni Sogdianorū plerique, ſollicitati ab iis qui Beſſum ceperāt. qui & Bactrianorum nonnullos ad ſe pertraxerunt: ſiue quòd Alexandrum timerent, ſiue rationē defectionis dantes, quòd Alexander præſidum illius prouinciæ conuentus ad Zariaſpa vrbem maximam indixiſſet. è quo quidem conuentu nihil boni ipſis ſperandum videbatur. Hæc vbi Alexādro nuntiata ſunt, quamprimùm vt pedites per ſingulas cohortes ſcalas parent iubet: ipſéque ad primam ab exercitu vrbem (Gazæ nomen erat) cum cōpiis tendit. Nam in ſeptem oppida barbari eius regionis confugiſſe ferebātur. Craterum Cyropolim mittit, vt omnium vrbium maximam, & in quam plurimi barbarorum ſe receperant. Huic imperat vt caſtra prope vrbem locet, foſſámque in orbem ducat, & vallo muniat, ac machinas quibus opus ſit componat: vt oppidani Cratero propulſando occupati, aliis vrbibus opem ferre non poſſent. Ipſe verò ſimulac Gazam

Curt. Alexander ad Tanaim amnem redit, & quātum ſoli occupauerāt caſtris, muro circundedit. LX ſtadiorum vrbis murus fuit.

peruenit, primo ſtatim impetu murum terreum alioqui & parum altum inuadi iubet, ſcalis omni ex parte admotis. Tum funditores & ſagittarij ac iaculatores ſimul cum peditibus impetum facientibus murorum propugnatores è machinis laceſſunt, telíſq; petunt. adeo vt præ nimia telorũ vi muro confeſtim propugnatoribus nudato, ſcalæ celeriter admotæ ſint, Macedonéſque murum conſcenderint. ac viros quidem omnes interimunt: (ita enim iuſſerat Alexander) mulieribus ac pueris, reliquáque præda direpta. Inde ad alteram ab hac vrbem ſtatim mouit, quæ eiuſdem cum Gaza ſtructuræ erat. eam quum eodem die cepiſſet, idem de captiuis quod de Gazæis ſtatuit. Tertiã deinde vrbem adortus, poſtero die primo impetu cepit. Interea verò dum ipſe has vrbes cum peditatu expugnat, equitatum ad alias duas vicinas vrbes mittit: iubens vt cauerẽt ne earum incolæ, vicinarũ vrbium expugnatione, ipſiúſque haud procul indè aduẽtu cognito, in fugã verſi, difficilem ſibi inſequẽdi rationẽ facerent. Et quidem ita vt cogitarat euenit, miſſióque equitũ neceſſaria fuit. Barbari enim qui duas alias vrbes nondum captas tenebant, conſpecto fumo incenſæ vrbis quæ ipſis ex aduerſo ſita erat, (& nonnulli etiam qui ex ea calamitate euaſerant captæ vrbis nuntium attulerant) quammaxima celeritate poterant confertim ex vrbibus diffugientes, in inſtructum equitum agmen incidunt, multíque eorum interfecti ſunt. His quinque oppidis biduo captis ac direptis, ad maximam illorum vrbem Cyripolim contendit. Erat hæc editiore muro quàm aliæ munita, vtpote à Cyro condita: quúmque plurimi bellicoſiſſimíque eius regionis barbari in eam cõfugiſſent, non perinde facilè primo impetu à Macedonibus capi potuit. Porro Alexander tormentis admotis, murũ quatere ſtatuerat, & qua parte perfractus fuiſſet impetum facere. Cæterùm vt vidit alueũ fluminis, quod vrbẽ torrẽtis inſtar plabitur, aqua vacuum tum temporis ſiccúmque eſſe, neque contiguum muro eſſe, ſed tranſitum militibus ad ſubeundum in vrbem præbere; aſſumptis corporis cuſtodibus, & ſcutatis ac ſagittariis, Agrianíſque: barbaris ad machinas carúmque propugnatores conuerſis, clã per alueum cum paucis primùm in vrbem ſubit, refractíſque interius portis quæ ex ea parte erant, facilè reliquos milites intromittit. Tum barbari vbi captam iam vrbem eſſe ſenſerunt, nihilominus tamen in Alexandri milites conuerſi, atrocem conflictum edunt. Alexander ipſe ſaxum capite & ceruice excepit, Craterus multíque alij ex ducibus ſagittis icti. Barbari tandem foro pulſi ſunt. Interea qui murũ oppugnabant, cum iam propugnatoribus vacuũ capiunt: & primo quidem tumultu captæ vrbis cæſi ſunt ex hoſtibus circiter octo millia. Reliqui (erant enim in vniuerſum octodecim millia eorum qui

Curt. Vrbẽ corona circumdedit, munitiorẽ quàm vt primo impetu capi poſſet.

A ἐπεὶ ἀφίκετο, ὡς εἶχεν, ἐξ ἐφόδου σημαίνει προσβάλλειν τῷ τείχει, γηΐνῳ τέ τινι καὶ οὐχ ὑψηλῷ ὄντι, προσθέντας ἐν κύκλῳ πάντοθεν τὰς κλίμακας. οἱ δὲ σφενδονῆται αὐτῷ, καὶ οἱ τοξόται καὶ οἱ ἀκοντισταὶ, ὁμοῦ τῇ ἐφόδῳ τῶν πεζῶν ἐσηκόντιζον εἰς τοὺς προμαχομένους ἀπὸ τοῦ τείχους, καὶ βέλη ἀπὸ μηχανῶν ἠφίετο. ὥστε ὀξέως μὲν ἀπὸ τοῦ πλήθους τῶν βελῶν ἐγυμνώθη τὸ τεῖχος τῶν προμαχομένων, ταχεῖα δὲ ἡ πρόσθεσις τῶν κλιμάκων καὶ ἡ ἀνάβασις τῶν Μακεδόνων ἡ ἐπὶ τὸ τεῖχος ἐγίγνετο. τοὺς μὲν δὴ ἄνδρας πάντας ἀπέκτειναν, οὕτως πρὸς Ἀ-
B λεξάνδρου προστεταγμένον· γυναῖκας δὲ καὶ παῖδας καὶ τὴν ἄλλην λείαν διήρπασαν. ἐνθένδε εὐθὺς ἦγεν ἐπὶ τὴν δευτέραν ἀπ᾽ ἐκείνης πόλιν ᾠκισμένην, καὶ ταύτην τῷ αὐτῷ τε τρόπῳ, καὶ τῇ αὐτῇ ἡμέρᾳ λαμβάνει, καὶ τοὺς ἁλόντας τὰ αὐτὰ ἔπραξεν. ὁ δὲ ἦγεν ἐπὶ τὴν τρίτην πόλιν, καὶ ταύτην τῇ ὑστεραίᾳ ἐπὶ τῇ πρώτῃ προσβολῇ εἷλεν. ἐν ᾧ δὲ αὐτὸς ξὺν τοῖς πεζοῖς ἀμφὶ ταῦτα εἶχε, τοὺς ἱππέας ἐκπέμπει ἐς τὰς δύο τὰς πλησίον πόλεις, προστάξας παραφυλάττειν τοὺς ἀνθρώπους τοὺς ἔνδον, μήποτε τὴν ἅλωσιν αἰσθόμενοι τῶν πλη-
C σίον πόλεων, καὶ ἅμα τὴν αὐτοῦ οὐ διὰ μακροῦ ἔφοδον, ἐς φυγὴν τραπέντες ἄποροι αὐτῷ διώκειν γένωνται. καὶ ξυνέβη δὲ ὅπως εἴκασε, καὶ ἐν δέοντι ἐγένετο αὐτῷ ἡ πομπὴ τῶν ἱππέων. οἱ γὰρ τὰς δύο τὰς οὔπω ἑαλωκυίας πόλεις ἔχοντες τῶν βαρβάρων, ὡς καπνόν τε εἶδον ἀπὸ τῆς πρὸ σφῶν πόλεως ἐμπιπραμένης, καί τινες ἀπὸ τοῦ πάθους αὐτοῦ διαφυγόντες, αὐτάγγελοι τῆς ἁλώσεως ἐγένοντο· ὡς τάχους ἕκαστοι εἶχον, ἀθρόοι ἐκ τῶν πόλεων φεύγοντες, ἐμπίπτουσιν εἰς τὸ στῖφος τῶν ἱππέων ξυντεταγμένον, καὶ κατεκόπη-
D σαν οἱ πλεῖστοι αὐτῶν. οὕτω δὴ τὰς πέντε πόλεις ἐν δυσὶν ἡμέραις ἑλών τε καὶ ἐξανδραποδισάμενος, ᾔει ἐπὶ τὴν μεγίστην αὐτῶν τὴν Κυρούπολιν. ἡ δὲ τετειχισμένη τε ἦν ὑψηλοτέρῳ τείχει ἤπερ αἱ ἄλλαι, οἷα δὴ ὑπὸ Κύρου οἰκισθεῖσα, καὶ τοῦ πλείστου καὶ μαχιμωτάτου τῶν ταύτῃ βαρβάρων ἐς ταύτην συμπεφευγότος, οὐχ ὡσαύτως ῥᾳδία ἐξ ἐφόδου ἑλεῖν τοῖς Μακεδόσιν ἐγίγνετο. ἀλλὰ μηχανὰς γὰρ προσάγων τῷ τείχει Ἀλέξανδρος, ταύτῃ μὲν κατασείειν ἐπενόει τὸ τεῖχος, καὶ κατὰ τὸ ἀεὶ παραρρηγνύμενον αὐτοῦ τὰς προσβολὰς ποιεῖ-
E σθαι. αὐτὸς δὲ ὡς κατεῖδε τοὺς ἔκρους τοῦ ποταμοῦ, ὃς διὰ τῆς πόλεως χειμάρρους ὢν διέρχεται, ξηροὺς ἐν τῷ τότε ὕδατος, καὶ οὐ ξυνεχεῖς τοῖς τείχεσιν, ἀλλ᾽ οἵους παρασχεῖν πάροδον τοῖς στρατιώταις διαδῦναι ἐς τὴν πόλιν· ἀναλαβὼν τούς τε σωματοφύλακας, καὶ τοὺς ὑπασπιστὰς, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας· τετραμμένων τῶν βαρβάρων πρὸς τὰς μηχανὰς, καὶ τοὺς ταύτῃ προμαχομένους, λανθάνει κατὰ τοὺς ἔκρους ξὺν ὀλίγοις τὸ πρῶτον παρελθὼν ἐς τὴν πόλιν. ἀναρρήξας δὲ ἔνδοθεν τῶν πυλῶν, αἳ κατὰ τοῦτο τὸ χωρίον ἦσαν, δέχεται καὶ τοὺς ἄλλους στρα-
F τιώτας εὐπετῶς. ἔνθα δὴ οἱ βάρβαροι ἐχομένην ἤδη τὴν πόλιν αἰσθόμενοι, ἐπὶ τοὺς ἀμφ᾽ Ἀλέξανδρον ὅμως ἐτράπησαν, καὶ γίνεται προσβολὴ αὐτῶν καρτερά. καὶ βάλλεται λίθῳ αὐτὸς Ἀλέξανδρος βιαίως τήν τε κεφαλὴν καὶ τὸν αὐχένα, καὶ Κρατερὸς τοξεύματι, καὶ πολλοὶ ἄλλοι τῶν ἡγεμόνων. ἀλλὰ καὶ ὣς ἐξέωσαν ἐκ τῆς ἀγορᾶς τοὺς βαρβάρους· καὶ ἐν τούτῳ οἱ κατὰ τὸ τεῖχος προσβεβληκότες, ἔρημον ἤδη τὸ τεῖχος τῶν προμαχομένων αἱροῦσιν. ἐν μὲν δὴ τῇ πρώτῃ καταλήψει τῆς πόλεως ἀπέθανον τῶν πολεμίων μάλιστα ἐς ὀκτακισχιλίους·

οἱ δὲ λοιποὶ (ἦσαν γὰρ οἱ πάντες ἐς μυρίους καὶ ὀκτακισχιλίους οἱ ξυνεληλυθότες) καταφεύγουσιν ἐς τὴν ἄκραν. καὶ τούτους περιστρατοπεδεύσας Ἀλέξανδρος, ἡμέραν μίαν ἐφρούρησεν· οἱ δὲ ἐνδείᾳ ὕδατος ἐνεχείρισαν σφᾶς Ἀλεξάνδρῳ. τὴν δὲ ἑβδόμην πόλιν ἐξ ἐφόδου ἔλαβε. Πτολεμαῖος μὲν λέγει ὅτι αὐτοὺς σφᾶς ἐνδόντας· Ἀριστόβουλος δὲ, ὅτι βίᾳ καὶ ταύτην ἐξεῖλε, καὶ ὅτι πάντας τοὺς καταληφθέντας ἐν αὐτῇ ἀπέκτεινε. Πτολεμαῖος δὲ καταννεῖμαι λέγει αὐτὸν τοὺς ἀνθρώπους τῇ στρατιᾷ, καὶ δεδεμένους κελεῦσαι φυλάττεσθαι, ἔστ' ἂν ἐκ τῆς χώρας ἀπαλλάττηται αὐτός· ὡς μηδένα ἀπολείπεσθαι τῶν τὴν ἀπόστασιν πραξάντων. ἐν τούτῳ δὲ τῶν ἐκ τῆς Ἀσίας Σκυθῶν στρατιὰ ἀφικνεῖται πρὸς τὰς ὄχθας τοῦ ποταμοῦ τοῦ Ταναΐδος· ἀκούσαντες οἱ πολλοὶ αὐτῶν ὅτι ἔστιν οἳ καὶ τῶν ἐπέκεινα τοῦ ποταμοῦ βαρβάρων ἀπ' Ἀλεξάνδρου ἀφεστᾶσιν· ὡς εἰ δή τι λόγου ἂν ἄξιον νεωτερίζοιτο, καὶ αὐτοὶ ἐπιθησόμενοι τοῖς Μακεδόσι. καὶ οἱ ἀμφὶ Σπιταμένην δὲ ἀπηγγέλθη ὅτι τοὺς ἐν Παρακάδοις καταλειφθέντας ἐν τῇ ἄκρᾳ, πολιορκοῦσιν. ἔνθα δὴ Ἀλέξανδρος ἐπὶ μὲν τοὺς ἀμφὶ Σπιταμένην, Ἀνδρόμαχόν τε ἀποστέλλει καὶ Μενέδημον, καὶ Κάρανον, ἱππέας μὲν ἔχοντας τῶν ἑταίρων ὡς ἑξήκοντα, καὶ τῶν μισθοφόρων ὀκτακοσίους, ὧν Κάρανος ἡγεῖτο· πεζοὺς δὲ μισθοφόρους ἐς χιλίους πεντακοσίους. ἐπιτάσσει δὲ αὐτοῖς Φαρνούχην τὸν ἑρμηνέα, τὸ μὲν γένος Λύκιον, ἔμπειρον δὲ τῆς τε φωνῆς τῶν ταύτῃ βαρβάρων ἔχοντα, καὶ τὰ ἄλλα ὁμιλῆσαι αὐτοῖς δεξιὸν φαινόμενον. αὐτὸς δὲ τὴν πόλιν, ἣν ἐπενόει, τειχίσας ἐν ἡμέραις εἴκοσι, καὶ ξυνοικίσας ἐς αὐτὴν τῶν τε Ἑλλήνων μισθοφόρων, καὶ ὅστις τῶν προσοικούντων βαρβάρων ἐθελοντὴς μετέσχε τῆς ξυνοικίσεως, καί τινας καὶ τῶν ἐκ τοῦ στρατοπέδου Μακεδόνων, ὅσοι ἀπόμαχοι ἤδη ἦσαν· θύσας τοῖς θεοῖς ὡς νόμος αὐτῷ, καὶ ἀγῶνα ἱππικόν τε καὶ γυμνικὸν ποιήσας, ὡς οὐκ ἀπαλλασσομένους ἑώρα τοὺς Σκύθας ἀπὸ τῆς ὄχθης τοῦ ποταμοῦ, ἀλλ' ἐκτοξεύοντες ἐς τὸν ποταμὸν ἑωρῶντο, οὐ πλατὺν ταύτῃ ὄντα, καί τινα καὶ πρὸς ὕβριν τοῦ Ἀλεξάνδρου βαρβαρικῶς ἐθρασύνοντο· ὡς οὐκ ἂν τολμήσοντα Ἀλέξανδρον ἅψασθαι Σκυθῶν, ἢ μαθόντα ἂν ὅ, τι περ τὸ διάφορον Σκύθαις τε καὶ τοῖς Ἀσιανοῖς βαρβάροις· ὑπὸ τούτων παροξυνόμενος, ἐπενόει διαβαίνειν ἐπ' αὐτούς, καὶ τὰς διφθέρας παρεσκεύαζεν ἐπὶ τῷ πόρῳ. θυομένῳ δὲ ἐπὶ τῇ διαβάσει, τὰ ἱερὰ οὐκ ἐγίγνετο. ὁ δὲ βαρέως μὲν ἔφερεν οὐ γιγνομένων· ὅμως δὲ ἐκαρτέρει, καὶ ἔμενεν. ὡς δὲ οὐκ ἀνίεσαν οἱ Σκύθαι, αὖθις ἐπὶ τῇ διαβάσει ἐθύετο· καὶ αὖ ἐς κίνδυνον αὐτῷ σημαίνεσθαι Ἀρίστανδρος ὁ μάντις ἔφραζεν. ὁ δὲ κρεῖσσον ἔφη ἐς ἔσχατον κινδύνου ἐλθεῖν, ἢ κατεστραμμένον ξύμπασαν ὀλίγου δεῖν τὴν Ἀσίαν, γέλωτα εἶναι Σκύθαις, καθάπερ Δαρεῖος ὁ Ξέρξου πατὴρ πάλαι ἐγένετο. Ἀρίστανδρος δὲ οὐκ ἔφη παρὰ τὰ ἐκ τοῦ θείου σημαινόμενα ἄλλα ἀποδείξασθαι, ὅτι ἄλλα ἐθέλει ἀκοῦσαι Ἀλέξανδρος. ὁ δὲ, ὡς αἵ τε διφθέραι αὐτῷ παρεσκευασμέναι ἦσαν ἐπὶ τῷ πόρῳ, καὶ ὁ στρατὸς ἐξωπλισμένος ἐφειστήκει τῷ ποταμῷ, αἵ τε μηχαναὶ ἀπὸ ξυνθήματος ἐξηκόντιζον ἐς τοὺς Σκύθας παριππεύοντας ἐπὶ τῇ ὄχθῃ· καὶ ἔστιν οἳ αὐτῶν ἐτιτρώσκοντο ἐκ τῶν βελῶν, εἷς δὲ διὰ τοῦ γέρρου

conuenerant) in arcem confugerunt. Quos quum Alexander vno die obſeſſos tenuiſſet, aquarum inopia preſſi deditionem fecerũt. Septimam vrbem primo inſultu cepit: deditione quidem, vt Ptolemæus ſcribit: Ariſtobulus verò etiam hanc vi captam tradit, omnéſque in ea cõprehenſos, interfectos fuiſſe. Ptolemæus captiuos in exercitum diſtributos narrat, vinctóſque cuſtodiri iuſſos, donec ipſe ex ea regione diſcederet: ne quis eorum qui defectionem fecerant relinqueretur. Dum hæc geruntur, Scytharum Aſiaticorum exercitus ad ripas Tanaïs fluuij venit, quòd audiſſent nonnullos barbarorum trans flumen incolentes ab Alexandro defeciſſe: vt ſi qua inſignis defectio fieret, ipſi quoque in Macedones irruerent. Eodem tempore nuntiatum eſt, Spitamenem eos qui Paracadis in arce relicti erant obſidere. Itaque Alexãder aduerſus Spitamenem, Andromachum mittit, & Menedemum, ac Caranum, cúmque his equites ex ſociis ſexaginta, ex mercenariis octingentos, quos ducebat Caranus, pedites autem mercenarios mille quingentos. His adiungit Pharnuchẽ interpretem, Lycium genere, qui barbarorum linguam callebat, aptúſque qui cum iis ageret videbatur. Ipſe vrbem, quam condere ſtatuerat, viginti dierum ſpatio muro circumplexus, eam Græcis mercenariis habitandam dat, & finitimis barbaris quibus ſua ſponte eò commigrandi voluntas fuit, nonnullis etiam Macedonibus, qui inepti bello erant. Deinde facto diis ſacrificio pro more ſuo, & certamine equeſtri ac gymnico edito, quum Scythas à flumine non recedere cerneret, ſed trans flumen (cuius exigua erat ea parte latitudo) tela mittere, nonnulla etiam probra in Alexandrum barbarico more iacere: nimirum non audere Alexandrum cum Scythis congredi, aut, ſi faciat, experturum quantum inter Scythas & barbaros Aſiaticos interſit: his rebus irritatus Alexander, tranſire in eos ſtatuit, pelléſque ad traiiciendum parari iubet. "Facto igitur pro tranſitu ſacrificio, exta nihil proſperi portenderunt. quod quidem grauiter tulit, patienter tamen ſuſtinuit, ibíque moram fecit. Scythis verò à contumelia non deſiſtentibus, rurſus pro tranſitu ſacrificium fecit. quúmque Ariſtander vates "periculum portendi diceret, Alexander reſpondit, Satius eſſe extremum periculum adire, "quàm ſe, tota pene Aſia ſubacta, Scythis ludibrio eſſe, quemadmodum Darius Xerxis pater olim fuiſſet." Ariſtander contrà, non alia quàm quæ diuinitus portẽdebantur declaraturum ſe reſpondit, tametſi Alexander alia audire mallet. Alexander nihilominus, paratis iam ad tranſitum pellibus, exercitúque armato ad amnem ſtante, tormentis tela, ſigno dato, in Scythas ad ripam obequitantes excuti iubet. ac nonnulli quidem Scythæ telorum iactu vulnerati ſunt: vnus ſcutum & thoracem traiectus, ex equo

Curt. Ariſtandrum, cui credulitatem ſuam ad dixerat, explorare euentus rerũ ſacrificiis iubet.

Curt. Deos obſtare cõſilio, magnúmque periculum, ſi flumen tranſiſſet, oſtẽdi.

Curt. Ariſtander occurrerat, triſtia exta fuiſſe ſignificans.

Cur. Et vt territos recipiētesq; equos videre, alacres mutua adhortatione in terrā desilire. Turbatis acriter pedem inferre cœperunt.

procidit. At barbari, longinquo telorum iactu, & ſtrenui illius viri cæde perterriti, parumper à ripa retroceſſerunt. Alexander illos telorum iactu perturbatos conſpicatus, tubis clangentibus flumen tranſit. atque ipſum præeuntem reliquus exercitus ſubſequutus eſt: ac primùm quidem ſagittariis & funditoribus tranſmiſsis, fundis teliſq; Scythas laceſſere iubet, ne in phalangem tranſeuntē irruerēt, priuſquam vniuerſus equitatus trāſmiſſus eſſet. Qúumque iam omnes in vlteriorem ripam euaſiſſent, primùm quidem equitum ſociorum agmen vnum, & eorum qui ſariſſas geſtant cohortes quatuor in Scythas immiſit. quorum impetum ſuſtinentes Scythæ, atque equitatu cingētes, multi paucos premebant, ſimúlq; facilè ſe recipiebant. Alexander ſagittarios atq; Agrianos, alióſq; expeditos quibus præerat Balacrus, equitibus permiſcens, in Scythas immittit. iiſque inter ſe congreſsis, tria equitum ſociorum agmina, equitéſque iaculatores omnes in eos ferri iubet: ipſe reliquum equitatū ducēs ex aduerſo in eos contendit. Iámque non amplius equitatum in orbem vt antea ducere poterant. Simul enim & equitatus eos premebat, atque expediti equitibus miſti, equitatum tutò circumducere non ſinebant. Tum manifeſta Scytharum fuga fit, cæſis circiter mille, & in iis vno ex ducibus Satrace, captis CL. Qúumque fugientes Scythas in ſummo æſtu acerrimè inſequerentur, vniuerſus exercitus magna ſiti laborauit. Ipſe etiam Alexander aqua, qualem ea regio fert, vitioſa nimirum, epota, vehementi profluuio alui correptus eſt. quæ res Macedones ab inſequendis hoſtibus remorata fuit. Omnes alioqui, meo iudicio, ea in fuga interiiſſent, niſi Alexander corpore malè affecto fuiſſet. Ipſe in ſummum vitæ diſcrimen adductus, retro in caſtra relatus eſt: atque ita Ariſtandri vaticinium euenit. Haud multo pòſt legati à rege Scytharum ad Alexandrum veniunt, factum excuſaturi: Non eſſe ei illata arma communi totius gentis Scythicæ cōſilio, ſed ab iis qui latronum more ex rapto viuerent. ſe imperata facere velle. Alexander huic humaniter reſpōdet: quia neque honeſtum putabat, ſi excuſationem illius ſuſpectam haberet, prælio rem non decernere: neque opportunum ſibi videbatur eo tempore prælium committere. At qui Maracādis in arce obſidebātur Macedones, quum Spitamenes cum ſuis copiis impetum in eos feciſſet, excurſione facta, nonnullos hoſtium interfecerunt, reliquos omnes repulerunt, ipſique incolumes in arcem ſeſe receperunt. Poſtquam verò Spitameni nuntiatum eſt eos qui in Maracanda auxilio obſeſsis miſsi fuerant, appropinquare, relicta obſidione arcis, ad Sogdianæ prouinciæ regiam contendit. Pharnuches autem & qui cum eo erant, illum ad fines Sogdianæ regionis profligare nitentes, fugientem inſequebatur, & in Nomades Scythas præter opinionem ſimul incidunt. Spitamenes aſſumptis circiter ſexcētis equitibus Scythis, ſtatuit Macedonum inſultum, Scythico auxilio fretus, excipere, aciéque ad Scythicam ſolitu-

Fac. Scytharum paſtores temerè adortus eſt.

A καὶ τοῦ θώρακος διαμπὰξ πληγεὶς, πίπτει ἀπὸ τοῦ ἵππου. οἱ μὲν ἐξεπλάγησαν πρός τε τῶν βελῶν τὴν διὰ μακροῦ ἄφεσιν, καὶ ὅτι ἀνὴρ ἀγαθὸς αὐτοῖς τετελευτήκει, καὶ ὀλίγον ἀνεχώρησαν ἀπὸ τῆς ὄχθης. Ἀλέξανδρος δὲ τεταραγμένους πρὸς τὰ βέλη ἰδὼν, ὑπὸ σαλπίγγων ἐπέρα τὸν ποταμὸν, αὐτὸς ἡγούμενος· εἵπετο δὲ αὐτῷ καὶ ἡ ἄλλη στρατιά. πρῶτον μὲν δὴ τοὺς τοξότας καὶ σφενδονήτας ἀποβιβάσας, σφενδονᾶν καὶ τοξεύειν ἐκέλευσεν ἐς τοὺς Σκύθας, ὡς μὴ πελάζειν αὐτοὺς τῇ φάλαγγι τῶν πεζῶν ἐκβαινούσῃ, πρὶν τὴν ἵππον αὐτῷ διαβῆναι πᾶσαν. ὡς δὲ ἀθρόοι ἐπὶ τῇ ὄχθῃ ἐ-
B γένοντο, ἀφῆκεν ἐπὶ τοὺς Σκύθας, τὸ μὲν πρῶτον μίαν ἱππαρχίαν τῶν ξένων, καὶ τῶν σαρισσοφόρων ἴλας τέσσαρας. καὶ τούτους δεξάμενοι οἱ Σκύθαι, καὶ ἐς κύκλους περιϊππεύοντες, ἔβαλλόν τε πολλοὶ ὀλίγους, καὶ αὐτοὶ οὐ χαλεπῶς διεφύγανον. Ἀλέξανδρος δὲ τούς τε τοξότας καὶ τοὺς Ἀγριανας, καὶ τοὺς ἄλλους ψιλοὺς ὧν Βάλακρος ἦρχεν, ἀναμίξας τοῖς ἱππεῦσιν, ἐπῆγεν ἐπὶ τοὺς Σκύθας. ὡς δὲ ὁμοῦ ἤδη ἐγίνοντο, ἐλάσαι ἐκέλευσεν ἐς αὐτοὺς τῶν τε ἑταίρων τρεῖς ἱππαρχίας, καὶ τοὺς ἱππακοντιστὰς ξύμπαντας. καὶ αὐτὸς δὲ τὴν λοιπὴν ἵππον ἄγων, ὀξέως ἐ-
C νέβαλεν ὀρθίαις ταῖς ἴλαις. οὔκουν ἔτι οἷοί τε ἦσαν ἐξελίσσειν τὴν ἱππασίαν ἐς κύκλους, ὡς πρόσθεν ἔτι. ὁμοῦ μὲν γὰρ ἡ ἵππος προσέκειτο αὐτοῖς, ὁμοῦ δὲ οἱ ψιλοὶ ἀναμεμιγμένοι τοῖς ἱππεῦσιν οὐκ εἴων τὰς ἐπιστροφὰς ἀσφαλεῖς ποιεῖσθαι. ἔνθα λαμπρὰ ἤδη φυγὴ τῶν Σκυθῶν ἦν. καὶ πίπτουσι μὲν ἐς χιλίους, καὶ εἷς τῶν ἡγεμόνων Σατράκης· ἑάλωσαν δὲ ἐς ἑκατὸν καὶ πεντήκοντα. ὡς δὲ ἡ δίωξις ὀξεῖά τε καὶ διὰ καύματος πολλοῦ ταλαιπώρως ἐγίγνετο, δίψει τε ἡ στρατιὰ πᾶσα εἴχετο· καὶ αὐτὸς Ἀλέξανδρος ἐλαύνων, πίνει ὁποῖον ἦν ὕδωρ ἐν τῇ γῇ ἐκεί-
D νῃ. καὶ (ἦν γὰρ πονηρὸν τὸ ὕδωρ) ῥεῦμα ἀθρόον κατασκήπτει αὐτῷ ἐς τὴν γαστέρα. καὶ ἐπὶ τῷδε ἡ δίωξις οὐκ ἐπὶ πάντων Σκυθῶν ἐγένετο· εἰ δὲ μὴ, δοκοῦσιν ἄν μοι καὶ πάντες διαφθαρῆναι ἐν τῇ φυγῇ, εἰ μὴ Ἀλεξάνδρῳ τὸ σῶμα ἔκαμε, καὶ αὐτὸς ἐς ἔσχατον κινδύνου ἐλθὼν, ἐκομίσθη ὀπίσω ἐς τὸ στρατόπεδον. καὶ οὕτω ξυνέβη ἡ μαντεία Ἀριστάνδρῳ. ὀλίγον δὲ ὕστερον παρὰ τοῦ βασιλέως Σκυθῶν ἀφικνοῦνται παρ' Ἀλέξανδρον πρέσβεις, ὑπὲρ τῶν πραχθέντων ἐς ἀπολογίαν ἐκπεμφθέντες, ὅτι οὐκ ἀπὸ τοῦ κοινοῦ τῶν Σκυθῶν ἐπράχθη, ἀλλὰ καθ' ἁρπαγὴν λῃστρικῷ τρόπῳ
E σταλέντων, καὶ αὐτὸς ὅτι ἐθέλει ποιεῖν τὰ ἐπαγγελλόμενα. καὶ τούτῳ φιλανθρώπως ἐπιστέλλει Ἀλέξανδρος· ὅτι οὔτε ἀπιστοῦντα μὴ ἐπεξιέναι καλὸν αὐτῷ ἐφαίνετο, οὔτε κατὰ καιρὸν ἦν ἐν τῷ τότε ἐπεξιέναι. οἱ δ' ἐν Μαρακάνδοις ἐν τῇ ἄκρᾳ φρουρούμενοι Μακεδόνες, προσβολῆς γενομένης τῇ ἄκρᾳ ἐκ Σπιταμένους τε καὶ τῶν ἀμφ' αὐτὸν, ἐπεκδραμόντες ἀπέκτεινάν τε τῶν πολεμίων ἔστιν οὓς, καὶ ἀπώσαντο ξύμπαντας· καὶ αὐτοὶ ἀπαθεῖς ἀπεχώρησαν ἐς τὴν ἄκραν. ὡς δὲ καὶ οἱ ὑπ' Ἀλεξάνδρου ἐσταλμένοι ἐς Μαράκανδα, ἤδη προσάγοντες Σπιταμένει ἐξηγ-
F γέλλοντο, τὴν μὲν πολιορκίαν ἐκλείπει τῆς ἄκρας· αὐτὸς δὲ ὡς ἐς τὰ βασίλεια τῆς Σογδιανῆς ἀνεχώρει. Φαρνούχης δὲ καὶ οἱ ξὺν αὐτῷ σπεύδοντες ἐξελάσαι αὐτὸν παντάπασιν ἐπί τε τὰ ὅρια τῆς Σογδιανῆς, ξυνείποντο ὑποχωροῦντι, καὶ εἰς τοὺς νομάδας τοὺς Σκύθας οὐδενὶ λογισμῷ ξυνεσβάλλουσιν. ἔνθα δὴ προσλαβὼν ὁ Σπιταμένης τῶν Σκυθῶν ἱππέων ἐς ἑξακοσίους, προσεπήρθη ὑπὸ τῆς ξυμμαχίας τῆς Σκυθικῆς δέξασθαι ἐπιόντας τοὺς Μακεδόνας. παραταξάμενος δὲ ἐν χωρίῳ ὁμαλῷ πρὸς τῇ ἐρή-

μῳ τῆς Σκυθικῆς, ὑπομεῖναι μὲν τοὺς πολεμίους, ἢ αὐτὸς ἐς αὐτοὺς ἐμβαλεῖν οὐκ ἤθελε· περιϊππεύων δὲ, ἐτόξευεν ἐς τὴν φάλαγγα τῶν πεζῶν· καὶ ἐπελαυνόντων αὐτοῖς τῶν ἀμφὶ Φαρνούχην, ἔφευγον εὐπετῶς, οἷα δὴ ὠκυτέρων τε αὐτοῖς ἐν τῷ τότε καὶ ἀκμαιοτέρων ὄντων τῶν ἵππων. τοῖς δ' ἀμφὶ Ἀριστόμαχον, ὑπό τε τῆς ξυνεχοῦς πορείας, καὶ ἅμα χιλοῦ ἀπορίᾳ, κεκάκωντο οἱ ἵπποι. μένουσι δὲ ἢ ὑποχωροῦσιν ἐπέκειντο εὐρώστως οἱ Σκύθαι. ἔνθα δὴ πολλῶν μὲν τιτρωσκομένων ἐκ τῶν τοξευμάτων, ἔστι δ' ὧν καὶ πιπτόντων, ἐς πλαίσιον ἰσόπλευρον τάξαντες τοὺς στρατιώτας, ἀνεχώρουν ὡς ἐπὶ τὸν ποταμὸν τὸν Πολυτίμητον, ὅτι νάπος ταύτῃ ἦν· ὡς μή τι τοῖς βαρβάροις εὐπετὲς ἔτι εἶναι ἐκτοξεύειν ἐς αὐτοὺς, σφίσι τε οἱ πεζοὶ ὠφελιμώτεροι ὦσι. Κάρανος δὲ ὁ ἱππάρχης, οὐκ ἀνακοινώσας Ἀνδρομάχῳ, διαβαίνειν ἐπεχείρησε τὸν ποταμὸν, ὡς ἀσφαλὲς ταύτῃ καταστήσων τὴν ἵππον. καὶ οἱ πεζοὶ αὐτῷ ἐπηκολούθησαν, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ φοβερά τε καὶ οὐδενὶ κόσμῳ ἐγένετο αὐτοῖς ἡ ἐς τὸν ποταμὸν ἔσβασις κατὰ κρημνώδεις τὰς ὄχθας. καὶ οἱ βάρβαροι αἰσθόμενοι τὴν ἁμαρτίαν τῶν Μακεδόνων, αὐτοῖς ἵπποις ἔνθεν καὶ ἔνθεν ἐσβάλλουσιν ἐς τὸν πόρον. καὶ οἱ μὲν, αὐτῶν ἤδη διαβεβηκότων καὶ ἀποχωρούντων εἴχοντο, οἱ δὲ τοὺς διαβαίνοντας ἀντιμέτωποι ταχθέντες, ἀνήρουν ἐς τὸν ποταμόν· οἱ δὲ ἀπὸ τῶν πλαγίων ἐξετόξευον ἐς αὐτούς· οἱ δὲ, τοῖς ἔτι ἐσβαίνουσιν ἐπέκειντο. ὥστε ἀπορίᾳ πάντοθεν ξυνεχόμενοι οἱ Μακεδόνες, ἐς νῆσόν τινα τῶν ἐν τῷ ποταμῷ ξυμφεύγουσιν οὐ μεγάλην. καὶ περιστάντες αὐτοὺς οἱ Σκύθαι τε καὶ οἱ ξὺν Σπιταμένει ἱππεῖς ἐν κύκλῳ, πάντας κατετόξευσαν· ὀλίγους δὲ ἠνδραπόδισαν το αὐτῶν, καὶ τούτους πάντας ἀπέκτειναν. Ἀριστόβουλος δὲ ἐνέδρᾳ τὸ πολὺ τῆς στρατιᾶς διαφθαρῆναι λέγει, τῶν Σκυθῶν ἐν παραδείσῳ κρυφθέντων, οἳ ἐκ τοῦ ἀφανοῦς ἐπεγένοντο τοῖς Μακεδόσιν ἐν αὐτῷ τῷ ἔργῳ, ἵνα τὸν μὲν Φαρνούχην παραχωρῆσαι τῆς ἡγεμονίας τοῖς ξυμπεμφθεῖσι Μακεδόσιν, ὡς οὐκ ἔμπειρος ἔχοντα ἔργων πολεμικῶν, ἀλλ' ἐπὶ τῷ καθομιλῆσαι τοὺς βαρβάρους μᾶλλόν τι πρὸς Ἀλεξάνδρου, ἢ ἐπὶ τῷ ἐν ταῖς μάχαις ἐξηγεῖσθαι, ἐσταλμένον· τοὺς δὲ, Μακεδόνας τε εἶναι καὶ ἑταίρους βασιλέως. Ἀνδρόμαχον δὲ καὶ Κάρανον, καὶ Μενέδημον, οὐ δέξασθαι τὴν ἡγεμονίαν· τὸ μέντοι, ὡς μὴ δοκεῖν παρὰ τὰ ἐπηγγελμένα ὑπὸ Ἀλεξάνδρου αὐτοῖς τι κατὰ σφᾶς νεωτερίζειν· τὸ δὲ, καὶ ἐν αὐτῷ τῷ δεινῷ οὐκ ἐθελήσαντας, εἰδότας, πταίσαντας μὴ ὅσον κατ' ἄνδρα μόνον μετέχειν αὐτοὺς, ἀλλὰ καὶ ὡς τὸ πᾶν αὐτοὺς κακῶς ἐξηγησαμένους. ἐν τούτῳ δὴ τῷ θορύβῳ τε καὶ τῇ ἀταξίᾳ ἐπιθεμένους αὐτοῖς τοὺς βαρβάρους κατακόψαι πάντας, ὥστε ἱππέας μὲν μὴ πλείονας τῶν τεσσαράκοντα ἀποσωθῆναι, πεζοὺς δὲ ἐς τριακοσίους. ταῦτα δὲ ὡς ἠγγέλθη Ἀλεξάνδρῳ, ἤλγησέ τε τῷ πάθει τῶν στρατιωτῶν, καὶ ἔγνω σπουδῇ ἐλαύνειν ὡς ἐπὶ Σπιταμένην τε καὶ τοὺς ἀμφ' αὐτὸν βαρβάρους. ἀναλαβὼν οὖν τῶν τε ἑταίρων ἱππέων τοὺς ἡμίσεας, καὶ τοὺς ὑπασπιστὰς ξύμπαντας, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, καὶ τῆς φάλαγγος τοὺς κουφοτάτους, ᾔει ὡς ἐπὶ Μαράκανδα, ἵνα ἐπανήκειν Σπιταμένην ἐπυνθάνετο, καὶ αὖθις πολιορκεῖν τοὺς ἐν τῇ ἄκρᾳ. καὶ αὐτὸς μὲν ἐν

A dinem loco plano inſtructa, neque expectare hoſtem, neque ipſe impetum in eum facere volebat: ſed circumequitans peditũ phalangem ſagittis inceſſebat. Pharnuche autẽ in ſe cum equitatu irruẽte, facilè refugiebat: quòd equos & velociores & robuſtiores tũ temporis haberet. Ariſtomachi verò equitatus, cùm ob continuata itinera, tum ob pabuli inopiam affectus erat. Scythæ eos ſiue reſiſtentes, ſiue retrocedentes acriter premunt. Multis itaque ſagittarum ictu vulneratis, B nonnullis etiam occiſis, quadrato agmine ſeſe recipiunt ad flumen Polytimetũ, quòd ſylua illi vicina eſſet: ita vt barbari nõ ita facilè eos ſagittis peterent, & peditatus Macedonibus vſui eſſe poſſet. Caranus autem, vni equitum agmini præfectus, nõ communicato cum Andromacho conſilio, flumen tranſire tentabat, quòd tutius ibi equitatus locari poſſe videretur. Pedites eum ſequuntur, non iuſſi, ſed metu impulſi: atque inordinatus planè fuit is in amnem per præruptas ripas ingreſſus. Barbari, cognito Ma- C cedonũ errato, diuerſis è partibus equis vadum ingreſſi, alij eos qui iam tranſierant & retrocedebant premunt, alij in tranſeuntes ex aduerſo delati eos in ipſo amne interficiunt: alij ex obliquo eos ſagittis petunt, alij in eos qui iam vadum ingrediebantur irruunt. Quibus difficultatibus vndique circumuenti Macedones in inſulam quandam non magnam, eo in flumine ſitam, confugiunt. Scythæ & Spitamenis equitatus his circumfuſi, omnes ſagittis interfecerunt, præter paucos quos captos occiderunt. Ariſto- D bulus ſcribit magnã exercitus partẽ inſidiis oppreſſã fuiſſe à Scythis, qui in hortis abditi Macedonibus in ipſo conflictu ex improuiſo ſuperuenerunt. Quo quidem loci Pharnuchem præfecturam ſuam Macedonibus qui vnà cum eo miſſi erant cedere voluiſſe, quippe qui rei bellicæ parum peritus eſſet, quíque potius ad ſermones cum barbaris conferendos ab Alexandro miſſus eſſet, quàm vt in prælio ducem ageret: ipſos verò, & Macedones, & regis amicos eſſe. Quúmque Andro- E machus, & Caranus ac Menedemus imperium recuſarent, partim ne viderentur aliquid noui præter mandata regis moliti eſſe, partim quòd in ipſo periculo id accipere noluiſſent. nõ ignari nimirũ, ſi res malè gereretur, non tãtùm pro ſe quemque mali participem futurũ, ſed tanquã toto exercitu male adminiſtrato culpam in ſeſe redundaturã. In hoc tumultu & perturbatione rerum Scythas in eos irruiſſe, omnéſque interfeciſſe, ita vt equites XL tantùm, pedites CCC e- F uaſerint. Hiſce rebus Alexandro nuntiatis, vehementer militum ſuorum clade commotus, confeſtim in Spitamenem ac barbaros exercitum ducere ſtatuit. Aſſumpta itaque ſociorum equitum parte dimidia, ſcutatis omnibus, & ſagittariis atque Agrianis, & ex phalange expeditioribus, Maracanda contendit: quò Spitamenem reuerſum eſſe acceperat, denuóque eos qui in arce erant obſidere. Ipſe tridui ſpatio mille quingenta

A ſtadia emenſus, quarto die ſub auroram ad vrbem venit. Spitamenes cum ſuis copiis, vt Alexandrum aduentare intellexit, nõ expectato eius aduentu, relicta obſidione, fugit. Alexander eos acriter inſequitur. quúmque ad eum locum venit vbi pugna cõmiſſa fuerat, militibus, prout tempus ferebat, ſepultis, fugientes ad Scythiæ deſerta vſque inſecutus eſt. Inde cõuerſus eorum agros vaſtat, & barbaros qui in loca munitiora confugerant interficit, quòd & ipſi Macedones oppreſsiſſe dicerentur. totámque eam regionem, quam B Polytimetus amnis irrigans trãſit, percurrit. Nanque vbi aqua flum.nis è conſpectu euaneſcit, omnis vlterior regio deſerta eſt. euaneſcit autem, etiam multam aquam trahens, ſub arenas ſe condens. Alij etiam ingentes ac perpetui amnes eadẽ ratione ibi ſe condunt, Epardus nimirum, qui per Mardorum regionem fluit, & Areus, à quo Areorũ regio appellationem accepit, & Etymandrus, qui per Euergetas labitur: ſuntque omnes hi fluuij tantæ magnitudinis, vt nullus eorum Peneo C Theſſaliæ amne ſit minor, qui per Tẽpe fluẽs in mare fertur. Polytimetus autem Peneum amnem magnitudine ſuperat. His rebus geſtis, ad Zariaſpa peruenit, ibíq; moram fecit, brumam quę tũ vigebat tranſacturus. Interea ad eum venerunt Phrataphernes Parthorum ſatrapa, & Staſanor ad Areos miſſus, vt Arſacem comprehẽderet. quem quidem vinctum adduxerunt, & Barzanem, quem Beſſus Parthis ſatrapam dederat, ac nõnullos alios qui tum temporis vnà cum Beſſo defecerant. Per D idem quoque tempus acceſſerũt è maritima ora Epocillus, & Melanidas, ac Ptolemæus Thracũ dux, qui pecunias cũm Menete miſſas & ſocios ad mare deduxerant. Venerunt itẽ Aſander & Nearchus exercitum Græcorũ mercenariorum adducentes: Beſſus etiam Syriæ ſatrapa atque Aſclepiodorus mari præfectus, hi quoque copias adduxerunt. Hic Alexander, conuentu omnium quotquot aderãt habito, Beſſum introducit. accuſatáque eius in Darium perfidia, *nares ei ſummáſq; aures E præſcindi iubet: deinde in Ecbatana mittit, vt ibi in Medorum Perſarúmq; cõcilio morte mulctetur. Ego verò atrocem hanc de Beſſo vltionem nequaquam laudauerim. quinimo barbaricam eſſe duxerim hanc extremarum corporis partium mutilationem. adductum verò regem fuiſſe iudicauerim æmulatione quadam Medicæ Perſicæque ſuperbiæ, atque diuerſæ Barbarorũ regum in eos quibus imperant conſuetudinis. Neque hoc vllo modo probauerim, quòd veſtem Medicã pro Macedonica ac patria (quum ex Heraclidarum genere eſſet) aſſumſerit. vt neq; hoc, quod F cidarim Perſicã, iis quos prælio vicerat adẽptam, cum eo ornatu quem ipſe olim victor geſtare ſolebat, commutare non erubuerit. Cæterùm, ſiquid aliud, Alexandri certè præclara facinora documento eſſe poſſunt, ſiue quis corporis viribus polleat, ſiue generis ſplendore emineat, ſiue bellica virtute felicitatéque Alexandrum ipſum ſuperet, ſiue Africã ſimul atq; Aſiam (quemadmodum ille animo deſtinarat) pernauigans ſubiugarit, ſiue Europam

Cur. Vt cruci affixum, mutilatis auribus naribuſque, ſagittis configerent barbari.

Fort. ἴσων.

τρισὶν ἡμέραις διελθὼν χιλίους καὶ πεντακοσίους σταδίους, τῇ τετάρτῃ ὑπὸ τὴν ἕω προσῆγε τῇ πόλει. Σπιταμένης δὲ καὶ οἱ ἀμφ᾽ αὐτὸν, ὡς ἐξηγγέλθη προσιὼν Ἀλέξανδρος, οὐκ ἔμειναν, ἀλλ᾽ ἐκλιπόντες τὴν πόλιν, φεύγουσιν. ὁ δὲ ἑπόμενος αὐτῶν, ἐδίωκεν. ὡς δ᾽ ἐπὶ χῶρον ἧκεν οὗ ἡ μάχη ἐγένετο, θάψας τοὺς στρατιώτας ἐκ τῶν παρόντων, εἵπετο ἔστε ἐπὶ τὴν ἔρημον τοῖς φεύγουσιν· ἐκεῖθεν δ᾽ ἀναστρέφων, ἐπόρθει τὴν χώραν, καὶ τοὺς ἐς τὰ ἐρύματα καταπεφευγότας τῶν βαρβάρων ἔκτεινεν, ὅτι ξυνεπιθέσθαι ἐξηγγέλλοντο καὶ αὐτοὶ τοῖς Μακεδόσι. καὶ ἐπῆλθε πᾶσαν τὴν χώραν ὅσην ὁ ποταμὸς ὁ Πολυτίμητος ἐπάρδων ἐπέρχεται. ἵνα δὲ ἀφανίζεται τοῦ ποταμοῦ τὸ ὕδωρ, ἐντεῦθεν ἤδη τὸ ἐπέκεινα ἔρημος ἡ χώρα ἐστίν. ἀφανίζεται δὲ, καίπερ πολλοῦ ὄντος τοῦ ῥεύματος, ἐς τὴν ψάμμον. καὶ ἄλλοι ποταμοὶ ὡσαύτως ἐκεῖ ἀφανίζονται, μεγάλοι τε καὶ ἀέναοι, ὅ τε Ἔπαρδος, ὃς ῥέει διὰ Μάρδων τῆς χώρας· καὶ Ἄρειος, ὅτου ἐπώνυμος ἡ τῶν Ἀρείων γῆ ἐστι· καὶ Ἐτύμανδρος, ὃς δι᾽ Εὐεργετῶν ῥέει. καὶ εἰσὶ ξύμπαντες οὗτοι τηλικοῦτοι ποταμοὶ, ὥστε οὐδεὶς αὐτῶν μείων ἐστὶ τοῦ Πηνειοῦ τοῦ Θεσσαλικοῦ ποταμοῦ, ὃς διὰ τῶν Τεμπῶν ῥέων ἐκδιδοῖ ἐς θάλασσαν. ὁ δὲ Πολυτίμητος πολὺ ἔτι μείζων ἢ κατὰ τὸν Πηνειὸν ποταμόν ἐστι. ταῦτα δὲ διαπραξάμενος, ἐς Ζαρίασπα ἀφίκετο, καὶ αὐτοῦ κατέμενεν ἔστε παρελθεῖν τὸ ἀκμαῖον τοῦ χειμῶνος. ἐν τούτῳ δὲ ἀφίκοντο παρ᾽ αὐτὸν, Φραταφέρνης τε ὁ Παρθυαίων σατράπης, καὶ Στασάνωρ ὁ ἐς Ἀρείους ἀποπεμφθεὶς, ὡς Ἀρσάκην συλληψόμενος· τόν τε Ἀρσάκην δεδεμένον ἄγοντες, καὶ Βαρζάνην, ὅντινα Βῆσσος τῆς Παρθυαίων σατράπην κατέστησε, καί τινας ἄλλους τῶν τότε ξὺν Βήσσῳ ἀποστάντων. ἧκον δὲ ἐν τῷ αὐτῷ Ἐπόκιλλος καὶ Μελαμνίδας, καὶ Πτολεμαῖος ὁ τῶν Θρᾳκῶν στρατηγὸς, ἀπὸ θαλάσσης, οἳ τά τε χρήματα ξὺν Μένητι πεμφθέντα, καὶ τοὺς συμμάχους ὡς ἐπὶ θάλασσαν κατήγαγον. καὶ Ἄσανδρος δὲ ἐν τούτῳ ἧκε, καὶ Νέαρχος, στρατιὰν Ἑλλήνων μισθοφόρων ἄγοντες· καὶ Βῆσσός τε ὁ Συρίας σατράπης, καὶ Ἀσκληπιόδωρος, ὁ ὕπαρχος ἀπὸ θαλάσσης· καὶ οὗτοι στρατιὰν ἄγοντες. ἔνθα δὴ ξύλλογον ἐκ τῶν παρόντων ξυναγαγὼν Ἀλέξανδρος, παρήγαγεν ἐς αὐτοὺς Βῆσσον· καὶ κατηγορήσας τὴν Δαρείου προδοσίαν, τήν τε ῥῖνα Βήσσου ἀποτμηθῆναι καὶ τὰ ὦτα ἄκρα ἐκέλευσεν· αὐτὸν δὲ ἐς Ἐκβάτανα ἄγεσθαι, ὡς ἐκεῖ ἐν τῷ Μήδων τε καὶ Περσῶν ξυλλόγῳ ἀποθανούμενον. καὶ ἐγὼ οὔτε τὴν ἄγαν ταύτην τιμωρίαν Βήσσου ἐπαινῶ, ἀλλὰ βαρβαρικὴν εἶναι τίθεμαι τῶν ἀκρωτηρίων τὴν λώβην, καὶ ὑπαχθῆναι Ἀλέξανδρον ξύμφημι ἐς ζῆλον τοῦ Μηδικοῦ τε καὶ Περσικοῦ *πλούτου, καὶ τῆς κατὰ τοὺς βαρβάρους βασιλέας οὐκ ἴσης ἐς τοὺς ὑπηκόους ξυνδιαιτήσεως· ἐσθῆτά τε ὅτι Μηδικὴν ἀντὶ τῆς Μακεδονικῆς τε καὶ πατρίου, Ἡρακλείδης ὢν, μετέλαβεν, οὐδαμῇ ἐπαινῶ· καὶ τὴν κίδαριν τὴν Περσικὴν τῶν νενικημένων, ἀντὶ ὧν αὐτὸς ὁ νικῶν πάλαι ἐφόρει, ἀμείψαι οὐκ ἐπῃδέσθη, οὐδὲν τούτων ἐπαινῶ. ἀλλ᾽ εἴπερ τι ἄλλο, καὶ Ἀλεξάνδρου μεγάλα πράγματα ἐς τεκμηρίωσιν τίθεμαι, ὡς οὔτε τὸ σῶμα ὅτῳ εἴη καρτερὸν, οὔτε ὅστις γένει ἐπιφανὴς, οὔτε κατὰ πόλεμον εἰ δή τις διευτυχοίη ἔτι μᾶλλον ἢ Ἀλέξανδρος· οὐδὲ εἰ τὴν Λιβύην τις πρὸς τῇ Ἀσίᾳ (καθάπερ οὖν ἐπενόει ἐκεῖνος) ἐκπεριπλεύσας κατάσχοι· οὐδὲ εἰ τὴν Εὐρώπην ἐπὶ τῇ Ἀσίᾳ τε καὶ Λι-

σὺν τρίτην· τούτων οὐδέν τι ὄφελος ἐς εὐδαιμονίαν ἀνθρώπου, εἰ μὴ σωφρονεῖν ἐν ταὐτῷ ὑπάρχοι τούτῳ τῷ ἀνθρώπῳ τῷ τὰ μεγάλα, ὡς δοκεῖ, πράγματα πράξαντι. ἔνθα δὴ καὶ τὸ Κλείτου τοῦ Δρωπίδου πάθημα, καὶ τὴν Ἀλεξάνδρου ἐπ' αὐτῷ συμφορὰν, εἰ καὶ ὀλίγον ὕστερον ἐπράχθη, οὐκ ἔξω τοῦ καιροῦ ἀφηγήσομαι. εἶναι μὲν γὰρ ἡμέραν ἱερὰν τοῦ Διονύσου Μακεδόσι, καὶ θύειν Διονύσῳ ὅσα ἔτη ἐν αὐτῇ Ἀλέξανδρον· τὸν δὲ τοῦ Διονύσου μὲν ἐν τῷ τότε ἀμελῆσαι λέγουσι, Διοσκούροιν δὲ θῦσαι, ἐξ ὅτου δὴ ἐπιφρασθέντα τοῖν Διοσκούροιν τὴν θυσίαν. πόῤῥω δὲ τοῦ πότου προϊόντος (καὶ γὰρ καὶ τὰ τῶν πότων ἤδη Ἀλεξάνδρῳ ἐς τὸ βαρβαρικώτερον νενεωτέριστο) ἀλλ' ἔν γε τῷ πότῳ τότε ὑπὲρ τοῖν Διοσκούροιν λόγους γίγνεσθαι, ὅπως ἐς Δία ἀνηνέχθη αὐτοῖν ἡ γένεσις, ἀφαιρεθεῖσα Τυνδάρω· καί τινας τῶν παρόντων κολακείᾳ τῇ Ἀλεξάνδρου (οἷοι δὴ ἄνδρες διέφθεράν τε ἀεὶ καὶ οὔποτε παύσονται ἐπιτρίβοντες τὰ τῶν ἀεὶ βασιλέων πράγματα) κατ' οὐδὲν ἀξιοῦν συμβάλλειν Ἀλεξάνδρῳ τι καὶ τοῖς Ἀλεξάνδρου ἔργοις τὸν Πολυδεύκην καὶ τὸν Κάστορα. οἱ δὲ οὐδὲ τοῦ Ἡρακλέους ἀπείχοντο ἐν τῷ πότῳ· ἀλλὰ τὸν φθόνον γὰρ ἐμποδὼν ἵστασθαι τοῖς ζῶσι, τὸ μὴ οὐ τὰς δικαίας τιμὰς αὐτοῖς ἐκ τῶν ξυνόντων γίγνεσθαι. Κλεῖτον δὲ δῆλον μὲν εἶναι πάλαι ἤδη ἀχθόμενον τοῦ τε Ἀλεξάνδρου τῇ ἐς τὸ βαρβαρικώτερον μετακινήσει, καὶ τῶν κολακευόντων αὐτὸν τοῖς λόγοις. τότε δὲ καὶ αὐτὸν πρὸς τοῦ οἴνου παροξυνόμενον, οὐκ ἐᾶν οὔτε ἐς τὸ θεῖον ὑβρίζειν, οὔτε τὰ τῶν πάλαι ἡρώων ἔργα ἐκφαυλίζοντας, χάριν ταύτην ἄχαριν προστιθέναι Ἀλεξάνδρῳ. εἶναι γὰρ οὖν οὐδὲ τὰ Ἀλεξάνδρου οὕτω τι μεγάλα καὶ θαυμαστὰ, ὡς ἐκεῖνοι ἐπαίρουσιν. οὔκουν μόνον καταπρᾶξαι αὐτὰ, ἀλλὰ τὸ γὰρ πλὺ μέρος Μακεδόνων εἶναι τὰ ἔργα. καὶ τοῦτον τὸν λόγον ἀνιᾶσαι Ἀλέξανδρον, λεχθέντα. οὐδὲ ἐγὼ ἐπαινῶ τὸν λόγον, ἀλλὰ ἱκανὸν γὰρ εἶναι τίθεμαι ἐν τοιᾷδε παροινίᾳ τὸ καθ' αὑτὸν σιγῶντα ἔχειν, μηδὲ τὰ αὐτὰ τοῖς ἄλλοις ἐς κολακείαν πλημμελεῖν. ὡς δὲ καὶ τῶν Φιλίππου τινὲς ἔργων, ὅτι οὐ μεγάλα οὐδὲ θαυμαστὰ Φιλίππῳ κατεπράχθη, οὐδεμιᾷ ξὺν δίκῃ ἐπιμνήσθησαν, χαριζόμενοι καὶ οὗτοι Ἀλεξάνδρῳ, τὸν Κλεῖτον ἤδη οὐκ ἔτι ἐν ἑαυτῷ ὄντα, προσβιβάζειν μὲν τὰ τοῦ Φιλίππου, καταβάλλειν δὲ Ἀλέξανδρόν τι καὶ τὰ τούτου ἔργα· παροινοῦντα ἤδη τὸν Κλεῖτον τά τε ἄλλα, καὶ πολὺν εἶναι ἐξονειδίζοντα Ἀλεξάνδρῳ, ὅτι πρὸς αὐτοῦ ἄρα ἐσώθη, ὁπότε ἡ ἱππομαχία ἡ ἐπὶ Γρανίκῳ ξυνειστήκει πρὸς Πέρσας. καὶ δὴ τὴν δεξιὰν τὴν αὐτοῦ σοβαρῶς ἀνατείναντα, Αὕτη σε ἡ χεὶρ (φάναι) ὦ Ἀλέξανδρε ἐν τῷ τότε ἔσωσε. καὶ Ἀλέξανδρον οὐκ ἔτι φέρειν τοῦ Κλείτου τὴν παροινίαν τε καὶ ὕβριν, ἀλλὰ ἀναπηδᾶν γὰρ ξὺν ὀργῇ ἐπ' αὐτὸν, κατέχεσθαι δὲ ὑπὸ τῶν ξυμπότων. Κλεῖτον δὲ οὐκ ἀνιέναι ὑβρίζοντα. Ἀλέξανδρος δὲ ἐβόα, ἀνακαλῶν τοὺς ὑπασπιστάς· οὐδενὸς δὲ ὑπακούοντος, ἐς ταὐτὰ ἔφη καθεστηκέναι Δαρείῳ, ὁπότε πρὸς Βήσσου τε καὶ τῶν ἀμφὶ Βῆσσον ξυλληφθεὶς ἤγετο, οὐδὲν ἄλλο ὅτι μὴ ὄνομα ἔχειν βασιλέως. οὔκουν ἔτι οἵους τε εἶναι κατέχειν αὐτὸν τοὺς ἑταίρους, ἀλλ' ἀναπηδήσαντα γὰρ, οἱ μὲν λόγχην ἁρπάσαι λέγουσι τῶν σω-

A Aſiæ atque Africæ tertiam adiunxerit: nihil hæc omnia homini ad felicitatem adipiſcendam profutura, niſi pariter moderatio animi accedat, quantumuis res in ſpeciem maximas gerat. Hoc igitur loco Cliti Dropidis filij caſum, atque Alexandri facinus enarrare, quanuis aliquanto pòſt acciderit, non intempeſtiuum iudicauerim. Diem quendã apud Macedones Baccho ſacrum eſſe ferũt, atque Alexandrum quotannis eo die Baccho ſacrificare ſolitum, tum temporis neglecto Baccho, Dioſcuris ſacrum feciſſe. atque

B "ex eo tempore ſacrificium cum epulo Dioſcuris inſtituiſſe: quúmque iam pocula longius proceſſiſſent (nam & in poculis iam Alexander barbarorum mores imitabatur) omnibus vino incaleſcẽtibus ſermo de Dioſcuris incidit, quo pacto illorum origo ad Iouem relata eſſet, Tyndaro ablata. quoſdam etiam ex præſentibus adulãdi cauſa (cuiuſmodi homines regibus, regúmque negotiis & pernicioſi ſemper fuerunt, & nunquã eſſe deſinent) nulla ratione Caſtorem & Pol

C lucem Alexandro eiúſque rebus geſtis comparandum eſſe cenſuiſſe. Alij ne ab Hercule quidem inter pocula abſtinebant: ſed inuidiam mortalibus obſtare, quominus iis debiti honores ab illis quibuſcũ verſantur tribuantur. At Clitus iamdudum & hanc Alexandri in barbaricos mores tranſitionem, & adulantium illi ſermones moleſtè ferebat. tum verò, exſtimulãte vino, neque illas in diuos contumelias ferre potuiſſe, neque quòd veterum heroũ facta extenuantes, inofficioſum hoc officium Alexandro deferrent. Ne-

D que enim Alexandri res tantas adeóque admirandas eſſe, quantũ illi verbis extollerent. neque ipſum ſolum ea præſtitiſſe, ſed "magnã rerum geſtarum partem Macedonibus deberi. Atque hæc quidẽ Cliti verba "acerbè admodum tuliſſe Alexandrum. neque verò ego dictum laudo. ſatius enim iudicauerim, in eiuſcemodi vinolentia ſilentium præſtare, neque eodem cum aliis adulationis vitio peccare. Quum verò nonnulli rerũ ab Philippo geſtarũ meminiſſent, & nihil magnum

E aut præclarũ ab eo factũ eſſe nullo iure contenderent, Alexandro nimirũ etiã hi gratificantes, Clitum iam extra ſe poſitum, Philippi res geſtas extollere, Alexandrum autẽ eiúſque facta "deprimere cœpiſſe. Clitúmque in Alexandrũ debacchantẽ inter alia ei exprobraſſe, quòd in equeſtri apud Granicum amnem prælio à ſe ſeruatus eſſet. ſimúlque dextra arroganter expanſa, Hæc manus (di- «
xiſſe) te Alexander eo in conflictu ſeruauit. «
Alexandrũ, quum diutius Clitum linguæ intemperantia furentẽ, eiúſq; contumelias fer-

F re non poſſet, inflammatũ ira in eum proſiliiſſe, atque à circumſtantibus retentũ fuiſſe. Clitum cõtrà nullũ conuitiis modũ feciſſe. Alexandrũ clamore ſublato argyraſpidas accerſiſſe. quúmque à nemine exaudiretur, ſe in eodẽ ſtatu eſſe quo Darius, quũ à Beſſo eiúſque ſociis captus ducebatur, exclamaſſe: neque quicquã iam amplius ſibi quàm regium nomen ſupereſſe. Tum amicos diutius illum retinere non potuiſſe, ſed exilientem, alii à quodam ex

Vel ἐξ [illegible]

Curt. Alieno ſanguine partã gloriam.

Curt. Iam tantũ iræ conceperat rex, quãtum vix ſobrius ferre potuiſſet.

Curt. Obterere laudes.

Curt. Alexander rapta lancea ex manibus armigeri, &c.
Idem, Vigili excubãti haſta ablata.

cuſtodibus corporis haſtam abripuiſſe aiũt, eáq; ictum Clitum interemiſſe. alij ſariſſam, etiam à cuſtodibus corporis acceptam. Ariſtobulus verò vnde hęc debacchatio orta ſit, non recenſet: omnem autem culpam in vno Clito fuiſſe dicit, quippe qui, quum iam Alexander ira percitus in eum interfecturus proſiliret, ipſe per oſtium vltra muros & foſſam in arcem ſubductus ad Ptolemęum Lagi F. corporis cuſtodem, continere ſe non potuerit quin reuerteretur: quúmque in Alexandrum Cliti nomen inclamantem incidiſſet, eiq; reſpõdiſſet, En tibi Clitum, Alexander: tum ſariſſa ictum interiiſſe. Ego verò, vt Clitum ob contumelias in regem ſuum vehementer reprehendo, ita Alexandri vicem doleo, quòd ſe tũ temporis duobus vitiis obnoxium declararit, (à quorum altero virum temperantem nequaquam vinci conueniebat) iræ nimirum & vinolentiæ. Eo verò rurſum nomine Alexandrum laudo, quòd ſtatim maleficij pœnitentia ductus fuerit. Nonnulli enim ex iis qui de Alexandri rebus ſcribunt, autores ſunt, ipſum in haſtæ ad parietem firmatæ ſpiculum ſeſe coniicere voluiſſe, quòd vitam ſibi turpẽ exiſtimaret amicũ per temulentiam interfecto. Plerique tamen ſcriptores hoc non recenſent. Quum verò cubitum conceſſiſſet, iacuiſſe lamentantem, & Clitum nomine compellantem: Lanicémque Dropidis filiam, Cliti ſororem, quę Alexandrum educauerat, egregiam ſcilicet educationis mercedem ab ſe iam viro accepiſſe: quæ & filios ſuos pro Alexãdro pugnãtes interfectos vidiſſet, & cui ipſe fratrẽ ſua manu occidiſſet: amicorum interfectorẽ idẽtidem ſe eſſe clamitantem, ac *triduũ totum à cibo & potu abſtinuiſſe, neque aliam vllam corporis curam habuiſſe. *Quibus è rebus nõnulli vates Liberi patris iram agnouerũt, quòd ſacrificium eius ab Alexandro prætermiſſum eſſet. Alexander ægrè ab amicis eò adduci potuit, vt cibo ac potu ſumto, corpus reficeret. Libero itaque ſacrificium reddidit. ſiquidem non ingratum ei erat, caſum illum ad irã numinis potius quàm ad ſuum maleficium referri. Eo verò nomine magnopere laudandũ Alexandrũ cenſuerim, quod non eo facinore inſolenter exultarit, neque, quod deterius fuiſſet, facto ſuo patrocinatus ſit, ſed humano more lapſum ſe agnouerit. Sunt qui ſcribant, Anaxarchũ ſophiſtam conſolandi eius cauſa acceſſitum, ad eum veniſſe. quúmq; cubantem atq; ſuſpirantem offendiſſet, arridẽtẽ dixiſſe, Ignorare ipſum cur veteres ſapientes Iuſtitiam Ioui aſsidentem fecerint: nimirum quia quicquid à Ioue decernitur, id iuſtè factum eſſe cenſeri debeat. oportere igitur, quæ à magno rege fierent, iuſta exiſtimari, primùm quidem ab ipſo rege, deinde à cæteris mortalibus. Atq; hoc quidem dicto nõnihil ſolatij Alexãdro attuliſſe. Ego verò maioris errati quàm prioris autorem Alexandro Anaxarchum fuiſſe cenſeo, ſi illam viri ſapientis ſententiam eſſe ſtatuit, Non oportere nimirum regem ſummo ſtudio delectúque adhibito iuſta agere: ſed quicquid aut qualecunque ſit quod rex faciat, iuſtum cen-

Fort. legendum, λέγουσι εἰσὶν οἳ τῶν τὰ Ἀλεξ. ξυγγραψάντων.

Cur. Rex triduũ iacuit incluſus, quem vt armigeri corporiſq; cuſtodes ad moriẽdum obſtinatum eſſe cognouerũt, vniuerſi in tabernaculum irrumpunt.
Cur. Scrutantẽm que num ira deorum ad tantũ nefas actus eſſet, ſubit anniuerſarium ſacrificium Libero patri nõ eſſe redditũ ſtatuto tempore. Itaq; inter vinũ & epulas cæde cõmiſſa, irã dei fuiſſe manifeſtam.

Fort. παρὰ.

A ματοφυλάκων τινὸς, καὶ παίοντα τῇ παίσαντα Κλεῖτον ἀποκτεῖναι· οἱ δὲ σάρισσαν, παρὰ τῶν φυλάκων τινὸς καὶ ταύτην. Ἀριστόβουλος δὲ, ὅθεν μὲν ἡ παροινία ὡρμήθη οὐ λέγει· Κλείτου δὲ γενέσθαι μόνον τὴν ἁμαρτίαν, ὅν γε ὠργισμένου Ἀλεξάνδρου, καὶ ἀναπηδήσαντος ἐπ' αὐτὸν ὡς διαχρησομένου, ἐπαχθῆναι μὲν διὰ θυρῶν ἔξω ὑπὲρ τὸ τεῖχός τε καὶ τὴν τάφρον τῆς ἄκρας, ἵνα ἐγένετο, πρὸς Πτολεμαίου τοῦ Λάγου τοῦ σωματοφύλακος· οὐ καρτερήσαντα δὲ, ἀναστρέψαι αὖθις, καὶ περιπεσῇ Ἀλεξάνδρῳ γενέσθαι Κλεῖτον ἀνακαλοῦντι, καὶ φάναι, ὅτι οὗτός τοι ἐγὼ ὁ Κλεῖτος, ὦ Ἀλέξανδρε. καὶ ἐν τούB τῳ πληγέντα τῇ σαρίσσῃ ἀποθανεῖν. καὶ ἐγὼ Κλεῖτον μὲν τῆς ὕβρεως τῆς ἐς τὸν βασιλέα τὸν αὐτοῦ, μεγάλως τι μέμφομαι· Ἀλέξανδρον δὲ τῆς συμφορᾶς οἰκτείρω, ὅτι δυοῖν κακοῖν ἐν τῷ τότε ἡττημένον ἐπέδειξεν αὐτὸν (ὑφ' ὅτων δὴ καὶ τοῦ ἑτέρου οὐκ ἐπέοικεν ἄνδρα σωφρονοῦντα ἐξηττᾶσθαι) ὀργῆς τε καὶ παροινίας. ἀλλὰ γὰρ ἐπὶ τοῖσδε αὖ ἐπαινῶ Ἀλέξανδρον, ὅτι παραυτίκα ἔγνω σχέτλιον ἔργον ἐργασάμενος. καὶ λέγουσιν εἰσὶν οἱ τὰ Ἀλεξάνδρου, ὅτι ἐρείσας τὴν σάρισσαν πρὸς τὸν τοῖχον, ἐπιπίπτειν ἐγνώκει αὐτῇ· ὡς οὐ καλὸν αὐτῷ ζῆν,
C ἀποκτείναντι φίλον αὑτοῦ ἐν τῷ οἴνῳ. οἱ πολλοὶ μὲν ξυγγραφεῖς τοῦτο μὲν οὐ λέγουσιν, ἀπελθόντα δὲ ἐς τὴν εὐνὴν, κεῖσθαι ὀδυρόμενον, αὐτόν τε τὸν Κλεῖτον ὀνομαστὶ ἀνακαλοῦντα, καὶ τὴν Κλείτου μὲν ἀδελφὴν, αὐτὸν δὲ ἀναθρεψαμένην, Λανίκην, τὴν Δρωπίδου παῖδα, ὡς καλὰ ἄρα αὐτῇ τροφεῖα ἀποτετικὼς εἴη ἀνδρωθεὶς, ἥ γε τοὺς μὲν παῖδας τοὺς ἑαυτῆς ὑπὲρ αὐτοῦ μαχομένους ἐπεῖδεν ἀποθανόντας, τὸν ἀδελφὸν δὲ αὐτῆς αὐτὸς αὐτοχειρίᾳ ἔκτεινε. φονέα τε τῶν φίλων οὐ διαλείπειν αὑτὸν ἀνακαλοῦντα· ἄσιτόν τε καὶ ἄποτον καρ-
D τερεῖν ἔστε ἐπὶ τρεῖς ἡμέρας, οὐδέ τινα ἄλλην θεραπείαν θεραπεῦσαι τὸ σῶμα. καὶ ἐπὶ τούτοις τῶν μάντεων τινὲς μῆνιν ἐκ Διονύσου ᾖδον, ὅτι ἡ θυσία ἐξελείφθη Ἀλεξάνδρῳ ἡ τοῦ Διονύσου. καὶ Ἀλέξανδρος μόγις πρὸς τῶν ἑταίρων πεισθεὶς, σίτου τε ἥψατο, καὶ τὸ σῶμα κακῶς ἐθεράπευσε. καὶ τῷ Διονύσῳ τὴν θυσίαν ἐπέδωκεν, ἐπεὶ οὐδὲ αὐτῷ ἄκοντι ἦν ἐς μῆνιν τοῦ θείου μᾶλλόν τι ἢ τὴν αὐτοῦ κακότητα ἀναφέρεσθαι τὴν ξυμφοράν. ταῦτα μεγάλως τι ἐπαινῶ Ἀλεξάνδρου, τὸ μήτε ἀπαυθαδιάσασθαι ἐπὶ κακῷ, μήτε προστάτην τε καὶ ξυνή-
E γορον κακίονα ἔτι γενέσθαι τοῦ ἁμαρτηθέντος, ἀλλὰ συμφῆσαι γὰρ πεπλημμεληκέναι ἄνθρωπόν γε ὄντα. εἰσὶ δὲ Ἀνάξαρχον τὸν σοφιστὴν ἐλθεῖν μὲν παρ' Ἀλέξανδρον κληθέντα, ὡς παραμυθησόμενον· εὑρόντα δὲ κείμενον καὶ ἐπιστένοντα, ἐπιγελάσαντα, ἀγνοεῖν (φάναι) διότι ἐπὶ τῷδε οἱ πάλαι σοφοὶ ἄνδρες τὴν Δίκην πάρεδρον τῷ Διὶ ἐποίησαν, ὡς ὅ,τι ἂν πρὸς τοῦ Διὸς κυρωθῇ, τοῦτο ξὺν δίκῃ πεπραγμένον. καὶ οὖν καὶ τὰ ἐκ βασιλέως μεγάλου γιγνόμενα, δίκαια χρῆναι νομίζεσθαι, πρῶτα μὲν πρὸς αὐτοῦ βασιλέως, ἔπειτα πρὸς τῶν ἄλλων ἀν-
F θρώπων. ταῦτα εἰπόντα παραμυθήσασθαι μὲν Ἀλέξανδρον ἐν τῷ τότε· κακὸν δὲ μέγα, ὡς ἐγώ φημι, ἐξεργάσασθαι Ἀλεξάνδρῳ, καὶ μεῖζον ἔτι ἢ ὅτῳ τότε ξυνείχετο, εἴπερ οὖν σοφοῦ ἀνδρὸς τήνδε ἔγνω τὴν δόξαν, ὡς οὐ τὰ δίκαια ἄρα χρὴ σπουδῇ ἐπιλεγόμενον πράττειν τὸν βασιλέα, ἀλλὰ ὅ,τι ἂν καὶ ὁπωσοῦν ἐκ βασιλέως πραχθῇ, τοῦτο δίκαιον νομίζειν. ἐπεὶ καὶ προσκυνεῖσθαι

ἐθέλειν

ἐθέλειν Ἀλέξανδρον λόγος κατέχει, ὑποῦσης μὲν αὐτῷ καὶ τῆς ἀμφὶ τοῦ Ἄμμωνος πατρὸς μᾶλλόν τι ἢ Φιλίππου δόξης. θαυμάζοντα δὲ ἤδη τὰ Περσῶν καὶ Μήδων τῆς τε ἐσθῆτος τῇ ἀμείψει, καὶ τῆς ἄλλης θεραπείας τῇ μετακοσμήσει, οὐκ ἐνδεῆσαι δὲ οὐδὲ πρὸς τοῦτο αὐτὸ τοὺς κολακείᾳ ἐς αὐτὸ ἐνδιδόντας, ἄλλους τέ τινας, καὶ δὴ καὶ τῶν σοφιστῶν τῶν ἀμφ' αὐτόν, Ἀνάξαρχόν τε καὶ Ἆγιν Ἀργεῖον ἐποποιόν. Καλλισθένην δὲ τὸν Ὀλύνθιον, Ἀριστοτέλους τε τῶν λόγων διακηκοότα, καὶ τὸν τρόπον ὄντα ὑπαγροικότερον, οὐκ ἐπαινεῖν ταῦτα. Τούτου μὲν δὴ ἕνεκα καὶ αὐτὸς Καλλισθένει ξυμφέρομαι· ἐκεῖνα δὲ οὐκ ἔτι ἐπιεικῆ δοκῶ τοῦ Καλλισθένους (εἴπερ ἀληθῆ ξυγγέγραπται) ὅτι ὑφ' αὑτῷ εἶναι ἀπέφαινε καὶ τῇ αὑτοῦ ξυγγραφῇ Ἀλέξανδρόν τε καὶ τὰ Ἀλεξάνδρου ἔργα. οὔκουν αὐτὸς ἀφῖχθαι ἀπ' Ἀλεξάνδρου δόξαν κτησόμενος, ἀλλὰ ἐκεῖνον εὐκλεᾶ ἐς ἀνθρώπους ποιήσων· καὶ οὖν καὶ τοῦ θείου τὴν μετουσίαν Ἀλεξάνδρῳ οὐκ ἐξ ὧν Ὀλυμπιὰς ὑπὲρ τῆς γενέσεως αὐτοῦ ψεύδεται ἀνηρτῆσθαι, ἀλλ' ἐξ ὧν ἂν αὐτὸς ὑπὲρ Ἀλεξάνδρου συγγράψας ἐξενέγκῃ ἐς ἀνθρώπους. εἰσὶ δὲ οἳ καὶ τάδε ἀνέγραψαν, ὡς ἄρα ἤρετό ποτε αὐτὸν Φιλώτας, ὅντινα οἴοιτο μάλιστα τιμηθῆναι πρὸς τῆς Ἀθηναίων πόλεως· τὸν δὲ ἀποκρίνασθαι, Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὅτι τὸν ἕτερον τοῖν τυράννοιν ἔκτειναν, καὶ τυραννίδα ὅτι κατέλυσαν· ἐρέσθαι αὖθις τὸν Φιλώταν, εἰ τῷ τύραννον κτείναντι ὑπάρχει, παρ' οἷστισιν ἐθέλει τῶν Ἑλλήνων φυγόντα σώζεσθαι. καὶ ἀποκρίνασθαι αὖθις Καλλισθένην, κἂν μὴ παρ' ἄλλοις, παρά γε Ἀθηναίοις ὅτι φυγόντι ὑπάρχει σώζεσθαι. τούτους γὰρ καὶ πρὸς Εὐρυσθέα πολεμῆσαι ὑπὲρ τῶν παίδων τῶν Ἡρακλέους, τυραννεύοντα ἐν τῷ τότε τῆς Ἑλλάδος. ὑπὲρ δὲ τῆς προσκυνήσεως, ὅπως ἠναντιώθη Ἀλεξάνδρῳ, καὶ τοιόσδε κατέχει λόγος. ξυγκεῖσθαι μὲν γὰρ τῷ Ἀλεξάνδρῳ πρὸς τοὺς σοφιστάς τε καὶ τοὺς ἀμφ' αὐτὸν Περσῶν καὶ Μήδων τοὺς δοκιμωτάτους, μνήμην τοῦ λόγου τοῦδε ἐν πότῳ ἐμβαλεῖν· ἄρξαι δὲ τοῦ λόγου Ἀνάξαρχον, ὡς πολὺ δικαιότερον ἂν θεὸν νομιζόμενον Ἀλέξανδρον, Διονύσῳ τε καὶ Ἡρακλεῖ, μὴ ὅτι τῶν ἔργων ἕνεκα, ὅσα καὶ ἡλίκα καταπέπρακται Ἀλεξάνδρῳ, ἀλλὰ καὶ ὅτι Διόνυσος μὲν Θηβαῖος ἦν, οὐδέν τι προσήκων Μακεδόσι, καὶ Ἡρακλῆς Ἀργεῖος, οὐδὲ οὗτος προσήκων, ὅτι μὴ κατὰ γένος τὸ Ἀλεξάνδρου· Ἡρακλείδην γὰρ εἶναι Ἀλέξανδρον. Μακεδόνας δὲ αὖ τὸν σφῶν βασιλέα δικαιότερον θείαις τιμαῖς κοσμοῦντας· καὶ γὰρ οὐδὲ ἐκεῖνο εἶναι ἀμφίλογον, ὅτι ἀπελθόντα γε ἐξ ἀνθρώπων, ὡς θεὸν τιμήσουσι. πόσῳ δὴ δικαιότερον ζῶντα γεραίρειν ἤπερ τελευτήσαντα, ἐς οὐδὲν ὄφελος τῷ τιμωμένῳ. λεχθέντων δὲ τούτων τε καὶ τοιούτων λόγων πρὸς Ἀναξάρχου, τοὺς μὲν μετεσχηκότας τῆς βουλῆς ἐπαινεῖν τὸν λόγον, καὶ δὴ ἐθέλειν ἄρχεσθαι τῆς προσκυνήσεως· τοὺς Μακεδόνας δὲ τοὺς πολλοὺς ἀχθομένους τῷ λόγῳ, σιγῇ ἔχειν. Καλλισθένην δὲ ὑπολαβόντα, Ἀλέξανδρον μὲν (εἰπεῖν) ὦ Ἀνάξαρχε, οὐδεμιᾶς ἀνάξιον ἀποφαίνω τιμῆς, ὅσαι ξύμμετροι ἀνθρώπῳ· ἀλλὰ διακεκρίσθαι γὰρ τοῖς ἀνθρώποις, ὅσαι τε ἀνθρώπιναι τιμαί, καὶ ὅσαι θεῖαι, πολλοῖς μὲν καὶ ἄλλοις, καθάπερ ναῶν τε οἰκοδομήσει, καὶ ἀγαλμάτων ἀναστάσει· ὅτι καὶ

ſeri debere. Siquidem & adorari ſe voluiſſe Alexandrum fama eſt, quippe qui eam opinionem conceperat, Ammonẽ potius ſibi ꝗ̃ Philippũ patrẽ eſſe. Quũ verò Perſas iam ac Medos admiraretur, eóſq; veſtis immutatione, totiúſq; cultus ratione imitaretur, nõ videbatur ob eã rẽ vllis adulatoribus qui eius animũ eò pelliceręt, neq; ſophiſtis quidẽ, ſiue Anaxarcho ſiue Agide Argiuo poeta eguiſſe. Calliſthenes verò Olynthius, Ariſtotelis diſcipulus, moribus paulo aſperioribus præditus, hæc nõ ꝓbabat. Qua quidẽ in re etiam ego Calliſtheni aſſentior. illud autẽ à Calliſthene parũ modeſtè ſcriptum (ſi re vera ſcripſit) cẽſeo, ꝙ Alexandrũ eiúſq; facta ſe & ſuis ſcriptis inferiora eſſe prædicabat. Neq; verò ſe ad Alexandrũ veniſſe, vt ſibi ab eo gloriã cõpararet, ſed vti Alexandrũ inter mortales illuſtrẽ ac glorioſum redderet. pręterea diuinitatis cõmunicationem Alexãdro nõ ex iis quæ Olympias de ortu ſuo mẽtita eſſet pendere, ſed ex iis quæ ipſe de Alexãdro ſcripſiſſet & ad mortaliũ notitiam traduxiſſet. Sunt etiam qui ſcribant, quũ aliquando à Philota interrogatus eſſet, quẽ putaret ab Athenienſibus in maximo honore haberi, reſpondiſſe Harmodium & Ariſtogitona, ꝙ alterum tyrannorum interfeciſſent, ac tyrannidẽ ſuſtuliſſet. Philotã rurſus interrogaſſe, ſi cui cõtingat tyrannũ occidere, apud quos Græcorũ profugiũ illi tutũ foret? Reſpõdiſſe Calliſthenẽ, ſi nõ alibi, certè apud Athenieñſes tutũ fore. Hos enim ꝓ filiis Herculis aduerſus Eurystheũ bellũ geſſiſſe, qui tũ tẽporis Græciã tyrannide premebat. De adoratione verò, quo pacto Alexãdro Calliſthenes reſtiterit, huiuſcemodi quippiã narratur. Cõuenerat inter Alexandrũ & ſophiſtas, eóſq; qui ex Perſis & Medis illuſtriores circa ipſum erãt, vt inter pocula in hũc ſermonẽ ex cõpoſito venirent. Anaxarchũ ſermonis initiũ feciſſe, cenſentẽ, Alexandrũ maiore iure pro deo habendũ, quàm Liberũ, aut Herculẽ. idq; nõ modò propter magnitudinẽ atque præſtantiã rerũ ab Alexãdro geſtarũ, verumetiã ꝙ Liber pater Thebanus fuiſſet, nihil cũ Macedonibus cõmune habẽs: Hercules autẽ Argiuus, ne ipſe quidẽ cõueniẽs, niſi quod ad Alexandri genus attinet. Alexandrũ enim Heraclidem eſſe. Macedones verò multo conuenientius atque æquius ſuũ ipſorũ regẽ diuinis honoribus proſequi. Neque enim dubiũ eſſe, quin poſtquã è viuis exceſſiſſet, vt deũ culturi eſſent. multo igitur ſatius eſſe, viuo illi diuinos honores deferre quàm mortuo, quum nulla ad eum cultus vtilitas eſſet peruentura. Hæc atque alia in hanc ſententiam quum ab Anaxarcho dicta eſſent, eos qui participes conſilij initi erant, ea laudaſſe, & initium adorandi facere velle dixiſſe. pleroſque verò Macedones, qui Anaxarchi orationem improbarent, tacuiſſe. Calliſthenem autem abrupto ſilentio in hanc ſententiã dixiſſe: « Equidem, Anaxarche, Alexandrũ nullo planè honore, qui quidẽ hominibus conueniat, indignum eſſe cenſeo. « Cæterum ſtatuta ſunt inter homines diuini & humani honoris diſcrimina, « cùm multis aliis rebus, tum templorũ exædificatione, & ſtatuarũ erectione. «

diis enim delubra cōſecramus, iiſque ſacra facimus & libamus. rurſus hymni deorū ſunt, laudes hominū, ſed non cū adoratione coniunctæ. Hominibus ſiquidem à ſalutantibus oſcula dātur: eos verò edito loco poſitos, ne contingi quidē fas eſt, ideóque adoratione coluntur. Tripudia etiā ſaltationéſque diis fiunt, & pæanes cātantur. Neque verò mirū id eſt, quū ex diis alij aliis honores tribuantur. & quidē heroibus alij, etiā ipſi à diuinis honoribus diuerſi. Non eſt igitur conſentaneum hæc omnia inter ſe confundere, neque hominē nimiis honoribus ſupra humanum modū extollere, & deos ad ſtatum ab illorū dignitate alienum redigere, vt nimirū eodē quo homines cultu colātur. Neque enim pateretur Alexander priuatum aliquem, regios honores electione ſuffragiiſque illegitimis, vſurpare. Multo itaque iuſtius deos indignaturos ſi quis mortaliū diuinos honores ſibi arroget, aut ab aliis delatos ſuſtineat. Atque Alexandrum quidem infinitis partibus fortium virorum fortiſſimum eſſe atque haberi, inter reges maximè regiū, inter imperatores maximè imperio dignum. Ac te quidem, Anaxarche, ſi quē alium, oportebat huiuſmodi ſermonibus Alexandrū inſtruere, atque à cōtrariis deterrere, cuius ille quotidiana cōſuetudine propter ſapientiā & eruditionem vtitur. Neque te cōueniebat huius ſermonis autorem eſſe: at potius meminiſſe, te non id Cambyſæ aut Xerxi conſulere, ſed Philippi filio, qui ab Hercule atque Achille genus ducat, cuius maiores ex Argis in Macedoniam venerunt, neque vi ſed Macedonū moribus atque inſtitutis imperium tenuerunt. ſed ne Herculi quidem, quum adhuc in viuis eſſet, diuini honores à Græcis delati ſunt, imo ne mortuo quidē, donec Delphico oraculo vt pro deo coleretur iuſſum fuit. Si verò, quòd in barbara regione pauci ſint, barbaricos ſenſus induere oportet, ego te, Alexāder, vt Grȩciæ memineris oro, cuius gratia hæc omnis expeditio à te ſuſcepta eſt, vt Aſiam Græciæ adiicias. Nunc verò cogita, an quum in Græciam redieris, Grȩcos liberrimos populos ad tui adorationē ſis cōpulſurus, aut an, Græcis exemptis, Macedonas tātum hoc dedecore ſis oneraturus: aut an tibi diuerſi planè honores ſint decernēdi, Græcis quidem humanos honores Grȩcorū more tibi deferētibus: barbaris autē, barbaricè te colētibus. Si vero de Cyro Cambyſæ filio dicitur, primum omniū mortaliū Cyrum ab hominibus adoratione cultum fuiſſe, atque ab hoc ſummiſſionē hāc Perſis & Medis permāſiſſe, cogitare te oportet Scythas populum inopē, liberū tamē, Cyri inſolētiā cōpeſcuiſſe. Dariū rurſus alij Scythæ ad modeſtiā redegerūt, Xerxē Athenienſes & Lacedęmonij, Artaxerxē Clearchus & Xenophon, cum decē tantum hominū millibus. Dariū etiam hunc, Alexander, quū nulla illi adoratio decreta eſſet. Hæc aliáque eiuſcemodi quum dixiſſet Calliſthenes, Alexandrū quidē moleſtiſſimè tuliſſe, Macedonib. verò gratiſſima accidiſſe. quo cognito, Alexandrū miſiſſe qui Macedonas ambirent, vti adorationis memores eſſent, ſilētióq; ad hūc

A τεμένη τοῖς θεοῖς τις ἐξαιρεῖται, καὶ θύεται ἐκείνοις, καὶ σπένδεται. καὶ ὕμνοι μὲν ἐς τοὺς θεοὺς ποιοῦνται, ἔπαινοι δὲ ἐς ἀνθρώπους· ἀτὰρ οὐχ ἥκιστα τῷ τῆς προσκυνήσεως νόμῳ. τοὺς μὲν γὰρ ἀνθρώπους φιλεῖσθαι πρὸς τῶν ἀσπαζομένων· τὸ θεῖον δὲ ἄνω που ἱδρυμένον, καὶ οὐδὲ ψαῦσαι αὐτοῦ θέμις, ἐπὶ τῷδε ἄρα τῇ προσκυνήσει γεραίρεται. καὶ χοροὶ τοῖς θεοῖς ἵστανται, καὶ παιᾶνες ἐπὶ τοῖς θεοῖς ᾄδονται. καὶ οὐδὲν θαυμαστὸν, ὁπότε γε καὶ αὐτῶν τῶν θεῶν ἄλλοις ἄλλαι τιμαὶ πρόσκεινται, καὶ ναὶ μάλιστα ἥρωσιν ἄλλαι, καὶ B αὗται ἀποκεκριμέναι τοῦ θείου. οὔκουν εἰκὸς ξύμπαντα ταῦτα ταράσσοντας, τοὺς μὲν ἀνθρώπους ἐς σχῆμα ὑπέρογκον καθιστάναι τὴν τιμὴν ταῖς ὑπερβολαῖς, τοὺς θεοὺς δὲ (τό γε ἐπὶ σφίσιν) ἐς ταπεινότητα οὐ πρέπουσαν καταβάλλειν, τὰ ἴσα ἀνθρώποις τιμῶντας. οὔκουν οὐδὲ Ἀλέξανδρον ἀνασχέσθαι ἂν, εἴ τις τῶν ἰδιωτῶν τις εἰσποιοῖτο τῆς βασιλικῆς τιμῆς χειροτονίᾳ ἢ ψήφῳ οὐ δικαίᾳ. πολὺ ἂν οὖν δικαιότερον τοὺς θεοὺς δυσχεραίνειν, ὅσοι ἄνθρωποι ἐς τὰς θείας τιμὰς σφᾶς εἰσποιοῦσιν, ἢ πρὸς ἄλλων εἰσποιούμενοι ἀνέχονται. Ἀλέξανδρον δὲ πόρρω τοῦ ἱκανοῦ ἀνδρῶν ἀγα- C θῶν τὸν ἄριστον εἶναί τε καὶ δοκεῖν, καὶ βασιλέων τὸν βασιλικώτατον, καὶ στρατηγῶν τὸν ἀξιοστρατηγότατον. καὶ σὲ, εἴπερ τινὰ ἄλλον, ὦ Ἀνάξαρχε, εἰσηγητήν τε τούτων τῶν λόγων ἐχρῆν γίγνεσθαι, καὶ κωλυτὴν τῶν ἐναντίων ἐπὶ σοφίᾳ τε καὶ παιδεύσει Ἀλεξάνδρῳ ξυνόντα. οὔκουν ἄρχειν σε τοῦδε τοῦ λόγου πρέπον ἦν, ἀλλὰ μεμνῆσθαι γὰρ οὐ Καμβύσῃ οὐδὲ Ξέρξῃ ξυνόντα ἢ συμβουλεύοντα, ἀλλὰ Φιλίππου μὲν παιδὶ, Ἡρακλείδῃ δὲ ἀπὸ γένους, καὶ Αἰακίδῃ, ὅτου οἱ πρό- D γονοι ἐξ Ἄργους ἐς Μακεδονίαν ἦλθον, οὐδὲ βίᾳ ἀλλὰ νόμῳ Μακεδόνων ἄρχοντες διετέλεσαν. οὔκουν οὐδὲ αὐτῷ τῷ Ἡρακλεῖ ζῶντι ἔτι θεῖαι τιμαὶ παρ' Ἑλλήνων ἐγένοντο, ἀλλ' οὐδὲ τελευτήσαντι πρόσθεν, ἢ πρὸς τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς ἐπιθεσπισθῆναι, ὡς θεὸν τιμᾶν Ἡρακλέα. εἰ δ' ὅτι ἐν τῇ βαρβάρῳ γῇ ὀλίγοι γίγνωνται, βαρβαρικὰ χρὴ ἔχειν τὰ φρονήματα, καὶ ἐγὼ τῆς Ἑλλάδος μεμνῆσθαί σε ἀξιῶ, ὦ Ἀλέξανδρε, ἧς ἕνεκα ὁ πᾶς στόλος σοι ἐγένετο, προσθεῖναι τὴν Ἀσίαν τῇ Ἑλλάδι. καὶ οὖν ἐνθυμήθητι, ἐκεῖσε ἐ- E πανελθὼν, ἆρά γε καὶ τοὺς Ἕλληνας τοὺς ἐλευθερωτάτους προσαναγκάσεις ἐς τὴν προσκύνησιν, ἢ Ἑλλήνων μὲν ἀφέξῃ, Μακεδόσι δὲ προσθήσεις τήνδε τὴν ἀτιμίαν, ἢ διακεκριμένα ἔσται σοι αὐτῷ τὰ τῶν τιμῶν ἐσάπαν, ὡς πρὸς Ἑλλήνων μὲν καὶ Μακεδόνων ἀνθρωπίνως τε καὶ Ἑλληνικῶς τιμᾶσθαι· πρὸς δὲ τῶν βαρβάρων μόνων βαρβαρικῶς. εἰ δὲ ὑπὲρ Κύρου τοῦ Καμβύσου λέγεται, τὸ πρῶτον προσκυνηθῆναι ἀνθρώπων Κῦρον, καὶ ἐπὶ τῷδε ἐμμεῖναι Πέρσαις τε καὶ Μήδοις τήνδε τὴν ταπεινότητα, χρὴ ἐνθυμεῖσθαι ὅτι τὸν Κῦ- F ρον ἐκεῖνον Σκύθαι ἐσωφρόνισαν, πένητες ἄνδρες καὶ αὐτόνομοι, καὶ Δαρεῖον ἄλλοι αὖ Σκύθαι, καὶ Ξέρξην Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, καὶ Ἀρταξέρξην Κλέαρχος καὶ Ξενοφῶν, καὶ οἱ ξὺν τούτοις μύριοι, καὶ Δαρεῖον τοῦτον Ἀλέξανδρος, μὴ προσκυνούμενος. ταῦτα δὴ καὶ τοιαῦτα εἰπόντα Καλλισθένην, ἀνιᾶσαι μὲν μεγάλως τι Ἀλέξανδρον, Μακεδόσι δὲ ἀδελφὰ εἰπεῖν· καὶ τοῦτο γνόντα Ἀλέξανδρον, πέμψαντα κωλῦσαι Μακεδόνας, μεμνῆσθαι ἔτι τῆς προσκυνήσεως. ἀλλὰ σιγῆς γὰρ

γινομένης ἐπὶ τοῖς λόγοις, ἀναστάντας Περσῶν τοὺς πρεσβυτάτους, ἐφεξῆς προσκυνεῖν. Λεοννάτον δὲ ἕνα τῶν ἑταίρων, ἐπειδή τις ἐδόκει τῶν Περσῶν αὐτῷ οὐκ ἐν κόσμῳ προσκυνῆσαι, τὸν δὲ ἐπιγελάσαι τῷ σχήματος τοῦ Πέρσου, ὡς ταπεινοῦ. καὶ τούτου χαλεπήναντα τότε Ἀλέξανδρον, ξυναλλαγῆναι αὖθις. ἀναγέγραπται δὲ δὴ καὶ τοιόσδε λόγος· προπίνειν φιάλην χρυσῆν ἐν κύκλῳ Ἀλέξανδρον, πρώτοις μὲν τούτοις πρὸς οὕστινας ξυνέκειτο αὐτῷ τὰ τῆς προσκυνήσεως· τὸν δὲ πρῶτον ἐκπιόντα τὴν φιάλην, προσκυνῆσαί τε ἀναστάντα, καὶ φιληθῆναι πρὸς αὐτοῦ, καὶ τοῦτο ἐφεξῆς διὰ πάντων χωρῆσαι. ὡς δὲ ἐς Καλλισθένην ἧκεν ἡ πρόποσις, ἀναστῆναι μὲν Καλλισθένην, καὶ ἐκπιεῖν τὴν φιάλην, καὶ προσελθόντα ἐθέλειν φιλῆσαι, οὐ προσκυνήσαντα. τὸν δὲ τυχεῖν μὲν τότε διαλεγόμενον Ἡφαιστίωνι· οὔκουν προσέχειν τὸν νοῦν, εἰ καὶ τὰ τῆς προσκυνήσεως ἐπιτελῆ αὐτῷ Καλλισθένει ἐγίγνετο. ἀλλὰ Δημήτριον γὰρ τὸν Πυθώνακτος, ἕνα τῶν ἑταίρων, ὡς προσῄει αὐτῷ ὁ Καλλισθένης φιλήσων, φάναι, ὅτι οὐ προσκυνήσας προσέρχεται, καὶ τὸν Ἀλέξανδρον οὐ παρασχεῖν φιλῆσαι ἑαυτόν· τὸν δὲ Καλλισθένην, φιλήματι (φάναι) ἔλαττον ἔχων ἄπειμι. καὶ τούτων ἐγὼ ὅσα ἐς ὕβριν τὴν Ἀλεξάνδρου τὴν ἐν τῷ παραυτίκα, καὶ ἐς σκαιότητα τὴν Καλλισθένους φέροντα, οὐδὲν οὐδαμῇ ἐπαινῶ· ἀλλὰ τὸ καθ' αὑτὸν γὰρ κοσμίως τίθεσθαι ἐξαρκεῖν φημι, αὔξοντα (ὡς ἀνυστὸν) τὰ βασιλέως πράγματα, ὅτῳ τις ξυνεῖναι οὐκ ἀπηξίωσεν. οὔκουν ἀπεικότως δι' ἀπεχθείας γενέσθαι Ἀλεξάνδρῳ Καλλισθένην τίθεμαι, ἐπὶ τῇ ἀκαίρῳ τε παρρησίᾳ, καὶ ὑπερόγκῳ ἀβελτηρίᾳ. ἐφ' ὅτῳ τεκμαίρομαι μὴ χαλεπῶς πιστευθῆναι τοὺς κατειπόντας Καλλισθένους, ὅτι μετέσχε τῆς ἐπιβουλῆς τῆς γενομένης Ἀλεξάνδρῳ ἐκ τῶν παίδων· τοὺς δὲ, ὅτι καὶ ἐπῆρεν αὐτοὺς εἰς τὸ ἐπιβουλεῦσαι. ξυνέβη δὲ τὰ τῆς ἐπιβουλῆς ὧδε. Ἐκ Φιλίππου ἦν ἤδη καθεστηκὸς, τῶν ἐν τέλει Μακεδόνων τοὺς παῖδας, ὅσοι ἐς ἡλικίαν ἐμειρακίσαντο, καταλέγεσθαι ἐς θεραπείαν τοῦ βασιλέως, τά τε περὶ τὴν ἄλλην δίαιταν τοῦ σώματος διακονεῖσθαι βασιλεῖ, καὶ κοιμώμενον φυλάσσειν τούτοις ἐπετέτραπτο· καὶ ὁπότε ἐξελαύνοι βασιλεὺς, τοὺς ἵππους παρὰ τῶν ἱπποκόμων δεχόμενοι ἐκεῖνοι προσῆγον, καὶ ἀνέβαλλον οὗτοι βασιλέα τὸν Περσικὸν τρόπον, καὶ τῆς ἐπὶ θήρᾳ φιλοτιμίας βασιλεῖ κοινωνοὶ ἦσαν. τούτων καὶ Ἑρμόλαος ἦν, Σωπόλιδος μὲν παῖς, φιλοσοφίᾳ δὲ ἐδόκει προσέχειν τὸν νοῦν, καὶ Καλλισθένην θεραπεύειν. ἐπὶ τῷ δὲ ὑπὲρ τούτου λόγος πρεσβεύει, ὅτι ἐς θήραν προσφερομένου Ἀλεξάνδρῳ συὸς, ἔφθη βαλὼν τὸν σῦν ὁ Ἑρμόλαος. καὶ ὁ μὲν σῦς πίπτει βληθείς. Ἀλέξανδρος δὲ τοῦ καιροῦ ὑστερήσας, ἐχαλέπηνε τῷ Ἑρμολάῳ, καὶ κελεύει αὐτὸν πρὸς ὀργὴν πληγὰς λαβεῖν; ὁρώντων τῶν ἄλλων παίδων, καὶ τὸν ἵππον αὐτοῦ ἀφείλετο. τοῦτον τὸν Ἑρμόλαον ἀλγήσαντα τῇ ὕβρει, φράσαι πρὸς Σώστρατον τὸν Ἀμύντου, ἡλικιώτην τε αὐτοῦ καὶ ἐραστὴν ὄντα, ὅτι οὐ βιωτὸν ἐστὶ μὴ τιμωρησαμένῳ Ἀλέξανδρον τῆς ὕβρεως. καὶ τὸν Σώστρατον οὐ χαλεπῶς συμπεῖσαι μετασχεῖν τοῦ ἔργου, ἅτε ἐρῶντα. ὑπὸ τούτων δὲ ἀναπεισθῆναι Ἀντίπατρόν τε τὸν Ἀσκληπιοδώρου τοῦ Συρίας σατραπεύσαντος, καὶ Ἐπιμένην τὸν Ἀρσέου, καὶ

A ſermonem facto, qui inter Perſas ætate dignitatéque præſtabant conſurrexiſſe, cúmque adoraſſe. Leonnatum verò, vnum ex amicis, quum ex Perſis quendam indecorè adorantem conſpexiſſet, geſtum illius Perſæ, vt nimis abiectū, irriſiſſe. Alexandrū verò tūc indignatū, poſtea conciliatum fuiſſe. Sunt qui ſcribāt, Alexandrum phialam auream in corona propinaſſe, iis quidem primùm quibuſcum de ſe adorando conueniſſet: cúmque qui primus ebibiſſet, conſurrexiſſe atque adoraſſe, deinde oſculatum eſſe. idque ordine deinceps à reliquis factitatum. B Quúmque propinandi ordo ad Calliſthenem veniſſet, conſurrexiſſe quidem, & phialam ebibiſſe, propiúſque accedentem oſculari voluiſſe, adoratione prætermiſſa. At tū fortè Alexandrū ſermonem cum Hepheſtione habuiſſe, eámque ob rem non animaduertiſſe an integrā adorationem deferret. Demetrium verò Pythonactis filium, vnum ex amicis, quū Calliſthenes Alexandrum oſculaturus accederet, dixiſſe, illum eo non adorato accedere, C atque ita Alexandrum eius oſculum non admiſiſſe. Tum Calliſthenem dixiſſe, ſe oſculi iactura facta diſcedere. Ego verò nihil aut eorum quæ ad ignominiam Alexandri pertinent, aut Calliſthenis aſperitatem morum laudauerim. Sufficere autem exiſtimauerim modeſtiam præ ſe ferre, cúmque qui regi inſeruire velit, eius negotia, quoad fieri poteſt, promouere. Non igitur immerito odioſum fuiſſe Alexandro Calliſthenem cenſeo, ob intempeſtiuam eius loquendi libertatem, & ineptam arrogantiam. D Quam quidem ob cauſam crediderim facilè fidem adhibitam fuiſſe delatoribus, qui Calliſthenem inſidiarum, quæ Alexandro per pueros ſtructæ erant, conſcium fuiſſe accuſarant: aliiſque, qui illos ab eo incitatos dicebant. Inſidiæ verò huiuſcemodi fuerunt. Erat iam antè à Philippo inſtitutum, vti Macedonū, qui in aliqua dignitate conſtituti eſſent, filij quum adoleuiſſēt, ad regium miniſteriū deligerentur, & cùm ad alia quæ ad regij corporis curā pertinerēt præſto eſſent, tū eo cubante E cuſtodias agerēt. Hi equos quū rex aſcenſurus eſſet, ab equiſonib⁹ acceptos ad regem adducebāt: eum Perſico more in equū imponebāt, & venationi ſtudentē comitabantur. In his erat Hermolaus Sopolidis F. qui quidem philoſophiæ ſtudioſus eſſe videbatur, & Calliſthenē obſeruare. Hunc Hermolaū, rumor eſt quū Alexandro inter venandū aper occurriſſet, in eo feriendo Alexandrum præueniſſe. atque aper quidem ictus procidit. Indignatum regem opportunitatem feriendi apri ſibi præreptam, F adoleſcentem per iram, cæteris pueris ſpectantibus verberari, eíque equum adimi, iuſſiſſe. quam contumeliam ægrè ferentem Hermolaum, rem cum Soſtrato Amyntæ filio, æquali atque amico ſuo communicaſſe, vitam ſibi acerbam teſtatum, niſi Alexandri iniuriam vlciſceretur. Ac Soſtratum quidem, non difficulter, vtpote amicū, in ſocietatē facinoris pertractum eſſe. Ab hoc Antipatrū etiā Aſclepiodori (qui ſatrapatū Syriæ gerebat) F. perſuaſum, & Epimenem Arſei filium, atque

Curt. Polyperchō, qui cubabat ſuper regem, vnum ex iis mento contingētem humum, per ludibriū cœpit hortari, vt vehemētius id quateret ad terrā, elicuitque iram Alexandri.

Curt. Hermola⁹ puer nobilis ex regia cohorte, quum aprum telo occupaſſet, quem rex ferire deſtinauerat, iuſſu eius verberibus affectus eſt.

Curt. Quā ignominiam ægrè ferens deflere apud Soſtratū cœpit Ex eadē cohorte erat Soſtratus, amore eius ardens.

Curt. Stationis ſuæ nox.

Anticlem Theocriti, vnáque Philotam Carſidis Thracis filium. Quum itaque nocturnæ cuſtodiæ vices ad Antipatrum reuolutæ eſſent, ea nocte ſtatutum fuiſſe Alexandrum dormientem opprimere. Contigiſſe verò vt ſua ſponte, quemadmodum nonnulli ſcribunt, Alexander in lucem vſque potaret. At Ariſtobulus autor eſt, muliorem quandam Syram numine correptam Alexādrum ſequutam. atque hanc quidem initio & Alexandro eiúſque familiaribus riſui fuiſſe. quum verò in illa numinis afflatione omnia vera vaticinaretur, non amplius ab Alexandro contemtui habitam, ſed liberum Syræ ad regem & noctu & interdiu acceſſum factum fuiſſe, ac ſæpenumero etiam dormienti adfuiſſe. Hanc tum fortè regi è compotatione diſcedenti numine afflatam occurriſſe, atque vt reuerſus totam noctem potando traduceret oraſſe. Alexandrum diuinos monitus eſſe ſuſpicatum, ad pocula rediiſſe. & puerorum conatus irritos fuiſſe. Poſtero die Epimenes Arſei filius vnus ex coniuratis Charicli Menādri filio amico ſuo rem aperit, Charicles Eurylocho Epimenis fratri: Eurylochus Alexandri tabernaculum ingreſſus, Ptolomęo Lagi filio corporis cuſtodi totum negotium declarat: is Alexandro id ſignificat. qui ſtatim eos quorum nomina detulerat Eurylochus comprehendi iubet. Hi quæſtione adhibita, "& ſuū de inſidiis conſilium aperuerunt, & alios nonnullos nominarunt. Ariſtobulus quidem autor eſt, illos hoc etiam dixiſſe, ſe à Calliſthene ad facinus adeundum incitatos fuiſſe. quod & Ptolemæus affirmat. Sunt verò qui aliter hac de re ſcribunt: nimirū Alexandrū quòd odio Calliſthenis laboraret, & quòd magna Hermolao cum Calliſthene familiaritas intercederet, facilè in ſiniſtram de Calliſthene ſuſpicionē à delatoribus adductū. Nonnulli etiā tradunt, Hermolaum ad Macedonas productum, inſidias abs ſe ſtructas confeſſum. Neque enim "liberi hominis eſſe, Alexandri cōtumelias ferre. omniáq; ab Alexandro perpetrata recēſuiſſe: nimirū iniuſtā Philotæ necem, & patris eius Parmenionis, atque eorū qui tum temporis interfecti fuerant, multo iniquiorē: Cliti etiā per temulentiam cædem, habitum quoque Medorū aſſumtū. adorationē decretā, neque adhuc abolitā. adhæc potationes, & ſomnolentiā Alexādri: quæ quū diutius ferre nō poſſet, voluiſſe ſe reliquóſq; Macedonas in libertatem vindicare. Tum Hermolaū & cæteros cōprehenſos, à circunſtantibus lapidibus obrutos fuiſſe. Ariſtobulus verò, Calliſthenē cōpedibus vinctū in exercitu ductū fuiſſe, ac poſtea morbo interiiſſe ſcribit. Ptolemæus illū tortū ac deinde ſuſpenſum vitā finiſſe ait. adeò ne ipſi quidē ſcriptores quorum magna eſt fides, quiq; tum tēporis Alexandro aderant, de rebus manifeſtis, quęque quo pacto geſtæ eſſent eos nequaquam latebant, inter ſe conſentiunt. Multa verò etiam alia alij de hiſce rebus diuerſáque ſcripſerunt. Sed de his abundè à me iam dictum eſt. quæ quidem, quia haud multo pòſt tempore acta fuerunt, iis quæ Clito acciderunt adieci,

Curt. Quæ agitauerant, ſine cunctatione confeſſi ſunt.

Curt. Quia nō vt ingenuis imperare cœpiſti, ſed quaſi in mancipia dominaris.

A Ἀντικλέα τὸν Θεοκρίτου, καὶ Φιλώταν τὸν Καρσίδος τοῦ Θρᾳκός. ὡς οὖν περιῆκεν ἐς Ἀντίπατρον ἡ νυκτερινὴ φυλακή, ταύτῃ τῇ νυκτὶ ξυγκείμενον εἶναι ἀποκτεῖναι Ἀλέξανδρον, κοιμωμένῳ ἐπιπεσόντας. ξυμβῆναι δὲ οἱ μὲν αὐτομάτως λέγουσιν, ἔστε ἡμέραν πίνειν Ἀλέξανδρον. Ἀριστόβουλος δὲ ὧδε ἀνέγραψε· Σύραν γυναῖκα ἐφομαρτεῖν Ἀλεξάνδρῳ, κάτοχον ἐκ τοῦ θείου γιγνομένην, καὶ ταύτην τὰ μὲν πρῶτα γέλωτα εἶναι Ἀλεξάνδρῳ τε καὶ τοῖς ἀμφ' αὐτόν. ὡς δὲ τὰ πάντα ἐν τῇ κατοχῇ ἀληθεύουσα ἐφαίνετο, οὐκέτι
B ἀμελεῖσθαι ὑπ' Ἀλεξάνδρου, ἀλλ' εἶναι γὰρ τῇ Σύρᾳ πρόσοδον πρὸς τὸν βασιλέα, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ καθεύδοντι πολλάκις ἤδη ἐπιστῆναι. καὶ δὴ τότε ἀπαλλασσομένου ἐκ τοῦ πότου κατεχομένην ἐκ τοῦ θείου ἐντυχεῖν, καὶ δεῖσθαι, ἐπανελθόντα πίνειν ὅλην τὴν νύκτα. καὶ Ἀλέξανδρον θεῖόν τι εἶναι νομίσαντα, ἐπανελθεῖν τε καὶ πίνειν, καὶ οὕτω τοῖς παισὶ διαπεσεῖν τὸ ἔργον. τῇ δὲ ὑστεραίᾳ Ἐπιμένης ὁ Ἀρσέου τῶν μετεχόντων τῆς ἐπιβουλῆς, φράζει τὴν πρᾶξιν Χαρικλεῖ τῷ Μενάνδρου, ἐραστῇ ἑαυτοῦ γεγονότι·
C Χαρικλῆς δὲ φράζει Εὐρυλόχῳ τῷ ἀδελφῷ τοῦ Ἐπιμένους. καὶ ὁ Εὐρύλοχος ἐλθὼν ἐπὶ τὴν σκηνὴν Ἀλεξάνδρου, Πτολεμαίῳ τῷ Λάγου τῷ σωματοφύλακι καταλέγει ἅπαν τὸ πρᾶγμα. ὁ δὲ Ἀλεξάνδρῳ ἔφρασε. καὶ Ἀλέξανδρος ξυλλαβεῖν κελεύει, ὧν τὰ ὀνόματα εἶπεν ὁ Εὐρύλοχος. καὶ οὗτοι στρεβλούμενοι, σφᾶς τε αὐτῶν κατεῖπον τὴν ἐπιβουλήν, καί τινας καὶ ἄλλους ὠνόμασαν. Ἀριστόβουλος μὲν λέγει, ὅτι καὶ Καλλισθένην ἐπᾶραι σφᾶς ἔφασαν ἐς τὸ τόλμημα· καὶ Πτολεμαῖος ὡσαύτως λέγει. οἱ δὲ πολλοὶ οὐ ταύτῃ λέ-
D γουσιν, ἀλλὰ διὰ μῖσος γὰρ τὸ ἤδη ὂν πρὸς Καλλισθένην ἐς Ἀλέξανδρον, καὶ ὅτι ὁ Ἑρμόλαος ἐς τὰ μάλιστα ἐπιτήδειος ἦν τῷ Καλλισθένει, οὐ χαλεπῶς πιστεῦσαι τὰ χείρω ὑπὲρ Καλλισθένους Ἀλέξανδρον. ἤδη δέ τινες καὶ τάδε ἀνέγραψαν· τὸν Ἑρμόλαον προαχθέντα ἐς τοὺς Μακεδόνας, ὁμολογεῖν τε ἐπιβουλεῦσαι· καὶ γὰρ οὐκ εἶναι ἔτι ἐλευθέρῳ ἀνδρὶ φέρειν τὴν ὕβριν τὴν Ἀλεξάνδρου· πάντα καταλέγοντα, τήν τε Φιλώτα οὐκ ἔνδικον τελευτήν, καὶ τοῦ πατρὸς αὐτοῦ Παρμενίωνος ἔτι ἐκνομωτέραν, καὶ τῶν
E ἄλλων τῶν τότε ἀποθανόντων, καὶ τὴν Κλείτου ἐν μέθῃ ἀναίρεσιν, καὶ τὴν ἐσθῆτα τὴν Μηδικήν, καὶ τὴν προσκύνησιν τὴν βουλευθεῖσαν, καὶ οὔπω πεπαυμένην, καὶ πότους τε καὶ ὕπνους τοὺς Ἀλεξάνδρου. ταῦτα οὐ φέροντα ἔτι, ἐλευθερῶσαι ἐθελῆσαι ἑαυτόν τε καὶ τοὺς ἄλλους Μακεδόνας. τοῦτον μὲν δὴ αὐτόν τε καὶ τοὺς ξὺν αὐτῷ ξυλληφθέντας καταλευσθῆναι πρὸς τῶν παρόντων. Καλλισθένην δὲ Ἀριστόβουλος μὲν λέγει δεδεμένον ἐν πέδαις ξυμπεριάγεσθαι τῇ στρατιᾷ, ἔπειτα νόσῳ τελευτῆσαι. Πτολεμαῖος δὲ ὁ
F Λάγου, στρεβλωθέντα καὶ κρεμασθέντα ἀποθανεῖν. οὕτως οὐδὲ οἱ πάνυ πιστοὶ ἐς τὴν ἀφήγησιν, καὶ ξυγγενόμενοι ἐν τῷ τότε Ἀλεξάνδρῳ, ὑπὲρ τῶν γνωρίμων τε καὶ οὐ λαθόντων σφᾶς ὅπως διεπράχθη, ξύμφωνα ἀνέγραψαν. πολλὰ δὲ καὶ ἄλλα ὑπὲρ τούτων αὐτῶν ἄλλοι ἄλλως ἀφηγήσαντο· ἀλλ' ἐμοὶ τὰ ἀποχρῶντα ἔστιν ἀναγεγραμμένα. ταῦτα μὲν δὴ οὐ πολλῷ ὕστερον πραχθέντα, ἐγὼ ἐν τοῖσδε τοῖς ἀμφὶ Κλεῖτον ξυνενεχθεῖσιν Ἀλεξάνδρῳ ἀνέγραψα τούτοις μᾶλλον,

ἔτι οἰκεῖα ὑπολαβὼν ἐς τὴν ἀφήγησιν.

Παρ' Ἀλέξανδρον δὲ ἧκε καὶ αὖθις Σκυθῶν τῶν ἐκ τῆς Εὐρώπης πρεσβεία, ξὺν τοῖς πρέσβεσιν οὓς αὐτὸς ἐς Σκύθας ἔστειλεν· ὁ μὲν δὴ τότε βασιλεὺς τῶν Σκυθῶν, ὅτε οὗτοι ὑπ' Ἀλεξάνδρου ἐπέμποντο, τετελευτηκὼς ἐτύγχανεν· ἀδελφὸς δὲ ἐκείνου ἐβασίλευεν. ἦν δὲ ὁ νοῦς τῆς πρεσβείας, ἐθέλειν ποιεῖν πᾶν τὸ ἐξ Ἀλεξάνδρου ἐπαγγελλόμενον Σκύθας. καὶ δῶρα ἔφερον Ἀλεξάνδρῳ παρὰ τοῦ βασιλέως τῶν Σκυθῶν, ὅσα μέγιστα νομίζεται ἐν Σκύθαις. καὶ τὴν θυγατέρα ὅτι ἐθέλει Ἀλεξάνδρῳ δοῦναι γυναῖκα, βεβαιότητος οὕνεκα τῆς πρὸς Ἀλέξανδρον φιλίας τε καὶ συμμαχίας. εἰ δὲ ἀπαξιοῖ τὴν Σκυθῶν βασίλισσαν γῆμαι Ἀλέξανδρος, ἀλλὰ τῶν γε σατραπῶν τῶν τῆς Σκυθικῆς χώρας, καὶ ὅσοι ἄλλοι δυνάσται κατὰ τὴν γῆν τὴν Σκυθίδα, τούτων τὰς παῖδας ἐθέλειν δοῦναι τοῖς πιστοτάτοις τῶν ἀμφ' Ἀλέξανδρον. ἥξειν δὲ καὶ αὐτὸς ἔφασκεν, εἰ κελεύοιτο, ὡς παρ' αὐτοῦ Ἀλεξάνδρου ἀκούσας ὅσα ἐπαγγέλλοι. ἀφίκετο δὲ ἐν τούτῳ παρ' Ἀλέξανδρον καὶ Φαραιμάνης ὁ Χωρασμίων βασιλεὺς, ξὺν ἱππεῦσι χιλίοις καὶ πεντακοσίοις. ἔφασκε δὲ ὁ Φαραιμάνης, ὅμορος οἰκεῖν τῷ τε Κόλχων γένει καὶ ταῖς γυναιξὶ ταῖς Ἀμαζόσιν. καὶ εἰ ἐθέλει Ἀλέξανδρος, ἐπὶ Κόλχους τε καὶ Ἀμαζόνας ἐλάσας, καταστρέψασθαι τὰ ἐπὶ τὸν πόντον τὸν Εὔξεινον ταύτῃ καθήκοντα γένη, ὁδῶν τε ἡγεμὼν ἔσεσθαι ἐπηγγέλλετο, καὶ τὰ ἐπιτήδεια τῇ στρατιᾷ παρασκευάζειν. τοῖς τε οὖν παρὰ τῶν Σκυθῶν ἥκουσι φιλανθρώπως ἀποκρίνεται Ἀλέξανδρος, καὶ ἐς τὸν τότε καιρὸν ξύμφορα· γάμου δὲ οὐδὲν δεῖσθαι Σκυθικοῦ. καὶ Φαραιμάνην ἐπαινέσας τε, καὶ φιλίαν καὶ ξυμμαχίαν πρὸς αὐτὸν ξυνθέμενος, αὐτῷ μὲν τότε οὐκ ἔφη ἐν καιρῷ εἶναι ἐλαύνειν ἐπὶ τὸν πόντον. Ἀρταβάζῳ δὲ τῷ Πέρσῃ, ὅτῳ τὰ Βακτρίων ἐξ Ἀλεξάνδρου ἐπιτέτακτο, καὶ ὅσοι ἄλλοι πρόσχωροι τούτῳ σατράπαι, ξυστήσας Φαραιμάνην ἀποπέμπει ἐς τὰ ἔθνη αὐτοῦ· αὐτῷ δὲ τὰ Ἰνδῶν ἔφη ἐν τῷ τότε μέλλειν, καὶ τούτους καταστρεψάμενος, πᾶσαν δὴ ἔχειν τὴν Ἀσίαν. ἐχομένης δὲ τῆς Ἀσίας, ἐπανιέναι ἐς τὴν Ἑλλάδα. ἐκεῖθεν γὰρ ἐφ' Ἑλλησπόντου τε καὶ τῆς Προποντίδος ξὺν τῇ δυνάμει πάσῃ τῇ τε ναυτικῇ καὶ τῇ πεζικῇ, ἐλάσειν εἴσω τοῦ πόντου. καὶ ἐς τὸ τότε ἠξίου ἀποθέσθαι Φαραιμάνην, ὅσα ἐν τῷ παραυτίκα ἐπηγγέλλετο. αὐτὸς δὲ ἐπὶ τὸν Ὦξόν τε ποταμὸν ᾔει αὖθις, καὶ ἐς τὴν Σογδιανὴν χώραν προχωρεῖν ἐγνώκει, ὅτι πολλοὺς τῶν Σογδιανῶν ἐς τὰ ἐρύματα ξυμπεφευγέναι ἠγγέλλετο, οὐδὲ ἐθέλειν κατακούειν τοῦ σατράπου, ὅστις αὐτοῖς ἐξ Ἀλεξάνδρου ἐπιτέτακτο. στρατοπεδεύοντος δὲ αὐτοῦ ἐπὶ τῷ ποταμῷ τῷ Ὤξῳ, οὐ μακρὰν τῆς σκηνῆς τῆς αὐτοῦ Ἀλεξάνδρου, πηγὴ ὕδατος, καὶ ἄλλη ἐλαίου πλησίον αὐτῆς ἀνέσχε. καὶ Πτολεμαίῳ τῷ Λάγου τῷ σωματοφύλακι ἐπειδὴ ἐσηγγέλθη τὸ τέρας, Πτολεμαῖος Ἀλεξάνδρῳ ἔφρασεν. Ἀλέξανδρος δὲ ἔθυεν ἐπὶ τῷ φάσματι, ὅσα οἱ μάντεις ἐξηγοῦντο. Ἀρίστανδρος δὲ, πόνων εἶναι σημεῖον τοῦ ἐλαίου τὴν πηγὴν ἔφασκεν· ἀλλὰ καὶ νίκην ἐπὶ τοῖς πόνοις σημαίνειν. διαβὰς οὖν ξὺν μέρει τῆς στρατιᾶς ἐς τὴν Σογδιανὴν, Πολυπέρχοντα δὲ καὶ Ἄτταλον καὶ Γοργίαν καὶ Μελέαγρον αὐτοῦ ἐν Βάκτροις ὑπολιπόμενος, τούτοις μὲν παρήγγελλε τήν τε χώραν ἐν φυλακῇ ἔχειν, ὡς μή τι

quòd nō aliena ab hac narratione videretur.

Poſt hæc legati denuo ad Alexandrum à Scythis Europam incolentibus venerunt, vnà cum legatis quos ipſe ad Scythas miſerat. Rex enim Scytharum, qui tum temporis regnabat quum hi ab Alexandro mitterentur, mortem obierat, eiúſque frater regnum tenebat. Summa legationis erat, Scythas quicquid Alexander imperaret facere velle. dona etiam à Scytharum rege adferebant, quæ apud Scythas cenſentur ampliſsima. ad hęc ſe filiam ſuam Alexandro vxorem, ad amicitiam ſocietatémque confirmandam, darè velle. At ſi Scytharum reginam vxorem ducere dedignaretur, principum Scythicæ regionis, & eorum qui apud ſeſe in dignitatē conſtituti eſſent filias, iis quos Alexander maximè caros ac fidos haberet, matrimonio copulaturum. Se quoque, ſi iuberetur, venturum, vt ab ipſo Alexandro coram imperata acciperet. Eodem ferè tempore Pharæmanes Choraſmenorum rex ad Alexandrum venerat, cum equitibus M D qui ſe finitimum Colchorum genti & mulieribus Amazonibus eſſe dicebat. & ſi Alexander in Colchos & Amazonas profectus gētes Euxino ponto vicinas ſubigere in animo haberet, ſe & ducem itineris fore, omniáque exercitui neceſſaria ſuppeditaturum pollicebatur. " Alexander primùm Scythicis legatis benignè reſpondet, oratione tempori illi maximè accommodata vſus. ſe verò Scythicis nuptiis non egere. Deinde Pharæmane collaudato, ipſóque in amicitiam ac ſocietatē recepto, ſibi quidem tum commodum non eſſe dixit in Pontum proficiſci. Artabazo autem Perſæ, cui Bactrianorum regionem reliquóſque vicinos ſatrapatus Alexander commiſerat, Pharæmanem adiungens, ad ſuam gentem dimittit. Sibi verò res Indicas in animo eſſe dixit. Indis enim ſubactis, vniuerſam Aſiam in ſua poteſtate fore. porrò Aſia debellata, in Græciā reuerſurum. illinc enim, per Helleſpōtum & Propontidem, cum omnibus copiis tam natalibus quàm terreſtribus, pontum Euxinum petiturum: vtque in id tempus Pharæmanes promiſſa ſua reſeruaret iuſſit. Ipſe rurſus ad Oxum amnem contendit. decreuerat enim in Sogdianos proficiſci, quòd pleroſque Sogdianorum in arces ſeſe recepiſſe intelligeret, neque ſatrapæ quem iis Alexander conſtituerat, morem gerere velle. Quúmque prope Oxum flumen caſtra poſuiſſet, gemini fontes, alter aquam alter oleum fundens, non procul ab ipſius Alexandri tabernaculo orti ſunt. quod prodigium vbi Ptolemæo Lagi filio nuntiatū fuit, is protinus Alexandro ſignificauit. qui ſtatim ex vatum pręſcripto ſacrificium fecit. Ariſtander fontem oleo manantem labóres portendere reſpondit, victoriam tamen ex labore conſecuturam. In Sogdianos itaque cum parte exercitus progreſſus, Polyperchonte verò & Attalo, & Gorgia atque Meleagro ibi apud Bactrianos relictis, vt regionem illam præſidio

Curt. Vtraque legatione benignè audita.

Curt. Cogitationes in bellum Indicum vertit.

tenerent, ne barbari eius loci noui aliquid molirentur, vtq; eos qui diſiuncti ab ipſis eſſent expugnarent. ipſe copiis ſuis in quinque partes diuiſis, Hephæſtionem tribus partib' præeſſe iuſſit. Quarto autem agmini Cœnũ & Artabazum præfecit. Ipſe quinta parte ſecum ſumta, regionem ingreditur Maracanda verſus. reliqui, vt quiſque potuit, ingreſſi, alios qui in arces confugerant vi expugnarunt, alios deditionem voluntariè facientes receperunt. Poſtquam verò vniuerſæ copiæ, maiore Sogdianæ prouinciæ parte peragrata, ad Maracanda conuenerunt, Hephæſtionem emittit, qui in Sogdianorum vrbes colonias deducat: Cœnum autem & Artabazum in Scythas, quòd nuntiatũ fuerat Spitamenem ad eos confugiſſe. Ipſe "reliquo exercitu Sogdianorum ditionem ingreſſus, cętera oppida, quæ ab iis qui defecerant "occupabantur, paruo negotio expugnat. Dum hæc aguntur, Spitamenes, cum Sogdianorũ profugorum manu qui in Scytharum regionem profugerant, collectis Maſſagetis equitibus ſexcentis, ad arcem quandam Bactrianis oppoſitam profectus, & præfectũ præſidij nihil hoſtile expectantem adortus, militibus qui in præſidio erant interfectis, præfectum in cuſtodia tenuit. Ipſi capta hac arce, animis elati, paucis pòſt diebus Zariaſpis appropinquantes vrbem oppugnare ſtatuerunt, multámque prædam inde abegerũt. Erant in ea vrbe equites nonnulli ex amicis, inualetudinis cauſa ibi relicti, & in his Pithõ Soſiclis filius, iis qui ex regia familia Zariaſpis erant præfectus, & Ariſtonicus citharœdus. Hi cognita incurſione Scytharum (iam enim conualuerant, armáque ferre & equos conſcendere poterant) collectis mercenariis equitibus circiter LXXX, qui præſidio Zariaſpis relicti fuerant, & regiorum puerorũ nonnullis, in Maſſagetas ferũtur. ac primùm quidem, impetu in Scythas nihil tale opinantes facto, omnem prædam illis abripiunt, & eorum qui prædam abigebant pleroſque interficiunt. Qui quum incompoſito agmine, ſolutiſque ordinibus, vtpote nemine ipſos ducente, redirent, Spitamenes & Scythæ ex inſidiis eos adorti, ex amicis quidem ſeptem, ex mercenariis equitibus LX interimunt. Ariſtonicus citharœdus, qui in ea pugna ſe nõ vt citharœdum ſed ſtrenuum militem geſſerat, interfectus eſt, Pithon ſaucius viuus in hoſtium poteſtatem venit. Hæc vt "Cratero nuntiata ſunt, confeſtim in Maſſagetas contendit. qui vt illum aduentare acceperunt, effuſa fuga deſerta petierunt. Craterus acriter eos inſecutus, illos pariter alióſque Maſſagetarum equites circiter mille non procul à ſolitudine conſequitur. acre ibi inter Macedones & Scythas certamen fit: victoria penes Macedones fuit. Ex Scythis quidem CL equites cæſi. reliqui facilè per ſolitudinem euaſerunt, Macedonibus facultate perſequẽdi adempta. Inter hæc Alexander, Artabazo à ſatrapatu Bactrianorum propter ſenectutem abſoluto, Amyntam Nicolai filium in

Deeſt, τῆς χώρας, aut quippiã eiuſm.

Curt. Armis quidam ſubacti, plures ante certamẽ imperata fecerũt, quibus eorũ qui in defectione perſeuerauerãt vrbes agróſque iuſſit attribui.

Curt. Celeriter ad Craterum huius cladis fama perlata eſt, qui cum omni equitatu ſuperuenit.

A νεωτερίσωσιν οἱ ταύτῃ βάρβαροι, καὶ τοὺς ἔτι ἀφεστηκότας αὐτῶν ἐξαιρεῖν· αὐτὸς δὲ ἐς πέντε μέρη διελὼν τὴν ἅμα οἱ στρατιάν, τὸν μὲν Ἡφαιστίωνα ἄρχειν " ἐπέταξε. τῆς δὲ τετάρτης τάξεως, Κοῖνος καὶ Ἀρτάβαζος ἡγοῦντο αὐτῶν. τὴν δὲ πέμπτην μοῖραν ἀναλαβὼν αὐτός, ἐπῄει τὴν χώραν ὡς ἐπὶ Μαράκανδα. καὶ οἱ ἄλλοι, ὡς ἑκάστοις προὐχώρει, ἐπῄεσαν, τοὺς μέν τινας τῶν ἐς τὰ ἐρύματα ξυμπεφευγότων βίᾳ ἐξαιροῦντες, τοὺς δὲ καὶ ὁμολογίᾳ προσχωροῦντας σφίσιν ἀναλαμβάνοντες. ὡς δὲ ξύμπασα αὐτῷ ἡ δύναB μις, ἐπελθοῦσα τῶν Σογδιανῶν τῆς χώρας τὴν πολλήν, ἐς Μαράκανδα ἀφίκετο, Ἡφαιστίωνα μὲν ἐκπέμπει τὰς ἐν τῇ Σογδιανῇ πόλεις συνοικίζειν· Κοῖνον δὲ καὶ Ἀρτάβαζον ὡς ἐς Σκύθας, ὅτι ἐς Σκύθας καταπεφευγέναι Σπιταμένης τε αὐτῷ ἐξηγγέλλετο. αὐτὸς δὲ ξὺν τῇ λοιπῇ στρατιᾷ ἐπιὼν τῆς Σογδιανῆς, ὅσα ἔτι πρὸς τῶν ἀφεστηκότων κατείχετο, ταῦτα οὐ χαλεπῶς ἐξῄρει. ἐν τούτοις δὲ Ἀλεξάνδρου ὄντος, Σπιταμένης τε καὶ σὺν αὐτῷ τῶν Σογδιανῶν τινες φυγάδων, ἐς τῶν Σκυθῶν καλουμένων τὴν χώραν ξυμπεφευC γότες, ξυναγαγόντες τῶν Μασσαγετῶν ἱππέας ἑξακοσίους, ἀφίκοντο πρός τι φρούριον, τῶν κατὰ τὴν Βακτριανήν. καὶ τῷ τε φρουράρχῳ οὐδὲν πολέμιον προσδεχομένῳ ἐπιπεσόντες, καὶ τοῖς ξὺν τούτῳ τὴν φυλακὴν ἔχουσι, τοὺς μὲν στρατιώτας διέφθειραν, τὸν φρούραρχον δὲ ἑλόντες εἰς φυλακὴν εἶχον. θαρρήσαντες δὲ ἐπὶ τοῦ φρουρίου τῇ καταλήψει, ὀλίγαις ἡμέραις ὕστερον Ζαριάσποις πελάσαντες, τῇ μὲν πόλει προσβαλεῖν ἀπέγνωσαν· λείαν δὲ πολλὴν περιβαλλόμενοι, ἤλαυνον. ἦσαν δὲ ἐν τοῖς Ζαριάσποις, νόσῳ ὑπολελειμμένοι, τῶν D ἱππέων ἑταίρων οὐ πολλοί· καὶ ξὺν τούτοις, Πείθων τε ὁ Σωσικλέους, ἐπὶ τῆς βασιλικῆς θεραπείας τοῖς ἐν Ζαριάσποις τεταγμένος, καὶ Ἀριστόνικος ὁ κιθαρῳδός. καὶ οὗτοι αἰσθόμενοι τῶν Σκυθῶν τὴν καταδρομήν (ἤδη γὰρ ἐκ τῆς νόσου ἀναρρωσθέντες ὅπλα τε ἔφερον, καὶ τῶν ἵππων ἐπέβαινον) ξυναγαγόντες τούς τε μισθοφόρους ἱππέας ἐς ὀγδοήκοντα, οἳ ἐπὶ φυλακῇ τῶν Ζαριασπῶν ὑπολελειμμένοι ἦσαν, καὶ τῶν παίδων τινὰς τῶν βασιλικῶν, ἐκβοηθοῦσιν ἐπὶ τοὺς Μασσαγέτας. καὶ τῇ μὲν πρώτῃ προσβολῇ, οὐδὲν ὑποτοπήσασι E τοῖς Σκύθαις ἐπιπεσόντες, τήν τε λείαν ξύμπασαν ἀφείλοντο αὐτούς, καὶ τῶν ἀγόντων τὴν λείαν οὐκ ὀλίγους ἀπέκτειναν. ἐπανιόντες δὲ αὐτοὶ ἀτάκτως, ἅτε οὐδενὸς ἐξηγουμένου, ἐνεδρευθέντες πρὸς Σπιταμένους καὶ τῶν Σκυθῶν, τῶν μὲν ἑταίρων ἀποβάλλουσιν ἑπτά, τῶν δὲ μισθοφόρων ἱππέων ἑξήκοντα. καὶ Ἀριστόνικος ὁ κιθαρῳδὸς αὐτοῦ ἀποθνήσκει, οὐ κατὰ κιθαρῳδὸν ἀνὴρ ἀγαθὸς γενόμενος· Πείθων τε τρωθείς, ζῶν λαμβάνεται πρὸς τῶν Σκυθῶν. καὶ ταῦτα ὡς Κρατερῷ ἐξηγγέλθη, σπουδῇ ἐπὶ τοὺς Μασσαγέτας ἤλαυνεν. οἱ δὲ ὡς ἐπύθοντο F πλησίον ἐπελαύνοντα σφίσι Κρατερόν, ἔφευγον ἀνὰ κράτος ὡς ἐς τὴν ἐρήμην. καὶ Κρατερὸς ἐχόμενος αὐτῶν, αὐτοῖς τε ἐκείνοις περιπίπτει οὐ πόρρω τῆς ἐρήμου, καὶ ἄλλοις ἱππεῦσι Μασσαγετῶν ὑπὲρ τοὺς χιλίους. καὶ μάχη γίγνεται τῶν Μακεδόνων καὶ τῶν Σκυθῶν καρτερά, καὶ ἐνίκων οἱ Μακεδόνες. τῶν δὲ Σκυθῶν ἀπέθανον μὲν ἑκατὸν καὶ πεντήκοντα ἱππεῖς. οἱ δὲ ἄλλοι οὐ χαλεπῶς ἐς τὴν ἐρήμην διεσώθησαν, ὅτι ἄπορον ἦν προσωτέρω τοῖς Μακεδόσι διώκειν. καὶ ἐν τούτῳ Ἀλέξανδρος Ἀρτάβαζον μὲν τῆς σατραπείας τῆς Βακτρίων ἀπαλλάττει, δεηθέντα διὰ γῆρας· Ἀμύνταν δὲ τὸν Νικολάου σατράπην

αὐτ' αὐτοῦ καθίστησι. Κοῖνον δὲ ἀπολείπει αὐτοῦ, τήν τε αὐτοῦ τάξιν καὶ τὴν Μελεάγρου ἔχοντα, καὶ τῶν ἑταίρων ἱππέων ἐς τετρακοσίους, καὶ τοὺς ἱπποακοντιστὰς πάντας, καὶ τῶν Βακτριανῶν καὶ Σογδιανῶν ὅσοι ἄλλοι μετὰ Ἀμύντου ἐτάχθησαν· προστάξας ἅπασιν ὑπακούειν Κοίνου, καὶ διαχειμάζειν αὐτοῦ ἐν τῇ Σογδιανῇ, τῆς τε χώρας ἕνεκα τῆς φυλακῆς, καὶ εἴ ποι ἄρα Σπιταμένην περιφερόμενον κατὰ τὸν χειμῶνα ἐνεδρεύσαντας ξυλλαβεῖν. Σπιταμένης δὲ καὶ οἱ ἀμφ' αὐτὸν, ὡς φρουραῖς τε πάντα κατειλημμένα ἑώρων ἐκ τῶν Μακεδόνων, καί σφιν ἄπορα πάντα τὰ τῆς φυγῆς ἐγίγνετο, ὡς ἐπὶ Κοῖνόν τε καὶ τὴν ξὺν τούτῳ στρατιὰν ἐτράποντο, ὡς ταύτῃ μᾶλλόν τι ἀξιόμαχοι ἐσόμενοι. ἀφικόμενοι δὲ ἐς Γάβας, χωρίον τῆς Σογδιανῆς ὀχυρὸν, ἐν μεθορίῳ τῆς τε Σογδιανῶν γῆς καὶ τῆς Μασσαγετῶν Σκυθῶν ᾠκισμένον, ἀναπείθουσιν οὐ χαλεπῶς τῶν Σκυθῶν ἱππέας ἐς τρισχιλίους συνεμβάλλειν σφίσιν ἐς τὴν Σογδιανήν. οἱ δὲ Σκύθαι οὗτοι ἀπορίᾳ τε πολλῇ ἔχονται, καὶ ἅμα ὅτι οὔτε πόλεις εἰσὶν αὐτοῖς, οὔτε ἑδραῖοι οἰκοῦσιν, ὡς δειμαίνειν ἂν περὶ τῶν φιλτάτων, οὐ χαλεποὶ ἀναπεισθῆναί εἰσιν ἐς ἄλλον καὶ ἄλλον πόλεμον. ὡς δὲ Κοῖνός τε καὶ οἱ ἀμφ' αὐτὸν ἔμαθον προσιόντας τοὺς ξὺν Σπιταμένου ἱππέας, ἀπήντων καὶ αὐτοὶ μετὰ τῆς στρατιᾶς. καὶ γίγνεται αὐτῶν μάχη καρτερὰ, καὶ νικῶσιν οἱ Μακεδόνες· ὥστε τῶν μὲν βαρβάρων ἱππέων ὑπὲρ τοὺς ὀκτακοσίους πεσεῖν ἐν τῇ μάχῃ, τῶν δὲ ξὺν Κοίνῳ ἱππεῖς μὲν ἐς εἴκοσι καὶ πέντε, πεζοὺς δὲ δώδεκα. οἵ τε οὖν Σογδιανοὶ, οἱ ἔτι ὑπολιπόμενοι ξὺν Σπιταμένῃ, καὶ τῶν Βακτρίων πολλοὶ ἀπολείπουσιν ἐν τῇ φυγῇ Σπιταμένην· καὶ ἀφικόμενοι παρὰ Κοῖνον, παρέδωσαν σφᾶς αὐτοὺς Κοίνῳ. οἵ τε Μασσαγέται οἱ Σκύθαι κακῶς πεπραγότες, τὰ μὲν σκευοφόρα τῶν ξυμπαραταξαμένων σφίσι Βακτρίων τε καὶ Σογδιανῶν διήρπασαν· αὐτοὶ δὲ ξὺν Σπιταμένῃ ἐς τὴν ἔρημον ἔφευγον. ὡς δὲ ἐξηγγέλλετο αὐτοῖς Ἀλέξανδρος ἐν ὁρμῇ ὢν ἐπὶ τὴν ἔρημον ἐλαύνειν, ἀποτεμόντες τοῦ Σπιταμένου τὴν κεφαλὴν, παρὰ Ἀλέξανδρον πέμπουσιν, ὡς ἀποστρέψοντες ἀπὸ σφῶν αὐτὸν τούτῳ τῷ ἔργῳ. καὶ ἐν τούτῳ Κοῖνός τε ἐς Ναύτακα παρ' Ἀλέξανδρον ἐπανέρχεται, καὶ οἱ ἀμφὶ Κρατερόν τε καὶ Φραταφέρνην τὸν τῶν Παρθυαίων σατράπην, καὶ Στασάνορα Ἀρείων, πεπραγμένων σφίσι πάντων ὅσα ἐξ Ἀλεξάνδρου ἐτέτακτο. Ἀλέξανδρος δὲ περὶ Ναύτακα ἀναπαύων τὴν στρατιὰν, ὅτι περ ἀκμαῖον τοῦ χειμῶνος, Φραταφέρνην μὲν ἀποστέλλει ἐς Μάρδους καὶ Ταπείρους, Φραδάτην ἐπανάξοντα τὸν σατράπην, ὅτι πολλάκις ἤδη μετάπεμπτος ἐξ Ἀλεξάνδρου γιγνόμενος, οὐχ ὑπήκουε καλοῦντι. Στασάνορα δὲ ἐς Δράγγας σατράπην ἐκπέμπει, ἐς Μήδους δὲ Ἀτροπάτην ἐπὶ σατραπείᾳ· καὶ τοῦτον ἐπὶ Μήδων, ὅτι Ἐξοδάτης ἐθελοκακεῖν αὐτῷ ἐφαίνετο. Σταμένην δὲ ἐπὶ Βαβυλῶνος στέλλει, ὅτι Μαζαῖος ὁ Βαβυλῶνος ὕπαρχος τετελευτηκέναι αὐτῷ ἐξηγγέλλετο. Σώπολιν δὲ καὶ Ἐπόκιλλον καὶ Μενοίδαν ἐς Μακεδονίαν ἐκπέμπει, τὴν στρατιὰν τὴν ἐκ Μακεδονίας αὐτῷ ἀνάξοντας. ἅμα δὲ τῷ ἦρι ὑποφαίνοντι, προὐχώρει ὡς ἐπὶ τὴν ἐν τῇ Σογδιανῇ πέτραν, ἐς ἣν πολλοὺς μὲν τῶν Σογδιανῶν ξυμπεφευγέναι αὐτῷ ἐξηγγέλλετο. καὶ ἡ Ὀξυάρτου δὲ γυνὴ τοῦ Βακτρίου, καὶ αἱ παῖδες αἱ Ὀξυάρτου ἐς τὴν πέτραν ταύτην ξυμπεφευγέναι ἐλέγοντο, Ὀξυάρτου αὐτὰς ὡς ἐς ἀνάλωτον δῆθεν τὸ χω-

A eius locũ ſuffecit. Cœnóque ibidem relicto cum ſuis ac Meleagri copiis, equitibúſque ex amicis c c c c, & iaculatorib' equeſtribus, tũ Bactrianis Sogdianiſq;, quibus Amyntas pręfuerat, eos omnes Cœno parere, & in Sogdianis hybernare iuſsit: partim vt præſidio regioni eſſent, partim vt Spitamenẽ, ſi is fortè per hyemẽ ea loca peragraret, ex inſidiis caperent. Spitamenes verò cũ ſuis, vbi agnouit omnia paſſim loca præſidiis Macedonũ teneri, fugámque ſibi perdifficilem fore, in Cœnum eiuſque copias ſe conuertit, quòd facilior ea parte

B conflictus futurus videretur: quúmque Gabas perueniſſent, munitum Sogdianorum oppidum, medium inter Maſſagetas & Sogdianos ſitum, Scytharum equitibus circiter I I I M facilè vt ſe ipſis cõiungant atque in Sogdianos vnà irrumpãt, perſuadent. Hi Scythæ quum inopes admodum ſint, quippe qui neque vrbes habeant, neque certas ſedes figant, neque metu perdendi res maximè charas occupentur, non difficulter

C ad alia atque alia bella inducuntur. Cœnus cognito Spitamenis aduentu, obuiam cum exercitu profectus, acre cũ barbaris prælium committit. Macedones ſuperiores euadunt. Ex barbaris D C C C amplius equites cæſi, à Cœni partibus equites X X V, pedites X I I. Sogdiani qui cum Spitamene pugnæ ſuperfuerant, & Bactrianorum plerique Spitamene in fuga deſerto, ad Cœnum venerunt, ſéque in illius fidem dediderunt. Maſſagetæ verò Scythæ re male geſta, Bactrianorum & Sogdianorum ſociorum impedimentis

D direptis, cum Spitamene in ſolitudinem confugerunt. Cæterùm poſtquam intellexerunt Alexandrum animo penetrandi deſerta aduentare, interfecto Spitamene caput eius ad Alexandrum mittunt, tanquam illum à ſeſe hoc facto auerſuri. Inter hæc Cœnus & Craterus Nautaca ad Alexandrum reuerterunt, & Phrataphernes ac Staſanor, ille Parthorum, hic Areorum ſatrapa, omnibus iis rebus quas Alexander imperarat confectis. Alexander quiete exercitui ad Nautaca data (vigebat enim tum bru-

E ma) *Phrataphernem in Mardos ac Tapiros mittit, vt Phradatem ſatrapam, qui ſæpius accerſitus ab Alexandro non parebat, adducat. Staſanorem in Drangas præſidem mittit, in Medos Atropatem: atque hunc quidem in Medos, quòd Exodatem malè ſibi velle intellexerat. Stamenem verò Babylonem ire iubet, quòd Mazæus Babylonis præſes mortem obiiſſe nuntiaretur. Sopolim verò & Epocillum ac Menœdam in Macedoniam mittit, exercitum inde ducturos.

F Poſthæc immminẽte vere ad petram in Sogdianis ſitam proficiſcitur, in quam multos Sogdianorum confugiſſe acceperat. atque in his Oxyartis Bactriani vxor, & filiæ ſeſe recepiſſe dicebantur. Oxyartes enim eas in hunc locum vt inexpugnabilem ſubduci curarat. nam & ipſe ab Alexandro defecerat.

*Curt. Phrataphernï Hyrcaniam, Mardoſq; Tapiros tradidit, mandauitque vt Phradatem, cui ſuccedebat, ad ſe in cuſtodiam mitteret.

Porro ea petra capta, nihil reliquum Sogdianis fore videbatur, quod eos ad defectionem inuitaret. Simulac verò ad petram acceſſit, comperit præruptum vndique eius aditum eſſe, & barbaros frumentum in diuturnam obſidionem importaſſe. niuium etiam altitudo difficiliorem Macedonibus acceſſum faciebat, & aquarum copiam barbaris ſuppetebat. Alexander nihilominus oppugnandam eſſe petram ſtatuit. Arrogans etiam ac ſuperbum barbarorum reſponſum, ad gloriam ſimul atque iram Alexandrum excitauit. Quum enim eos ad colloquium euocaſſet, ac, ſi ſe dederent facultatem liberè in domos ſuas redeundi eis propoſuiſſet, ipſi barbarè irridentes, vt alatos ſibi milites Alexander quæreret, qui petram caperent, iuſſerunt, * quippe qui ab aliis hominibus nihil ſibi metuerent. Tum Alexander per præconem edici iubet, Primo omnium qui in petram conſcenderet XII talenta præmij loco ſe daturum. ſecundo deinde, ac tertio ſua etiam ordine præmia: poſtremo qui in petram euaſiſſet CCC Daricos proponit. quæ quidem præmij ſpes Macedones etiam ſua ſponte concitatos magis accendit. Collectis itaque ex omni numero eorum qui conſcendendis rupibus in obſidionibus aſſueuerant, trecentis, præparatis paxillis ferreis quibus tabernacula affixa erant, ita vt in niuem, vbi illa gelu conſtricta eſſet, aut iis locis quæ niuem non haberent defigere poſſent, validos funes iis alligant, noctúque ad eam rupis partem quæ maximè prærupta arduáque erat, atque ob id præſidio egere non videbatur, ſeſe conferunt, & palis partim in terram niue vacuam, partim in niuem ipſam quæ maximè congelata eſſet defixis, ipſi ſe alia atque alia via in altum nitentes ſubleuant. atque ex his quidem, XXX in aſcenſu perierunt, adeo vt ne corpora quidem, vt ſepeliri poſſent, inuenta ſint, in altam nimirum niuem demerſa. reliqui ſub lucem in verticem rupis euadunt, & linteorum quaſſatione Macedonũ exercitui aſcenſus ſignificationem edunt. ita enim illis ab Alexandro imperatum fuerat. Miſſo itaque ſtatim caduceatore, Alexander barbaris denuntiari iubet, vt nulla interpoſita mora ſeſe dedant. Inuentos enim eſſe abs ſe homines alatos, & ab iis petræ cacumen teneri: ſimúlque iis milites qui in vertice rupis ſtabant oſtendunt. Barbari inopinato ſpectaculo attoniti, plures eos quàm erant & bene armatos eſſe rati, ſeſe dedunt. tanto terrori iis paucorum Macedonum aſpectus fuit. Multæ ibi diuerſorum vxores & liberi capti: atque in iis Oxyartis vxor & filiæ. Erat porrò Oxyartis filia Roxane virgo nubilis, quã omnium Aſiaticarum mulierum pulcherrimam viſu fuiſſe, poſt Darij vxorem, qui Alexandro militarunt, iudicarunt. qua viſa, Alexandrum eius amore captum, nihilominus tamen contumeliam, vtpote captiuæ, inferre noluiſſe: matrimonio autem dedignatum non fuiſſe. Quod quidem Alexandri factum laude potius quàm reprehẽſione dignũ cenſuerim.

* Fac. Veluti mortalium nemo eò ſcandere poſſet.

A εἶναι ἐκεῖνο ὑπεκλειπόμενον· ὅτι καὶ αὐτὸς ἀφεστήκει ἀπ' Ἀλεξάνδρου. ταύτης γὰρ ἐξαιρεθείσης, οὐκέτι οὐδὲν ὑπολειφθήσεσθαι ἐδόκει τῶν Σογδιανῶν τοῖς νεωτερίζειν ἐθέλουσιν. ὡς δὲ ἐπέλασε τῇ πέτρᾳ, καταλαμβάνει πάντῃ ἀπότομον ἐς τὴν προσβολήν, σιτία τε ξυγκεκομισμένους τοὺς βαρβάρους, ὡς ἐς χρόνιον πολιορκίαν, καὶ χιὼν πολλὴ ἐπιπεσοῦσα, τήν τε πρόσβασιν ἀπορωτέραν ἐποίει τοῖς Μακεδόσι· καὶ ἅμα ἐν ἀφθονίᾳ ὕδατος τοὺς βαρβάρους διῆγεν. ἀλλὰ καὶ ὣς προσβάλλειν ἐδόκει τῷ χωρίῳ· καί τι καὶ ὑπέρογκον ὑπὸ τῶν βαρβάρων λεχθέν, ἐς φιλοτιμίαν ξὺν ὀργῇ ἐμβεβλήκει
B Ἀλέξανδρον· προκληθέντες γὰρ ἐς ξύμβασιν, καὶ προτεινομένου σφίσιν, ὅτι σώοις ὑπάρξει ἐπὶ τὰ σφέτερα ἀπαλλαγῆναι, παραδοῦσι τὸ χωρίον· οἱ δὲ σὺν γέλωτι βαρβαρίζοντες, πτηνοὺς ἐκέλευον ζητεῖν στρατιώτας Ἀλέξανδρον, οἵτινες αὐτῷ ἐξαιρήσουσι τὸ ὄρος, ὡς τῶν γε ἄλλων ἀνθρώπων οὐδεμίαν ὤραν σφίσιν οὖσαν. ἔνθα δὴ ἐκήρυξεν Ἀλέξανδρος, τῷ μὲν πρώτῳ ἀναβάντι, δώδεκα τάλαντα εἶναι τὸ γέρας· δευτέρῳ δ' ἐπὶ τούτῳ, τὰ δεύτερα, καὶ τρίτῳ τὰ ἐφεξῆς· ὡς τελευταῖον εἶναι τῷ τελευταίῳ ἀνελθόντι τριακοσίους δαρεικοὺς τὸ γέρας. καὶ τοῦτο
C τὸ κήρυγμα παρώξυνεν ἔτι μᾶλλον ἄλλους τε τοὺς Μακεδόνας ὡρμημένους. ξυνταξάμενοι δὲ ὅσοι πετροβατεῖν ἐν ταῖς πολιορκίαις αὐτῷ μεμελετήκεσαν, τριακόσιοι τὸν ἀριθμόν, καὶ πασσάλους μικροὺς σιδηροῦς, οἷς αἱ σκηναὶ κατεπεπήγεσαν αὐτοῖς, παρασκευάσαντες, τοῦ καταπηγνύναι αὐτοὺς ἔς τε τὴν χιόνα ὅπου πεπηγυῖα φανείη· καὶ εἴ πού τι τῆς χώρας ἔρημον χιόνος ὑποφαίνοιτο, καὶ τούτους καλωδίοις ἐκ λίνου ἰσχυροῖς ἐκδήσαντες, τῆς νυκτὸς προυχώρουν κατὰ τὸ ἀποτομώτατόν τι τῆς πέτρας, καὶ ταύτῃ ἀφυλακτότατον. καὶ τούτους
D τοὺς πασσάλους καταπηγνύντες, τοὺς μὲν ἐς τὴν γῆν ὅπου διεφαίνετο, τοὺς δὲ καὶ τῆς χιόνος ἐς τὰ μάλιστα οὐ θρυφθησόμενα, ἀνεῖλκον σφᾶς αὐτοὺς ἄλλοι ἄλλῃ τῆς πέτρας. καὶ τούτων ἐς τριάκοντα μὲν ἐν τῇ ἀναβάσει διεφθάρησαν, ὥστε οὐδὲ τὰ σώματα αὐτῶν ἐς ταφὴν εὑρέθη, ἐκπεσόντα ἄλλῃ καὶ ἄλλῃ τῆς χιόνος. οἱ δὲ λοιποὶ ἀναβάντες ὑπὸ τὴν ἕω, καὶ τὸ ἄκρον τοῦ ὄρους καταλαβόντες, σινδόνας κατέσειον ὡς ἐπὶ τὸ στρατόπεδον τῶν Μακεδόνων· οὕτως αὐτοῖς ἐξ Ἀλεξάνδρου παρηγγελμένον. πέμψας δὲ κήρυκα, ἐμβοῆσαι ἐκέλευσε
E τοῖς προφυλάσσουσι τῶν βαρβάρων, μὴ διατρίβειν ἔτι, ἀλλὰ παραδιδόναι σφᾶς· ἐξευρῆσθαι γὰρ δὴ τοὺς πτηνοὺς ἀνθρώπους, καὶ ἔχεσθαι ὑπ' αὐτῶν τοῦ ὄρους τὰ ἄκρα· καὶ ἅμα ἐδείκνυε τοὺς ὑπὲρ τῆς κορυφῆς στρατιώτας. οἱ δὲ βάρβαροι ἐκπλαγέντες τῷ παραλόγῳ τῆς ὄψεως, καὶ πλείονάς τε ὑποτοπήσαντες εἶναι τοὺς κατέχοντας τὰ ἄκρα, καὶ ἀκριβῶς ὡπλισμένους, ἐνέδοσαν σφᾶς αὐτούς· οὕτω πρὸς τὴν ὄψιν τῶν ὀλίγων ἐκείνων Μακεδόνων φοβεροὶ ἐγένοντο. ἔνθα δὴ ἄλλων τε πολλῶν γυναῖκες καὶ παῖδες ἐλήφθησαν, καὶ ἡ γυνὴ
F ἡ Ὀξυάρτου, καὶ αἱ παῖδες. καὶ γὰρ ἦν Ὀξυάρτου παῖς παρθένος ἐν ὥρᾳ γάμου, Ῥωξάνη ὄνομα, ἣν δὴ καλλίστην τῶν Ἀσιανῶν γυναικῶν λέγουσιν ὀφθῆναι τοῖς Ἀλεξάνδρῳ στρατεύσασι, μετά γε τὴν γυναῖκα Δαρείου· καὶ ταύτην ἰδόντα Ἀλέξανδρον, ἐς ἔρωτα ἐλθεῖν αὐτῆς. ἐρασθέντα δέ, οὐκ ἐθελῆσαι ὑβρίσαι καθάπερ αἰχμάλωτον, ἀλλὰ γῆμαι γὰρ οὐκ ἀπαξιῶσαι. καὶ τοῦτο ἐγὼ Ἀλεξάνδρου τὸ ἔργον ἐπαινῶ μᾶλλόν τι ἢ μέμφομαι.

καίτοι τῆς Δαρείου (ἣ καλλίστη δὴ ἐλέγετο τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν) ἢ οὐκ ἦλθεν ἐς ἐπιθυμίαν, ἢ καρτερὸς αὐτὸς αὑτοῦ ἐγένετο, νέος τε ὤν, καὶ τὰ μάλιστα ἐν ἀκμῇ τῆς εὐτυχίας, ὁπότε ὑβρίζουσιν οἱ ἄνθρωποι. ὁ δὲ κατῃδέσθη τε καὶ ἐφείσατο, σωφροσύνῃ τε πολλῇ διαχρώμενος, καὶ δόξης ἅμα ἀγαθῆς οὐκ ἀτόπως ἐφιέμενος. καὶ τοίνυν καὶ λόγος κατέχει, ὀλίγον κατὰ τὴν μάχην, ἣ πρὸς Ἰσσῷ Δαρείῳ τε καὶ Ἀλεξάνδρῳ συνέβη, ἀποδράντα ἐλθεῖν παρὰ Δαρεῖον τὸν εὐνοῦχον τὸν φύλακα αὐτῷ τῆς γυναικός. καὶ τοῦτον ὡς εἶδε Δαρεῖος, πρῶτα μὲν πυθέσθαι, εἰ ζῶσιν αὐτῷ αἱ παῖδες, καὶ οἱ υἱοί, καὶ ἡ γυνή τε καὶ ἡ μήτηρ; ὡς δὲ ζώσας ἐπύθετο, καὶ βασίλισσαι ὅτι καλοῦνται, καὶ ἡ θεραπεία ὅτι ἀμφ' αὐτάς ἐστιν, ἥντινα καὶ ἐπὶ Δαρείου ἐθεραπεύοντο, ἐπὶ τῷδε αὖ πυθέσθαι, εἰ σωφρονεῖ αὐτῷ ἡ γυνὴ ἔτι. ὡς δὲ σωφρονοῦσαν ἐπύθετο, αὖθις ἐρέσθαι, μή τι βίαιον ἐξ Ἀλεξάνδρου αὐτῇ ἐς ὕβριν ξυνέβη· καὶ τὸν εὐνοῦχον ἐπομόσαντα φάναι, ὅτι, ὦ βασιλεῦ, οὕτω τοι ὡς ἀπέλιπες ἔχει ἡ σὴ γυνή· καὶ Ἀλέξανδρος ἀνδρῶν ἄριστός τε ἐστὶ καὶ σωφρονέστατος. ἐπὶ τοῖσδε ἀνατεῖναι Δαρεῖον ἐς τὸν οὐρανὸν τὰς χεῖρας, καὶ εὔξασθαι ὧδε· ἀλλ' ὦ Ζεῦ, ὅτῳ ἐπιτέτραπται νέμειν τὰ βασιλέων πράγματα ἐν ἀνθρώποις, σὺ νῦν μάλιστα μὲν ἐμοὶ φύλαξον Περσῶν τε καὶ Μήδων τὴν ἀρχήν, ὥσπερ οὖν καὶ ἔδωκας. εἰ δὴ ἐγὼ οὐκέτι σοι βασιλεὺς τῆς Ἀσίας, σὺ δὲ μηδενὶ ἄλλῳ ὅτι μὴ Ἀλεξάνδρῳ παραδοῦναι τὸ ἐμὸν κράτος. οὕτως οὐδὲ πρὸς τῶν πολεμίων ἄρα ἀμελεῖται, ὅσα σώφρονα ἔργα. Ὀξυάρτης δὲ ἀκούσας τοὺς παῖδας ἐχομένους, ἀκούσας δὲ καὶ ὑπὲρ Ῥωξάνης τῆς θυγατρός, ὅτι μέλει αὐτῆς Ἀλεξάνδρῳ, θαρσήσας ἀφίκετο πρὸς Ἀλέξανδρον, καὶ ἦν ἐν τιμῇ παρ' αὐτῷ, εἴπερ εἰκὸς ἐπὶ ξυντυχίᾳ τοιαύτῃ. Ἀλέξανδρος δὲ ὡς τὰ ἐν Σογδιανοῖς αὐτῷ διεπέπρακτο, ἐχομένης ἤδη καὶ τῆς πέτρας, ἐς Παραιτάκας προὐχώρει· ὅτι καὶ ἐν Παραιτάκαις χωρίον τι ὀχυρὸν καὶ ἄλλην πέτραν κατέχειν ἐλέγετο πολλοὶ τῶν βαρβάρων. ἐκαλεῖτο δὲ αὐτή, Χοριηνοῦ ἡ πέτρα· καὶ ἐς αὐτὴν αὐτός τε ὁ Χοριήνης ξυμπεφεύγει, καὶ ἄλλοι τῶν ὑπάρχων οὐκ ὀλίγοι. ἦν δὲ τὸ μὲν ὕψος τῆς πέτρας, ἐς σταδίους εἴκοσι· κύκλῳ δέ, ἐς ἑξήκοντα· αὐτὴ δὲ ἀπότομος πάντοθεν. ἄνοδος δὲ ἐς αὐτὴν μία, καὶ αὐτὴ στενή τε καὶ οὐκ εὔπορος, οἷα δὴ παρὰ τὴν φύσιν τοῦ χωρίου πεποιημένη, ὡς χαλεπὴ εἶναι καὶ μηδενὸς εἴργοντος καὶ καθ' ἕνα ἀνελθεῖν. φάραγξ δὲ κύκλῳ περιείργει τὴν πέτραν βαθεῖα, ὥστε ὅστις προσάξειν στρατιὰν τῇ πέτρᾳ ἔμελλε, πολὺ πρόσθεν αὐτῷ τὴν φάραγγα εἶναι χωστέον, ὡς ἐξ ὁμαλοῦ ὁρμᾶσθαι προσάγοντα ἐς προσβολὴν τὸν στρατόν. ἀλλὰ καὶ ὣς Ἀλέξανδρος ἥπτετο τοῦ ἔργου· οὕτω πάντα ᾤετο χρῆναι βατά τε αὐτῷ καὶ ἐξαιρετέα εἶναι· ἐς τοσόνδε τόλμης τε καὶ εὐτυχίας προκεχωρήκει. τεμὼν δὴ τὰς ἐλάτας (πολλαὶ γὰρ καὶ ὑπερύψηλοι ἐλάται ἦσαν ἐν κύκλῳ τοῦ ὄρους) κλίμακας ἐκ τούτων ἐποίει, ὡς κάθοδον εἶναι ἐς τὴν φάραγγα τῇ στρατιᾷ. οὐ γὰρ ἦν ἄλλως κατελθεῖν ἐς αὐτήν. καὶ τὰς μὲν ἡμέρας αὐτὸς Ἀλέξανδρος ἐφειστήκει τῷ ἔργῳ, τὸ ἥμισυ τοῦ στρατοῦ ἔχων ἐργαζόμενον.

A Et Darij quidem vxoris (quæ formoſiſſima omnium Aſiæ mulierum habita fuit) aut deſiderio tactus non fuit, aut cupiditati ſuæ imperauit, quanquam in ipſo ætatis flore, ſummæque felicitatis culmine conſtitutus: quæ duo maximè humanos animos ad contumeliam aliis inferendam prouocare ſolent. Ipſe verò quadam reuerentia ductus ei pepercit: magna profectò continentia vſus, & magno quodam gloriæ ſtudio impulſus. Fama etiam tenet paulo pòſt pugnam apud Iſſum inter Alexandrum & Darium com- B miſſam, eunuchum Darij vxoris cuſtodem, caſtris elapſum ad Darium confugiſſe, quem vt conſpexit Darius, primùm interrogaſſe an filiæ ac filij, vxórque & mater viuerent, quas quum viuere, & reginas vocari, ” eundémque honorē illis, qui apud Darium habitus fuerat, haberi dixiſſet, rurſus quæſiuit an vxor matrimonij fidem ſeruaret. quod quum eunuchus affirmaret, rurſus percontatus eſt, an Alexander illi vim aliquam quę ad eius ludibriū pertineret intuliſſet: quúm- C que eunuchus iureiurando adhibito teſtaretur, vxorem Darij in eo ſtatu quo eam reliquerat eſſe, & Alexandrum omnium mortalium optimum ac temperantiſſimum eſſe: tum Darium manus ad cælum tendentem, ita oraſſe: Iupiter rex, qui regum in terris negotia ſtatúſque moderaris, tu mihi Medorum ac Perſarum imperium quod dediſti ſtabilito. Sin verò iam de me tranſactū eſt, vt rex Aſiæ eſſe deſinam, in neminem alium quàm in Alexandrum imperiū meum D transferto. Adeo ne ab hoſtibus quidem quod honeſtè quis agit, negligitur. Oxyartes verò vt filios ſuos captos audiuit, filiámque ſuam Alexandro curæ eſſe, erecto in bonam ſpem animo ad Alexandrum venit, magnóque in honore, vt par erat ob eiuſmodi coniunctionem, ab Alexandro habitus fuit. His apud Sogdianos ita geſtis, petráque occupata, Alexāder in Paratacas mouit, quòd ibi aliud quoddam oppidum munitum, petrámque aliam multi barbari inſediſſe nuntiarētur. Ea, petra Chorienis appellabatur: E ipſéque Chorienes atque alij principes non pauci in eam confugerant. Erat eius altitudo ſtadiorum circiter XX, in ambitu LX, ipſa vndique prærupta. aſcenſus ad eam vnicus, iſque anguſtus & difficilis, vtpote præter loci naturam factus, adeò vt ſinguli, etiam nemine obſtante, ægrè conſcendere poſſent. Erat porro hæc petra profunda voragine in orbem cincta, adeo vt qui exercitum ad petram adducere vellet, multo antea illi cauernoſæ illæ voragines aggere obruendæ eſſent, vt ex planitie exercitus ad- F moueri rupémque oppugnare poſſet. Alexander nihilominus aggrediendum opus eſſe ſtatuit, nihil omnino ſibi inacceſſum aut inexpugnabile cenſens, tantum fiduciæ ex perpetua felicitate conceperat. ” Cæſis itaque abietibus, quarum magna in ambitu illius montis copia erat, ſcalas ex iis confici iubet, vt per eas exercitus in voraginem deſcenderet. Et interdiu quidem Alexander opus vrgebat, cum dimidia exercitus parte.

Curt. Quantuſcunque reginis honor ab iis qui parēt haberi poteſt, tuis à victore ſeruatus eſt.

Curt. Cædit arbores & ſaxa congeri iuſſit.

Noctu verò viciſsim corporis cuſtodes Perdiccas & Leonnatus & Ptolemæus Lagi filius, reliquo exercitu in tres partes diſtributo, nocturni operis ipſis commiſsi curam gerebant. nec per diem plus x x cubitis, noctu paulo minus efficiebant, quantumuis vniuerſus exercitus in opere eſſet. tāta erat & ipſius loci aſperitas, & operis difficultas. Deſcendentes itaque in voraginem, paxillos quàm firmiſsimè potuerunt ad voraginis latera impegerunt, tāto ſpatio inter ſe diſtantes, quantum ponderi ſuſtinendo par eſſet. His crates vimineas inſtrauerunt, quæ pōtis ſimilitudinem præ ſe ferrent, iiſque arctè colligatis terram ingeſſerunt, vt per planitiem exercitus ad petram adduceretur. Barbari initio Macedonum conatus tanquam vanos atque irritos irridebant. Poſtquam verò ſagittis peti cœperunt, neque ipſi ex editiore petra Macedonas propulſare poſſent, (velamenta enim ſibi conſtruxerant, ne telorum iactu ab opere impedirentur) Chorienes molitionum nouitate attonitus, caduceatorem ad Alexādrum mittit, rogans vti Oxyartem ad ſe mittat. Is quum ad eum veniſſet, Chorieni ſuadere cœpit, vt ſe pariter atque petram Alexandro dedat. nihil enim Alexandro eiuſque exercitui imperuium eſſe. Si verò ad eius fidem amicitiámque ſe contuliſſet, fidem regis & benignitatem extollebat, ſe ipſe in exemplum adducēs. Quibus rebus perſuaſus Chorienes, cum familiarium nōnullis ad Alexandrum venit. quem Alexander humaniter exceptum, quum in fidem amicitiámque ſuam recepiſſet, ipſum quidem penes ſe retinet: at ex iis qui cum ipſo venerant nonnullos in petram remittit, qui vt deditionem faciant iubeant. atque ita ab iis qui eò confugerant petra tradita eſt. Quo facto Alexander aſſumtis argyraſpidibus circiter quingentis, arcem ſpectandi cauſa conſcendit. tantúmque abfuit vt indignum aliquid in Chorienem ſtatueret, vt oppidum eius fidei rurſus commiſerit, " præſidémque omnium locorum quorum antea fuerat, ſtatuerit. Per id tempus accidit vt exercitus, quum per hyemem in ea obſidione nix altè terram operuiſſet, commeatus & rerum neceſſariarum inopia laboraret: Chorienes frumentum & vinum quæ duobus menſibus ſufficerent exercitui, ex eo commeatu qui in petra erat dedit. carnes etiam ſalitas per ſingula tentoria diſtribuit. quæ omnia quum dediſſet, ne decimam quidem partem commeatus, quem eò ad obſidionem ſuſtinēdā conuexerat, exhauſtā eſſe dicebat. Qua de cauſa maiore ab Alexandro in honore eſt habitus, quippe qui non tā vi quàm ſua ſponte deditionē feciſſe videretur.

Fac. videtur legiſſe ἐπαρχεῖν.

His rebus ita geſtis Alexāder in Bactra mouit. Craterum autem cum ſexcentis amicorum equitibus, ſuóque & Polyperchontis atque Attali & Alcetæ peditatu, aduerſus "Catanem & Auſtanem, qui ſoli ex Paritacenis defecerant, mittit. acrique inter hos pugna commiſſa, Craterus ſuperior euadit: Catanes inter pugnandum occiſus, Auſtanes captus ad Alexandrum adductus eſt. Ex barbaris equites c c x x cæſi: pedites

Curt. Craterum ad perſequendum Auſtanem & Catenem, qui ab ipſo defecerant, miſit. quorum Auſtanes captus eſt, Catenes in prælio occiſus.

A τὰς δὲ νύκτας ἐν μέρει οἱ σωματοφύλακες, Περδίκκας τε καὶ Λεοννάτος καὶ Πτολεμαῖος ὁ Λάγου, τοῦ λοιποῦ μέρει τῆς στρατιᾶς τριχῆ διανενεμημένῳ, ὅπερ αὐτῷ ἐς τὴν νύκτα ἐπιτέτακτο. ἤνυτον δὲ τῆς ἡμέρας οὐ πλέον ἤπερ εἴκοσι πήχεις· καὶ τῆς νυκτὸς, ὀλίγου ἀποδέον, καίτοι ξυμπάσης τῆς στρατιᾶς ἐργαζομένης· οὕτω τό, τε χωρίον ἄπορον ἦν, καὶ τὸ ἔργον ἐν αὐτῷ χαλεπόν. κατιόντες δὲ τὴν φάραγγα, πασσάλους κατέπηγνυον ἐς τὸ ὀξύτατον τῆς φάραγγος, διέχοντας ἀλλήλων ὅσον ξύμμετρον πρὸς ἰσχύν τε καὶ ξυνοχὴν τῶν ἐπιβαλλομένων. B ἐπέβαλλον δὲ πλέγματα ἐκ λύγων, ἐς γεφύρας μάλιστα ἰδέαν· καὶ ταῦτα ξυνδοῦντες, χοῦν ἄνωθεν ἐπεφόρουν, ὡς ἐξ ὁμαλοῦ γίγνεσθαι τῇ στρατιᾷ τὴν πρόσοδον τὴν πρὸς τὴν πέτραν. οἱ δὲ βάρβαροι τὰ μὲν πρῶτα κατεφρόνουν, ὡς ἀπόρου πάντῃ τοῦ ἐγχειρήματος. ὡς δὲ τοξεύματα ἤδη εἰς τὴν πέτραν ἐξικνεῖτο, καὶ αὐτοὶ ἀδύνατοι ἦσαν ἄνωθεν ἐξείργειν τοὺς Μακεδόνας (ἐπεποίητο γὰρ αὐτοῖς προκαλύμματα πρὸς τὰ βέλη, ὥστε ὑπ' αὐτοῖς ἀβλαβῶς ἐργάζεσθαι) ἐκπλαγεὶς ὁ Χοριήνης πρὸς τὰ γιγνόμενα, κήρυκα πέμπει πρὸς Ἀλέξαν- C δρον, δεόμενος Ὀξυάρτην αὐτῷ ἀναπέμψαι· καὶ πέμπει Ὀξυάρτην Ἀλέξανδρος. ὁ δὲ ἀφικόμενος, πείθει Χοριήνην ἐπιτρέψαι Ἀλεξάνδρῳ αὑτόν τε καὶ τὸ χωρίον. βίᾳ μὲν γὰρ οὐδὲν ὅ,τι οὐχ ἁλωτὸν εἶναι Ἀλεξάνδρῳ, καὶ τῇ στρατιᾷ τῇ ἐκείνου· ἐς πίστιν δὲ ἐλθόντος καὶ φιλίαν, τὴν πίστιν τε καὶ δικαιότητα μεγάλως ἐπῄνει τοῦ βασιλέως, τά τ' ἄλλα, καὶ τὸ αὑτοῦ ἐν πρώτοις ἐς βεβαίωσιν τοῦ λόγου προσφέρων. τούτοις πεισθεὶς ὁ Χοριήνης, αὐτός τε ἧκε παρ' Ἀλέξανδρον, καὶ τῶν οἰκείων τινὲς τῶν ἑταίρων αὐτοῦ. ἐλθόντι δὲ Χοριήνῃ, φιλάνθρω- D πά τε ἀποκρινάμενος, καὶ πίστιν ἐς φιλίαν δοὺς, αὐτὸν μὲν κατέχει, πέμψαι δὲ κελεύει τῶν συγκατελθόντων τινὰς αὐτῷ ἐς τὴν πέτραν, τοὺς κελεύσοντας ἐνδοῦναι τὸ χωρίον· καὶ ἐνδίδοται ὑπὸ τῶν ξυμπεφευγότων. ὥστε καὶ αὐτὸς Ἀλέξανδρος ἀναλαβὼν τῶν ὑπασπιστῶν ἐς πεντακοσίους, ἀνέβη κατὰ θέαν τῆς πέτρας. καὶ τοσούτῳ ἐδέησεν ἀνεπιεικές τι ἐς τὸν Χοριήνην ἔργον ἀποδείξασθαι, ὥστε καὶ αὐτὸ τὸ χωρίον ἐκεῖνο ἐπιτρέπει Χοριήνῃ, καὶ ὕπαρχον εἶναι ὅσων περ καὶ πρόσθεν, ἔδωκε. ξυνέβη τε χειμῶνι κακοπαθῆσαι αὐτῷ τὴν στρα- E τιὰν, πολλῆς χιόνος πεσούσης ἐν τῇ πολιορκίᾳ, καὶ ἅμα ἀπορίᾳ τῶν ἐπιτηδείων ἐπιέσθησαν· ἀλλὰ Χοριήνης ἐς δίμηνον σιτία ἔφη δώσειν τῇ στρατιᾷ· καὶ ἔδωκε σῖτόν τε καὶ οἶνον τῶν ἐν τῇ πέτρᾳ ἀποθέτων, κρέα τε ταριχηρὰ κατὰ σκηνήν. καὶ ταῦτα δοὺς, ἔφασκεν ἀναλῶσαι τῶν παρεσκευασμένων ἐς τὴν πολιορκίαν οὐδὲ τὴν δεκάτην μοῖραν· ἔνθεν ἐν τιμῇ μᾶλλον τῷ Ἀλεξάνδρῳ ἦν, ὡς οὐ πρὸς βίαν μᾶλλον ἢ κατὰ γνώμην ἐνδοὺς τὴν πέτραν.

Ταῦτα δὲ διαπραξάμενος Ἀλέξανδρος, αὐτὸς μὲν ἐς Βάκτρα ᾔει. Κρατερὸν δὲ τῶν ἑταίρων ἱπ- F πέας ἔχοντα ἑξακοσίους, καὶ τῶν πεζῶν τήν τε αὑτοῦ τάξιν καὶ τὴν Πολυπέρχοντος καὶ Ἀττάλου καὶ τὴν Ἀλκέτα, ἐπὶ Κατάνην τε καὶ Αὐστάνην ἐκπέμπει, οἳ δὴ μόνοι ἔτι ὑπελείποντο ἐν τῇ Παραιτακηνῶν χώρᾳ ἀφεστηκότες. καὶ μάχης γενομένης πρὸς αὐτοὺς καρτερᾶς, νικῶσιν οἱ ἀμφὶ Κρατερὸν τῇ μάχῃ· καὶ Κατάνης μὲν ἀποθνήσκει αὐτοῦ μαχόμενος· Αὐστάνης δὲ ξυλληφθεὶς ἀνήχθη παρ' Ἀλέξανδρον. τῶν δὲ ξὺν αὐτοῖς βαρβάρων, ἱππεῖς μὲν ἀπέθανον ἑκατὸν καὶ εἴκοσι· πεζοὶ δὲ, ἀμφὶ

τοὺς χιλίους πεντακοσίους. ταῦτα δὲ ὡς ἐπράχθη τοῖς ἀμφὶ Κρατερὸν, καὶ οὗτοι ἐς Βάκτρα ᾖσαν· καὶ ἐν Βάκτροις, τὸ ἀμφὶ Καλλισθένην τε καὶ τοὺς παῖδας πάθημα Ἀλεξάνδρῳ ξυνηνέχθη. ἐκ Βάκτρων δὲ, ἐξήκοντος ἤδη τοῦ ἦρος, ἀναλαβὼν τὴν στρατιὰν, προυχώρει ὡς ἐπὶ Ἰνδοὺς, Ἀμύνταν ἀπολιπὼν ἐν τῇ χώρᾳ τῇ Βακτρίων, καὶ ξὺν αὐτῷ ἱππέας μὲν τρισχιλίους καὶ πεντακοσίους, πεζοὺς δὲ μυρίους. ὑπερβαλὼν δὲ τὸν Καύκασον ἐν δέκα ἡμέραις, ἀφίκετο ἐς Ἀλεξάνδρειαν πόλιν, τὴν κτισθεῖσαν ἐν Παραπαμισάδαις, ὅτε τὸ πρῶτον ἐπὶ Βάκτρων ἐστέλλετο. καὶ τὸν μὲν ὕπαρχον, ὅστις αὐτῷ ἐπὶ τῆς πόλεως τότε ἐτάχθη, παραλύει τῆς ἀρχῆς, ὅτι οὐ καλῶς ἐξηγεῖσθαι ἔδοξε. προσκατοικίσας δὲ καὶ ἄλλους τῶν περιοίκων τε καὶ ὅσοι τῶν στρατιωτῶν ἀπόμαχοι ἦσαν ἐς τὴν Ἀλεξάνδρειαν, Νικάνορα μὲν, ἕνα τῶν ἑταίρων, τὴν πόλιν αὐτὴν κοσμεῖν ἐκέλευσε. σατράπην δὲ Τυριάσπην κατέστησε τῆς χώρας τῆς Παραπαμισαδῶν καὶ τῆς ἄλλης, ἔστ' ἐπὶ τὸν Κωφῆνα ποταμόν. ἀφικόμενος δ' ἐς Νίκαιαν πόλιν, καὶ τῇ Ἀθηνᾷ θύσας, προυχώρει ὡς ἐπὶ τὸν Κωφῆνα, προπέμψας κήρυκα, ὡς Ταξίλην τε καὶ τοὺς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ, κελεύσας ἀπαντᾶν ὅπως ἂν ἑκάστοις προχωρῇ. καὶ Ταξίλης τε καὶ οἱ ἄλλοι ὕπαρχοι ἀπήντων, δῶρα τὰ μέγιστα παρ' Ἰνδοῖς νομιζόμενα κομίζοντες· καὶ τοὺς ἐλέφαντας δώσειν ἔφασκον, τοὺς παρὰ σφίσιν ὄντας, ἀριθμὸν ἐς πέντε καὶ εἴκοσιν. ἔνθα δὴ διελὼν τὴν στρατιὰν, Ἡφαιστίωνα μὲν καὶ Περδίκκαν ἐκπέμπει ἐς τὴν Πευκελαῶτιν χώραν, ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμὸν, ἔχοντας τήν τε Γοργίου τάξιν καὶ Κλείτου καὶ Μελεάγρου, καὶ τῶν ἑταίρων ἱππέων τοὺς ἡμίσεας, καὶ τοὺς μισθοφόρους ἱππέας ξύμπαντας· προστάξας τά τε κατὰ τὴν ὁδὸν χωρία ἢ βίᾳ ἐξαιρεῖν, ἢ ὁμολογίᾳ παρίστασθαι. καὶ ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἀφικομένους, παρασκευάζειν ὅσα ἐς τὴν διάβασιν τοῦ ποταμοῦ ξύμφορα. ξὺν τούτοις δὲ καὶ Ταξίλης, καὶ οἱ ἄλλοι ὕπαρχοι στέλλονται. καὶ οὗτοι ὡς ἀφίκοντο πρὸς τὸν Ἰνδὸν ποταμὸν, ἔπρασσον ὅσα ἐξ Ἀλεξάνδρου ἦν τεταγμένα. Ἄστης δὲ, ὁ τῆς Πευκελαώτιδος χώρας ὕπαρχος, νεωτερίσας, αὐτός τε ἀπόλλυται, καὶ τὴν πόλιν προσαπόλλυσιν, ἐς ἣν ξυμπεφεύγει. ἐξεῖλον γὰρ αὐτὴν ἐν τριάκοντα ἡμέραις προσκαθήμενοι οἱ ξὺν Ἡφαιστίωνι. καὶ αὐτὸς δὲ Ἄστης ἀποθνήσκει, τῆς πόλεως δὲ ἐπιμελεῖσθαι ἐτάχθη Σαγγαῖος· ὃς ἔτι πρόσθεν πεφευγὼς Ἄστην, παρὰ Ταξίλην ηὐτομολήκει. καὶ τοῦτο ἦν αὐτῷ τὸ πιστὸν πρὸς Ἀλέξανδρον. Ἀλέξανδρος δὲ ἄγων τοὺς ὑπασπιστὰς, καὶ τῶν ἑταίρων ἱππέων ὅσοι μὴ ξὺν Ἡφαιστίωνι ἐτετάχατο, καὶ τῶν Ἀσθεταίρων καλουμένων τὰς τάξεις, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, καὶ τοὺς ἱππακοντιστὰς, προυχώρει ἐς τὴν Ἀσπασίων τε καὶ Θυραίων χώραν, καὶ Ἀρασάκων. πορευθεὶς δὲ παρὰ τὸν Χόην καλούμενον ποταμὸν, ὀρεινήν τε ὁδὸν καὶ τραχεῖαν, καὶ τοῦτον διαβὰς χαλεπῶς, τὸ μὲν πεζῶν πλῆθος βάδην ἕπεσθαί οἱ ἐκέλευσεν. αὐτὸς δὲ ἀναλαβὼν τοὺς ἱππέας ξύμπαντας, καὶ τῶν πεζῶν τῶν Μακεδόνων ἐς ὀκτακοσίους, ἐπιβιβάσας τῶν ἵππων ξὺν ταῖς ἀσπίσι ταῖς πεζικαῖς, σπουδῇ ἦγεν, ὅτι τοὺς ταύτῃ οἰκοῦντας βαρβάρους ξυμπεφευγέναι ἐς τε τὰ ὄρη τὰ κατὰ τὴν χώραν ἐξηγγέλλετο αὐτῷ, καὶ ἐς τὰς πόλεις ὅσαι ὀχυραὶ αὐτῶν ἐς τὸ ἀπομάχεσθαι.

A circiter M D. Quo facto Craterus in Bactra eſt profectus. in Bactris, Calliſthenis & puerorum regiorum inſidiæ Alexandro ſtrũctæ detectæ ſunt. Ex Bactris, adulto iam vere, coactis omnibus copiis in Indos mouit, Amynta apud Bactrianos relicto, cũ equitibus III M D, peditibus X M. decimóque caſtris tranſiniſſo Caucaſo peruenit Alexandriam, quæ apud Parapamiſadas condita fuerat, quum primam expeditionem in Bactra faceret: præſidémque illius vrbis amouit, quòd non bene officio ſuo functus fuiſ- B ſe videretur: pluribúſque colonis in Alexandriam, ex finitimis & Macedonibus qui inutiles bello erant, deductis, Nicanora vnum ex ſociis illius vrbis gubernationi præficit. Tyriaſpen totius regionis Parapamiſadarũ, & reliquæ prouinciæ ad Cophenem amnem vſque, ſatrapam conſtituit. Inde Nicæam profectus, ˚ſacro Palladi facto, ad Cophenem amnem proceſſit, & caduceatore præmiſſo, Taxilem ac cæteros qui trans amnem C incolebant obuiam ſibi progredi iuſſit. Et ˚Taxiles quidem, reliquique præſides obuiam venerunt, dona quæ apud Indos cenſentur ampliſſima offerentes. Elephantos etiam, qui apud eos erant, numero XXV ſe miſſuros polliciti. Ibi diuiſo exercitu, Hephæſtionem ac Perdiccam in Peucelaotidẽ regionem mittit, Indum amnem verſus, vnà cum Gorgiæ & Cliti atque Meleagri copiis, atque equitum amicorum dimidia parte, & mercenariis equitibus omnibus: mandatis traditis, vti oppida omnia quæ in itinere eſ- D ſent aut deditione reciperent, aut vi expugnarent. qúmque ad Indum fluuium perueniſſent, omnia quæ ad traiiciendum neceſſaria eſſent appararent. Cum his & Taxiles reliquíque eius regionis præſides miſſi, vbi ad Indum flumen venerunt, quæ Alexander iuſſerat faciunt. Aſtes verò Peucelaotidis regionis præſes, defectione tentata, & ſe & vrbem in quam confugit perdidit. Hephæſtion enim eam XXX dies obſeſſam expugnauit, Aſtéque in ea interfecto, eius gubernationem Sangæo tradidit, qui E paulo antè Aſtem fugiens, ad Taxilem ſe contulerat. quod quidem illi fidem apud Alexandrum auxerat. Alexander cum Argyraſpidum manu, & equitatu ſociorum qui Hephæſtionem ſecuti non erant, & eorum qui Aſſeteri vocantur agmine, cúmque ſagittariis atque Agrianis & haſtatis equitibus, in Aſpios, Thyræos, & Araſacos mouit. itineréque ad Choen fluuium facto, montano magna ex parte atque aſpero, eóque amne difficulter tranſmiſſo, ˚peditatum F ſenſim ſubſequi iubet. Ipſe ſumto ſecum equitatu vniuerſo, & Macedonũ peditibus, DCCC ſcuta pedeſtria geſtantibus in equos impoſitis, ſumma celeritate contendit, quòd barbari eius regionis in montes confugiſſe nuntiarentur, & in vrbes munitiores ad repugnandum ſeſe recepiſſe. Qua-

Curt. Victimis Mineruæ & victoriæ factis.

Curt. Alexãdro fines Indiæ ingreſſo gentium ſuarum reguli occurrerunt, imperata facturi.

Curt. Phalange ſequi iuſſa, equitatum ac leuem armaturam eduxit.

Curt. Eos qui occurrerāt, leui prælio in vrbē proximam cōpulit.

Curt. Cæterùm dū obequitat mœnibus, ſagitta ictus eſt.

rum vrbium primam in ipſo itinere ſitam adortus, "oppidanos pro mœnibus inſtructa acie ſtātes, primo impetu vt potuit repreſſos intra portas reiecit: ipſe verò telo per thoracem ictus "vulnus in humero accepit. Leuius tamen id fuit, quòd thorax, quominus telum altius in humerum penetraret, obſtiterit. Ptolemæus etiam Lagi F. & Leonnatus vulnerati. Tum Alexander, qua parte commodior ad oppugnandum murus videbatur, ad vrbē caſtra locat. poſteróque die ſub lucem (duplici enim muro cincta vrbs erat) exteriorem, qui minus firmus erat, Macedones paruo negotio ſuperant. ad interiorem barbari aliquamdiu reſtitere. Poſtquam verò admotis ſcalis, propugnatores omni ex parte telis peterētur, neque diutius ſuſtinere poſſent, protinus eruptione per portas facta in montes ſeſe proripiunt. quos inſecuti Macedones, non paucos in fuga cędunt. quotquot autem viui in poteſtatem venerunt, eos etiam, animis ob Alexandri vulnus ira inflammatis, omnes interficiunt. multi eorum in montes non procul ab vrbe diſsitos euaſerunt. Ea vrbe ſolo "adæquata, in Andaca aliam vrbem exercitum duxit. qua vrbe deditione recepta, Craterum ibi cum alijs peditum ducibus reliquit, vt reliquas eius regionis vrbes, quæ ſe "ſponte non dederent, vi expugnet, & prouinciam, prout cōmodiſsimum præſenti rerum ſtatui videretur, adminiſtraret. Ipſe cum argyraſpidibus, & ſagittariis, atque Agrianis, Cœníque & Attali copiis, & equitum agmine, atque amicorum equitum quatuor ſummùm turmis & equeſtriū ſagittariorum dimidia parte, ad flumen "Euaſpla contendit, vbi Aſpiorum præfectus erat. magnóque itinere confecto ſecundis caſtris ad vrbem peruenit. Barbari ſimulac Alexandrum appropinquare ſenſerunt, incenſa vrbe in montes cōfugiunt. Macedones eos in montes vſque inſecuti ſunt. multáque barbarorū cædes edita eſt, priuſquam ad loca ob aſperitatem tuta peruenirent. Quorum ducem Ptolemæus Lagi F. in colle quodam ſtantem cōſpicatus, ſcutatorum manu comitatum, tametſi ipſe numero militum multo inferior eſſet, eques in eum fertur. qúmque in collē accliuē difficulter ſubire poſſet, relicto cuidam ex argyraſpidibus equo qui illum duceret, pedes Indum inſequitur. Quem vt Indus appropinquantem vidit, continuò cum ſuis occurrens oblongam haſtam in Ptolemæi thoracem vibrat: neque tamen ictus thoracem penetrauit. Ptolemæus Indi femore traiecto, illum proſternit, armiſq; exuit. Barbari circunſtantes ducem ſuum proſtratum conſpicati, in fugam vertuntur. Montani verò ducis cadauer ab hoſtibus ablatum eſſe indignati, decurrentes ad collem, acrem pro ducis corpore recuperando pugnam ineunt. Iam verò & Alexander aduenerat cum peditibus qui ex equis deſcenderant. qui quidem in barbaros irruentes, difficulter eos in montes repulerunt. Alexander deinde quum ad vrbem veniſſet (Arigæum ei nomen erat) eam ab incolis incenſam ac deſertam reperit. Dum

Curt. Cepit tamen oppidum, & omnibus incolis eius trucidatis, etiam in tecta ſæuitum eſt.

Curt. Quæ auerſarētur imperiū.

Al. Εὐασπόλαν.

A καὶ ταύτῃ τῇ πρώτῃ καθ' ὁδὸν πόλει ᾠκισμένῃ προσβαλών, τοὺς μὲν πρὸ τῆς πόλεως τεταγμένους, ὡς εἶχεν, ἐξ ἐφόδου ἐτρέψατο, καὶ κατέκλεισεν ἐν τῇ πόλει. αὐτὸς δὲ τιτρώσκεται βέλει διὰ τοῦ θώρακος ἐς τὸν ὦμον. τὸ δὲ τραῦμα, οὐ χαλεπὸν αὐτῷ ἐγένετο. ὁ γὰρ θώραξ ἔσχε τὸ μὴ οὐ διαμπὰξ διὰ τοῦ ὤμου ἐλθεῖν τὸ βέλος. καὶ Πτολεμαῖος ὁ Λάγου ἐτρώθη, καὶ Λεοννάτος. τότε μὲν δὴ ἵνα ἐπιμαχώτατον τοῦ τείχους ἐφαίνετο, ἐστρατοπεδεύσατο πρὸς τῇ πόλει. τῇ δὲ ὑστεραίᾳ ὑπὸ τὴν ἕω (διπλοῦν γὰρ τεῖχος περιεβέβλητο τῇ πόλει) ἐς μὲν τὸ πρῶτον, ἅτε οὐκ ἀκριβῶς τετειχισμένον, οὐ χαλεπῶς ἐ-
B βιάσαντο οἱ Μακεδόνες. πρὸς δὲ τῷ δευτέρῳ ὀλίγον ἀντισχόντες οἱ βάρβαροι, ὡς αἵ τε κλίμακες προσέκειντο ἤδη, καὶ ὑπὸ τῶν βελῶν πάντοθεν ἐτιτρώσκοντο οἱ προμαχόμενοι, οὐκ ἔμειναν· ἀλλὰ κατὰ τὰς πύλας, ὡς ἐπὶ τὰ ὄρη ἐκπίπτουσιν ἐκ τῆς πόλεως· καὶ τούτων οἱ μὲν ἐν τῇ φυγῇ ἀποθνήσκουσιν· ὅσους δὲ ζῶντας ἔλαβον αὐτῶν, ξύμπαντας ἀποκτείνουσιν οἱ Μακεδόνες, ὅτι ἐτρώθη ὑπ' αὐτῶν Ἀλέξανδρος ὀργιζόμενοι. οἱ πολλοὶ δὲ ἐς τὰ ὄρη, ὅτι οὐ μακρὰν τῆς πόλεως τὰ ὄρη ἦν, ἀπέφυγον. τὴν πόλιν δὲ κατασκάψας, ἐς Ἄνδακα ἄλλην πόλιν ἦγε.
C ταύτην δὲ ὁμολογίᾳ ἐνδοθεῖσαν κατασχών, Κρατερὸν μὲν ξὺν τοῖς ἄλλοις ἡγεμόσι τῶν πεζῶν καταλείπει αὐτοῦ, ἐξαιρεῖν ὅσαι αὖ ἄλλαι πόλεις μὴ ἑκοῦσαι προσχωρῶσι, καὶ τὰ κατὰ τὴν χώραν ὅπως ξυμφορώτατον ἐς τὰ παρόντα κοσμεῖν. αὐτὸς δὲ ἄγων τοὺς ὑπασπιστάς, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριάνας, καὶ τὴν Κοίνου τε καὶ Ἀττάλου τάξιν, καὶ τῶν ἱππέων τὸ ἄγημα, καὶ τῶν ἄλλων ἑταίρων ἐς τέσσαρας μάλιστα ἱππαρχίας, καὶ τῶν ἱπποτοξοτῶν τοὺς ἡμισέας, ὡς ἐπὶ τὸν ποταμὸν τὸν Εὐάσπλα προὐχώρει, ἵνα ὁ τῶν Ἀσπίων ὕπαρχος ἦν. καὶ διελ-
D θὼν πολλὴν ὁδόν, δευτεραῖος ἀφίκετο πρὸς τὴν πόλιν. οἱ δὲ βάρβαροι προσάγοντα αἰσθόμενοι Ἀλέξανδρον, ἐμπρήσαντες τὴν πόλιν, ἔφευγον πρὸς τὰ ὄρη. οἱ δ' ἀμφ' Ἀλέξανδρον εἵποντο τῶν φευγόντων ἔστε ἐπὶ τὰ ὄρη, καὶ φόνος πολὺς γίγνεται τῶν βαρβάρων, πρὶν ἐς τὰς δυσχωρίας φθάσαι ἀπελθόντας. τὸν δὲ ἡγεμόνα αὐτὸν τῶν ταύτῃ Ἰνδῶν, Πτολεμαῖος ὁ Λάγου πρός τινι ἤδη γηλόφῳ ὄντα κατιδών, καὶ τῶν ὑπασπιστῶν ἔστιν οὓς ἀμφ' αὐτόν, ξὺν πολὺ ἐλάττοσιν αὐτὸς ὢν ὅμως ἐδίωκεν ἔτι ἐκ τοῦ ἵππου. ὡς δὲ χαλεπὸς ὁ γήλοφος τῷ ἵπ-
E πῳ ἀναδραμεῖν ἦν, τοῦτον μὲν αὐτοῦ καταλείπει, παραδοὺς τινὶ τῶν ὑπασπιστῶν ἄγειν· αὐτὸς δ' ὡς εἶχε, πεζὸς τῷ Ἰνδῷ εἵπετο. ὁ δ', ὡς πελάζοντα ἤδη κατεῖδε τὸν Πτολεμαῖον, αὐτός τε μεταβάλλει ἐς τοὔμπαλιν, καὶ οἱ ὑπασπισταὶ ξὺν αὐτῷ. καὶ ὁ μὲν Ἰνδὸς τοῦ Πτολεμαίου διὰ τοῦ θώρακος παίει ἐκ χειρὸς ἐς τὸ στῆθος ξυστῷ μακρῷ, καὶ ὁ θώραξ ἔσχε τὴν πληγήν. Πτολεμαῖος δὲ τὸν μηρὸν διαμπὰξ βαλὼν τοῦ Ἰνδοῦ, καταβάλλει τε καὶ σκυλεύει αὐτόν. ὡς δὲ τὸν ἡγεμόνα σφῶν κείμενον οἱ ἀμφ' αὐτὸν εἶδον, οὗτοι μὲν οὐκέτι ἔμενον· οἱ δ' ἐκ
F τῶν ὀρῶν αἰρόμενον τὸν νεκρὸν τοῦ ὑπάρχου ἰδόντες πρὸς τῶν πολεμίων, ἤλγησάν τε, καὶ καταδραμόντες ξυνάπτουσιν ἐπ' αὐτῷ μάχην καρτερὰν πρὸς τῷ γηλόφῳ. ἤδη γὰρ καὶ Ἀλέξανδρος ἔχων τοὺς ἀπὸ τῶν ἵππων καταβεβηκότας πεζούς, πρὸς τῷ γηλόφῳ ἦν. καὶ οὗτοι ἐπιγενόμενοι μόγις ἐξέωσαν τοὺς Ἰνδοὺς ἐς τὰ ὄρη. Ἀλέξανδρος ἐς πόλιν κατῆλθεν, ᾗ ὄνομα ἦν Ἀρίγαιον, καὶ ταύτην καταλαμβάνει ἐμπεπρησμένην ὑπὸ τῶν ἐνοικούντων,

ἐνοικούντων, καὶ τοὺς ἀνθρώπους πεφευγότας. ἐν τούτῳ δὲ ἀφίκοντο αὐτῷ καὶ οἱ ἀμφὶ Κρατερὸν ξὺν τῇ στρατιᾷ, πεπραγμένων σφίσι ξυμπάντων ὅσα ὑπὸ τοῦ βασιλέως ἐτέτακτο. ταύτην μὲν δὴ τὴν πόλιν, ὅτι ἐν ἐπικαίρῳ χωρίῳ ἐδόκει ᾠκῆσθαι, ἐκτειχίσαι τε προστάσσει Κρατερῷ, καὶ ξυνοικίσαι ἐς αὐτὴν τούς τε προσχώρους ὅσοι ἐθελονταί, καὶ εἰ δή τινες ἀπόμαχοι τῆς στρατιᾶς. αὐτὸς δὲ προὐχώρει ἵνα ξυμπεφευγέναι ἐπυνθάνετο τοὺς πολλοὺς τῶν ταύτῃ βαρβάρων. ἐλθὼν δὲ πρός τι ὄρος, κατεστρατοπέδευσεν ὑπὸ τῆς ὑπωρείας τοῦ ὄρους. καὶ ἐν τούτῳ Πτολεμαῖος ὁ Λάγου ἐκπεμφθεὶς μὲν ὑπὸ Ἀλεξάνδρου ἐς προνομήν, προελθὼν δὲ προσωτέρω αὐτὸς ξὺν ὀλίγοις, ὡς ἐς κατασκοπήν, ἀπαγγέλλει Ἀλεξάνδρῳ πυρὰ κατιδεῖν τῶν βαρβάρων πλείω ἢ ἐν τῷ Ἀλεξάνδρου στρατοπέδῳ. καὶ Ἀλέξανδρος τῷ μὲν πλήθει τῶν πυρῶν ἠπίστησεν· εἶναι δέ τι ξυνεστηκὸς τῶν ταύτῃ βαρβάρων αἰσθόμενος, μέρος μὲν τῆς στρατιᾶς αὐτοῦ καταλείπει πρὸς τῷ ὄρει, ὡς εἶχε στρατοπεδευμένους. αὐτὸς δὲ ἀναλαβὼν ὅσοι ἀποχρῶντες ἐς τὰ ἐπηγγελμένα ἐφαίνοντο, ὡς πλησίον ἤδη ἀφεώρων τὰ πυρά, τριχῇ διανέμει τὴν στρατιάν. καὶ τῷ μὲν ἑνὶ ἐπέταξε Λεοννάτον τὸν σωματοφύλακα, ξυντάξας αὐτῷ τήν τε Ἀττάλου καὶ τὴν Βαλάκρου τάξιν. τὴν δευτέραν δὲ μοῖραν Πτολεμαίῳ τῷ Λάγου ἄγειν ἔδωκε, τῶν τε ὑπασπιστῶν τῶν βασιλικῶν τὸ τρίτον μέρος, καὶ τὴν Φιλίππου καὶ Φιλώτου τάξιν, καὶ δύο χιλιαρχίας τῶν τοξοτῶν, καὶ τοὺς Ἀγριάνας, καὶ τῶν ἱππέων τοὺς ἡμίσεας. τὴν δὲ τρίτην μοῖραν αὐτὸς ἦγεν, ἵνα οἱ πλεῖστοι τῶν βαρβάρων ἐφαίνοντο. οἱ δὲ ὡς ᾔσθοντο προσάγοντας τοὺς Μακεδόνας (κατεῖχον γὰρ χωρία ὑπερδέξια, τῷ τε πλήθει σφῶν θαρσήσαντες, καὶ τῶν Μακεδόνων ὅτι ὀλίγοι ἐφαίνοντο καταφρονήσαντες) ἐς τὸ πεδίον ὑποκατέβησαν· καὶ μάχη γίγνεται καρτερά. ἀλλὰ τούτους μὲν οὐ ξὺν πόνῳ ἐνίκα Ἀλέξανδρος. οἱ δὲ ἀμφὶ Πτολεμαῖον οὐκ ἐν τῷ ὁμαλῷ παρετάξαντο, ἀλλὰ γήλοφον γὰρ κατεῖχον οἱ βάρβαροι, ὀρθίους ποιήσαντες τοὺς λόχους. Πτολεμαῖος προσῆγεν, ᾗπερ ἐπιμαχώτατον τοῦ λόφου ἐφαίνετο, οὐ πάντῃ τὸν λόφον κυκλωσάμενος, ἀλλ' ἀπολιπών, εἰ φεύγειν ἐθέλοιεν οἱ βάρβαροι, χώραν αὐτοῖς ἐς τὴν φυγήν. καὶ γίγνεται καὶ τούτοις μάχη καρτερά, τοῦ χωρίου τῇ χαλεπότητι, καὶ ὅτι οὐ κατὰ τοὺς ἄλλους τοὺς ταύτῃ βαρβάρους οἱ Ἰνδοί, ἀλλὰ πολὺ δή τι ἀλκιμώτατοι τῶν προσχώρων εἰσίν. ἐξώσθησαν δὲ καὶ οὗτοι ἀπὸ τοῦ ὄρους ὑπὸ τῶν Μακεδόνων, καὶ οἱ ἀμφὶ Λεοννάτον τῇ τρίτῃ μοίρᾳ τῆς στρατιᾶς ὡσαύτως ἔπραξαν· ἐνίκων γὰρ καὶ οὗτοι τοὺς κατὰ σφᾶς. καὶ λέγει Πτολεμαῖος ἀνθρώπους μὲν ληφθῆναι τοὺς πάντας ὑπὲρ τετρακισμυρίους, βοῶν δὲ ὑπὲρ τὰς τρεῖς καὶ εἰκοσιμυριάδας· καὶ τούτων τὰς καλλίστας ἐπιλεξάμενον Ἀλέξανδρον, ὅτι διαφέρουσαι αὐτῷ κάλλει τε καὶ μεγέθει ἐφαίνοντο, πέμψαι ἐθέλειν ἐς Μακεδονίαν, ἐργάζεσθαι τὴν χώραν. ἐντεῦθεν ἐπὶ τὴν τῶν Ἀσακηνῶν χώραν ἦγεν. τούτους γὰρ ἐξηγγέλλετο παρεσκευάσθαι ὡς μαχουμένους, ἱππέας μὲν ἐς δισχιλίους ἔχοντας, πεζοὺς δὲ ὑπὲρ τοὺς τρισμυρίους, τριάκοντα δὲ ἐλέφαντας. Κρατερὸς μὲν δὴ ἐκτετειχικὼς ἤδη τὴν πόλιν ἐφ' ἧς τοῦ οἰκισμοῦ καταλέλειπτο, τούς τε βαρυτέρους ὡπλισμένους τῆς στρατιᾶς Ἀλεξάνδρῳ ἦγεν,

A hæc geruntur, Craterus cum exercitu, peractis iis rebus quas Alexander imperarat, aduenit. Et quoniam eius vrbis ſitus peropportunus videbatur, Cratero eius inſtaurandæ negotium dat, vtque colonos ex finitimis qui ſua ſponte accedere vellent, & ex iis qui bello inutiles eſſent deducat iubet. Ipſe eò contendit quò barbarorum pleroſque confugiſſe audierat. quúmque ad montem quendam perueniſſet, ad eius radicem caſtra poſuit. Interea Ptolemæus pabulatum ab Alexandro miſſus, longius cum exigua B manu ſpeculandi cauſa progreſſus, Alexandro nuntiat plures in barbarorũ quàm in Alexandri caſtris ignes videri. Atque Alexander quidem ignium frequentiæ parum fidei tribuit. Cæterùm quum intellexiſſet barbaros eò confluxiſſe, partem quidem exercitus ad montem vbi caſtra locarat relinquit. ipſe aſſumtis iis quos pares imperatis exequendis fore cenſebat, quum ad ignium conſpectum veniſſet, in tres partes copias diuidit. atque vni quidem Leonnatum corporis cuſtodem C præficit, adiuncto ei Attali & Balacri agmine. alteram partem Ptolemæo Lagi filio ducendam dat, & argyraſpidum regiorum partem tertiam, Philippi præterea & Philotæ agmen huic adiungit, & ſagittariorum duo millia, Agrianos etiam totiúſque equitatus dimidium. Tertiam partem ipſe ducit qua confertiſſimam barbarorum aciem videt. Qui poſtquam Macedones appropinquantes ſenſere, (tenebant enim ſuperiora loca, multitudine ſuorum confiſi, & Macedonibus quòd pauci D viderentur contemptis) in planitiem deſcendunt. atrox ibi pugna fit. Cæterùm hos non magno cum negotio vicit Alexander. Ptolemæus verò non in plano iis oppoſitus erat. collem enim occuparant barbari, acie accliui loco inſtructa. Ea itaque parte qua collis facilior oppugnatu videbatur exercitum admouet, non vtique collem omni ex parte cingens, ſed locum ad fugam barbaris de induſtria relinquens. & cum his quoque acre certamen habitum fuit, tum E propter iniquitatem loci, tum quòd longè alia ſit Indorum quàm reliquorum eius prouinciæ barbarorum ratio, quippe qui finitimos omnes bellica virtute ſuperent. Sed & hi à Macedonibus monte depulſi ſunt. eodem modo & Leonnatus cum tertia exercitus parte rem geſſit. nam & hic barbaros quos adortus eſt vicit. Ac Ptolemæus quidem autor eſt hominũ XL M capta fuiſſe, boum vltra CCXXX M: è quibus Alexandrum præſtantiſſimas quaſque delectas, quòd eximia pulchritudine atque magnitu- F dine excellere viderentur, in Macedoniam, regionis colendæ cauſa, mittere voluiſſe.

Exinde Alexander in Aſſacenos mouit, qui quidem equitum duo millia, peditum XXX M, elephantos triginta, ad pugnam inſtruxiſſe nuntiabantur. Craterus inſtauratis mœnibus vrbis, ad cuius exædificationem relictus fuerat, milites grauioris armaturæ ad Alexandrum adduxit,

machinis etiam tormentíſque aduectis, ſicubi obſidione opus eſſet. Alexander cũ equitatu amicorum & equeſtribus iaculatorib', vnáque Cœni ac Polyperchõtis agmine, atque Agrianis mille, & ſagittariis, in Aſſacenos pergit, per Guræos iter faciens. & fluuiũ Guræum, eiuſdẽ cum regione nominis, difficulter tranſit, cùm ob amnis profunditatẽ, & curſus rapiditatẽ, tum quòd rotunda eius fluminis ſaxa tranſeuntiũ veſtigia fallerent. Barbari vt aduẽtare Alexandrum ſenſerunt, cõferta acie ſubſiſtere non auſi, diſſolutis ordinibus, prout cuiq; integrũ erat, in oppida ſeſe recipiunt, iis ſeſe tueri ſtatuentes. atque Alexander quidem primùm Maſſaga cum exercitu petit, vrbem eius regionis maximã. Admoto itaque vrbi exercitu, barbari Indis mercenariis ex India interiore adductis freti (erant hi ad ſeptem millia) in Macedonas qui iam caſtra locarant, curſu feruntur. Alexander quum pugnam ſub ipſos vrbis muros futuram videret, longius à mœnibus eos prolicere cupiens, ne ſi fuga fieret, (quam futuram omnino cogitabat) è paruo loci interuallo in vrbem confugientes, facilè euaderent: ſtatim atque barbaros excurrentes eſt conſpicatus, conuerſos Macedonas in collem quendam, ſeptem circiter ſtadiis à flumine Guræo, vbi caſtra ponere ſtatuerat, diſſitum, retrocedere iubet. Tum hoſtes audaciores facti, vtpote retrocedẽtibus Macedonibus, effuſo curſu nullóque ordine in eos feruntur. Poſtquã verò intra teli iactum venerunt, Alexãder dato ſigno in eos cõuerſus phalangem magna vi immiſit. Ac primi quidem iaculatores equites, atque Agriani & ſagittarij excurſione facta cum barbaris conflixerũt, ipſe verò phalangẽ inſtructa acie duxit. Indi celeritate rei inexpectatæ perculſi, quúmque iam ad manus ventum eſſet, fuga ſeſe in vrbem receperunt. ducenti ex iis cæſi, reliqui intra muros reiecti. Alexander confeſtim phalangem muris admouet. atque ibi ſagitta calcem leuiter perſtrictus eſt. Poſtero verò die machinis admotis, aliqua murorum parte facilè deiecta, quum Macedones per ruinas impetum facerent, Indi ſtrenuè reſtiterunt. adeo vt eo die Alexander receptui cani iuſſerit. Poſtridie verò Macedones rurſus maiore conatu vrbem aggrediuntur, turri lignea mœnibus admota, è quibus ſagittarij magnam telorum vim torquentes, Indos acriter reprimebant. Sed ne ſic quidem intra muros irrumpere potuerunt. Tertio exinde die Macedonum phalange rurſus ad muros adducta, atque ex lignea turri ponte muris, qua parte perfracti erant, ſuperiniecto, argyraſpidas immittit, qui quidem Tyrum antea eadem ratione ceperant. quúmque magna animorum alacritate pontem ſubeunt, is nimio pondere fatiſcens ruptus eſt, vnáque cũ Macedonibus ruinam fecit. Barbari eo caſu alacriores facti, ſaxis omnique genere telorum, quæ quiſque aut in manib' habebat, aut tum

A καὶ τὰς μηχανὰς, εἴπου πολιορκίας δεήσειεν. αὐτὸς
δὲ Ἀλέξανδρος τούς τε ἑταίρους ἱππέας, καὶ τοὺς ἱππακοντιστὰς, καὶ τὴν Κοίνου καὶ Πολυπέρχοντος τάξιν, καὶ τοὺς Ἀγριᾶνας τοὺς χιλίους, καὶ τοὺς τοξότας, ἤει ὡς ἐπὶ τοὺς Ἀσσακηνούς. ἦγε δὲ διὰ τῆς Γουραίων χώρας, καὶ τὸν ποταμὸν τὸν ἐπώνυμον τῆς χώρας τὸν Γουραῖον χαλεπῶς διέβη, διά βαθύτητά τε, καὶ ὅτι ὀξὺς ὁ ῥοῦς ἦν αὐτοῦ, καὶ οἱ λίθοι στρογγύλοι ἐν τῷ ποταμῷ ὄντες σφαλεροὶ τοῖς ἐπιβαίνουσιν ἐγίγνοντο. οἱ δὲ βάρβαροι ὡς προσάγοντα ᾔσθοντο Ἀλέ-
B ξανδρον, ἀθρόοι μὲν ἐς μάχην καταστῆναι οὐκ ἐτόλμησαν. διαλυθέντες δὲ ὡς εἶχον ἕκαστοι κατὰ πόλεις, ταύτας ἐπενόουν ἀπομαχόμενοι διασώζειν. καὶ Ἀλέξανδρος πρῶτα μὲν ἐπὶ Μάσσαγα ἦγε, τὴν μεγίστην τῶν ταύτῃ πόλεων. ὡς δὲ προσῆγεν ἤδη τοῖς τείχεσι, θαρρήσαντες οἱ βάρβαροι τοῖς μισθοφόροις τοῖς ἐκ τῶν πρόσω Ἰνδῶν (ἦσαν γὰρ αὐτοὶ ἐς ἑπτακισχιλίους) ὡς στρατοπεδευομένους εἶδον τοὺς Μακεδόνας, δρόμῳ ἐπ' αὐτοὺς ἵεσαν. καὶ Ἀλέξανδρος ἰδὼν πλησίον τῆς πόλεως ἐσομένην τὴν μάχην, προσωτέρω
C ἐκκαλέσασθαι αὐτοὺς βουληθεὶς τῶν τειχῶν, ὡς εἰ τροπὴ γίγνοιτο (ἐγίνωσκε γὰρ ἐσομένην) μὴ δι' ὀλίγου ἐς πόλιν καταφυγόντες εὐμαρῶς διασώζοιντο· ὡς ἐκθέοντας εἶδε τοὺς βαρβάρους, μεταβαλλομένους κελεύει τοὺς Μακεδόνας ὀπίσω ἀποχωρεῖν, ὡς πρὸς γήλοφόν τινα ἀπέχοντα ἀπὸ τοῦ ποταμοῦ Γουραίου, ἵναπερ στρατοπεδεύειν ἐγνώκει, ἑπτά που μάλιστα σταδίους. καὶ οἱ πολέμιοι ἀναθαρρήσαντες, ὡς ἐγκεκλικότων ἤδη τῶν Μακεδόνων, δρόμῳ τε καὶ ξὺν οὐδενὶ κόσμῳ ἐφέροντο ἐς αὐτούς. ὡς δ'
D ἐξικνεῖτο ἤδη τῶν Μακεδόνων τὰ τοξεύματα, ἐνταῦθα Ἀλέξανδρος ἀπὸ ξυνθήματος ἐπιστρέψας ἐς αὐτοὺς, τὴν φάλαγγα δρόμῳ ἀντεπῆγε. πρῶτοι δὲ οἱ ἱππακοντισταί τε αὐτῷ, καὶ οἱ Ἀγριᾶνες, καὶ οἱ τοξόται ἐκδραμόντες, ξυνέμιξαν τοῖς βαρβάροις· αὐτὸς δὲ τὴν φάλαγγα ἐν τάξει ἦγεν. οἱ δ' Ἰνδοὶ τοῦτε παραλόγῳ ἐκπλαγέντες, καὶ ἅμα ἐν χερσὶ γενομένης τῆς μάχης, ἐγκλίναντες ἔφευγον ἐς τὴν πόλιν. καὶ ἀπέθανον μὲν αὐτῶν ἀμφὶ τοὺς διακοσίους· οἱ δὲ λοιποὶ ἐς τὰ τείχη κατεκλείσθησαν. καὶ
E Ἀλέξανδρος προσῆγε τῷ τείχει τὴν φάλαγγα· καὶ ἐντεῦθεν τοξεύεται ἀπὸ τοῦ τείχους ἐς τὸ σφυρὸν οὐ χαλεπῶς. ἐπαγαγὼν δὲ τὰς μηχανὰς τῇ ὑστεραίᾳ, τῶν μὲν τειχῶν τι εὐμαρῶς κατέσεισε. βιαζομένους δὲ ταύτῃ τοὺς Μακεδόνας, ᾗ παρέρρηκτο τι τοῦ τείχους, οὐκ ἀτόλμως οἱ Ἰνδοὶ ἠμύνοντο. ὥστε ταύτῃ μὲν τῇ ἡμέρᾳ ἀνεκαλέσατο τὴν στρατιάν· τῇ δ' ὑστεραίᾳ τῶν Μακεδόνων αὐτῶν ἡ προσβολὴ καρτερωτέρα ἐγένετο, καὶ πύργος ἐπήχθη ξύλινος τοῖς τείχεσιν· ὅθεν ἐκτοξεύοντες οἱ τοξόται καὶ βέλη ἀπὸ μηχα-
F νῶν ἀφιέμενοι, ἀνέστελλον ἐπὶ πολὺ τοὺς Ἰνδοὺς, ἀλλ' οὐδ' ὡς βιάσασθαι εἴσω τοῦ τείχους οἷοί τε ἐγίγνοντο. τῇ δὲ τρίτῃ προσαγαγὼν αὖθις τὴν φάλαγγα, καὶ ἀπὸ μηχανῆς γέφυραν ἐπιβαλὼν τοῦ τείχους, ᾗ παρερρωγὸς ἦν, ταύτῃ ἐπῆγε τοὺς ὑπασπιστὰς, οἵπερ αὐτῷ καὶ Τύρον ὡσαύτως ἐξεῖλον. πολλῶν δὲ ὑπὸ προθυμίας ὠθουμένων, ἄχθος λαβοῦσα μεῖζον ἡ γέφυρα κατερράγη· καὶ πίπτουσι ξὺν αὐτῇ οἱ Μακεδόνες. οἱ δὲ βάρβαροι ἰδόντες τὸ γιγνόμενον, λίθοις τε ξὺν βοῇ ἀπὸ τῶν τειχῶν καὶ τοξεύμασι, καὶ ἄλλῳ ὅτῳ τις μετὰ χεῖρας ἔχων ἐτύγχανεν, ἢ ὅτῳ τις ἐν τῷ τότε

ἔλαβεν, ἐξηκόντιζον ἐς τοὺς Μακεδόνας. οἱ δὲ κατὰ θύρας, αἵτινες αὐτοῖς κατὰ τὰ μεσοπύργια μικραὶ ἦσαν, ἐκθέοντες, ἐκ χειρὸς ἔπαιον τεταραγμένους. Ἀλέξανδρος δὲ πέμπει Ἀλκέταν ξὺν τῇ αὐτοῦ τάξει, τούς τε κατατετρωμένους ἀναλαβεῖν, καὶ ὅσοι προσεμάχοντο ἀνακαλέσασθαι ὡς ἐπὶ τὸ στρατόπεδον. καὶ τῇ τετάρτῃ ὡσαύτως ἐπ' ἄλλης μηχανῆς ἄλλη ἐπιβάθρα αὐτῷ προσήγετο πρὸς τὸ τεῖχος. καὶ οἱ Ἰνδοὶ, τέως μὲν αὐτοῖς ὁ ἡγεμὼν τοῦ χωρίου περιῆν, ἀπεμάχοντο καρτερῶς· ὡς δὲ βέλει ἀπὸ μηχανῆς τυπεὶς ἀποθνήσκει ἐκεῖνος, αὐτῶν τε οἱ μέν τινες πεπτωκότες ἐν τῇ ξυνεχεῖ πολιορκίᾳ, οἱ πολλοὶ δὲ τραυματίαι τε καὶ ἀπόμαχοι ἦσαν, ἐπικηρυκεύονται πρὸς Ἀλέξανδρον· τῷ δὲ ἀσμένῳ γίγνεται ἄνδρας ἀγαθοὺς διασώσασθαι. καὶ ξυμβαίνει ἐπὶ τῷδε Ἀλέξανδρος τοῖς μισθοφόροις Ἰνδοῖς, ὡς καταταχθέντας ἐς τὴν ἄλλην στρατιὰν ξὺν αὐτῷ στρατεύεσθαι. οἱ μὲν δὴ ἐξῆλθον ξὺν τοῖς ὅπλοις, καὶ κατεστρατοπέδευσαν κατὰ σφᾶς ἐπὶ γηλόφῳ, ὃς ἦν ἀντίῤῥοπος τοῦ τῶν Μακεδόνων στρατοπέδου. νυκτὸς δὲ ἐπενόουν δρασμῷ διαχρησάμενοι, ἐς τὰ σφέτερα ἤθη ἐπαναστῆναι, οὐκ ἐθέλοντες ἐναντία αἴρεσθαι τοῖς ἄλλοις Ἰνδοῖς ὅπλα. καὶ ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, περιστήσας τῆς νυκτὸς τῷ γηλόφῳ τὴν στρατιὰν πᾶσαν, κατακόπτει τοὺς Ἰνδοὺς ἐν μέσῳ ἀπολαβών· τήν τε πόλιν αἱρεῖ κατὰ κράτος, ἐρημωθεῖσαν τῶν προμαχομένων, καὶ τὴν μητέρα τὴν Ἀσσακάνου καὶ τὴν παῖδα ἔλαβεν. ἀπέθανον δὲ ἐν τῇ πάσῃ πολιορκίᾳ τῶν ξὺν Ἀλεξάνδρῳ ἐς πέντε καὶ εἴκοσιν. ἔνθεν δὲ Κοῖνον μὲν ὡς ἐπὶ Βάζιρα ἐκπέμπει, γνώμην πεποιημένος ὅτι μαθόντες τὴν Ἀσσακηνῶν τὴν ἅλωσιν, ἐνδώσουσι σφᾶς αὐτούς. Ἄτταλον δὲ καὶ Ἀλκέταν καὶ Δημήτριον τὸν ἱππάρχην ἐπὶ Ὦρα στέλλει, ἄλλην πόλιν· παραγγείλας περιτειχίζειν τὴν πόλιν, ἔστ' ἂν ἀφίκηται αὐτός. καὶ γίγνεται ἐκδρομὴ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἀμφὶ Ἀλκέταν. οὐ χαλεπῶς δὲ τρεψάμενοι αὐτοὺς οἱ Μακεδόνες, εἴσω τοῦ τείχους ἐς τὴν πόλιν ἀποστρέφουσι. καὶ Κοίνῳ οὐ προὐχώρει τὰ ἐν τοῖς Βαζίροις, ἀλλὰ πιστεύοντες γὰρ τοῦ χωρίου τῇ ὀχυρότητι (ὅτι ὑψηλόν τε ἦν καὶ πάντῃ ἀκριβῶς τετειχισμένον) οὐδὲν ξυμβατικὸν ἐνεδίδοσαν. ταῦτα μαθὼν Ἀλέξανδρος, ὡρμᾶτο μὲν ὡς ἐπὶ Βάζιρα. γνοὺς δὲ ὅτι τῶν προσχώρων τινὲς βαρβάρων παριέναι ἐς τὰ Ὦρα τὴν πόλιν λαθόντες μέλλουσι, πρὸς Ἀβισάρου ἐπὶ τῷδε ἐσταλμένοι, ἐπὶ τὰ Ὦρα πρῶτον ἦγε. Κοῖνον δὲ ἐπιτειχίσαι τῇ πόλει τῶν Βαζίρων καρτερόν τι χωρίον προσέταξε, καὶ ἐν τούτῳ φυλακὴν καταλιπόντα ἀποχρῶσαν, ὡς μὴ ἄδεια εἴη τοῖς ἐν τῇ πόλει χρῆσθαι τῇ χώρᾳ, αὐτὸν ἄγοντα τῆς στρατιᾶς τὴν λοιπὴν παρ' αὐτὸν ἰέναι. οἱ δὲ ἐκ τῶν Βαζίρων, ὡς εἶδον ἀπιόντα ξὺν τῷ πλείστῳ τῆς στρατιᾶς τὸν Κοῖνον, καταφρονήσαντες τῶν Μακεδόνων, ὡς οὐ γιγνομένων αὖ σφίσιν ἀξιομάχων, ἐπεκθέουσιν ἐς τὸ πεδίον· καὶ γίγνεται αὐτῶν μάχη καρτερά. καὶ ἐν ταύτῃ πίπτουσι μὲν τῶν βαρβάρων ἐς πεντακοσίους, ἐλήφθησαν δὲ ζῶντες ὑπὲρ τοὺς ἑβδομήκοντα. οἱ δὲ λοιποὶ ἐν τῇ πόλει ξυμφυγόντες, βεβαιότερον ἤδη εἴργοντο τῆς χώρας ὑπὸ τῶν ἐκ τοῦ ἐπιτειχίσματος. καὶ Ἀλεξάνδρῳ δὲ τῶν Ὠρῶν ἡ πολιορκία οὐ χαλεπὴ ἐγένετο· ἀλλ' εὐθὺς ἐξ ἐφόδου προσβαλὼν

aliunde aſſumſit, clamore ſublato Macedones petunt: alij verò per anguſtas portulas interturriis interiectas proſilientes, perturbatos feriunt. Alexander Alcetam cum agmine emittit, qui & ſaucios recipiat, & eos qui vrbem oppugnabant in caſtra reuocet. Quarto die aliis operibus alium pontem in murum iacit. Atque Indi quidem, quandiu præfectus loci ſupererat, fortiter Macedonas propulſabant. At quum is telo ex machinis ictus occubuit, multíque ex ſuis in continua oppugnatione cæſi, alij ſaucij pugnæque inutiles eſſent, ad Alexandrum mittunt. qui quidem libenter fortes ſtrenuóſque viros ſeruare ſtatuerat. Paciſcitur itaque ea conditione cum mercenariis Indis, vt exercitui ſuo accenſi ſecum militent. Hi cum armis vrbe egreſſi ſeorſim in colle quodam Macedonibus oppoſito caſtra faciunt, eo conſilio vt noctu arrepta fuga domum redirent, quòd aduerſus alios Indos arma ferre nollent. Quæ vt Alexandro nuntiata ſunt, eadem nocte colle in quo conſtiterant copiis ſuis circumſeſſo, omnes ad internecionem cecidit: vrbémque propugnatoribus vacuam protinus vi capit, in eáque Aſſaceni matrem & filiam. Ab Alexandri partibus x x v tantùm in vniuerſa obſidione deſiderati. exinde Cœnum Baziram mittit, ratus oppidanos, Aſſacenorum expugnatione audita, deditionem facturos. Attalum verò & Alcetam ac Demetrium equitatus præfectum ad Oram oppidum mittit, vtque vrbem muro in orbem ducto intercludant, tantiſperdum ipſe aduenerit, iubet. Oppidani in Alcetam excurſionem faciunt: quos Macedones facilè repulſos atque in vrbem reiectos muris clauſerunt. At Cœno Bazirenſium obſidio non ſtatim ex ſententia ſucceſſit. ſiquidem oppidani loci munitione freti (erat enim vrbs & excelſo loco ſita, & valido muro omni ex parte cincta) nullam deditionis ſignificationem edebant. Quo cognito, Alexander confeſtim eò mouit: quumque accepiſſet nonnullos barbarorum finitimorum in Orā clam ſe immiſſuros, ab Abiſſaro ad id miſſos, Cœnum apud Bazira munitam arcem extruere, præſidióque in eâ relicto, quod oppidanis agri vſum impedire poſſet, reliquum exercitum ad ſe ducere iubet. Bazirenſes Cœnum cum maxima copiarum parte diſceſſiſſe conſpicati, contemta Macedonum qui relicti erant paucitate, in planitiem excurrunt. acriſque intèr eos conflictus fit: quingentis barbaris ea pugna cæſis, viuis ſupra L x x captis: reliqui in vrbem repulſi, arctius deinceps ab excurſione in agrū, ab iis qui in arce ex aduerſo murorū extructa erāt, arcebātur. Neque verò laborioſa Alexandro Oreorum obſidio fuit. Primo enim impetu

vrbem expugnauit, elephantis quos ibi repe rit captis. Bazirēſes Oreorum expugnatione audita, viribus ſuis diffiſi, ſub mediam noctem deſerta vrbe in petram confugiunt. quod & reliqui barbari imitati ſunt. Omnes enim deſertis oppidis in petram ſeſe receperunt, quam Aornon vocant. Ingens porro erat hæc petra eius regionis munimentum, famáque tenuit, ne ab ipſo quidem Hercule ab Ioue ſato vinci potuiſſe. Ego verò, an Hercules Thebanus, aut Tyrius, aut AEgyptius ad Indos penetrarit, nihil habeo quod affirmare poſſim. potius tamē non eò penetraſſe (omnia enim quæ difficilia ſunt, homines vt difficiliora eſſe videantur, Herculem ipſum præſtare nequiuiſſe comminiſcūtur) verum eſſe crediderim. Equidem de hac petra ita ſentio, augendæ rei cauſa Herculis nomen adhibitum eſſe. Ambitum huius petræ C C ſtadiorū eſſe aiunt; altitudinē, qua humillima eſt, ſtadiorum X I. vno tantum arduo calle, eóque manu facto, adiri poſſe. multam etiam eámque puriſſimam in vertice petræ aquam eſſe, fontémque inde manare; ſyluam etiam habere, tantúmque arabilis & fertilis agri, quantum mille homines colere poſſint. Quibus cognitis, Alexandrum magno eius montis capiendi deſiderio captum fuiſſe. neque parum fabula illa de Hercule vulgata illum accendit. Itaque Oris & Maſſagis præſidio firmatis, Baziræ muros extruxit. Hephæſtion etiam & Perdiccas alia vrbe, Alexandri iuſſu, inſtaurata (Orobatis vrbi nomen erat) relicto ibidem præſidio, ad Indum flumen mouerunt. quò vbi venerunt, omnia quæ de ponte iungendo Alexander imperarat faciunt. Regioni cis Indum ſitæ Alexander ex amicis Nicanorem ſatrapam conſtituit. Ipſe primum ad Indum flumen mouit, vrbémque Peucceliotin haud procul ab amne ſitam deditione recepit, præſidióque Macedonum impoſito, Philippum ei præfecit. Multa præterea ignobilia oppida ad Indum amnem ſita ſubegit, comitātibus eum Cophæo & Aſſagete præſidibus prouinciæ. Poſtquam verò Embolima venit, quæ vrbs non procul à petra Aorno ſita eſt, Craterum cum parte exercitus ibi relinquit, vtque frumentum quantum poſſet, aliáque neceſſaria ad longi temporis moram ibi faciendam in vrbem conueheat iubet, vt inde progreſſi Macedones, diuturna obſidione eos qui petram tenebant conficerent, ſi primo impetu capi non poſſet. Ipſe aſſumtis ſagittariis atque Agrianis, Cœníque agmine, & ex reliqua phalange delectis iis qui & expeditiores & melius armati eſſent, præterea ex equitatu ſociorum ducentis, ac ſagittariis equeſtribus centum, exercitum ad petram admouit, ac primo quidem die caſtra commodo loco ponit. poſtero die propius rurſum ad petram caſtra locat. Interea finitimorum nonnulli ad eum venerunt deditionem facientes, viámque ſeſe oſtenſuros dicentes, qua cōmodior

Curt. Incolæ armati petrā Aornū nomine occupauerunt. hāc ab Hercule fruſtra obſeſſam eſſe, terræque motu coactum abſiſtere fama vulgauerat.

Curt. Multa ignobilia oppida deſerta à ſuis, venere in poteſtatem regis.

A τοῖς τείχεσι τῆς πόλεως, ἐκράτησε· καὶ τοὺς ἐλέφαντας τοὺς ἐγκαταλειφθέντας ἔλαβε. καὶ ταῦτα οἱ ἐν τοῖς Βαζίροις ὡς ἔμαθον, ἀπογνόντες τὰ σφέτερα πράγματα, ἀμφὶ μέσας νύκτας τὴν πόλιν ἐκλείπουσιν, ἔφυγον δ' ἐς τὴν πέτραν· ὡς δὲ καὶ οἱ ἄλλοι βάρβαροι ἔπρασσον. ἀπολιπόντες γὰρ τὰς πόλεις ξύμπαντες, ἔφευγον ἐς τὴν πέτραν τὴν ἐν τῇ χώρᾳ, τὴν Ἄορνον καλουμένην. μέγα γάρ τι τοῦτο χρῆμα πέτρας ἐν τῇ χώρᾳ ταύτῃ ἐστί. καὶ λόγος ὑπὲρ ταύτης κατέχει, οὐδὲ Ἡρακλεῖ τῷ Διὸς ἁλώσιμον γενέσθαι τὴν πέτραν. Εἰ μὲν δὴ καὶ ἐς Ἰνδοὺς ἀφίκετο B ὁ Ἡρακλῆς ὁ Θηβαῖος, ἢ ὁ Τύριος, ἢ ὁ Αἰγύπτιος, ἐς οὐδέτερα ἔχω ἰσχυρίσασθαι· μᾶλλον δὲ δοκῶ ὅτι οὐκ ἀφίκετο (ἀλλὰ πάντα γὰρ ὅσα χαλεπά, οἱ ἄνθρωποι ἐς τοσόνδ' ἄρα αὔξουσιν αὐτῶν τὴν χαλεπότητα, ὡς καὶ τῷ Ἡρακλεῖ ἂν ἄπορα γενέσθαι) ἀληθεύειν. κἀγὼ ὑπὲρ ταύτης τῆς πέτρας οὕτω γινώσκω, τὸν Ἡρακλέα ἐς κόμπον τοῦ λόγου ἐπιφημίζεσθαι. τὸν μὲν δὴ κύκλον τῆς πέτρας λέγουσιν ἐς διακοσίους σταδίους μάλιστα εἶναι· ὕψος δὲ αὐτῆς, ἵναπερ χθαμαλώτατον, σταδίων ἕνδεκα· καὶ ἀνάβασιν χειροποίητον μίαν χαλεπήν. εἶναι δὲ καὶ ὕδωρ ἐν ἄκρᾳ τῇ πέτρᾳ πολὺ καὶ καθαρὸν πηγὴν C ἀνίσχουσαν, ὡς καὶ ἀπορρεῖν ἀπὸ τῆς πηγῆς ὕδωρ· καὶ ὕλην, καὶ γῆν ἀγαθὴν ἐργάσιμον, ὅσην καὶ χιλίοις ἀνθρώποις ἀποχρῶσαν ἂν εἶναι ἐργάζεσθαι. καὶ ταῦτα ἀκούοντα Ἀλέξανδρον πόθος λαμβάνει ἐξελεῖν καὶ τοῦτο τὸ ὄρος, οὐχ ἥκιστα ἐπὶ τῷ ἀμφὶ τὸν Ἡρακλέα μύθῳ πεφημισμένῳ. τὰ μὲν δὴ Ὦρα καὶ τὰ Μάσσαγα φρούρια ἐποίησεν ἐπὶ τῇ χώρᾳ· τὰ Βάζιρα δὲ πόλιν ἐξετείχισε. καὶ οἱ ἀμφὶ Ἡφαιστίωνά τε καὶ Περδίκκαν αὐτῷ ἄλλην πόλιν ἐκτειχίσαντες (Ὀροβάτις D ὄνομα τῇ πόλει ἦν) καὶ φρουρὰν καταλιπόντες, ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ᾔεσαν. ὡς δ' ἀφίκοντο, ἔπρασσον ἤδη ὅσα ἐς τὸ ζεῦξαι τὸν Ἰνδὸν ὑπὸ Ἀλεξάνδρου ἐτέτακτο. Ἀλέξανδρος δὲ τῆς μὲν χώρας τῆς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ σατράπην κατέστησε Νικάνορα, τῶν ἑταίρων. αὐτὸς δὲ τὰ στρατεύματα ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἦγε, καὶ πόλιν τε Πευκελιῶτιν οὐ πόρρω τοῦ Ἰνδοῦ ᾠκισμένην ὁμολογίᾳ παρεστήσατο· καὶ ἐν αὐτῇ φρουρὰν καταστήσας τῶν Μακεδόνων, καὶ Φίλιππον ἐπὶ τῇ φρουρᾷ ἡγεμόνα. ὁ δὲ καὶ ἄλλα προσηγάγετο μικρὰ πο- E λίσματα πρὸς τῷ Ἰνδῷ ποταμῷ ᾠκισμένα. ξυνείποντο δὲ αὐτῷ Κωφαῖός τε καὶ Ἀσσαγέτης, οἱ ὕπαρχοι τῆς χώρας. ἀφικόμενος δὲ ἐς Ἐμβόλιμα πόλιν, ἣ ξύνεγγυς τῆς πέτρας τῆς Ἀόρνου ᾤκειτο, Κρατερὸν μὲν ξὺν μέρει τῆς στρατιᾶς καταλείπει αὐτοῦ, σῖτόν τε ἐς τὴν πόλιν ὡς πλεῖστον ξυνάγειν, καὶ ὅσα ἄλλα ἐς χρόνιον τριβήν, ὡς ἐντεῦθεν ὁρμωμένους τοὺς Μακεδόνας χρονίῳ πολιορκίᾳ ἐκτρυχῶσαι τοὺς κατέχοντας τὴν πέτραν, εἰ μὴ ἐξ ἐφόδου ληφθείη. αὐτὸς δὲ τούς τε τοξότας ἀναλαβὼν, καὶ τοὺς Ἀγριᾶνας, καὶ τὴν Κοίνου τάξιν, καὶ F ἀπὸ τῆς ἄλλης φάλαγγος ἐπιλέξας τοὺς κουφοτάτους τε καὶ ἅμα εὐοπλοτάτους, καὶ τῶν ἑταίρων ἱππέων ἐς διακοσίους, καὶ ἱπποτοξότας ἐς ἑκατὸν, προσῆγε τῇ πέτρᾳ. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ κατεστρατοπεδεύσατο ἵνα ἐπιτήδειον αὐτῷ ἐφαίνετο. τῇ δὲ ὑστεραίᾳ ὀλίγον προσελθὼν, ὡς πρὸς τὴν πέτραν αὖθις ἐστρατοπεδεύσατο. Καὶ ἐν τούτῳ ἧκον παρ' αὐτὸν τῶν προσχώρων τινὲς, σφᾶς τε αὐτοὺς ἐνδιδόντες, καὶ ἡγήσασθαι φάσκον-

A τες ἐς τῆς πέτρας τὸ ἐπιμαχώτατον, ὅθεν οὐ χαλεπὸν αὐτῷ ἔσεσθαι ἑλεῖν τὸ χωρίον. καὶ ξὺν τούτοις πέμπει Πτολεμαῖον τὸν Λάγου τὸν σωματοφύλακα, τούς τε Ἀγριᾶνας ἄγοντα, καὶ τοὺς ψιλοὺς τοὺς ἄλλους, καὶ τῶν ὑπασπιστῶν ἐπιλέκτους· προστάξας, ἐπειδὰν καταλάβῃ τὸ χωρίον, κατέχειν μὲν αὐτὸ ἰσχυρᾷ φυλακῇ, οἱ δὲ σημαίνειν ὅτι ἔχεται. καὶ Πτολεμαῖος ἐλθὼν ὁδὸν τραχεῖάν τε καὶ δύσπορον, λανθάνει τοὺς βαρβάρους κατασχὼν τὸν τόπον. καὶ τοῦτον χάρακι ἐν κύκλῳ καὶ τάφρῳ ὀχυρώσας, πυρσὸν αἴρει ἀπὸ τοῦ ὄρους, ἔνθεν ὀφθήσεσθαι ὑπ' Ἀλεξάνδρου ἔμελλε. B καὶ ὤφθη τε ἅμα ἡ φλὸξ, καὶ Ἀλέξανδρος ἐπῆγε τῇ ὑστεραίᾳ τὴν στρατιάν. ἀμυνομένων δὲ τῶν βαρβάρων, οὐδὲν πλέον αὐτῷ ὑπὸ δυσχωρίας ἐγίγνετο. ὡς δὲ Ἀλεξάνδρῳ ἄπορον τὴν προσβολὴν κατέμαθον οἱ βάρβαροι, ἀναστρέψαντες τοῖς ἀμφὶ Πτολεμαῖον αὐτοὶ προσέβαλλον. καὶ γίνεται αὐτῶν τε καὶ τῶν Μακεδόνων μάχη καρτερά· τῶν μὲν, διασπάσαι τὸν χάρακα σπουδὴν ποιουμένων τῶν Ἰνδῶν· Πτολεμαίου δὲ, διαφυλάξαι τὸ χωρίον· καὶ μεῖον σχόντες οἱ βάρβαροι ἐν τῷ ἀκροβολισμῷ, νυκτὸς ἐπιγιγνομένης ἀνεχώρησαν. C Ἀλέξανδρος δὲ τῶν Ἰνδῶν ἕνα τῶν αὐτομόλων, πιστόν τε ἄλλως καὶ τῶν χωρίων δαήμονα, ἐπιλεξάμενος, πέμπει παρὰ Πτολεμαῖον τῆς νυκτὸς γράμματα φέροντα τὸν Ἰνδὸν, ἵνα ἐνεγέγραπτο· ἐπειδὰν αὐτὸς προσβάλλῃ τῇ πέτρᾳ, τὸν δὲ ἐπιέναι τοῖς βαρβάροις κατὰ τὸ ὄρος, μηδ' ἀγαπᾶν ἐν φυλακῇ ἔχοντα τὸ χωρίον, ὡς ἀμφοτέρωθεν βαλλομένους τοὺς Ἰνδοὺς ἀμφιβόλους γίγνεσθαι. καὶ αὐτὸς ἅμα τῇ ἡμέρᾳ ἄρας ἐκ τοῦ στρατοπέδου, προσῆγε τὴν στρατιὰν κατὰ τὴν πρόσβασιν, ᾗ Πτολεμαῖος λαθὼν ἀνέβη· γνώμην ποιούμενος, ὡς εἰ ταύτῃ βιασάμενος ξυμ- D μίξοι τοῖς ἀμφὶ Πτολεμαῖον, οὐ χαλεπὸν ἔτι ἐσόμενον αὐτῷ τὸ ἔργον· καὶ ξυνέβη οὕτως. ἔστι μὲν γὰρ ἐπὶ μεσημβρίαν ξυνειστήκει καρτερὰ μάχη τοῖς τε Ἰνδοῖς καὶ τοῖς Μακεδόσιν, τῶν μὲν ἐκβιαζομένων ἐς τὴν πρόσβασιν, τῶν δὲ βαλλόντων ἀνιόντας. ὡς δὲ οὐκ ἀνίεσαν οἱ Μακεδόνες, ἄλλοι ἐπ' ἄλλοις ἐπιόντες, οἱ δὲ πρόσθεν ἀναπαυόμενοι, μόλις ἀμφὶ δείλην ἐκράτησαν τῆς παρόδου, καὶ ξυνέμιξαν τοῖς ξὺν Πτολεμαίῳ. ἐκεῖθεν δὲ ὁμοῦ ἤδη γενομένη ἡ στρατιὰ πᾶσα, ἐπῆγετο αὖθις ὡς ἐς αὐτὴν τὴν πέτραν. E ἀλλὰ γὰρ ἔτι ἄπορος ἦν αὕτη ἡ προσβολή. ταύτῃ μὲν δὴ τῇ ἡμέρᾳ τοῦτο τὸ τέλος γίγνεται. ὑπὸ δὲ τὴν ἕω παραγγέλλει στρατιώτῃ ἑκάστῳ, κόπτειν χάρακας ἑκατὸν κατ' ἄνδρα. καὶ οὗτοι κεκομμένοι ἦσαν, καὶ αὐτὸς ἐχώννυεν, ἀρξάμενος ἀπὸ τῆς κορυφῆς τοῦ λόφου, ἵνα ἐστρατοπεδευκότες ἦσαν, ὡς ἐπὶ τὴν πέτραν χῶμα μέγα, ἔνθεν τοξεύμασί τε ἂν ἐξικνεῖσθαι ἐς τοὺς προμάχους, καὶ ἀπὸ μηχανῶν βέλη ἀφιέμενα. καὶ ἐχώννυεν αὐτὸ πᾶς τις ἀντιλαμβανόμενος τοῦ ἔργου· καὶ αὐτὸς ἐφειστήκει F θεατὴς καὶ ἐπαινέτης τοῦ ξὺν προθυμίᾳ περαινομένου, κολαστὴς δὲ τοῦ ἐν τῷ παραχρῆμα ἐκλιποῦς. τῇ μὲν δὴ πρώτῃ ἡμέρᾳ ὡς ἐπὶ στάδιον ἔχωσεν αὐτῷ ὁ στρατός. ἐς δὲ τὴν ὑστεραίαν, οἵ τε σφενδονῆται σφενδονῶντες ἐς τοὺς Ἰνδοὺς ἐκ τοῦ ἤδη κεχωσμένου, καὶ ἀπὸ τῶν μηχανῶν βέλη ἀφιέμενα ἀνέστελλε τῶν Ἰνδῶν τὰς ἐκδρομὰς, τὰς ἐπὶ τοὺς χωννύοντας. καὶ ἐχώννυτο αὐτῷ ἐς τρεῖς ἡμέρας ξυνεχῶς τὸ χωρίον. τῇ τετάρτῃ δὲ βιασάμενοι τῶν Μακεδόνων οὐ πολλοὶ,

petræ oppugnatio futura eſſet, paruóque negotio capi poſſet. Cum his Ptolemæum Lagi filium corporis cuſtodem mittit, Agrianos ſecum ducentem, alióſque leuis armaturæ, & argyraſpidum lectiſſimos quoſque, iubens, vt quum oppidum occupaſſet, firmo id præſidio muniret, vtque occupati loci ſignificationem aliquam ederet. Ptolemæus via ardua atque difficili contendens, non ſentientibus barbaris in verticem euadit, & loco in orbem vallo ac foſſa communit, ac facem accenſam, ab ea parte montis qua conſpici ab Alexandro poſſet, tollit. Alexander conſpecto flammæ ſplendore, poſtridie exercitum admouit. at barbaris acriter ſeſe tuentibus, nihil tum effecit. Quum verò barbari animaduerterent Alexandrum ab ea parte fruſtra niti, in Ptolemæum conuerſi feruntur. atrox ibi cum Macedonibus pugna miſcetur, Indis quidem vallum reſcindere nitentibus, Ptolemæo omnibus viribus locum tutante. Demum barbari Macedonum velitari conflictu malè excepti, nocte interueniente retrocedunt. Alexander interea Indum quendam transfugam, locorum peritum, noctu cum literis ad Ptolemæum mittit. quibus monet, vt quum ipſe petram adoriretur, Ptolemæus eodem tempore ex monte impetum in hoſtes faceret, neque in præſidio ſe continere contentus eſſet, vt vtrinque petiti barbari in ambiguo verſarentur. Ipſe prima luce exercitum ad eam partem ducit, qua Ptolemæus clam hoſtibus montem conſcenderat, ita ſecum ſtatuens, ſi illac ſe cum Ptolemæo coniungere poſſet, non ita difficile negotium ei futurum. quod quidem ita euenit. Nam ad meridiem vſque acre inter Indos & Macedones certamen fuit, his quidem conſcendere nitentibus, illis ſubeuntes propulſantibus. quum verò Macedones non deſiſterent alij aliis ſuccedere, prioréſque interim à labore reficerentur, vix ante noctem tranſitu potiti, ſeſe cum Ptolemæo coniunxerunt. Exinde quum iam omnes copiæ vnà eſſent, rurſus petram adoriuntur. Sed ne hac quidem ratione petra ſubiri potuit. atque ita dies ille conſumptus eſt. Sub lucem milites ſingulos centum palos cædere iubet. quibus comportatis aggerem à ſummo colle in quo caſtra locarat ad petram molitur, vnde & ſagittæ & tela machinis excuſſa ad hoſtes pertingere poſſent: vniuerſóque exercitu ad opus intento, ipſe & ſpectator & laudator aſſtabat, eos quidem qui magna contentione opus promouebant collaudans: ſegniores verò caſtigans. Ac primo quidem die exercitus in ſtadij longitudinem aggerem perduxit. poſtero die funditores ac ſagittarij per aggerem diſpoſiti, facilè Indorum in eos qui aggerem ſtruebant excurſiones repreſſerunt. atque ita agger triduo toto perfectus eſt. Quarto die quum Macedones

aliquot collem quendam petræ oppoſitum, æqualis cum ea altitudinis, cepiſſet, Alexander confeſtim eò contendit, aggerémque ad eum collem quem pauci tenebant continuare ſtatuit. Barbari ob incredibilem Macedonum qui collem illum ſuperarant, audaciam attoniti, aggerémque iam ad collem perductum conſpicati, à defenſione deſiſtunt, miſſóque ad Alexandrum caduceatore, ſpondent ſeſe, ſi paciſci cum iis velit, petræ deditionem facturos. Conſilium verò ipſorum erat, vt totum illum diem pactionibus faciendis tranſigentes, noctu ſeſe quiſque in domos ſuas reciperent. Quo cognito, Alexander tempus ſatis amplum iis ad diſcedendum conceſſit, omni præſidio per circuitum amoto. ipſéque ibi tantiſperdum diſcedere inciperent manſit. Poſthæc aſſumtis ex cuſtodibus corporis & argyraſpidibus DCC, primus in deſertam ab hoſtibus petram conſcendit. Macedones quoque, alius aliâ ſeſe mutuò ſubtrahentes, eodem aſcenderunt. Exinde in recedentes barbaros ſigno dato conuerſi, multos in fuga interfecerunt. Illorum plerique trepidè fugientes, per præcipitia delapſi perierunt. Alexander potitus petra, quam ne Hercules quidem ipſe ſuperare potuerat, ſacrificio in ea facto, præſidium impoſuit, eique Siſicoptum præfecit, qui ex Indis ad Bactra ad Beſſum transfugerat, & poſtquam Alexander Bactrianorum regionem ſubiugarat, coniunctis cum eo copiis fidelem imprimis ei operam nauarat. Alexander è petra in Aſſacanorũ regionem mouit. Aſſacani enim fratrem, cum elephantis & finitimorum barbarorum non exigua manu, in illius regionis montes confugiſſe acceperat. quúmq; ad vrbem Dyrtam perueniſſet, neminem incolarum aut in ea aut in vicina regione reperit. Poſtero autem die Nearchum & Antiochum, qui ſinguli mille argyraſpidibus præfecti erant, emittit. ac Nearcho quidem Agrianos leuis armaturæ, Antiocho ad mille argyraſpides quos ducebat, alia duo millia adiungit. Hos ſpeculatum in illa loca mittit, & an fortè nonnullos ex barbaris comprehendere poſſint, è quibus cùm alia ad regionis notitiam pertinentia, tum de elephantis cognoſceret. Ipſe ad Indum flumen pergit: exercitu qui viam faceret præmiſſo. neque enim aliter ea loca tranſiri poſſunt. Eo loci barbaris nonnullis captis, certior factus eſt Indos eius regionis ad Bariſadem confugiſſe. Elephantos in paſcuis apud Indum amnem relictos eſſe. quo cognito, vt ſe ad eum locum vbi elephanti erant ducant iubet. Sunt autem plerique Indi elephantorum venatores, & ob id Alexander hos apud ſe charos habebat. ac tum quidem elephãtos venatus eſt. duo inter perſequendũ è præcipitiis lapſi perierũt: reliqui capti, admiſſis ſeſſoribus, exercitui admoti ſunt. Syluã quoque cæduam apud flumen nactus, eam ab exercitu cædi nauéſque ædificari iuſſit, quibus in Indum flumen ſubductis, ad pontẽ quẽ iam multo ante Hephæſtion & Perdiccas conſtruxerant, vectus eſt.

A κατέχον ὀλίγον γήλοφον ἰσόπεδον τῇ πέτρᾳ. καὶ Ἀλέξανδρος οὐδέν τι ἐλινύων ἐπῆγε τὸ χῶμα, ξυνάψαι ἐθέλων τὸ χωννύμενον τῷ γηλόφῳ, ὃν ἤδη οἱ ὀλίγοι αὐτῷ ἤδη κατεῖχον. οἱ δὲ Ἰνδοὶ πρός τε τὴν ἀδιήγητον τόλμαν τῶν ἐς τὸν γήλοφον βιασαμένων Μακεδόνων ἐκπλαγέντες, καὶ τὸ χῶμα ξυνημμένον ἤδη ὁρῶντες, τοῦ μὲν ἀπομάχεσθαι ἐπαπείχοντο. πέμψαντες δὲ κήρυκα σφῶν παρ' Ἀλέξανδρον, ἐθέλειν ἔφασκον ἐνδοῦναι τὴν πέτραν, εἰ σφίσιν σπένδοιτο. γνώμην δὲ ἐπεποίηντο ἐν τῷ ἔτι διαμέλλοντι τῶν σπονδῶν διαγαγόντες τὴν B ἡμέραν, νυκτὸς ὡς ἕκαστοι διασκεδάννυσθαι ἐπὶ τὰ σφέτερα ἤθη. καὶ τοῦτο ὡς ἐπύθετο Ἀλέξανδρος, ἐνδίδωσιν αὐτοῖς χρόνον τε ἐς τὴν ἀποχώρησιν, καὶ τῆς φυλακῆς τὴν κύκλωσιν τὴν πάντη ἀφελεῖν. καὶ αὐτὸς ἔμενεν ἔστε ἤρξαντο τῆς ἀποχωρήσεως. καὶ ἐν τούτῳ ἀναλαβὼν τῶν σωματοφυλάκων καὶ τῶν ὑπασπιστῶν ἐς ἑπτακοσίους, κατὰ τὸ ἐκλελειμμένον τῆς πέτρας ἀνέρχεται ἐς αὐτὴν πρῶτος. καὶ οἱ Μακεδόνες ἄλλος ἄλλῃ ἀνιμῶντες ἀλλήλους ἀνῄεσαν, καὶ οὗτοι ἐπὶ τοὺς ἀποχωροῦντας τῶν βαρβάρων τραπόμενοι ἀπὸ ξυνθήC ματος, πολλοὺς μὲν αὐτῶν ἐν τῇ φυγῇ ἀπέκτειναν· οἱ δὲ καὶ πεφοβημένως ἀποχωροῦντες, κατὰ τῶν κρημνῶν ῥίψαντες σφᾶς, ἀπέθανον. εἴχετό τε Ἀλεξάνδρῳ ἡ πέτρα, ἡ τῷ Ἡρακλεῖ ἄπορος γενομένη. καὶ ἔθυεν ἐπ' αὐτῇ Ἀλέξανδρος, καὶ κατεσκεύασε φρούριον, παραδοὺς Σισικόττῳ ἐπιμελεῖσθαι τῆς φρουρᾶς, ὃς ἐξ Ἰνδῶν μὲν πάλαι ηὐτομολήκει ἐς Βάκτρα παρὰ Βῆσσον. Ἀλεξάνδρου δὲ κατασχόντος τὴν χώραν τὴν Βακτρίαν, ξυνεστράτευέ τε αὐτῷ, καὶ πιστὸς ἐς τὰ μάλιστα ἐφαίνετο. ἄρας δὲ ἐκ τῆς πέτρας, ἐς τὴν τῶν Ἀσσακανῶν χώραν ἐμD βάλλει. τὸν γὰρ ἀδελφὸν Ἀσσακάνου ἐξηγγέλλετο τούς τε ἐλέφαντας ἔχοντα καὶ τῶν προσχώρων βαρβάρων πολλοὺς ξυμπεφευγέναι ἐς τὰ ταύτῃ ὄρη. καὶ ἀφικόμενος εἰς Δύρτα πόλιν, τῶν μὲν οἰκητόρων οὐδένα καταλαμβάνει, οὐδὲ ἐν τῇ χώρᾳ τῇ πρὸς τῇ πόλει. ἐς δὲ τὴν ὑστεραίαν, Νέαρχόν τε καὶ Ἀντίοχον τοὺς χιλιάρχους τῶν ὑπασπιστῶν ἐκπέμπει. καὶ Νεάρχῳ μὲν τοὺς Ἀγριάνας τοὺς ψιλοὺς ἄγειν ἔδωκεν· Ἀντιόχῳ δὲ τήν τε αὑτοῦ χιλιαρχίαν, καὶ δύο ἐπὶ ταύτῃ ἄλλας. ἐστέλλοντο δὲ τά τε χωρία κατοψόμενοι, καὶ εἴπου τινὰς τῶν βαρβάρων ξυλE λαβεῖν, ἐς ἔλεγχον τῶν κατὰ τὴν χώραν τῶν τε ἄλλων, καὶ μάλιστα δὴ τὰ ἀμφὶ τοὺς ἐλέφαντας ἔμελλον αὐτῷ μαθεῖν. αὐτὸς δὲ ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἤδη ἦγε, καὶ ἡ στρατιὰ αὐτῷ ὁδοποιεῖτο πρόσω ἰοῦσα, ἄπορα ἄλλως ὄντα τὰ ταύτῃ χωρία, ἐνταῦθα ξυλλαμβάνει ὀλίγους τῶν βαρβάρων, καὶ παρὰ τούτων ἔμαθεν, ὅτι οἱ μὲν ἐν τῇ χώρᾳ Ἰνδοὶ παρὰ Βαρισάδη ἀποπεφευγότες εἶεν· τοὺς ἐλέφαντας δὲ ὅτι αὐτοῦ κατέλιπον νέμεσθαι πρὸς τῷ ποταμῷ τῷ Ἰνδῷ. καὶ τούτους ἡγήσασθαί οἱ τὴν ὁδὸν ἐκέλευσεν ὡς ἐπὶ τοὺς ἐλέφαντας. εἰσὶ δὲ ἸνF δῶν πολλοὶ κυνηγέται τῶν ἐλεφάντων, καὶ τούτους ἐν σπουδῇ ἀμφ' αὑτὸν εἶχεν Ἀλέξανδρος, καὶ τότε ἐθήρα ξὺν τούτοις τοὺς ἐλέφαντας. καὶ δύο μὲν αὐτῶν ἀπώλοντο, κατὰ τῶν κρημνῶν σφᾶς ῥίψαντες ἐν τῇ διώξει· οἱ δὲ ἄλλοι ξυλληφθέντες, ἔφερόν τε τοὺς ἀναβάτας, καὶ τῇ στρατιᾷ ξυνετάσσοντο. ἐπεὶ δὲ καὶ ὕλῃ ἐργασίμῳ ἐνέτυχε παρὰ τὸν ποταμὸν, καὶ αὕτη ἐκόπη αὐτῷ ὑπὸ τῆς στρατιᾶς, καὶ νῆες ἐποιήθησαν. καὶ αὗται κατὰ τὸν Ἰνδὸν ποταμὸν ἤγοντο ὡς ἐπὶ γέφυραν ἣν ἵνα Ἡφαιστίων καὶ Περδίκκας αὐτῷ ἐξῳκοδομηκότες πάλαι ἦσαν.

ἈΡΡΙΑΝΟΥ ἹΣΤΟΡΙΩΝ ἈΝΑΒΆΣΕΩΣ Ἀλεξάνδρου,

Βιβλίον πέμπτον.

Ἐν δὲ τῇ χώρᾳ ταύτῃ, τῇ μεταξὺ τοῦ τε Κωφῆνος καὶ τοῦ Ἰνδοῦ ποταμοῦ ἐπῆλθεν Ἀλέξανδρος, καὶ Νύσαν πόλιν ᾠκίσθαι λέγουσι· τὸ δὲ κτίσμα εἶναι Διονύσου. Διόνυσον δὲ κτίσαι τὴν Νύσαν, ἀφ' οὗ τε Ἰνδοὺς ἐχειρώσατο. ὅστις δὴ οὗτος ὁ Διόνυσος, καὶ ὁπότε ἢ ὅθεν ἐπ' Ἰνδοὺς ἐστράτευσεν, οὐ γὰρ ἔχω συμβαλεῖν, εἰ ὁ Θηβαῖος Διόνυσος ὃς ἐκ Θηβῶν, ἢ ἐκ Τμώλου τοῦ Λυδίου ὁρμηθεὶς ἐπ' Ἰνδοὺς ἧκε στρατιὰν ἄγων. τοσαῦτα μὲν ἔθνη μάχιμα καὶ ἄγνωστα τοῖς τότε Ἕλλησιν ἐπελθών, οὐδὲν δὲ αὐτῶν ἄλλο ὅτι μὴ τὸ Ἰνδῶν βίᾳ χειρωσάμενος· πλήν γε δὴ ὅτι οὐκ ἀκριβῆ ἐξεταστὴν χρὴ εἶναι τῶν ὑπὲρ τοῦ θείου ἐκ παλαιοῦ μεμυθευμένων. τὰ γάρ τοι κατὰ τὸ εἰκὸς ξυντιθέντι οὐ πιστά, ἐπειδὰν τὸ θεῖον τις προσθῇ τῷ λόγῳ, οὐ πάντῃ ἄπιστα φαίνεται. ὡς δὲ ἐπέβη τῇ Νύσῃ Ἀλέξανδρος, ἐκπέμπουσι παρ' αὐτὸν οἱ Νυσαῖοι τὸν κρατιστεύοντα σφῶν (ὄνομα δὲ ἦν αὐτῷ Ἄκουφις) καὶ ξὺν αὐτῷ πρέσβεις τῶν δοκιμωτάτων τριάκοντα, δεησομένους Ἀλεξάνδρου, ἀφεῖναι τῷ θεῷ τὴν πόλιν. παρελθεῖν τε δὴ ἐς τὴν σκηνὴν τὴν Ἀλεξάνδρου τοὺς πρέσβεις, καὶ καταλαβεῖν καθήμενον κεκονιμένον ἔτι ἐκ τῆς ὁδοῦ, ξὺν τοῖς ὅπλοις τοῖς τε ἄλλοις, καὶ τὸ κράνος αὐτῷ περικείμενον, καὶ τὸ δόρυ ἔχοντα, θαμβῆσαι ἰδόντας τὴν ὄψιν, καὶ πεσόντας ἐς γῆν ἐπὶ πολὺ σιγὴν ἔχειν. ὡς δὲ ἐξανέστησέ τε αὐτοὺς Ἀλέξανδρος, καὶ θαρρεῖν ἐκέλευσε, τότε δὴ τὸν Ἄκουφιν ἀρξάμενον λέγειν τάδε. Ὦ βασιλεῦ, δέονταί σου Νυσαῖοι, ἐᾶσαι σφᾶς ἐλευθέρους τε καὶ αὐτονόμους, αἰδοῖ τοῦ Διονύσου. Διόνυσος γὰρ ἐπειδὴ χειρωσάμενος τὸ Ἰνδῶν ἔθνος, ἐπὶ θάλασσαν ὀπίσω κατῄει τὴν Ἑλληνικήν, ἐκ τῶν ἀπομάχων στρατιωτῶν, οἳ δὴ αὐτῷ καὶ Βάκχοι ἦσαν, κτίζει τὴν πόλιν τήνδε, μνημόσυνον τῆς αὐτοῦ πλάνης τε καὶ νίκης τοῖς ἔπειτα ἐσομένην. καθάπερ οὖν καὶ σὺ αὐτὸς Ἀλεξάνδρειάν τε ἔκτισας τὴν πρὸς Καυκάσῳ ὄρει, καὶ ἄλλην Ἀλεξάνδρειαν ἐν τῇ Αἰγυπτίων γῇ, καὶ ἄλλας πολλὰς τὰς μὲν ἔκτισας ἤδη, τὰς δὲ καὶ κτίσεις ἀνὰ χρόνον, οἷα δὴ πλείονα Διονύσου ἔργα ἀποδειξάμενος. Νύσαν τε οὖν ἐκάλεσε τὴν πόλιν ὁ Διόνυσος ἀπὸ τῆς τροφοῦ τῆς Νύσης, καὶ τὴν χώραν Νυσαίαν. τὸ δ' ὄρος ὅ,τι περ πλησίον ἐστὶ τῆς πόλεως, καὶ τοῦτο Μηρὸν ἐπωνόμασε Διόνυσος, ὅτι δὴ κατὰ τὸν μῦθον, ἐν μηρῷ τῷ τοῦ Διὸς ηὐξήθη. καὶ ἐκ τούτου ἐλευθέραν τε οἰκοῦμεν τὴν Νύσαν καὶ αὐτοὶ αὐτόνομοι, καὶ ἐν κόσμῳ πολιτεύοντες. τῆς δὲ ἐκ Διονύσου οἰκίσεως, καὶ τόδε σοι γενέσθω τεκμήριον. κιττὸς γὰρ, οὐκ ἄλλῃ τῆς Ἰνδῶν γῆς φυόμενος, παρ' ἡμῖν φύεται. καὶ ταῦτα πάντα Ἀλεξάνδρῳ πρὸς θυμοῦ ἐγίγνετο ἀκούειν, καὶ ἤθελε πιστὰ εἶναι τὰ ὑπὲρ τοῦ

ARRIANI HISTORIARVM DE EXPEDItione Alexandri,

Liber quintus.

A In hac regione, quam inter Cophenem & Indũ fluuios interiacentem Alexander aggreſſus eſt, Nyſam etiam vrbẽ ſitam eſſe ferunt, à Dionyſio conditam, eo tempore quo Indos domuit. Quíſnam verò is Dionyſius fuerit, & quando aut vnde Indis bellum intulerit coniicere non poſſum. ſitne is qui Thebanus ex Thebis, an verò ex Tmolo Lydiæ profectus in Indos exercitum duxerit. qui B quum tot bellicoſas, & tum temporis Græcis ignotas gentes adierit, nullam ex iis prꝑterquam Indorum vi ſubegerit: hoc tantùm cenſuerim, ea quæ de diis veteres fabulis ſuis conſcripſere, non eſſe nimium curioſè perueſtiganda. Scripta enim quibus meritò fides derogari poſſet, quando numinis alicuius mentio accedit, fit vt non omnino incredibilia eſſe videantur. Alexander itaque ſimulac Nyſam cum exercitu venit, oppidani Acuphim principẽ ciuitatis ad eum mit- C tunt, & cum eo legatos xxx ex primoribus, orantes vti numini ſuo vrbem liberam relinquat. Legati ad Alexandri tabernaculum adducti, quum illum ſedentem nondum deterſo puluere, omni adhuc armatura indutũ, galeáque tectum, & lanceam manu tenentẽ vidiſſent, aſpectu eius perterrefacti in terrã prociderunt, diúque ſilentium tenuerunt. Poſtquam verò Alexander ſurgere illos, bonóque animo eſſe iuſſit, Acuphim ita orſum, ORANT te, ô rex, Nyſæi, vti Liberi patris « D reuerentia adductus ciuitatem ipſis liberam « legibúſque ſuis vtentem relinquas. Diony- « ſius enim debellatis Indis, quum ad Græ- « canicum mare reuerteretur, ex militibus ru- « de donatis, qui & ipſi Bacchici erant, hanc « vrbem condidit, quæ perpetuum peregrina « tionis victoriæque ſuæ monimentum poſte « ris extaret. quemadmodum tu ipſe Alexan- « driam ad Caucaſum montem condidiſti, a- « liámque in AEgyptiorum regione, aliáſque « multas partim iam exædificaſti, partim nũc « ædificas: vtpote qui iam plura quàm Diony « E ſius præſtiteris. Nyſam autem vocauit vrbẽ « à nutrice Nyſſa, & prouinciam Nyſſæam. « mõtem verò qui vrbi imminet, Meron [*hoc* « *eſt femur*] vocari voluit, quòd, ſecundum fa- « bulas, in femore Iouis ſuccreuerit. Ex eo « tempore liberam Nyſam incolimus, noſtriſ- « que legibus vtẽtes cõpoſitè viuimus. Quòd « verò à Libero patre ædificata ſit, hoc etiam « tibi documento eſſe poteſt, quòd nuſquam « alibi apud Indos hedera naſcatur. Grata « Alexãdro Acuphis oratio accidit. Cupiebat

Digitized by Google

enim fide digna eſſe quæ de Liberi pere-
grinatione fabulæ narrant: faciléque credi
volebat, Nyſam ab eo conditam fuiſſe. quip-
pe quòd iam eò quò Dionyſius perueniſſet,
& vlterius quàm Dionyſius progreſſurus eſ-
ſet: & Macedonas non illibenter cum ipſo
æmulatione quadam rerum à Dionyſio ge-
ſtarum, vlteriores labores aditúros putabat.
Itaque Nyſæis ciuibus libertatem, vtq; ſuis
legibus vterentur conceſsit. Deinde quum
leges eorum cognouiſſet, quódque rempub.
ex optimatibus conſtitutam haberent, illo-
rum inſtitutum collaudauit, & C C C equites
ad ſe mitti iuſsit, centum præcipuis ex iis qui
remp. regerent (qui & ipſi C C C erant) ſibi de-
lectis. Acuphis autem ex numero ſelectorum
erat, quem quidem ipſe præſidẽ Nyſææ pro-
uinciæ conſtituerat. Ad hæc poſtulata Acu-
phim ſubriſiſſe ferunt. & Alexandro interro-
gante cauſam riſus, reſpondiſſe Acuphim,
» Quonam pacto, ô rex, ciuitas centum bonis
» viris priuata, rectè deinceps gubernari queat?
» At tu, ſi Nyſæorum ſalus tibi cordi eſt, equi-
» tes quidem C C C, & ſi velis plures, accipe. ſed
» pro centum quos ex optimis deligi tibi iu-
» bes, ducentos ex deterioribus dari patiare, vt
» ſiquãdo huc reuertaris, ciuitatem priſtinum
» ſtatum decúſque retinuiſſe intelligas. His di-
ctis (quod prudẽter reſpondiſſe videretur) A-
lexandrum perſuaſum fuiſſe. atque equites
quidem vt mitterentur iuſſiſſe: centum verò
illos ex præcipuis delectos neque petiiſſe, ne-
que eorum loco alios. Acuphis verò filium,
eiúſq; ex ſorore nepotem vnà ad Alexandrũ
miſſum. Poſthæc Alexandrum cupido cepit
viſendæ illius vrbis, in qua Nyſæi monimẽta
quædam Dionyſij eſſe gloriabantur: adeun-
di etiam mõtis Meri cum equitatu amicorũ,
& peditum agmine, vt montem hedera lau-
róque refertum, lucóſque opacos omni fera-
rum genere abundantes videret. Macedoni-
bus hederæ conſpectũ iucundum fuiſſe, quã
nimirum à multo tẽpore non vidiſſent (neq;
enim Indorum regio hederã fert, ne ibi qui-
dem vbi vites ſunt) coronáſq; ex ea feciſſe, &
capita redimitos Dionyſio hymnos cantaſſe.
varijs eum appellationibus inuocãtes: Alexã
drũ Dionyſio ſacrificiũ feciſſe & cũ amicis e-
pulatũ eſſe. Tradũt etiã nõnulli (ſi cui hęc crę
dibilia videntur) multos nõ obſcuri nominis
Macedonas hedera coronatos in eo epulo
Dionyſij numine correptos, bacchãtes diſcur
riſſe. Cæterũ his vnicuiq; per me integrũ ſit,
fidẽ prout velit aut tribuere aut derogare. Ne
que verò Eratoſtheni Cyrenæo prorſus aſſen
tior, qui autor eſt, quicquid honoris numi-
ni à Macedonibus delatũ fuit, in gratiã Ale-
xandri faſtu quodã, fauſtis acclamationibus
adhibitis, factitatũ fuiſſe. Dicit etiã Macedo-
nas ſpecũ quandã apud Parapamiſadas con-
ſpicatos, fabula quadã ab incolis audita, aut
ab ipſiſmet cõficta, ſparſiſſe ſpecũ illã Prome
thei antrũ eſſe, vbi religatus olim is fuit, aqui
lámq; eò venire ſolitã quę eius viſcera depa-
ſceretur; Herculis autẽ interuẽtu aquilã in-
terfectã, & Prometheũ vinculis ſolutũ. Cau-
caſum mõtẽ ex Ponto ad orientales terræ
partes & Parapamiſadarũ regionẽ, ad Indos

Cur. Credo equidem non diuino inſtinctu, ſed laſciuia eſſe prouectos, vt paſſim hederæ ac vitiũ folia decerperẽt, redimitique frõde toto nemore ſimiles bacchãtibus vagarentur.

A Διονύσου τῆς πλάνης μυθευόμενα. καὶ κτίσμα εἶναι
Διονύσου τὴν Νύσαν ἤθελεν, ὡς ἤδη τε ἥκειν αὐτὸς
ἔνθα ἦλθε Διόνυσος, καὶ ἐπέκεινα ἐλθεῖν Διονύσου· οὐ-
δ' ἂν Μακεδόνας τὸ πρόσω ἀπαξιῶσαι συμπονεῖν οἱ ἔ-
τι, κατὰ ζῆλον τῶν Διονύσου ἔργων. καὶ δίδωσιν ἐλευθέ-
ρους τε εἶναι τοὺς οἰκήτορας τῆς Νύσης, καὶ αὐτονόμους.
ὡς δὲ καὶ τοὺς νόμους ἐπύθετο αὐτῶν, καὶ ὅτι πρὸς τῶν ἀ-
ρίστων τὸ πολίτευμα ἔχεται, ταῦτά τε ἐπῄνεσε, καὶ ἠ-
ξίωσε τῶν ἱππέων οἱ ξυμπέμψαι ἐς τριακοσίους, καὶ τῶν
προεστώτων τοῦ πολιτεύματος (ἦσαν δὲ καὶ αὐτοὶ τρια-
B κόσιοι) ἑκατὸν τοὺς ἀρίστους ἐπιλεξάμενος. Ἄκουφιν δὲ
εἶναι τὸν ἐπιλεγόμενον, ὅντινα καὶ ὕπαρχον τῆς χώρας τῆς Νυσ-
σαίας κατέστησεν αὐτός. τὸν δὲ Ἄκουφιν ταῦτα ἀκού-
σαντα ἐπιμειδιάσαι λέγεται τῷ λόγῳ· καὶ Ἀλέξανδρον ἐ-
ρέσθαι, ἐφ' ὅτῳ ἐγέλασεν· ἀποκρίνασθαι δὲ Ἄκουφιν.
Καὶ πῶς ἄν, ὦ βασιλεῦ, μία πόλις ἑκατὸν ἀνδρῶν ἀ-
γαθῶν ἐρημωθεῖσα, ἔτι καλῶς πολιτεύοιτο; ἀλλὰ σύ,
εἴ σοι μέλει Νυσαίων, τοὺς ἱππέας μὲν ἄγεσθαι τοὺς
τριακοσίους, καὶ εἰ βούλει ἔτι τούτων πλείονας· ἀντὶ δὲ
ἑκατόν, οὕστινας τοὺς ἀρίστους ἐπιλέξαι σὺ κελεύεις, δι-
C πλασίους τῶν ἄλλων τῶν κακῶν ἄγεσθαι, ὡς σοι καὶ αὖ-
θις ἀφικομένῳ δεῦρο ἐν τῷ αὐτῷ τούτῳ κόσμῳ φα-
νείη ἡ πόλις. ταῦτα λέγοντα (λέγειν γὰρ δόξαι φρόνιμα)
πεῖσαι Ἀλέξανδρον. καὶ τοὺς μὲν ἱππέας ξυμπέμπειν
οἱ ἐκέλευσε· τοὺς δὲ ἑκατὸν τοὺς ἐπιλέκτους μηκέτι αἰτῆ-
σαι, ἀλλὰ μηδ' ἀντ' αὐτῶν ἄλλους. τὸν δὲ παῖδα ἄρα τοῦ
Ἀκούφιος, καὶ τῆς θυγατρὸς τὸν παῖδα ξυμπέμψαι
αὐτῷ Ἄκουφιν. Ἀλέξανδρον δὲ πόθος ἔλαβεν ἰδεῖν τὸν
χῶρον, ὅπου τινὰ ὑπομνήματα τοῦ Διονύσου οἱ Νυσαῖ-
οι ἐκόμπαζον, ἐλθεῖν τε ἐς τὸ ὄρος τὸν Μηρὸν ξὺν τοῖς ἑ-
D ταίροις ἱππεῦσι, καὶ τῷ πεζικῷ ἀγήματι, καὶ ἰδεῖν κισ-
σοῦ τε ἀνάπλεων καὶ δάφνης τὸ ὄρος, καὶ ἄλση παν-
τοῖα· καὶ ἰδεῖν σύσκιον, καὶ θήρας ἐν αὐτῷ εἶναι θηρίων
παντοδαπῶν. καὶ τοὺς Μακεδόνας ἡδέως τὸν κισσὸν ἰ-
δόντας, οἷα δὴ διὰ μακροῦ ὀφθέντα (οὐ γὰρ εἶναι ἐν τῇ Ἰν-
δῶν χώρᾳ κισσόν, οὐδ' ἵναπερ αὐτοῖς ἄμπελοι ἦσαν)
στεφάνους σπουδῇ ἀπ' αὐτοῦ ποιεῖσθαι, καὶ στεφανώσα-
σθαι, ὡς εἶχον ἐφυμνοῦντας, καὶ Διόνυσόν τε καὶ τὰς ἐπω-
νυμίας τοῦ θεοῦ ἀνακαλοῦντας. θῦσαί τε αὐτοῦ Ἀλέξαν-
δρον τῷ Διονύσῳ, καὶ εὐωχηθῆναι ὁμοῦ τοῖς ἑταίροις. οἱ
E δὲ καὶ τάδε ἀνέγραψαν (εἰ δή τῳ πιστὰ καὶ ταῦτα) πολ-
λοὺς τῶν ἀμφ' αὐτὸν τῶν οὐκ ἠμελημένων Μακεδόνων
τῷ τε κισσῷ στεφανωμένους, καὶ ὑπὸ τῇ κατακλήσει τοῦ
θεοῦ κατασχεθῆναί τε πρὸς τοῦ Διονύσου, καὶ ἀνευά-
σαι τὸν θεόν, καὶ βακχεῦσαι. καὶ ταῦτα ὅπως τις ἐθέ-
λει ὑπολαβὼν ἀπιστείτω ἢ πιστευέτω. οὐ γὰρ ἔγωγε Ἐρα-
τοσθένει τῷ Κυρηναίῳ πάντῃ ξυμφέρομαι, ὃς λέγει
πάντα ὅσα ἐς τὸ θεῖον ἀναφέρεται ἐκ Μακεδόνων,
πρὸς χάριν τὴν Ἀλεξάνδρου ἐς τὸ ὑπέρογκον ἐπιφη-
μισθῆναι. καὶ γὰρ καὶ σπήλαιον λέγει ἰδόντας ἐν Παρα-
F παμισάδαις τοὺς Μακεδόνας, καί τινα μῦθον ἐπιχώ-
ριον ἀκούσαντας, ἢ καὶ αὐτοὺς ξυνθέντας, φημίσαι ὅ-
τι τοῦτο ἄρα ἦν τοῦ Προμηθέως τὸ ἄντρον, ἵνα ἐδέδετο·
καὶ ὁ αἰετὸς ὅτι ἐκεῖσε ἐφοίτα, δαισόμενος τῶν σπλάγ-
χνων τοῦ Προμηθέως. καὶ ὁ Ἡρακλῆς ὅτι ἐκεῖσε ἀφι-
κόμενος, τόν τε αἰετὸν ἀπέκτεινε, καὶ τὸν Προμηθέα τῶν
δεσμῶν ἀπέλυσε. τὸν δὲ Καύκασον τὸ ὄρος ἐκ τοῦ Πόν-
του ἐς τὰ πρὸς ἕω μέρη τῆς γῆς καὶ τὴν Παραπαμι-
σαδῶν χώραν, ὡς ἐπὶ Ἰνδοὺς μετάγειν τῷ λόγῳ τοὺς

Μακεδόνας, Παραπάμισον ὄντα τὸ ὄρος αὐτοὺς καλοῦντας Καύκασον, τῆς Ἀλεξάνδρου ἕνεκα δόξης, ὡς ὑπὲρ τὸν Καύκασον ἄρα ἐλθόντα Ἀλέξανδρον. ἔν τε αὐτῇ τῇ Ἰνδῶν γῇ βοῦς ἰδόντας ἐγκεκαυμένας ῥόπαλον, τεκμηριοῦσθαι ἐπὶ τῷδε ὅτι Ἡρακλῆς ἐς Ἰνδοὺς ἀφίκετο. ὅμοια δὲ καὶ ὑπὲρ Διονύσου τῆς πλάνης ἀπιστεῖ Ἐρατοσθένης. ἐμοὶ δὲ ἐν μέσῳ κείσθων οἱ ὑπὲρ τούτων λόγοι.

Ἀλέξανδρος δὲ ὡς ἀφίκετο ἐπὶ τὸν Ἰνδὸν ποταμὸν, καταλαμβάνει γέφυράν τε ἐπ' αὐτῷ πεποιημένην πρὸς Ἡφαιστίωνος, καὶ πλοῖα πολλὰ μὲν σμικρότερα, δύο δὲ τριακοντόρους, καὶ παρὰ Ταξίλου τοῦ Ἰνδοῦ δῶρα ἥκοντα, ἀργυρίου μὲν τάλαντα ἐς διακόσια· ἱερεῖα δὲ, βοῦς μὲν τρισχιλίους· πρόβατα δὲ ὑπὲρ μύρια· ἐλέφαντας δὲ ἐς τριάκοντα· καὶ ἱππεῖς δὲ ἑπτακόσιοι αὐτῶν Ἰνδῶν ἐς ξυμμαχίαν παρὰ Ταξίλου ἧκον· καὶ τὴν πόλιν Τάξιλα, τὴν μεγίστην μεταξὺ Ἰνδοῦ τε ποταμοῦ καὶ Ὑδάσπου, ὅτι αὐτῷ Ταξίλης ἐνδίδωσιν. ἐνταῦθα θύει Ἀλέξανδρος τοῖς θεοῖς ὅσοις αὐτῷ νόμος. καὶ ἀγῶνα ποιεῖ γυμνικὸν καὶ ἱππικὸν ἐπὶ τῷ ποταμῷ, καὶ γίγνεται αὐτῷ ἐπὶ τῇ διαβάσει τὰ ἱερά. ὁ δὲ Ἰνδὸς ποταμὸς ὅτι μέγιστος ποταμῶν ἐστι τῶν κατὰ τὴν Ἀσίαν τε καὶ τὴν Εὐρώπην, πλὴν Γάγγου, καὶ τούτου Ἰνδοῦ ποταμοῦ· καὶ ὅτι αἱ πηγαὶ εἰσὶν αὐτῷ ἐπὶ τάδε τοῦ ὄρους τοῦ Παραπαμίσου ἢ Καυκάσου· καὶ ὅτι ἐκδίδωσιν εἰς τὴν μεγάλην θάλασσαν τὴν κατὰ Ἰνδοὺς, ὡς ἐπὶ νότον ἄνεμον· καὶ ὅτι δίστομός ἐστιν ὁ Ἰνδὸς, καὶ αἱ ἐκβολαὶ αὐτοῦ ἀμφότεραι τεναγώδεις, καθάπερ αἱ πέντε τοῦ Ἴστρου· καὶ ὅτι δέλτα ποιεῖ καὶ αὐτὸς ἐν τῇ Ἰνδῶν γῇ, τῷ Αἰγυπτίῳ δέλτα παραπλήσιον· καὶ τοῦτο Πάταλα καλεῖται τῇ Ἰνδῶν φωνῇ. ταῦτα μὲν ὑπὲρ τοῦ Ἰνδοῦ τὰ μάλιστα οὐκ ἀμφίλογα καὶ ἐμοὶ ἀναγεγράφθω· ἐπεὶ καὶ ὁ Ὑδάσπης, καὶ Ἀκεσίνης καὶ Ὑδραώτης καὶ Ὕφασις, καὶ οὗτοι Ἰνδοὶ ποταμοὶ ὄντες, τῶν μὲν ἄλλων τῶν Ἀσιανῶν ποταμῶν πολύ τι κατὰ μέγεθος ὑπερφέρουσι· τοῦ Ἰνδοῦ δὲ μείονές εἰσι, καὶ πολὺ δὴ μείονες, ὅπου καὶ αὐτὸς ὁ Ἰνδὸς τοῦ Γάγγου. καὶ Κτησίας (εἰ δή τῳ ἱκανὸς καὶ Κτησίας ἐς τεκμηρίωσιν) ἵνα μὲν στενώτατος αὐτὸς αὑτοῦ ὁ Ἰνδός ἐστι, τεσσαράκοντα σταδίοις ὅτι διέχουσιν αὐτῷ αἱ ὄχθαι· ἵνα δὲ πλατύτατος, καὶ ἑκατὸν τὸ πολὺ δὲ εἶναι αὐτοῦ τὸ μέσον τούτοιν. τοῦτον τὸν ποταμὸν Ἰνδὸν ὑπὸ τὴν ἕω διέβαινε ξὺν τῇ στρατιᾷ Ἀλέξανδρος ἐς τὴν Ἰνδῶν τὴν γῆν. ὑπὲρ ὧν ἐγὼ οὔτε οἷστισι νόμοις διαχρῶνται ἐν τῇδε τῇ ξυγγραφῇ ἀνέγραψα, οὔτε ζῷα εἰ δή τινα ἄτοπα ἡ χώρα αὐτοῖς ἐκφέρει, οὔτε ἰχθύας ἢ κήτη ὅσα ἢ ὁ Ἰνδὸς, ἢ ὁ Ὑδάσπης, ἢ ὁ Γάγγης, ἢ ἄλλοι Ἰνδῶν ποταμοὶ φέρουσιν· οὐδὲ τοὺς μύρμηκας, τοὺς τὸν χρυσὸν σφίσιν ἐργαζομένους, οὐδὲ τοὺς γρῦπας τοὺς φύλακας, οὐδὲ ὅσα ἄλλα ἐφ' ἡδονῇ μᾶλλόν τι πεποίηται, ἢ ἐς ἀφήγησιν τῶν ὄντων· ὡς τά γε κατ' Ἰνδοὺς ὅσα ἂν ἄτοπα ψεύσωνται, οὐκ ἐξελεγχθησόμενα πρὸς οὐδαμῶν. ἀλλὰ Ἀλέξανδρος γὰρ καὶ οἱ ξὺν αὐτῷ στρατεύσαντες τὰ πολλὰ ἐξήλεγξαν, ὅσα γε μὴ καὶ αὐτῶν ἔστιν οἳ ἐψεύσαντο· ἀχρύσους τε εἶναι Ἰνδοὺς ἐξήλεγξαν, ὅσους γε δὴ Ἀλέξανδρος ξὺν τῇ στρατιᾷ ἐπῆλθε (πολλοὺς δὲ ἐπῆλθε) καὶ ἥκιστα χλιδῶντας κατὰ τὴν δίαιταν· ἀλλὰ μεγάλους μὲν τὰ σώματα, οἷα μεγίστους τῶν κατὰ τὴν Ἀσίαν, πενταπήχεις

A nimirum ea ratione Macedones ſuis ſermonibus transferre, & Parapamiſum montem Caucaſum vocare in Alexandri gloriã, vtpote qui Caucaſum ſuperarit. quúmque in eadem Indorum regione boues vidiſſent, quibus clauæ inuſtæ eſſent, ex hoc cõiectaſſe Herculẽ ad Indos perueniſſe. Similia de Dionyſij peregrinatione Eratoſthenes improbat. Mihi verò hac de re ſermo in medio relinquendus videtur.

Alexander vbi ad Indum peruenit, pontẽ B iam ab Hephæſtione perfectum reperit, multáque minora nauigia, duas verò naues triginta remorum. adhæc dona à Taxile allata, argenti talenta CC, boues III M, oues vltra X M, elephantos XXX. Equites etiam DCC Indi à Taxile auxilio miſſi. vrbis quoque Taxilæ, quæ inter Indum & Hydaſpem fluuios maxima eſt, Taxiles deditionem fecit. Alexander ibi diis quibus conſueuerat ſacrificio facto, ludos gymnicos & equeſtres ad flumen edidit. exta felicem tranſitũ portenderunt. C Indus porro omnium Aſiæ atq; Europæ fluuiorum maximus eſt, præter Gangem, qui etiam Indiæ fluuius eſt. Fontes eius ex Parapamiſo vel Caucaſo monte oriuntur, atque in Oceanum Indicum Auſtrum verſus fertur. Duo ſunt eius oſtia eáque paluſtria, quemadmodum quinque Iſtri oſtia: & delta literæ figuram in regione Indorum curſu ſuo efficit, AEgyptio delta ſimile, quod Indorum lingua Patala vocatur. Atque hæc quidẽ de Indo flumine quæ maximè certa ſunt mihi ſcripta ſint. nanque D & Hydaſpes & Aceſines, itémque Hydraotes & Hyphaſis Indiæ flumina quum ſint, omnes Aſiæ fluuios magnitudine ſuperant: ſed Indo flumine minora ſunt, & tanto quidem minora, quanto ipſe Indus Gange minor eſt. Ac Cteſias quidem (ſi cui eius autoritas ad probãdum ſufficiat) aſſerit Indi, qua anguſtiſſimus is eſt, XL ſtadiorum latitudine ripas inter ſe diſtare: qua verò latiſſimus, etiam centum ſummum ſtadiorum ſpatium intermedium eſſe. Hunc amnem Indum Alexander ſub lucem cum exE ercitu traiecit in Indorum regionem. De quibus equidem, neque quibus legibus vtantur in hac hiſtoria conſcripſi, neque quę monſtra animalium ea regio ferat, neque piſces aut cęte quæcunque aut Indus aut Hydaſpes, aut Ganges, aut alij Indorum fluuij gignunt, neque formicas aurum ipſis operantes, neque gryphas cuſtodes: quæ delectandi cauſa potiùs, quàm quòd re vera ita ſe habeant, ſcripta ſunt. quippe quòd quantumuis abſurda de Indiis confingant, F neminem ſint habituri qui eos mendacij arguat. Cæterùm Alexander & qui cum Alexandro militarunt, multa deprehenderunt quæ de ipſis nonnulli mentiti ſunt. Indos enim, quos Alexander cum exercitu adiit (multos autem adiit) aurum non habere, neque delicato victu vti compererunt. Cæterùm grandibus quidem corporibus præditos eſſe, quippe qui maximi ſint omnium Aſię populorum, quinque cubitos

De Indo fluuio & Gange, aliiſque Indiæ fluuiis déque animalibus, metallis & aliis rebus quas ea regio fert, vide Curtium lib. VIII.

aut paulo minus plerique alti, cæteriſq; mortalibus, exceptis AEthiopibus, nigriores. omnium etiam Aſiæ populorum bellicoſiſsimi. Nam Perſas illos, quorum virtute olim Cyrus Cambyſæ filius Aſiæ imperium Medis abſtulit, aliáſque gentes partim ſubegit partim voluntaria deditione recepit, non auſim in vniuerſum cum Indis comparare. Nã Perſæ iis temporibus & inopes erant, & aſpera loca colebant, & leges atque inſtituta habebant Lacedæmoniorum diſciplinæ maximè conſentanea. Clades verò quam Perſæ in Scythica regione acceperunt, equidem pro certo affirmare non auſim, an iis quòd locorum anguſtiis preſsi eſſent, an alia quapiam Cyri culpa acciderit, an quòd Perſæ Scythis illis bellica virtute inferiores fuerint. Cæterùm de Indis ſeorſim ſcribam quæ narratu fideq; digniſsima tum ij qui cum Alexandro militarunt, tum Nearchus qui Oceanum Indicum pernauigauit, deinde quæ Megaſthenes & Eratoſthenes probatiſsimi authores memoriæ prodiderunt: Indorum etiam leges atque inſtituta, & ſi quę illic monſtruoſa animalia naſcantur, ipſam denique totius exterioris maris circumnauigationem deſcribam. In præſentia verò tantum quantum ad Alexandri res geſtas pertinet, adſcribendum mihi putaui. Taurus mons per omnẽ Aſiam porrigitur, initio facto à Mycale mõte qui eſt Samo inſulæ oppoſitus: deinde Pamphyliam ac Ciliciam ſecans in Armeniam protenditur, ex Armeniis in Mediam trans Parthos & Charaſmios penetrat. ac circa Bactrianos Paramiſo monti cõmittitur, quẽ Macedones Alexãdro militantes Caucaſum appellabãt, ſtudio (vt fertur) Alexãdri res geſtas amplificandi. quaſi Caucaſum continuata victoria Alexander ſuperaſſet. Fieri autem poteſt vt hic ipſe mons cum altero Scytharum Caucaſo coeat, quemadmodum Taurus cum hoc. atque ego quidem ipſe idcirco ſuperius hunc montem Caucaſum vocaui, & deinceps hoc nomine appellabo. Porro Caucaſus hic Orientem verſus ad Oceanũ Indicum pertingit. Omnes itaque fluuij quotquot per Aſiam celebres ſunt ex Tauro & Caucaſo orientes, alij quidem in Septẽtrionem aquas voluũt, eorumq; nõnulli in Mæotim paludem feruntur: alij verò in Hyrcaniũ mare, Oceani ſinum, labuntur. alij Auſtrum verſus fluunt: ij ſunt Euphrates, Tigris, Indus, Hydaſpes, Aceſines, Hydraotes, Hyphaſis, denique quotquot medij inter hos & Gangem in mare feruntur, aut per paluſtria loca occultò meatu ſub terris labuntur. quemadmodum Euphrates fluuius ſe condit. Qua igitur Aſiæ ſitus ita ſe habet, vt Taurus & Caucaſus eam ab Zephyro in Subſolanũ ſcindat, illac duæ hæ maximæ toti' Aſiæ partes à Tauro fiũt. hęc quidem meridiem & Notum, altera ſeptentrionem ac Boreã ſpectans. Porro Aſiæ quæ ad Auſtrũ vergit, quæ & ipſa in quatuor partes ſcinditur, maximam partem eſſe ſtatuit Indorum regionem Eratoſthenes & Megaſthenes: qui quidem quum apud Sibyrtium Arachoſiorum ſatrapam

Al. ἐγγύτατα.

Curt. Caucaſi dorſũ Aſiã perpetuo iugo diuidit. Taurus ſecũdæ magnitudinis mons committitur Caucaſo à Cappadocia ſe attollẽs Ciliciã præterit. &c.

A τοὺς πολλοὺς, ἢ ὀλίγον ἀποδέοντας· καὶ μελαντέρους τῶν ἄλλων ἀνθρώπων, πλὴν Αἰθιόπων. καὶ τὰ πολέμια πολύ τι γενναιοτάτους, τῶν γε δὴ τότε ἐποίκων τῆς Ἀσίας. τὸ γὰρ Περσῶν τῶν πάλαι, ξὺν οἷς ὁρμηθεὶς ὁ Κῦρος ὁ Καμβύσου Μήδους τε τὴν ἀρχὴν τῆς Ἀσίας ἀφείλετο, καὶ ἄλλα ἔθνη τὰ μὲν κατεστρέψατο, τὰ δὲ προσχωρήσαντα οἱ ἑκόντα κατέσχεν, οὐκ ἔχω ἀτρεκῶς ὥς γε δὴ πρὸς τὰ Ἰνδῶν ξυμβαλεῖν. καὶ γὰρ καὶ Πέρσαι τότε πένητές τε ἦσαν, καὶ χώρας τραχείας οἰκήτορες· καὶ νόμιμα σφίσιν ἦν, οἷα ἐγγύτατα εἶναι τῇ Λακωνικῇ παιδείᾳ. τὸ δὲ τραῦμα τὸ γενόμενον Πέρσαις ἐν τῇ Σκυ- B θικῇ γῇ, οὐδὲ τοῦτο ἔχω ἀτρεκῶς ξυμβαλεῖν· πότερα δυσχωρίαις ξυνενεχθέν, ἢ τινὶ ἄλλῃ Κύρου ἁμαρτίᾳ ξυνέβη, ἢ Σκυθῶν γε τῶν ταύτῃ κακίους τὰ πολέμια Πέρσαι ἦσαν. ἀλλ᾽ ὑπὲρ Ἰνδῶν ἰδίᾳ μοι γεγράψεται, ὅσα πιστότατα ἐς ἀφήγησιν οἵ τε ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες, καὶ ὁ ἐκπεριπλεύσας τῆς μεγάλης θαλάσσης τὸ κατ᾽ Ἰνδοὺς Νέαρχος· ἐπὶ δὲ ὅσα Μεγασθένης τε καὶ Ἐρατοσθένης δοκίμω ἄνδρε ξυνεγραψάτην, καὶ νόμιμα ἅττα Ἰνδοῖς ἐστι, καὶ εἰ δή τινα ἄτοπα ζῷα αὐτόθι φύεται, καὶ τὸν παράπλουν αὐτὸν τῆς ἔξω θα- C λάσσης. νῦν δὲ ὅσον ἐς τὰ Ἀλεξάνδρου ἔργα ἀποχρῶν ἐφαίνετο, τοσόνδε μοι ἀναγεγράφθω· τὸν Ταῦρον τὸ ὄρος ἀπείργειν τὴν Ἀσίαν· ἀρχόμενον μὲν ἀπὸ Μυκάλης τοῦ καταντικρὺ Σάμου τῆς νήσου ὄρους, ἀποτεμνόμενον δὲ τήν τε Παμφυλίων καὶ Κιλίκων γῆν, ἔνθεν μὲν ὡς ἐς Ἀρμενίαν παρήκειν· ἀπὸ δὲ Ἀρμενίων ὡς ἐπὶ Μηδίαν παρὰ Παρθυαίους τε καὶ Χορασμίους. κατὰ δὲ Βακτρίους ξυμβάλλειν τῷ Παραπαμισῷ ὄρει, ὃ δὴ Καύκασον ἐκάλουν οἱ ξὺν Ἀλεξάνδρῳ ξυστρατεύσαντες Μακεδόνες (ὡς μὲν λέγεται) τὰ Ἀλεξάνδρου αὔξοντες, D ὅτι δὴ καὶ ἐπέκεινα ἄρα τοῦ Καυκάσου κρατῶν τοῖς ὅπλοις ἦλθεν Ἀλέξανδρος. τυχὸν δὲ καὶ ξυνεχὲς τυγχάνει ὂν τοῦτο τὸ ὄρος τῷ ἄλλῳ τῷ Σκυθῶν Καυκάσῳ, καθάπερ αὐτῷ τούτῳ ὁ Ταῦρος· καὶ ἐμοὶ αὐτῷ πρότερόν ποτε ἐπὶ τῷδε λέλεκται Καύκασος τὸ ὄρος τοῦτο, καὶ ὕστερον τῷδε τῷ ὀνόματι κληθήσεται. τὸν δὲ Καύκασον τοῦτον καθήκειν ἔστε ἐπὶ μεγάλην τὴν πρὸς ἕω τε καὶ Ἰνδοὺς θάλασσαν. τοὺς οὖν ποταμοὺς ὅσοι κατὰ τὴν Ἀσίαν λόγου ἄξιοι, ἐκ τοῦ Ταύρου τε καὶ τοῦ Καυκάσου ἀνίσχοντας, τοὺς μὲν ὡς ἐπ᾽ ἄρκτον τετραμμένον ἔχειν E τὸ ὕδωρ, καὶ τούτων τοὺς μὲν ἐς τὴν λίμνην ἐκδιδόναι τὴν Μαιῶτιν, τοὺς δὲ ἐς τὴν Ὑρκανίαν καλουμένην θάλασσαν, καὶ ταύτην κόλπον οὖσαν τῆς μεγάλης θαλάσσης· τοὺς δὲ ὡς ἐπὶ Νότον ἄνεμον, τόν Εὐφράτην τε εἶναι καὶ τὸν Τίγρητα, καὶ τὸν Ἰνδόν τε, καὶ τὸν Ὑδάσπην, καὶ Ἀκεσίνην, καὶ Ὑδραώτην, καὶ Ὕφασιν, καὶ ὅσοι ἐν μέσῳ τούτων τε καὶ τοῦ Γάγγου ποταμοῦ ἐς θάλασσαν καὶ οὗτοι ἐσβάλλουσιν· ἢ εἴς τεναγώδη ἀναχεόμενοι ἀφανίζονται, καθάπερ ὁ Εὐφράτης ποταμὸς ἀφανίζε- F ται. ὅτῳ δὴ τὰ τῆς Ἀσίας ὧδε ἔχει, ὡς πρὸς τοῦ Ταύρου τε καὶ τοῦ Καυκάσου τέμνεσθαι ὑπ᾽ ἀνέμου Ζεφύρου, ὡς ἐπ᾽ Ἀπηλιώτην ἄνεμον τὴν Ἀσίαν· τούτῳ δύο μὲν αὗται μέγισται πρὸς αὐτοῦ τοῦ Ταύρου τῆς Ἀσίας μοῖραι γίγνονται, ἡ μὲν πρὸς μεσημβρίαν τε καὶ Νότον ἄνεμον τοῦ Ταύρου κεκλιμένη, ἡ δὲ ἐπ᾽ Ἄρκτον τε καὶ ἄνεμον Βορρᾶν. τῆς δὲ ὡς ἐπὶ Νότον Ἀσίας τετραχῆ αὖ τεμνομένης, μεγίστην μὲν μοῖραν τὴν Ἰνδῶν γῆν ποιεῖ Ἐρατοσθένης τε καὶ Μεγασθένης, ὃς ξυνῆν μὲν Σιβυρτίῳ

τῷ σατράπῃ τῆς Ἀραχωσίας· πολλάκις δὲ λέγει ἀφι- A
κέσθαι παρὰ Σανδράκοττον τὸν Ἰνδῶν βασιλέα. ἐ-
λάχιστον δὲ ὅσον ὁ Εὐφράτης ποταμὸς ἀπείργει, ὡς
πρὸς τὴν ἡμετέραν θάλασσαν. δύο δὲ αἱ μεταξὺ Εὐ-
φράτου τε ποταμοῦ καὶ τοῦ Ἰνδοῦ ἀπειργόμεναι, αἱ
δύο ξυντεθεῖσαι μόλις ἄξιαι τῇ Ἰνδῶν γῇ ξυμβα-
λεῖν. ἀπείργεσθαι δὲ τὴν Ἰνδῶν χώραν πρὸς μὲν ἕω τε
καὶ ἀφηλιώτην ἄνεμον, ἔστ' ἐπὶ τὴν μεσημβρίαν τῇ
μεγάλῃ θαλάσσῃ· τὸ πρὸς βορρᾶν δὲ αὐτῆς ἀπείργειν
τὸν Καύκασον τὸ ὄρος, ἔστ' ἐπὶ τοῦ Ταύρου τὴν ξυμ-
βολήν· τὴν δὲ ὡς πρὸς ἑσπέραν τε καὶ ἄνεμον Ἰάπυ- B
γα ἔστ' ἐπὶ τὴν μεγάλην θάλασσαν, ὁ Ἰνδὸς ποτα-
μὸς ἀποτέμνεται. καὶ ἔστι πεδίον ἡ πολλὴ αὐτῆς· καὶ
τοῦτο (ὡς εἰκάζουσιν) ἐκ τῶν ποταμῶν προσκεχωσ-
μένον. εἶναι γὰρ οὖν καὶ τῆς ἄλλης χώρας ὅσα πεδία οὐ
πρόσω θαλάσσης τὰ πολλὰ τῶν ποταμῶν παρ' ἑκά-
στοις ποιήματα· ὥστε καὶ τῆς χώρας τὴν ἐπωνυμίαν
τοῖς ποταμοῖς ἐκ παλαιοῦ προσκεῖσθαι, καθάπερ Ἕρ-
μου τέ τι πεδίον λέγεσθαι, ὃς κατὰ τὴν Ἀσίαν γῆν ἀνί-
σχων ἐξ ὄρους μητρὸς Δινδυμήνης, παρὰ πόλιν
Σμύρναν Αἰολικὴν ἐκδιδοῖ ἐς θάλασσαν. καὶ ἄλλο C
Καΰστρου πεδίον Λύδιον, ἀπὸ Λυδίου ποταμοῦ, καὶ Καΐ-
κου ἄλλο ἐν Μυσίᾳ, καὶ Μαιάνδρου τὸ Καρικὸν, ἔστ'
ἐπὶ Μίλητον πόλιν Ἰωνικήν. Αἴγυπτον Ἡρόδοτός τε καὶ
Ἑκαταῖος οἱ λογοποιοὶ (ἢ εἰ δή του ἄλλου ἢ Ἑκαταίου
ἐστὶ τὰ ἀμφὶ τῇ γῇ τῇ Αἰγυπτίᾳ ποιήματα) δῶρόν τι
τοῦ ποταμοῦ ἀμφότεροι ὡσαύτως ὀνομάζουσι, καὶ
οὐκ ἀμαυροῖς τεκμηρίοις ὅτι ταύτῃ ἔχει Ἡροδότῳ
ἐπιδέδεικται· ὡς καὶ τὴν γῆν αὐτὴν τυχὸν τοῦ ποταμοῦ
εἶναι ἐπώνυμον. Αἴγυπτος γὰρ τὸ παλαιὸν ὁ ποταμὸς
ὅτι ἐκαλεῖτο, ὅντινα νῦν Νεῖλον Αἰγύπτιοί τε, καὶ οἱ D
ἔξω Αἰγύπτου ἄνθρωποι ὀνομάζουσιν, ἱκανὸς τεκμη-
ριῶσαι Ὅμηρος, λέγων ἐπὶ τῇ ἐκβολῇ τοῦ Αἰγύπτου
ποταμοῦ τὸν Μενέλεων στῆσαι τὰς νέας. εἰ δὴ οὖν εἷς
τε ποταμὸς παρ' ἑκάστοις, καὶ οὐ μεγάλοι. οὗτοι ποτα-
μοὶ ἱκανοὶ γῆν πολλὴν ποιῆσαι, ἐς θάλασσαν προ-
χεόμενοι, ὁπότε ἰλὺν καταφέροιεν καὶ πηλὸν ἐκ τῶν
ἄνω τόπων, ἔνθενπερ αὐτοῖς αἱ πηγαί εἰσιν, οὐδὲ ὑπὲρ
τῆς Ἰνδῶν ἄρα χώρας ἐς ἀπιστίαν εἶναι ἄξιον, ὅπως πε-
δίον τε ἡ πολλή ἐστι, καὶ ἐκ τῶν ποταμῶν τὸ πεδίον ἔχει
προσκεχωσμένον. Ἕρμον γὰρ, καὶ Κάϋστρον, καὶ Κάϊ- E
κόν τε καὶ Μαίανδρον, ἢ ὅσοι πολλοὶ ποταμοὶ τῆς Ἀσίας ἐς
τήνδε τὴν ἐντὸς θάλασσαν ἐκδιδοῦσιν, οὐδὲ ξύμπαν-
τας ξυντεθέντας ἑνὶ τῶν Ἰνδῶν ἄξιον ξυμβαλεῖν πλή-
θους ἕνεκα τοῦ ὕδατος, μὴ ὅτι τῷ Γάγγῃ τῷ μεγίστῳ,
ὅτῳ οὔτε Νείλου ὕδωρ τοῦ Αἰγυπτίου, οὔτε ὁ Ἴστρος ὁ κατὰ
τὴν Εὐρώπην ῥέων ἄξιοι ξυμβαλεῖν· ἀλλ' οὐδὲ τῷ Ἰνδῷ
ποταμῷ, ἐκεῖνοί γε πάντες ξυμμιχθέντες, ἴσον ἔρχονται.
ὃς μέγας τε εὐθὺς ἀπὸ τῶν πηγῶν ἀνίσχει, καὶ πεντεκαίδε-
κα ποταμοὺς πάντας τῶν Ἀσιανῶν μείζονας παραλα-
βὼν, καὶ τῇ ἐπωνυμίᾳ κρατήσας, οὕτως ἐκδιδοῖ ἐς θά- F
λασσαν. ταῦτά μοι ἐν τῷ παρόντι περὶ Ἰνδῶν τῆς χώρας
λελέχθω· τὰ δὲ ἄλλα ἀποκείσθω ἐς τὴν Ἰνδικὴν ξυγ-
γραφήν. τὸ δὲ ζεῦγμα τὸ ἐπὶ τοῦ Ἰνδοῦ ποταμοῦ, ὅ-
πως μὲν ἐποιήθη Ἀλεξάνδρῳ, οὔτε Ἀριστόβουλος οὔ-
τε Πτολεμαῖος, οἷς μάλιστα ἐγὼ ἕπομαι, λέγουσιν· οὐ-
δὲ αὐτὸς ἔχω ἀτρεκῶς εἰκάσαι, πότερα πλοίοις ἐζεύ-
χθη ὁ πόρος, καθάπερ ὁ Ἑλλήσποντός τε πρὸς Ξέρξου,
καὶ ὁ Βόσπορός τε καὶ Ἴστρος πρὸς Δαρείου, ἢ γέφυρα

degeret, frequenter ſe ad Sandracontum Indorum regem commeaſſe ſcribit: minimam verò, quam Euphrates interſecat, ad noſtrum mare conuerſam: reliquas duas inter Euphratem & Indum poſitas, ſi coniungantur, vix dignas eſſe quæ Indorum regioni comparentur. Terminari autem Indiam, orientem & Subſolanum verſus, Oceano: à ſeptētrione verò, Caucaſo monte, ad Tauri vſque confinia. ab occidente & Iapyge vento, ad Oceanum vſque Indo amne diſtingui. magnámque eius partem planam & campeſtrē eſſe. quæ quidem planities (vt ſuſpicantur) ab ipſis fluminibus terram ſua eluuione accumulantibus fit, quemadmodum reliqua campeſtria loca non procul à mari ſita planitiem ſuam fluminum illuuionibus debent. adeò vt regionum ipſarum appellationes fluminibus iam olim inditę ſint: quemadmodum Hermi campus dicitur, qui amnis in Aſia oriens ex monte matris Dindymenes, ad Smyrnam vrbem AEolicam in mare fluit. item Cayſtri campus Lydius, à Lydio flumine, & Caici alius in Myſia, & Mæandri in Caria, Miletum Ionicam vrbem vſque. AEgyptum quoque Herodotus & Hecatæus hiſtoriarum ſcriptores, (niſi alterius cuiuſpiam quàm Hecatæi ſint illa de regione AEgypti ſcripta) fluminis donum eodem modo appellant. neque inanibus argumentis Herodotus id ita eſſe demonſtrat. adeo vt & regioni ipſi fortaſſe fluminis nomen inditum ſit. Quòd autem amnis hic olim AEgyptus vocatus ſit, quem nunc AEgyptij pariter reliquæq; extra AEgyptum gentes Nilum appellant, Homeri autoritas ſatis probauerit, qui Menelaum ad AEgypti fluminis fauces claſſem conſtituiſſe commemorat. Si igitur ſinguli amnes, neque ij quidē magni, id præſtant vt in mare prolabentes, quum multum luti atque limi ſecum ex ſuperioribus locis vbi fontes eorum oriuntur trahant, multum terrę ſua alluuione regioni addant: certè non video cur non idem de Indorum regione credi poſſit, quandoquidem magna ex parte campeſtris eſt, & fluuij in eius campos eluuionē faciunt. Hermum enim & Cayſtrum, & Caicum ac Mæandrum, reliquóſque Aſiæ fluuios qui in "mare interius feruntur, ne ſi omnes quidem coniunxeris, digni ſint qui vni Indorum flumini aquarum copia conferantur: nedum Gangi maximo, cui neque Nili AEgyptij fluenta, neque Iſter per Europam fluens cōparari poſſunt. Sed ne ij quidē omnes ſi ſimul miſceātur, Indum æquant, qui magnus ſtatim ab ipſis fontibus erumpens, & XV ex maioribus Aſiæ fluminibus in ſe receptis, nomen ſuum perpetuò retinens in mare cōtendit. Atque hæc quidē in præſentia de Indorum regione dixiſſe ſufficiat. reliqua in hiſtoriam Indicam reiiciantur. Quonam autem modo Alexander Indum amnē ponte iunxerit, neque Ariſtobulus neque Ptolemæus, quos ego maximè ſecutus ſum, ſcribunt. neque ego certi aliquid affirmare auſim, an nauigiis pons iunctus fuerit, queadmodū Helleſpōtus à Xerxe, & Boſphorus ac

Fac. Mare mediterraneum.

Danubius à Dario: an verò cõtinuus põs flumini impoſitus fuerit. Mihi certè probabilius videtur nauibus iunctũ fuiſſe. neq; enim ponte iaci pateretur amnis altitudo: neq; adeo breui temporis ſpatio tam ingẽs opus perfici potuiſſet. At ſi omnino nauigiis põs iunctus fuit, an ea rudẽtibus colligata atq; ita in ordinẽ ducta põti iũgẽdo ſuffecerint (vt Herodotus teſtatur Helleſpontũ ponte ſtratum fuiſſe) an verò ea ratione qua Romani Danubiũ aut Rhenũ Celticum põte iunxerunt, & per Euphratẽ ac Tigrim quoties neceſſe fuit pontem duxerunt, ne hoc quidem ipſum cõpertum habeo. Porro facillima expeditiſſimáq; fuit Romanorũ, quòd norim, ſtruẽdorũ pontiũ ratio. quam quidẽ ego, ꝙ cõmemoratu digna eſt, hîc recenſebo. Naues dato ſigno in amnẽ demittebantur, non quidẽ rectâ, ſed tanquã puppibus inhibitæ. atque has quidem ſubducit (vt par eſt) curſus fluminis: remigiorũ verò impulſus retinet, donec ad ſtatũ locũ peruenerint. tũ crates vimineas in pyramidũ modum extructas, ſelectis ad id ſaxis oppletas ad proras ſingularũ nauiũ demittũt, ad inhibẽdũ fluminis curſum. quúmque iam vna nauiũ ita firmata fuerit, aliã cõtinuò aduerſa prora admouent, tanto ſpatio ab ea ſeparatam, quantum onus quod ei inſternendum eſt requirere videtur. Exinde, tignis iniectis quę ad vtriuſq; nauis extremitatẽ pertingerẽt, tabulas tranſuerſas quibus tigna inter ſe iungũtur colligẽtúrq; imponũt. atq; ita deinceps per reliquas naues quæ ad iungendum ponte flumẽ ſufficiant eadẽ operis ratio ſeruatur. Ad vtrunq; verò pontis caput amplos gradus ligneos affigunt, quò tutior ſit equorũ atq; curruum traiectus. Breui porro tẽpore totũ opus perficitur, neq; ſuus operi in ſpeciẽ tumultuario ordo deeſt. & gubernatorũ per ſingulas naues celeuſmata, atque illorũ qui ſegniores in officio ſunt obiurgationes nihil impediunt, quominus mãdata cõfeſtim auribus excipiãtur, opúſq; ſumma celeritate cõficiatur. Atq; hanc quidẽ veteres Romani rationẽ tenuerunt. Quonã verò pacto Indus amnis põte iunctus fuerit, mihi nõ cõſtat. neq; enim qui cũ Alexãdro militarũt vllã eius mentionẽ fecerũt. putarim tamẽ eos proximè ad hanc rationẽ acceſſiſſe. ſi verò alia quapiã arte vſi fuerint, illa valeat. Tranſmiſſo itaq; Indo Alexander diis patrio more ſacrũ facit. atq; inde profectus, Taxilã vrbẽ populoſam atq; opulẽtã peruenit. Eſt enim hęc omniũ quę inter Indũ & Hydaſpẽ ſunt oppidorũ maxima. Taxiſes, quiq; in ea vrbe erant Indi amicè cũ exceperũt: Alexãder iis tãtũ finitimæ regionis quãtum petierũt adiecit. Eo loci legati ad Alexãdrũ ab Ambiſaro mõtanorũ Indorũ rege cũ ipſius Ambiſari fratre, aliis aliquot primoribus comitato, venerũt, nonnulli etiam à Doxareo præſide, dona adferentes. In Taxilis Alexander rurſus ſacrificia conſueta peragit, ludos gymnicos & equeſtres facit. & Philippo Machatæ præſide illius regionis conſtituto, præſidióque Taxilis impoſito, milites inualetudinis cauſa bello inutiles ibi relinquit. ipſe Hydaſpem amnem verſus mouit. Porum enim cis Hydaſpem cum exercitu conſediſſe nun-

A κατὰ τοῦ ποταμοῦ διηνεκὴς ἐποιήθη αὐτῷ. δοκεῖ δ' ἔμοιγε πλοίοις μᾶλλον ζευχθῆναι· οὐ γὰρ ἂν δέξασθαι γέφυραν τὸ βάθος τοῦ ὕδατος, οὐδ' ἂν ἐν τοσῷδε χρόνῳ ἔργον οὕτως ἄπορον ξυντελεσθῆναι. εἰ δὲ δὴ πλοίοις ἐζεύχθη ὁ πόρος, πότερα ξυντεθεῖσαι αἱ νῆες σχοίνοις καὶ κατὰ στοῖχον ὁρμισθεῖσαι ἐς τὸ ζεῦγμα ἀπήρκεσαν, (ὡς λέγει Ἡρόδοτος ζευχθῆναι τὸν Ἑλλήσποντον) ἢ ὅτῳ τρόπῳ Ῥωμαίοις ἐπὶ τῷ Ἴστρῳ ποταμῷ ζεῦγμα ποιεῖσθαι, καὶ ἐπὶ τῷ Ῥήνῳ τῷ Κελτικῷ, καὶ τὸν Εὐφράτην καὶ τὸν Τίγρητα ὁσάκις κατέλαβεν αὐτοὺς ἀ-
B νάγκη ἐγεφύρωσαν, οὐδὲ τοῦτο ἔχω ξυμβαλεῖν. καίτοι γε ταχυτάτη, ὡς ἐγὼ οἶδα, Ῥωμαίοις ἡ γεφύρωσις ἡ διὰ τῶν νεῶν γίγνεται· καὶ ταύτην ἐγὼ ἀφηγήσομαι ἐν τῷ παρόντι, ὅτι λόγου ἐστὶν ἀξία. Αἱ νῆες αὐτοῖς κατὰ πόρον ἀφίενται ἀπὸ ξυνθήματος, οὐκ ἐπ' εὐθύ, ἀλλὰ καθάπερ αἱ πρύμναν κρουόμεναι. ταύτας ὑποφέρει μέν, οἷα εἰκός, ὁ ῥοῦς, ἀνέχει δὲ κελήτιον ἐπήρες, ἔστ' ἂν καταντήσῃ ἐς τὸ τεταγμένον χωρίον. καὶ ἐνταῦθα ἤδη καθίεται πλέγματα ἐκ λύγου πυραμοειδῆ, πλήρη λίθων λογάδων, ἀπὸ πρώρας ἑκάστης
C νεώς, τοῦ ἀνέχειν τὴν ναῦν πρὸς τὸν ῥοῦν. ὅτι δὲ μία τις τῶν νεῶν ἅμα δὴ ἐσχέθη, καὶ ἄλλη ἀπὸ ταύτης διέχουσα ὅσον ξύμμετρον πρὸς ἰσχὺν τῶν ἐπιβαλλομένων, ἀντίπρωρος πρὸς τὸ ῥεῦμα ὁρμίζεται. καὶ ἀπ' ἀμφοῖν ξύλα τε εὐθὺ ὀξέως ἐπιβάλλεται, καὶ σανίδες ἐγκάρσιαι ἐς τὸ ξυνδεῖν. καὶ διὰ πασῶν οὕτω τῶν νεῶν, ὅσαι ἱκαναὶ γεφυρῶσαι τὸν πόρον, χωρεῖ τὸ ἔργον. ἑκατέρωθεν δὲ τοῦ ζεύγματος κλίμακες προσβάλλονται καταπηγνύμεναι, τοῦ ἀσφαλεστέραν τοῖς τε ἵπποις καὶ τοῖς ζεύγεσι τὴν ἔφοδον γίγνεσθαι, καὶ ἅμα ὡς σύνδεσμος εἶναι τοῦ ζεύγματος· δι' ὀλίγου τε ξυντελεῖ-
D ται ἅπαν, καὶ ξὺν πολλῷ θορύβῳ, καὶ τὸ τεταγμένον ἐν τῷ δρωμένῳ ὅμως οὐκ ἄπεστιν· οἵ τε παρακελευσμοὶ ὡς ἐντύχοιεν κατὰ ναῦν ἑκάστην, καὶ αἱ ἐπιτιμήσεις τοῦ ἐκλιποῦς, οὔτε τὴν κατήκουσιν τῶν παραγγελμάτων οὔτε τὴν ὀξύτητα τοῦ ἔργου ἀφαιροῦνται. Ῥωμαίοις μὲν δὴ οὕτω ταῦτα ἐκ παλαιοῦ ἐπήσκηται· Ἀλεξάνδρῳ δὲ ὅπως ἐζεύχθη ὁ Ἰνδὸς ποταμὸς οὐκ ἔχω εἰπεῖν, ὅτι μηδὲ οἱ ξυστρατεύσαντες αὐτῷ εἶπον. ἀλλά μοι δοκεῖ ὡς ἐγγύτατα τούτων ἐζεῦχθαι· ἢ εἰ δή τινι ἄλλῃ μηχανῇ, ἐκείνη ἐχέτω. ὡς δὲ διέβη πέραν τοῦ Ἰν-
E δοῦ ποταμοῦ, καὶ ἐνταῦθα αὖ θύει κατὰ νόμον Ἀλέξανδρος. ἄρας δὲ ἀπὸ τοῦ Ἰνδοῦ, ἐς Τάξιλα ἀφίκετο πόλιν μεγάλην καὶ εὐδαίμονα, τὴν μεγίστην τῶν μεταξὺ Ἰνδοῦ τε ποταμοῦ καὶ Ὑδάσπου. καὶ ἐδέχετο αὐτὸν Ταξίλης ὁ ὕπαρχος τῆς πόλεως, καὶ αὐτοὶ οἱ ταύτῃ Ἰνδοὶ φιλίως· καὶ Ἀλέξανδρος προστίθησιν αὐτοῖς χώραν τῆς ὁμόρου ὅσης ἐδέοντο. ἧκον δ' ἐνταῦθα παρ' αὐτὸν καὶ παρὰ Ἀμβισάρου πρέσβεις, τοῦ τῶν ὀρείων Ἰνδῶν βασιλέως, ὅ, τι ἀδελφὸς αὐτοῦ Ἀμβισάρου, καὶ ἄλλοι ξὺν αὐτῷ οἱ δοκιμώτατοι· καὶ παρὰ Δοξά-
F ρεως νομάρχου ἄλλοι, δῶρα φέροντες. καὶ ἐνταῦθα αὖ Ἀλέξανδρος ἐν Ταξίλοις θύει ὅσα οἱ νόμος, καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ ἱππικόν. καὶ ἀποδείξας σατράπην τῶν ταύτῃ Ἰνδῶν Φίλιππον τὸν Μαχάτα, φρουράν τε ἀπολείπει ἐν Ταξίλοις, καὶ τοὺς ἀπομάχους τῶν στρατιωτῶν διὰ νόσον· αὐτὸς δὲ ἦγεν ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν. ἐπέκεινα γὰρ τοῦ Ὑδάσπου Πῶρος αὐτῷ εἶναι ἐξηγγέλλετο ξὺν τῇ στρατιᾷ πάσῃ, ἐγνωκὼς

εἴργειν

εἴργειν τοῦ πέραν αὐτὸν, ἢ περῶντι ἐπιθήσεσθαι. ταῦτα ὡς ἔγνω Ἀλέξανδρος, Κοῖνον μὲν τὸν Πολεμοκράτους πέμψας ὀπίσω ἐπὶ τὸν Ἰνδὸν ποταμὸν, τὰ πλοῖα ὅσα παρεσκεύαστο αὐτῷ ἐπὶ τοῦ πόρου τοῦ Ἰνδοῦ, ξυντεμόντα κελεύει φέρειν ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν. καὶ ξυνετμήθη τε τὰ πλοῖα καὶ ἐκομίσθη αὐτῷ, ὅσα μὲν βραχύτερα, διχῇ διατμηθέντα, αἱ τριακόντοροι δὲ τριχῇ ἐτμήθησαν, καὶ τὰ τμήματα ἐπὶ ζευγῶν διεκομίσθη ἔστε ἐπὶ τὴν ὄχθην τοῦ Ὑδάσπου· κἀκεῖ ξυμπηχθὲν τὸ ναυτικὸν αὖθις δὴ ὁμοῦ ὤφθη ἐν τῷ Ὑδάσπῃ. αὐτὸς δὲ ἀναλαβὼν ἥν τε δύναμιν ἥκων ἐς Τάξιλα, καὶ πεντακισχιλίους τῶν Ἰνδῶν ὧν ἦγεν ὅ τε Ταξίλης καὶ οἱ ταύτῃ ὕπαρχοι, ᾔει ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν. καὶ Ἀλέξανδρος κατεστρατοπέδευσεν ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου. καὶ Πῶρος κατὰ τὴν ἀντιπέρας ὄχθην ὤφθη ξὺν πάσῃ τῇ στρατιᾷ καὶ τῶν ἐλεφάντων τῷ στίφει. ταύτῃ μὲν δὴ ᾗ κατεστρατοπεδευκότα εἶδεν Ἀλέξανδρον, αὐτὸς μένων ἐφύλαττε τὸν πόρον. ὅσα δὲ ἄλλα τοῦ ποταμοῦ εὐπορώτερα, ἐπὶ ταῦτα φρουρὰς διαπέμψας, καὶ ἡγεμόνας ἐπιστήσας ἑκάστοις, εἴργειν ἐπενόει διὰ τοῦ πόρου τοὺς Μακεδόνας. ταῦτα δὲ ὁρῶντι Ἀλεξάνδρῳ κινητέα καὶ αὐτῷ ἐδόκει ἡ στρατιὰ πολλαχῇ, ὡς τὸν Πῶρον ἀμφίβολον γίγνεσθαι. διελὼν δὲ ἐς πολλὰ τὸν στρατὸν τοὺς μὲν αὐτὸς ἄλλῃ καὶ ἄλλῃ ἦγε τῆς χώρας, τὰ μὲν πορθῶν ὅσα πολέμια, τὰ δὲ σκοπῶν, ὅπῃ εὐπορώτερος αὐτῷ ὁ ποταμὸς φανεῖται. τοὺς δὲ τῶν ἡγεμόνων ἄλλοις καὶ ἄλλοις ἐπιτάξας, καὶ αὐτοὺς πολλαχῇ διέπεμπε. σῖτος δὲ αὐτῷ πάντοθεν ἐκ τῆς ἐπὶ τάδε τοῦ Ὑδάσπου χώρας ἐς τὸ στρατόπεδον ξυνεκομίζετο, ὡς δῆλον εἶναι τῷ Πώρῳ, ὅτι ἐγνωκὼς εἴη προσλιπαρεῖν τῇ ὄχθῃ, ἔστε τὸ ὕδωρ τοῦ ποταμοῦ μεῖον γενόμενον τοῦ χειμῶνος, πολλαχῇ παραδοῦναί οἱ τὸν πόρον. τά τε πλοῖα αὐτῷ ἄλλῃ καὶ ἄλλῃ παραπλέοντα, καὶ αἱ διφθέραι τῆς κάρφης ἐμπιπλάμεναι, καὶ ἡ ὄχθη πλήρης πᾶσα φαινομένη τῇ μὲν ἱππέων, τῇ δὲ πεζῶν, οὐκ εἴα ἠρεμεῖν τὸν Πῶρον, οὐδὲ ἕν τι ἐπιλεξάμενον ἐς φυλακὴν ξύμφορον, ἐς τοῦτο ἐκ πάντων παρασκευάζεσθαι. ἄλλως τε ἐν μὲν τῷ τότε οἱ ποταμοὶ πάντες οἱ Ἰνδοὶ πολλοῦ τε ὕδατος καὶ θολεροῦ ἔρρεον, καὶ ὀξέος τοῦ ῥεύματος. ἦν γὰρ ὥρα ἔτους ἡνίκα μάλιστα ἐν θέρει τρέπεται ὁ ἥλιος. ταύτῃ δὲ τῇ ὥρᾳ ὕδατά τε ἐξ οὐρανοῦ ἄθροα καταφέρεται ἐς τὴν γῆν τὴν Ἰνδικὴν, καὶ αἱ χιόνες αἱ τοῦ Καυκάσου (ἔνθενπερ τῶν πολλῶν ποταμῶν αἱ πηγαί εἰσι) κατατηκόμεναι αὔξουσιν αὐτοῖς τὸ ὕδωρ ἐπὶ μέγα. χειμῶνος δὲ ἔμπαλιν ἴσχουσι, ὀλίγοι τε γίγνονται καὶ καθαροὶ ἰδεῖν, καὶ ἔστιν ὅπου περάσιμοι, πλήν γε δὴ τοῦ Ἰνδοῦ καὶ Γάγγου, καὶ τυχὸν καὶ ἄλλου. ἀλλ' ὅ γε Ὑδάσπης περατὸς γίγνεται. ταύτην οὖν τὴν ὥραν τοῦ ἔτους περιμένειν ἐς τὸ φανερὸν ἔφασκεν, εἰ ἐν τῷ τότε εἴργοιτο· ὁ δὲ οὐδὲν μεῖον ἐφεδρεύων ἔμενεν, εἴ πη λάθοι ὑφαρπάσας ὀξέως τὸν πόρον. ᾗ μὲν δὴ αὐτὸς Πῶρος κατεστρατοπεδεύκει πρὸς τῇ ὄχθῃ τοῦ Ὑδάσπου, ἐγίγνωσκεν ἀδύνατος ὢν περᾶσαι, τοῦ τε πλήθους ἕνεκα τῶν ἐλεφάντων, καὶ ὅτι πολλὴ στρατιὰ καὶ αὕτη τεταγμένη τε καὶ ἀκριβῶς ὡπλισμένη ἐκβαίνουσιν αὐτοῖς ἐπιθήσεσθαι ἔμελλεν· οἵ τε ἵπποι οὐκ ἂν ἐδόκουν αὐτῷ ἐθελῆσαι οὐδὲ ἐπιβῆναι τῆς ὄχθης τῆς πέραν, προσκειμένων σφίσιν εὐθὺς τῶν ἐλεφάντων, καὶ τῇ τε ὄψει ἅμα καὶ τῇ φωνῇ φοβούντων·

tiabatur, eo animo vt aut Alexandrũ trãſitu amnis prohiberet, aut trãſgreſſũ adoriretur. Quibus cognitis Alexander Cœnũ Polem. F. retro ad Indũ amnẽ mittit, vtque nauigiis quæ ad traiiciendum Indũ præparat diſſectis, ad Hydaſpem fluuiũ ea trãſferat iubet. Nauigia itaque diſſecta allata ſunt, breuioribus quidẽ in duas, quæ verò triginta remis inſtructa erãt, in tres partes diſſectis: ſegmẽta curribus in ripã Hydaſpis tranſuecta ſunt. ibique nauigiis rurſus cõpactis atque in amnem ſubductis, ipſe aſſumtis copiis Taxilam peruenit. dehinc quinque Indorũ millia nactus, quos Taxiles eiúſq; regionis præſides ducebãt, ad Hydaſpẽ fluuiũ cõtendit, & ad eius ripã caſtra locauit. Porus in aduerſa ripa cũ omni exercitu cõſpiciebatur, elephãtis ſtipatus. qui quidẽ qua parte Alexandrũ caſtra poſuiſſe videbat, ipſemet tranſitũ tuebatur: ad reliquas verò fluminis partes qua facilius tranſiri poſſe videbatur, præſidia mittebat, ducéſq; ſingulis præficiebat, qui Macedones trãſitu fluminis prohiberent. Hæc animaduertẽs Alexãder, ſibi quoq; exercitũ in varias partes mittẽdũ eſſe ſtatuit, vt Pori cõſilia turbaret dubiáq; redderet. Diuiſo itaq; in multas partes exercitu, aliis aliò atq; aliò dimiſſis, partim quæcunq; hoſtilia erant vaſtans, partim cõtemplans qua cõmodius trãſmitti flumẽ poſſet: ducũ etiã alios atq; alios mãdatis additis in varias partes dimiſit. Multũ præterea frumẽti ex omni regione ad Hydaſpẽ ſita in caſtra cõuehebatur, vt Poro fides fieret Alexandrũ ibi ad ripã hæſurũ, donec aqua fluminis per hyemẽ ſubſidẽte facultas ei diuerſis partibus trãſeundi fieret. Nauigia etiã in aliã atq; aliã partẽ ducta, & pelles tentoriorũ ſtramẽtis repletæ, totáq; ripa equitatu pariter ac peditatu obſeſſa, anxium atq; ſolicitũ Porũ tenebãt: neque, ſiquid cõſilij quod ad ripæ cuſtodiã expediret cepiſſet, id omnino exequi ſinebant. Accedebat huc quòd eo tẽpore omnes Indiæ fluuij multã eámq; turbulẽtã aquã trahebãt, & rapido curſu ferebãtur. Erat enim per id anni tẽpus ſolſtitiũ æſtiuũ. quo quidẽ tẽpore crebri imbres è cælo in Indorũ regionem ruunt, & Caucaſi niuibus (quo in mõte multi fluuiorũ fõtes oriũtur) æſtu ſolutis amnes ſummopere augẽtur. hyeme verò rurſum & niues ſeſe cõtinent, amnéſque minores purioreſque fiunt, ac nonnullis in partibus vado tranſiri poſſunt, excepto Indo & Gange, & fortaſſis alio aliquo. Hydaſpes certè vado trãſiri poteſt. Hoc itaque anni tẽpus expectaturũ ſe Alexãder vulgauerat, ſi tum tẽporis tranſitu prohiberetur. Nihilominus tamẽ inſidias locarat, ea ſpe vt alicubi clam hoſtib' celeriter flumẽ tranſmitteret. Quúmq; ea quidẽ parte qua Porus caſtra poſuerat ad ripã Hydaſpis trãſiri poſſe diffideret, cùm ob multitudinẽ elephantorũ, tum quòd ingẽs exercitus bene ad pugnã inſtructus optiméque armatus in ſuas copias flumẽ egredientes impetũ facturus eſſet: prçterea quòd exiſtimaret ſe equos ipſos difficulter in vlteriorẽ ripã perducturũ, elephãtis occurrẽtib', qui ipſo aſpectu & clamore equis terrorẽ incuſſuri eſſent. Sed ne ipſos quidẽ equos apud pelles iuxta

Curt. In vlteriore ripa Porus cõſederat, tranſitu prohibiturus hoſtem.

Curt. de Poro, Terribilior erat facies ripæ, quã equi virique cõpleuerant.

flumẽ cõtineri poſſe ſuſpicabatur, ſed ſtatim atque elephãtos in aduerſa ripa poſitos conſpexiſſent, attonitos amnẽ petituros. Furtiuo itaque tranſitu vtendum ſibi eſſe ratus, ita rem inſtituit. Noctu equitibus ad diuerſas ripæ partes adductis, clamore ſublato & claſſico cani iuſſo, omnibúſq; rebus ad trãſitum præparatis, ingens tumultus excitabatur. Porus contrà ad eam partem qua clamor edebatur elephantos adducit. Alexander ſuo more ſe hoſtili aciei oppoſuit. Quúmque multo tempore hoc fieret, neque aliud præter clamores ederetur, Porus ad equitum incurſiones moueri deſtitit. metus enim cauſa intellecta, eo loci vbi caſtra fixerat manſit, ſpeculatoribus per varia ripæ loca diſpoſitis. Alexander vt iam Poro metum nocturnatum excurſionum exemerat, huiuſcemodi quid molitur. Rupes erat ad ripam Hydaſpis ſita, ea parte qua amnis ſeſe magnopere flectit, arboribus varij generis perfrequens. iuxta rupem inſula in medio amne erat ſyluoſa, atque ob ſolitudinem inacceſſa, quã quũ animaduertiſſet ex aduerſo rupis, & vtrinque ſylueſtria loca quæque Macedones tranſitũ tentantes occulere poſſent, hac parte exercitum trãſmittere ſtatuit. Diſtabat ea rupes atque inſula à magnis caſtris C L ſtadiis. Porro per omnem ripam cuſtodiæ diſpoſitę erant, tanto inter ſe ſpatio diſtinctæ, vt alij alios cernere faciléque mandata excipere poſſent. Clamores etiam noctu variis ex locis, ídque multis noctibus edi, ignéſque excitari iubet: vbi verò amnem tranſire ſtatuit, in caſtris quidem magnus ad traiiciendum apparatus fiebat. Ac Craterus quidem apud caſtra relictus erat, cui ad ſuam equitum præfecturam Arachoti etiam & Parapamiſadæ equites adiuncti erant: præterea Macedonum phalanx, & Alcetæ ac Polyperchontis agmen, & citerioris Indiæ præſides cum quinque Indorum millibus. imperatum autem erat Cratero, ne prius amnem tranſiret quàm Porus cum exercitu in eos ferretur, íſque aut in fugam verſus aut
» victus eſſet. Si verò Porus parte exercitus
» ſumta in me contendat, partémque aliam
» cum elephantis apud caſtra relinquat: tu
» quidem meritò tuo loco te contine. At ſi o-
» mnes elephantos aduerſus me ducat, reli-
» quo exercitu apud caſtra relicto, tu celeri-
» ter amnem tranſmitte (ſoli enim, inquit, e-
» lephanti equis difficilem tranſitum efficiunt) reliquus autem exercitus ibi maneat. Atque hæc quidem Cratero mandata ſunt. Medio autem loco inter inſulam & caſtra, apud quæ Craterum reliquerat, Meleagrum atque Attalum & Gorgiam cum mercenariis equitibus ac peditibus ſtatuit: mandatis additis, vt diuiſo in partes exercitu, quum Indos pugnæ implicitos cernerent, etiam ipſi traiicerent. Ipſe delecto amicorũ agmine & equitatu Hephæſtionis, Perdiccæ & Demetrij, Bactrianis etiam &

Curt. Alexãder inops conſilii tãdem ad fallendũ hoſtem talem dolum intendit.

Curt. Erat inſula in flumine amplior cæteris, ſylueſtris eadem & tegẽdis inſidiis apta. Foſſa quoque prealta, haud procul à ripa quam tenebat ipſe, non pedites modò, ſed etiam cum equis viros poterat abſcondere.

A οὐδ᾽ ἂν ἔτι πρόσθεν μεῖναι ἐπὶ τῶν διφθερῶν κατὰ
τὸν πόρον, ἀλλ᾽ ἐκπηδᾶν γὰρ ἐς τὸ ὕδωρ, ἀφορῶντας
πέραν τοὺς ἐλέφαντας, καὶ ἔκφρονες γιγνόμενοι. κλέ-
ψαι οὖν ἐπενόει τὴν διάβασιν, ὧδε πράττων. νύκ-
τωρ παράγων ἄλλῃ καὶ ἄλλῃ τῆς ὄχθης τοὺς πολ-
λοὺς τῶν ἱππέων, βοήν τε ἐποίει καὶ ἠλαλάζετο τῷ
Ἐνυαλίῳ· καὶ τ᾽ ἄλλα ὅσα ἐπὶ διαβάσει συσκευαζό-
μενα, θόρυβος παντοδαπὸς ἐγίγνετο. καὶ ὁ Πῶρός τε
ἀντιπαρῄει πρὸς τὴν βοὴν ἐπάγων τοὺς ἐλέφαντας·
καὶ Ἀλέξανδρος ἐς ἔθος αὐτὸν τῆς ἀντιπαραγωγῆς
B καθίστη. ὡς δὲ ἐπὶ πολὺ οὕτως ἐγίγνετο, καὶ ἡ βοὴ μό-
νον καὶ ὁ ἀλαλαγμὸς ἦν, οὐκέτι ὁ Πῶρος μετεκι-
νεῖτο πρὸς τὰς ἐκδρομὰς τῶν ἱππέων, ἀλλ᾽ ἐκείνων
γὰρ γνοὺς τὸν φόβον, κατὰ χώραν ἐπὶ στρατοπέδου ἔ-
μενε· σκοποὶ δὲ αὐτῷ πολλαχοῦ τῆς ὄχθης καθεστήκε-
σαν. Ἀλέξανδρος δὲ ὡς ἐξείργαστο αὐτῷ ἄφοβον τὸ
τοῦ Πώρου εἰς τὰς νυκτερινὰς ἐπιχειρήσεις, μηχανᾶ-
ται τοιόνδε. ἄκρα ἦν ἀνέχουσα τῆς ὄχθης τοῦ Ὑδά-
σπου, ἵνα ἐπικάμπτει ὁ ποταμὸς λόγου ἀξίως· αὐ-
τή τε δασεῖα παντοίων δένδρων εἴδει, καὶ κατ᾽ αὐ-
C τὴν νῆσος ἐν τῷ ποταμῷ ὑλώδης τε καὶ ἀστιβὴς ὑπ᾽
ἐρημίας. ταύτην καταμαθὼν τὴν νῆσον καταντικρὺ
τῆς ἄκρας, ἀμφότερον ὑλώδη τὰ χωρία καὶ οἷα
κρύψαι τῆς διαβάσεως τὴν ἐπιχείρησιν, ταύτῃ ἔ-
γνω διαβιβάζειν τὸν στρατόν. ἀπεῖχε δὲ ἥ τε ἄκρα καὶ
ἡ νῆσος τοῦ μεγάλου στρατοπέδου ἐς πεντήκοντα καὶ
ἑκατὸν σταδίους. παρὰ πᾶσαν δὲ τὴν ὄχθην φυλα-
καί τε αὐτῷ καθεστηκυῖαι ἦσαν, διαλείπουσαι ὅσον
ξύμμετρον ἐς τὸ ξυνορᾶν τε ἀλλήλοις καὶ κατα-
κούειν εὐπετῶς ὁπόθεν τι παραγγέλλοιτο. καὶ παν-
D ταχόθεν βοαί τε νύκτωρ ἐπὶ πολλὰς νύκτας ἐγίγνον-
το, καὶ πυρὰ ἐκαίετο. ἐπειδὴ δὲ ἔγνω ἐπιχειρεῖν τῷ
πόρῳ, κατὰ μὲν τὸ στρατόπεδον φανερῶς αὐτῷ τὰ
τῆς διαβάσεως παρεσκευάζετο. καὶ Κρατερὸς ὑπε-
λέλειπτο ἐπὶ στρατοπέδου, τήν τε αὑτοῦ ἔχων ἱππαρ-
χίαν, καὶ τοὺς ἐξ Ἀραχωτῶν καὶ Παραπαμισαδῶν
ἱππέας, καὶ τῆς φάλαγγος τῶν Μακεδόνων, τήν τε
Ἀλκέτου καὶ τὴν Πολυπέρχοντος τάξιν, καὶ τοὺς νο-
μάρχας τῶν ἐπὶ τάδε Ἰνδῶν καὶ τοὺς ἅμα τούτοις τοὺς
πεντακισχιλίους· παρήγγελτο δὲ Κρατερῷ μὴ πρὶν
E διαβαίνειν τὸν πόρον, πρὶν ἀπαλλαγῆναι Πῶρον ἐ-
πὶ σφᾶς ξὺν τῇ δυνάμει, ἢ φεύγοντα μαθεῖν, αὐτοὺς
δὲ νικῶντας. ἢν δὲ μέρος μέντοι τῆς στρατιᾶς ἀναλα-
βὼν Πῶρος ἐπ᾽ ἐμὲ ἄγῃ, μέρος δέ τι ὑπολειφθῇ αὐτῷ
ἐπὶ στρατοπέδου καὶ ἐλέφαντες, σὺ δὲ δικαίως μένε κα-
τὰ χώραν· εἰ δὲ τοὺς ἐλέφαντας ξύμπαντας ἅμα οἷ
ἐπάγῃ Πῶρος ἐπ᾽ ἐμέ, τῆς δὲ ἄλλης στρατιᾶς ὑπολεί-
ποιτό τι ἐπὶ στρατοπέδῳ, σὺ δὲ διάβαινε σπουδῇ (οἱ
γὰρ ἐλέφαντες μόνοι, ἔφη, ἄποροί εἰσι πρὸς τοὺς ἐκ-
βαίνοντας ἵππους) ἡ δὲ ἄλλη στρατιὰ μενέτω. ταῦτα μὲν
F Κρατερῷ ἐνετέλλετο. ἐν μέσῳ δὲ τῆς νήσου τε καὶ τοῦ με-
γάλου στρατοπέδου, ἵνα αὐτῷ Κρατερὸς ἐπιλέλειπτο,
Μελέαγρός τε καὶ Ἄτταλος καὶ Γοργίας ξὺν τοῖς μι-
σθοφόροις ἱππεῦσί τε καὶ πεζοῖς ἐπετάχατο. καὶ τού-
τοις διαβαίνειν παρήγγελτο κατὰ μέρη διελόντας τὸν
στρατόν, ὁπότε ξυνεχομένους ἤδη ἐν τῇ μάχῃ τοὺς Ἰν-
δοὺς ἴδοιεν. αὐτὸς δ᾽ ἐπιλεξάμενος τῶν τε ἑταίρων
τὸ ἄγημα, καὶ τὴν Ἡφαιστίωνος ἱππαρχίαν, καὶ τὴν Περδίκκου τε καὶ Δημητρίου, καὶ τοὺς ἐκ Βάκτρων καὶ

Σογδιανῶν, καὶ τοὺς Σκύθας ἱππέας, καὶ Δάας τοὺς ἱπποτοξότας, καὶ τῆς φάλαγγος τούς τε ὑπασπιστὰς, καὶ τὴν Κλείτου τε καὶ Κοίνου τάξιν, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, ᾔει ἀφανῶς πολύ τι ἀπέχων τῆς ὄχθης, τοῦ μὴ καταφανὴς εἶναι ἄγων ἐπὶ τὴν νῆσον καὶ τὴν ἄκραν, ἔνθεν διαβαίνειν αὐτῷ ἦν ἐγνωσμένον. καὶ ἐνταῦθα ἐπληροῦντο τῆς νυκτὸς αἱ διφθέραι τῆς κάρφης ἐκ πολλοῦ ἤδη παρενηνεγμέναι, καὶ κατερράπτοντο ἐς ἀκρίβειαν. ὕδωρ τε ἐξ οὐρανοῦ τῆς νυκτὸς λάβρον γίνεται ταύτῃ, καὶ μᾶλλόν τι ἡ παρασκευή τε αὐτῷ καὶ ἡ ἐπιχείρησις ἡ ἐς τὴν διάβασιν οὐ φανερὰ κατέστη, τῷ κτύπῳ τῷ ἀπὸ τῶν ὅπλων, καὶ τῷ θορύβῳ τῷ ἀπὸ τῶν παραγγελμάτων, τῶν τε βροντῶν καὶ τῶν ὄμβρων ἀντιπαταγούντων· καὶ τῶν πλοίων τὰ πολλὰ αὐτῷ ξυντετμημένα παρεκεκόμιστο ἐς τὸν χῶρον τοῦτον, καὶ ἀφανῶς αὖθις ξυμπεπηγμένα ἐν τῇ ὕλῃ ἐκρύπτετο, τά τε ἄλλα καὶ αἱ τριακόντοροι. ὑπὸ δὲ τὴν ἕω ὅ τε ἄνεμος καὶ ὁ ὄμβρος κεκοίμητο, καὶ ἡ μὲν ἄλλη στρατιὰ αὐτῷ ἡ ἱππικὴ τῶν διφθερῶν ἐπιβᾶσα, καὶ ὅσους τῶν πεζῶν τὰ πλοῖα ἐδέχετο, ἐπέρα κατὰ τὴν νῆσον, ὡς μὴ πρόσθεν ὀφθεῖεν πρὸς τῶν σκοπῶν τῶν ἐκ Πώρου καθεστηκότων, πρὶν παραλλάξαντας τὴν νῆσον ὀλίγον ἔτι ἀπέχειν τῆς ὄχθης. αὐτὸς δὲ ἐπιβὰς τριακοντόρῳ ἐπέρα, καὶ ἅμα αὐτῷ Πτολεμαῖός τε καὶ Περδίκκας καὶ Λυσίμαχος οἱ σωματοφύλακες, καὶ Σέλευκος τῶν ἑταίρων, ὁ βασιλεύσας ὕστερον, καὶ τῶν ὑπασπιστῶν οἱ ἡμίσεες· τοὺς δὲ ἄλλους ὑπασπιστὰς ἄλλαι τριακόντοροι ἔφερον. ὡς δὲ τὴν νῆσον παρήλλαξεν ἡ στρατιὰ, φανερῶς ἤδη ἐπεῖχον τῇ ὄχθῃ. καὶ οἱ σκοποὶ κατιδόντες αὐτῶν τὴν ὁρμὴν, ὡς ἑκάστοις τάχους οἱ ἵπποι εἶχον, ἤλαυνον ὡς ἐπὶ τὸν Πῶρον. ἐν τούτῳ δὲ Ἀλέξανδρος πρῶτος αὐτὸς ἐκβὰς, καὶ τοὺς ἀπὸ τῶν ἄλλων τριακοντόρων ἀναλαβὼν, ξυνέταττε τοὺς ἀεὶ ἐκβαίνοντας τῶν ἱππέων· οἱ γὰρ ἱππεῖς πρῶτοι ἐτετάχατο αὐτῷ ἐκβαίνειν· καὶ τούτους ἄγων προήει ἐν τάξει. ἔλαθε δὲ οὐκ ἐς βέβαιον χωρίον ἐκβὰς ἀγνοίᾳ τῶν τόπων, ἀλλὰ ἐς νῆσον γὰρ καὶ αὐτὴν μεγάλην, ἢ δὴ καὶ μᾶλλον νῆσος οὖσα ἔλαθεν, οὐ πολλῷ ὕδατι πρὸς τοῦ ποταμοῦ ἀποτεμνομένη ἀπὸ τῆς ἄλλης γῆς. καὶ ἅμα ηὐξήκει τὸ ὕδωρ ὁ ὄμβρος λάβρος τε καὶ ἐπὶ πολὺ τῆς νυκτὸς κατασχὼν, ὥστε οὐκ ἐξηύρισκον αὐτῷ οἱ ἱππεῖς τὸν πόρον, καὶ δέος ἦν αὖθις ἄλλου δεῆσαι αὐτῷ ἐπὶ τῇ διαβάσει ἴσου τῷ πρόσθεν πόνου. ὡς δὲ ἐξευρέθη ποτὲ ὁ πόρος, ἦγε κατ' αὐτὸν χαλεπῶς. ἦν γὰρ τῶν μὲν πεζῶν ὑπὲρ τοὺς μαστοὺς τὸ ὕδωρ, ἵνα περ τὸ βαθύτατον αὐτοῦ· τῶν δὲ ἵππων, ὅσον τὰς κεφαλὰς ὑπερέχειν τοῦ ποταμοῦ. ὡς δὲ καὶ τοῦτο ἐπεπέρατο αὐτῷ τὸ ὕδωρ, ἐπὶ μὲν τὸ δεξιὸν κέρας παρῆγε τό τε ἄγημα τῶν ἱππέων, καὶ τῶν ἄλλων ἱππαρχιῶν τοὺς κρατίστους ἐπιλεξάμενος. τοὺς δὲ ἱπποτοξότας τῆς πάσης ἵππου προέταξε· τῶν δὲ πεζῶν πρώτους μὲν τοὺς ὑπασπιστὰς τοὺς βασιλικοὺς, ὧν ἡγεῖτο Σέλευκος, ἐπέταξε τῇ ἵππῳ. ἐπὶ δὲ τούτοις τὸ ἄγημα τὸ βασιλικόν· ἐχομένους δὲ τούτων τοὺς ἄλλους ὑπασπιστὰς, ὡς ἑκάστοις αἱ ἡγεμονίαι ἐν τῷ τότε ξυνέβαινον· κατὰ δὲ τὰ ἄκρα τῆς φάλαγγος οἱ τοξόται αὐτῷ καὶ οἱ Ἀγριᾶνες, καὶ οἱ ἀκοντισταὶ ἑκατέρωθεν ἐπέστησαν. οὕτως ἐκτάξας, τὸν μὲν πεζὸν στρατὸν ἐν κόσμῳ βάδην ἕπεσθαι

A Sogdianis, & Scythis equitibus, & Daarum equeſtribus ſagittariis, ex phalange verò ſumtis argyraſpidibus, Clitique ac Cœni copiis, & ſagittariis atque Agrianis, remotius nōnihil à ripa, ne ab hoſtibus ad rupem atque inſulā (qua traiicere ſtatuerat) ſeſe conferens cerneretur, exercitum duxit. Tum per noctem pelles iam multo ante eò allatæ ſtramentis implentur, ac curatéque conſuuntur. Largus etiam imber ea nocte è cælo fuſus effecit, vt apparatus qui ad traiiciendum fiebat minus ſentiretur, quum & tonitruorum & imbrium ſonus ſtrepitum armorum & clamores imperantium ducum interciperet. Pleraque etiam nauigia diſſecta ad eum locum aduecta & clam compacta in ſylua occultabantur; atque inter alia naues triginta remorum. Sub lucem itaque vento pariter atque imbre ſedato, equitatus ac peditatus, quantum aut pelles aut nauigia ferre potuerunt, in inſulam euaſit, ita vt non prius à ſpeculatoribus quos C Porus ad ripam ſtatuerat conſpecti ſint, quàm prætèrita inſula iam non procul ab ripa abeſſent. Ipſe conſcenſa naue x x x remorum in ripam euaſit, vnàque cum eo Ptolemęus & Perdiccas ac Lyſimachus corporis cuſtodes, ex ſociis etiam Seleucus cui poſtea regnare contigit, & argyraſpidum dimidia pars. reliquos argyraſpidas aliæ naues triginta remorum vexerunt. Simulac verò exercitus inſulam prætergreſſus eſt, conſpiciente iam hoſte in ripam contendebat. Speculatores itaque cognito Macedonum aduentu, quanta maxima celeritate po- D tuerunt equis ad Porum contendunt. Interea Alexander qui primus in terra pedem poſuerat, iis qui aliis nauibus x x x remorum traiiciebant aſſumtis, alios etiam equites trāſeuntes in ordinem redigebat. equites enim primi omnium tranſire iuſſi erant. hos ducens acie inſtructa proceſſit. Cæterùm ignoratione locorum in locum parum firmum deſcendit. In aliam enim inſulam eámq; amplā incidit, quę vel ideo minus inſula eſſe videbatur, quòd eam aqua exiguo E ſpatio à terra ſeiunxerat. Accedebat huc quòd nocturnus imber aquam mirum in modum auxerat, ita vt equites vadum reperire non poſſent, metuerentque ne hic traiectus tantum ipſis negotij quantum prior faceſſeret. Tandem reperto vado, ægrè per eum tranſitum eſt. aqua enim vbi altiſſima erat peditum pectora, equorum ceruices æquabat. Porrò illa quoque aqua traiecta, agmen equitum ad dextrum cornu traduxit, delectis optimis quibuſque e- F quitum præfectis. ſagittarios verò equites vniuerſo equitatui præpoſuit. peditum autem primos argyraſpidas regios, quos ducebat Seleucus, equitatui adiunxit. proximè his agmen regium. exinde reliquos argyraſpidas, prout ſingulis præfecturæ cōtigerant. ab vtroque phalangis latere ſagittarios atque Agrianos, & iaculatores cōſtituit. Acie ita inſtructa, peditatū ſex circiter

Curt. Procella imbrem vix ſub tectis tolerabilem effudit.

Curt. Tumultuātiū fremitus obſtrepentibus ripis ab hoſte non poterat audiri.

milliũ ordine & ſenſim ſequi iubet. Ipſe, ꝙ equitatu ſuperior futur' videretur, equitũ ſolummodo V M aſſumtis celeriter cõtendit, Taurone ſagittariorum pręfecto ſagittarios ad equitatum feſtinanter adducere iuſſo. Ita verò ſecum ſtatuerat, vt ſi Porus cum vniuerſo exercitu cum adoriretur, ſe vel facilè cum equitatu irruentem ſuperiorem fore, vel certè tantiſper dum peditatus accederet hoſtilem impetum moraturum. Sin verò Indi improuiſo tráſitu perculſi ſeſe in fugã verterent, non procul ab ipſis in fuga abfuturum, & quo maior inter fugiendum cędes edita eſſet, tanto minus negotij ſibi reliquum futurum. Ariſtobulus autem autor eſt Pori filium cum LX. curribus eò veniſſe, priuſquam per minorem illam inſulam Alexander exercitum tranſmiſiſſet. Atque hunc quidem Alexandrum tranſitu prohibere potuiſſe, quippe qui difficulter etiam nemine obſiſtente tranſiſſet, ſi modò Indi è curribus deſilientes in primos quoſque tranſeuntes impetum feciſſent. cæterùm illum cum curribus prætergreſſum, tutum Alexandro tranſitum reliquiſſe. in quos quum Alexander equeſtres ſagittarios immiſiſſet, in fugam non incruentam vertiſſe. Alij Indos qui Pori filium ſecuti erant cum Alexandro eiúſque equitatu flumen egrediente conflixiſſe tradunt. maioribus enim copiis Pori filium inſtructũ veniſſe, ipſúmque Alexandrũ ab eo vulnus accepiſſe, Bucephalũ vero equũ, qui chariſſimus Alexandro erat, etiam à Pori filio vulneratum interiiſſe. Sed Ptolemæus, cui ego aſſentior, aliter ſentit. Nám & ipſe filium à Poro miſſum fuiſſe ſcribit, non autem LX ſolum currus ducentem. neque enim veriſimile eſt, Porum quum iam per ſpeculatores certior factus eſſet, aut ipſum Alexandrum, aut certè partem exercitus Hydaſpem tranſiiſſe, filium ſuum cum LX tantum curribus emiſiſſe. qui quidem veluti ad ſpeculandum miſſi, ſatis multi etiam non bene inſtructi erant vt nimirum expeditius ſeſe recipere poſſent: at verò ad arcendum hoſtes nondum tranſgreſſos, aut cum eis iam tranſgreſſis confligendum, nequaquam pares erant. Cæterùm duo millia equitum ſecum duxiſſe Pori filium ſcribit, currus CXX. at priuſquam eò perueniſſet, Alexandrum etiam vltimum ex inſula vadum tranſiſſe. Idem Ariſtobulus narrat Alexandrum primò ſagittarios equeſtres in illos emiſiſſe: ipſum verò equites duxiſſe, exiſtimantem Porum cum vniuerſo equitatu aduentare. equitatum verò primo loco poſitum, reliquum exercitúm præceſſiſſe. Poſtquam autem ex ſpeculatoribus numerum hoſtium Indorum cognouit, tùm acriter cum equitatu quem penes ſe habebat in eum inuectum fuiſſe: illos in fugam verſos, ſimulac Alexandrum ipſum equitúmque qui ei aderant agmen non exporrecta acie ſed turmatim in ſeſe ferri viderunt. ex his equites quidem CCCC cæſos eſſe, atque in iis etiam Pori filium, currúſque vnà cum equis captos, ꝙ & tardiores in fuga eſſent, &

A ἐκέλευσεν, οὐ πολὺ ἀποδέοντας τῶν ἑξακισχιλίων· αὐτὸς δὲ ὅτι κρατεῖν ἐδόκει τῇ ἵππῳ, τοὺς ἱππέας μόνον ἀναλαβὼν σπουδῇ ἡγεῖτο, ὄντας ἐς πεντακισχιλίους. Ταύρωνι δὲ τῷ τοξάρχῃ προσέταξε τοὺς τοξότας ἐπάγειν τῇ ἵππῳ καὶ αὐτοὺς σπουδῇ. γνώμην δὲ ἐπεποίητο, ὡς εἰ μὲν προσμίξειαν αὐτῷ οἱ ἀμφὶ τὸν Πῶρον ξὺν τῇ δυνάμει ἁπάσῃ, ἢ κρατήσειν αὐτῶν οὐ χαλεπῶς τῇ ἵππῳ προσβαλὼν, ἢ ἀπομάχεσθαί γε ἔστε τοὺς πεζοὺς ἐν τῷ ἔργῳ ἐπιγενέσθαι. εἰ δὲ πρὸς τὴν τόλμαν τῆς διαβάσεως ἄτοπον γενομένην οἱ Ἰνδοὶ ἐκπλαγέντες φεύγοιεν, οὐ B πόρρωθεν ἕξεσθαι αὐτῶν κατὰ τὴν φυγὴν, ὡς πλείονα ἐν τῇ ἀποχωρήσει τὸν φόνον γενόμενον, ὀλίγον ἔτι ὑπολείπεσθαι αὐτῷ τὸ ἔργον. Ἀριστόβουλος δὲ τὸν Πώρου παῖδα λέγει φθάσαι ἀφικόμενον ξὺν ἅρμασιν ὡς ἑξήκοντα, πρὶν τὸ ὕστερον ἐκ τῆς νήσου τῆς μικρᾶς περᾶσαι Ἀλέξανδρον. καὶ τοῦτον δυνηθῆναι ἂν εἶρξαι Ἀλέξανδρον τῆς διαβάσεως, χαλεπῶς καὶ μηδενὸς εἴργοντος περαιωθέντα· εἴπερ οὖν καταπηδήσαντες οἱ Ἰνδοὶ ἐκ τῶν ἁρμάτων προσέ C κειντο τοῖς πρώτοις τῶν ἐκβαινόντων· ἀλλὰ παραλλάξαι γὰρ ξὺν τοῖς ἅρμασι, καὶ ἀκίνδυνον ποιῆσαι Ἀλεξάνδρῳ τὴν διάβασιν· καὶ ἐπὶ τούτους ἀφεῖναι Ἀλέξανδρον τοὺς ἱπποτοξότας, καὶ τραπῆναι αὐτοὺς οὐ χαλεπῶς πληγὰς λαμβάνοντας. οἱ δὲ, καὶ μάχην λέγουσιν ἐν τῇ ἐκβάσει γενέσθαι τῶν Ἰνδῶν τῶν ξὺν τῷ παιδὶ τῷ Πώρου ἀφιγμένων, πρὸς Ἀλέξανδρόν τε καὶ τοὺς ξὺν αὐτῷ ἱππέας. καὶ γὰρ καὶ ἀφικέσθαι ξὺν μείζονι δυνάμει τὸν Πώρου παῖδα, καὶ αὐτόν τε Ἀλέξανδρον τρωθῆναι πρὸς αὐτοῦ, καὶ τὸν D ἵππον αὐτοῦ ἀποθανεῖν τὸν Βουκεφάλαν, φίλτατον Ἀλεξάνδρῳ ὄντα· καὶ τοῦτον τρωθέντα ὑπὸ τοῦ παιδὸς τοῦ Πώρου. ἀλλὰ Πτολεμαῖος ὁ Λάγου, ὅτῳ καὶ ἐγὼ ξυμφέρομαι, ἄλλως λέγει. ἐκπεμφθῆναι μὲν γὰρ τὸν παῖδα ὑπὸ τοῦ Πώρου· ἀλλ' οὐχ ἑξήκοντα μόνα ἅρματα ἄγοντα. οὐδὲ γὰρ εἰκὸς Πῶρον ἀκούσαντα ἐκ τῶν σκοπῶν ὅτι δὴ ἢ αὐτὸς Ἀλέξανδρος διαβέβηκε τοῦ Ὑδάσπου τὸν πόρον, ἢ μέρος γέ τι τῆς στρατιᾶς, σὺν ἑξήκοντα ἅρμασι μόνοις ἐκπέμψαι τὸν αὐτοῦ παῖδα· ἃ δὴ ὡς μὲν ἐπὶ κατασκοπὴν ἐκ- E πεμπόμενα, πολλά τε καὶ οὐκ εὔζωνα ἐς τὴν ἀποχώρησιν ἦν· ὡς δὲ εἰς τὸ εἶρξαί τε τοὺς οὔπω πεπερακότας τῶν πολεμίων καὶ τοῖς ἤδη ἐκβεβηκόσιν ἐπιθέσθαι, οὐδαμῆ ἀξιόμαχα. ἀλλὰ δισχιλίους γὰρ λέγει ἱππέας ἄγοντα ἀφικέσθαι τὸν Πώρου παῖδα, ἅρματα δὲ ἑκατὸν καὶ εἴκοσι. φθάσαι δὲ περάσαντα Ἀλέξανδρον καὶ τὸν ἐκ τῆς νήσου τὸν τελευταῖον πόρον. καὶ ἐπὶ τούτους τὰ μὲν πρῶτα ἐκπέμψαι Ἀλέξανδρον καὶ οὗτος λέγει τοὺς ἱπποτοξότας, αὐτὸν δὲ ἄγειν τοὺς ἱππέας. προσάγειν γὰρ οἰηθῆναι Πῶρον ξὺν τῇ δυ- F νάμει πάσῃ· τὴν δὲ ἵππον ταύτην προτεταγμένην αὐτῷ προπορεύεσθαι πρὸ τοῦ ἄλλου στρατοῦ. ὡς δὲ κατέμαθεν ἀτρεκῶς τὸ πλῆθος τὸ τῶν Ἰνδῶν, ἐνταῦθα δὴ ὀξέως ἐπιπεσεῖν αὐτοῖς ξὺν τῇ ἀμφ' αὐτὸν ἵππῳ· τοὺς δὲ ἐγκλῖναι, ὡς Ἀλέξανδρόν τε αὐτὸν κατεῖδον καὶ τὸ στῖφος ἀμφ' αὐτὸν τῶν ἱππέων, οὐκ ἐπὶ μετώπῳ ἀλλὰ κατ' ἴλας ἐμβεβληκός. καὶ τούτων ἱππέας μὲν πεσεῖν ἐς τετρακοσίους, πεσεῖν δὲ καὶ τὸν Πώρου τὸν παῖδα· τὰ δὲ ἅρματα αὐτοῖς ἵπποις ἁλῶναι, ἔν τε τῇ ἀποχωρήσει βαρέα γιγνόμενα, καὶ ἐν αὐτῷ τῷ

A ἔργῳ ὑπὸ πηλοῦ ἀχρεῖα. Πῶρος δέ, ὡς αὐτῷ ὅσοι ἱππεῖς ἐκ τῆς φυγῆς διεσώζοντο, Ἀλέξανδρόν τε αὐτὸν πεπερακότα ξὺν τῇ στρατιᾷ ἐς τὸ καρτερώτατον, καὶ τὸν παῖδα ἐν τῇ μάχῃ τετελευτηκότα ἤγγειλαν, ἐγίγνετο μὲν καὶ ὣς ἀμφίβολος τῇ γνώμῃ, ὅτι οἱ ἀπὸ τοῦ καταντικρὺ τοῦ μεγάλου στρατοπέδου, οἱ ξὺν Κρατερῷ ὑπολελειμμένοι, ἐπιχειροῦντες τῇ διαβάσει ἐφαίνοντο. εἵλετο δὴ οὖν ἐπ' αὐτὸν Ἀλέξανδρον ἐλάσας ξὺν τῇ στρατιᾷ πάσῃ, πρὸς τὸ καρτερώτατόν τε τῶν Μακεδόνων καὶ αὐτὸν τὸν βασιλέα διαγωνίσασθαι·
B ἀλλὰ καὶ ὣς ὀλίγους τῶν ἐλεφάντων σὺν οὐ πολλῇ στρατιᾷ αὐτοῦ ἐπὶ τοῦ στρατοπέδου ἀπέλιπεν, ὡς φοβεῖν ἀπὸ τῆς ὄχθης τοὺς ξὺν Κρατερῷ ἱππέας. αὐτὸς δὲ τήν τε ἵππον ἀναλαβὼν πᾶσαν ἐς τετρακισχιλίους ἱππέας, καὶ τὰ ἅρματα πάντα τριακόσια ὄντα, καὶ τῶν ἐλεφάντων διακοσίους, καὶ τῶν πεζῶν ὅ,τι περ ὄφελος ἐς τρισμυρίους, ἤλαυνεν ὡς ἐπ' Ἀλέξανδρον. ὡς δὲ ἐνέτυχε χωρίῳ ἵνα οὐ πηλὸς αὐτῷ ἐφαίνετο, ἀλλ' ὑπὸ ψάμμου γὰρ ξύμπαν ἦν ἄπεδον καὶ στερεὸν ἐς τὰς ἐφόδους τε καὶ ἀναστροφὰς τῶν ἵππων, ἐνταῦθα ἔτασσε τὴν στρατιάν, πρώτους μὲν τοὺς ἐλέφαντας
C ἐπὶ μετώπου, διέχοντα ἐλέφαντα ἐλέφαντος οὐ μεῖον πλέθρου, ὡς πρὸ πάσης τε τῆς φάλαγγος τῶν πεζῶν παραταθῆναι αὐτῷ τοὺς ἐλέφαντας ἐπὶ μετώπου, καὶ φόβον πάντῃ παρέχειν τοῖς ἀμφ' Ἀλέξανδρον ἱππεῦσιν. ἄλλως τε οὐδὲ ἠξίου ἐς τὰ διαλείποντα τῶν ἐλεφάντων τολμῆσαι ἄν τινα ὠσθῆναι τῶν πολεμίων, οὔτε ξὺν ἵπποις διὰ τὸν φόβον τῶν ἵππων· πεζούς τε ἔτι μεῖον, κατὰ στόμα τε γὰρ ἂν πρὸς τῶν ὁπλιτῶν προσβαλλόντων εἴργεσθαι, καὶ καταπατηθήσεσθαι, ἐπιστρεψάντων ἐπ' αὐτοὺς τῶν ἐλεφάντων.
D ἐπὶ τούτοις δὲ οἱ πεζοὶ αὐτῷ ἐτετάχατο, οὐκ ἴσον τὸ μέτωπον τοῖς θηρίοις ἐπέχοντες, ἀλλ' ἐν δευτέρῳ μετώπῳ μετὰ τοὺς ἐλέφαντας, ὅσον ἐς τὰ διαλείποντα ἐπ' ὀλίγον ἐμβεβλῆσθαι τοὺς λόχους. ἦσαν δὲ αὐτῷ καὶ κατὰ τὰ κέρατα ἔτι ὑπὲρ τοὺς ἐλέφαντας πεζοὶ ἐφεστηκότες. ἑκατέρωθεν δὲ τῶν πεζῶν ἡ ἵππος αὐτῷ ἐτέτακτο, καὶ πρὸ ταύτης τὰ ἅρματα ἑκατέρωθεν. αὕτη μὲν ἡ Πώρου τάξις ἦν. Ἀλέξανδρος δὲ ὡς ἤδη καθεώρα τοὺς Ἰνδοὺς ἐκτασσομένους, ἐπέστησε τοὺς ἱππέας τοῦ πρόσω,
E ὡς ἀναλαμβάνειν τῶν πεζῶν τοὺς ἀεὶ προσάγοντας. ὡς δὲ καὶ ἡ φάλαγξ αὐτῷ δρόμῳ συνάψασα ὁμοῦ ἤδη ἦν, ὁ δὲ οὐκ εὐθὺς ἐκτάξας ἐπῆγεν, ὡς μὴ καματηρούς τε καὶ πνευστιῶντας ἀκμῆσι παραδοῦναι τοῖς βαρβάροις, ἀλλὰ ἐς κύκλους περιϊππεύων ἀνέπαυε τοὺς πεζούς, ἔστε καταστῆναι αὐτοῖς τὸν θυμόν. ὡς δὲ τὴν τάξιν κατεῖδε τῶν Ἰνδῶν, κατὰ μέσον μέν, ἵνα οἱ ἐλέφαντες προεβέβληντο, καὶ πυκνὴ ἡ φάλαγξ κατὰ τὰ διαλείποντα αὐτῶν ἐπιτέτακτο, οὐκ
F ἔγνω προάγειν, αὐτὰ ἐκεῖνα ὀκνήσας ἅπερ ὁ Πῶρος τῷ λογισμῷ ξυνθεὶς ταύτῃ ἔταξεν· ἀλλὰ αὐτὸς μὲν ἅτε ἱπποκρατῶν, τὴν πολλὴν τῆς ἵππου ἀναλαβὼν ἐπὶ τὸ εὐώνυμον κέρας τῶν πολεμίων παρήλαυνεν, ὡς ταύτῃ ἐπιθησόμενος· Κοῖνον δὲ πέμπει ἐπὶ τὸ δεξιόν, τὴν Δημητρίου καὶ τὴν αὐτοῦ ἔχοντα ἱππαρχίαν, κελεύσας, ἐπειδὰν τὸ κατὰ σφᾶς στῖφος τῶν ἱππέων ἰδόντες οἱ βάρβαροι ἀντιπαριππεύσωσιν, αὐτὸν κατόπιν ἔχεσθαι αὐτῶν. τῶν πεζῶν δὲ τὴν φάλαγγα Σελεύκῳ καὶ Ἀντιγένει καὶ Ταύρωνι προσέταξεν ἄγειν·

A limus curſum impediret. Porum verò, ſimulac qui fuga euaſerant equites nuntiarunt, Alexandrum cum maiore exercitus parte traieciſſe, filiúmque in pugna cæſum, ancipitis conſilij vel eo præcipuè nomine eſſe factũ, quòd qui cũ Cratero relicti erant tranſitum quoque tentare viderentur. Tandẽ ſtatuiſſe Alexandro cum vniuerſo exercitu occurrere, & aduerſus Macedones, vtpote firmiſſimam exercitus partem, regémque ipſum pugnam inire. quod tamen ita fecit, vt
B elephantos nonnullos atque aliquam exercitus partem apud caſtra relinqueret, qui Crateri equitibus ex ripa terrori eſſent. Ipſe aſſumto vniuerſo equitatu (qui quatuor millium erat) & curribus CCC, elephantis CC, peditibus verò qui vſui eſſe poſſent XXX millibus, aduerſus Alexandrum contendit. quúmque ad campum minimè lutoſum veniſſet, quem arena planum firmúmque fecerat, & ducendo circumagendóque equitatui idoneum, exercitũ hoc pacto inſtruit. Elephãtos primùm in fronte collocat, cen-
C tum pedum ſpatio inter ſe diſiunctos, qui ante vniuerſam peditum phalangem exporrecti ſtarent, metúmque Alexandri equitibus incuterent. neque enim putabat quenquam hoſtium per illa elephantorum interſtitia penetrare auſurum, ſed ne equites quidem, equitum metu: pedites verò multo minus, quòd & armati milites eos ex aduerſo ferientes propulſaturi, & elephanti proculcaturi eſſent. Poſt hos collocati erant pedites: non quidem in eadem cum elephantis ſerie, ſed ſecundo poſt elephantos ordi-
D ne, adeo vt fere ipſis interſtitiis interiecta eſſent agmina. Adhæc ad cornua aciei pedites elephantis impoſuerat. vtrũque verò peditum latus equitatu cinxerat, equitatum vtrinque curribus munierat. Atque hæc quidem Pori acies erat. Alexander ſimulatque Indos acie inſtructa ſtantes vidit, equites ſubſiſtere iubet, vt paulatim aduenientes pedites reciperet. quúmque iam phalanx curſim ſeſe cum reliquis copiis coniunxiſſet, Alexander non continuò eos in aciem
E eduxit, ne curſus celeritate defatigatos atque anhelos barbaris obiiceret: ſed in orbem equitatum ducens, reſpirandi locum peditibus dedit, donec animum recollegiſſent. Acie itaque Indorum conſpecta, non à fronte, qua parte elephanti obiecti erant, & peditum agmina per interſtitia collocata, impetum facere ſtatuit, id ipſum metuens quod Porum ad ita inſtruendam aciem induxerat: ſed ipſe (vt qui equitatu ſuperior erat) aſſumta maiore equitum parte in ſi-
F niſtrum Pori cornu mouet, tanquam ea parte irrupturus. Cœnum ad dextrum cornu mittit, ſuas & Demetrij turmas ducentem, mandatis additis, vt quum barbari ſuũ equitatum aduerſus agmen equitum quod eos adoriebatur ducerent, eorum terga prememerent. peditum autem phalangem Seleuco, Antigeni & Tauroni ducendam dedit,

vtque non prius pręlium ineant iubet, quàm equitatum hoſtilem & phalangem à ſuis equitibus perturbatam viderint. Quúmque intra teli iactum appropinquaſſet, cõfeſtim ſagittarios equeſtres circiter mille in ſiniſtrum Indorum cornu immittit, vt frequentia telorum & equorum irruptione hoſtes ex ea parte cõſtitutos turbarent. Ipſe etiam equitatum amicorum apud ſe habens ad ſiniſtrum barbarorũ cornu contendit, eo conſilio vt prius perturbatos aggrediatur, quàm equitatus phalangi admoueri poſſet. Interea Indi omni ex parte conglomerati equitatum contra Alexandrum, impetum eius propulſaturi, ducunt. quum ſtatim Cœnus cum ſuis copiis, vti ei imperatum erat, eorum tergo imminet. quod conſpicati Indi equitatum in duas acies diducere ſunt coacti, atque eam quidem quæ & pluribus & pręſtantioribus copiis conſtabat, in Alexandrũ: alterám verò in Cœnum ducebant. quod quidem ſtatim Indorum ordines pariter atque animos turbauit. Alexander opportunitate rei animaduerſa, interea dum ſe equitatus in duas partes diuidit, in eam quę in ſe conuerſa erat impetum facit. quem quum Indi ſuſtinere non poſſent, ad elephantos tanquam ad amicos muros confugiunt. quorum rectores quum belluas in equitatum concitaſſent, Macedonum phalanx inuecta telorum iactu tum ſeſſores tum elephantos ipſos omni ex parte premebat. eratque hæc pugna nulli priorum certaminum ſimilis. Belluæ enim in peditum agmina delatæ, quacunque ſeſe vertebant Macedonũ phalangem quantumuis denſam perfringebant: adhæc Indorum equites quum peditatum laborare viderent, denuo conuerſi equitatum inuadebant. qui quum iterum ab iis qui circa Alexandrum erant victi eſſent, (quippe qui & robore & peritia rei militaris longè erant ſuperiores) ad elephantos rurſus confugiebant. Interea vniuerſus Alexandri equitatus iam in vnum agmen conglomeratus, non quidem ipſius mandato, ſed in ipſo certamine in eum ordinem redactus, quacunque in agmina Indorum incidebat, cum multa cæde diſcedebat. Belluæ verò quum iam in anguſtum redactæ eſſent, nõ minus damni ſuis quàm hoſtibus inferebant, multis dum vexantur atque agitantur protritis. Equitibus itaque anguſto loco cum elephantis concluſis magna ſtrages edebatur. plerique etiam elephantorum rectores telorum iactu ſaucij, ipſique elephanti partim vulnerati partim defatigati & rectoribus deſtituti non amplius in pugna certum locum tenebant, ſed vulnerum impatiẽtia, rabie inſtinctis ſimiles, nullo diſcrimine ſuos iuxta atque hoſtes proculcabant atque interimebant. At Macedones maiorem loci amplitudinem ex animi ſententia nacti, irruentibus in ſe belluis cedebant: contra, recedentes iaculis cõfodiebant. At Indi qui circum elephantos verſabantur maiore damno afficiebantur. Poſtquam verò belluæ defatigatæ non iam amplius validos impetus facerent, ſed ægrè

A μὴ πρόσθεν ἢ ἅπτεσθαι τοῦ ἔργου, πρὶν ὑπὸ τῆς ἵππου
τῆς ἀμφ' αὐτὸν τεταραγμένην τήν τε φάλαγγα τῶν
πεζῶν καὶ τοὺς ἱππέας κατίδωσιν. ἤδη τε ἐντὸς βέ-
λους ἐγίγνετο, καὶ ἐφῆκεν ἐπὶ τὸ κέρας τὸ εὐώνυμον
τῶν Ἰνδῶν τοὺς ἱπποτοξότας, ὄντας ἐς χιλίους, ὡς τα-
ράξαι τοὺς ταύτῃ ἐφεστηκότας τῶν πολεμίων, τῇ πυκνό-
τητί τε τῶν τοξευμάτων, καὶ τῶν ἵππων τῇ ἐπελάσει.
καὶ αὐτὸς δὲ τοὺς ἑταίρους ἔχων τοὺς ἱππέας παρήλαυ-
νεν ὀξέως ἐπὶ τὸ εὐώνυμον τῶν βαρβάρων, κατὰ κέρας
ἔτι τεταραγμένοις ἐμβαλεῖν σπουδὴν ποιούμενος,
B πρὶν ἐπὶ φάλαγγος ἐκταχθῆναι αὐτοῖς τὴν ἵππον.
ἐν τούτῳ δὲ οἵ τε Ἰνδοὶ τοὺς ἱππέας πάντοθεν ξυναλί-
σαντες παρίππευον Ἀλεξάνδρῳ, ἀντιπαρεξάγοντες
τῇ ἐλάσει. καὶ οἱ περὶ Κοῖνον, ὡς παρήγγελτο, κατόπιν
αὐτοῖς ἐπεφαίνοντο. ταῦτα ξυνιδόντες οἱ Ἰνδοί, ἀμ-
φίστομον ἠναγκάσθησαν ποιῆσαι τὴν τάξιν τῆς ἵππου,
τὴν μὲν ὡς ἐπ' Ἀλέξανδρον τὴν πολλήν τε καὶ κρα-
τίστην· τὴν δὲ ὡς ἐπὶ Κοῖνόν τε καὶ τοὺς ἅμα τούτῳ
ἐπιστρέφον. τοῦτό τε οὖν εὐθὺς ἐτάραξε τὰς τάξεις τε
C καὶ τὰς γνώμας τῶν Ἰνδῶν. καὶ Ἀλέξανδρος ἰδὼν τὸν
καιρὸν, ἐν αὐτῇ τῇ ἐπὶ θάτερα ἐπιστροφῇ τῆς ἵππου,
ἐπιτίθεται τοῖς καθ' αὐτόν· ὥστε οὐδὲ τὴν ἐμβολὴν
ἐδέξαντο τῶν ἀμφ' Ἀλέξανδρον ἱππέων οἱ Ἰνδοί, ἀλ-
λὰ κατηράχθησαν ὥσπερ εἰς τεῖχός τι φίλιον ἐς τοὺς
ἐλέφαντας· καὶ ἐν τούτῳ οἱ ἐπιστάται τῶν ἐλεφάντων
ἀντεπῆγον τῇ ἵππῳ τὰ θηρία. καὶ ἡ φάλαγξ αὐτὴ
τῶν Μακεδόνων ἀντεπήει πρὸς τοὺς ἐλέφαντας, τοὺς
ἐπιβάτας αὐτῶν ἀκοντίζοντες, καὶ αὐτὰ τὰ θηρία
περιϊστάμενοι πάντοθεν βάλλοντες. καὶ ἦν τὸ ἔργον οὐ-
δενὶ τῶν πρόσθεν ἀγώνων ἐοικός. τά τε γὰρ θηρία ἐπεκ-
D θέοντα ἐς τὰς τάξεις τῶν πεζῶν, ὅπῃ ἐπιστρέψειεν, ἐ-
κεράϊζε καίπερ πυκνὴν οὖσαν τὴν Μακεδόνων φά-
λαγγα· καὶ οἱ ἱππεῖς οἱ τῶν Ἰνδῶν τοῖς πεζοῖς ἰδόντες
ξυνεστηκὸς τὸ ἔργον, ἐπιστρέψαντες αὖθις καὶ αὐτοὶ
ἐπήλαυνον τῇ ἵππῳ. ὡς δὲ πάλιν ἐκράτησαν αὐτῶν
οἱ ἀμφ' Ἀλέξανδρον, τῇ τε ῥώμῃ καὶ τῇ ἐμπειρίᾳ πο-
λὺ προέχοντες, ὡς ἐπὶ τοὺς ἐλέφαντας αὖθις κατει-
λήθησαν· καὶ ἐν τούτῳ πᾶσα ἡ ἵππος Ἀλεξάνδρῳ ἐς
μίαν ἴλην ἤδη ξυνηγμένη, οὐκ ἐκ παραγγέλμα-
τος, ἀλλὰ ἐν τῷ ἀγῶνι αὐτῷ ἐς τήνδε τὴν τάξιν κα-
E ταστᾶσα, ὅποι προσπέσοι τῶν Ἰνδῶν ταῖς τάξεσι, ξὺν
πολλῷ φόνῳ ἀπελύοντο. καὶ ἐς στενὸν ἤδη κατειλημ-
μένων τῶν θηρίων, οὐ μείω πρὸς αὐτῶν οἱ φίλοι ἤπερ
οἱ πολέμιοι ἐβλάπτοντο, ἐν ταῖς ἐπιστροφαῖς τε καὶ
τοῖς ὠθισμοῖς καταπατούμενοι. τῶν τε οὖν ἱππέων
οἷα δὴ ἐν στενῷ περὶ τοὺς ἐλέφαντας εἰλουμένων, πο-
λὺς φόνος ἐγίγνετο. καὶ οἱ ἡγεμόνες τῶν ἐλεφάν-
των οἱ πολλοὶ κατηκοντισμένοι ἦσαν. καὶ αὐτοὶ οἱ ἐλέ-
φαντες τὰ μὲν τιτρωσκόμενοι, τὰ δὲ ὑπό τε τῶν πόνων
καὶ ἐρημίας ἡγεμόνων, οὐκέτι διακεκριμένοι ἐν τῇ
F μάχῃ ἦσαν· ἀλλ' οἷα δὴ ὑπὸ τοῦ κακοῦ ἔκφρονες, φι-
λίοις τε ὁμοῦ καὶ πολεμίοις προσφερόμενοι, πάντα
τρόπον ἐξώθουν τε καὶ κατεπάτουν καὶ κατέκαινον.
ἀλλ' οἱ μὲν Μακεδόνες ἅτε ἐν εὐρυχωρίᾳ τε καὶ κατὰ
γνώμην τὴν σφῶν προσφερόμενοι τοῖς θηρίοις, ὅπῃ
μὲν ἐπιφέροιντο, εἶκον· ἀποστραφέντων δὲ εἴχοντο ἐσ-
ακοντίζοντες. οἱ δὲ Ἰνδοὶ ἐν αὐτοῖς ἀναστρεφόμενοι,
τὰ πλείω ἤδη πρὸς ἐκείνων ἐβλάπτοντο. ὡς δὲ καμα-
τηρά τε ἦν τὰ θηρία, καὶ οὐκέτι αὐτῷ ἐρρωμέναι αἱ ἐκ-

δρομαὶ ἐγίγνοντο, ἀλλὰ συνειλημμένοι μόνον διαχωρούμενα, ὥσπερ αἱ πρέμναν κρουόμεναι νῆες, ἐπὶ πόδα ὑπεχώρουν. αὐτὸς μὲν Ἀλέξανδρος περιβάλλει ἐν κύκλῳ τὴν ἵππον τῇ πάσῃ τάξει, τοὺς πεζοὺς δὲ ξυνασπίσαντας ὡς ἐς πυκνοτάτην ξύγκλεισιν ἐπάγειν τὴν φάλαγγα ἐσήμηνε. καὶ οὕτως οἱ μὲν ἱππεῖς τῶν Ἰνδῶν πλὴν ὀλίγων κατεκόπησαν ἐν τῷ ἔργῳ· ἐκόπτοντο δὲ καὶ οἱ πεζοὶ πανταχόθεν ἤδη προσκειμένων τῶν Μακεδόνων. καὶ ἐν τούτῳ, ἵνα διέσχεν ἡ ἵππος ἡ Ἀλεξάνδρου, ἐς φυγὴν πάντες ἐπεστράφησαν. καὶ ἐν τῷ αὐτῷ Κρατερός τε καὶ οἱ ἄλλοι ὅσοι τῆς στρατιᾶς τῆς Ἀλεξάνδρου ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου ὑπολελειμμένοι ἡγεμόνες ἦσαν, ὡς νικῶντα λαμπρῶς Ἀλέξανδρον κατεῖδον, ἐπέρων καὶ αὐτοὶ τὸν πόρον. καὶ οὗτοι οὐ μείονα τὸν φόνον ἐν τῇ ἀποχωρήσει τῶν Ἰνδῶν ἐποίησαν, ἀκμῆτες ἀντὶ κεκμηκότων τῶν ἀμφ' Ἀλέξανδρον ἐπιγενόμενοι τῇ διώξει. ἀπέθανον δὲ τῶν Ἰνδῶν πεζοὶ μὲν ὀλίγον ἀποδέοντες τῶν δισμυρίων, ἱππεῖς δὲ ἐς τρισχιλίους. τὰ δὲ ἅρματα ξύμπαντα κατεκόπη, καὶ Πώρου δύο παῖδες ἀπέθανον· καὶ Σπιτάρχης ὁ νομάρχης τῶν ταύτῃ Ἰνδῶν, καὶ τῶν ἐλεφάντων καὶ ἁρμάτων οἱ ἡγεμόνες, καὶ οἱ ἱππάρχαι, καὶ οἱ στρατηγοὶ τῆς στρατιᾶς τῆς Πώρου ξύμπαντες. ἐλήφθησαν δὲ καὶ οἱ ἐλέφαντες, ὅσοι γε αὐτοῦ αὐτοῦ μὴ ἀπέθανον. τῶν δ' ἀμφ' Ἀλέξανδρον πεζοὶ μὲν, ἀπὸ ἑξακισχιλίων τῶν ἐν τῇ πρώτῃ προσβολῇ γενομένων, ἐς ὀγδοήκοντα μάλιστα ἀπέθανον· ἱππεῖς δὲ τῶν μὲν ἱπποτοξοτῶν, οἱ δὴ καὶ πρῶτοι τοῦ ἔργου ἥψαντο, δέκα· τῆς δὲ ἑταιρικῆς ἵππου, ἀμφὶ τοὺς εἴκοσι· τῶν δὲ ἄλλων ἱππέων, ὡς διακόσιοι. Πῶρος δὲ μεγάλα ἔργα ἐν τῇ μάχῃ ἀποδειξάμενος, μὴ ὅτι στρατηγοῦ ἀλλὰ καὶ στρατιώτου γενναίου, ὡς τῶν τε ἱππέων τὸν φόνον κατεῖδε, καὶ τῶν ἐλεφάντων τοὺς μὲν αὐτοῦ πεπτωκότας, τοὺς δὲ ἐρήμους τῶν ἡγεμόνων λυπηροὺς πεπλανημένους, τῶν δὲ πεζῶν αὐτῷ οἱ πλείους ἀπολώλεσαν· οὐχ ὥσπερ Δαρεῖος ὁ μέγας βασιλεὺς ἐξάρχων τοῖς ἀμφ' αὐτὸν τῆς φυγῆς ἀπεχώρει, ἀλλὰ ἔστε γὰρ ὑπέμενέ τι τῶν Ἰνδῶν ἐν τῇ μάχῃ ξυνεστηκὸς, ἐς τοσόνδε ἀγωνισάμενος. τετρωμένος δὲ τὸν δεξιὸν ὦμον, ὃν δὴ γυμνὸν μόνον ἔχων ἐν τῇ μάχῃ ἀνεστρέφετο (ἀπὸ γὰρ τοῦ ἄλλου σώματος ἤρκει αὐτῷ τὰ βέλη ὁ θώραξ) περιττὸς ὢν κατά τε τὴν ἰσχὺν, καὶ τὴν ἁρμονίαν, ὡς ὕστερον καταμαθεῖν θεωμένοις ἦν, τότε δὴ καὶ αὐτὸς ἀπεχώρει ἐπιστρέψας τὸν ἐλέφαντα. καὶ Ἀλέξανδρος μέγαν τε αὐτὸν καὶ γενναῖον ἄνδρα ἰδὼν ἐν τῇ μάχῃ, σῶσαι ἐπεθύμησε. πέμπει δὴ παρ' αὐτὸν πρῶτα μὲν Ταξίλην τὸν Ἰνδόν. καὶ Ταξίλης προσιππεύσας ἐφ' ὅσον οἱ ἀσφαλὲς ἐφαίνετο τῷ ἐλέφαντι ὃς ἔφερε τὸν Πῶρον, ἐπιστῆσαί τε ἠξίου τὸ θηρίον (οὐ γὰρ εἶναί οἱ ἔτι φεύγειν) καὶ ἀκοῦσαι τῶν παρ' Ἀλεξάνδρου λόγων. ὁ δὲ ἰδὼν ἄνδρα ἐχθρὸν ἐκ παλαιοῦ τὸν Ταξίλην, ἐπιστρέψας ἀνήγετο ὡς ἀκοντίσων. καὶ ἂν καὶ κατέκανεν αὖ τυχὸν, εἰ μὴ ὑποφθάσας ἐκεῖνος ἀπήλασεν ἀπὸ τοῦ Πώρου πρόσω τὸν ἵππον. Ἀλέξανδρος δὲ οὐδὲ ἐπὶ τῷδε, τῷ Πώρῳ χαλεπὸς ἐγένετο. ἀλλ' ἄλλους τε ἐν μέρει ἔπεμπε, καὶ δὴ καὶ Μερόην ἄνδρα Ἰνδὸν, ὅτι φίλον εἶναι ἐκ παλαιοῦ τῷ Πώρῳ τὸν Μερόην ἔμαθε. Πῶρος δὲ ὡς τὰ παρὰ τοῦ Μερόου ἤκουσε, καὶ ἐκ τῆς δίψης ἅμα ἐκρατεῖτο, ἐπέστησέ τε τὸν ἐλέφαντα καὶ κατέβη ἀπ' αὐτοῦ. ὡς δὲ ἔπιέ τε καὶ

A membra trahentes inſtar nauis puppi inhibita pedem retro ferrent: Alexāder repentè omni equitatu hoſtibus circumfuſo, ſigno dato imperat vti pedites inter ſe conſertis ſcutis confertiſſimáque phalange in eos ferantur. atque ita vndique circumuenti Indorum equites omnes fere ea in pugna cęſi ſūt. Peditum etiam, irruentibus omni ex parte Macedonibus, magna ſtrages edita eſt. Tum omnes, qua Alexandri equitatus ſemotior erat in fugam vertuntur. Interea Craterus aliique duces qui cum eo ad ripam Hydaſ-
B pis relicti fuerant, manifeſta Alexandri victoria conſpecta, amnem traiiciunt. qui quidem non minorem fugientium Indorum cædem ediderunt, quippe qui integri feſſis Alexandri militibus in inſequendo ſuccederent. Cæſi ſunt ex Indis pedites paulo minus XX M. equites III M. currus omnes diſſipati. duo Pori filij interfecti. Spitarches etiam Indorum illius regionis præſes, omnéſque elephantorum & curruum præfecti, & equitatus ac peditatus Pori duces. elephanti etiam qui in pugna cæſi non erant,
C capti. Ex peditatu Alexandri, qui VI M numero primum conflictum adierunt, LXXX ſummùm deſiderati. ex ſagittariis equeſtribus, qui quidem primi pugnam aggreſſi ſunt, X. ex amicorum equitatu XX. ex reliquo omni equitatu CC. Porus qui in ea pugna rem præclarè geſſerat, non ducis ſolùm verumetiam ſtrenui militis officio functus, conſpecta equitum cæde, quúmque elephantorum alios proſtratos, alios abſque rectoribus & ſaucios errare, peditatus etiam ma-
D ximam partem interiiſſe cerneret: non tamen veluti magnus ille rex Darius qui ex ſuis fugam primus inierat, trepidus fugit, ſed quamdiu partem aliquam Indorum pugnantem vidit, tamdiu etiam ipſe conflixit. quū verò in dextro humero, quem quidem ſolum in pugna nudum ferebat, vulnus accepiſſet (nam à reliquo corpore thorax facilè tela propulſabat) ipſe alioqui inſigni & robore & membrorum conuenientia præditus, vt poſtea eius conſpectus docuit, con-
E uerſo elephante receſſit. Alexander, quòd magnum ac generoſum virum in pugna ſe præſtitiſſet, ſaluum cupiebat. ac primum quidem Taxilem Indum ad eum mittit. qui quum adequitaſſet, ſéque Poro, quantum per elephantem qui eum geſtabat tutum erat, conuinxiſſet, & Porum rogaſſet vt ſiſteret elephantum (neque enim amplius fugere poſſe) vti Alexandri poſtulata acciperet, viſo Taxile vetere hoſte, conuerſus in eum ferebatur, tanquam lancea petiturus. & qui-
F dem fortaſſis interfeciſſet, niſi ille confeſtim cum equo è Pori conſpectu ſe proripuiſſet. Alexander ne hanc quidem ob cauſam Poro ſuccenſebat, ſed alios atque alios nihilominus ſubmittebat, & in iis Meroem hominem Indum, quòd veterem ei cum Poro amicitiam intercedere accepiſſet. Porus Merois oratione audita, & quòd vehementi ſiti premebatur, cum elephanto ſubſtitit atque ex eo deſcendit. Qúumque bibiſſet, ac

Curt. Tum beluam in fugam concitat ſequente Alexandro.

nonnihil reſpiraſſet, continuò illum ad Alexandrum adducit. Alexander vt eum appropinquare intellexit, nonnihil ante aciẽ progreſſus, amicis aliquot comitatus Poro obuiam iuit, equúmq; ſiſtens, magnitudinẽ Pori (erat enim quinq; cubitos altus) & pulchritudinem ſimul admiratus eſt, quódque nullũ adhuc ſeruitutis animo conceptæ ſpecimẽ præ ſe ferre videretur, ſed vt generoſus cum alio generoſo viro congreſſus, pro regno ſuo aduerſus alium regem decertaſſet. Tum Alexander prior eum compellans, quid ſibi fieri cuperet dicere iuſsit. Cui Porum reſpondiſſe ferunt, Vt me regiè tractes Alexander. Poro Alexander ea oratione delectatus, Hoc tibi, inquit, Pore mea cauſa cõtinget: tu quod tua cauſa tibi gratum ſit poſtula. Cui Porus, omnia iis quæ dixiſſet contineri, reſpondit. Quo reſponſo lætior Alexander, Poro regnũ Indorũ reſtituit, & vltra priſtinũ imperiũ aliã ei regionem vetere ampliorem adiecit. atq; ita & regiè hominẽ generoſum tractauit, & fido in poſterum amico ad omnia eſt vſus. Huiuſmodi exitum habuit pugna Alexandri aduerſus Porum & Indos trans Hydaſpem amnem colentes, archonte Athenis Hegemone, menſe Martio. Porro eo loco quo & pugna commiſſa fuerat & quo ad traiiciendũ Hydaſpem mouerat, vrbes condidit. atque illam quidem à victoria aduerſus Indos parta Nicæam appellauit: alteram, Bucephalam in equi ſui Bucephali memoriam, qui quidẽ eo loci interiit, non quidẽ ab aliquo vulneratus, ſed laboribus pariter atq; ætate fractus. Siquidem trigeſimum annum agebat, quum hæc defatigatio ei accideret. multos verò etiã antea labores, multa pericula cum Alexãdro adierat, ſolúmq; Alexandrũ ſeſſorem admittebat, reliquos reiiciebat, magnitudine ſimul corporis eximia atque animo generoſo præditus. Nota ei inſignita erat bouis caput, cuius etiam cauſa nomen ei Bucephalo inditũ eſt. vel quòd, vt aliis placet, quum ipſe nigri coloris eſſet, albam in capite notam haberet, bouis capiti perquàm ſimilẽ. Hunc ipſum equum quum in Vxiorum regione amiſiſſet Alexander, per vniuerſam regionem proclamari iuſsit, niſi equum ei reducerẽt, ſe Vxios omnes ad internecionẽ interfecturũ. ad hoc edictum equus reductus fuit. adeo hic charus Alexãdro, & Alexander terribilis barbaris fuit. Et hec quidẽ in laudẽ Bucephali Alexandri cauſa dicta ſint. Alexander quũ iis qui in pugna cecidiſſent debitum honorem perſoluiſſet, ſacrificiáq; conſueta diis pro victoria feciſſet, ludis etiã gymnicis atq; equeſtribus ad Hydaſpis ripam habitis, eo loco quo primũ cum exercitu traiecit, Craterũ ibi cũ parte copiarũ reliquit, qui vrbes quas ibi cõdere cœperat exædificaret, muróq; cingeret. Ipſe in Indos Pori regno finitimos mouit. hi Glaucanicæ, vt autor eſt Ariſtobulus, dicebãtur: vt verò Ptolemeus, Glauſæ. at quonã tandẽ nomine appellati fuerint nõ laboro. Alexãder regionẽ eorũ ingreſſus eſt, equitatus amicorũ alterã partẽ apud ſe habens, & ex ſingulis peditũ phalangibus ſelectiſsimos quoſq;, equeſtres ſagittarios omnes, Agria-

Curt. Porus humanæ magnitudinis propemodum exceſſerat formam.

Curt. Interrogatus quid ipſe victorem ſtatuere debere cenſeret &c.

Curt. In amicorũ numerũ recepit. mox donauit ampliore regno quã tenuit.

Curt. Rex duabus vrbibus conditis in vtraq; fluminis quod ſuperauerat ripa &c.

A ἀνέψυξεν, ἄγει αὐτὸν σπουδῇ παρ' Ἀλέξανδρον. καὶ
ὁ μὲν ἤγετο· Ἀλέξανδρος δὲ ὡς προσάγοντα ἐπύθετο,
προσιππεύσας πρὸ τῆς τάξεως ξὺν ὀλίγοις τῶν ἑταί-
ρων ἀπαντᾷ τῷ Πώρῳ, καὶ ἐπιστήσας τὸν ἵππον, τό, τε
μέγεθος ἐθαύμαζεν ὑπὲρ πέντε πήχεις μάλιστα ξυμβαῖ-
νον, καὶ τὸ κάλλος τοῦ Πώρου, καὶ ὅτι οὐ δεδουλωμένος
τῇ γνώμῃ ἐφαίνετο, ἀλλ' ὥσπερ ἂν ἀνὴρ ἀγαθὸς ἀνδρὶ ἀ-
γαθῷ προσέλθοι, ὑπὲρ βασιλείας τῆς αὐτοῦ πρὸς βασι-
λέα ἄλλον καλῶς ἠγωνισμένος. ἔνθα δὴ Ἀλέξανδρος
πρῶτος προσειπὼν αὐτὸν, λέγειν ἐκέλευσεν ὅ, τι οἱ γενέ-
σθαι ἐθέλοι. Πῶρον δὲ ἀποκρίνασθαι λόγος, Ὅτι βασιλι-
B κῶς μοι χρῆσαι, ὦ Ἀλέξανδρε· καὶ Ἀλέξανδρος ἡσθεὶς
τῷ λόγῳ, Τοῦτο μὲν ἔσται σοι Πῶρε, ἔφη, ἐμοῦ ἕνεκα· σὺ
δὲ σαυτοῦ ἕνεκα ὅ, τι σοὶ φίλον ἀξίου. ὁ δὲ, πάντα ἔφη ἐν
τούτῳ ἐνεῖναι. καὶ Ἀλέξανδρος τούτῳ ἔτι μᾶλλον τῷ
λόγῳ ἡσθεὶς, τήν τε ἀρχὴν τῷ Πώρῳ τῶν αὐτῶν Ἰνδῶν
ἔδωκε, καὶ ἄλλην ἔτι χώραν πρὸς τῇ πάλαι οὔσῃ πλείο-
να τῆς πρόσθεν προσέθηκε. καὶ οὕτως αὐτός τε βασιλι-
κῶς κεχρημένος ἦν ἀνδρὶ ἀγαθῷ, καὶ ἐκείνῳ ἐκ τού-
του ἐς ἅπαντα πιστῶς ἐχρήσατο. τοῦτο τὸ τέλος τῇ μάχῃ
τῇ πρὸς Πῶρόν τε καὶ τοὺς ἐπέκεινα τοῦ Ὑδάσπου ποτα-
C μοῦ Ἰνδοὺς Ἀλεξάνδρῳ ἐγένετο, ἐπ' ἄρχοντος Ἀθηναί-
οις Ἡγεμόνος, μηνὸς Μουνυχιῶνος. ἵνα δὲ ἡ μάχη ξυνέ-
βη, καὶ ἔνθεν ὁρμηθεὶς ἐπέρασε τὸν Ὑδάσπην ποτα-
μὸν, πόλεις ἔκτισεν Ἀλέξανδρος. καὶ τὴν μὲν, Νίκαιαν,
τῆς νίκης τῆς κατ' Ἰνδῶν ἐπώνυμον ὠνόμασε· τὴν δὲ,
Βουκεφάλαν, ἐς τοῦ ἵππου τοῦ Βουκεφάλου τὴν μνή-
μην, ὃς ἀπέθανεν αὐτοῦ, οὐ βληθεὶς πρὸς οὐδενὸς ἀλλ'
ὑπὸ καύματός τε καὶ ἡλικίας. ἦν γὰρ ἀμφὶ τὰ τριάκον-
τα ἔτη, καματηρὸς γενόμενος. πολλὰ δὲ πρόσθεν ξυγ-
καμών τε καὶ συγκινδυνεύσας Ἀλεξάνδρῳ, ἀναβαινό-
D μενός τε πρὸς μόνου Ἀλεξάνδρου ὁ Βουκέφαλος οὗ-
τος, ὅτι τοὺς ἄλλους πάντας ἀπηξίου ἀμβάτας, καὶ με-
γέθει μέγας καὶ τῷ θυμῷ γενναῖος. σημεῖον δὲ οἱ ἦν βοὸς
κεφαλὴ ἐγκεχαραγμένη, ἐφ' ὅτῳ καὶ τὸ ὄνομα τοῦτο
λέγουσιν ὅτι ἔφερεν. οἱ δὲ λέγουσιν ὅτι λευκὸν σῆμα εἶ-
χεν ἐπὶ τῆς κεφαλῆς, μέλας ὢν αὐτὸς, ἐς βοὸς κεφα-
λὴν μάλιστα εἰκασμένον. οὗτος ὁ ἵππος ἐν τῇ Οὐξί-
ων χώρᾳ ἀφανὴς ἐγένετο Ἀλεξάνδρῳ, καὶ Ἀλέξανδρος
προεκήρυξεν ἀνὰ τὴν χώραν πάντας ἀποκτενεῖν Οὐ-
ξίους, εἰ μὴ ἀπάξωσιν αὐτῷ τὸν ἵππον· καὶ ἀπήχθη εὐ-
E θὺς ἐπὶ τῷ κηρύγματι· τοσήδε μὲν σπουδὴ Ἀλεξάν-
δρῳ ἀμφ' αὐτὸν ἦν, τόσος δὲ Ἀλεξάνδρου φόβος τοῖς
βαρβάροις. καὶ ἐμοὶ ἐς τοσόνδε τετιμήσθω ὁ Βουκέφα-
λος οὗτος Ἀλεξάνδρου ἕνεκα. Ἀλέξανδρος δὲ ἐπει-
δὴ οἱ ἀποθανόντες ἐν τῇ μάχῃ κεκόσμηντο τῷ πρέ-
ποντι κόσμῳ, ὁ δὲ τοῖς θεοῖς τὰ νομιζόμενα ἐπινίκια
ἔθυε, καὶ ἀγὼν ἐποιεῖτο αὐτῷ γυμνικὸς καὶ ἱππικὸς
αὐτοῦ ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου, ἵνα περ τὸ πρῶτον διέ-
βη ἅμα τῷ στρατῷ, Κρατερὸν μὲν δὴ ξὺν μέρει τῆς στρα-
F τιᾶς ὑπελείπετο, τὰς πόλεις ἅστινας ταύτῃ ἔκτιζεν ἀ-
ναστήσοντά τε καὶ ἐκτειχιοῦντα· αὐτὸς δὲ ἤλαυνεν ὡς ἐ-
πὶ τοὺς προσχώρους τῇ τοῦ Πώρου ἀρχῇ Ἰνδούς· ὄνομα
δὲ ἦν τῷ ἔθνει Γλαυκανῖκαι, ὡς λέγει Ἀριστόβουλος· ὡς
δὲ Πτολεμαῖος, Γλαῦσαι. ὁποτέρως δὲ ἔχει τὸ ὄνομα οὔ
μοι μέλλει. ἐπῄει δὲ τὴν χώραν αὐτῶν Ἀλέξανδρος, τῶν
τε ἑταίρων ἱππέων ἔχων τοὺς ἡμίσεας, καὶ τῶν πεζῶν ἀ-
πὸ φάλαγγος ἑκάστης ἐπιλέκτους, καὶ τοὺς ἱπποτοξό-
τας ξύμπαντας, καὶ τοὺς Ἀγριᾶνας, καὶ τοὺς τοξότας, καὶ

προσεχώρησαν αὐτῷ ὁμολογίᾳ πάντες. καὶ ἔλαβε πόλεις μὲν ἐς τριάκοντα καὶ ἑπτά· ὧν ἵνα ὀλιγιστοὶ ἦσαν οἰκήτορες πεντακισχιλίων οὐκ ἐλάττους ἦσαν, πολλῶν δὲ καὶ ὑπὲρ τοὺς μυρίους. καὶ κώμας πλήθει τε πολλὰς ἔλαβε, καὶ πολυανθρώποις οὐ μεῖον τῶν πόλεων. καὶ ταύτης τῆς χώρας Πώρῳ ἄρχειν ἔδωκε· καὶ Ταξίλῃ δὲ διαλλάττει Πῶρον, καὶ Ταξίλην ἀποπέμπει ὀπίσω εἰς τὰ ἤθη τὰ αὐτοῦ. Ἐν τούτῳ δὲ παρά τε Ἀβισσάρου πρέσβεις ἧκον, ἐνδιδόντες αὐτόν τε Ἀλεξάνδρῳ Ἀβισσάρην καὶ τὴν χώραν ὅσης ἦρχε. καίτοι πρό γε τῆς μάχης τῆς πρὸς Πῶρον γινομένης Ἀλεξάνδρῳ, ἐπενόει Ἀβισσάρης καὶ αὐτὸς ξὺν Πώρῳ τάσσεσθαι. τότε δὲ καὶ τὸν ἀδελφὸν τὸν αὐτοῦ ξὺν τοῖς ἄλλοις πρέσβεσι παρ' Ἀλέξανδρον ἔπεμψε, χρήματά τε κομίζοντα, καὶ ἐλέφαντας τεσσαράκοντα, δῶρον Ἀλεξάνδρῳ. ἧκον δὲ παρὰ τῶν αὐτονόμων Ἰνδῶν πρέσβεις παρ' Ἀλέξανδρον, καὶ παρὰ Πώρου ἄλλου τοῦ ὑπάρχοντος Ἰνδῶν. Ἀλέξανδρος δὲ διὰ τάχους Ἀβισσάρην ἰέναι παρ' αὐτὸν κελεύει, ἐπαπειλήσας εἰ μὴ ἔλθοι ὅτι αὐτὸν ὄψεται ἥκοντα ξὺν τῇ στρατιᾷ, ἵνα οὐ χαιρήσῃ ἰδών. ἐν τούτῳ δὲ Φραταφέρνης τε ὁ Παρθυαίων καὶ Ὑρκανίας σατράπης, τοὺς καταλειφθέντας παρὰ οἱ Θρᾷκας ἄγων, ἧκεν ὡς Ἀλέξανδρον· καὶ παρὰ Σισικόττου τοῦ Ἀσσακηνῶν σατράπου ἄγγελοι, ὅτι τόν τε ὕπαρχον σφῶν καὶ ἀπεκτονότες εἶεν οἱ Ἀσσακηνοί, καὶ ἀπ' Ἀλεξάνδρου ἀφεστηκότες. καὶ ἐπὶ τούτους Φίλιππον ἐκπέμπει καὶ Τυρίεσπιν σὺν στρατιᾷ, τὰ περὶ τὴν Ἀσσακηνῶν χώραν καταστησομένους καὶ κοσμήσοντας. αὐτὸς δὲ ὡς ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν προυχώρει. Τούτου τοῦ Ἀκεσίνου τὸ μέγεθος μόνου τῶν Ἰνδῶν ποταμῶν Πτολεμαῖος ὁ Λάγου ἀνέγραψεν. εἶναι γὰρ ἵνα ἐπέρασεν Ἀλέξανδρος αὐτὸν ἐπὶ τῶν πλοίων τε καὶ τῶν διφθερῶν ξὺν τῇ στρατιᾷ, τὸ μὲν ῥεῦμα ὀξὺ τοῦ Ἀκεσίνου, πέτραις μεγάλαις καὶ ὀξείαις, καθ' ὧν φερόμενον βίᾳ τὸ ὕδωρ κυμαίνεσθαί τε καὶ καχλάζειν. τὸ δὲ εὖρος σταδίους ἐπέχειν πεντεκαίδεκα. καὶ τοῖς μὲν δὴ ἐπὶ τῶν διφθερῶν περῶσιν εὐμαρῆ γενέσθαι τὸν πόρον· τοὺς δὲ ἐν τοῖς πλοίοις διαβαίνουσιν, ἐποκειλάντων πολλῶν πλοίων ἐπὶ τὰς πέτρας καὶ συναρραχθέντων, οὐκ ὀλίγους αὐτοῦ ἐν τῷ ὕδατι διαφθαρῆναι. ἔστιν οὖν ἐκ τοῦδε τοῦ λόγου ξυλλογιζόμενον τεκμηριοῦσθαι, ὅτι οὐ πόρρω τοῦ ἀληθοῦς ἀναγέγραπται τοῦ Ἰνδοῦ ποταμοῦ τὸ μέγεθος, ὅσοις ἐς τεσσαράκοντα σταδίους δοκεῖ τοῦ Ἰνδοῦ εἶναι τὸ εὖρος, ἵνα μέσως ἔχει αὐτὸς αὑτοῦ ὁ Ἰνδός· ἵνα δὲ στενώτατός τε καὶ διὰ στενότητα βαθύτατος, ἐς τοὺς πεντεκαίδεκα ξυνάγεσθαι. καὶ ταῦτα πολλαχῇ εἶναι τοῦ Ἰνδοῦ. καὶ γὰρ καὶ τοῦ Ἀκεσίνου τεκμαίρομαι ἐπιλέξασθαι Ἀλέξανδρον, ἵνα περ τὸ πλατύτατον ἦν τοῦ πόρου, ὡς σχολαιτέρῳ χρήσασθαι τῷ ῥεύματι. περάσας δὲ τὸν ποταμόν, Κοῖνον μὲν ξὺν τῇ αὑτοῦ τάξει ἀπολείπει αὐτοῦ ἐπὶ τῇ ὄχθῃ, προστάξας ἐπιμελεῖσθαι τῆς ὑπολελειμμένης στρατιᾶς τῆς διαβάσεως, οἳ τόν τε σῖτον αὐτῷ τὸν ἐκ τῆς ἤδη ὑπηκόου τῶν Ἰνδῶν χώρας καὶ τὰ ἄλλα ἐπιτήδεια παρακομίζειν ἔμελλον. Πῶρον δὲ ἐς τὰ αὑτοῦ ἤθη ἀποπέμπει, κελεύσας Ἰνδῶν τε τοὺς μαχιμωτάτους ἐπιλεξάμενον, καὶ εἴ τινας παρ' αὐτῷ ἔχοι ἐλέφαντας, τούτους δὲ ἀναλαβόντα ἰέναι παρ' αὐτόν. αὐτὸς δὲ Πῶρον τὸν ἕτερον τὸν κακόν, ὅτι

A nos prætereà & ſagittarios. Vrbes itaque XXXVII deditione recepit, quarum quæ minima erat, non minus V M incolarum habebat: multæ verò etiam X M. pagorũ quoque magnum numerũ cepit, atque eos quidem non minus quàm vrbes ipſas incolarũ frequentia celebres. totius verò huiuſce regionis imperium Poro dedit. Taxilem etiã Poro conciliatum in ſuum regnum mittit. Per id tempus legati ab Abiſſare venerunt, Abiſſarem ipſum totámque eius regionem dedentes. Porro ante pugnam cum Poro
B commiſſam ſtatuerat Abiſſares copias ſuas cum Porõ coniungere. tum verò fratrem ſuum alióſque legatos ad Alexandrum cum pecuniis & elephantis XL miſit. Venerunt etiam legati ab Indis qui liberè ſuis legibus vtentes viuunt, & à Poro alio Indorum præfecto. Alexander confeſtim Abiſſarem ad ſe venire iubet, minatus niſi pareret ſe cum exercitu magno eius malo eò iturum. Dũm hęc gerũtur, Phrataphernes Parthorum atque Hyrcaniæ ſatrapa cum Thracibus ſibi
C comm iſſis ad Alexandrum venit. & nuntij à Siſico Aſſacenorum ſatrapa, Aſſacenos interfecto præſide ab Alexandro defeciſſe nunciantes. Aduerſus hos Philippum & Tyrieſpem cum exercitu mittit, qui Aſſacenorum motus compeſcant & prouinciam regant. Ipſe ad Aceſinem amnem mouit. Huius amnis ſolius ex Indiæ fluminibus magnitudinem Ptolemæus Lagi filius deſcripſit. eſſe enim, ea parte qua Alexander eum nauigiis & pellibus cum exercitu
D tranſmiſit, rapidum Aceſinis curſum, magnis aſperiſque cautibus interiectis, quibus illiſæ ac repercuſſæ vndæ ingentes æſtus vorticéſque concitent. latitudinem verò eſſe quindecim ſtadiorum. Atque iis quidem qui vtribus tranſportati ſunt facilem traiectum fuiſſe: eorum verò qui nauibus tranſuecti ſunt, quum pleræque cautibus illiſæ rumperentur, non paucos in amne periiſſe. Ex quibus verbis facilè quis colligere queat, non multum à vero abhorrere quod de Indi amnis magnitudine ſcri-
E ptum eſt ab iis qui Indi latitudinem XL ſtadiorum eſſe ſtatuunt vbi latiſſimus is eſt: vbi vero anguſtiſſimus & ob anguſtiã profundiſſimus, in XV ſtadia contrahi. atque hanc quidem ferè eſſe Indi fluminis pleriſque in locis latitudinem. Atqui exiſtimauerim Alexandrum ad traiiciendum Aceſinem amnem eam partem delegiſſe qua maximè amplus eius curſus eáque de cauſa minus rapidus eſſet. Tranſmiſſo itaque flumine, Cœnum cum ſuis copiis ad ripam relinquit, qui reliqui exercitus tranſitum cu-
F raret, qui & frumentum & alia neceſſaria ex regione Indorum quæ ei parebat allaturi erant. Porum in regnum ſuum remittit, mandatis additis, vt lectiſſimis Indorum qui bellicoſiſſimi haberentur copiis, & elephantis (ſi quos haberet) collectis ad ſe veniret. Ipſe verò alium illum Porum hominem malum, qui deſerta prouincia cui præerat fugiſſe nuntiabatur, cum expedi-

Curt. Abiaſares, qui priuſ quàm cum Poro dimicaretur legatos ad Alexandrum miſerat, iuſſus alios miſit; pollicentes omnia ſe facturum quæ imperaſſet, modò ne cogeret corpus ſuũ dedere.

Vet. cod. ἀμείνω.

tiſsimo milite inſequi ſtatuit. Porus enim hic, quamdiu Alexander cum alio Poro bellum gerebat, legationes ad Alexandrum mittens ſe pariter & regionem cui imperabat Alexandro dedebat, magis odio Pori quàm amore Alexandri motus. quum autem Porum ad Alexandrum veniſſe, & regnum ſuum idque multo auctius ei reſtitutum eſſe cognouit, non tam Alexandri quàm Pori, qui eiuſdem cũ ipſo nominis erat, metu è regno ſuo aufugit, omnibus iis qui bello apti eſſent, (quibus quidem perſuadere potuit vt fugæ comites eſſent) ſecum ſumtis. In hunc profectus Alexander ad Hydraotem alium Indiæ fluuium peruenit, latitudine quidem Aceſine nihilo minorem, curſus verò rapiditate inferiorem. & per omnem regionem præſidia idoneis locis poſuit, vt Craterus & Cœnus tutò ad ſe peruenirent, frumento per maximam regionis partem direpto. Deinde Hephæſtioni partem exercitus committens, peditum ſcilicet phalanges duas: ex equitibus, Demetrij agmen ad ſuum adiungens, & ſagittariorum dimidiam partem, cum in Pori illius qui aufugerat regionem mittit, eámque vt alteri Poro tradat iubet. & ſiquæ aliæ ad ripam Hydraotis fluuij gentes Indorum eſſent liberè ſuis legibus viuentes, earum omnium gubernationẽ Poro det. Ipſe Hydraotem fluuium non ita difficulter atque Aceſinem traiecit. dehinc vltra ripam Hydraotis progreſſus, pleroſque deditione recepit: nõnullos etiam cum armis occurrentes, alios verò fugientes captos vi ſubegit. Inter hæc Alexandro nuntiatur alios quoſdam Indos liberos & Cathæos paratos eſſe, ſi eò exercitum duceret, pugnã experiri, reliquóſque finitimos etiam liberè viuentes ad ſocietatem ſolicitare. vrbem verò ad quam confligere ſtatuiſſent (nomine Sangala) munitam eſſe. Cathæi quoque ſtrenui in primis reíque bellicæ peritiſsimi habebãtur. Cum his conſpiraſſe Oxydracas aliam Indorum gentem, & Mallos aliam ab his diuerſam: aduerſus quos paulo antè & Abiſſares & Porus coniunctis copiis, ac multis Indorũ in ſocietatem adſcitis, profecti, quum nihil tanto belli apparatu dignum geſsiſſent, receſſerant. Hæc vt Alexandro nuntiata ſunt, confeſtim in Cathæos contendit, & ſecundis caſtris ab Hydraote fluuio ad vrbem peruenit cui Pimprama nomen eſt. Ea Indorum gens Adraiſtæ vocabantur. ij ſtatim pactionibus deditionem fecerunt. Alexander poſtero die militibus ad quietẽ dato, tertio die Sangala profectus eſt, vbi & Cathæi aliíque his finitimi qui ſeſe iis coniunxerãt, ante vrbem in colle non omnino arduo inſtructa acie ſtabant. Hunc collem triplici in orbem ordine curribus diſpoſitis munierant, caſtris in medio locatis. Alexander naturam loci hoſtiúmque multitudinem contemplatus, vbi commodiſsimum viſum eſt caſtra poſuit, & ſagittarios equeſtres continuò qui eos telis laceſſant emittit, vtque adequitent iubet,

Vet. cod. ἐγχωδὴν ἐλαύνων.

Al. Ἰνδὸν.

Cur. Barbari vehiculis inter ſe iunctis dimicaturi occurrerunt.

A ἐξηγγέλθη πεφευγέναι ἀπολιπὼν τὴν χώραν ἧς ἦρχεν, ἐπενόει διώκειν σὺν τοῖς κουφοτάτοις τῆς στρατιᾶς. ὁ γὰρ Πῶρος οὗτος, ἔστε μὲν πολέμια ξυνειστήκει Ἀλεξάνδρῳ τε καὶ πρὸς τὸν ἄλλον Πῶρον, πρέσβεις πρὸς Ἀλέξανδρον πέμπων, αὑτόν τε καὶ τὴν ὑπὸ οἷ χώραν ἐνεδίδου Ἀλεξάνδρῳ, κατὰ ἔχθος τὸ Πώρου μᾶλλον ἢ φιλίᾳ τῇ Ἀλεξάνδρου. ὡς δὲ ἀφιγμένον τε ἐκεῖνον, καὶ πρὸς τῇ αὑτοῦ καὶ ἄλλης πολλῆς ἄρχοντα ἔμαθε, τότε δὴ φοβηθεὶς, οὐχ οὕτω τι Ἀλέξανδρον αὐτὸν ὡς τὸν Πῶρον ἐκεῖνον τὸν αὐτοῦ ὁμώνυμον, φεύγει τὴν ἑαυτοῦ, ἀναλαβὼν B ὅσους τῶν μαχίμων ξυμπεῖσαι ἐδυνήθη μετασχεῖν οἱ τῆς φυγῆς. ἐπὶ τοῦτον ἐλαύνων Ἀλέξανδρος καὶ ἀφικνεῖται ἐπὶ τὸν Ὑδραώτην ποταμὸν ἄλλον αὖ τοῦτον Ἰνδὸν ποταμὸν, τὸ μὲν εὖρος οὐ μείονα τοῦ Ἀκεσίνου, ὀξύτητι δὲ τοῦ ῥοῦ μείονα· ὅσην δὲ τῆς χώρας ἔστι ἐπὶ τὸν Ὑδραώτην ἐπῆλθε, φυλακὰς ὑπέλιπεν ἐν τοῖς ἐπικαιροτάτοις χωρίοις, ὅπως οἱ ἀμφὶ Κρατερόν τε καὶ Κοῖνον διὰ ἀσφαλείας ἐπέρχοιντο, τῆς χώρας τὴν πολλὴν προνομεύοντες. ἐνταῦθα Ἡφαιστίωνα μὲν ἐκπέμπει, δοὺς αὐτῷ μέρος τῆς στρατιᾶς, πεζῶν μὲν φάλαγγας δύο, ἱππέων δὲ τήν τε αὑτοῦ καὶ τὴν Δημητρίου ἱππαρ- C χίαν, καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, ἐς τὴν Πώρου τοῦ ἀφεστηκότος χώραν, κελεύσας παραδιδόναι ταύτην Πώρῳ τῷ ἄλλῳ, καὶ εἰ δή τινα πρὸς ταῖς ὄχθαις τοῦ Ὑδραώτου ποταμοῦ αὐτόνομα ἔθνη Ἰνδῶν νέμεται, καὶ ταῦτα προσαγαγόμενον τῷ Πώρῳ ἀρχὴν ἐγχειρίσαι. αὐτὸς δὲ ἐπέρα τὸν Ὑδραώτην ποταμὸν, οὐ καθάπερ τὸν Ἀκεσίνην χαλεπῶς. προχωροῦντι δὲ αὐτῷ ἐπέκεινα τῆς ὄχθης τοῦ Ὑδραώτου, τοὺς μὲν πολλοὺς καθ' ὁμολογίαν προσχωρεῖν ξυνέβαινεν. ἤδη δέ τινας ξὺν ὅπλοις ἀπαντήσαντας, τοὺς δὲ καὶ ὑποφεύγοντας ἑλὼν βίᾳ D κατεστρέψατο. ἐν τούτῳ δὲ ἐξαγγέλλεται Ἀλεξάνδρῳ, τῶν αὐτονόμων Ἰνδῶν ἄλλους τέ τινας, καὶ τοὺς καλουμένους Καθαίους αὐτούς τε παρασκευάζεσθαι ὡς πρὸς μάχην, εἰ προσάγοι τῇ χώρᾳ αὐτῶν Ἀλέξανδρος, καὶ ὅσα ὅμορα σφίσιν ὡσαύτως αὐτόνομα, καὶ ταῦτα παρακαλεῖν ἐς τὸ ἔργον. εἶναι δὲ τήν τε πόλιν ὀχυρὰν πρὸς ἣν ἐπινόουν ἀγωνίσασθαι· Σάγγαλα ἦν τῇ πόλει ὄνομα. καὶ αὐτοὶ οἱ Καθαῖοι εὐτολμότατοί τε καὶ τὰ πολέμια κράτιστοι ἐνομίζοντο· καὶ τούτοις κατὰ τὰ αὐτὰ Ὀξυδράκαι ἄλλο Ἰνδῶν ἔθνος· καὶ Μαλλοὶ, ἄλλο καὶ τοῦτο. E ἐπεὶ καὶ ὀλίγῳ πρόσθεν στρατεύσαντας ἐπ' αὐτοὺς Πῶρόν τε καὶ Ἀβισάρην ξύν τε τῇ σφετέρᾳ δυνάμει, καὶ πολλὰ ἄλλα ἔθνη τῶν αὐτονόμων Ἰνδῶν ἀναστήσαντας, οὐδὲν πράξαντας τῆς παρασκευῆς ἄξιον ξυνέβη ἀπελθεῖν. ταῦθ' ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, σπουδῇ ἤλαυνεν ὡς ἐπὶ τοὺς Καθαίους. καὶ δευτεραῖος μὲν ἀπὸ τοῦ ποταμοῦ τοῦ Ὑδραώτου πρὸς πόλιν ἧκεν ᾗ ὄνομα Πίμπραμα· τὸ δὲ ἔθνος τοῦτο τῶν Ἰνδῶν Ἀδραϊσταὶ ἐκαλοῦντο. οὗτοι μὲν δὴ προσεχώρησαν ὁμολογίᾳ Ἀλεξάνδρῳ. καὶ Ἀλέξανδρος ἀναπαύσας τῇ ὑστεραίᾳ τὴν F στρατιὰν, τῇ τρίτῃ προὐχώρει ἐπὶ τὰ Σάγγαλα, ἵνα οἱ Καθαῖοί τε καὶ οἱ ἄλλοι πρόσχωροι αὐτοῖς ξυνεληλυθότες πρὸ τῆς πόλεως παρατεταγμένοι ἦσαν ἐπὶ γηλόφου οὐ πάντῃ ἀποτόμου· κύκλῳ δὲ τοῦ γηλόφου ἁμάξας περιστήσαντες, ἐντὸς αὐτῶν ἐστρατοπέδευον, ὡς τριπλοῦν χάρακα προβεβλῆσθαι τῶν ἁμαξῶν. Ἀλέξανδρος δὲ τό, τε πλῆθος κατιδὼν τῶν βαρβάρων, καὶ τοῦ χωρίου τὴν φύσιν, ὡς μάλιστα πρὸς τὰ παρόντα ἐν καιρῷ οἱ ἐφαίνετο παρετάσσετο. καὶ τοὺς μὲν ἱπποτοξότας εὐθὺς, ὡς εἶχεν, ἐκπέμπει ἐπ' αὐτοὺς ἀκροβολίζεσθαι, κελεύσας παριππεύειν

A ταῖς, ὡς μήτε ἐκ δρόμου ἵνα ποιήσασθαι τοὺς Ἰνδοὺς, πρὶν ξυνταχθῆναι αὐτῷ τὴν στρατιάν, καὶ ὡς καταπλήξεις γίγνεσθαι αὐτοῖς καὶ πρὸ τῆς μάχης ἐντὸς τοῦ ὀχυρώματος. αὐτὸς δὲ ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως τῶν ἱππέων τὸ ἄγημα κατέστησε, καὶ τὴν Κλείτου ἱππαρχίαν· ἐχομένους δὲ τούτων τοὺς ὑπασπιστάς, καὶ ἐπὶ τούτοις τοὺς Ἀγριᾶνας. κατὰ δὲ τὸ εὐώνυμον Περδίκκας τε αὐτῷ ἐτέτακτο, τήν τε αὑτοῦ ἔχων ἱππαρχίαν, καὶ τὰς τῶν Ἀσεταίρων τάξεις. ἐπὶ κέρως δὲ ἑκατέρου οἱ τοξόται αὐτῷ δίχα διακριθέντες ἐτετάχθησαν. ἐκτάσσοντι δὲ αὐτῷ παρεγένοντο καὶ οἱ ἀπὸ τῆς ὀπισθοφυλακίας B πεζοί τε καὶ ἱππεῖς· καὶ τούτων τοὺς μὲν ἱππέας ἐπὶ τὰ κέρατα διελὼν παρήγαγεν· ἀπὸ δὲ τῶν πεζῶν τῶν προσγενομένων πυκνοτέραν τὴν ξύγκλεισιν τῆς φάλαγγος ποιήσας, αὐτὸς ἀναλαβὼν τὴν ἵππον τὴν ἐπὶ τοῦ δεξιοῦ τεταγμένην, παρήγαγεν ἐπὶ τὰς κατὰ τὸ εὐώνυμον τῶν Ἰνδῶν ἁμάξας. ταύτῃ γὰρ εὐπροσοδώτερον αὐτῷ ἐφαίνετο τὸ χωρίον, καὶ οὐ πυκναὶ ὡσαύτως αἱ ἅμαξαι ἐφεστήκεσαν. ὡς δὲ ἐπὶ τὴν ἵππον προσαγαγοῦσαν οὐκ ἐξέδραμον οἱ Ἰνδοὶ ἔξω τῶν ἁμαξῶν, ἀλλ' ἐπιβεβηκότες αὐτῶν ἐφ' ὑψηλοῦ C ἠκροβολίζοντο, γνοὺς Ἀλέξανδρος ὅτι οὐκ εἴη τῶν ἱππέων τὸ ἔργον, καταπηδήσας ἀπὸ τοῦ ἵππου, πεζὸς ἐπῆγε τῶν πεζῶν τὴν φάλαγγα. καὶ ἀπὸ μὲν τῶν πρώτων ἁμαξῶν οὐ χαλεπῶς ἐβιάσαντο οἱ Μακεδόνες τοὺς Ἰνδούς· πρὸ δὲ τῶν δευτέρων οἱ Ἰνδοὶ παραταξάμενοι ῥᾷον ἀπεμάχοντο· οἷα δὴ πυκνότεροί τε ἐφεστηκότες ἐλάττονι τῷ κύκλῳ, καὶ τῶν Μακεδόνων οὐ κατ' εὐρυχωρίαν ὡσαύτως προσαγόντων σφίσιν, ἐν ᾧ τάς τε πρώτας ἁμάξας ὑπεξῆγον, καὶ κατὰ τὰ διαλείμματα αὐτῶν, ὡς ἑκάστοις προὐχώρει, ἀτάκτως D προσέβαλλον· ἀλλὰ καὶ ἀπὸ τούτων ὅμως ἐξώσθησαν οἱ Ἰνδοὶ βιασθέντες ὑπὸ τῆς φάλαγγος· οἱ δὲ οὐκέτι ἀνέμενον, ἀλλ' ὡς τάχους εἶχον φυγῇ εἰς τὴν πόλιν κατεκλείσθησαν. καὶ Ἀλέξανδρος ταύτην μὲν τὴν ἡμέραν περιστρατοπεδεύει τοῖς πεζοῖς τὴν πόλιν, ὅσα γε ἠδυνήθη αὐτῷ περιβαλεῖν ἡ φάλαγξ· ἐπὶ πολὺ γὰρ ἐπέχον τὸ τεῖχος τῷ στρατοπέδῳ κυκλώσασθαι οὐ δυνατὸς ἐγένετο. κατὰ δὲ τὰ διαλείποντα αὐτοῦ, ἵνα καὶ λίμνη οὐ μακρὰν τοῦ τείχους ἦν, τοὺς ἱππέας ἐπέταξεν ἐν κύκλῳ τῆς λίμνης, γνοὺς οὐ βαθεῖαν οὖσαν E τὴν λίμνην· καὶ ἅμα εἰκάσας, ὅτι φοβεροὶ γενόμενοι Ἰνδοὶ ἀπὸ τῆς προτέρας ἥττης ἀπολείψουσι τῆς νυκτὸς τὴν πόλιν· καὶ ξυνέβη οὕτως ὅπως εἴκαστο. ἀμφὶ γὰρ δευτέραν φυλακὴν ἐκπίπτοντες ἐκ τοῦ τείχους οἱ πολλοὶ αὐτῶν, ἐνέκυρσαν ταῖς προφυλακαῖς τῶν ἱππέων. καὶ οἱ μὲν πρῶτοι αὐτῶν κατεκόπησαν πρὸς τῶν ἱππέων· οἱ δὲ ἐπὶ τούτοις αἰσθόμενοι ὅτι φυλάσσεται ἐν κύκλῳ λίμνη, ἐς τὴν πόλιν αὖθις ἀνεχώρησαν. Ἀλέξανδρος δὲ χάρακί τε διπλῷ περιβάλλει, ἵνα περ μὴ εἶργεν ἡ λίμνη τὴν πόλιν· καὶ φυλακὰς ἐν F κύκλῳ τῆς λίμνης ἀκριβεστέρας κατέστησεν. αὐτὸς δὲ μηχανὰς προσάγειν τῷ τείχει ἐπενόει, ὡς κατασείειν τὸ τεῖχος. αὐτομολήσαντες δὲ αὐτῷ τῶν ἐκ τῆς πόλεώς τινες, φράζουσιν ὅτι ἐν νῷ ἔχοιεν αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐκπίπτειν ἐκ τῆς πόλεως οἱ Ἰνδοὶ κατὰ τὴν λίμνην, ἵναπερ τὸ ἐκλιπὲς ἦν τοῦ χάρακος. ὁ δὲ Πτολεμαῖον τὸν Λάγου ἐπιτάττει ἐνταῦθα, τῶν τε ὑπασπιστῶν αὐτῷ δοὺς χιλιαρχίας τρεῖς, καὶ τοὺς Ἀγριᾶνας

ne nimirum Indi nondum ſatis inſtructa Macedonum acie excurſionem aliquam faciant, vtque Indis intra ipſa munimenta conſiſtentibus terror incuteretur. Dehinc equitum agmen ad dextrum cornu conſtituit, quibus Cliti equitum præfecturam adiunxit. proximos his argyraſpidas locat, mox Agrianos. ad ſiniſtrum cornu Perdiccam ſtatuit, cui ad ſuam equitum præfecturam eorum etiam qui Aſſeteri vocantur agmina adiunxit. Ad vtriuſque cornu latera ſagittarios in duas partes diuiſos collocat. Ad læuā Perdiccam conſtituit, ſua equeſtri præfectura & Aſſeterorū agminibus inſtructum, ſagittariis in vtrunque cornu diuiſis. Alexandro ita aciem inſtruente, pedites atque equites qui nouiſſimo agmini præſidio erant aduenirūt, atque ex his quidem equites cornibus admouit: ex peditibus verò qui acceſſerant, phalangis ſtructura confertiore effecta, ipſe aſſumto equitatu quem ad dextram ſtatuerat, in currus Indorum ad læuam ſitos duxit. Hac enim facilior ad collem aditus fore videbatur, neque ita denſus erat ex hac parte curruum ordo. Poſtquam verò Indi aduerſus equitatum extra munimenta non procurrerent, ſed conſcenſis curribus tela ex editiore loco torquerent, equitatum parum idoneum ad hanc rem ratus, deſiliens ex equo pedes ipſe peditum phalangem in eos duxit. Atqui à prima curruum ſerie non difficulter Indi à Macedonibus ſunt repulſi, ad ſecundū verò ordinem conferti facilius ſeſe tuebantur, quippe quòd & denſiores in orbem curribus circumfuſi ſtarent, & Macedones non ita ſpatioſo loco in eos ferrentur. Interea tamen primos currus ſubmouerunt, & per illorum interſtitia, prout quiſque poterat, inordinatè irruperunt. Cæterùm iis etiam curribus Indi à phalange depulſi ſunt, quúmque diutius impetum ferre non poſſent, fuga quàm celerrima potuerunt ſeſe in vrbem receperunt: quibus ea concluſis, Alexander eo ipſo die peditum copiis (quatenus phalanx ſufficiebat) oppidum obſedit. Murus enim in circuitu amplior erat, quàm vt ab exercitu totus in orbem cingi poſſet. vacuis verò peditatu locis (vbi & ſtagnū quoddam non procul à muris ſitum erat) equitatum circumduxit, ſciens ſtagnum id parum profundum eſſe, ſimúlque facilè coniiciens, Indos cladis acceptæ metu perculſos noctu vrbem deſerturos. quod quidem ita vt cogitarat euenit. Nam circiter ſecundam noctis vigiliam plerique eorum vrbe elapſi, in equitum procubias inciderunt: quorū quidem primi ab equitibus cæſi ſunt: alij hos ſecuti quum ſtagnum equitatu circumſeſſum eſſe ſenſiſſent, rurſus in vrbem ſeſe receperūt. Alexāder vrbē (ea parte qua ſtagnū impediebat excepta) duplici vallo in orbē cingit, & accuratiores ad circuitū ſtagni cuſtodias locat. ipſe tormenta muris admouere eóſque quatere ſtatuit. quū transfugæ quidā ex vrbe ad eū venientes nuntiarūt Indos ea nocte ex vrbe ſeſe ſubducere cōſtituiſſe, ea parte qua vallū deſinebat. Alexāder Ptolemęū Lagi f. eo loco ſtatuit, argyraſpidum tria millia ei

Fort. ἐνα...

adiungẽs, Agrianos omnes, vnámq; ſagittariorum agmen, oſtenſo loco qua veriſimile erat barbaros erupturos: mandatis additis, vt ſimulac eos eruptionem tentantes ſenſiſſet, ipſe cum exercitu tranſitu prohibeat: tubicini vt ſignum tuba dare iubeat. ducibus etiam imperat, vt ſtatim audito ſigno cũ ſuis quiſque copiis, quò tuba vocauerit aduolẽt. Se quoque pugnę non defuturum promittit. Atque hæc quidem Alexander quum imperaſſet, Ptolemæus multis curribus qui in prima illã fuga relicti fuerãt collectis, tranſuerſos eos in via diſponit, vt a fugientibus per noctem cerni non poſſent. valiúmque inter muros & ſtagnum, reſciſſum neque ad huc ſatis firmum, perfici iubet. quod quidẽ ea nocte à militibus confectum eſt. Barbari ſub quartam noctis vigiliam, quemadmodũ Alexandro ſignificatum fuerat, effuſi portis quæ ad ſtagnum vergebant, curſim eo ferebantur. ſed neque procubias, neque Ptolemæum qui eo loci conſederat latere potuerunt. In hoc rerum ſtatu tubicines ſignum dant. quo audito ipſe cum exercitu armato atque in ordinem redacto in barbaros contendit. At verò currus & vallum loco inter ſtagnum medio ductum, magno barbaris impedimento erãt. Quum verò ad tubę ſonitum Ptolemæi copiæ acriter in eos ferrentur, magnámq; eorum qui procurrẽtes in currus impingebant ſtragem ederent, rurſus in vrbẽ confugiunt: quingenti barbari in ea fuga cæſi. Interea Porus aduenit reliquos elephantos adducẽs, & Indorũ V M. Iámq; & machinæ Alexãdro cõfectæ erãt & muris admouebantur. Macedones mœnibus nondum quaſſatis, ſed lateritio muro ſuffoſſo ſcaliſque omni ex parte admotis vrbem vi capiunt. In eius vrbis expugnatione XVII M. Indorum trucidata ſunt: capti ſupra LXX M. currus CCC. equites D. De Alexandri exercitu circiter centum in vniuerſa obſidione deſiderati. vulneratorum maior quàm cæſorum numerus fuit. mille enim circiter & quingenti hi fuerunt. in his, cùm alij duces tum Lyſimachus corporis cuſtos. Poſthæc Alexander cæſis patrio more ſepultis, Eumenem ſcribam ad duas vrbes quæ vnà cum Sangalis defecerant mittit, trecentis equitibus ei adiunctis, qui oppidanis denuntient Sangala vrbem abs ſe expugnatam. nihil verò ipſis ſiniſtri euenturum, ſi Alexandri imperium non detrectantes amicè eum excipiant, vt nec aliis Indis liberè viuentibus accidiſſet, qui voluntariam deditionem feciſſent. Sed hi iam antea de Sangalorum expugnatione certiores facti, metu perculſi deſertis vrbibus fugerant, quorum fuga cognita, Alexander acriter eos inſecutus eſt, at multi eorum fuga euaſerunt (multo enim poſtea quàm fugerant, tempore inſequi cœptum eſt) quotquot verò è fuga ob inualetudinem relicti ſunt, quingenti circiter, ab exercitu comprehenſi cæſique ſunt. Depoſita itaque ſpe aſſequendi fugientes,

ξύμπαντας, καὶ μίαν τάξιν τῶν τοξοτῶν, ἀποδείξας τὸ χωρίον ἧπερ μάλιστα εἴκαζε βιάζεσθαι τοὺς βαρβάρους. σὺ δὲ ἐπειδὰν αἴσθῃ, ἔφη, βιαζομένους ταύτῃ, αὐτὸς μὲν ξὺν τῇ στρατιᾷ εἶργε τοὺς βαρβάρους τοῦ πρόσω· τὸν δὲ σαλπιγκτὴν κέλευε σημαίνειν. ὑμεῖς δὲ (ἄνδρες ἡγεμόνες) ἐπειδὰν σημανθῇ, ξὺν τοῖς καθ᾽ αὑτοὺς ἕκαστοι ξυντεταγμένοι ἰέναι ἐπὶ τὸν θόρυβον, ἵν᾽ ἂν ἡ σάλπιγξ παραγγέλλῃ. ἀποστατήσω δὲ οὐδὲ ἐγὼ τοῦ ἔργου. ὁ μὲν ταῦτα παρήγγελλε. Πτολεμαῖος δὲ ἁμάξας τε ἐκ τῶν ἀπολελειμμένων ἐν τῇ προτέρᾳ φυγῇ ἁμαξῶν ταύτῃ ξυναγαγών, ὡς πλείστας κατέθηκεν ἐγκαρσίας, ἵνα πολλὰ ἐν νυκτὶ τὰ ἄπορα φαίνηται τοῖς φεύγουσι, καὶ τοῦ χάρακος τοῦ κεκομμένου τε καὶ οὐ καταπηχθέντος συννῆσαι ἄλλῃ καὶ ἄλλῃ ἐκέλευσεν ἐν μέσῳ τῆς τε λίμνης καὶ τοῦ τείχους. καὶ ταῦτα αὐτῷ οἱ στρατιῶται ἐν τῇ νυκτὶ ἐξειργάσαντο. ἤδη τε ἦν ἀμφὶ τετάρτην φυλακήν, καὶ οἱ βάρβαροι, καθάπερ ἐξηγγέλλετο Ἀλεξάνδρῳ, ἀνοίξαντες τὰς ὡς ἐπὶ τὴν λίμνην πύλας, δρόμῳ ἐπ᾽ αὐτὴν ἐφέροντο. οὐ μὴν ἔλαθον τὰς ταύτῃ φυλακάς, οὐδὲ Πτολεμαῖον τὸν ἐπ᾽ αὐταῖς τεταγμένον· ἀλλὰ ἐν τούτῳ οἵ τε σαλπιγκταὶ ἐσήμαινον αὐτῷ, καὶ αὐτὸς τὴν στρατιὰν ὡπλισμένην τε καὶ συντεταγμένην ἔχων ἐχώρει ἐπὶ τοὺς βαρβάρους. τοῖς δὲ αἵ τε ἅμαξαι ἐμποδὼν ἦσαν, καὶ ὁ χάραξ ἐν μέσῳ καταβεβλημένος. ὡς δὲ ἥ τε σάλπιγξ ἐφθέγξατο, καὶ οἱ ἀμφὶ Πτολεμαῖον προσέκειντο αὐτοῖς, τοὺς ἀεὶ ἐκπίπτοντας διὰ τῶν ἁμαξῶν κατακαίνοντες, ἐνταῦθα δὴ ἀποστρέφονται αὖθις ἐς τὴν πόλιν. καὶ ἀπέθανον αὐτῶν ἐν τῇ ἀποχωρήσει ἐς πεντακοσίους. ἐν τούτῳ δὲ καὶ Πῶρος ἀφίκετο, τούς τε ὑπολοίπους ἐλέφαντας ἅμα οἷ ἄγων, καὶ τῶν Ἰνδῶν ἐς πεντακισχιλίους· αἵ τε μηχαναὶ Ἀλεξάνδρῳ ξυμπεπηγμέναι ἦσαν, καὶ προσήγοντο ἤδη πρὸς τὸ τεῖχος. ἀλλὰ οἱ Μακεδόνες πρὶν καὶ κατασεισθῆναί τι τοῦ τείχους, ὑπορύττοντές τε αὐτοὶ πλίνθινον ὂν τὸ τεῖχος, καὶ τὰς κλίμακας ἐν κύκλῳ πάντῃ προσθέντες, αἱροῦσι κατὰ κράτος τὴν πόλιν. καὶ ἀποθνήσκουσι μὲν ἐν τῇ καταλήψει τῶν Ἰνδῶν ἐς μυρίους καὶ ἑπτακισχιλίους. ἑάλωσαν δὲ ὑπὲρ τὰς ἑπτὰ μυριάδας· καὶ ἅρματα τριακόσια, καὶ ἱππεῖς πεντακόσιοι. τῆς δὲ ξὺν Ἀλεξάνδρῳ στρατιᾶς ἀπέθανον μὲν ὀλίγον ἀποδέοντες τῶν ἑκατὸν ἐν τῇ πάσῃ πολιορκίᾳ. τραυματίαι δὲ οὐ κατὰ τὸ πλῆθος τῶν νεκρῶν ἐγένοντο, ἀλλ᾽ ὑπὲρ τοὺς χιλίους καὶ διακοσίους, καὶ ἐν τούτοις τῶν ἡγεμόνων ἄλλοι τε καὶ Λυσίμαχος ὁ σωματοφύλαξ. θάψας δὲ ὡς νόμος αὐτῷ τοὺς τελευτήσαντας, Εὐμενῆ τὸν γραμματέα ἐκπέμπει ἐς τὰς δύο πόλεις τὰς ξυναφεστώσας τοῖς Σαγγάλοις, δοὺς αὐτῷ τῶν ἱππέων ἐς τριακοσίους, φράσοντας τοῖς ἔχουσι τὰς πόλεις τῶν τε Σαγγάλων τὴν ἅλωσιν, καὶ ὅτι αὐτοῖς οὐδὲν ἔσται χαλεπὸν ὑπ᾽ Ἀλεξάνδρου, ὑπομένουσί τε καὶ δεχομένοις φιλίως Ἀλέξανδρον· οὐδὲ γὰρ ἄλλοις τισὶ γενέσθαι τῶν αὐτονόμων Ἰνδῶν, ὅσοι ἑκόντες σφᾶς ἐνέδοσαν. οἱ δὲ (ἤδη γὰρ ἐξήγγελτο αὐτοῖς κατὰ κράτος ἑαλωκότα πρὸς Ἀλεξάνδρου τὰ Σάγγαλα) φοβεροὶ γενόμενοι, ἔφευγον ἀπολιπόντες τὰς πόλεις. καὶ Ἀλέξανδρος ἐπειδὴ ἐξηγγέλθη αὐτῷ ἡ φυγή, σπουδῇ ἐδίωκεν. ἀλλὰ οἱ πολλοὶ μὲν αὐτῶν ἔφθησαν ἀποφυγόντες (διὰ μακροῦ γὰρ ἡ δίωξις ἐγίγνετο) ὅσοι δὲ κατὰ τὴν ἀποχώρησιν ἀσθενείᾳ ὑπελείποντο, οὗτοι ἐγκαταληφθέντες πρὸς τῆς στρατιᾶς, ἀπέθανον ἐς πεντακοσίους μάλιστα. ὡς δὲ ἀπέγνω διώκειν τὸ πρόσω

A πρόσω τοὺς φεύγοντας, ἐπανελθὸν ἐς τὰ Σάγγαλα, τὴν πόλιν μὲν κατέσκαψε, τὴν χώραν δὲ, τῶν Ἰνδῶν τοῖς πάλαι μὲν αὐτονόμοις, τότε δὲ ἑκουσίως προσχωρήσασι προσέθηκε. καὶ Πῶρον μὲν ξὺν τῇ δυνάμει τῇ ἀμφ᾽ αὐτὸν, ἐκπέμπει ἐπὶ τὰς πόλεις αἳ προσκεχωρήκεσαν, φρουρὰς εἰσάξοντα εἰς αὐτάς· αὐτὸς δὲ ξὺν τῇ στρατιᾷ ἐπὶ τὸν Ὕφασιν ποταμὸν προὐχώρει, ὡς καὶ τοὺς ἐπέκεινα Ἰνδοὺς καταστρέψαιτο· οὐδὲ ἐφαίνετο αὐτῷ πέρας τι τοῦ πολέμου, ἔστε ὑπελείπετό τι πολέμιον. τὰ δὲ δὴ πέραν τοῦ Ὑφάσιος, εὐδαίμονά τε τὴν χώραν εἶναι ἐξηγγέλλετο, καὶ ἀνθρώπους ἀγαθοὺς μὲν γῆς ἐργάτας, γενναίους δὲ τὰ πολέμια, καὶ εἰς τὰ ἴδια δὲ σφῶν ἐν κόσμῳ πολιτεύοντας. πρὸς γὰρ B τῶν ἀρίστων ἄρχεσθαι τοὺς πολλοὺς, τοὺς δὲ οὐδὲν ἔξω τοῦ ἐπιεικοῦς ἐξηγεῖσθαι· πλῆθός τε ἐλεφάντων εἶναι τοῖς ταύτῃ ἀνθρώποις πολύ τι ὑπὲρ τοὺς ἄλλους Ἰνδοὺς, καὶ μεγέθει μεγίστους τε καὶ ἀνδρείᾳ. ταῦτα δὲ ἐξαγγελλόμενα Ἀλέξανδρον μὲν παρώξυνεν ἐς ἐπιθυμίαν τοῦ πρόσω ἰέναι αὐτόν· οἱ δὲ Μακεδόνες ἐξέκαμνον ἤδη ταῖς γνώμαις, πόνους τε ἐκ πόνων καὶ κινδύνους ἐκ κινδύνων ἐπαναιρούμενον ὁρῶντες τὸν βασιλέα· C ξύλλογοί τε ἐγίγνοντο κατὰ τὸ στρατόπεδον, τῶν μὲν τὰ σφέτερα ὀδυρομένων, ὅσοι ἐπιεικέστατοι· τῶν δὲ οὐκ ἀκολουθήσειν, οὐδ᾽ ἢν ἄγῃ Ἀλέξανδρος, ἐπισχυριζομένων. ταῦτα ὡς ἐπύθετο Ἀλέξανδρος, πρὶν καὶ προελθεῖν ἐπὶ μεῖζον τὴν ταραχὴν τοῖς στρατιώταις καὶ τὴν ἀθυμίαν, ξυγκαλέσας τοὺς ἡγεμόνας τῶν τάξεων, ἔλεξεν ὧδε, Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες Μακεδόνες τε καὶ ξύμμαχοι, οὐχ ὁμοίᾳ ἔτι τῇ γνώμῃ ἑπομένους μοι ἐς τοὺς κινδύνους, ξυνήγαγεν ἐς ταυτὸ, ὡς ἢ πείσας ἄγειν τοῦ πρόσω, ἢ πεισθεὶς ὀπίσω ἀποστρέ- D φεσθαι. εἰ μὲν δὴ μεμπτοί εἰσιν ὑμῖν οἱ ἡμέτεροι μέχρι δεῦρο πονηθέντες πόνοι, καὶ αὐτὸς ἐγὼ ἡγούμενος, οὐδὲν ἔτι προὔργου λέγειν μοι ἐστίν. εἰ δὲ Ἰωνία τε πρὸς ἡμῶν διὰ τούσδε τοὺς πόνους ἔχεται, καὶ Ἑλλήσποντος, καὶ Φρύγες ἀμφότεροι, καὶ Καππαδόκαι, καὶ Παφλαγόνες, καὶ Λυδοὶ, καὶ Κᾶρες, καὶ Λύκιοι, καὶ Παμφυλία τε καὶ Φοινίκη, καὶ Αἴγυπτος, ξὺν τῇ Λιβύῃ τῇ Ἑλληνικῇ, καὶ Ἀραβίας ἔστιν ἃ, καὶ Συρία ἥ τε κοίλη καὶ ἡ μέση τῶν ποταμῶν, καὶ Βαβυλὼν δὲ ἔχεται, καὶ τὸ Σουσίων ἔθνος, καὶ Πέρσαι, καὶ Μῆδοι, καὶ ὅ- E σων Πέρσαι καὶ Μῆδοι ἐπῆρχον, καὶ ὅσων δὲ οὐκ ἦρχον· τὰ ὑπὲρ τὰς Κασπίας πύλας, τὰ ἐπέκεινα τοῦ Καυκάσου, ὅταν ἐς τὰ πρόσω ἔτι τοῦ Ταναΐδος, Βακτριανοὶ, Ὑρκάνιοι, ἡ θάλασσα ἡ Ὑρκανία· Σκύθας τε ἀνεστείλαμεν ἔστ᾽ ἐπὶ τὴν ἔρημον· ἐπὶ τούτοις μέντοι καὶ ὁ Ἰνδὸς ποταμὸς διὰ τῆς ἡμετέρας ῥεῖ, ὁ Ὑδάσπης, ὁ Ἀκεσίνης, ὁ Ὑδραώτης· τί ὀκνεῖτε καὶ τὸν Ὕφασιν καὶ τὰ ἐπέκεινα τοῦ Ὑφάσιος γένη προσθεῖναι τῇ ἡμετέρᾳ Μακεδόνων ἀρχῇ; ἢ δεδοίκατε μὴ δέξωνται ἡμᾶς ἔτι ἄλλοι βάρβαροι ἐπιόντας; ὧν οἱ μὲν προσχωροῦσιν ἑκόντες, οἱ δὲ F φεύγοντες ἁλίσκονται, οἱ δὲ ἀποφυγόντες τὴν χώραν ἡμῖν ἔρημον παραδιδόασιν, οἱ δὲ τοῖς ξυμμάχοις τε καὶ τοῖς ἑκουσίως προσχωρήσασι προστίθενται. πέρας δὲ τῶν πόνων γενναίῳ μὲν ἀνδρὶ οὐδὲν δοκῶ ἔγωγε, ὅτι μὴ αὐτοὺς τοὺς πόνους ὅσοι αὐτῶν ἐς καλὰ ἔργα φέρουσιν. εἰ δέ τις καὶ αὐτῷ τῷ πολεμεῖν ποθεῖ ἀκοῦσαι ὅ,τι περ ἔσται πέρας, μαθέτω ὅτι οὐ πολλὴ ἔτι ἡμῖν ἡ λοιπή ἐστιν ἔστε ἐπὶ τὸν ποταμόν τε Γάγγην καὶ τὴν ἑῴαν θάλασσαν.

Sangala reuerſus, vrbem ſolo æquauit: regionẽ autẽ ipſam Indis, qui antea liberè legib⁹ ſuis viuebãt, & ſpõte deditionẽ fecerãt, attribuit. Ac Porũ quidẽ cum copiis ſuis ad vrbes quæ deditionẽ fecerãt mittit, præſidia iis impoſiturũ: ipſe cum exercitu ad Hyphaſim amnẽ proceſſit, Indos qui trãs flumẽ habitabãt, ſubacturus. Neque enim vllum belli finem cernebat, quandiu aliquid hoſtile ſupereſſet. Porro regionem illam trans Hyphaſim opulentã eſſe audierat, incolas, & bonos agricolas & ſtrenuos milites eſſe. priuatim etiam cõpoſitè viuere. pleraſque enim ciuitates ab optimatibus regi, nihilq; ab iis iniquè decerni: maiorem apud hoſce quàm apud vllos Indos elephantorũ copiam eſſe, & mole corporis roboréque excellere. Quę quidem Alexandro nuntiata, vehemẽti eius animum vlterius procedẽdi ſtudio exſtimulabant. Macedonum verò animi iam fatiſcere ceperant, quum regem labores ex laboribus ſuſcipientem, pericula ex periculis adeuntem viderent. Conuentus etiam in caſtris agebant, aliis, qui modeſtiores erant, fortunam ſuam deplorantibus: aliis ſe non ſecuturos, etiam ducente rege, affirmantibus. Quæ poſtquam cognouit Alexander, priuſquàm tumultus militaris ſimul & animorum abiectio longius ſerperet viréſque acciperet, conuocatis ordinum ducibus, ita orſus eſt, Qvvm intelligam vos, ô Mace- « dones & ſocij, non eadem qua ſoletis volun « tate pericula mecum adire, idcirco hac mi- « hi apud vos concione vtendum eſſe putaui: « vti aut perſuadens vlterius ducam, aut per- « ſuaſus pedem referam. Porro, ſi neque labo- « res in hunc vſque diem actos, neque me qui « ad eos ſubeundos dux vobis fui, probatis, « non eſt quòd pluribus vobiſcum agam: ſin « autem Ionia nobis, hiſce laboribus, Hel- « leſpontus, Phrygia vtraque, Cappadocia, « Paphlagonia, Lydia, Caria, Lycia, Pam- « phylia, Phœnice, & AEgyptus, cum ea Li- « byæ parte quam Gręci tenent, parta eſt: ſi A- « rabiæ etiam aliquam partem, & Syriam quæ « Cœle & eã quæ Meſopotamia dicitur, Baby « lonẽ prȩterea gentémq; Suſiorũ ſubegiſtis: « adhæc Perſas ac Medos, gentéſque omnes « quæ horũ imperio parebant, quæq; non pa- « rebant: ſi regiones etiã trans portas Caſpias, « vltráque Caucaſum poſitas, & qui vltra Ta- « naim habitãt, Bactrianos, Hyrcanios, maré- « que Hyrcaniũ nobis ſubiecimus: ſi Scythas « in ſolitudines repulimus, perfecimúſque vt « Indus amnis, Hydaſpes, Aceſines & Hydra- « otes per noſtrã ditionẽ fluant: quid cunctamini Hyphaſim etiã, quæq; vltra Hyphaſim « ſunt gentes noſtro Macedonũ imperio ad- « iicere? An veremini vt vlli deinceps barbari « nos bellũ inferentes propulſent? quũ alij ſua « ſponte deditionẽ faciant, alij fugientes ca- « piantur, alij fuga elapſi regiones nobis ab « incolis deſertas relinquãt: nõnulli etiã ſe ſo- « ciis & iis qui volũtariè ſeſe dediderũt adiun- « gant? Ego verò nullũ generoſo viro laborũ « finẽ ſtatuo, quàm labores ipſos qui ad glo- « riam ac decus ducunt. Siquis tamen cupit « cognoſcere, quiſnam bellandi finis futurus « ſit, is intelligat parum terræ nobis vſque ad Gangem fluuium & orientalem Oceanum reſtare. «

» Ibi (inquam) Hyrcaniũ mare huic coniunctũ
» cernetis. ambit enim vniuerſum terrarũ or-
» bem Oceanus. Tum ego vobis, Macedones
» ac ſocij, cõmonſtrabo, Indicũ ſinũ cum Per-
» ſico cõfluere, Hyrcaniã cũ Perſico ſinu con-
» iungi. A ſinu verò Perſico in Libyam trans
» Herculis colũnas nauigabimus. A columnis
» vniuerſa interior Libya noſtra erit, tota etiã
» Aſia: iidémq; limites qui à Deo orbi terrarũ
» poſiti ſunt, imperiũ noſtrũ terminabũt. At ſi
» nunc reuertamur, multæ quidẽ vltra Hypha
» ſim ad orientalẽ vſque oceanũ bellicoſę gẽ-
» tes relinquũtur, multæ etiã ſeptentrionẽ ver
» ſus, ad mare vſque Hyrcaniũ. Scythicæ quo-
» que gentes non procul ab his remotæ ſunt.
» Quare timendũ nobis eſt ne retrocedẽtibus
» nobis, ea etiã quæ nunc tenemus, nondũ ſatis
» ſtabilita, ab iis qui nondum ſubacti ſunt ad
» defectionẽ incitẽtur. Tum verò omnes acti
» labores nobis perierint, aut certè noui labo
» res, nouáq; pericula adeunda erunt. Quam-
» obrem perſiſtite, Macedones ac ſocij. La-
» bores enim & præclara facinora adeuntib⁹,
» & vita ipſa cum virtute cõiuncta iucũda eſt,
» & mors nequaquã acerba, immortalẽ nomi
» nis ſui gloriã relinquẽtibus. An ignoratis, p-
» genitorẽ noſtrũ nunquã ad tantã gloriã per-
» uenturũ fuiſſe vt ex homine deus fieret, aut
» haberetur, ſi apud Tirynthũ, aut Argos, vel — *Vet. cod. φανερόν.*
» Pelopõneſum, aut Thebas, deſes manſiſſet?
» Sed neque Dionyſij (cuius quidẽ ſublimius q̃
» Herculis numẽ eſt) exigui labores memoran
» tur. At nos, etiã vltra Nyſam progreſſi ſum⁹,
» & Aornos petra Herculi ipſi inexpugnabi-
» lis in noſtra poteſtate eſt. Vos itaque, quic-
» quid in Aſia reliqui eſt, iis quæ tenemus, pau
» ca nimirũ multis, adiicite. Siquidẽ nos etiam
» quidnã magnũ ac memorabile in vita egiſ-
» ſemus, ſi deſides in *Macedonia ſatis habuiſ- — *Cart. Licuit paternis opibus cõtento, intra Macedoniæ terminos, per otiũ corporis expectare obſcurã & ignobilem ſenectutẽ.*
» ſemus, laboris expertes, domos noſtras tue-
» ri? Thracas finitimos, aut Illyrios, aut Tri-
» ballos, vel eos qui ex Græcis nobis infeſti e-
» rant propulſantes. Quòd ſi vobis labores &
» pericula adeuntib⁹, ego dux veſter nullã ipſe
» laborũ & periculorũ partẽ ſubirẽ, nõ imme-
» ritò animis caderetis, quippe qui labores, vo
» ſtros eſſe intelligeretis, præmiis verò laborũ
» alios frui. At labores cõmunes mihi vobiſcũ
» ſunt, pericula ex æquo vobiſcũ adeo: prẽmia
» in medio propoſita ſunt omnibus. Nam &
» regio ipſa veſtra eſt, & vos ei præeſtis, & pe-
» cuniarũ maxima pars ad vos peruenit. Quũ
» verò tota Aſia ſubacta fuerit, tum medius fi-
» dius ſpẽ expectationémq; cuiuſq; veſtrũ non
» explebo tantùm, verumetiã ſuperabo. quiq;
» in domos ſuas reuerti voluerint dimittã, aut
» reducã ipſe: qui verò permãſerint, faxo vt iis
» qui diſceſſerint inuidioſi ſint. Hæc aliáque
in hãc ſententiã quũ dixiſſet Alexander, altũ quoddã ſilentiũ ſubſecutum eſt: quũ neque apertè regis volũtati refragari auderẽt, neq; aſſentiri vellẽt. Quúmque identidẽ iuberet Alexãder, vt ſiquis rem ſecus atque ipſe dixiſſet intelligeret, ſententiã ſuã declararet: magnum tamẽ nihilominus omnes ſilentiũ tenuit: tandẽ Cœnus Polemocratis F. ſumta audacia hunc in modum orſus eſt,

A ταύτῃ δὲ, λέγω ὑμῖν, ξυναφὴς φανεῖται ἡ Ὑρκανία θάλασσα. ἐκπεριέρχεται γὰρ περὶ πᾶσαν ἡ μεγάλη θάλασσα. καὶ ἐγὼ ἐπιδείξω Μακεδόσι τε καὶ τοῖς ξυμμάχοις τὸν μὲν Ἰνδικὸν κόλπον ξύῤῥουν ὄντα τῷ Περσικῷ, τὴν δ' Ὑρκανίαν τῷ Ἰνδικῷ. ἀπὸ δὲ τοῦ Περσικοῦ ἐς Λιβύην περιπλευσθήσεται στόλῳ ἡμετέρῳ τὰ μέχρι Ἡρακλέους στηλῶν. ἀπὸ δὲ στηλῶν, ἡ ἐντὸς Λιβύη πᾶσα ἡμετέρα γίγνεται, καὶ ἡ Ἀσία δὴ οὕτω πᾶσα, καὶ ὅροι τῆς ταύτης ἀρχῆς, οὕσπερ καὶ τῆς γῆς ὅρους ὁ θεὸς ἐποίησε. νῦν δὲ δὴ ἀποτρεπομένων, πολλὰ μὲν μάχιμα ὑπολείπεται γένη ἐπέκεινα τοῦ Ὑφάσιος, ἔστε ἐπὶ τὴν ἑῴαν θάλασσαν· B πολλὰ δὲ ἀπὸ τούτων ἔτι ἐπὶ τὴν Ὑρκανίαν ὡς ἐπὶ Βοῤῥᾶν ἄνεμον· καὶ τὰ Σκυθικὰ γένη οὐ πόῤῥω τούτων. ὥστε δέος μὴ ἀπελθόντων ὀπίσω, καὶ τὰ νῦν κατεχόμενα οὐ βέβαια ὄντα, ἐπαρθῇ πρὸς ἀπόστασιν πρὸς τῶν μήπω ἐχομένων· καὶ τότε δὴ ἀνόνητοι ἡμῖν ἔσονται οἱ πολλοὶ πόνοι. ἢ ἄλλων αὖθις ἐξ ἀρχῆς δεήσει πόνων τε καὶ κινδύνων. ἀλλὰ παραμείνατε ἄνδρες Μακεδόνες καὶ ξύμμαχοι. πονούντων τοι καὶ κινδυνευόντων τὰ καλὰ ἔργα· καὶ ζῆν τε ξὺν ἀρετῇ ἡδὺ, καὶ ἀποθνήσκειν, κλέος ἀθάνατον ὑπολειπομένους. ἢ οὐκ ἴστε ὅτι ὁ πρόγονος ὁ ἡμέτερος οὐκ ἐν Τιρύνθῳ, οὐδ' ἐν Ἄργει, ἀλλ' C οὐδὲ ἐν Πελοποννήσῳ ἢ Θήβαις μένων, ἐς τοσόνδε κλέος ἦλθεν, ὡς θεὸς ἐξ ἀνθρώπου γενέσθαι, ἢ δοκεῖν; οὐ μὲν δὴ οὐδὲ Διονύσου, ἁβροτέρου τούτου θεοῦ ἢ καθ' Ἡρακλέα, ὀλίγοι πόνοι· ἀλλὰ ἡμεῖς γε καὶ ἐπέκεινα τῆς Νύσης ἀφίγμεθα, καὶ ἡ Ἄορνος πέτρα, ἡ τῷ Ἡρακλεῖ ἀνάλωτος, πρὸς ἡμῶν ἔχεται. ὑμεῖς δὲ καὶ τὰ ἔτι ὑπόλοιπα τῆς Ἀσίας προσθέτε τοῖς ἤδη κεκτημένοις, καὶ τὰ ὀλίγα τοῖς πολλοῖς. ἐπεὶ καὶ ἡμῖν αὐτοῖς τί ἂν μέγα καὶ καλὸν κατεπέπρακτο, εἰ ἐν Μακεδονίᾳ καθήμενοι, D ἱκανὸν ἐποιούμεθα ἀπόνως τὴν οἰκείαν διασώζειν, Θρᾷκας τοὺς ὁμόρους, ἢ Ἰλλυριοὺς, ἢ Τριβαλλοὺς, ἢ καὶ τῶν Ἑλλήνων ὅσοι οὐκ ἐπιτήδειοι ἐς τὰ ἡμέτερα ἀναστέλλοντες; εἰ μὲν δὴ ὑμᾶς πονοῦντας καὶ κινδυνεύοντας αὐτὸς ἀπόνως καὶ ἀκινδύνως ἐξηγούμενος ἦγον, οὐκ ἀπεικότως ἂν προεκάμνετε ταῖς γνώμαις· τῶν μὲν πόνων μόνοις ὑμῖν μετὸν, τὰ δὲ ἆθλα αὐτῶν ἄλλοις περιποιοῦντες. νῦν δὲ κοινοὶ μὲν οἱ πόνοι, ἴσον δὲ μέτεστι τῶν κινδύνων· τὰ δὲ ἆθλα ἐν μέσῳ κεῖται ξύμπασιν. ἥ τε γὰρ χώρα ὑμετέρα, καὶ ὑμεῖς αὐτῆς σατραπεύετε· καὶ E τῶν χρημάτων τὸ μέρος νῦν τε ἐς ὑμᾶς πολὺ ἔρχεται. καὶ ἐπειδὰν ἐπεξέλθωμεν τὴν Ἀσίαν, τότε οὐκ ἐμπλήσας μὰ Δία ὑμᾶς, ἀλλὰ καὶ ὑπερβαλὼν ὅσα ἕκαστος ἐλπίζει ἀγαθὰ ἔσεσθαι, τοὺς μὲν ἀπιέναι οἴκαδε ἐθέλοντας, εἰς τὴν οἰκείαν ἀποπέμψω, ἢ ἐπανάξω αὐτός· τοὺς δὲ αὐτοῦ μένοντας, ζηλωτοὺς τοῖς ἀπερχομένοις ποιήσω. Ταῦτα καὶ τοιαῦτα εἰπόντος Ἀλεξάνδρου, πολὺν μὲν χρόνον σιωπὴ ἦν, οὔτε ἀντιλέγειν τολμώντων πρὸς τὸν βασιλέα ἐκ τοῦ εὐθέος, οὔτε ξυγχωρεῖν ἐθελόντων. ἐν δὲ τούτῳ, πολλάκις μὲν Ἀλέξανδρος ἐκέλευε λέ- F γειν τὸν βουλόμενον, εἰ δή τις τὰ ἐναντία τοῖς ὑπ' αὐτοῦ λεχθεῖσι γινώσκει· ἔμενε δὲ καὶ ὡς ἐπὶ πολὺ ἡ σιωπή. ὀψὲ δέ ποτε θαρσήσας Κοῖνος ὁ Πολεμοκράτους, ἔλεξε τοιάδε,

Ἐπειδὴ αὐτὸς, ὦ βασιλεῦ, οὐ κατὰ πρόσταξιν ἐθέλεις Μακεδόνων ἐξηγεῖσθαι, ἀλλὰ πείσας μὲν ἄξειν φὴς, πεισθεὶς δὲ οὐ βιάσεσθαι, οὐχ ὑπὲρ

» QVONIAM, ô rex, negas te imperioſè Macedonibus præfuturum, ſed, ſi perſuaſeris, du-
» cturum te vlterius dicis: ſin ipſi tibi perſuaſerint, nequaquam coacturum: non pro nobis copia-

ἡμῶν τῶνδε ποιήσομαι ἐγὼ τοὺς λόγους, οἳ καὶ προτιμώμενοι τῶν ἄλλων, καὶ τὰ ἆθλα τῶν πόνων οἱ πολλοὶ ἤδη κεκομισμένοι, καὶ τῷ κρατιστεύειν παρὰ τοὺς ἄλλους πρόθυμοί σοι ἐς πάντα ἐσμέν· ἀλλ᾽ ὑπὲρ τῆς στρατιᾶς τῆς πολλῆς. οὐδὲ ὑπὲρ ταύτης ἐρῶ τὰ καθ᾽ ἡδονὴν ἐκείνοις, ἀλλ᾽ ἃ νομίζω ξύμφορά τε σοὶ ἐς τὰ παρόντα, καὶ ἐς τὰ μέλλοντα μάλιστα ἀσφαλῆ εἶ). δίκαιος δὲ εἰμὶ καθ᾽ ἡλικίαν τε μὴ ἀποκρύπτεσθαι τὰ δοκοῦντα βέλτιστα, καὶ κατὰ τὴν ἐκ σοῦ μοι οὖσαν καὶ ἐς τοὺς ἄλλους ἀξίωσιν, καὶ κατὰ τὴν ἐν τοῖς πόνοις τε καὶ κινδύνοις ἐς τόδε ἀπροφάσιστον τόλμαν. Ὅσῳ γάρ τοι πλεῖστα καὶ μέγιστα σοί τε ἡγουμένῳ καταπέπρακται, καὶ τοῖς ἅμα σοὶ οἴκοθεν ὁρμηθεῖσι, τοσῷδε μᾶλλόν τι ξύμφορόν μοι δοκεῖ πέρας τι ἐπιθεῖναι τοῖς πόνοις τε καὶ κινδύνοις. αὐτὸς γὰρ τοι ὁρᾷς, ὅσοι μὲν Μακεδόνων τε καὶ Ἑλλήνων ἅμα σοὶ ὡρμήθημεν, ὅσοι δὲ ὑπολελείμμεθα· ὧν, Θετταλοὺς μὲν ἀπὸ Βάκτρων εὐθὺς, οὐ προθύμους ἔτι ἐς τοὺς πόνους αἰσθόμενος, οἴκαδε (καλῶς ποιῶν) ἀπέπεμψας· τῶν δὲ ἄλλων Ἑλλήνων, οἱ μὲν ἐν ταῖς πόλεσι ταῖς πρὸς σοῦ οἰκισθείσαις κατῳκισμένοι, οὐδ᾽ οὗτοι πάντη ἑκόντες μένουσιν· οἱ δὲ ξυμπονοῦντές τι ἔτι καὶ ξυγκινδυνεύοντες, αὐτοί τε καὶ ἡ Μακεδονικὴ στρατιὰ, τοὺς μὲν ἐν ταῖς μάχαις ἀπολωλέκασιν, οἱ δὲ ἐκ τῶν τραυμάτων ἀπόμαχοι γεγενημένοι, ἄλλοι ἄλλῃ τῆς Ἀσίας ὑπολελειμμένοι εἰσίν· οἱ πλείους δὲ νόσῳ ἀπολώλεσαν, ὀλίγοι δὲ ἐκ πολλῶν ὑπολείπονται, καὶ οὔτε τοῖς σώμασιν ἔτι ὡσαύτως ἐρρωμένοι, ταῖς τε γνώμαις πολὺ ἔτι μᾶλλον προκεκμηκότες. καὶ τούτοις ξύμπασι πόθος μὲν γονέων ἐστὶν, ὅσοις ἔτι σώζονται, πόθος δὲ γυναικῶν καὶ παίδων, πόθος δὲ δὴ τῆς γῆς αὐτοῖς τῆς οἰκείας, ἣν ξὺν τῷ ἐκ σοῦ πορισθέντι σφίσι κόσμῳ, μεγάλοι τε ἀντὶ μικρῶν, καὶ πλούσιοι ἐκ πενήτων ἀναστρέφοντες, ξυγγνωστοί εἰσιν ἐπιδεῖν ποθοῦντες. σὺ δὲ νῦν μὴ ἄγειν ἄκοντας. οὐδὲ γὰρ ὁμοίοις ἔτι χρήσῃ ἐς τοὺς κινδύνους, οἷς τὸ ἑκούσιον ἐν τοῖς ἀγῶσιν ἀπέσται. ἐπανελθὼν δ᾽ αὐτός τε, εἰ δοκεῖ, ἐς τὴν οἰκείαν, καὶ τὴν μητέρα τὴν σαυτοῦ ἰδὼν, καὶ τὰ τῶν Ἑλλήνων καταστησάμενος, καὶ τὰς νίκας ταύτας τὰς πολλὰς καὶ μεγάλας ἐς τὸν πατρῷον οἶκον κομίσας· οὕτω δὴ ἐξ ἀρχῆς ἄλλον στόλον στέλλεσθαι, εἰ μὲν βούλει, ἐπ᾽ αὐτὰ ταῦτα τὰ πρὸς τὴν ἕω ᾠκισμένα Ἰνδῶν γένη· εἰ δὲ βούλει, ἐς τὸν Εὔξεινον πόντον· εἰ δὲ ἐπὶ Καρχηδόνα, καὶ τὰ ἐπέκεινα Καρχηδονίων τῆς Λιβύης. ταῦτα δὲ σὸν ἤδη ἐξηγεῖσθαι· ἕψονται δέ σοι ἄλλοι Μακεδόνες, νέοι τε ἀντὶ γερόντων, καὶ ἀκμῆτες ἀντὶ κεκμηκότων, καὶ οἷς τὰ τοῦ πολέμου διὰ τὸ ἀπείρατ[illegible] ἔς τε τὸ παραυτίκα οὐ φοβερὰ, καὶ κατὰ τὴν τοῦ μέλλοντος ἐλπίδα ἐν σπουδῇ ἔσται. οἳ καὶ ταύτῃ ἔτι προθυμότερον ἀκολουθήσουσί σοι εἰκὸς, ὁρῶντες τοὺς πρότερον ξυμπονήσαντάς τε καὶ ξυγκινδυνεύσαντας, ἐς τὰ σφέτερα ἤδη ἐπανεληλυθότας, πλουσίους τε ἀντὶ πενήτων, καὶ ἀντὶ ἀφανῶν τῶν πάλαι εὐκλεεῖς. καλὸν δὲ, ὦ βασιλεῦ, εἴπερ τι καὶ ἄλλο, ἡ ἐν τῷ εὐτυχεῖν σωφροσύνη. σοὶ μὲν γὰρ αὐτῷ ἡγουμένῳ καὶ στρατιὰν τοιαύτην ἄγοντι, ἐκ μὲν πολεμίων δέος οὐδέν· τὰ δὲ ἐκ τοῦ δαιμονίου, ἀδόκητά τε καὶ ταύτῃ καὶ ἀφύλακτα τοῖς ἀνθρώποις ἐστί. Τοιαῦτα εἰπόντος τοῦ Κοίνου, θόρυβον γενέσθαι ἐκ τῶν παρόντων ἐπὶ τοῖς

rum ducibus, qui præ cæteris honore abs te affecti ſumus, & præmia laborū plerique iam accepimus, quique, quòd nos aliis imperare voluiſti, parati ad omnia tibi ſumus, ſed pro vniuerſo exercitu dicā. Sed ne ea quidē quæ militib' cordi ſint dicturus ſum, ſed quę tibi cùm in præſentia ſalutaria, tum in poſterū tutiſſima fore cēſeo. Porro & ætas mea id poſtulat, vt quæ maximè expedire videātur non celem, & dignitas qua me etiā præ aliis ornare voluiſti, tot deniq; à me labores, tot pericula audacter citra vllā tergiuerſationē adita. Quo enim plura præclarioráq; facinora, cùm abs te duce tum ab iis qui te è domibus ſuis ſecuti ſunt, geſta fuerūt, eo cōſultius eſſe iudico finē aliquē laborib' ac periculis imponere. Vides enim ipſe ex tāta Macedonū & Græcorū qui te ſecuti ſumus multitudine, quàm pauci reliqui ſimus. ex quib', Theſſalos quidē ſtatim à Bactris, quòd alacritatē ad perferēdos labores in eis imminutam ſentires, domū (& rectè quidē) remiſiſti. Reliquorū verò Græcorū, alios in vrbib' abs te cōditis collocaſti (qui nec ipſi quidē libēter ibi manent) alij tecū labores ac pericula adeūtes cū Macedonico exercitu, partim in præliis cæſi ſunt, partim vulneribus inutiles ad pugnā effecti in diuerſis Aſię partibus relicti: maxima verò pars morbo periit, pauci denique ex tāta multitudine ſuperſunt, iique nec corporibus ſunt perinde firmis, animis verò multo magis fracti. atque iis quidē omnibus qui adhuc ſuperſunt inſitū eſt natura deſideriū parentū, vxorū, liberorū, patriæ & ſoli natalis. quorū deſiderio ſi tanguntur, ornati pręſertim abs te atque aucti, diuitéſq; ex pauperibus effecti reuertētes, certè veniā merētur. Tu verò ne inuitos ducito. neque enim eoſdē illos in periculis es experturus, quum voluntas adeundi certamina in iis nō ſit futura. Quin potius tu quoque, ſi placet, domū reuerſus matrem inuiſas, Græcorū ſimul res cōpoſiturus, & tot támque ingentes victorias in paternā domum reportaturus. Tum licebit tibi denuo nouam expeditionem ſuſcipere, ſiue aduerſus iſtas Indorū gētes quæ orientē verſus ſitæ ſunt, ſiue malis in pontū Euxinū, ſiue in Carthaginē & Libyā quę vltra Carthaginē eſt. Tunc enim tui muneris erit exercitū quò libuerit ducere. Sequētur autē te alij Macedones, iuniores pro ſenioribus, integri pro defeſſis, & quib' bellum, vtpote inexpertis, nō ſtatim tāto terrori, & futurorū cōmodorum ſpe in votis erit: quos etiā tanto alacrius te ſecuturos eſſe veriſimile eſt, quū eos qui tibi laborū atq; periculorū ſocij extiterūt in ſuas domos reuerſos videbūt, ex pauperib' opulētos, & ex obſcuris claros. Præclarū etiā eſt, ô rex, ſi quicquā aliud, animo in ſecundis rebus moderari poſſe. Tibi quidē imperatori, atque huiuſmodi exercitū ducēti, nihil ab hoſte metuendū eſt: fortunæ verò inopinati ſunt euentus, atque ideo hominibus ineuitabiles. Hęc Cœni oratio fremitu quodā audientiū excepta eſt. multorū etiā lacrymę ſubſecutæ

ſunt quod ipſum maiori documento erat, inuitos ſeſe vlteriora pericula adituros: reditum verò in patriam periucundum ipſis fore. Alexander, Cœni libertate loquendi & reliquorum ducum ignauia offenſus, concionem dimiſit. qua poſtridie rurſum iracundè conuocata, ſe quidem vlterius perrecturum dixit: neminem verò Macedonum ad ſequendum coacturum. Neque enim defuturos qui regem ſuum ſua ſponte ſequerentur: iis autem qui abire ſtatuiſſent, per ſe liberum eſſe, vtque amicis nunciarent ſeſe, rege ſuo in mediis hoſtibus deſtituto, domum reuerti. Hæc quũ dixiſſet, in tabernaculum ſe recepit, neque quenquam amicorum ad tertium ab eo diem in colloquium admiſit: expectans ſiqua fortè animorum mutatio (vt plerunque in turba militari euenire ſolet) Macedonibus ac ſociis incidiſſet, quę faciliores perſuaſu eos redderet. Cæterùm quũ exercitus in eodem ſilentio perſiſteret, ſatiſque intelligeretur milites indignatione Alexandri vehementer commotos eſſe, animis tamen non mutari: tum (vt autor eſt Ptolemæus) nihilominus pro trãſitu ſacrum fecit. Quúmque exta infauſtos euentus portendiſſent, conuocatis amicis qui & ætate grandiores maximéque familiares ei erant, quoniam omnia illum ab vlteriore profectione reuocarent, exercitui declaraſſe, ſtatutum ſibi eſſe domum reuerti. Hanc vocem clamore, qualis à multitudine lætitiam ſignificante edi ſolet, exceptam fuiſſe: multis lacrymas erupiſſe. alios ad regium tabernaculum acceſſiſſe, multa Alexandro fauſta precantes, quòd ab iis ſolis vinci ſe paſſus eſſet. Eo loci diuiſo per ordines exercitu, XII. aras extrui iubet, altitudine quidem maximis turribus bellicis pares, latitudine, quàm quæ turrium eſt, maiore. quibus diis gratias agebat quòd ipſum eò vſque victorem perduxiſſent, & laborum ſuorum monumenta conſecrabat. Extructis itaque aris, ſacrificium patrio more in aris illis peragit. ludos etiam gymnicos & equeſtres facit: totíque regioni ad Hyphaſim amnem vſque Porum præficit. ipſe ad Hydraotem fluuium redit. quo traiecto ad Aceſinem retrocedit. atque ibi vrbem exædificatam reperit, ad quam condendam Hephæſtion ab eo relictus fuerat: in quam inductis colonis ex finitimis quicũque in eam commigrare vellent, & mercenariis ad militiam ineptis, ipſe quæ ad nauigationem Oceanum verſus neceſſaria erant parare cœpit. In hoc rerum ſtatu Arſaces, prouinciæ Abiſari finitimæ præſes, & frater Abiſaris, aliíque amici ad eum venerunt, dona adferentes quæ apud Indos cenſentur maxima: elephantos etiam ab Abiſare miſſos triginta: Abiſarem ipſum morbo impeditum venire non potuiſſe dicentes. quod quum & legati qui ab Alexandro ad Abiſarem miſſi fuerant confirmarent, facilè perſuaſus rem ita ſe habere, Abiſarẽ prouinciæ ipſius ſatrapam conſtituit, atque Arſacem

A λόγοις. πολλοῖς δὲ καὶ δάκρυα προχυθέντα, ἔτι μᾶλλον δηλῶσαι τό, τε ἀκούσιον τῆς γνώμης ἐς τοὺς πρόσω κινδύνους, καὶ τὸ καθ' ἡδονὴν σφίσιν εἶναι τὴν ἀποχώρησιν. Ἀλέξανδρος δὲ, τότε μὲν ἀχθεσθεὶς τῇ τε Κοίνου τῇ παῤῥησίᾳ, καὶ τῷ ὄκνῳ τῶν ἄλλων ἡγεμόνων, διέλυσε τὸν ξύλλογον. ἐς δὲ τὴν ὑστεραίαν ξυγκαλέσας αὖθις ξὺν ὀργῇ τοὺς αὐτοὺς, αὐτὸς μὲν ἰέναι ἔφη τοῦ πρόσω, βιάσεσθαι δὲ οὐδένα ἄκοντα Μακεδόνων ξυνέπεσθαι. ἕξειν γὰρ τοὺς ἀκολουθήσοντας τῷ βασιλεῖ σφῶν ἑκόντας· τοῖς δὲ καὶ ἀπιέναι οἴκαδε ἐθέλουσιν, ὑπάρχειν ἀπιέναι, καὶ ἐξαγγέλλειν
B τοῖς οἰκείοις ὅτι τὸν βασιλέα σφῶν ἐν μέσοις τοῖς πολεμίοις ἐπανήκουσιν ἀπολιπόντες. ταῦτ' εἰπόντα ἀπελθεῖν ἐς τὴν σκηνὴν, μηδέ τινα τῶν ἑταίρων προσέσθαι αὐτῆς τ' ἐκείνης τῆς ἡμέρας, καὶ ἐς τὴν τρίτην ἔτι ἀπ' ἐκείνης· ὑπομένοντα εἰ δή τις τροπὴ ταῖς γνώμαις τῶν Μακεδόνων τε καὶ ξυμμάχων (οἷα δὴ ἐν ὄχλῳ στρατιωτῶν τὰ πολλὰ φιλεῖ γίγνεσθαι) ἐμπεσοῦσα, εὐπειθεστέρους παρέξει αὐτούς. ὡς δὲ σιγὴ πολλὴ ἦν ἀνὰ τὸ στρατόπεδον, καὶ ἀχθόμενοι μὲν τῇ ὀργῇ αὐτοῦ δῆλοι ἦσαν, οὐ μὴν μεταβαλλόμενοί γε
C ὑπ' αὐτῆς· ἐνταῦθα δὴ λέγει Πτολεμαῖος ὁ Λάγου ὅτι ἐπὶ τῇ διαβάσει οὐδὲν μεῖον ἐθύετο, θυομένῳ δὲ οὐκ ἐγίγνετο αὐτῷ τὰ ἱερά· τότε δὴ τοὺς πρεσβυτάτους τε τῶν ἑταίρων, καὶ μάλιστα τοὺς ἐπιτηδείους αὐτῷ ξυναγαγὼν, ὡς πάντα ἐς τὴν ὀπίσω ἀποχώρησιν αὐτῷ ἔφερεν, ἐκφαίνει ἐς τὴν στρατιὰν ὅτι ἔγνωσται ὀπίσω ἀποστρέφειν. οἱ δὲ ἐβόων τε, οἷα ἂν ὄχλος ξυμμιγὴς χαίρων βοήσειε, καὶ ἐδάκρυον οἱ πολλοὶ αὐτῶν· οἱ δὲ, καὶ τῇ σκηνῇ τῇ βασιλικῇ πε-
D λάζοντες, ηὔχοντο Ἀλεξάνδρῳ πολλὰ καὶ ἀγαθὰ, ὅτι πρὸς σφῶν μόνων νικηθῆναι ἠνέσχετο. ἔνθα δὴ διελὼν κατὰ τάξεις τὴν στρατιὰν, δώδεκα βωμοὺς κατασκευάζειν προστάττει· ὕψος μὲν, κατὰ τοὺς μεγίστους πύργους· εὖρος δὲ, μείζονας ἔτι ἢ κατὰ πύργους· χαριστήρια τοῖς θεοῖς, τοῖς ἐς τοσόνδε ἀγαγοῦσιν αὐτὸν νικῶντα, καὶ μνημεῖα τῶν αὐτοῦ πόνων. ὡς δὲ κατεσκευασμένοι αὐτῷ οἱ βωμοὶ ἦσαν, θύει ἐπ' αὐτῶν, ὡς νόμος· καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ ἱππικόν. καὶ τὴν μὲν χώραν τὴν μέχρι τοῦ Ὑφάσιος πο-
E ταμοῦ Πώρῳ ἄρχειν προσέθηκεν, αὐτὸς δ' ἐπὶ τὸν Ὑδραώτην ἀνέστρεφε. διαβὰς δὲ τὸν Ὑδραώτην, ἐπὶ τὸν Ἀκεσίνην ἐπανῄει ὀπίσω. καὶ ἐνταῦθα καταλαμβάνει τὴν πόλιν ἐξῳκοδομημένην, ἥντινα Ἡφαιστίων αὐτῷ ἐκτειχίσαι ἐτάχθη. καὶ ἐς ταύτην ξυνοικίσας τῶν τε προσχώρων ὅσοι ἐθελονταὶ κατῳκίζοντο, καὶ τῶν μισθοφόρων ὅ,τι περ ἀπόμαχον, αὐτὸς τὰ ἐπὶ τῷ κατάπλῳ παρεσκευάζετο ἐς τὴν μεγάλην θάλασσαν. ἐν τούτῳ δ' ἀφίκοντο πρὸς αὐτὸν Ἀρσάκης τε ὁ τῆς ὁμόρου Ἀβισάρῃ χώρας ὕπαρχος, καὶ ὁ ἀδελ-
F φὸς Ἀβισάρου, καὶ οἱ ἄλλοι οἰκεῖοι, δῶρά τε κομίζοντες ἃ μέγιστα παρ' Ἰνδοῖς, καὶ τοὺς παρ' Ἀβισάρῃ ἐλέφαντας, ἐς τριάκοντα τὸν ἀριθμόν. Ἀβισάρην γὰρ νόσῳ ἀδύνατον γενέσθαι ἐλθεῖν. ξυνέβαινον δὲ τούτοις καὶ οἱ παρ' Ἀλεξάνδρου ἐκπεμφθέντες πρέσβεις πρὸς Ἀβισάρην. καὶ ταῦτα οὐ χαλεπῶς πιστεύσας οὕτως ἔχειν, Ἀβισάρῃ τε τῆς αὐτοῦ χώρας σατραπεύειν ἔδωκε, καὶ Ἀρσάκην τῇ Ἀβισάρου

ἐπικρατείᾳ προσέθηκε· καὶ φόρους οὕστινας ἀποίσουσι τάξας, θύει αὖ καὶ ἐπὶ τῷ Ἀκεσίνῃ ποταμῷ· καὶ τοῦτον διαβὰς, ἐπὶ τὸν Ὑδάσπην ἧκεν, ἵνα καὶ τῶν πόλεων, τῆς τε Νικαίας καὶ τῶν Βουκεφάλων, ὅσα πρὸς τῶν ὄμβρων πεπονηκότα ἦν, ξὺν τῇ στρατιᾷ ἐπεσκεύασε, καὶ τὰ ἄλλα τὰ κατὰ τὴν χώραν ἐκόσμει.

A Abiſaris imperio adiunxit: & tributis quæ penderent imperatis, ad Aceſinem fluuium rurſus ſacrificium fecit. quo tranſmiſſo, ad Hydaſpem venit. vbi quicquid in Nicæa & Bucephala imbres corruperant, militum opera inſtaurauit, aliáque ad regionis illius cuſtodiam pertinentia curauit.

ἈΡΡΙΑΝΟΥ ἹΣΤΟΡΙΩ͂Ν ἈΝΑΒΑ΄ΣΕΩΣ Ἀλεξάνδρου,

Βιβλίον ἕκτον.

Ἀλέξανδρος δὲ, ἐπειδὴ παρεσκευάσθησαν αὐτῷ ἐπὶ τοῦ Ὑδάσπου ταῖς ὄχθαις πολλαὶ μὲν τριακόντοροι καὶ ἡμιόλιοι, πολλὰ δὲ καὶ ἱππαγωγὰ πλοῖα, καὶ ἄλλα ὅσα ἐς παρακομιδὴν στρατιᾶς ποταμῷ εὔπορα, ἔγνω καταπλεῖν κατὰ τὸν Ὑδάσπην, ὡς ἐπὶ τὴν μεγάλην θάλασσαν. πρότερον μέν γε ἐν τῷ Ἰνδῷ ποταμῷ κροκοδείλους ἰδὼν, μόνῳ τῶν ἄλλων ποταμῶν, πλὴν Νείλου, πρὸς δὲ ταῖς ὄχθαις τοῦ Ἀκεσίνου κυάμους πεφυκότας, ὁποίους ἡ γῆ ἐκφέρει ἡ Αἰγυπτία· καὶ ἀκούσας ὅτι ὁ Ἀκεσίνης ἐμβάλλει εἰς τὸν Ἰνδὸν ποταμὸν, ἔδοξεν ἐξευρηκέναι τοῦ Νείλου τὰς ἀρχὰς, ὡς τὸν Νεῖλον ἐνθένδε ποθὲν ἐξ Ἰνδῶν ἀνίσχοντα, καὶ δι' ἐρήμου πολλῆς γῆς ῥέοντα, καὶ ταύτῃ ἀπολλύοντα τὸν Ἰνδὸν τὸ ὄνομα· ἔπειτα ὁπόθεν ἄρχεται διὰ τῆς οἰκουμένης χώρας ῥεῖν, Νεῖλον ἤδη πρὸς Αἰθιόπων τε τῶν ταύτῃ καὶ Αἰγυπτίων καλούμενον (ὡς Ὅμηρος ἐποίησεν ἐπώνυμον τῆς Αἰγύπτου Αἴγυπτον) οὕτω δὴ ἐκδιδόναι ἐς τὴν ἐντὸς θάλασσαν. καὶ δὴ καὶ πρὸς τὴν Ὀλυμπιάδα γράφοντα, ὑπὲρ τῶν Ἰνδῶν τῆς γῆς ἄλλα τε γράψαι καὶ ὅτι δοκοίη αὐτῷ ἐξευρηκέναι τοῦ Νείλου τὰς πηγάς· μικροῖς δή τισι καὶ φαύλοις ὑπὲρ τῶν τηλικούτων τεκμαιρόμενον. ἐπεὶ μέντοι ἀτρεκέστερον ἐξήλεγξε τὰ ἀμφὶ τῷ ποταμῷ τῷ Ἰνδῷ, οὕτω δὴ μαθεῖν παρὰ τῶν ἐπιχωρίων, τὸν μὲν Ὑδάσπην τῷ Ἀκεσίνῃ, τὸν Ἀκεσίνην δὲ τῷ Ἰνδῷ τό,τε ὕδωρ ξυμβάλλοντας, καὶ τῷ ὀνόματι ξυγχωροῦντας. τὸν Ἰνδὸν δὲ ἐκδιδόντα ἤδη ἐς τὴν μεγάλην θάλασσαν, δίστομον τὸν Ἰνδὸν ὄντα, οὐδέν τι αὐτῷ προσῆκον τῆς γῆς τῆς Αἰγυπτίας. τηνικαῦτα δὲ τῆς ἐπιστολῆς τῆς πρὸς τὴν μητέρα τοῦτο ἀμφὶ τῷ Νείλῳ γραφὲν ἀφελεῖν· καὶ τὸν κατάπλουν τὸν κατὰ τοὺς ποταμοὺς ἔστ' ἐπὶ μεγάλην θάλασσαν ἐπινοοῦντα, παρασκευασθῆναι οἱ ἐπὶ τῷδε κελεῦσαι τὰς ναῦς. αἱ δὲ ὑπηρεσίαι αὐτῷ ἐς τὰς ναῦς ξυνεπληρώθησαν ἐκ τῶν ξυνεπομένων τῇ στρατιᾷ Φοινίκων, καὶ Κυπρίων, καὶ Καρῶν, καὶ Αἰγυπτίων. ἐν δὲ τούτῳ, Κοῖνος μὲν ἐν τοῖς πιστοτάτοις Ἀλεξάνδρῳ ὢν τῶν ἑταίρων, νόσῳ τελευτᾷ· καὶ τοῦτον θάπτει ἐκ τῶν παρόντων μεγαλοπρεπῶς. αὐτὸς δὲ ξυναγαγὼν

B ARRIANI HISTORIARVM DE EXPEDItione Alexandri,

Liber ſextus.

C ALEXANDER, quũ iam ad Hydaſpis ripas multas triginta remorum naues & biremes paratas haberet, multas etiam trāſmittēdis equis aptas, cæteráque omnia ad vehendum exercitum neceſſaria, per Hydaſpem ad Oceanum nauigare ſtatuit. Qúmque antea in Indo amne, ſolo ex reliquis fluminibus præter Nilum, crocodilos vidiſſet: fabas etiam ad Aceſinis ripas, quales AEgyptia tellus fert: audiſſétque Aceſinem in Indum fluere: Nili ſe caput reperiſſe arbitrabatur: ſuſpicatus Nilum inde vſpiam in India oriri, & per ingentes ſolitudines fluere, ibíque Indum nomen amittere: deinde D vnde incipit per cultam regionem labi, & Nilum iam atque AEgyptum ab AEthiopibus ea loca colentibus vocatum (quemadmodum etiam Homerus Nilum communi cum AEgypti regione nomine AEgyptũ nominauit) atque ita in *interius mare fluere. Itaque Alexander ad Olympiadem de Indorum regione ſcribens, inter alia hoc ſcribebat, exiſtimare ſe fontes Nili abs ſe repertos eſſe: paruis quibuſdam atque ina- E nibus coniecturis in re tanti momenti vſus. Quum verò accuratiùs de Indo flumine inquiſiſſet, ab incolis edoctus eſt Hydaſpem in Aceſinem, hunc autem in Indum, nomina etiam ſua amittentes labi. Indum porro duplici oſtio in Oceanum ferri, nec ad eum quicquam AEgyptum pertinere: ac tum demum id quod ad matrem ſuam de Nilo ſcripſerat, ex epiſtola deleuiſſe: nauigationéque ad Oceanum per flumina decreta, naues ad hoc parari iuſſiſſe. Remigia ita- F que nauiũ ſtatim ei à Phœnicibus, Cypriis, Caribus & AEgyptiis exercitum ſequutis expleta ſunt. Per id tempus Cœnus ex intimis fideliſſimiſque Alexandri amicis, morbo interiit. Quo magnificè pro eo ac tēpus

*Fac. In mediterraneum mare.

ferebat ſepulto, ipſe conuocatis amicis, omnibúſque Indorum legatis ad ſe profectis, vniuerſæ Indicæ regionis abs ſe victæ Porũ regem conſtituit, gentium quidem omnino ſeptem, vrbiũ autem quas gẽtes illæ incolebãt ſupra II M. Poſt hæc exercitũ ita diuidit. argyraſpidas omnes, & ſagittarios atque Agrianos, & equitum agmen ſecum nauibus imponit: Craterus ei peditum atque equitũ partem ad dexteram Hydaſpis ripam duxit. Ad ſiniſtram ripam Hephæſtionẽ cum maiore melioréque exercitus parte, atque elephantis CC procedere iubet. His imperatũ erat vt quamceleriimè ad "Sopithi regiam contendant. Philippo autem præfecto regionis vltra Indum ſitæ, cui in Bactrianorũ regione triduo ceſſandum erat, iuſſum erat cum ſuis copiis ſequi. Nyſæos verò equites Nyſam remittit. Nearchum vniuerſæ claſſi præficit. Oneſicritum nauis ſuæ gubernatorem conſtituit, qui quidem in ea hiſtoria quam de Alexandro conſcripſit etiam hoc mentitur, quòd ſe claſſis præfectũ fuiſſe ſcribat, quum gubernator nauis tantùm eſſet. Erat autem nauium omnium numerus (vt Ptolemæus Lagi filius tradit, quem ego potiſſimũ ſequor) naues triginta remorũ LXXX. At in vniuerſum omnes naues tã quę equos vehebant quàm actuariæ & fluuiales, quæ aut multo antè aut tum temporis conſtructæ fuerant, circiter II M. Omnibus itaque rebus ad nauigationem præparatis, exercitus ſub auroram naues conſcendit. ipſe patrio more diis & Hydaſpi flumini ex vatum præſcripto ſacrum fecit: conſcenſáque naue, aurea phiala ex prora in flumen fuſa libauit, Aceſinem ſimul & Hydaſpem inuocans: quem quidem Aceſinem reliquorum fluuiorum maximũ in Hydaſpem fluere acceperat, & confluentes non procul inde abeſſe. Indum etiam inuocans, in quem Aceſines cum Hydaſpe fertur. Deinde quum Herculi progenitori libaſſet, ſimúlque Ammoni & aliis diis quibus conſueuerat, ſignum educendis nauibus tuba dari iubet: quo audito, ſtatim naues ordine ſubducuntur. Imperatum enim erat quãto ſpatio actuarias, quanto hippagines, quanto bellicas naues ſeiunctas inter ſe eſſe oporteret: ne temerè nullóque ordine nauigantes colliderentur, neque iis quæ velociores erant interrupto ordine alias præuertere permittebatur. Miranda res erat, remorum ſonitum exaudire, tot nauibus vno temporis momento remigantibus, & naucleris ſuo celeuſmate remigationis initium intermiſſionémque præſcribentibus, tot remigũ vno impetu flumen remis verberantium clamoribus ſublatis. Ripæ etiam ipſæ nauibus multo altiores, clamorem in arctum redigentes multo vehementiorẽ illum ſua compreſſione reddebãt, & nemora vtrinque ripis circumiecta ſonitum illum remorum excipientia multo auctiorem ſua repercuſſione efficiebant. Equi etiam in hippaginibus viſi, (neque enim vnquam antea Indi equos nauibus vehi viderant, neque Dionyſij in Indos expeditionem naualem fuiſſe memorabant) magnam barbaris ad-

Curt. Sophitis.

A τούς τε ἑταίρους, καὶ ὅσοι Ἰνδῶν πρέσβεις παρ' αὐτὸν ἀφιγμένοι ἦσαν, βασιλέα μὲν τῆς ἑαλωκυίας ἤδη Ἰνδῶν γῆς ἀπέδειξε Πῶρον, ἑπτὰ μὲν ἐθνῶν τῶν ξυμπάντων, πόλεων δὲ ἐν τοῖς ἔθνεσιν ὑπὲρ τὰς δισχιλίας. τὴν στρατιὰν δὲ διένειμεν ὧδε. αὐτὸς μὲν τοὺς ὑπασπιστάς τε ἅμα οἱ ξύμπαντας ἐπὶ τὰς ναῦς ἀνεβίβασε, καὶ τοὺς τοξότας, καὶ τοὺς Ἀγριᾶνας, καὶ τὸ ἄγημα τῶν ἱππέων· Κρατερὸς δὲ αὐτῷ μοῖράν τινα τῶν πεζῶν καὶ τῶν ἱππέων παρὰ τὴν ὄχθην τοῦ Ὑδάσπου τὴν ἐν δεξιᾷ ἦγε. κατὰ δὲ τὴν ἑτέραν ὄχθην, τὸ πλεῖστόν τε καὶ κράτιστον

B τῆς στρατιᾶς καὶ τοὺς ἐλέφαντας Ἡφαιστίων προὐχώρει ἄγων, ἤδη ὄντας ἐς διακοσίους. τούτοις δὲ ἦν παρηγγελμένον ὡς τάχιστα ἄγειν, ἵνα περ τὰ Σωπείθου βασίλεια ἦν· Φιλίππῳ δὲ τῷ σατράπῃ τῆς ἐπέκεινα τοῦ Ἰνδοῦ, ὡς ἐπὶ Βακτρίων γῆς, διαλιπόντι τρεῖς ἡμέρας, παρήγγελτο ἕπεσθαι ξὺν τοῖς ἀμφ' αὐτόν. τοὺς ἱππέας δὲ τοὺς Νυσαίους ὀπίσω ἀποπέμπει ἐς τὴν Νῦσαν. τοῦ μὲν δὴ ναυτικοῦ παντὸς Νέαρχος αὐτῷ ἐξηγεῖτο· τῆς δὲ αὐτοῦ νεὼς κυβερνήτης Ὀνησίκριτος, ὃς ἐν τῇ ξυγγραφῇ ἥντινα ὑπὲρ Ἀλεξάνδρου ξυνέγραψε,

C καὶ τοῦτο ἐψεύδετο, ναύαρχον ἑαυτὸν εἶναι γράψας, κυβερνήτην ὄντα. ἦν δὲ τὸ ξύμπαν πλῆθος τῶν νεῶν, (ὡς λέγει Πτολεμαῖος ὁ Λάγου, ᾧ μάλιστα ἐγὼ ἕπομαι) τριακόντοροι μὲν ἐς ὀγδοήκοντα· τὰ δὲ πάντα πλοῖα σὺν τοῖς ἱππαγωγοῖς καὶ κερκούροις, καὶ ὅσα ἄλλα ποτάμια, ἢ τῶν πάλαι πλεόντων κατὰ τοὺς ποταμούς, ἢ ἐν τῷ τότε ποιηθέντων, οὐ πολὺ ἀποδέοντα τῶν δισχιλίων. ὡς δὲ ξύμπαντα αὐτῷ παρεσκεύαστο, ὑπὸ τὴν ἕω ὁ μὲν στρατὸς ἐπέβαινε τῶν νεῶν, αὐτὸς δὲ ἔθυε τοῖς θεοῖς ὡς νόμος, καὶ τῷ ποταμῷ τῷ Ὑδάσπῃ, ὅπως οἱ

D μάντεις ἐξηγοῦντο. καὶ ἐπιβὰς τῆς νεὼς, ἀπὸ τῆς πρώρας ἐκ χρυσῆς φιάλης ἔσπενδεν ἐπὶ τὸν ποταμόν, τόν τε Ἀκεσίνην ξυνεπικαλούμενος τῷ Ὑδάσπῃ, ὅντινα μέγιστον τῶν ἄλλων ποταμῶν ξυμβάλλειν τῷ Ὑδάσπῃ ἐπέπυστο, καὶ οὐ πόρρω αὐτῶν εἶναι τὰς ξυμβολάς· καὶ τὸν Ἰνδόν, ἐς ὅντινα ὁ Ἀκεσίνης ξὺν τῷ Ὑδάσπῃ ἐμβάλλει. ἐπεὶ δὲ Ἡρακλεῖ τε τῷ προπάτορι σπείσας, καὶ Ἄμμωνι, καὶ τοῖς ἄλλοις θεοῖς ὅσοις αὐτῷ νόμος, σημῆναι ἐς ἀναγωγὴν κελεύει τῇ σάλπιγγι· ἅμα τε δὴ ἐσημάνθη, καὶ ἀνήγοντο ἐν κόσμῳ. παρήγγελτο γὰρ ἐφ' ὅσον τε τὰ σκευοφόρα πλοῖα ἐχρῆν τετάχθαι,

E καὶ ἐφ' ὅσον τὰ ἱππαγωγά, ἐφ' ὅσον τε τὰς μαχίμους τῶν νεῶν, ὡς μὴ συμπίπτειν ἀλλήλαις κατὰ τὸν πόρον εἰκῇ πλεούσας· καὶ ταῖς ταχυναυτούσαις φθάνειν οὐκ ἐφίετο ἔξω τῆς τάξεως. ἦν δὲ ὅ,τε κτύπος τῆς εἰρεσίας οὐδενὶ ἄλλῳ ἐοικώς, ἅτε ἀπὸ πολλῶν νεῶν ἐν ταὐτῷ ἐρεσσομένων, καὶ βοὴ ἀπό τε τῶν κελευστῶν ἐνδιδόντων τὰς ἀρχάς τε καὶ ἀναπαύλας τῇ εἰρεσίᾳ, καὶ τῶν ἐρετῶν, ὁπότε ἀθρόοι ἐμπίπτοντες τῷ ῥοθίῳ ἐπαλαλάξειαν. αἵ τε ὄχθαι ὑψηλότεραι τῶν νεῶν πολλαχῇ οὖσαι, ἐς

F στενόν τε τὴν βοὴν ξυνάγουσαι, καὶ τῇ ξυναγωγῇ αὐτῇ ἐπὶ μέγα ηὐξημένην ἐς ἀλλήλας ἀντέπεμπον· καί που καὶ νάπαι ἑκατέρωθεν τοῦ ποταμοῦ τῇ τ' ἐρημίᾳ καὶ τῇ ἀντιπέμψει τοῦ κτύπου, καὶ αὐταὶ ξυνεπελάμβανον· οἵ τε ἵπποι διαφαινόμενοι διὰ τῶν ἱππαγωγῶν πλοίων (οὐ πρόσθεν ἵπποι ἐπὶ νεῶν ὀφθέντες ἐν τῇ Ἰνδῶν γῇ· καὶ γὰρ καὶ τὸν Διονύσου ἐπ' Ἰνδοὺς στόλον οὐκ ἐμέμνηντο γενέσθαι ναυτικόν) ἔκπληξιν παρεῖχον τοῖς θεωμένοις τῶν βαρβάρων. ὥστε οἱ μὲν

αὐτόθεν τῇ ἀναγωγῇ παραγιγνόμενοι, ἐπὶ πολὺ ἐφωμάρτουν. ἐς ὅσους δὲ τῶν ἤδη Ἀλεξάνδρῳ προσκεχωρηκότων Ἰνδῶν ἡ βοὴ τῶν ἐρετῶν ἢ ὁ κτύπος τῆς εἰρεσίας ἐξίκετο, καὶ οὗτοι ἐπὶ τὴν ὄχθην κατέθεον, καὶ ξυνείποντο ἐπᾴδοντες βαρβαρικῶς. φιλῳδοὶ γὰρ εἴπερ τινὲς ἄλλοι, Ἰνδοί, καὶ φιλορχήμονες ἀπὸ Διονύσου ἔτι, καὶ τῶν ἅμα Διονύσῳ βακχευσάντων κατὰ τὴν Ἰνδῶν γῆν. οὕτω δὴ πλέων, τρίτῃ γε ἡμέρᾳ κατέσχεν, ἵνα περ Ἡφαιστίωνί τε καὶ Κρατερῷ κατὰ τὸ αὐτὸ στρατοπεδεύειν ἐπὶ ταῖς ἀντιπέρας ὄχθαις παρήγγελτο. μείνας δὲ ἐνταῦθα ἡμέρας δύο, ὡς καὶ Φίλιππος αὐτῷ ξὺν τῇ λοιπῇ στρατιᾷ ἀφίκετο, τοῦτον μὲν ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν ἐκπέμπει ξὺν οἷς ἔχων ἧκε, τάξας παρὰ τοῦ Ἀκεσίνου ποταμοῦ τὴν ὄχθην πορεύεσθαι· τοὺς δ᾽ ἀμφὶ Κρατερόν τε καὶ Ἡφαιστίωνα αὖθις ἐκπέμπει, παραγγείλας ὅπως χρὴ τὴν πορείαν ποιεῖσθαι. αὐτὸς δ᾽ ἔπλει κατὰ τὸν Ὑδάσπην ποταμόν, οὐδαμοῦ μείονα ἐν τῷ κατάπλῳ εἴκοσι σταδίων τὸ εὖρος. προσορμιζόμενος δὲ ὅπῃ τύχοι ταῖς ὄχθαις, τοὺς προσοικοῦντας τῷ Ὑδάσπῃ Ἰνδούς, τοὺς μὲν ἐνδιδόντας σφᾶς ὁμολογίαις κατελάμβανεν· ἤδη δέ τινας καὶ ἐς ἀλκὴν χωρήσαντας, βίᾳ κατεστρέψατο. αὐτὸς δ᾽ ὡς ἐπὶ τὴν Μαλλῶν τε καὶ Ὀξυδρακῶν γῆν σπουδῇ ἔπλει, πλείστους τε καὶ μαχιμωτάτους τῶν ταύτῃ Ἰνδῶν πυνθανόμενος· καὶ ὅτι ἐξηγγέλλοντο αὐτῷ παῖδας μὲν καὶ γυναῖκας ἀποτεθεῖσθαι ἐς τὰς ὀχυρωτάτας τῶν πόλεων, αὐτοὶ δὲ ἐγνωκέναι διὰ μάχης ἰέναι πρὸς αὐτόν. ἐφ᾽ ὅτῳ δὴ καὶ σπουδῇ πλείονι ἐποιεῖτο τὸν πλοῦν, ὅπως μὴ καθεστηκόσιν αὐτοῖς, ἀλλὰ ἐν τῷ ἐνδεεῖ τι ἔτι τῆς παρασκευῆς καὶ τεταραγμένοις προσφέρηται. ἔνθεν δὲ ὡρμήθη τὸ δεύτερον, καὶ πέμπτῃ ἡμέρᾳ ἀφίκετο ἐπὶ τὴν ξυμβολὴν τοῦ τε Ὑδάσπου καὶ τοῦ Ἀκεσίνου. ἵνα δὲ ξυμβάλλουσιν οἱ ποταμοὶ οὗτοι, στενότατος εἷς ποταμὸς ἐκ τοῖν δυοῖν γίγνεται, καὶ τὸ ῥεῦμα αὐτῷ ὀξὺ ἐπὶ τῇ στενότητι, καὶ δῖναι ἄτοποι ὑποστρέφοντος τοῦ ῥοῦ· καὶ τὸ ὕδωρ κυμαίνεταί τε καὶ καχλάζει ἐπὶ μέγα, ὡς καὶ πόρρω ἔτι ὄντων ἐξακούεσθαι τὸν κτύπον τοῦ κύματος. καὶ ἦν μὲν προεξηγγελμένα ταῦτα Ἀλεξάνδρῳ ἐκ τῶν ἐγχωρίων καὶ Ἀλεξάνδρου τῇ στρατιᾷ· ὅμως δ᾽ ἐπειδὴ ἐπέλαζεν αὐτοῦ ταῖς ξυμβολαῖς ὁ στρατός, ἐς τόσονδε ὁ ἀπὸ τοῦ ῥοῦ κτύπος κατεῖχεν, ὥστε ἐπέσχον τὰς εἰρεσίας οἱ ναῦται, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ τῶν τε κελευστῶν ὑπὸ θαύματος ἐκσιωπησάντων, καὶ αὐτοὶ μετέωροι πρὸς τὸν κτύπον γιγνόμενοι. ὡς δ᾽ οὐ πόρρω τῆς ξυμβολῆς ἦσαν, ἐνταῦθα δὴ οἱ κυβερνῆται παραγγέλλουσιν ὡς βιαιοτάτῃ εἰρεσίᾳ χρωμένους ἐξελαύνειν ἐκ τῶν στενῶν, τοῦ μὴ ἐμπιπτούσας τὰς ναῦς ἐς τὰς δίνας ἀναστρέφεσθαι πρὸς αὐτῶν, ἀλλὰ κρατεῖν γὰρ τῇ εἰρεσίᾳ τῶν ἐπιστροφῶν τοῦ ὕδατος. τὰ μὲν δὴ στρογγύλα πλοῖα ὅσα καὶ ἔτυχεν αὐτῶν περιστραφέντα πρὸς τοῦ ῥοῦ, οὐδέν τι παθόντα ἐν τῇ ἐπιστροφῇ, ὅτι μὴ ταράξαντα τοὺς ἐμπλέοντας, κατέστη ἐς εὐθὺ πρὸς αὐτοῦ τοῦ ῥοῦ ὀρθωθέντα· αἱ δὲ μακραὶ νῆες, οὐχ ὡσαύτως ἀπαθεῖς ἀπῆλθον ἐν τῇ ἐπιστροφῇ, οὔτε μετέωροι ἐπὶ τοῦ ἐπικαχλάζοντος κύματος ὡσαύτως οὖσαι· ὅσαι τε δίκροτοι αὐτῶν τὰς κάτω κώπας οὐκ ἐπὶ πολὺ ἔξω ἔχουσαι τοῦ ὕδατος· καὶ αἱ κῶπαι δὲ αὐταῖς πλαγίαις ἐν ταῖς δίναις γιγνομέναις συνετρίβοντο, ὅσων γε ἐγκατελήφθησαν

A mirationem inferebant. adeo vt multi claſſem inde diſcedentem per longum ſpatium proſequuti ſint. Quotquot vero Indi Alexãdro amici è remotioribus locis remigum clamorem & remigiorum ſonitum exaudierant, etiam hi ad ripam accurrentes barbarico ritu accinebãt. Studioſi enim muſices, ſiqui alij, ſunt Indi: ſaltationibus quoque addicti iam inde à Libero patre, corúmque qui in India bacchati ſunt tempore. Alexãder hoc pacto nauigans tertio die eo loci appulit, quo Craterum & Hephæſtionem in
B vtraque ripa caſtra locare iuſſerat. biduum ibi cõmoratus dum Philippus cum reliquo exercitu adueniſſet, atque hunc quidem cum iis quos adduxit ad Aceſinẽ fluuium mittit, iuxta fluminis ripam iter facere iuſſum. Craterum etiam & Hephæſtionem rurſus emittit, itineris quod tenerent ratione præſcripta. Ipſe per Hydaſpem fluuium nauigationem perſequebatur, nuſquam x x ſtadiorum ſpatio anguſtiorem. vbicunque appellebat,
C Indos Hydaſpis ripã accolentes partim deditionem facientes in amicitiam ac fidem recipiebat, partim ad arma confugientes vi ſubigebat. Porro magna celeritate in Mallos & Oxydracas contendebat, quòd & plurimos eos & bellicoſiſſimos illius tractus eſſe acceperat: quódque liberis atque vxoribus in munitiſſima oppida traductis, ipſi prælio cum Alexandro decernere ſtatuiſſe nuntiarentur: tantóque magis accelerandũ ſibi putabat, vt eos nondum cõſtitutos ſed apparandis rebus perturbatos opprimeret.
D Itaque inde rurſum mouit, & quinto die ad confluẽtem Hydaſpis & Aceſinis peruenit. vbi verò hi duo fluuij confunduntur, vnus ex duobus iſque anguſtiſſimus alueus efficitur, rapidúſque eius ob anguſtiam curſus fit, & ingentes vortices voluit: æſtuantéſque & colliſi inter ſe fluctus, ſonitum in loca longiſſimè inde remota tranſmittunt. Quę quidem multo antè Alexandro eiúſque exercitui ab incolis prædicta fuerant: poſtquam tamẽ confluentibus appropinquauit, tantus fluminum concurrentium ſonitus remigum
E aures peruaſit, vt nautæ remos remitterent, non quòd ita eis imperatum eſſet, ſed quòd naucleri ipſi admiratione rei perculſi conticeſcerent, ſoni vehementia attonitis ſimiles redditi. Quum verò iam ad confluentes ventum eſſet, gubernatores nauiũ imperant vt ſumma vi remigãtes ex anguſtiis naues protrudant, ne à vorticibus correptæ ſubuerterẽtur, ſed remigiorum impulſu fluctuũ vim frangant: & rotundiora quidem nauigia, quæ vorticibus circumagi contigit, nihil aliud quàm eorũ qui in iis nauigabãt pertur-
F bationem paſſa, ſtatim erecta curſum ſuum tenuerunt. Oblongæ verò naues, quarum latera non ita alta erant vt collidentium vndarum impetum ferrent, maius à vorticibus damnum acceperunt: vt & biremes, quippe quarum inferiores remi parum admodũ ſupra vndas eminerent. quúmque tranſuerſæ in ipſis fluctibus hærerent, neque remos attollere poſſent, facilè vndarum vi con-

Curt. Aceſines Hydaſpi confunditur. Cæterùm amnium cœtus maritimus ſimiles fluctus mouent, multóque ac turbido limo, quod aquarum concurſu ſubinde turbatur, iter qua meant nauigiis in tenuẽ alueum cogunt.

Ver. cod. ἐκσιωπήσαντες.

Curt. In oculis duo maiora omniū nauigia ſubmerſa ſunt. leuiora, quum & ipſa nequirent regi, in ripam tamen innoxia expulſa ſunt.

fringebãtur. Multæ itaq; naues quaſſatæ, duæ inter ſe colliſæ, cum multis qui eis vehebantur, perierunt. At poſtquam fluminis alueus ſeſe aperire cœpit, mitiore iam curſu, minúſque violentis vorticibus redditis, Alexander claſſe ad dextram ripam appulſa, quòd ibi ſinus quidam erat quem rupes fluctibus obiecta tutum ad ſubducendas naues faciebat, eas ſimul & ſiqui adhuc viui euaſerant recepit. Poſthæc refectis nauibus, Nearchum nauigationem, donec ad Mallorum fines perueniat, continuare iubet: ipſe verò in barbaros qui deditionem non fecerant excurſione facta, quum iis ne Mallis ſuppetias ferrent interdixiſſet, ad claſſem reuerſus eſt: ibique Hephæſtionem, Craterum & Philippum cum ſuis quēque copiis reperit. Ipſe, elephantis & Polyperchōtis cōpiis, & ſagittariis equeſtribus ac Philippo per Hydaſpem tranſmiſsis, Cratero eas ducendas dat. Nearchum verò cum claſſe mittit, præcipiens vti trium dierum itinere exercitum præuertat. Reliquas copias in tres partes diuiſit: atque Hephæſtionem quidem quinque dierum iter præcedere iubet, vt ſiqui Alexandri aduentum fugientes in vlteriora ſeſe celeriter proriperent, in Hephæſtionem incidentes caperentur. Ptolemæum autem Lagi filium, data etiam huic exercitus parte, triduo poſt ſuum diſceſſum ſequi iubet: eo conſilio vt qui fugiētes retrorſum ſe reciperent, in Ptolemæi copias inciderent. quum verò ad confluentes Aceſinis & Hydraotis perueniſſent, eos qui prætergreſsi erant expectare iuſsit, dum & ipſe eò veniat, & Crateri ac Ptolemęi copiæ ei coniunctæ ſint. Ipſe, ſumtis argyraſpidibus, & ſagittariis atque Agrianis, & Pythonis agmine, quod iis qui Aſſeteri vocantur conſtabat, ſagittariis etiam equeſtribus omnibus, & ex equitatu amicorum dimidia parte, per ſiticuloſam regionem cōtendit in Mallos, Indorū liberè ſuis legibus viuentiū gentem. Ac primo quidem die iuxta amnem non magnum caſtra locauit, diſtantem ab Aceſine ſtadiis centum. Ibi curato corpore, & exigui tēporis quiete militibus data, mandat vt quas quiſque lagenas habeat aqua repleat. Progreſſúſque per id quod ſupererat diei & per noctem totam ad XL circiter ſtadia, ſub lucem ad vrbem peruenit in quam multi Mallorum confugerant. qui quòd putaſſent Alexandrum nunquam per ſiticuloſa illa loca ad ſeſe venturum, extra vrbem inermes vagabantur: quum tādem ſenſerunt Alexandrum illac exercitum duxiſſe, qua quia difficulter duci poterat, veriſimile hoſtibus viſum fuerat non ducturum. Quum itaque his ex improuiſo ſuperueniſſet, pleroſque eorum ne ad tutandos quidem ſeſe, vtpote inermes, conuerſos, occidit. aliis in vrbem repulſis ac concluſis, equitatu loco valli (peditum enim phalanx eum aſſequuta non erat) muros in orbem cinxit. Statim verò ac peditatus aduenit, Perdiccam quidem cum ſuis & Cliti equeſtribus copiis, cúmque Agrianis, ad aliam Mallorum vrbem obſiden-

A ὑπὸ τοῦ ὕδατος, οὐ φθασάντων αὐτὰς μετεωρίσαι· ὡς πολλὰς μὲν πονῆσαι τῶν νεῶν, δύο δὲ περιπεσούσας ἀλλήλαις, αὐτάς τε διαφθαρῆναι, καὶ τῶν ἐμπλεόντων ἐν αὐταῖς πολλούς. ὡς δὲ ἐς πλάτος ἤδη ὁ ποταμὸς διέσχεν, ἐνταῦθα δὴ ὅ,τε ῥοῦς οὐκέτι ὡσαύτως χαλεπὸς ἦν, καὶ αἱ δῖναι οὐχ ὁμοίᾳ τῇ βίᾳ ἐπέστρεφον. προσορμίσας οὖν τῇ ἐν δεξιᾷ ὄχθῃ ὁ Ἀλέξανδρος τὸν στρατὸν, ἵνα σκέπη τε ἦν τοῦ ῥοῦ καὶ προσβολὴ ταῖς ναυσὶ, καί τις καὶ ἄκρα τοῦ ποταμοῦ ἐπιτηδείως ἀνεῖχεν ἐς τῶν ναυαγίων τε τὴν ξυναγωγὴν, καὶ εἴτινες ἐπ' αὐτῶν
B ζῶντες ἔτι ἐφέροντο, τούτους τε διέσωσε· καὶ ἐπισκευάσας τὰς πεπονηκυίας τῶν νεῶν, Νέαρχον μὲν καταπλεῖν κελεύει, ἔστ' ἂν ἀφίκηται ἐπὶ τὰ ὅρια τοῦ Μαλλῶν ἔθνους· αὐτὸς δὲ τῶν βαρβάρων τῶν οὐ προσχωρούντων καταδρομὴν τῆς χώρας ποιησάμενος, καὶ κωλύσας ἐπικουρῆσαι αὐτοὺς τοῖς Μαλλοῖς, οὕτω δὴ αὖθις ξυνέμιξε τῷ ναυτικῷ. καὶ ἐνταῦθα Ἡφαιστίων τε αὐτῷ καὶ Κρατερὸς καὶ Φίλιππος ξὺν τοῖς ἀμφ' αὐτοὺς ὁμοῦ ἤδη ἦσαν. ὁ δὲ τοὺς μὲν ἐλέφαντας, καὶ τὴν Πολυπέρχοντος τάξιν, καὶ τοὺς ἱπποτοξότας, καὶ Φίλιππον ξὺν τῇ ἀμφ' αὐτὸν στρατιᾷ, διαβιβάσας τὸν Ὑδάσπην ποταμὸν,
C Κρατερῷ ἄγειν προσέταξε. Νέαρχον δὲ ξὺν τῷ ναυτικῷ πέμπει, τρισὶν ἡμέραις τὴν στρατιὰν κελεύσας φθάνειν κατὰ τὸν πλοῦν· τὸν δὲ ἄλλον στρατὸν τριχῇ διένειμε. καὶ Ἡφαιστίωνα μὲν πέντε ἡμέραις προϊέναι ἔταξεν, ὡς εἴ τινες τοὺς ξὺν αὐτῷ τεταγμένους φεύγοντες ἐς τὸ πρόσω κατὰ σπουδὴν ἴοιεν, τοῖς ἀμφ' Ἡφαιστίωνα ἐμπίπτοντες ἁλίσκωνται. Πτολεμαῖον δὲ τὸν Λάγου, δοὺς καὶ τούτῳ τῆς στρατιᾶς μέρος, τρισὶν ἡμέραις ὑπολειπόμενον ἕπεσθαι ἐκέλευσεν, ὡς ὅσοι τοὔμπαλιν ὑποστρέφοιεν αὐτὸν φεύγοντες, οὗτοι δὲ εἰς τοὺς ἀμφὶ τὸν Πτολεμαῖον
D ἐμπίπτοιεν. ἐπὰν δ' ἀφίκωνται ἐς τὰς ξυμβολὰς τοῦ τε Ἀκεσίνου καὶ τοῦ Ὑδραώτου ποταμοῦ, ἐνταῦθα δὲ τούς τε φθάνοντας ὑπομένειν ἐκέλευσεν, ἔστ' ἂν ἥκῃ αὐτὸς, καὶ τοὺς ἀμφὶ Κρατερὸν καὶ Πτολεμαῖον αὐτῷ ξυμβαλεῖν. αὐτὸς δ' ἀναλαβὼν τοὺς ὑπασπιστάς τε καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας, καὶ τῶν Ἀσθετέρων καλουμένων τὴν Πύθωνος τάξιν, καὶ τοὺς ἱπποτοξότας τε πάντας, καὶ τῶν ἱππέων τῶν ἑταίρων τοὺς ἡμίσεας, διὰ γῆς ἀνύδρου ὡς ἐπὶ Μαλλοὺς ἦγεν, ἔθνος Ἰνδικὸν, Ἰνδῶν τῶν αὐτονόμων. καὶ τῇ μὲν πρώτῃ κατεστρατοπέδευσε πρὸς ὕδατι οὐ
E πολλῷ, ὃ δὴ ἀπεῖχε τοῦ Ἀκεσίνου ποταμοῦ σταδίους ἐς ἑκατόν. δειπνοποιησάμενος δὲ καὶ ἀναπαύσας τὴν στρατιὰν οὐ πολὺν χρόνον, παραγγέλλει ὅ,τι τις ἔχει ἀγγεῖος ἐμπλῆσαι ὕδατος. διελθὼν δὲ τῆς τε ἡμέρας τὸ ἔτι ὑπολειπόμενον καὶ τὴν νύκτα ὅλην ἐς τετρακοσίους μάλιστα σταδίους, ἅμα ἡμέρᾳ πρὸς πόλιν ἀφίκετο ἐς ἣν ξυμπεφεύγεσαν πολλοὶ τῶν Μαλλῶν. οἱ δὲ οὔποτ' ἂν οἰηθέντες διὰ τῆς ἀνύδρου ἐλθεῖν ἐπὶ σφᾶς Ἀλέξανδρον, ἔξω τε τῆς πόλεως οἱ πολλοὶ καὶ ἄνοπλοι ἦσαν. ἐφ' ὅτῳ καὶ δῆλος ἐγένετο ταύτῃ ἀγαγὼν Ἀλέξανδρος, ὅτι αὐτῷ ἀγα-
F γεῖν χαλεπὸν ἦν, ἐπὶ τῷδε. οὐδὲ τοῖς πολεμίοις ὅτι ἄξει πιστὸν ἐφαίνετο. τούτοις μὲν δὴ οὐ προσδοκήσασιν ἐπιπεσὼν, τοὺς μὲν πολλοὺς ἀπέκτεινεν αὐτῶν, οὐδὲ ἐς ἀλκὴν οἷα δὴ ἀνόπλους τραπέντας· τῶν δὲ ἄλλων ἐς τὴν πόλιν κατειληθέντων, κύκλῳ περιστήσας τῷ τείχει τοὺς ἱππέας (ὅτι μήπω ἡ φάλαγξ τῶν πεζῶν ἠκολουθήκει αὐτῷ) ἀντὶ χάρακος ἐχρήσατο τῇ ἵππῳ. ὡς δὲ τάχιστα οἱ πεζοὶ ἀφίκοντο, Περδίκκαν μὲν τήν τε αὐτοῦ ἱππαρχίαν ἔχοντα καὶ τὴν Κλείτου, καὶ τοὺς Ἀγριᾶνας, πρὸς

A ἄλλην πόλιν ἐκπέμπει τῶν Μαλλῶν, ἐς ἣν ξυμπεφευγότες ἦσαν πολλοὶ τῶν ταύτῃ Ἰνδῶν, φυλάσσειν τοὺς ἐν τῇ πόλει κελεύσας· ἔργου δὲ μὴ ἔχεσθαι, ἔστ' ἂν ἀφίκηται αὐτός· ὡς μηδὲ ἀπὸ ταύτης τῆς πόλεως διαφυγόντας τινὰς αὐτῶν ἀγγέλους γίγνεσθαι τοῖς ἄλλοις βαρβάροις, ὅτι προσάγει ἤδη Ἀλέξανδρος. αὐτὸς δὲ προσβάλλει τῷ τείχει· οἱ δὲ βάρβαροι τὸ μὲν τεῖχος ἐκλείπουσιν, ὡς οὐκ ἂν διαφυλάξοντες αὐτὸ ἔτι, πολλῶν ἐν τῇ καταλήψει τεθνηκότων, τῶν δὲ καὶ ἀπὸ τραυμάτων ἀπομάχων γεγενημένων· ἐς δὲ τὴν ἄκραν ξυμφυγόντων, χρόνον μέν τινα ἠμύνοντο ἐξ B ὑπερδεξίου τε χωρίου καὶ χαλεποῦ ἐς προσβολήν. προσκειμένων δὲ πάντοθεν διερρωμένως τῶν Μακεδόνων, καὶ αὐτοῦ Ἀλεξάνδρου ἄλλοτε ἄλλῃ ἐπιφαινομένου τῷ ἔργῳ, ἥ τε ἄκρα κατὰ κράτος ἑάλω, καὶ οἱ ξυμφυγόντες ἐς αὐτὴν πάντες ἀπέθανον· ἦσαν δὲ ἐς δισχιλίους. Περδίκκας δὲ ἐς τὴν πόλιν ἐφ' ἣν τινα ἐστάλη ἀφικόμενος, τὴν μὲν πόλιν ἔρημον καταλαμβάνει· μαθὼν δὲ ὅτι οὐ πρὸ πολλοῦ πεφεύγασιν ἐξ αὐτῆς οἱ ἐνοικοῦντες, δρόμῳ ἤλαυνε κατὰ στίβον τῶν φευγόντων. οἱ δὲ ψιλοὶ ὡς τάχους εἶχον ποδῶν αὐτῷ ἐφείποντο. C καταλαβὼν δὲ τῶν φευγόντων κατέκοψεν, ὅσοι γε μὴ ἔφθησαν ἐς τὰ ἕλη ξυμφυγόντες. Ἀλέξανδρος δὲ δειπνοποιησάμενός τε καὶ ἀναπαύσας τοὺς ἀμφ' αὐτὸν, ἔς τε ἐπὶ πρώτην φυλακὴν, ᾔει τοῦ πρόσω· καὶ τὴν νύκτα διελθὼν πολλὴν ὁδὸν, ἅμα ἡμέρᾳ ἀφίκετο πρὸς τὸν Ὑδραώτην ποταμόν. ἔνθα δὴ τῶν Μαλλῶν τοὺς μὲν πολλοὺς διαβεβηκότας ἤδη ἔμαθε, τοῖς δὲ καὶ διαβαίνουσιν ἐπιγενόμενος περὶ αὐτὸν τὸν πόρον, πολλοὺς αὐτῶν διέφθειρε· καὶ αὐτὸς ὡς εἶχε ξυνδιαβὰς κατὰ τὸν αὐτὸν πόρον, διώκων εἴχετο τῶν φθα- D σάντων ἐς τὴν ἀποχώρησιν· καὶ πολλοὺς μὲν ἀπέκτεινεν αὐτῶν, τοὺς δὲ καὶ ζῶντας ἔλαβεν. οἱ πλείους δὲ κατέφυγον ἔς τι χωρίον ὀχυρὸν καὶ τετειχισμένον. Ἀλέξανδρος δὲ, ὡς οἱ πεζοὶ ἀφίκοντο αὐτῷ, ἀποστέλλει ἐπὶ τούτους Πύθωνα, τήν τε αὐτοῦ τάξιν ἔχοντα, καὶ τῶν ἱππέων δύο ἱππαρχίας. καὶ οὗτοι δὴ ἐξ ἐφόδου προσβαλόντες λαμβάνουσι τὸ χωρίον, καὶ τοὺς καταπεφευγότας ἐς αὐτὸ ἠνδραπόδισαν, ὅσοι γε μὴ ἐν τῇ προσβολῇ διεφθάρησαν. ταῦτα δὲ οἱ ἀμφὶ τὸν Πύθωνα διαπραξάμενοι, ἐπανῆλθον αὖθις ἐς τὸ E στρατόπεδον. αὐτὸς δὲ Ἀλέξανδρος ὡς ἐπὶ τῶν Βραχμάνων τινὰ πόλιν ἦγεν, ὅτι καὶ ἐς ταύτην ξυμπεφευγέναι τινὰς τῶν Μαλλῶν ἔμαθεν. ὡς δὲ ἀφίκετο πρὸς αὐτὴν, ἐπῆγε τῷ τείχει πάντοθεν πυκνὴν τὴν φάλαγγα· οἱ δὲ ὑπορυσσόμενα τὰ τείχη ἰδόντες, καὶ ἐκ τῶν βελῶν ἀναστελλόμενοι, τὰ μὲν τείχη καὶ οὗτοι ἐκλείπουσιν, ἐς δὲ τὴν ἄκραν ξυμφυγόντες, ἐκεῖθεν ἠμύνοντο. ξυνεισπεσόντων δὲ αὐτοῖς ὀλίγων Μακεδόνων, μεταβαλλόμενοι καὶ ξυστραφέντες, τοὺς μὲν ἐξέωσαν αὐτῶν, ἀπέκτειναν δὲ ἐν τῇ ὑποστροφῇ ἐς πέντε καὶ εἴ- F κοσι. καὶ ἐν τούτῳ Ἀλέξανδρος τάς τε κλίμακας πάντοθεν κελεύει προστεθῆναι τῇ ἄκρᾳ καὶ ὑπορύττειν τὸ τεῖχος. ὡς δὲ πύργος τε ἔπεσεν ὑπορυσσόμενος καὶ τοῦ μεταπυργίου τι παραρραγὲν ἐπιμαχωτέραν ταύτῃ ἐποίησε τὴν ἄκραν, πρῶτος Ἀλέξανδρος ἐπιβὰς τοῦ τείχους ὤφθη ἔχων τὸ τεῖχος. καὶ τοῦτον ἰδόντες οἱ ἄλλοι Μακεδόνες, αἰσχυνθέντες ἄλλος ἄλλῃ ἀνῄεσαν. εἴχετό τε ἤδη ἡ ἄκρα· καὶ τῶν Ἰνδῶν οἱ μὲν τὰς οἰκίας ἐνεπίμπρασαν, καὶ ἐν αὐταῖς ἐγκαταλαμβανόμενοι ἀπέθνησκον· οἱ πολλοὶ δὲ μαχόμενοι αὐτῶν.

A dam mittit, in quam Indorum non paruam manum confugiſſe acceperat: mandans, vt eos vrbe incluſos teneant, neque oppugnationem aggrediantur donec ipſe aduenerit: tantùm curent, ne qui vrbe elapſi alios barbaros de Alexandri aduentu certiores faciãt. Poſthæc vrbem oppugnare cœpit. barbari murum deſerunt, deſperantes nimirum ſe diu eum tueri poſſe, multis in expugnatione cæſis. quúmque multi vulneribus acceptis inutiles ad pugnãdum effecti in arcem ſeſe recepiſſent, ij ſe aliquandiu ex loco edi- B to aditúque difficili tutati ſunt. At quum Macedones omni ex parte fortiter vrgerent, & Alexander ipſe acriter inſtaret, arx vi capta eſt, quíque in eam confugerant, (11. M. hi erant) ad vnum omnes cæſi. Perdiccas ad vrbem quam obſidere iuſſus fuerat profectus, eam ab incolis deſertam reperit: quos quum non multo antè tempore effugiſſe cognouiſſet, curſim fugientium veſtigia ſectatus eſt. Expediti quanta maxima celeritate pedum potuerunt cum ſequuti C ſunt. eos in fuga nactus, omnes fere occidit: reliquis paluſtria loca ſaluti fuerunt. Alexãder, curato corpore & quiete ſuis data, ad primam noctis vigiliam progreſſus eſt: magnúmque iter ea nocte emenſus, ſub diluculum ad Hydraotem fluuium peruenit: ac multos quidem Mallorum iam amnem tranſgreſſos cognouit: alios alueum tranſeuntes adortus, pleroſque interfecit, amnéque pertranſito, eos qui tranſmiſerant conſequutus, multos ex iis cæcidit, multos cepit. Maxima tamen pars in oppidum natu- D ra atque opere munitum ſe recepit. Alexander, poſtquam peditatus aduenit, Pythonem in eos mittit cum ſuo aliiſque duobus equitum agminibus. qui quidem primo impetu illapſi oppidum capiunt, omnibus qui eò confugerant (qui quidem in illo impetu interfecti non erant) in ſeruitutem redactis. quo facto Python in caſtra rediit. Alexander deinde in quandam Brachmanorum vrbem exercitum duxit, quò aliam Mallorũ manum confugiſſe audierat. Eò ſimulac ve- E nit denſam phalangem omni ex parte muro admouit. Oppidani, muros ſuffoſſos conſpicati, & telis petiti deſertis mœnibus in arcem confugiunt, & ex ea ſe tuentur. Macedonibus verò aliquot vnà cum iis immiſtis atque in arcẽ illapſis, conuerſi & in vnũ collecti nonnullos ex iis extruſerũt, occiderũt autẽ XXV dum in eos pedẽ referrent. Inter hæc Alexãder ſcalas vndequaque arci admoueri iubet, & murum ſuffodi. quo ſuffoſſo quum turris quædam concidiſſet, & pars a- F liqua interturrij perfracta faciliorem arcis oppugnationem feciſſet, ipſe primus murum conſcendit. quo viſo, alij Macedones pudore ſuffuſi, alius alia in murum euadũt. Iámq; arx victa erat, quũ Indorũ alij ſuccẽſis ſuis ædibus ipſi etiam earum incendio perierunt: plerique pugnantes interfecti.

Curt. Quũ in obſidione perſeueraſſet, oppidani deſperata ſalute ſubiecere ignem tectis, ſe quoque ac liberos coniugeſque incendio cremant.

Quinque in vniuerſum millia cæſa: pauci (tāta eorum virtus fuit) viui in poteſtatem venerunt. Alexander vnum diem ibi commoratus, quiete exercitui data, poſtridie in alios Mallos mouit, quos quidem vrbes deſeruiſſe & in ſolitudines ſeſe abdidiſſe cognouit. Ibi etiam vno die cum exercitu ſubſtitit. poſtero die Pythonem & Demetrium equeſtris agminis præfectum retro ad flumen miſit, quibus ad copias quas ducebant expeditorum cohortes aliquot, quæ rei gerendæ ſufficerent, adiunxit: mandatis additis, vt ad ripam fluminis iter facientes, ſiquos eorum qui in ſyluas ripis circumiectas cōfugerāt repeririſſent, niſi ſponte deditionem facerent, interficerent. Multos itaque in ſyluis nacti occidêre. Ipſe in maximam Mallorum vrbem exercitum duxit, in quam etiam ex aliis oppidis multi ſeſe recepiſſe nūtiabantur. Sed & hanc Indi, ſimulatque Alexandrū aduentare intellexerant, deſeruerant, tranſitóq; Hydraote fluuio, in ripis eius quæ altæ in primis erant aciem inſtruxerant, tanquam tranſitu prohibituri. Quo cognito, Alexander confeſtim ad eam fluminis partem vbi conſederant equitatum ducit, peditatu ſequi iuſſo. qúmque ad Hydraotem amnem veniſſet, hoſtes in aduerſa ripa inſtructa acie ſtantes conſpicatus, ita vt ex itinere aduenerat amnem cum ſolo equitatu ingreditur. Indi Alexandrum in medio amnis conſtitutum conſpicati, celeriter, ordinatè tamen, à ripa recedunt. Alexander eos cum ſolo equitatu inſequitur. Indi, quum equitatum ſolum eſſe ſenſiſſent, conuerſi acriter pugnant. Indorum quinquaginta circiter millia erant. Alexander confertam eorum phalangem videns, quum peditatum ſecum non haberet, excurſiones obequitando faciebat, prælium nequaquam committendum cenſens. quum interea Agriani, aliáque expeditorum agmina, quos ſelectiſsimos ſecum ducebat, & ſagittarij, aduoniunt: & peditum phalanx haud procul inde apparebat. Indi tot ſimul malis preſsi concitato curſu in vicinam vrbem munitam confugiunt. quos inſequutus Alexander, multos interficit: qúmque iam vrbe concluſi eſſent, primo quidem acceſſu muros equitatu cingit: poſtquā verò peditatus aduenit, eo ipſo quidē die vrbē circumſidet: quòd & parum diei ad impetum faciendum reliquum eſſet, & pedites longo itinere, equitéſque continua hoſtium perſecutione ipſóque fluminis trāſitu defatigati eſſent. Poſtero verò die diuiſo in duas partes exercitu, ipſe alteram earū ducens, Perdiccas alteram, impetum in murum fecit. quem quum Indi ſuſtinere non poſſent, deſertis mœnibus in arcem ſe recipiunt. Alexander, cum iis qui circa ipſum erant, primus perfracta quadam porta in vrbem irrupit. Perdiccas & qui cum eo erant milites non ita citò muros tranſcenderunt. neque enim ſcalas plerique eorum adinouebant, quòd captam eſſe vrbem

A ἀπέθανον δὲ οἱ πάντες ἐς πεντακισχιλίους· ζῶντες δὲ δι' ἀνδρίαν ὀλίγοι ἐλήφθησαν. μείνας δὲ αὐτοῦ μίαν ἡμέραν, καὶ ἀναπαύσας τὴν στρατιάν, τῇ ὑστεραίᾳ προὐχώρει ὡς ἐπὶ τοὺς ἄλλους Μαλλούς· καὶ τὰς μὲν πόλεις ἐκλελοιπότας καταλαμβάνει, αὐτοὺς δὲ ἔμαθεν ὅτι πεφευγότες εἶεν ἐς τὴν ἔρημον· καὶ ἐνταῦθα μίαν ἡμέραν ἀναπαύσας τὴν στρατιάν, ἐς τὴν ἐπιοῦσαν Πύθωνα μὲν καὶ Δημήτριον τὸν ἱππάρχοντα πρὸς τὸν ποταμὸν ὀπίσω ἀπέπεμψεν, ὧν τε αὐτοὶ ἡγοῦντο ἄγοντας, καὶ πρὸς τούτοις ψιλῶν τάξεις δοὺς αὐτοῖς ὅσαι ἱκαναὶ πρὸς τὸ ἔργον. προσέταξε δὲ, παρὰ τὴν ὄχθην τοῦ

B ποταμοῦ ἰόντας, εἴ τισι περιτυγχάνοιεν τῶν ἐς τὰς ὕλας ξυμπεφευγότων, αἳ δὴ πολλαὶ πρὸς τῇ ὄχθῃ τοῦ ποταμοῦ ἦσαν, τούτους κτείνειν ὅσοι μὴ ἐθελονταὶ σφᾶς ἐνδιδοῖεν. καὶ πολλοὺς καταλαβόντες ἐν ταῖς ὕλαις οἱ ἀμφὶ Πύθωνά τε καὶ Δημήτριον ἀπέκτειναν. αὐτὸς δὲ ἦγεν ἐπὶ τὴν μεγίστην τῶν Μαλλῶν πόλιν, ἵνα καὶ ἐκ τῶν ἄλλων πόλεων πολλοὺς ξυμπεφευγέναι αὐτῷ ἐξηγγέλλετο· ἀλλὰ καὶ ταύτην ἐξέλιπον οἱ Ἰνδοί, ὡς προσάγοντα Ἀλέξανδρον ἔμαθον. διαβάντες δὲ τὸν Ὑδραώτην ποταμόν, ἐπὶ ταῖς ὄχθαις αὐτοῦ, ὅτι ὑψηλαὶ αἱ ὄ-

C χθαι ἦσαν, παρατεταγμένοι ἔμενον, ὡς εἴρξοντες τοῦ πόρου Ἀλέξανδρον. καὶ ταῦτα ὡς ἤκουσεν, ἀναλαβὼν τὴν ἵππον τὴν ἅμα αὐτῷ πᾶσαν, ᾔει ὡς ἐπὶ τὸν Ὑδραώτην, ἵνα περ παρατετάχθαι τοὺς Μαλλοὺς ἐξηγγέλλετο. οἱ δὲ πεζοὶ ἔπισθεν αὐτῷ ἐτάχθησαν, ὡς δὲ ἀφίκετό τε ἐπ' αὐτόν, καὶ ἐν τῷ πέραν τοὺς πολεμίους κατεῖδε τεταγμένους, ὡς εἶχεν ἐκ τῆς ὁδοῦ ἐμβάλλει ἐς τὸν πόρον ξὺν τῇ ἵππῳ μόνῃ. οἱ δέ, ἰδόντες ἐν μέσῳ τοῦ ποταμοῦ ὄντα ἤδη Ἀλέξανδρον, κατὰ σπουδὴν μέν, ξυντε-

D ταγμένοι δὲ ὅμως, ἀπεχώρουν ἀπὸ τῆς ὄχθης· καὶ Ἀλέξανδρος ξὺν μόνῃ τῇ ἵππῳ εἵπετο. ὡς δὲ κατεῖδον ἱππέας μόνους, ἐπιστρέψαντες οἱ Ἰνδοὶ καρτερῶς ἐμάχοντο, πλῆθος ὄντες ἐς πέντε μυριάδας. καὶ Ἀλέξανδρος ὡς τήν τε φάλαγγα αὐτῶν πυκνὴν κατεῖδε, καὶ αὐτῷ οἱ πεζοὶ ἀπῆσαν, προσβολὰς μὲν ἐποίει, τοὺς κύκλῳ περιιππεύων· ἐς χεῖρας δὲ οὐκ ᾔει τοῖς Ἰνδοῖς. καὶ ἐν τούτῳ παραγίγνονται αὐτῷ οἵ τε Ἀγριᾶνες, καὶ ἄλλαι τάξεις τῶν ψιλῶν, ἃς δὴ ἐπιλέκτους ἅμα οἷ ἦγε, καὶ οἱ τοξόται· οὐ πόρρω δὲ οὐδὲ ἡ φάλαγξ ἐφαί-

E νετο τῶν πεζῶν, καὶ οἱ Ἰνδοί, ὁμοῦ σφίσι πάντων τῶν δεινῶν προσκειμένων, ἀποστρέψαντες ἤδη προτροπάδην ἔφευγον ἐς πόλιν ὀχυρωτάτην τῶν πλησίον. καὶ Ἀλέξανδρος ἑπόμενός τε αὐτοῖς πολλοὺς ἔκτεινε, καὶ ὡς ἐς τὴν πόλιν διαφυγόντες κατειλήθησαν, πρῶτα μὲν τοῖς ἱππεῦσιν ἐξ ἐφόδου ἐκυκλώσατο τὴν πόλιν· ὡς δὲ οἱ πεζοὶ αὐτῷ παρῆσαν, ταύτῃ μὲν τῇ ἡμέρᾳ περιστρατοπεδεύει ἐν κύκλῳ τοῦ τείχους, ὅτι οὐ πολύ τι τῆς ἡμέρας ὑπελείπετο ἐς τὴν προσβολήν· καὶ ἡ στρατιὰ αὐτῷ, ὑπό τε πορείας μακρᾶς οἱ πεζοί, καὶ ὑπὸ διώ-

F ξεως συνεχοῦς οἱ ἵπποι, καὶ οὐχ ἥκιστα κατὰ τὸν πόρον τοῦ ποταμοῦ τεταλαιπωρήκεσαν. τῇ δὲ ὑστεραίᾳ διχῇ διελὼν τὸν στρατόν, τοῦ μὲν ἑτέρου αὐτὸς ἡγούμενος προσέβαλλε τῷ τείχει· τὸ δὲ ἕτερον Περδίκκας προσῆγε. καὶ ἐν τούτῳ οὐ δεξάμενοι οἱ Ἰνδοὶ τῶν Μακεδόνων τὴν ὁρμήν, τὰ μὲν τείχη τῆς πόλεως λείπουσιν, αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυνέφευγον. Ἀλέξανδρος δὲ καὶ οἱ ἀμφ' αὐτόν, πυλίδα τινὰ κατεάξαντες, παρῆλθον εἰς τὴν πόλιν πολὺ πρὸ τῶν ἄλλων· οἱ δὲ ὁμοῦ Περδίκκᾳ τεταγμένοι, ὑστέρησαν ὑπερβαίνοντες κατὰ τὰ τείχη οὐκ εὐπετῶς· οὐδὲ τὰς κλίμακας οἱ πολλοὶ αὐτῶν φέρον-

τες, ὅτι ἑαλωκέναι αὐτοῖς ἐδόκει ἡ πόλις, ὡς ἐρημούμενα τῶν προμαχομένων τὰ τείχη κατεῖδον. ὡς δὲ ἡ ἄκρα ἐχομένη πρὸς τῶν πολεμίων, καὶ πρὸ ταύτης τεταγμένοι εἰς τὸ ἀπομάχεσθαι πολλοὶ ἐφαίνοντο, ἐνταῦθα δὴ οἱ μὲν ὑπορύσσοντες τὸ τεῖχος, οἱ δὲ προσθέντες, ὅπῃ παρείκοι, τὰς κλίμακας βιάσασθαι ἐπειρῶντο εἰς τὴν ἄκραν. Ἀλέξανδρος δὲ, ὡς βλακεύειν αὐτῷ οἱ Μακεδόνες ἔδοξαν οἱ φέροντες τὰς κλίμακας, ἁρπάσας κλίμακα ἑνὸς τῶν φερόντων, προσέθηκε τῷ τείχει αὐτὸς, καὶ εἰληθεὶς ὑπὸ τῇ ἀσπίδι ἀνέβαινεν. ἐπὶ δὲ αὐτῷ Πευκέστας, ὁ τὴν ἱερὰν ἀσπίδα φέρων, ἣν ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τῆς Ἰλιάδος λαβὼν ἅμα οἷ εἶχεν Ἀλέξανδρος, καὶ πρὸ αὐτοῦ ἐφέρετο ἐν ταῖς μάχαις. ἐπὶ δὲ τούτῳ Λεοννάτος ἀνῄει κατὰ τὴν αὐτὴν κλίμακα ὁ σωματοφύλαξ· κατὰ δὲ ἄλλην κλίμακα Ἀβρέας τῶν διμοιριτῶν τις στρατευομένων. ἤδη τε πρὸς τῇ ἐπάλξει τοῦ τείχους ὁ βασιλεὺς ἦν, καὶ ἐρείσας ἐπ' αὐτῇ τὴν ἀσπίδα, τοὺς μὲν ὤθει εἴσω τοῦ τείχους τῶν Ἰνδῶν· τοὺς δὲ καὶ αὐτοῦ τῷ ξίφει ἀποκτείνας γεγυμνώκει τὸ ταύτῃ τεῖχος· καὶ οἱ ὑπασπισταὶ ὑπέρφοβοι γενόμενοι ὑπὲρ τοῦ βασιλέως, σπουδῇ ὠθούμενοι κατὰ τὴν αὐτὴν κλίμακα, συντρίβουσιν αὐτήν· ὥστε οἱ μὲν ἤδη ἀνιόντες αὐτῶν, κάτω ἔπεσον· τοῖς δὲ ἄλλοις ἄπορον ἐποίησαν τὴν ἄνοδον. Ἀλέξανδρος δὲ, ὡς ἐπὶ τοῦ τείχους στὰς, κύκλῳ τε ἀπὸ τῶν πλησίον πύργων ἐβάλλετο, (οὐ γὰρ πελάσαι γε ἐτόλμα τις αὐτῷ τῶν Ἰνδῶν) καὶ ἀπὸ τῶν ἐκ τῆς πόλεως, οὐδὲ πόρρω τούτων γε ἐσακοντιζόντων. ἔτυχε γάρ τι καὶ προσκεχωσμένον ταύτῃ πρὸς τὸ τεῖχος· δῆλος μὲν ἦν Ἀλέξανδρος τῶν τε ὅπλων τῇ λαμπρότητι, καὶ τῷ ἀτόπῳ τῆς τόλμης, ἔγνω δὲ ὅτι αὐτοῦ μὲν μένων κινδυνεύσει, μηδὲν ὅ, τι καὶ λόγου ἄξιον ἀποδεικνύμενος· καταπηδήσας δὲ εἴσω τοῦ τείχους, τυχὸν μὲν αὐτῷ τούτῳ ἐκπλήξει τοὺς Ἰνδούς· εἰ δὲ μὴ, κινδυνεύειν δὲ οἱ μεγάλα ἔργα καὶ τοῖς ἔπειτα πυθέσθαι ἄξια ἐργασάμενος, οὐκ ἀσπουδεὶ ἀποθανεῖται. ταῦτα γνοὺς, καταπηδᾷ ἀπὸ τοῦ τείχους ἐς τὴν ἄκραν. ἔνθα δὴ ἐρεισθεὶς πρὸς τῷ τείχει, τοὺς μὲν τινὰς ἐς χεῖρας ἐλθόντας, καὶ τόν γε ἡγεμόνα τῶν Ἰνδῶν προσφερόμενόν οἱ θρασύτερον, παίσας τῷ ξίφει ἀποκτείνει· ἄλλον δὲ πελάζοντα λίθῳ βαλὼν ἔσχε· καὶ ἄλλον, λίθῳ· τὸν δὲ ἐγγυτέρω προσάγοντα, τῷ ξίφει αὖθις. οἱ δὲ βάρβαροι πελάζειν μὲν αὐτῷ οὐκέτι ἤθελον, ἔβαλλον δὲ πάντοθεν περιεστηκότες, ὅ, τι τις ἔχων βέλος ἐτύγχανεν, ἢ ἐν τῷ τότε ἔλαβεν. ἐν τούτῳ τε Πευκέστας τε καὶ ὁ διμοιρίτης Ἀβρέας, καὶ ἐπ' αὐτοῖς Λεοννάτος, οἳ δὴ μόνοι ἔτυχον πρὶν ξυντριβῆναι τὰς κλίμακας ἀναβεβηκότες ἐπὶ τὸ τεῖχος, καταπηδήσαντες καὶ αὐτοὶ, πρὸ τοῦ βασιλέως ἐμάχοντο. καὶ Ἀβρέας μὲν ὁ διμοιρίτης πίπτει αὐτοῦ, τοξευθεὶς ἐς τὸ πρόσωπον. Ἀλέξανδρος δὲ βάλλεται καὶ αὐτὸς διὰ τοῦ θώρακος ἐς τὸ στῆθος τοξεύματι ὑπὲρ τὸν μαστόν. (ὥστε λέγει Πτολεμαῖος ὅτι καὶ πνεῦμα ὁμοῦ τῷ αἵματι ἐκ τοῦ τραύματος ἐξεπνεῖτο) ὁ δὲ, ἔστε μὲν ἔτι θερμὸν ἦν αὐτῷ τὸ αἷμα, καίπερ κακῶς ἔχων, ἠμύνετο· πολλοῦ δὲ δὴ τοῦ αἵματος καὶ ἀθρόου, οἷα δὴ ξὺν πνεύματι ἐκρυέντος, ἴλιγγός τε αὐτὸν καὶ λειποψυχία κατέσχε, καὶ πίπτει αὐτοῦ ἐπὶ τὴν ἀσπίδα ξυννεύσας. Πευκέστας δὲ περιβὰς πεπτωκότα

A iudicarent, quum nimirum muros à propugnatoribus deſtitutos viderent. Occupatâ verò iam ab hoſtibus arce, multiſque paſſim ad eam tuendam diſpoſitis, Macedones alij murum ſuffodientes, alij ſcalas admouentes irrumpere conabantur. Quum autem cunctari Macedones in admotione ſcalarum vi derentur, Alexander ipſe ſcalā cuidam eam geſtanti ereptam muro applicat, ſcutóque tectus conſcendit. Poſt hunc Peuceſtas, ſacrum ſcutum geſtans, quod Alexander ex

Curt. Admoueri iubet ſcalas, cũctantibúſque cæteris euadit in murum.

B æde Palladis Iliacæ ſumtū in omnibus præliis præ ſe geſtari curabat. Poſt Peuceſtam Leonnatus corporis cuſtos per eandem ſcalam ſubit: per aliam ſcalam Abreas vnus ex *duplariorum ordine. Iámque Alexander in ſummum muri faſtigium euaſerat, quum obfirmato ſcuto, aliis introrſum depulſis, aliis interfectis, murum ea parte propugnatoribus nudauerat. Tum argyraſpides de rege ſoliciti, quum & ipſi celeriter ſcalas conſcendunt, fractis ſcalis præcipites in terram corruerunt, aliiſque ſimul conſcendendi fa

*Fat. Decurioni.

C cultatem ſuſtulerunt. Alexāder verò, quum in muro ſtans, è vicinis circumquaque turribus peteretur, (neque enim quiſquam Indorum cominus eum ferire audebat) atque adeo ab iis etiam qui in vrbe erant, qui nec ipſi longè ab eo diſiuncti tela torquebant, (erat enim ea parte agger quidā muro propinquus, & Alexandrum cùm armorum ſplendor tum inſignis audacia notum faciebat) ſtatuit tandem, ſi diutius in muro perſiſteret, periclitaturum ſe, neque quicquam operæpretium facturum: at ſi intra

D arcem ſe coniiceret, fortaſſis eo ipſo facto hoſtes territurum. ſin minus, ſaltem egregium facinus editurum, & laude admiratióneque apud poſteros parta moriturum. Ita ſecum ſtatuens è mœnibus in arcem deſilit, ad cuius murum obfirmatus, nonnullos eo minus eum laceſſentes, atque adeo ipſum Indorum ducem audacius irruentem gladio interficit. alium propius accedentem ſaxo, alium rurſus gladio ferit. nec iam amplius barbari propius pedem ferre audebāt,

Curt. Duos gladio ita excepit, vt ante ipſum exanimati procũberent.

E ſed circumfuſi, telis quæ aut habebant aut ſors offerebat eminus eum petebant. Interea Peuceſtas & Abreas duplarius, ac Leonnatus, qui quidem antequam ſcalæ rumperentur in murum euaſerant, deſiliunt, acritérque pro rege pugnant. atque Abreas quidem faciem ſagitta traiectus cecidit. Alexander etiam ipſe thorace ſagitta diſcuſſo graue in pectore vulnus accipit. quod quidem (vt autor eſt Ptolemæus) eiuſmodi fuit, vt vnà cum ſanguine ſpiritum etiam

Curt. Nam quũ eminus vnum procul ſotmanus peterent, nemo tamen audebat propius accedere.

F ex vulnere ſufflaret. qui quidem, quandiu illi ſanguis feruebat, tametſi grauiter ſaucius, acriter ſe nihilominus tuebatur. At quum multus ſanguis ſimul & ſpiritus continuò erumperet, vertigine oculorum animíque defectione correptus, pronus in ſcutum collapſus eſt. Peuceſtes Palladis Iliacæ

ſcuto interiecto, regem protegebat: Leonnatus etiam ictus excipiebat: ſed & hi quoque grauiter vulnerantur: parúmque aberat quin vita Alexandrum ſimul cum ſanguine deficeret. Macedones enim vel eo nomine in arcem conſcendere non poterant, quòd quum Alexandrum in muro telis peti, atque ex eo in arcem interiorem deſiliiſſe vidiſſent, ſtudio pariter & metu ne rex qui ſe temerario periculo obiecerat, malè exciperetur, ruptis ſcalis, alij alia inſtrumenta ad conſcendendum murum apta excogitabant: alij palis in murũ terreum infixis, iiſque pendẽtia corpora ſubleuantes in altum nitebantur. Quúmque ita alij ſuper alios in faſtigium muri euaderent, qui primus conſcenderat, ſeſe è muro in vrbem coniiciebat, quã regem proſtratum cernebat: móxque alij cum clamore atque eiulatu accurrentes pugnam atrocem ineunt, Macedonibus regem ſuum prætenſis ſcutis acriter tuentibus. Interea alij, portulæ quæ inter duas turres ſita erat vectibus reuulſis, nonnullos præterea intromiſerunt, alij qua parte nonnihil patebat porta* humeris interiectis muri partem introrſum deturbarunt, aditúmque in arcem aperuerunt. Magna tum Indorum ſtrages fit, omnibus ad vnum cæſis, ne* mulieribus quidem aut infantibus exceptis. Dehinc regem peſſimè affectum ſcuto efferunt, viueret nécne incerti. Sunt qui ſcribant Critodemũ medicũ Coũ, ex AEſculapij ſtirpe, reſoluta plaga ſagittam euulſiſſe: alij Perdiccam, quum medicus vrgente neceſſitate non adeſſet, iubente Alexandro enſe vulnus reſcidiſſe, telúmque exemiſſe: inq; euulſione magnam ſanguinis vim erupiſſe. quúmque Alexander rurſum animo linqueretur, ſyncopen ipſam ſiſtendo ſanguini remedio fuiſſe. Multa præterea alia de hoc Alexandri caſu ab hiſtoricis ſcripta ſunt, quę fama à primis mendacii autoribus ſparſa in hunc vſque diem tranſmiſit: neque deſinet mendacij fides etiam in poſteros propagari, niſi hoc ſcripto finis ei imponatur. Infortuniũ hoc in Oxydracis Alexandro obtigiſſe cõmunis opinio eſt: quod tamẽ apud Mallos, liberam Indorum gentem, accidit. Nam & vrbs Mallorũ erat, & à Mallis ictus fuit Alexander. Porro ſtatuerant quidem Malli Oxydracis ſeſe coniungere, atque ita prælium inire, ſed Alexander itinere per arida & ſiticuloſa loca facto eos preuerterat, priuſquam aut Malli Oxydracis, aut Oxydraci Mallis adiumẽto eſſe poſſent. Sed & vltimam pugnam cum Dario commiſſam, in qua fugit Darius, neque prius deſtitit à fuga quàm à Beſſo caperetur, atque aduentante Alexandro interficeretur, apud Arbela accidiſſe, publica opinio eſt. quemadmodum & illam quæ antè hanc fuit, ad Iſſum: & primum equeſtre prælium, ad Granicum commiſſum eſſe. Contigit enim quidem equeſtris pugna ad Granicum, & apud Iſſum altera cum Dario. Arbela verò ab eo loco, in quo Darius & Alexander poſtremò dimicarunt, qui plurimum prodidere, dicũt abeſſe ſexcẽtis ſtadiis: qui minimum, quingentis. Sed apud Gauga-

Curt. Dolabris perfregere murum, & qua moliti erant aditum, irrupere in vrbẽ.

Curt. Non ſenibus, non fœminis, non infantibus parcitur.

A ὑπερέχων τὴν ἱερὰν τὴν ἐξ Ἰλίου ἀσπίδα, πρὸ αὐτοῦ εἶχε, καὶ Λεοννάτος ἐς τὰ ἐπὶ θάτερα. οὗτοι δὲ βάλλονται ἀμφότεροι, καὶ Ἀλέξανδρος ἐγγὺς ἦν ἤδη ὑπὸ τοῦ αἵματος ἐκλιπεῖν. τοῖς γὰρ Μακεδόσι καὶ ταύτῃ ἐν ἀπόρῳ γεγένηται τὰ τῆς προσβολῆς, ὅτι οἱ τὸν Ἀλέξανδρον βαλλόμενόν τε ἐπὶ τῷ τείχει ἰδόντες, καὶ πηδῶντα εἴσω ἐς τὴν ἄκραν, ὑπὸ σπουδῆς τε καὶ φόβου μή τι αὐτοῖς ὁ βασιλεὺς πάθῃ οὐ ξὺν νόῳ κινδυνεύων, τὰς κλίμακας συντετρίφασιν, ἄλλοι ἄλλας μηχανὰς ἐς τὸ ἀνελθεῖν ἐπὶ τὸ τεῖχος, ὡς ἐν ἀπόροις ἐμηχανῶντο. οἱ
B μὲν, πασσάλους ἐμπηγνύντες ἐς τὸ τεῖχος γήϊνον ὄν, καὶ κατὰ τούτους ἐκκρεμαννύμενοι χαλεπῶς ἀνεῖρπον· οἱ δὲ ἄλλοι ἐπ᾽ ἄλλους ἐπιβαίνοντες. ὁ δὲ πρῶτος ἀνελθὼν ἐκρίπτει ἑαυτὸν κατὰ τὸ τεῖχος ἐς τὴν πόλιν, ἵνα περ τὸν βασιλέα ἑώρων κείμενον, ξὺν οἰμωγῇ καὶ ἀλαλαγμῷ πάντες. ἤδη τε ἀμφ᾽ αὐτῷ πεπτωκότι καρτερὰ μάχη ξυνειστήκει, ἄλλου ἐπ᾽ ἄλλῳ τῶν Μακεδόνων προασπίζοντος. καὶ ἐν τούτῳ οἱ μὲν τὸν μοχλὸν, ὅτῳ εἴργετο ἡ κατὰ τὸ μεταπύργιον πύλη, καταγνύσαντες, ἐπ᾽ ὀλίγους παρήεσαν· οἱ δὲ καθότι ἡ πύλη διέχει, τοὺς ὤμους ὑποθέντες, καὶ ὤσαντες ἐς τὸ ἔσω τὸ τεῖχος, ἀνεπέτασαν
C ταύτῃ τὴν ἄκραν. ἐν τούτῳ δὲ οἱ μὲν ἔκτεινον τοὺς Ἰνδοὺς, καὶ ἀπέκτειναν γε πάντας, οὐδὲ γυναῖκα ἢ παῖδα ὑπελείποντο· οἱ δὲ ἐξέφερον τὸν βασιλέα ἐπὶ τῆς ἀσπίδος κακῶς ἔχοντα, οὔπω γιγνώσκοντες βιώσιμον ὄντα. τὸ δὲ βέλος ἐξελκύσαι ἐκ τοῦ τραύματος ἐπιτεμόντα τὴν πληγὴν οἱ μὲν Κριτόδημον ἀνέγραψαν, ἰατρὸν Κῷον, τὸ γένος τῶν Ἀσκληπιαδῶν· οἱ δὲ, Περδίκκαν τὸν σωματοφύλακα, οὐ παρόντος ἐν τῷ δεινῷ ἰατροῦ, ἐγκελευσαμένου Ἀλεξάνδρου, τῷ ξίφει ἐπιτεμεῖν τὴν πληγὴν, καὶ κομίσασθαι τὸ βέλος. ἐν δὲ τῇ κομιδῇ φο-
D ρὰ αἵματος πολλοῦ γίγνεται, ὥστε λειποψυχῆσαι αὖθις Ἀλέξανδρον, καὶ οὕτω σχεθῆναι αὐτῷ τὸ αἷμα ὑπὸ τῇ λειποψυχίᾳ. πολλὰ δὲ καὶ ἄλλα ἀναγέγραπται τοῖς ξυγγραφεῦσιν ὑπὲρ τοῦ παθήματος· καὶ ἡ φήμη παραδεξαμένη αὐτὰ κατὰ τοὺς πρώτους ψευσαμένους, ἔτι καὶ εἰς ἡμᾶς διασώζει· οὐδὲ ἀφήσει παραδιδοῦσα καὶ ἐφεξῆς ἄλλοις τὰ ψευδῆ, εἰ μὴ ὑπὸ τῆσδε τῆς ξυγγραφῆς παύσεται. αὐτίκα ἐν Ὀξυδράκαις τὸ πάθημα τοῦτο γενέσθαι Ἀλεξάνδρῳ, ὁ πᾶς λόγος κατέχει· τὸ δὲ ἐν Μαλλοῖς ἔθνει αὐτονόμῳ Ἰνδικῷ ξυνέβη. καὶ ἥ τε πό-
E λις Μαλλῶν ἦν, καὶ οἱ βαλόντες Ἀλέξανδρον, Μαλλοί· οἳ δὴ ἐγνώκεσαν μὲν, ξυμμίξαντες τοῖς Ὀξυδράκαις, οὕτω διαγωνίζεσθαι· ἔφθη δὲ διὰ τῆς ἀνύδρου ἐπ᾽ αὐτοὺς ἐλάσας, πρίν τινα ὠφέλειαν αὐτοῖς παρὰ τῶν Ὀξυδρακῶν γενέσθαι, ἢ αὐτοὺς ἐκείνοις τι ἐπωφελῆσαι. ἐπεὶ καὶ τὴν τελευταίαν μάχην τὴν πρὸς Δαρεῖον γενομένην, καθ᾽ ἥντινα ἔφυγε Δαρεῖος, οὐδὲ πρόσθεν ἔληξε τῆς φυγῆς, πρὶν ξυλληφθῆναι ὑπὸ τῶν ἀμφὶ Βῆσσον, καὶ προσάγοντος ἤδη Ἀλεξάνδρου ἀποθανεῖν,
F πρὸς Ἀρβήλοις γενέσθαι ὁ πᾶς λόγος κατέχει· καθάπερ οὖν καὶ τὴν πρὸ ταύτης, ἐν Ἰσσῷ· καὶ τὴν πρώτην ἱππομαχίαν, πρὸς Γρανίκῳ. ἀλλὰ πρὸς Γρανίκῳ μὲν ξυνέβη μάχη ἱππικὴ, καὶ πρὸς Ἰσσῷ ἡ αὖθις πρὸς Δαρεῖον μάχη. Ἄρβηλα δὲ τοῦ χώρου, ἐν ᾧ τὴν ἐσχάτην μάχην Δαρεῖός τε καὶ Ἀλέξανδρος ἐμαχέσαντο, οἱ μὲν τὰ πλεῖστα ξυγγράψαντες λέγουσιν ὅτι ἑξακοσίους σταδίους ἀπέχει· οἱ δὲ τὰ ἐλάχιστα, ὅτι ἐς πεντακοσίους. ἀλλὰ ἐν Γαυγαμήλοις γὰρ γενέσθαι τὴν μάχην πρὸς

τῷ

A τῷ ποταμῷ Βουμήλῳ, λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος. πόλις δὲ οὐκ ἦν τὰ Γαυγάμηλα, ἀλλὰ κώμη οὐ μεγάλη· οὐδὲ ὀνομαστὸς ὁ χῶρος, οὐδὲ εἰς ἀκοὴν ἡδὺ τὸ ὄνομα. ἔνθεν δέ (μοι δοκεῖ) πόλις οὖσα τὰ Ἄρβηλα, ἀπηνέγκατο τὴν δόξαν τῆς μεγάλης μάχης. εἰ δὲ πρὸς Ἀρβήλοις χρὴ οἴεσθαι γενέσθαι τὸ ἔργον ἐκεῖνο, εἰς τοσόνδε Ἀρβήλων ἀπέχον· καὶ τὴν ἐν Σαλαμῖνι γενομένην ναυμαχίαν, πρὸς ἰσθμῷ τῷ Κορινθίων ἔξεστι λέγειν ὅτι ἐγένετο· καὶ τὴν ἐπ' Ἀρτεμισίῳ τῆς Εὐβοίας, πρὸς Αἰγίνῃ ἢ Σουνίῳ. καὶ μὴν ὑπὲρ τῶν ὑπερασπισάντων ἐν τῷ κινδύνῳ Ἀλεξάνδρῳ, Πευκέσταν μὲν γενέσθαι ξύμπαντες ὁμολογοῦσιν· B ὑπὲρ Λεοννάτου δὲ οὐκέτι ξυμφέρονται, οὐδὲ ὑπὲρ Ἀβρέου τοῦ διμοιρίτου. καὶ οἱ μὲν ξύλῳ πληγέντα κατὰ τοῦ κράνους Ἀλέξανδρον, καὶ ἰλιγγιάσαντα πεσεῖν, αὖθις δὲ ἀναστάντα, βληθῆναι βέλει διὰ τοῦ θώρακος ἐς τὸ στῆθος. Πτολεμαῖος δὲ ὁ Λάγου, ταύτην μόνην τὴν πληγὴν πληγῆναι λέγει τὴν ἐς τὸ στῆθος. τὸ δὲ μέγιστον πλημμέλημα τῶν ξυγγραψάντων τὰ ἀμφὶ Ἀλέξανδρον, ἐκεῖνο τίθεμαι ἔγωγε. Πτολεμαῖον γὰρ τὸν Λάγου ἔστιν οἳ ἀνέγραψαν ξυναναβῆναί τε Ἀλεξάνδρῳ κατὰ τὴν κλίμακα ὁμοῦ C Πευκέστᾳ, καὶ ὑπερασπίσαι κειμένου, καὶ ἐπὶ τῷδε Σωτῆρα ἐπικληθῆναι τὸν Πτολεμαῖον. καίτοι αὐτὸς Πτολεμαῖος ἀναγέγραφεν οὐδὲ παραγενέσθαι τούτῳ τῷ ἔργῳ· ἀλλὰ στρατιᾶς γὰρ αὐτὸς ἡγούμενος, ἄλλας μάχεσθαι μάχας καὶ πρὸς ἄλλους βαρβάρους. ταῦτα μὲν δὴ ἐν ἐκβολῇ τοῦ λόγου ἀναγεγράφθω μοι, ὡς μὴ ἀταλαίπωρον γίγνεσθαι τοῖς ἔπειτα ἀνθρώποις τὴν ὑπὲρ τῶν τηλικούτων ἔργων τε καὶ παθημάτων ἀφήγησιν. Ἐν ᾧ δὲ Ἀλέξανδρος αὐτοῦ μένων τὸ τραῦμα ἐθεραπεύετο, ἐς τὸ στρατόπεδον, ἔνθενπερ ὡρμήθη ἐπὶ τοὺς Μαλλούς, ὁ μὲν πρῶτος λόγος ἧκεν ὅτι D τεθνηκὼς εἴη ἐκ τοῦ τραύματος. καὶ τὰ μὲν πρῶτα οἰμωγὴ ἦν τῆς στρατιᾶς ξυμπάσης, ἄλλου ἄλλῳ παραδιδόντος τὴν φήμην· παυσάμενοι δὲ τῆς οἰμωγῆς, ἄθυμοί τε καὶ ἄποροι ἦσαν, ὅστις μὲν ἐξηγούμενος ἔσται τῆς στρατιᾶς (πολλοῖς γὰρ δὴ ἐν ἴσῳ τὰ τῆς ἀξιώσεως ἐδόκει πρός τε αὐτοῦ Ἀλεξάνδρου καὶ πρὸς Μακεδόνων καθεστηκέναι) ὅπως δὲ ἀποσωθήσονται εἰς τὴν οἰκείαν, τοσούτων μὲν ἐθνῶν μαχίμων περιειργόντων σφᾶς ἐν κύκλῳ· τῶν μὲν οὔπω προσκεχωρηκότων, E ἃ δὴ ὑπὲρ τῆς ἐλευθερίας εἴκαζον ἀγωνιεῖσθαι καρτερῶς· τῶν δὲ ἀποστησομένων, ἀφαιρεθέντος αὐτοῖς τοῦ Ἀλεξάνδρου φόβου· ποταμῶν τε ἐν μέσῳ ἀδιαβάτων. τότε δὴ ἐδόκουν εἶναι καὶ πάντα σφίσιν ἄπορα καὶ ἀμήχανα ἐρήμοις Ἀλεξάνδρου ἐφαίνετο. ὡς δὲ ἧκέ ποτε λόγος ὅτι ζῇ Ἀλέξανδρος, τούτῳ μὲν μόγις ξυνεχώρησαν· εἰ δὲ καὶ βιώσιμός ἐστιν, οὔπω ἐπιστεύετο. ὡς δὲ καὶ γράμματα παρ' αὐτοῦ ἧκεν, ὅτι ὅσον οὔπω καταλήψοιτο ἐπὶ τὸ στρατόπεδον, οὐδὲ ταῦτα τοῖς πολλοῖς ὑπὸ τοῦ ἄγαν δέους πιστὰ ἐφαίνετο· ἀλλὰ πλάττεσθαι γὰρ πρὸς τῶν ἀμφ' αὐτὸν σωματοφυλάκων τε F καὶ στρατηγῶν εἴκαζετο. καὶ ταῦτα ἐννοήσας Ἀλέξανδρος, μή τι νεωτερισθείη ἐν τῇ στρατιᾷ, ὅτε πρῶτον ἠδυνήθη κομίζεται ἐπὶ τοῦ ποταμοῦ τοῦ Ὑδραώτου τὰς ὄχθας, καταπλέων κατὰ τὸν ποταμόν. ἦν γὰρ τὸ στρατόπεδον ἐπὶ ταῖς ξυμβολαῖς τοῦ τε Ὑδραώτου

mela ad flumen Bumelū pugnam eam fuiſſe commiſſam Ptolemæus & Ariſtobulus tradunt. Atqui Gaugamela non oppidum eſt, ſed vicus nō magnus, neque locus celebris, aut gratū auribus nomen præ ſe ferens. Quo factum puto vt Arbelis, vtpote vrbi celebri, gloria pugnæ apud illam commiſſæ adſcripta fuerit. Si verò apud Arbela prælium hoc contigiſſe dicendum eſt, quum tanto ſpatio ab Arbelis diſtet: eodem modo & nauale prælium apud Salamina geſtum, Iſthmo Corinthio adſcribere licebit: & id quod ad Artemiſium Euboicam inſulam, apud AEginam vel Sunium geſtum fuiſſe dicetur. Sed & in iis qui Alexandrum in eo periculo ſcutis ſuis protexerunt, Peuceſtam fuiſſe omnes profitentur: de Leonnato non omnes conſentiunt, vt nec de Abrea duplario. Rurſus alij Alexandrum fuſte ad galeam ictum, caligine oculis oborta procidiſſe ſcribunt. quúmque ſe denuo erexiſſet, thorace traiectum ſagittam pectore excepiſſe. Ptolemæus Lagi filius in pectore ſolùm vulneratū fuiſſe tradit. In eo autem præcipuè mihi erraſſe videntur qui Alexandri res conſcripſerunt, quòd Ptolemæū Lagi filium vnà cum Alexandro & Peuceſta ſcalam cōſcendiſſe ſcribant, iacentémq; obiecto ſcuto protexiſſe. ideóque Ptolemæū Soterē, id eſt ſeruatorē à militibus appellatū fuiſſe. quū alioqui Ptolemæus ipſe ſcribat ſe huic pugnæ nō interfuiſſe: ſed eo tempore copiarum ducem aduerſus alios barbaros pugnaſſe. Hæc mihi per digreſſionē dicta ſint, vt in tantorum facinorum & caſuum expoſitione poſteri plus diligentiæ adhibeāt. Porro quū Alexāder ibi ad curandū vulnus cōmoraretur, primo ſtatim rumore perlatū eſt in caſtra, vnde is in Mallos profectus fuerat, cum ex vulnere interiiſſe. Ac primò quidē ciulatus totis caſtris auditus eſt, quum ex aliis in alios fama ſpargeretur. Quum verò iam lamentis modum feciſſent, vehementer animis cōſternati dubiique erant, quis exercitui præfuturus eſſet. (multos enim ex æquo huius dignitatis videri capaces, cùm ipſius Alexādri tum Macedonum iudicio) quo pacto etiam ſalui domum reuerſuri eſſent tot vndique bellicoſis gentibus cincti: quarū quidē alias nondū domitas veriſimile ipſis fiebat acriter pro libertate pugnaturas: alias defectionē facturas, ſublato Alexandri metu. quúmq; tot flumina, quæ nulla ratione tranſiri poſſent, interiecta eſſe cogitarent, deſperatione quadā acti quid conſilij caperent Alexandro deſtituti neſciebant. Poſtquam verò nuntiatum eſt Alexandrum viuere, fides nuntio ægrè habita eſt: neque enim adduci poterant vt crederent aliquam de vita eius ſpem ſupereſſe. quúmque literæ ab eo adferrentur, quibus ſignificabat ſe breui in caſtra venturum, ne id quidem pleriſque præ ingenti metu credibile videbatur. Confingi enim id à cuſtodibus corporis ducibúſque credebant. Hac trepidatione cognita Alexander, ne qui in exercitu motus fierent, quàm potuit celerrimè ad Hydraotis fluuij ripas ſe deferri curauit, ſecundo amne nauigaturus ad caſtra, quæ circa confluentes Hydraotis & Ace-

Curt. Ptolemæū qui poſtea regnauit, huic pugnæ affuiſſe autor eſt Clitarchus & Timagenes: ſed ipſe, ſ. gloriæ ſuæ non refragatus, abfuiſſe ſe miſſū in expeditionem memoriæ tradidit. Tanta componentiū vetuſta rerum monumēta vel ſecuritas, vel par huic vitium credulitas fuit.

ſinis ſubſiſtebant: vbi Hephæſtion exercitui; & Nearchus claſſi præerant. Mox vbi nauis quæ regem vehebat caſtris appropinquare cœpit, tẽtorium è nauis ſuæ puppi auferri iuſſit, vt ab omnibus conſpici poſſet. At ne tum quidẽ credidere, corpus Alexandri exanime adferri exiſtimantes, donec naui ad ripam appulſa dextrã multitudini porrexit. Tum ingenti clamore ſublato, alij in cælum, alij in Alexandrũ manus tẽdunt: multis præ inſperato gaudio lacrymæ ſpõte obortæ ſunt. Quúmque argyraſpides ei nauem egreſſo lecticam adferrent, ipſe equum adduci iuſſit. quem vt inſcendit, ab vniuerſo rurſum exercitu applauſum eſt, ripis ac ſyluis circumvicinis clamore reſonãtibus. Tabernaculo autẽ appropinquans ex equo deſiliit, vt & pedibus incedens conſpici poſſet. Tum certatim alij atque alij accurrebãt, alij manus, alij genua, alij veſtẽ ipſius contigiſſe, alij vel vidiſſe tantùm contenti, & ſalutem felicitatémque ei precantes: alij corollas, alij flores quoſcunque fert Indorum regio inſpergere. Nearchus verò autor eſt amicos qui eum deducebant factum eius reprehendiſſe, quòd ſe tanto diſcrimini pro exercitu obieciſſet: neque enim id ducis ſed militis officium eſſe. qua quidem oratione offenſus mihi fuiſſe Alexander videtur, quòd vera eſſet, ſéque meritò reprehendi ſentiret. Cæterùm inſigne Alexandri in pugnando robur, & immenſa gloriæ præ cæteris rebus cupiditas tranſuerſum illum ad pericula abripiebat. Narrat idem Nearchus ſeniorẽ quendã Bœotum, cuius nomẽ non adſcribit, quum Alexandrũ reprehenſiones amicorum ægrè ferre intelligeret, & indignationẽ vultu præ ſe ferre videret, Bœotica lingua eum cõpellaſſe, ac dixiſſe, O Alexander, Virorũ eſt pręclara facinora aggredi: ſimúlq; iambicũ verſum ſubdidiſſe, cuius hæc erat ſẽtẽtia, Qui magnum aliquid faciat, æquum eſſe & pati. Ac ſenis quidẽ dictum Alexãdro placuiſſe, & chariorem ei deinceps eo nomine fuiſſe. Inter hæc legati à Mallis, qui reliqui erant, ad Alexandrũ venerunt, deditionem totius gentis facientes. itémque ab Oxydracis vrbium præfecti ac præſides ipſi, & cum his alij CL principes illius gentis, qui pro fœdere ineũdo dona quæ apud Indos cenſentur ampliſſima adferebant, etiam ipſi gentem dedentes. Veniam autẽ deprecabantur, quòd non antea legatos miſiſſent. quam vel ideo mereri ſe dicebãt, quòd, quemadmodũ quidam alij, maiore adhuc iure ipſi liberi ſuis legibus viuere cupiiſſent, quam quidẽ libertatem iam inde ab eo tẽpore quo Liber pater in Indiã venerat ad Alexandrũ vſque ſaluã tenuerant. Quòd ſi ita Alexandro viſum eſſet (quoniã & ipſum ex deorũ genere ortum fama eſſet) ſatrapam quem daret accepturos, tributa quę imperaret penſuros, obſides quot peteret daturos. Alexander mille ex primoribus gentis ſibi mitti iubet, quos vel pro obſidibus ſi vellet, teneret, vel vt militibus vteretur, donec reliquos Indos debellaſſet. Atq; hi quidẽ mille viros, quos & pręſtantiſſimos & maximos ſelegerãt, miſerunt:

A καὶ τοῦ Ἀκεσίνου· ἵνα Ἡφαιστίων τε ἐπὶ τῆς στρατιᾶς ἦν, καὶ Νέαρχος τὸ ναυτικὸν αὐτῷ εἶχεν. ὡς δὲ ἐπέλαζεν ἡ ναῦς ἤδη τῷ στρατοπέδῳ τὸν βασιλέα φέρουσα, κελεύει δὴ ἀφελεῖν τὴν σκηνὴν ἀπὸ τῆς πρύμνης, ὡς καταφανὴς εἶναι πᾶσιν· οἱ δὲ ἔτι ἠπίστουν, ὡς νεκροῦ δῆθεν κομιζομένου Ἀλεξάνδρου, πρίν γε δὴ προσσχούσης τῆς νεὼς τῇ ὄχθῃ, ὁ μὲν τὴν χεῖρα ἀνέτεινεν ἐς τὸ πλῆθος· οἱ δὲ ἀνεβόησαν, ἐς τὸν οὐρανὸν ἀνασχόντες τὰς χεῖρας, οἱ δὲ πρὸς αὐτὸν Ἀλέξανδρον· πολλοῖς δὲ καὶ δάκρυα ἐπὶ τῷ ἀνελπίστῳ προεχύθη
B ἀκούσια. καὶ οἱ μὲν τῶν ὑπασπιστῶν κλίνην προσέφερον αὐτῷ ἐκκομιζομένῳ ἐκ τῆς νεώς· ὁ δὲ, τὸν ἵππον προσαγαγεῖν ἐκέλευσεν. ὡς δὲ ἐπιβὰς τοῦ ἵππου ὤφθη, αὖθις κρότῳ δὴ πολλῷ ἐπεκτύπησεν ἡ στρατιὰ πᾶσα· ἐπήχησαν δὲ αἵ τε ὄχθαι, καὶ αἱ πλησίον αὐτῶν νάπαι. προσάγων δὲ ἤδη τῇ σκηνῇ καταβαίνει ἀπὸ τοῦ ἵππου, ὥστε καὶ βαδίζων ὀφθῆναι· οἱ δὲ ἐπέλαζον ἄλλοθεν ἄλλος, οἱ μὲν χειρῶν, οἱ δὲ γονάτων, οἱ δὲ τῆς ἐσθῆτος αὐτῆς ἁπτόμενοι· οἱ δὲ, καὶ ἰδεῖν ἐγγύθεν, καί τι καὶ ἐπευφημήσαντες ἀπελθεῖν· οἱ δὲ ταινίας
C ἔβαλλον, οἱ δὲ ἄνθεσιν, ὅσα ἐν τῷ τότε ἡ Ἰνδῶν χώρα παρεῖχε. Νέαρχος δὲ λέγει ὅτι χαλεποὶ αὐτῷ τῶν φίλων ἐγένοντο ὅσοι ἐκάκιζον, ὅτι αὐτὸς πρὸ τῆς στρατιᾶς κινδυνεύοι· οὐ γὰρ στρατηγοῦ ταῦτα, ἀλλὰ στρατιώτου εἶναι. καί μοι δοκεῖ ἄχθεσθαι Ἀλέξανδρος τοῖσδε τοῖς λόγοις, ὅτι ἀληθεῖς τε ὄντας ἐγίνωσκε, καὶ αὑτὸν ὑπαίτιον τῇ ἐπιτιμήσει· καὶ ὅμως ὑπὸ μένους τε τοῦ ἐν ταῖς μάχαις, καὶ τοῦ ἔρωτος τῆς δόξης, καθάπερ οἱ ἄλλης τινὸς ἐξηττώμενοι, οὐ καρτερὸς ἦν ἀπέχεσθαι τῶν κινδύνων. ἄνθρωπον δέ τινα πρεσβύτερον λέγει Βοι-
D ώτιον (τὸ δὲ ὄνομα τοῦ ἀνθρώπου οὐ λέγει) ὡς ἀχθόμενόν τε πρὸς τὰς ἐπιτιμήσεις τῶν φίλων κατέμαθεν Ἀλέξανδρον καὶ ἐσκυθρωπακότα, προσελθόντα τοῦτον βοιωτιάζοντα ἅμα τῇ φωνῇ, τοιαῦτα φάναι, Ὦ Ἀλέξανδρε ἀνδρῶν τὰ ἔργα· καί τι καὶ ἰαμβεῖον ὑπειπεῖν, τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου, ὅτι τῷ τι δρῶντι, καὶ παθεῖν ἐστιν ὀφειλόμενον. καὶ τοῦτον ἔν τε τῷ παραυτίκα εὐδοκιμῆσαι, καὶ ἐπιτηδειότερον ἐς τὸ ἔπειτα Ἀλεξάνδρῳ γενέσθαι. ἐν τούτῳ δὲ ἀφίκοντο παρ' Ἀλέξανδρον τῶν Μαλλῶν τῶν ὑπολειπομένων πρέσβεις, ἐνδιδόντες τὸ
E ἔθνος· καὶ παρὰ Ὀξυδρακῶν οἵ τε ἡγεμόνες τῶν πόλεων, καὶ οἱ νομάρχαι αὐτοὶ, καὶ ἄλλοι ἅμα τούτοις ἑκατὸν καὶ πεντήκοντα οἱ γνωριμώτατοι αὐτοκράτορες, περὶ σπονδῶν δῶρά τε ὅσα μέγιστα παρ' Ἰνδοῖς κομίζοντες, καὶ τὸ ἔθνος καὶ οὗτοι ἐνδιδόντες. συγγνωστὰ δὲ ἁμαρτεῖν ἔφασαν, οὐ πάλαι παρ' αὐτὸν πρεσβευσάμενοι. ἐπιθυμεῖν γὰρ, ὥσπερ τινὲς ἄλλοι, ἔτι μᾶλλον αὐτοὶ ἐλευθερίας τε καὶ αὐτόνομοι εἶναι· ἥντινα ἐλευθερίαν ἐξ ὅτου Διόνυσος ἐς Ἰνδοὺς ἧκε, σώαν σφίσιν εἶναι ἐς Ἀλέξανδρον. εἰ δὲ καὶ Ἀλεξάνδρῳ δοκοῦν ἐστιν (ὅτι
F καὶ Ἀλέξανδρον ἀπὸ θεῶν γενέσθαι λόγος κατέχει) σατράπην τε ἀναδέξεσθαι ὅντινα τάττοι Ἀλέξανδρος, καὶ φόρους ἀποίσειν τοὺς Ἀλεξάνδρῳ δόξαντας. διδόναι δὲ καὶ ὁμήρους ἐθέλειν ὅσους ἂν αἰτῇ Ἀλέξανδρος· ὁ δὲ χιλίους ᾔτησε τοὺς κρατιστεύοντας τοῦ ἔθνους· οὓς εἰ μὲν βούλοιτο, ἀντὶ ὁμήρων καθέξειν· εἰ δὲ μὴ, ξυστρατευόντας ἕξειν, ἔστ' ἂν διαπολεμηθῇ αὐτῷ πρὸς τοὺς ἄλλους Ἰνδούς. οἱ δὲ τούς τε χιλίους ἔπεμψαν, τοὺς κρατίστους καὶ μεγίστους σφῶν ἐπιλεξάμενοι,

καὶ ἅρματα πεντακόσια, οὐκ αἰτηθέντα, καὶ τοὺς ἀμβάτας τῶν ἁρμάτων. Ἀλέξανδρος δὲ σατράπην μὲν τούτοις τε καὶ τῶν Μαλλῶν τοῖς ἔτι σωζομένοις ἐπέταξε Φίλιππον· τοὺς ὁμήρους δὲ αὐτοῖς ἀφῆκε, τὰ δὲ ἅρματα ἔλαβεν. ὡς δὲ ταῦτα αὐτῷ κεκόσμητο, καὶ πλοῖα ἐπὶ τῇ διατομῇ τοῦ τραύματος πολλὰ προσεναυπήγητο, ἀναβιβάσας ἐς τὰς ναῦς τῶν μὲν ἑταίρων ἱππέας ἑπτακοσίους καὶ χιλίους, τῶν ψιλῶν δὲ ὅσους περ καὶ πρότερον, πεζοὺς δὲ ἐς μυρίους, ὀλίγον μέν τι τῷ Ὑδραώτῃ ποταμῷ κατέπλευσεν. ὡς δὲ συνέμιξεν ὁ Ὑδραώτης τῷ Ἀκεσίνῃ, ὅτι ὁ Ἀκεσίνης κρατεῖ τοῦ Ὑδραώτου ἐν τῇ ἐπωνυμίᾳ, κατὰ τὸν Ἀκεσίνην αὖ ἔπλει, ἔστε ἐπὶ τὴν ξυμβολὴν τοῦ Ἀκεσίνου καὶ τοῦ Ἰνδοῦ ἧκε. τέσσαρες γὰρ οὗτοι μεγάλοι ποταμοὶ, καὶ ναυσίποροι οἱ τέσσαρες, εἰς τὸν Ἰνδὸν ποταμὸν τὸ ὕδωρ ξυμβάλλουσιν, οὐ ξὺν τῇ σφετέρᾳ ἕκαστος ἐπωνυμίᾳ· ἀλλὰ ὁ Ὑδάσπης μὲν ἐς τὸν Ἀκεσίνην ἐμβάλλει· ἐμβαλὼν δὲ, τὸ πᾶν ὕδωρ, Ἀκεσίνης παρέρχεται καλούμενον. αὖθις δὲ ὁ Ἀκεσίνης οὗτος ξυμβάλλει τῷ Ὑδραώτῃ, καὶ παραλαβὼν τοῦτον, ἔτι Ἀκεσίνης ἐστί. καὶ τὸν Ὕφασιν ἐπὶ τούτῳ ὁ Ἀκεσίνης παραλαβὼν, τῷ αὐτῷ δὴ ὀνόματι ἐς τὸν Ἰνδὸν ἐμβάλλει· ξυμβαλὼν δὲ, ξυγχωρεῖ δὴ τῷ Ἰνδῷ. ἔνθεν δὴ ὁ Ἰνδὸς, πρὶν ἐς τὸ δέλτα σχισθῆναι, οὐκ ἀπιστῶ ὅτι καὶ ἐς ἑκατὸν σταδίους ἔρχεται, καὶ ὑπὲρ τοὺς ἑκατὸν τυχὸν, ἵνα περιλιμνάζει μᾶλλον. ἐνταῦθα ἐπὶ ταῖς ξυμβολαῖς τοῦ Ἀκεσίνου καὶ τοῦ Ἰνδοῦ προσέμενεν, ἔστε ἀφίκετο αὐτῷ ξὺν τῇ στρατιᾷ Περδίκκας, καταστρεψάμενος ἐν παρόδῳ τὸ Ἀβαστανῶν ἔθνος αὐτόνομον. ἐν τούτῳ δὲ ἄλλαι τε προσγίγνονται Ἀλεξάνδρῳ τριακόντοροι, καὶ πλοῖα στρογγύλα ἄλλα, ἃ δὴ ἐν Ξάθροις ἐναυπηγήθη αὐτῷ, καὶ ἄλλο ἔθνος Ἰνδῶν αὐτόνομον, προσεχώρησαν. καὶ παρὰ Ὀσσαδίων, καὶ τούτου γένους αὐτονόμου Ἰνδικοῦ, πρέσβεις ἧκον, ἐνδιδόντες καὶ οὗτοι τοὺς Ὀσσαδίους. Φιλίππῳ μὲν δὴ τῆς σατραπείας ὅρους ἔταξε τὰς συμβολὰς τοῦ τε Ἀκεσίνου καὶ Ἰνδοῦ. καὶ ἀπολείπει ξὺν αὐτῷ τούς τε Θρᾷκας πάντας, καὶ ἐκ τῶν τάξεων ὅσοι ἐς φυλακὴν τῆς χώρας ἱκανοὶ ἐφαίνοντο. πόλιν τε ἐνταῦθα κτίσαι ἐκέλευσεν ἐπ' αὐτῇ ξυμβολῇ τοῖν ποταμοῖν (ἐλπίσας μεγάλην τε ἔσεσθαι καὶ ἐπιφανῆ ἐς ἀνθρώπους) καὶ νεωσοίκους ποιηθῆναι. ἐν τούτῳ δὲ καὶ Ὀξυάρτης ὁ Βάκτριος, ὁ Ῥωξάνης τῆς γυναικὸς Ἀλεξάνδρου πατὴρ, ἧκε παρ' Ἀλέξανδρον, καὶ προστίθησιν αὐτῷ Παραπαμισαδῶν σατραπεύειν· ἀπαλλάξας Τιρυέστην τὸν πρόσθεν σατράπην, ὅτι οὐκ ἐν κόσμῳ ἐξηγεῖσθαι αὐτῷ ὁ Τιρυέστης ἐξήγγελτο. ἔνθα δὴ διαβιβάσας Κρατερόν τε καὶ τῆς στρατιᾶς τὴν πολλὴν, καὶ τοὺς ἐλέφαντας ἐν ἀριστερᾷ τοῦ Ἰνδοῦ ποταμοῦ, ὅτι εὐπορώτερα τε ταύτῃ τὰ παρὰ τὸν ποταμὸν στρατιᾷ βαρείᾳ ἐφαίνετο, καὶ τὰ ἔθνη τὰ προσοικοῦντα οὐ πάντῃ φίλια ἦν, αὐτὸς κατέπλει ἐς τὸ Σογδῶν τὸ βασίλειον. καὶ ἐνταῦθα πόλιν τε ἐτείχιζεν ἄλλην, καὶ νεωσοίκους ἐποίει ἄλλους· καὶ τὰ πλοῖα αὐτῷ τὰ πεπονηκότα ἐπεσκευάσθη. τῆς δὲ ἀπὸ τῶν ξυμβολῶν τοῦ τε Ἰνδοῦ καὶ Ἀκεσίνου χώρας, ἔστε ἐπὶ θάλασσαν, σατράπην ἐπέδειξεν Ὀξυάρτην καὶ Πύθωνα, ξὺν τῇ παραλίᾳ πάσῃ τῆς Ἰνδῶν γῆς. καὶ Κρατερὸν μὲν ἐκπέμπει αὖθις ξὺν τῇ στρατιᾷ, διὰ τῆς Ἀραχωτῶν καὶ Δράγγων γῆς· αὐτὸς δὲ

A quingentis etiam curribus eorúmque propugnatoribus (quos Alexander ne petierat quidem) adiectis. His itaque reliquiſque Mallis qui ſeruati erant, Philippo ſatrapa conſtituto, obſides remittit, currus accipit. His rebus ita geſtis, nauibúſque compluribus dum vulnus curatur conſtructis, militéque iis impoſito: equitib' ex ſociis M DCC, expeditis totidem quot antea, peditib' X M, non multum ſpatij per Hydraotem emenſus, ad confluentes Hydraotis & Aceſinis peruenit. Ibi Hydraotes in Aceſinem fluens B nomen amittit. per Aceſinem itaque nauigans ad confluentem Aceſinis atque Indi venit. Siquidem quatuor hi magni & nauigabiles fluuij in Indum amnem labuntur, non quidem ſua ſinguli nomina ſeruantes, ſed Hydaſpes in Aceſinem fertur, nomen ſuum amittens. Aceſines verò cum Hydraote in vnum alueum coit: eóque aſſumto, nomen tamen ſuum Aceſines retinet. Hyphaſi etiam in ſe recepto, veteríque Aceſinis C nomine ſeruato in Indum amnem fertur, cuius alueo immiſſus, appellationem ſuam Indo cedit. Inde, priuſquam in Δ literæ figuram ſcindatur, centum ſtadia patere Indum crediderim, imò eo amplius, vbi ſtagnū efficit. Eo igitur loci vbi Aceſinis & Indi confluentes ſunt Alexander cum claſſe ſubſtitit, donec Perdiccas cum exercitu aduenit, Abaſtanis, libera Indorum gente, ex ipſo itinere ſubactis. Inter hæc aliæ triginta remorum naues, aliæque onerariæ, quæ in Xathris (libera etiam Indorum gente) conD ſtructæ fuerant aduenerunt. Præterea legati ab Oſſadiis libero quoque Indorum populo, Alexandrum adierunt deditionem facientes. Dehinc Alexander Philippo ſatrapatus ſui limites Aceſinis & Indi confluentibus terminat, vniuerſo Thracum equitatu ei relicto, aliíſque agminibus, quæ prouinciæ cuſtodiendæ ſufficere viderentur. Ad hæc vrbem ad confluentes fluminum cōdi iuſſit, arbitratus populoſam & claram fore. naualia etiam ibi exſtrui curauit. Per eoſdem dies Oxyartes Bactrianus Roxa-E nes Alexandri vxoris pater ad Alexandrum venit. *Huic Parapamiſadarum ſatrapatum dedit, ſubmoto Tiryeſte priore ſatrapa, quòd non bene officio ſuo functus fuiſſe nuntiaretur. Deinde Cratero cum magna exercitus parte & elephantis ad ſiniſtram Indi fluminis ripam traducta, quòd ab ea parte exercitui grauioris armaturæ commodior via futura videretur, & gentes finitimæ non omnino amicæ eſſent: ipſe ſecundo amne in Sogdiorum regiam nauigauit. ibíque aF liam vrbem condidit, portúſque & naualia exſtruxit: nauéſque quaſſatas reparari iuſſit. Totius verò regionis quæ à cōfluentibus Aceſinis atque Indi ad mare vſque pertinet Oxyartem & Pythonem ſatrapas conſtituit, vniuerſa etiam maritima ora illis adiuncta. Cratero deinde rurſus cum exercitu per fines Arachotorum & Drangorum emiſſo,

*Curt. Hic Deſteriulem ſatrapen, quem Parapamiſadis præfecerat, iiſdem arguentibus, cognouit: multáque auarè ac ſuperbè feciſſe cōuictum, interfici iuſſit.

ipſe ſecundo amne in Muſicani regnum venit(quod quidem opulentiſſimũ totius Indorũ regionis eſſe audierat)cõmotus, quòd Muſicanus nondum ſibi obuiam proceſſerat,ſe pariter & regionẽ dediturus, neq; per legatos amicitiam petierat, neque dona (vt magnum regem decebat) miſerat,neq; quicquam omnino ab Alexãdro poſtularat:tantáque celeritate per flumẽ cõtendit, vt prius in Muſicani fines irrumperet, quàm is quicquam de Alexãdri expeditione audiſſet. Inopinato itaque eius aduentu perculſus Muſicanus, confeſtim Alexandro obuiam proceſſit, dona quæ apud Indos cenſentur ampliſſima adferens, vniuerſos etiam quos habebat elephantos ducens,gentémq; pariter & ſe dedẽs,ac culpam ſuam agnoſcẽs. quod quidem ad ea quę quis petiiſſet impetranda ſummam apud Alexandrum vim habebat. Alexander itaque Muſicano venia culpæ data,vrbem ſimul regionémq; admiratus, priſtinum imperium ei reliquit. Cratero vt arcem in vrbe exſtruat iubet: quæ quidẽ præſente adhuc Alexandro exædificata eſt,præſidiúmque ei impoſitum. quòd peridoneus is locus videretur ad finitimas gentes in fide atque officio continendas. Inde aſſumtis ſagittariis atque Agrianis, omníque equitatu quẽ in nauibus vehebat,in eius regionis pręſidem, Oxycanũ nomine,mouet, quòd nec is legatos de deditione miſiſſet:ac duas quidem vrbes maximas quæ Oxycano parebãt primo impetu cepit. in altera harum etiam ipſe Oxycanus captus. Alexander prædam militi dat,& elephantos ſecum abducit: reliquæ vrbes aduentante Alexandro deditionem faciunt, nulla earum ad arma cõuerſa. Ita omniũ Indorum animos Alexãdri virtus & fortuna ſubiugarat. Poſt hæc aduerſus Sambum rurſus copias ducit, quẽ montanis Indis ſatrapam conſtituerat, fugiſſeq; acceperat,quum Muſicanũ ab Alexandro dimiſſum,ſuæq; regioni præfectum audiſſet. Nam cum Muſicano graues inimicitias gerebat. Poſtquã verò vrbi quæ illius imperij caput eſt, (Sindomana ei nomen erat) appropinquauit,portæ vrbis ei apertæ ſunt,quiq; Sambo familiares ac domeſtici erãt cum numerata pecunia & elephantis occurrerunt, declarantes Sambum non hoſtili animo in Alexandrum fugiſſe, ſed Muſicani dimiſſi metu. Quibus in fidem receptis, aliam quandã vrbem quæ defecerat cepit, & Brachmanorum nonnullos (qui quidem ſophiſtæ ſiue ſapientes apud Indos habentur) quos defectionis autores fuiſſe conſtabat, interfecit: de quorum ſapientia,ſi modò vlla eſt,in Indica hiſtoria tractabimus. Dum hæc geruntur,Muſicani defectio nuntiatur. quapropter Pythone Agenoris filio , ſatrapa , cum idoneo exercitu in eum miſſo , ipſe vrbes Muſicano ſubditas adortus , alias direptas ſubuertit , aliis præſidia impoſuit , arceſque in iis exſtruxit.His geſtis,ad caſtra & claſſem rediit,quò Muſicanus à Pythone captus adducitur : Alexander illum in ſua regione laqueo ſuſpẽdi iubet,vnàque cũ eo quotquot

Curt. Porticanus quum in arcem confugiſſet,legatos de cõditione deditionis miſit ad regẽ. Sed antequam adirent eum , duæ turres cum ingenti fragore prociderãt. per quarum ruinas Macedones euaſere in arcẽ, qua capta Porticanus cum paucis repugnans occiditur.

A κατέπλει ἐς τὴν Μουσικανοῦ ἐπικράτειαν, ἥν τινα εὐδαιμονεστάτην τῆς Ἰνδῶν γῆς εἶναι ἐξηγγέλλετο, ὅτι οὔπω ἀπηντήκει αὐτῷ Μουσικανὸς, ἐνδιδοὺς αὑτόν τε καὶ τὴν χώραν, οὔτε πρέσβεις ἐπὶ φιλίᾳ ἐκπέμπει, οὐδέ τι οὔτε αὐτὸς ἐπεπόμφει, ἃ δὴ μεγάλῳ βασιλεῖ εἰκὸς, οὔτέ τι ἠτήκει ἐξ Ἀλεξάνδρου. καὶ γίγνεται αὐτῷ ὁ πλοῦς κατὰ τὸν ποταμὸν ἐς τοσόνδε ἐπισπευδασμένος, ὥστε ἔφθη ἐπὶ τοῖς ὁρίοις γενέσθαι τῆς Μουσικανοῦ χώρας, πρὶν πυθέσθαι Μουσικανὸν ὅτι ὥρμηται ὡς ἐπ᾽ αὐτὸν Ἀλέξανδρος. οὕτω δὴ ἐκπλαγεὶς, κατὰ τάχος ἀπήντα Ἀλεξάνδρῳ, δῶρά τε τὰ πλείστου B ἄξια παρ᾽ Ἰνδοῖς κομίζων, καὶ τοὺς ἐλέφαντας ξύμπαντας ἄγων, καὶ τὸ ἔθνος τε καὶ αὑτὸν ἐνδιδοὺς, καὶ ὁμολογῶν ἀδικεῖν· ὅπερ μέγιστον παρ᾽ Ἀλεξάνδρῳ ἦν ἐς τὸ τυχεῖν ὧν τις δέοιτο. καὶ οὖν καὶ Μουσικανῷ ἐπὶ τοῖσδε ἄδεια ἐδόθη ἐξ Ἀλεξάνδρου· καὶ τὴν πόλιν ἐθαύμασεν Ἀλέξανδρος, καὶ τὴν χώραν, καὶ ἄρχειν αὐτῆς Μουσικανῷ ἔδωκε. Κρατερὸς δὲ ἐν τῇ πόλει ἐτάχθη τὴν ἄκραν ἐκτειχίσαι· καὶ παρόντος ἔτι ἐτειχίσθη Ἀλεξάνδρου, καὶ φυλακὴ κατεστάθη, ὅτι ἐπιτήδειον αὐτῷ ἐφαίνετο τὸ χωρίον ἐς τὸ κατέχεσθαι τὰ C κύκλῳ ἔθνη φυλαττόμενα. ἔνθεν δὲ ἀναλαβὼν τούς τε τοξότας, καὶ τοὺς Ἀγριάνας, καὶ τὴν ἵππον τὴν ἅμα οἷ πλέουσαν, ἐξελαύνει ἐπὶ τὸν νομάρχην τῆς ταύτῃ γῆς (ὄνομα δὲ ἦν Ὀξυκανὸς) ὅτι μήτε αὐτὸς ἀφῖκτο, μήτε πρέσβεις παρ᾽ αὐτοῦ ἧκον, ἐνδιδόντες αὑτόν τε καὶ τὴν χώραν. δύο μὲν δὴ πόλεις τὰς μεγίστας τῶν ὑπὸ τῷ Ὀξυκανῷ ἐξ ἐφόδου κατὰ κράτος ἔλαβεν· ἐν δὲ τῇ ἑτέρᾳ τούτων καὶ αὐτὸς Ὀξυκανὸς ἑάλω. ὁ δὲ τὴν μὲν λείαν τῇ στρατιᾷ δίδωσι, τοὺς ἐλέφαντας δὲ ἅμα οἷ ἦγε. καὶ ἄλλαι δὲ πόλεις αὐτῷ αἱ ἐν τῇ αὐτῇ χώρᾳ D ἐνεδίδοντο ἐπιόντι, οὐδέ τις ἐτράπετο ἐς ἀλκήν. οὕτω καὶ Ἰνδοὶ πάντες ἐδεδούλωντο ἤδη τῇ γνώμῃ πρὸς Ἀλεξάνδρου τε καὶ τῆς Ἀλεξάνδρου τύχης. ὁ δὲ ἐπὶ Σάμβον αὖ ἦγε, τῶν ὀρείων Ἰνδῶν σατράπην ὑπ᾽ αὐτοῦ κατασταθέντα, ὃς πεφευγέναι αὐτῷ ἐξηγγέλλετο, ὅτι Μουσικανὸν ἀφειμένον πρὸς Ἀλεξάνδρου ἐπύθετο, καὶ τῆς χώρας τῆς ἑαυτοῦ ἄρχοντα. τὰ γὰρ πρὸς Μουσικανὸν αὐτῷ πολέμια ἦν. ὡς δὲ ἐπέλαζεν ἤδη τῇ πόλει Ἀλέξανδρος ἥν τινα μητρόπολιν εἶχεν ἡ τοῦ Σάμβου χώρα (ὄνομα ἦν τῇ πόλει Σινδόμανα) αἵ τε E πύλαι αὐτῷ ἀνοίγονται προσάγοντι, καὶ οἱ οἰκεῖοι τοῦ Σάμβου τά τε χρήματα ἀπηριθμημένα καὶ τοὺς ἐλέφαντας μετὰ σφῶν ἄγοντες ἀπήντων. οὐ γὰρ δὴ Ἀλεξάνδρῳ γε πολεμίως ἔχοντα Σάμβον φυγεῖν, ἀλλὰ Μουσικανοῦ τὴν ἄφεσιν δείσαντα. ὁ δὲ καὶ ἄλλην πόλιν ἐν τούτῳ ἀποστᾶσαν εἷλε, καὶ τῶν Βραχμάνων (οἳ δὴ σοφισταὶ τοῖς Ἰνδοῖς εἰσὶν) ὅσοι αἴτιοι τῆς ἀποστάσεως ἐγένοντο, ἀπέκτεινεν. ὑπὲρ ὧν ἐγὼ τῆς σοφίας, εἰ δή τις ἐστὶν, ἐν τῇ Ἰνδικῇ ξυγγραφῇ δηλώσω. καὶ ἐν τούτῳ, Μουσικανὸς αὐτῷ ἀφεστάναι ἐξηγγέλλετο· καὶ F ἐπὶ τοῦτον μὲν ἐκπέμπει Πύθωνα τὸν Ἀγήνορος, σατράπην, ξὺν στρατιᾷ ἀποχρώσῃ. αὐτὸς δὲ τὰς πόλεις τὰς ὑπὸ Μουσικανῷ τεταγμένας ἐπελθὼν, τὰς μὲν ἐξανδραποδίσας αὐτῶν κατέσκαψεν· εἰς ἃς δὲ φρουρὰς εἰσήγαγε, καὶ ἄκρας ἐξετείχισε. Ταῦτα δὲ διαπραξάμενος, ἐπὶ τὸ στρατόπεδόν τε ἐπανῆκε, καὶ τὸν στόλον. ἔνθα δὴ Μουσικανός τε ξυλληφθεὶς ἄγεται πρὸς Πύθωνος· καὶ τοῦτον κρεμάσαι Ἀλέξανδρος κελεύει ἐν τῇ αὐτοῦ γῇ, καὶ

τῶν Βραχμάνων ὅσοι αἴτιοι τῆς ἀποστάσεως τῷ Μουσικανῷ κατέστησαν. ἀφίκετο δὲ αὐτῷ καὶ ὁ τῶν Παττάλων τῆς χώρας ἄρχων (ὅπου δὴ τὸ δέλτα ἔφην εἶναι τὸ πρὸς τοῦ ποταμοῦ τοῦ Ἰνδοῦ ποιούμενον, μεῖζον ἔτι τοῦ δέλτα τοῦ Αἰγυπτίου) καὶ οὗτος τήν τε χώραν αὐτοῦ ἐνεδίδου πᾶσαν, καὶ αὐτόν τε καὶ τὰ αὐτοῦ ἐπέτρεψε. τοῦτον μὲν δὴ ἐπὶ τῇ αὐτοῦ ἀρχῇ ἐκπέμπει αὖθις, παραγγείλας παρασκευάζειν ὅσα ἐς ὑποδοχὴν τῇ στρατιᾷ. αὐτὸς δὲ Κρατερὸν μὲν, τήν τε Ἀττάλου τάξιν ἄγοντα, καὶ τὴν Μελεάγρου, καὶ Ἀντιγένους, καὶ τῶν τοξοτῶν ἔστιν οὕς, καὶ τῶν ἑταίρων τε καὶ ἄλλων Μακεδόνων ὅσους ἐς Μακεδονίαν ἀπομάχους ὄντας ἤδη ἔστελλε, κατὰ τὴν Ἀραχώτων καὶ Ζαράγγων ἔπεμπεν ἐς Καρμανίαν, καὶ τοὺς ἐλέφαντας τούτῳ ἄγειν ἔδωκε· τὴν δὲ ἄλλην στρατιὰν, ὅση γε μὴ ξὺν αὐτῷ κατέπλει ὡς ἐπὶ θάλασσαν, Ἡφαιστίων ἐπετάχθη. Πύθωνα δὲ τούς τε ἱππακοντιστὰς ἄγοντα, καὶ τοὺς Ἀγριάνας, ἐς τὴν ἐπέκεινα ὄχθην τοῦ Ἰνδοῦ διαβιβάσας, οὐχ ᾗπερ Ἡφαιστίων τὴν στρατιὰν ἄγειν ἔμελλε, τάς τε ἐκτετειχισμένας ἤδη πόλεις ξυνοικίσαι ἐκέλευσε· καὶ εἰ δή τινα νεωτερίζοιτο πρὸς τῶν ταύτῃ Ἰνδῶν, καὶ ταῦτα ἐς κόσμον καταστήσαντα ξυμβάλλειν οἱ ἐς τὰ Πάτταλα. ἤδη δὲ τρίτην ἡμέραν αὐτῷ τοῦ πλοῦ ἔχοντι ἐξαγγέλλεται ὅτι τῶν Παττάλων ὕπαρχος ξυλλαβὼν τῶν Παττάλεων τοὺς πολλοὺς, ἀποδεδρακὼς οἴχοιτο, ἀπολιπὼν τὴν χώραν ἔρημον· καὶ ἐπὶ τούτῳ πλείονι ἢ πρόσθεν σπουδῇ κατέπλει Ἀλέξανδρος. ὡς δὲ ἀφίκετο ἐς τὰ Πάτταλα, τήν τε πόλιν καὶ τὴν χώραν ἔρημον καταλαμβάνει τῶν ἐνοικούντων τε καὶ ἐπεργαζομένων. ὁ δὲ κατὰ δίωξιν τῶν φευγόντων ἐκπέμψας τῆς στρατιᾶς τοὺς κουφοτάτους, ἐπεί τινες αὐτῶν ξυνελήφθησαν, ἀποπέμπει τούτους παρὰ τοὺς ἄλλους, ἐντελλόμενος ἐπανιέναι θαρροῦντας. εἶναι γὰρ αὐτοῖς τήν τε πόλιν οἰκεῖν ὡς πρόσθεν, καὶ τὴν χώραν ἐργάζεσθαι· καὶ ἐπανῆλθον οἱ πολλοὶ αὐτῶν. αὐτὸς δὲ Ἡφαιστίωνι προστάξας τειχίζειν ἐν τοῖς Παττάλοις ἄκραν, ἀποπέμπει ἐς τὴν ἄνυδρον τῆς πλησίον γῆς φρέατά τε ὀρύξοντας, καὶ οἰκήσιμον τὴν χώραν κατασκευάσοντας. καὶ τούτοις ἐπέθεντο τῶν προσχώρων τινὲς βαρβάρων, καὶ ἔστι μὲν οὓς διέφθειραν αὐτῶν ἄφνω προσπεσόντες, πολλοὺς δὲ καὶ σφῶν ἀποβαλόντες, ἔφυγον εἰς τὴν ἔρημον· ὥστε ἐπιτελεσθῆναι τοῖς ἐκπεμφθεῖσι τὰ ἔργα, προσγινομένης αὐτοῖς καὶ ἄλλης στρατιᾶς, ἣν Ἀλέξανδρος, πυθόμενος τῶν βαρβάρων τὴν ἐπίθεσιν, ἐστάλκει μεθέξοντας τοῦ ἔργου. περὶ δὲ τοῖς Παττάλοις σχίζεται τοῦ Ἰνδοῦ τὸ ὕδωρ ἐς δύο ποταμοὺς μεγάλους· καὶ οὗτοι ἀμφότεροι σώζουσι τοῦ Ἰνδοῦ τὸ ὄνομα, ἔστε ἐπὶ τὴν θάλασσαν. ἐνταῦθα ναύσταθμόν τε καὶ νεωσοίκους ἐποίει Ἀλέξανδρος. ὡς δὲ προὐκεχωρήκει αὐτῷ τὰ ἔργα, ὁ δὲ καταπλεῖν ἐπενόει ἔστε ἐπὶ τὴν ἐκβολὴν τοῦ ἐν δεξιᾷ ῥέοντος ποταμοῦ ἐς τὴν θάλασσαν. Λεοννάτον μὲν δὴ, δοὺς αὐτῷ τῶν τε ἱππέων ἐς χιλίους, καὶ τῶν ὁπλιτῶν τε καὶ ψιλῶν ἐς ὀκτακισχιλίους, κατὰ τὴν νῆσον τὰ Πάτταλα ἐκπέμπει ἀντιπαράγειν τῷ στόλῳ· αὐτὸς δὲ τὰς μάλιστα τῶν νεῶν ταχυναυτούσας ἀναλαβὼν, ὅσαι τε ἡμιόλιαι, καὶ τὰς τριακοντόρους πάσας, καὶ τῶν κερκούρων ἔστιν οὕς, ἔπλει κατὰ τὸν ποταμὸν τὸν ἐν δεξιᾷ. οὐκ ἔχοντι δὲ αὐτῷ ἡγεμόνα τοῦ πλοῦ, ὅτι πεφεύγεσαν οἱ ταύτῃ

A Brachmani Muſicanum ad defectionem inſtigarant. Eodem tempore ad eum venit Pattalorum regulus (quam regionem Indũ amnem in literæ Δ figuram ſecare dixi, maiorémque quàm eſt Ægyptium delta efficere) ſe ſuáſque ditiones Alexandri fidei cõmittens. atque hunc quidem imperio ſuo reſtitutum, omnia quæ ad excipiendum exercitum neceſſaria eſſent parare iuſſit. Ipſe Craterum Attali agmen ducentem, & Meleagri atque Antigenis, nonnullóſque ex ſagittariis, ex amicis etiam & Macedonibus B quos inutiles bello factos in Macedoniam ablegarat, in Carmaniam per Arachotos & Zarangos proficiſci, elephantóſque ducere iubet. reliquo exercitui, præter eas copias quæ ſecum in maritimam oram nauigabãt, Hephæſtionẽ præfecit. Pythonem verò, qui equeſtres iaculatores & Agrianos ducebat, in vlteriorem Indi ripam traductum, non eam qua Hephæſtion exercitum ducturus erat, vt colonos in vrbes abs ſe conditas dũcat imperat, & ſiquid apud finitimos Indos C nouatum eſſet, rebus compoſitis ad Pattala ſe cum reliquis copiis coniungat. Quúmque iam triduo nauigaſſet, nuntiatum ei eſt Pattalorum regulum, magna Pattalenſium manu coacta, vrbe deſtituta aufugiſſe. quo nuntio accepto Alexander properãtius claſſem agit. Quúmque Pattala peruenit, vrbem incolis, agrum agricolis vacuum reperit. Inde expeditiſsimis quibuſq; è toto exercitu qui fugientes inſequerentur miſſis, quum nonnulli eorum capti eſſent, confeſtim eos ad alios adhuc fugientes miſit, qui illos ad D reditum hortarentur. liberam enim illis fore vt antea & vrbis habitationem & agri culturam, multique eorum rediere. Deinde Hephæſtione in Pattalis arcem ędificare iuſſo, alios in eam regionem quæ aquarum inopia laborabat mittit qui puteos foderent, regionémque habitabilem facerent. Hos barbarorum finitimorum nonnulli ex improuiſo adorti, quum aliquot interfeciſſent, multis etiam ſuorum deſideratis, in ſolitudinem ſeſe receperunt. Alexander, cognito E barbarorum inſultu, alias copias mittit quæ ſe prioribus adiungãt, quo tutius opera iam incepta abſoluant. Porro apud Pattala Indus amnis in duos ingentes fluuios ſcinditur, quorum vterque Indi appellationem ad mare vſque retinet. Hoc loco etiam Alexander portus & naualia exſtrui iuſſit. Quúmque res omnes ex animi ſententia ſuccederẽt, ſtatuit per oſtia fluminis quod dextrorſum ferebatur mare petere. Itaque Leonnatum emittit cum mille equitibus, peditibus circiter VIII M, qui ad Pattala inſu- F lam claſſem promoueat. Ipſe delectis nauibus quæ velociores erant, & biremibus omnibus, & triginta remorum nauibus, actuariíſque nonnullis, per dexteriorem amnem vehi cœpit. Cæterùm quum ipſe neminem nauigationis ducem haberet

(Indi enim qui ea loca habitabant, profugerant) difficilis ea in primis fuit. Poſtridie enim quàm ſoluerant orta tempeſtas, " ventúſque æſtui contrarius cauas vndas ciebat, nauéſque inter ſe " collidebat: adeo vt pleræque quaſſatæ, nonnullæ verò ex triginta remorum nauibus prorſus diſſipatæ fuerint, ægréque ad ripam, priuſquam à vorticibus planè abſorberentur, appulſæ ſint. Aliis igitur nauibus fabricatis, & nonnullis qui inter leuis armaturæ milites expeditiſſimi eſſent in vlteriorem ripam emiſſis, Indos aliquot cepit, quibus deinceps in eo flumine nauigationis ducibus eſt vſus. Poſtquam verò eò peruečtum eſt vbi amnis latitudo in C C ſtadia extenditur, qua nimirum parte ampliſſimus eſt, quũ ventus à mari vehementior incubuiſſet, remíque ægrè procellas retundere poſſent, rurſus in ſinum quendam quem duces nauigationis iis præmonſtrarunt ſe recipiunt. Ibi quum in ſtatione eſſent, in nouum metum inciderunt. Recedente enim æſtu naues ſiccæ in limo hærebant. quod quũ Græci antea ignoraſſent, tanto maiori illis admirationi fuit: multo tamen maiori, quũ ſtato tempore recurrens æſtus naues ſubleuauit: & quidem quæ limo firmiter inſederant naues, citra vllum detrimentum ſublatæ rurſus nauigarunt. quæ verò in ſicciore terra parum firmiter hæſerãt, earum aliæ recurrentis æſtus impetu raptæ, inuicem illiſæ ſunt, aliæ in ripam propulſæ diſſilierunt. His omnibus pro eo ac tempus ferebat reparatis, Alexãder duab' actuariis nauib' ſecundo flumine præmittit qui inſulam explorent, in quam indigenæ aiebãt ipſi deſcendendũ eſſe ad Oceanum nauiganti. Eam inſulã Cillutam vocabant. Qui poſtquam renuntiauerunt ipſam inſulam magnam eſſe, portúſque commodos & aquam habere, reliquam claſſem eò agi iubet. Ipſe cum lectiorib' nauibus vlterius progreditur, exploraturus an ea parte qua flumẽ in mare exit facilis claſſi tranſitus futurus eſſet: progreſſúſque ab inſula C C circiter ſtadia, aliam inſulam proſpicit iam in mari ſitam. Tum ad priorem fluminis inſulã redit, atque ad eius promontorium appulſus, diis quibus ab Ammone ſe ſacrificare iuſſum eſſe dicebat, ſacrum facit. Poſtero die ad aliam in Oceano ſitam inſulam nauigat. quò vbi venit, aliis hoſtiis, aliis etiam diis, alio quoque modo ſacrificat. id quoque ex Ammonis oraculo facere ſe prædicans. Ipſe Indi amnis oſtia prætergreſſus in vaſto pelago nauigauit, exploraturus (vt ipſe quidem dicebat) an aliqua regio vicina mari appareret: meo verò iudicio, prçcipuè vt in Oceano qui vltra Indos eſt nauigaſſe diceretur. Ibi tauros Neptuno cæſos in mare proiecit, libationéque ſacrificio ſuperaddita, phialam auream & crateras aureos gratias agens in vndas immiſit. precatus vt exercitum naualem, quem cum Nearcho in ſinum Perſicum atque oſtia Euphra-

Curt. Curſus æſtu verberabatur.

Curt. Collidi inter ſe naues, abſtergerique inuicem remi, & alii aliorum nauigia vrgere cœperũt.

A Ἰνδοὶ, ἀπορώτερα τὰ κατάπλου ἦν· χειμών τε ἐπιγίγνεται ἐς τὴν ὑστεραίαν ἀπὸ τῆς ἀναγωγῆς, καὶ ὁ ἄνεμος τῷ ῥόῳ πνέων ὑπεναντίος κοῖλόν τε ἐποίει τὸν ποταμὸν, καὶ τὰ σκάφη διέσειεν· ὥστε ἐπόνησαν αὐτῷ αἱ πλεῖσται τῶν νεῶν. τῶν δὲ τριακοντόρων ἔστιν αἳ καὶ πάντη διελύθησαν· ἔφθασαν δὲ ἐποκείλαντες αὐτὰς, πρὶν παντάπασι διαπεσεῖν ἐν τῷ ὕδατι. ἕτεραι οὖν ξυνεπήγνυντο· καὶ τῶν ψιλῶν τοὺς κουφοτάτους ἐκπέμψας ἐς τὴν προσωτέρω τῆς ὄχθης χώραν, ξυλλαμβάνει τινὰς τῶν Ἰνδῶν, καὶ οὗτοι ἀπὸ τοῦδε ἐξηγοῦντο αὐτῷ τὸν πόρον.
B ὡς δὲ ἧκον ἵναπερ ἀναχεῖται ἐς εὖρος ὁ ποταμὸς, ὡς καὶ διακοσίοις ταύτῃ σταδίοις ἐπέχειν, ᾗπερ εὐρύτατος αὐτὸς αὑτοῦ ἦν, τό, τε πνεῦμα κατήει μέγα ἀπὸ τῆς ἔξω θαλάσσης, καὶ αἱ κῶπαι ἐν κλύδωνι χαλεπῶς ἀνεφέροντο, ξυμφεύγουσιν αὖ ἐς διώρυχα, ἐς ἥντινα οἱ ἡγεμόνες αὐτῷ καθηγήσαντο. ἐνταῦθα ὁρμισάντων, τὸ πάθημα ἐπιγίγνεται τῆς μεγάλης θαλάσσης ἡ ἄμπωτις· ὥστε ἐπὶ ξηροῦ ἀπελείφθησαν αὐτοῖς αἱ νῆες. καὶ τοῦτο οὐ πρότερον ἐγνωκόσι τοῖς ἀμφ' Ἀλέξανδρον, ἔκπληξιν μὲν καὶ
C αὐτὸ οὐ σμικρὰν παρέσχε· πολὺ δὲ δὴ ἔτι μείζονα, ἀπό τε διελθούσης τῆς ὥρας προσῄει τε τὸ ὕδωρ, καὶ τὰ σκάφη μετεωρίζοντο. ὅσαι μὲν δὴ τῶν νεῶν ἐν τῷ πηλῷ ἑδραίως κατέλαβον, αὗται δὲ ἀβλαβῶς τε ἐμετεωρίσθησαν, καὶ οὐδὲν χαλεπὸν παθοῦσαι, ἔπλεον αὖθις· ὅσαι δὲ ἐν ξηροτέρᾳ τε τῇ γῇ, καὶ οὐ βεβαίως γε τὴν στάσιν ἔχουσαι ὑπελείφθησαν, αὗται δὲ ἀθρόου ἐπελθόντος τοῦ κύματος, αἱ μὲν αὐτῶν ἐμπεσοῦσαι ἐς ἀλλήλας, αἱ δὲ πρὸς τῇ γῇ ἀραχθεῖσαι ξυνετρίβησαν. ταῦτά τε οὖν ἐπεσκεύασεν Ἀλέξανδρος ἐκ τῶν
D παρόντων, καὶ ἐν κερκούροιν δυοῖν προπέμπει κατὰ τὸν ποταμὸν τοὺς κατασκεψομένους τὴν νῆσον, ἐς ἥντινα οἱ ἐπιχώριοι ἔφασκον ὁρμιστέα εἶναι αὐτῷ κατὰ τὸν πλοῦν τὸν ἐς τὴν θάλασσαν. Κιλλουτὰ δὲ τῇ νήσῳ τὸ ὄνομα ἔλεγον. ὡς δὲ ἐξηγγέλθη ὅτι ὅρμοι τε ἐν τῇ νήσῳ εἰσὶ, καὶ αὐτὴ μεγάλη, καὶ ὕδωρ ἔχουσα, ὁ μὲν ἄλλος αὐτῷ στόλος ἐς τὴν νῆσον κατέσχεν· αὐτὸς δὲ ταῖς ἄριστα πλεούσαις τῶν νεῶν ἐπέκεινα προὐχώρει, ὡς ἀπιδεῖν τοῦ ποταμοῦ τὴν ἐκβολὴν τὴν ἐς τὴν θάλασσαν, εἰ παρέχοι τὸν ἔκπλουν εὔπορον. προελθόντες δὲ ἀπὸ τῆς
E νήσου σταδίους ὅσον διακοσίους, ἀφορῶσιν ἄλλην νῆσον ταύτην ἤδη ἐν τῇ θαλάσσῃ. τότε μὲν δὴ ἐπανῆλθον ἐς τὴν ἐν τῷ ποταμῷ νῆσον· καὶ πρὸς τοῖς ἄκροις αὐτῆς καθορμισθεὶς, θύει τοῖς θεοῖς Ἀλέξανδρος, ὅσοις ἔφασκεν ὅτι παρὰ τοῦ Ἄμμωνος ἐπηγγελμένον ἦν θῦσαι αὐτῷ. ἐς δὲ τὴν ὑστεραίαν κατέπλει ὡς ἐπὶ τὴν ἄλλην τὴν ἐν τῷ πόντῳ νῆσον. καὶ προσχὼν καὶ ταύτῃ, ἔθυε καὶ ἐνταῦθα ἄλλας αὖ θυσίας, ἄλλοις τε θεοῖς καὶ ἄλλῳ τρόπῳ· καὶ ταύτας δὲ κατ' ἐπιθεσπισμὸν θύει τοῦ Ἄμμωνος. αὐτὸς δὲ ὑπερβαλὼν τοῦ Ἰνδοῦ πο-
F ταμοῦ τὰς ἐκβολὰς, ἐς τὸ πέλαγος ἀνέπλει, ὡς μὲν ἔλεγεν, ἀπιδεῖν εἴπου τις χώρα πλησίον ἀνίσχει ἐν τῷ πόντῳ· ἐμοὶ δὲ δοκεῖ, οὐχ ἥκιστα ὡς πεπλευκέναι τὴν μεγάλην τὴν ἔξω Ἰνδῶν θάλασσαν λέγοιτο. ἐνταῦθα ταύρους τε σφάξας τῷ Ποσειδῶνι, ἀφῆκεν ἐς τὴν θάλασσαν· καὶ σπείσας ἐπὶ τῇ θυσίᾳ, τήν τε φιάλην χρυσῆν οὖσαν, καὶ κρατῆρας χρυσοῦς ἐνέβαλλεν ἐς τὸν πόντον χαριστήρια· εὐχόμενος σῶόν οἱ παραπέμψαι τὸν στρατὸν τὸν ναυτικὸν, ὅντινα ξὺν Νεάρχῳ ἐπενόει στέλλειν ὡς ἐπὶ τὸν κόλπον τὸν Περσικὸν, καὶ

τὰς ἐκβολὰς τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγρητος. ἐπανελθὼν δὲ ὀπίσω ἐς τὰ Πάτταλα, τήν τε ἄκραν τετειχισμένην καταλαμβάνει, καὶ Πύθωνα ξὺν τῇ στρατιᾷ ἀφιγμένον, καὶ τούτῳ ξύμπαντα καταπεπραγμένα ἐφ᾽ οἷσπερ ἐστάλη. Ἡφαιστίων μὲν δὴ ἐτάχθη παρασκευάζειν τὰ πρὸς τὸν ἐκτειχισμὸν τοῦ ναυστάθμου, καὶ τῶν νεωσοίκων τὴν κατασκευήν. καὶ γὰρ ἐνταῦθα ἐπενόει στόλον ὑπολείπεσθαι νεῶν οὐκ ὀλίγων πρὸς τῇ πόλει τοῖς Παττάλοις, ἵναπερ ἐσχίζετο ὁ ποταμὸς ὁ Ἰνδός. αὐτὸς δὲ κατὰ τὸ ἕτερον στόμα τοῦ Ἰνδοῦ ποταμοῦ κατέπλει αὖθις ἐς τὴν μεγάλην θάλασσαν, ὡς καταμαθεῖν ὅπῃ εὐπορωτέρα ἡ ἐκβολὴ τοῦ Ἰνδοῦ ἐς πόντον γίνεται. ἀπέχει δὲ ἀλλήλων τὰ στόματα τοῦ ποταμοῦ τοῦ Ἰνδοῦ ἐς σταδίους μάλιστα ὀκτακοσίους καὶ χιλίους. ἐν δὲ τῷ κατάπλῳ ἀφίκετο τῆς ἐκβολῆς τοῦ ποταμοῦ ἐς λίμνην μεγάλην, ἥντινα ἀναχεόμενος ὁ ποταμός, τυχὸν δὲ καὶ ἐκ τῶν πέριξ ὑδάτων ἐμβαλόντων ἐς αὐτήν, μεγάλην τε ποιεῖ καὶ κόλπῳ θαλάσσης μάλιστα ἐοικυῖαν. καὶ γὰρ ἰχθύες ἤδη ἐν αὐτῇ τῶν ἀπὸ θαλάσσης ἐφαίνοντο, μείζονες τῶν ἐν τῇδε τῇ ἡμετέρᾳ θαλάσσῃ. προσορμισθεὶς οὖν κατὰ τὴν λίμνην, ἵναπερ οἱ καθηγεμόνες ἐξηγοῦντο, τῶν μὲν στρατιωτῶν τοὺς πολλοὺς καταλείπει σὺν Λεοννάτῳ αὐτοῦ, καὶ τοὺς κερκούρους ξύμπαντας· αὐτὸς δὲ ταῖς τριακοντόροις τε καὶ ἡμιολίαις ὑπερβαλὼν τὴν ἐκβολὴν τοῦ Ἰνδοῦ, καὶ προελθὼν καὶ ταύτῃ ἐς τὴν θάλασσαν, εὐπορωτέραν τε κατέμαθε τὴν ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ ἐκβολήν. καὶ αὐτὸς προσορμισθεὶς τῷ αἰγιαλῷ, καὶ τῶν ἱππέων τινὰς ἅμα οἷ ἔχων, παρὰ θάλασσαν ᾔει σταθμοὺς τρεῖς. τήν τε χώραν ὁποία τίς ἐστιν ἡ ἐν τῷ παράπλῳ ἐπισκεπτόμενος, καὶ φρέατα ὀρύττεσθαι κελεύων, ὅπως ἔχοιεν ὑδρεύεσθαι οἱ πλέοντες, αὐτὸς μὲν δὴ ἐπανελθὼν ἐπὶ τὰς ναῦς, ἀνέπλει ἐς τὰ Πάτταλα· μέρος δέ τι τῆς στρατιᾶς τὰ φρέατα ταῦτα ἐργασομένους, κατὰ τὴν παραλίαν ἔπεμψεν, ἐπανιέναι καὶ τούτοις προστάξας ἐς τὰ Πάτταλα. αὖθις δὲ ὡς ἐπὶ τὴν λίμνην καταπλεύσας, ἄλλον ναύσταθμον καὶ ἄλλους νεωσοίκους ἐνταῦθα κατεσκεύασε. καὶ φυλακὴν καταλιπὼν τῷ χωρίῳ, σῖτόν τε ὅσον καὶ ἐς τέσσαρας μῆνας ἐξαρκέσαι τῇ στρατιᾷ ἐπηγάγετο, καὶ τἄλλα ὅσα ἐν τῷ παράπλῳ παρεσκεύασεν. ἦν δὲ ἐν μὲν τῷ τότε ἄπορος ἡ ὥρα ἐς τὸν πλοῦν. οἱ γὰρ Ἐτήσιοι ἄνεμοι κατεῖχον, οἳ δὴ τῇ ὥρᾳ ἐκείνῃ οὐ καθάπερ παρ᾽ ἡμῖν ἀπ᾽ ἄρκτου, ἀλλὰ ἀπὸ τῆς μεγάλης θαλάσσης κατὰ Νότον μάλιστα ἄνεμον ἵστανται. ἀπὸ δὲ τοῦ χειμῶνος τῆς ἀρχῆς, τὸ ἀπὸ Πλειάδων δύσεως, ἔστε ἐπὶ τροπὰς ἃς ἐν χειμῶνι ὁ ἥλιος ἐπιστρέφει, πλόϊμα εἶναι ταύτῃ ἐξηγγέλλετο. τότε γὰρ καὶ κατὰ γῆν μᾶλλον, οἷα δὴ πολλῷ ὕδατι ἐξ οὐρανοῦ βεβρεγμένην, αὔρας ἵστασθαι μαλθακάς, καὶ ἐς τὸν παράπλουν ταῖς τε κώπαις καὶ τοῖς ἱστίοις ξυμμέτρους. Νέαρχος μὲν δὴ ἐπιταχθεὶς τῷ ναυτικῷ προσέμενε τὴν ὥραν τοῦ παράπλου· αὐτὸς δὲ ἄρας ἐκ Παττάλων, ἔστε μὲν ἐπὶ τὸν ποταμὸν τὸν Ἀράβιον ξὺν τῇ στρατιᾷ πάσῃ προὐχώρει. ἐκεῖθεν δὲ ἀναλαβὼν τῶν ὑπασπιστῶν τε καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, καὶ τῶν Ἀσθετέρων καλουμένων τὰς τάξεις, καὶ τῆς ἵππου τῆς ἑταιρικῆς τό τε ἄγημα, καὶ ἴλην ἀφ᾽ ἑκάστης ἱππαρχίας, καὶ τοὺς ἱπποτοξότας ξύμπαντας, ὡς ἐπὶ τὴν θάλασσαν ἐν ἀριστερᾷ ἐτράπετο, ὕδατά τε ὀρύσσων, ὡς κατὰ τὸν παράπλουν ἄφθονα εἶναι τῇ στρατιᾷ τῇ παραπλεούσῃ, καὶ ἅμα ὡς τοῖς Ὠρεί-

A tis & Tigritis mittere ſtatuerat, ſaluũ & in-
columem traducat. Poſt hæc Pattala re-
uerſus, arcem exædificatã reperit, & Pytho-
nem cum copiis rediiſſe, omnibus iis rebus
ad quas miſſus fuerat peractis. Igitur Hephæ
ſtioni ſtruendorum naualium negotio dato
(ſtatuerat enim partẽ claſſis ad vrbem Pat-
tala, vbi Indus amnis diuiditur, relinquere)
ipſe per alias Indi fauces rurſus in Oceanum
nauigat, vt qua parte facilior minúſque ve-
hemens eius in mare irruptio ſit cognoſcat.
Diſtant autem inter ſe duo hæc Indi amnis
B oſtia ſtadiis M D C C C. Quúmque iam non
procul à faucibus fluminis abeſſet, ad lacum
quendam peruenit, qui aut ab ipſo flumine
latè diffuſo efficitur, aut ab aquis ex circũvi-
cinis locis influẽtibus, fluménque auctius &
marino ſinui perquã ſimile reddentibus. Nã
& piſces marini iam in eo cõſpiciebãtur, ma
iores quàm noſtrum mare fert. Ad eam ita-
que lacus partem quam duces nauigationis
monſtrabant appulſus, pleroſque militum
C cum Leonnato ibi relinquit, actuariáſque
naues omnes: ipſe cum aliquot nauibus tri-
ginta remorum & biremibus ſuperato flu-
minis oſtio, ea quoque parte in Oceanum
excurrit, faciliúſque ea parte claſſem in ma-
re ſubduci poſſe cognouit. Deinde in littus
cum equitibus aliquot egreſſus, ad maris o-
ram tridui iter fecit, & regionis quã adnaui-
gabat ratione explorata, puteos complures
effodi iubet, vnde aqua claſſi ſuppetere poſ-
ſet. Hinc conſcenſis rurſus nauibus Pattala
remeat: mox partem exercitus ad puteos il-
D los effodiendos in maritimam oram mittit,
mandatis additis vt abſoluto opere Patta-
la redeant. Ipſe denuo in lacum nauigans,
alias porticus naualiáque exſtruxit: præſi-
dióque ibidem relicto, frumentum in qua-
tuor menſes conuexit, aliáque ad nauigá-
tionem neceſſaria parauit. Erat verò id anni
tempus ad nauigandum ineptum. Eteſiæ e-
nim ſpirabant, qui quidèm ea anni parte nõ
à ſeptentrione vt apud nos, ſed ab Oceano
ex auſtro potiſſimùm exurgunt. Siquidem
ab initio hyemis, quæ ſimul cum occaſu
E Pleiadum incipit, ad ſolſtitium hybernum
vſque nauigabilem iis in locis Oceanũ eſſe
narrabant. Tum enim temporis quum re-
gio multis pluuiis madet, lenes auras excita
ri, & ad nauigationem tam velis quàm re-
mis faciendam accommodatas. Nearchus
itaque claſſis præfectus tempus ad nauigan
dum opportunum expectabat. Ipſe ex Pat-
talis ſoluens, ad Arabium amnem cum ex-
ercitu proceſſit. Inde aſſumta argyraſpidum
& ſagittariorum dimidia parte, agminibúſ-
F que eorum qui Aſſeteri vocantur, agmine
etiam equitatus ex amicis, & ex ſingulis
præfecturis equitum cohorte vna, equeſtri-
búſque ſagittariis omnibus, ad Oceanũ le-
uam verſus conuertitur: puteóſque fodi iuſ-
ſit, vt exercitui prӕternauiganti aqua abun-
dè ſuppeteret, ſimúlque vt Oritas Indorum

gentem iam inde à multo tempore liberam, inſperatò adoriretur: quòd nullam amicitiæ erga ſe aut exercitum ſignificationem edidiſſent. Reliquas copias Hephæſtioni ducendas tradit. Cæterùm Arabitæ, ipſi quoque liberi, Arabium flumen accolentes, quum neque ſatis virium haberent vt cum Alexandro confligerent, neque tamen ſeſe ſubiicere ei vellent, ſimulatque eum cum exercitu aduentare ſenſerunt, in ſolitudines aufugerunt. Alexander tranſito amne, qui & anguſtus & modicæ altitudinis erat, magnam ſolitudinis partem eâ nocte tranſgreſſus, ſub auroram cultæ habitatæque regioni appropinquauit. Tum peditibus inſtructa acie ſequi iuſsis, ipſe ſumtis equitibus, iiſque per turmas diſtributis atque expanſis, vt magnam campi partem occuparent, Oritarum fines inuadit. Pleriſque eorum qui ad arma confugerant ab equitatu cæſi: non pauci etiam viui in poteſtatem venerunt. Poſt hæc modico fluuio reperto, iuxta eum caſtra locat. Deinde vbi Hephæſtion cum reliquis copiis aduenit, vlterius progreſſus eſt. Cúmque ad pagum quẽdam veniſſet, qui erat eius gentis maximus, (Rambacia ei nomen erat) ſitum loci laudauit, vrbémque magnam & opulentam, colonia in eam deducta, fore iudicabat. Atq; Hephæſtioni quidem id negotij dat: ipſe ſumta rurſus ſecum argyraſpidum atque Agrianorum dimidia parte, equitúmque agmine & ſagittariis equeſtribus, ad fines Gadroſorum atque Oritarum contendit, qua anguſtus ad eos aditus patere nuntiabatur. ad quem Oritæ Gadroſis coniuncti caſtra locarant, Alexãdrum tranſitu prohibituri. Atq; ij quidem acie inſtructa ſtantes, ſimulac aduentare Alexandrum audierunt, deſerto præſidio ex anguſtiis profugerunt. At verò duces Oritarum ad eum profecti, & ſe & gentem in eius poteſtatem dederunt. His imperat vt conuocata Oritarũ multitudine, domum eos remittãt: nihil incommodi, ſi id faciant, accepturos. Satrapam iis conſtituit Apollophanẽ, Leonnato corporis cuſtode illi adiũcto, qui in Oris Agrianos omnes, & ſagittariorum equitúmque nonnullos, alióſque pedites & equites Grecos mercenarios apud ſe habeant. vtque claſſem expectantes dum illa regionem circumnauigarit, vrbem inhabitandam curent, & Oritarum res componant, vt ſatrapæ dicto audientes ſint. Ipſe cum magna exercitus parte (iam enim Hephæſtion aduenerat reliquas copias adducens) in Gadroſorum regionẽ maxima ex parte deſertam contendit. In hac ſolitudine tradit Ariſtobulus multas myrrhæ arbores naſci, vulgari myrrha maiores. Phœnices autem qui mercimoniorũ cauſa exercitum comitabantur, collecta lacryma myrrhæ (ingens enim eius copia erat, quippe quòd & rami magni erant, & nũquam antea quicquam ex iis collectum fuerat) iumenta oneraſſe. Habere prȩterea eam ſolitudinẽ magnam nardi odoratæ radicũ copiã, & Phœnices magnam quoq; eius vim legiſſe. Multũ etiam ab exercitu proculcatũ fuiſſe, atq; ex ea protritione ſuauiſsimũ odorẽ latè diffuſum. tantam ibi eius eſſe copiam. Alia præterea

A τας, τοῖς ταύτῃ Ἰνδοῖς αὐτονόμοις ἐκ πολλοῦ οὖσιν, ἄφνω ἐπιπεσεῖν ὅτι μηδὲν φίλιον αὐτοῖς ἐς αὐτόν τε καὶ τὴν στρατιὰν ἐπέπρακτο. τῆς δὲ ὑπολειφθείσης δυνάμεως Ἡφαιστίων ἀφηγεῖτο. Ἀραβῖται μὲν δή, ἔθνος καὶ τοῦτο αὐτόνομον, τῶν περὶ τὸν Ἀράβιον ποταμὸν νεμομένων, οὔτε ἀξιόμαχοι δόξαντες εἶναι Ἀλεξάνδρῳ, οὔτε ὑποδῦναι ἐθελήσαντες, ὡς προσάγοντα ἐπύθοντο Ἀλέξανδρον, φεύγουσιν ἐς τὴν ἔρημον. Ἀλέξανδρος δὲ διαβὰς τὸν Ἀράβιον ποταμόν, στενόν τε καὶ ὀλίγου ὕδατος, καὶ διελθὼν ἐν νυκτὶ τῆς ἐρήμου
B τὴν πολλήν, ὑπὸ τὴν ἕω πρὸς τῇ οἰκουμένῃ ἦν. καὶ τοὺς μὲν πεζοὺς ἐν τάξει ἐκέλευσεν ἕπεσθαι. τοὺς δὲ ἱππέας ἀναλαβὼν αὐτός, καὶ ἐς ἴλας κατανείμας, ὅπως ἐπὶ πλεῖστον τοῦ πεδίου ἐπέχοιεν, ἐπῄει τὴν χώραν τῶν Ὠρειτῶν. ὅσοι μὲν δὴ ἐς ἀλκὴν ἐτράποντο αὐτῶν, κατεκόπησαν πρὸς τῶν ἱππέων· πολλοὶ δὲ καὶ ζῶντες ἑάλωσαν. ὁ δέ, τότε μὲν κατεστρατοπέδευσε πρὸς οὐ πολλῷ ὕδατι. ὡς δὲ καὶ οἱ περὶ Ἡφαιστίωνα αὐτῷ ὁμοῦ δὴ ἦσαν, προὐχώρει ἐς τὸ πρόσω. ἀφικόμενος δὲ ἐς κώμην, ἥπερ ἦν μεγίστη τοῦ ἔθνους τοῦ Ὠρειτῶν (Ῥαμβακία ἐκαλεῖτο ἡ κώμη) τόν τε χῶρον ἐπῄνεσε, καὶ ἐδόκει ἂν αὐτῷ
C πόλις ξυνοικισθεῖσα, μεγάλη καὶ εὐδαίμων γενέσθαι. Ἡφαιστίωνα μὲν δὴ ἐπὶ τούτοις ὑπελείπετο· αὐτὸς δὲ ἀναλαβὼν αὖθις τῶν ὑπασπιστῶν καὶ τῶν Ἀγριάνων τοὺς ἡμίσεας, καὶ τὸ ἄγημα τῶν ἱππέων, καὶ τοὺς ἱπποτοξότας, προῄει ὡς ἐπὶ τὰ ὅρια τῶν τε Γαδρωσῶν καὶ Ὠρειτῶν, ἵναπερ στενή τε ἡ πάροδος αὐτῷ εἶναι ἐξηγγέλλετο, καὶ Ὠρεῖται τοῖς Γαδρωσοῖς ξυντεταγμένοι πρὸ τῶν στενῶν στρατοπεδεύειν, ὡς εἴρξοντες τῆς παρόδου Ἀλέξανδρον· καὶ ἦσαν μὲν ταύτῃ τεταγμένοι· ὡς δὲ προσάγων ἤδη ἐξηγγέλλετο, οἱ μὲν πολλοὶ ἔφυγον ἐκ τῶν
D στενῶν, λιπόντες τὴν φυλακήν· οἱ δὲ ἡγεμόνες τῶν Ὠρειτῶν ἀφίκοντο παρ᾽ αὐτόν, σφᾶς τε αὐτοὺς καὶ τὸ ἔθνος ἐνδιδόντες. τούτοις μὲν δὴ προστάττει, ξυγκαλέσαντας τὸ πλῆθος τῶν Ὠρειτῶν, πέμπειν ἐπὶ τὰ σφέτερα ἤθη, ὡς δεινὸν οὐδὲν πεισομένους. σατράπην δὲ καὶ τούτοις ἐπιτάσσει Ἀπολλοφάνην, καὶ ξὺν τούτῳ ἀπολείπει Λεοννάτον τὸν σωματοφύλακα, ἐν Ὤροις ἔχοντας τούς τε Ἀγριάνας ξύμπαντας, καὶ τῶν τοξοτῶν ἔστιν οὓς καὶ τῶν ἱππέων, καὶ ἄλλους πεζούς τε καὶ ἱππέας Ἕλληνας μισθοφόρους. τό, τε ναυτικὸν ὑπομένειν ἔστ᾽
E ἂν περιπλεύσῃ τὴν χώραν, καὶ τὴν πόλιν ξυνοικίζειν, καὶ τὰ κατὰ τοὺς Ὠρείτας κοσμεῖν, ὅπως μᾶλλόν τι προσέχοιεν τῷ σατράπῃ τὸν νοῦν. αὐτὸς δὲ ξὺν τῇ στρατιᾷ τῇ πολλῇ (καὶ γὰρ καὶ Ἡφαιστίων ἀφίκετο ἄγων αὐτῷ τοὺς ὑπολειφθέντας) προὐχώρει ὡς ἐπὶ Γαδρωσούς, ἔρημον τὴν πολλήν. καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ λέγει Ἀριστόβουλος σμύρνης πολλὰ δένδρα πεφυκέναι, μείζονα ἢ κατὰ τὴν ἄλλην σμύρναν· καὶ τοὺς Φοίνικας τοὺς κατ᾽ ἐμπορίαν τῇ στρατιᾷ ξυνεπομένους, ξυλλέγοντας τὸ δάκρυον τῆς σμύρνης (πολὺ γὰρ εἶναι, οἷα δὴ ἐκ μεγάλων
F τε τῶν πρέμνων, καὶ οὔπω πρόσθεν ξυλλελεγμένον) ἐμπλήσαντας τὰ ὑποζύγια ἄγειν. ἔχειν δὲ τὴν ἔρημον ταύτην καὶ νάρδου ῥίζαν πολλήν τε καὶ εὔοσμον, καὶ ταύτην ξυλλέγειν τοὺς Φοίνικας. πολὺ δὲ εἶναι αὐτῆς τὸ καταπατούμενον πρὸς τῆς στρατιᾶς, καὶ ἀπὸ τοῦ πατουμένου ὀδμὴν ἡδεῖαν κατέχειν ἐπὶ πολὺ τῆς χώρας· τοσόνδε εἶναι τὸ πλῆθος. εἶναι δὲ καὶ ἄλλα δένδρα ἐν τῇ ἐρή

μων, τὸ μέν τι δάφνῃ ἐοικὸς τὸ φύλλον· καὶ ταῦτα ἐν τοῖς προσκλυζομένοις τῇ θαλάσσῃ χωρίοις πεφυκέναι. καὶ ἀπολείπεσθαι μὲν τὰ δένδρα πρὸς τῆς ἀμπώτεως ἐπὶ ξηροῦ· ἐπελθόντος δὲ τοῦ ὕδατος, ἐν τῇ θαλάσσῃ ἐπικλύζεσθαι, ὅσα ἐν κοίλοις χωρίοις ἐπεφύκει. ἔνθεν περ οὐχ ὑπενόστει τὸ ὕδωρ, καὶ ὅμως οὐ διαφθείρεσθαι τὸ δένδρον πρὸς τῆς θαλάσσης. εἶναι δὲ τὰ δένδρα ταύτῃ πήχεων τριάκοντα ἔστιν ἃ αὐτῶν· τυχεῖν τε ἀνθοῦντα ἐκείνῃ τῇ ὥρᾳ, καὶ τὸ ἄνθος εἶναι τῷ λευκῷ μάλιστα ἴῳ προσφερές, τὴν ὀδμὴν δὲ πολύ τι ὑπερφέρον. καὶ ἄλλον εἶναι καυλὸν ἐκ τῆς πεφυκότα ἀκάνθης, καὶ τούτῳ ἐπεῖναι ἰσχυρὰν τὴν ἄκανθαν, ὥστε ἤδη τινῶν καὶ παριππευόντων ἐμπλακεῖσαν τὴν ἐσθῆτα, κατασπάσαι ἀπὸ τοῦ ἵππου μᾶλλόν τι τὸν ἱππέα, ἢ αὐτὴν ἀποσχισθῆναι ἀπὸ τοῦ καυλοῦ. καὶ τῶν λαγῶν λέγεται ὅτι παραθεόντων ἔχονται ἐν ταῖς θριξὶν αἱ ἄκανθαι· καὶ ὅτι οὕτως ἡλίσκοντο οἱ λαγωοί, καθάπερ ὑπὸ ἰξοῦ αἱ ὄρνιθες, ἢ τοῖς ἀγκίστροις οἱ ἰχθύες. σιδήρῳ δὲ ὅτι διακοπῆναι οὐ χαλεπὴ ἦν· καὶ ὀπὸν ὅτι ἀνίησι πολὺν ὁ καυλὸς, τῆς ἀκάνθης τεμνομένης, ἔτι πλείονα ἢ αἱ συκαῖ τοῦ ἦρος, καὶ δριμύτερον. ἔνθεν δὲ διὰ τῆς Γαδρωσῶν χώρας ᾔει ὁδὸν χαλεπὴν, καὶ ἄπορον τῶν ἐπιτηδείων, τῶν τε ἄλλων, καὶ ὕδωρ πολλαχοῦ τῇ στρατιᾷ οὐκ ἦν· ἀλλὰ νύκτωρ ἠναγκάζοντο γῆν πολλὴν πορεύεσθαι, καὶ προσωτέρω ἀπὸ θαλάσσης. ἐπεὶ αὐτῷ γε ἐν σπουδῇ ἦν ἐλθεῖν τὰ παρὰ τὴν θάλασσαν τῆς χώρας, καὶ λιμένας τε ἰδεῖν τοὺς ὄντας, καὶ ὅσα τε ἐν παρόδῳ δυνατὰ γένοιτο τῷ ναυτικῷ παρασκευάσαι, ἢ φρέατα ὀρύξαντας, ἢ ἀγορᾶς που ἢ ὅρμου ἐπιμεληθέντας. ἀλλὰ ἦν γὰρ ἔρημα παντάπασι τὰ πρὸς τῇ θαλάσσῃ τῆς Γαδρωσῶν γῆς. ὁ δὲ Θόαντα τὸν Μανδροδώρου καταπέμπει ἐπὶ θάλασσαν ξὺν ὀλίγοις ἱππεῦσι, κατασκεψόμενον εἴ που τις ὅρμος ὢν τυγχάνει ταύτῃ, ἢ ὕδωρ οὐ πόρρω ἀπὸ θαλάσσης, ἢ τι ἄλλο τῶν ἐπιτηδείων. καὶ οὗτος ἐπανελθὼν ἀπήγγελλεν ἁλιέας τινὰς καταλαβεῖν ἀπὸ τοῦ αἰγιαλοῦ ἐν καλύβαις πνιγηραῖς. πεποιῆσθαι δὲ τὰς καλύβας, ξυνθέντας τὰς κόγχας· στέγην δὲ εἶναι αὐταῖς τὰς ἀκάνθας τῶν ἰχθύων. καὶ τούτους τοὺς ἁλιέας ὕδατι ὀλίγῳ διαχρῆσθαι, χαλεπῶς διαμωμένοις τὸν κάχληκα· καὶ οὐδὲ τούτῳ πάντῃ γλυκεῖ τῷ ὕδατι. ὡς δὲ ἀφίκετο Ἀλέξανδρος ἐς χῶρόν τινα τῆς Γαδρωσίας, ἵνα ἀφθονώτερος ἦν σῖτος, διανέμει ἐς τὰ ὑποζύγια τὸν καταληφθέντα. καὶ τοῦτον σημηνάμενος τῇ ἑαυτοῦ σφραγῖδι, κατακομίζεσθαι κελεύει ὡς ἐπὶ θάλασσαν. ἐν ᾧ δὲ ᾔει ὡς ἐπὶ τὸν σταθμὸν, ἔνθεν περ ἐγγύτατα ἦν ἡ θάλασσα, ἐν τούτῳ ὀλίγον φροντίσαντες οἱ στρατιῶται τῆς σφραγῖδος, αὐτοί τε οἱ φύλακες τῷ σίτῳ ἐχρήσαντο, καὶ ὅσοι μάλιστα λιμῷ ἐπιέζοντο καὶ τούτοις μετέδωκαν. ἐς τοσόνδε πρὸς τοῦ κακοῦ ἐνικῶντο, ὡς τὸν πρόδηλον καὶ παρόντα ἤδη ὄλεθρον, τοῦ ἀφανοῦς τε καὶ πρόσω ἔτι ὄντος ἐκ τοῦ βασιλέως κινδύνου, ξὺν λογισμῷ ἔδοξε σφίσιν ἔμπροσθεν ποιήσασθαι. καὶ Ἀλέξανδρος καταμαθὼν τὴν ἀνάγκην, συνέγνω τοῖς πράξασιν. αὐτὸς δὲ ὅσα ἐκ τῆς χώρας ἐπιδραμὼν ξυναγαγεῖν ἠδυνήθη εἰς ἐπισιτισμὸν τῇ στρατιᾷ τῇ περιπλεούσῃ ξὺν τῷ στόλῳ, ταῦτα κομίσοντα πέμπει Κρηθέα τὸν Καλλατιανόν· καὶ τοῖς ἐγχωρίοις προσετάχθη, ἐκ τῶν ἄνω τόπων σῖτόν τε ὅσον δυνατοὶ ἦσαν κατακομίσαι ἀλέσαντας· καὶ τὰς βαλάνους τὰς τῶν φοινίκων, καὶ

A ibi naſci arborum genera, quarum folia lauri foliis ſint ſimilia. atque eas quidem iis locis quas mare alluit naſci, & recedente æſtu in ſicco deſtitui: accedente verò æſtu, inundari eas quæ in concauis atque ſinuoſis locis naſcuntur: vbi verò mare non recedit, ne iis quidē locis natas arbores à mari corrumpi. Harum arborum altitudinem eſſe triginta cubitorum: ac tum quidem temporis floruiſſe: florem albæ violæ perſimilem eſſe, odoris tamen ſuauitate longè ſuperare. caulem etiam eſſe ex ſpina ortum; eíque adeò
B validam ſpinam adnaſci, vt ſicuius adequitantis veſti implicata fuerit, eques citius equo detrahatur quàm ipſe à caule auellatur. Leporum etiam prætercurrentium pilis ita adhæreſcere ſpinæ dicũtur, vt perinde ac viſco aues, aut hamis piſces, ita lepores ſpinis iſtis capiantur. Ferro tamen non difficulter incidi, ſpináque diſſecta multum ſucci emitti, multóq; vberiorem quàm ex ficubus verno tempore, ac magis auſterum. Exinde Alexander per Gadroſorum regionem profe-
C ctus eſt via difficili, & rerum neceſſariarum indiga. atque inter alia, magna "aquæ penuria exercitus laborabat, noctúque multum itineris conficere, longéque à mari diſcedere cogebatur. Cupiebat enim Alexander regionem mari vicinam obire, & quínam portus propinqui eſſent perluſtrare; ſimúlque per tranſitũ quæ claſſi neceſſaria eſſent præparare, & puteos effodi, foráque & portus ſtatui curare. Cæterùm Gadroſorum regiò mare verſus deſerta penitus erat. Thoãtem
D tamen Mandrodori filium cum modico equitatu ad mare ſpeculatum mittit, viſurum an vllus vſpiam portus, aut aqua non procul à mari, aut aliud quicquam neceſſariorum reperiatur. Qui reuerſus nuntiauit, piſcatores quoſdam abs ſe in littore inuentos ſub anguſtis tuguriis degentes. "Ea tuguria ex conchis congeſtis facta eſſe, tecta ex piſciũ ſpinis. Eos verò ipſos piſcatores modica aqua vti (quam magna cum difficultate è ſabulo effodiſſent) ac ne illa quidem omnino dulci. Poſteaquam verò Alexãder in locum
E quendam Gadroſorum veniſſet frumento abundantem, id acceptum & ſigillo ſuo obſignatum iumentiſque impoſitum ad mare vehi iuſsit. Interea verò dum in portùm mari proximum it, milites neglecto ſigillo, atque ipſi adeò cuſtodes frumento vſi ſunt, iis qui maximè fame premebantur partiti. quæ quidem adeo ingens erat, vt manifeſtæ ac præſentis iam mortis, potius quàm incerti & procul remoti ab rege periculi rationem habendam ſibi putarent. Alexãder cognita neceſſitate qua adacti id feciſſẽt, iis ignouit.
F Ipſe quicquid frumenti peragrata ea regione conquiri potuit, Cratheum Callatianum mittit qui ad claſſem cum exercitu adnauigantem adducat. Indigenis etiam imperat vt ex ſuperioribus locis quãtum poſſent frumenti moliti, "palmarum etiam fructus &

Cur. Per ccccc ſtadia ne modicus quidem humor exiſtit.

Curt. Tuguria conchis & cæteris purgamentis maris inſtruunt.

Curt. Radices palmarum vbique ſimantes.

pecudes ad mercatum adferant. Telephum quoque, vnum ex amicis, in alium locum cũ frumento molito non multo miſit. Ipſe ad Gadroſorum regiam contendit (locus is Pura dicebatur) ad quam ſexageſimo poſtquam ex Oris diſceſsit die peruenit. At verò multi ex iis qui Alexandri res geſtas conſcripſerũt, tradunt, labores quoſcunque exercitus per Aſiam perpeſſus eſſet, iis quos in hac regione pertulit comparandos non fuiſſe. Alexandrũ verò non ignorata eius itineris difficultate, illac proficiſci voluiſſe (hoc autem vnus Nearchus ſcribit) quum videlicet audiſſet neminem adhuc ducem exercitum per ea loca ſaluum traduxiſſe, excepta Semiramide ex Indis fugiente: quam quidem indigenæ narrabant cum viginti ſolis ex toto exercitu euaſiſſe: Cyrum verò Cambyſæ filium cum VII ſolis. Veniſſe enim etiã in hæc loca Cyrum, vt Indorum regionem inuaderet. perueniſſe autem, magna exercitus ſui parte per ſolitudines difficillimáque itinera amiſſa. Atque hæc quidem Alexandro nuntiata, æmulationem quandam Cyri & Semiramidis in eius animo excitaſſe. His igitur de cauſis, ſimúlque vt claſsi non procul remotæ neceſſaria ſubminiſtraret, tradit Nearchus Alexandrum hac via rediiſſe. Ingenti verò ſolis ardore, aquarúmque inopia magnam exercitus partem, ac præcipuè iumenta extincta eſſe. Hæc enim ob altitudinem arenæ & calorem (ardenti enim ſimilis erat) & ob ſitim interiiſſe. Incidiſſe enim in altos colles quos arena accumulata effecerat, in quibus alia atque alia ſupergradientia, perinde ac cœno, aut potius niui nondum calcatæ, infixa hærebant. ſimul etiam in aſcenſu ac deſcenſu equi pariter & muli ob inæqualitatem viæ, & quidem illius non firmæ, vehementer affligerentur. Longa etiam ſtationum interualla exercitũ magnopere angebant. Siquidem ſumma aquæ inopia iter accelerare cogebat. Ac noctu quidem iter, quod ante auroram conficiendum erat, ineuntes, quum manè ad aliquam aquam venirent, non vſqueadeo vehementer grauabantur. Procedẽte verò die, ſi adhuc præ longitudine viæ in itinere hærerent, tum ingenti æſtu, immenſa ſiti conficiebantur. Multa etiam iumenta milites ipſi ſua ſponte interficiebant. Quum enim frumentũ ipſos deficeret, cõcurſu facto equos pleroſq; trucidãtes, & mulorũ carnibus veſcentes, æſtu atque labore defeciſſe, vel ſiti extinctos eſſe dicebãt. Neq; quiſquã erat qui de rei veritate ſeriò inquireret, quòd & omnes in eadem culpa eſſent, & Alexander quidem factum non ignoraret, ſed præſentis rerum ſtatus remedium potius in ſimulatione ignorationis, quàm facti abs ſe cogniti permiſsione conſiſtere iudicaret. Iámque nec ægri, nec qui prę defatigatione in via relicti erant vehi amplius poterant, partim iumentorum inopia, partim quòd currus confregiſſent: quippe qui ob altitudinem arenæ duci nõn poſſent. quódq; propter currus in primis ſtationibus non breuiſsima itinera, ſed quæ curribus ducendis erant accommodatiora, perſe-

Curt. Arenas vapor æſtiui ſolis accendit, quæ vbi flagrare cœpe runt, haud ſecus quàm continenti incendio cuncta torrentur.

Curt. Nocturnũ iter tolerabile videbatur, quia rore & matutino frigore corpora leuabãtur: cæterũm cũ ipſa luce æſtus oritur, omnémq; naturalẽ abſorbet humorem ſiccitas, ora viſceráq; penitus vruntur.

A πρόβατα ἐς ἀγορὰν τῷ στρατῷ. καὶ ἐς ἄλλον αὖ τόπον Τήλεφον κατέπεμψε, τῶν ἑταίρων, σὺν σίτῳ οὐ πολλῷ ἀληλεσμένῳ. αὐτὸς δὲ προὐχώρει ὡς ἐπὶ τὰ βασίλεια τῶν Γαδρωσῶν (ὁ δὲ χῶρος Πούρα ὀνομάζεται) ἵναπερ ἀφίκετο ἐξ Ὠρῶν ὁρμηθεὶς, ἐν ἡμέραις ταῖς πάσαις ἑξήκοντα. καὶ λέγουσιν οἱ πολλοὶ τῶν ξυγγραψάντων τὰ ἀμφ' Ἀλέξανδρον, οὐδὲ τὰ ξύμπαντα ὅσα ἐταλαιπώρησεν αὐτῷ κατὰ τὴν Ἀσίαν ἡ στρατιὰ, ξυμβληθῆναι ἄξια εἶναι τοῖς τῇδε πονηθεῖσι πόνοις. οὐ μὴν ἀγνοήσαντα Ἀλέξανδρον τῆς ὁδοῦ τὴν χαλεπότητα, ταύτῃ ἐλθεῖν (τοῦτο μὲν μόνος Νέαρχος λέγει
B ὧδε) ἀλλὰ ἀκούσαντα γὰρ ὅτι οὔπω τις πρόσθεν διελθὼν ταύτῃ ξὺν στρατιᾷ ἀπεσώθη, ὅτι μὴ Σεμίραμις ἐξ Ἰνδῶν ἔφυγε. καὶ ταύτην δὲ ἔλεγον οἱ ἐπιχώριοι ξὺν εἴκοσι μόνοις τῆς στρατιᾶς ἀποσωθῆναι· Κῦρον δὲ τὸν Καμβύσου, ξὺν ἑπτὰ μόνοις καὶ τοῦτον. ἐλθεῖν γὰρ δὴ καὶ Κῦρον ἐς τοὺς χώρους τούτους, ὡς ἐσβαλοῦντα ἐς τὴν Ἰνδῶν γῆν· φθάσαι δὲ, ὑπὸ τῆς ἐρημίας τε καὶ ἀπορίας τῆς ὁδοῦ ταύτης, ἀπολέσαντα τὴν πολλὴν τῆς στρατιᾶς. καὶ ταῦτα Ἀλεξάνδρῳ ἐξαγγελλόμενα, ἔριν ἐμβαλεῖν πρὸς Κῦρον καὶ Σεμίραμιν. τούτων τε
C οὖν ἕνεκα, καὶ ἅμα ὡς τῷ ναυτικῷ ἐγγύθεν ἐκπορίζεσθαι τὰ ἀναγκαῖα, λέγει Νέαρχος ταύτην τραπῆναι Ἀλέξανδρον. τό, τε οὖν καῦμα ἐπιφλέγον, καὶ τοῦ ὕδατος τὴν ἀπορίαν πολλὴν τῆς στρατιᾶς διαφθεῖραι, καὶ μάλιστα δὴ τὰ ὑποζύγια. ταῦτα μὲν δὴ πρὸς τοῦ βάθους τε τῆς ψάμμου καὶ τῆς θέρμης, ὅτι κεκαυμένη ἦν τὰ πολλὰ, καὶ δίψῃ ἀπόλλυσθαι. καὶ γὰρ καὶ γηλόφοις ἐπιτυγχάνειν ὑψηλοῖς, ψάμμου βαθείας αἰηνεσμένης, ἀλλ' οἷα δέχεσθαι, καθάπερ ἐς πηλὸν ἢ ἔτι μᾶλλον ἐς χιόνα ἀπάτητον ἐπιβαίνοντα. καὶ ἅμα ἐν ταῖς προσβάσεσί τε καὶ καταβάσεσι τοῖς τε ἵπποις καὶ τοῖς
D ἡμιόνοις, ἔτι μᾶλλον κακοπαθεῖν τῷ ἀνωμάλῳ τῆς ὁδοῦ, καὶ ἅμα οὐ βεβαίῳ· τῶν τε σταθμῶν τὰ μήκη πιέσαι οὐχ ἥκιστα τὴν στρατιάν. ἀπορία γὰρ ὕδατος οὐ ξύμμετρος οὖσα μᾶλλόν τι ἦγε πρὸς ἀνάγκην τὰς πορείας ποιεῖσθαι. ὁπότε μὲν δὴ τῆς νυκτὸς ἐπελθόντες τὴν ὁδὸν, ἥντινα ἀνύσαι ἐχρῆν, ἕωθεν πρὸς ὕδωρ ἔλθοιεν, οὐ πάντῃ ἐταλαιπωροῦντο· προχωρούσης δὲ τῆς ἡμέρας, ὑπὸ μήκους τῆς ὁδοῦ, εἰ ὁδοιποροῦντες ἔτι ἐγκαταληφθεῖεν, ἐνταῦθα ἂν ἐταλαιπώρουν πρὸς τοῦ καύματός τε καὶ ἅμα δίψει ἀπαύστῳ συνεχόμενοι. τῶν
E δὲ δὴ ὑποζυγίων πολλῶν ὁ φθόρος καὶ ἑκούσιος τῇ στρατιᾷ ἐγίγνετο. ξυνιόντες γὰρ ὁπότε ἐπιλείποι σφᾶς τὰ σιτία, καὶ τῶν ἵππων τοὺς πολλοὺς ἀποσφάζοντες, καὶ τῶν ἡμιόνων τὰ κρέα ἐσιτοῦντο· καὶ ἔλεγον δίψει ἀποθανεῖν αὐτοὺς, ἢ ὑπὸ καμάτου ἐκλιπόντας. καὶ ὁ τὴν ἀτρέκειαν τοῦ ἔργου ἐξελέγχων ὑπό τε τοῦ παντὸς, οὐδεὶς ἦν, καὶ ὅτι ξύμπαντες τὰ αὐτὰ ἡμάρτανον. καὶ Ἀλέξανδρον μὲν οὐκ ἐλελήθει τὰ γιγνόμενα, ἴασιν δὲ τῶν παρόντων ἑώρα, τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλόν τι, ἢ τὴν ὡς γιγνωσκομένων ἐπιχώρησιν. οὔκουν
F οὐδὲ τοὺς νόσῳ κάμνοντας τῆς στρατιᾶς, οὐδὲ τοὺς διὰ κάματον ὑπολειπομένους ἐν ταῖς ὁδοῖς, ἄγειν ἔτι ἦν εὐμαρῶς, ἀπορίᾳ τε τῶν ὑποζυγίων, καὶ ὅτι τὰς ἁμάξας αὐτοὶ κατέκοπτον, ἀπόρους οὔσας αὐτοῖς ὑπὸ βάθους τῆς ψάμμου ἄγεσθαι· καὶ ὅτι ἐν τοῖς πρώτοις σταθμοῖς διὰ ταῦτα ἐξηναγκάζοντο οὐ τὰς βραχυτάτας ἰέναι τῶν ὁδῶν, ἀλλὰ τὰς εὐπορωτάτας τοῖς ζεύγεσι.

καὶ οὕτως οἱ μὲν νόσῳ κατὰ τὰς ὁδοὺς ὑπελείποντο, οἱ δὲ ὑπὸ καμάτου ἢ καύματος, ἢ τῷ δίψει οὐκ ἀντέχοντες. καὶ οὔτε οἱ ἄξοντες ἦσαν, οὔτε οἱ μένοντες θεραπεύσοντες. σπουδῇ γὰρ πολλῇ ἐγίγνετο ὁ στόλος, καὶ ἐν τῷ ὑπὲρ τοῦ παντὸς προθύμῳ, τὸ καθ' ἑκάστους ξὺν ἀνάγκῃ ἠμελεῖτο. οἱ δὲ καὶ ὕπνῳ κάτοχοι κατὰ τὰς ὁδοὺς γενόμενοι, οἷα δὴ νυκτὸς τὸ πολὺ τὰς πορείας ποιούμενοι, ἔπειτα ἐξαναστάντες, οἷς μὲν δύναμις ἔτι ἦν, κατὰ τὰ ἴχνη τῆς στρατιᾶς ἐφομαρτήσαντες, ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν· οἱ πολλοὶ δὲ ὥσπερ ἐν πελάγει ἐκπεσόντες ἐν τῇ ψάμμῳ ἀπώλοντο. ξυνηνέχθη δὲ τῇ στρατιᾷ καὶ ἄλλο πάθημα, ὃ δὴ οὐχ ἥκιστα ἐπίεσεν αὐτούς τε καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια. ὕεται γὰρ ἡ Γαδρωσίων γῆ ὑπ' ἀνέμων τῶν ἐτησίων, καθάπερ οὖν καὶ ἡ Ἰνδῶν γῆ, οὐ τὰ πεδία τῶν Γαδρωσίων, ἀλλὰ τὰ ὄρη, ἵνα περ προσφέρονταί τε αἱ νεφέλαι ἐκ τοῦ πνεύματος, καὶ ἀναχέονται, οὐχ ὑπερβάλλουσαι τῶν ὀρῶν τὰς κορυφάς. ὡς δὲ ηὐλίσθη ἡ στρατιὰ πρὸς χειμάρρῳ ὀλίγου ὕδατος, αὐτοῦ δὴ ἕνεκα τοῦ ὕδατος, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς, ἐμπλησθεὶς ὑπὸ τῶν ὄμβρων ὁ χείμαρρος ὁ ταύτῃ ῥέων, ἀφανῶν τῇ στρατιᾷ γεγενημένων τῶν ὄμβρων, τοσοῦτον ἐπῆλθε τῷ ὕδατι, ὡς γύναιά τε καὶ παιδάρια τὰ πολλὰ τῶν ἑπομένων τῇ στρατιᾷ διαφθεῖραι, καὶ τὴν κατασκευὴν τὴν βασιλικὴν ξύμπασαν ἀφανίσαι, καὶ τῶν ὑποζυγίων ὅσα ἀπελείπετο· αὐτοὺς δὲ μόλις καὶ χαλεπῶς ξὺν τοῖς ὅπλοις, οὐδὲ τούτοις πᾶσιν, ἀποσωθῆναι. οἱ πολλοὶ δὲ καὶ πίνοντες ἀπό τε ἐκ καύματός τε καὶ δίψους, ὕδατι ἀθρόῳ ἐπιτυχόντες, πρὸς αὐτοῦ τοῦ ἀπαύστου ποτοῦ ἀπώλοντο. καὶ τούτων ἕνεκα Ἀλέξανδρος τὰς στρατοπεδείας οὐ πρὸς τοῖς ὕδασιν αὐτοῖς τὸ πολὺ ἐποιεῖτο, ἀλλὰ ἀπέχων ὅσον εἴκοσι σταδίους μάλιστα, ὡς μὴ ἀθρόους ἐμπίπτοντας τῷ ὕδατι, αὐτούς τε καὶ τὰ κτήνη ἀπόλλυσθαι· καὶ ἅμα τοὺς μάλιστα ἀκράτορας σφῶν ἐπεμβαίνοντας ἐς τὰς πηγὰς, ἢ τὰ ῥεύματα, διαφθείρειν καὶ τῇ ἄλλῃ στρατιᾷ τὸ ὕδωρ. ἔνθεν δὴ ἔργον καλὸν, εἴπερ τι ἄλλο τῶν Ἀλεξάνδρου, οὐκ ἔδοξέ μοι ἀφανίσαι, ἢ ἐν τῇδε τῇ χώρᾳ πραχθὲν, ἢ ἔτι ἔμπροσθεν ἐν Παραπαμισάδαις, ὡς μετεξέτεροι ἀνέγραψαν· ἰέναι μὲν τὴν στρατιὰν διὰ ψάμμου τε καὶ τοῦ καύματος ἤδη ἐπιφλέγοντος, ὅτι πρὸς ὕδωρ ἐχρῆν ἐξανύσαι (τὸ δὲ ἦν πρόσθεν τῆς ὁδοῦ) καὶ αὐτόν τε Ἀλέξανδρον δίψει κατεχόμενον, μόλις μὲν καὶ χαλεπῶς, πεζὸν δὲ ὅμως ἡγεῖσθαι. ὡς δὲ τοὺς ἄλλους στρατιώτας (οἷάπερ φιλεῖ ἐν τῷ τοιῷδε) κουφοτέρως φέρειν τοὺς πόνους, ἐν ἰσότητι τῆς ταλαιπωρήσεως. ἐν δὲ τούτῳ τῶν ψιλῶν τινας, κατὰ ζήτησιν ὕδατος ἀποτραπέντας ἀπὸ τῆς στρατιᾶς, εὑρεῖν ὕδωρ συλλελεγμένον ἔν τινι χαράδρᾳ οὐ βαθείᾳ, ὀλίγην καὶ φαύλην πίδακα. καὶ τοῦτο οὐ χαλεπῶς συλλέξαντας, σπουδῇ ἰέναι παρ' Ἀλέξανδρον, ὡς μέγα δή τι ἀγαθὸν φέροντας. ὡς δὲ ἐπέλαζον ἤδη, ἐμβαλόντας ἐς κράνος τὸ ὕδωρ προσενεγκεῖν τῷ βασιλεῖ· τὸν δὲ λαβεῖν μὲν, καὶ ἐπαινέσαι τοὺς κομίσαντας· λαβόντα δὲ, ἐν ὄψει πάντων ἐκχέαι. καὶ ἐπὶ τῷδε τῷ ἔργῳ ἐς τοσόνδε ἐπιρρωσθῆναι τὴν στρατιὰν ξύμπασαν, ὥστε εἰκάσαι ἄν τινα πότον γενέσθαι πᾶσιν ἐκεῖνο τὸ ὕδωρ τὸ πρὸς Ἀλεξάνδρου ἐκχυθέν. τοῦτο ἐγὼ, εἴπερ τι ἄλλο, τὸ ἔργον εἰς καρτερίαν τε καὶ ἅμα στρατηγίαν ἐπαινῶ Ἀλεξάνδρου.

qui coacti fuiſſent. atq; ita alij præ morbo, alij præ nimia defatigatione, æſtu, ac ſiti, in itinere relicti ſunt. neque qui eos veherent, aut relictos curarent vlli erant: magna enim celeritate agmen agebatur. Nam præ communis ſalutis ſtudio, ſingulorum cura neceſſariò negligebatur. Siquos autem nocturni itineris lõgitudine defatigatos ſomnus oppreſſerat, ij poſtea excitati, ſi modò vires ſuppetebant, per veſtigia agmen ſequentes pauci è multis incolumes peruenerunt. plerique in arenas tãquam vaſtum pelagus delati perierunt. Acceſſit & alia exercitui calamitas, quæ vel præcipuè ipſos pariter atque equos & iumenta afflixit. Gadroſorum enim regio, flantibus Eteſiis, imbribus obnoxia eſt, quemadmodum & Indorum regio, non quidem in planis Gadroſorũ locis, ſed montanis, vbi nubes à ventis coguntur ac refunduntur, montium cacumina non excedentes. Qúmque exercitus prope torrentem quendam aquæ cauſa conſediſſet, circiter vigiliam noctis ſecundam torrens imbribus improuiſis auctus (neque enim exercitus pluuiam ſenſerat) tanto impetu exundauit, vt pleraſque fœminas & pueros agmẽ ſequentes, omnémque apparatum regium, & iumenta quæ reliqua erant ſecum rapuerit. adeo vt ipſi milites ægrè cum armis, ac ne iis quidem omnibus, euaſerint. multi ardore ſitique preſſi, aquarum copiam nacti immodico potu interierunt. Qua de cauſa Alexander deinceps nequaquam caſtra prope torrentem locauit, ſed x x minimum ſtadiis remota, ne confertim ad aquam proruẽtes, ipſi ſimul & iumenta extinguerentur, néve qui vehementiore ſiti premebantur fontes aut riuos pedibus ingreſſi, aquam reliquo exercitui turbidam inutilémque efficerent, Eo loci egregium quoddam facinus ab Alexandro editum, nequaquam ſilentiò prætereundum putaui, ſiue id in hac ſolitudine, ſiue antea apud Parapamiſadas, vt alij ſcribunt, factum fuerit. id huiuſmodi fuit: quũ exercitus per arenas ſolis ardore flagrantes iter faceret, quod quidem ad aquæ locum qui non longè aberat, conficiendum erat, Alexandrum ipſum ſiti preſſum, ægrè quidẽ atque difficulter, peditem tamen agmen duxiſſe, vt reliqui milites (quemadmodum in eiuſcemodi rerum ſtatu fieri ſolet) ob æqualitatem ærumnarum labores facilius ferrẽt. Interea nonnullos leuis armaturæ milites ab exercitu digreſſos, in torrentis cuiuſdam alueo non profundo exiguum quendã fontem neque purum illum inueniſſe, collectáque inde aqua confeſtim ad Alexandrum accurriſſe, veluti magnum aliquod bonum regi adferentes. Qúmque propius ad Alexandrum veniſſent, aquam galeæ infuſam regi obtuliſſe. atque illum quidem accepiſſe, laudatis qui attulerant, eámque protinus in conſpectu omnium in terram profudiſſe. eóque facto ita militum animos confirmatos fuiſſe, perinde acſi illius aquæ ab Alexandro effuſæ potu totus exercitus refocillatus fuiſſet. Quod certè Alexandri factũ, ſi quod aliud, cùm ob tolerantiam, tum ob præclarum boni imperatoris exemplum laudo.

Curt. Qui intemperantius hauſerant, intercluſo ſpiritu extincti ſunt.

Curt. Ex eis qui præceſſerant ad capiendum locũ caſtris, duo occurrunt viribus aquam geſtãtes, vt filiis ſuis quos in eodem agmine eſſe, & ægrè pati ſitim non ignorabant, occurrerent. qui quum in regem incidiſſent, alter ex eis vtre reſoluto vas quod ſimul ferebat, impleт, porrigens regi.

Ad hęc mala hoc etiã exercitui accidit: duces, deletis à vento viæ veſtigiis, viæ ſeſe oblitos eſſe dicebant. Neque enim in arena quæ denſa æquáque omni ex parte viã obduxerat eam cognoſci poſſe. quòd neque arbores iuxta viam poſitæ eſſent, neque firmus aliquis certúſque collis extaret: neque ex aſtris noctu, aut ex ſole interdiu itineris rationẽ obſeruarent: quemadmodum nautæ ex Vrſis; Phœnices quidem ex minore, reliqui verò mortales ex maiore. Ibi Alexandrum coniectura aſſequutum, ad ſiniſtram deflectẽdum eſſe, paucis equitibus aſſumtis proceſsiſſe. quorum equis nimio æſtu defatigatis, multos in itinere relictos: ipſum cum quinque in vniuerſum equis euaſiſſe, & mare inueniſſe. ſabulóque effoſſo aquam dulcem ac puram, atque ita vniuerſum exercitum eò traductũ, ſeptimóque die poſtquam aqua ex littore allata refocillati eſſent ad mare veniſſe. Tum duces itineris viam agnouiſſe, & ad interiorem regionem duxiſſe. Poſtquam verò in Gadroſorum regiã peruenit, militibus ibi quietem dedit. Apollophanem, quòd nihil eorum quæ imperata ei fuerant perfeciſſet, ſatrapatu deponit, Thoante in eius locum ſuffecto: qui quum ex morbo deceſsiſſet, "Siſyrtius ei ſucceſſor eſt datus. Hic ipſe Carmaniæ ſatrapa erat, nuper admodum id muneris ab Alexandro conſequutus: tum verò Arachotorum & Gadroſorum imperium illi collatum eſt. Carmaniam verò Tlepolemus Pythophanis filius tenuit. Iámque Carmaniam verſus proceſſerat rex, quum ei nuntiatur Philippum Indorum ſatrapã mercenariorum fraude ex inſidiis interemtum. ac percuſſores quidem à Macedonibus, qui Philippo corporis cuſtodes erant, partim in ipſa cæde, partim poſt perpetratum facinus captos, interfectos eſſe. Quo cognito, Eudemo & Taxilæ per literas iubet, vt regionis quę antea Philippo ſubdita fuerat curam adminiſtrationémque ſuſcipiãt, tantiſper dum ipſe ſatrapam aliquem eò mittat. Alexandro iam Carmaniam ingreſſo, Craterus ad eum venit, reliquum exercitum, & elephantos ſecum ducens. vnáque "Ordonem, quem quòd defectionem molitus eſſet ceperat. Eódem etiam Staſanor Ariorum & "Zarãgorũ ſatrapes venit, & cum his Phariſmanes Phrataphernis Parthorum & Hyrcanorum ſatrapę filius. Venerunt etiam duces copiarum, quas cum Parmenione in Media reliquerat, Cleander, Sitalces & Heracon, magnã & ipſi exercitus partem ducentes. E quibus Cleandrum & Sitalcem accuſatos ab indigenis pariter atque exercitu ipſo, quòd templa ſpoliaſſent, veteráque monimenta mouiſſent, multáque alia in ſubditos improbè atque auarè perpetraſſent. Quæ vt nuntiata ſunt, necari eos iuſſit, vt & reliqui ſatrapę, aut pręſides, aut principes qui ijs locis conſtituerentur, metuerent ſi officium non fecíſſent ſeſe eodem ſupplicio affectum iri. quod certè, ſiquid aliud, gen-

Curt. Præpoſito igitur regioni Siburtio (nãq; Mẽnon præfectus eius nuper interierat morbo) in Carmaniam ipſe proceſſit.

Curt. A Cratero quoq; nũtius venit, Ozinẽ & Zariaſpem nobiles Perſas defectionem moliẽtes oppreſſos à ſe, in vinculis eſſe.

Fac. Sangorum.

A ξυνηνέχθη δέ τι καὶ τοιόνδε τῇ στρατιᾷ ἐν τῇ γῇ ἐκείνῃ. οἱ γὰρ ἡγεμόνες τῆς ὁδοῦ τελευτῶντες, οὐκέτι μεμνῆσθαι ἔφασκον τὴν ὁδὸν, ἀλλ' ἀφανισθῆναι τὰ σημεῖα αὐτῆς πρὸς τοῦ ἀνέμου ἐπιπνεύσαντος. καὶ οὐ γὰρ εἶναι ἐν τῇ ψάμμῳ πολλῇ τε καὶ ὁμοίᾳ πάντῃ νενημένῃ, ὅτῳ τεκμηριώσονται τὴν ὁδόν. οὔτ' οὖν δένδρα ξυνήθη παρ' αὐτὴν πεφυκότα, οὔτε τινὰ γήλοφον βέβαιον ἀνεστηκότα, οὐδὲ πρὸς τὰ ἄστρα ἐν νυκτὶ ἢ μεθ' ἡμέραν πρὸς τὸν ἥλιον μεμελετῆσθαι σφίσι τὰς πορείας, καθάπερ τοῖς ναύταις πρὸς τὴν ἄρκτον· τοῖς μὲν Φοίνιξι τὴν

B ὀλίγην, τοῖς δὲ ἄλλοις ἀνθρώποις τὴν μείζονα. ἔνθα δὴ Ἀλέξανδρον συνιέντα ὅτι ἐν ἀριστερᾷ δεῖ ἀποκλίναντα ἄγειν, ἀναλαβόντα ὀλίγους ἅμα οἱ ἱππέας προκεχωρηκέναι. ὡς δὲ καὶ τούτων οἱ ἵπποι ἐξέκαμνον ὑπὸ τοῦ καύματος, ἀπολιπεῖν καὶ τούτων τοὺς πολλούς· αὐτὸν δὲ ξὺν πέντε τοῖς πᾶσιν ἀφιππάσασθαι, καὶ εὑρεῖν τὴν θάλασσαν· διαμησάμενόν τε αὐτὸν ἐπὶ τοῦ αἰγιαλοῦ τὸν κάχληκα, ἐπιτυχεῖν ὕδατι γλυκεῖ καὶ καθαρῷ, καὶ οὕτω μεταλθεῖν τὴν στρατιὰν πᾶσαν, καὶ εἰς ἑπτὰ ἡμέρας ἰέναι παρὰ τὴν θάλασσαν ὑδρευο-

C μένους ἐκ τῆς ἠιόνος. ἔνθεν δὲ (ἤδη γάρ τι γιγνώσκειν τὴν ὁδὸν τοὺς ἡγεμόνας) ἐπὶ τῆς μεσογαίας ποιεῖσθαι τὸν στόλον. ὡς δὲ ἀφίκετο ἐς τῶν Γαδρωσίων τὰ βασίλεια, ἀναπαύει ἐνταῦθα τὴν στρατιάν· καὶ Ἀπολλοφάνην μὲν παύει τῆς σατραπείας, ὅτι οὐδενὸς ἔγνω ἐπιμεληθέντα τῶν προεπηγγελμένων· Θόαντα δὲ σατραπεύειν τῶν ταύτῃ ἔταξε. τούτου δὲ νόσῳ τελευτήσαντος, Σισύρτιος τὴν σατραπείαν ἐκδέχεται. ὁ αὐτὸς δὲ καὶ Καρμανίας σατράπης ἦν, νεωστὶ ἐξ Ἀλεξάνδρου ταχθείς· τότε δὲ τούτῳ μὲν Ἀραχωτῶν τε καὶ τῶν Γαδρωσίων ἀρχὴν ἐδόθη· Καρμανίαν δὲ ἔσχε Τληπόλεμος

D ὁ Πυθοφάνους. ἤδη τε ἐπὶ Καρμανίας προὐχώρει ὁ βασιλεὺς, καὶ ἀγγέλλεται αὐτῷ Φίλιππον τὸν σατράπην τῆς Ἰνδῶν γῆς, ἐπιβουλευθέντα πρὸς τῶν μισθοφόρων, δόλῳ ἀποθανεῖν· τοὺς μὲν ἀποκτείναντας, ὅτι οἱ σωματοφύλακες τοῦ Φιλίππου οἱ Μακεδόνες, τοὺς μὲν ἐν αὐτῷ τῷ ἔργῳ, τοὺς δὲ καὶ ὕστερον λαβόντες, ἀπέκτειναν. ταῦτα δὲ ὡς ἔγνω, ἐκπέμπει γράμματα ἐς Ἰνδοὺς παρὰ Εὔδημόν τε καὶ Ταξίλην, ἐπιμελεῖσθαι τῆς χώρας τῆς πρόσθεν ὑπὸ Φιλίππῳ τεταγμένης, ἔστ' ἂν αὐτὸς σατράπην ἐκπέμψαι ἐπ' αὐτῆς. ἤδη δὲ ἐς

E Καρμανίαν ἥκοντος Ἀλεξάνδρου, Κρατερὸς ἀφικνεῖται, τήν τε ἄλλην στρατιὰν ἅμα οἱ ἄγων, καὶ τοὺς ἐλέφαντας, καὶ Ὀρδάνην τὸν ἀποστάντα καὶ νεωτερίσαντα συνειληφώς. ἐνταῦθα δὲ Στασάνωρ τε ὁ Ἀρείων καὶ ὁ Ζαράγγων σατράπης ἧκε· καὶ ξὺν αὐτοῖς Φαρισμάνης ὁ Φραταφέρνου τοῦ Παρθυαίων καὶ Ὑρκανίων σατράπου παῖς. ἧκον δὲ καὶ οἱ στρατηγοὶ οἱ ὑπολειφθέντες ἅμα Παρμενίωνι ἐπὶ τῆς στρατιᾶς τῆς ἐν Μηδίᾳ, Κλέανδρός τε καὶ Σιτάλκης, καὶ Ἡράκων, τὴν πολλὴν τῆς στρα-

F τιᾶς καὶ οὗτοί γε ἄγοντες. τοὺς μὲν δὴ ἀμφὶ Κλέανδρόν τε καὶ Σιτάλκην, πολλὰ ἐπικαλούντων αὐτοῖς τῶν τε ἐγχωρίων καὶ τῆς στρατιᾶς αὐτῆς, ὡς ἱερά τε πρὸς αὐτῶν σεσυλημένα, καὶ θήκας παλαιὰς κεκινημένας, καὶ ἄλλα ἄδικα ἔργα ἐς τοὺς ὑπηκόους τετολμημένα καὶ ἀπίθαλα· ταῦτα ὡς ἐξηγγέλθη, τοὺς μὲν ἀπέκτεινεν, ὡς καὶ τοῖς ἄλλοις δέος εἶναι, ὅσοι σατράπαι ἢ ὕπαρχοι ἢ νομάρχαι ἀπολείπονται, τὰ ἴσα ἐκείνοις πλημμελοῦντας πείσεσθαι. καὶ τοῦτο εἴπερ τι ἄλλο, κατέσχεν ἐν κόσμῳ

μὴ τὰ ἔθνη τὰ ἐξ Ἀλεξάνδρου δορυάλωτα, ἢ ἑκόντα A
προσχωρήσαντα, τοσαῦτα μὲν πλήθει ὄντα, τόσον δὲ
ἀλλήλων ἀφεστηκότα· ὅτι οὐκ ἐξῆν ὑπὸ τῇ Ἀλεξάν-
δρου βασιλείᾳ ἀδικεῖσθαι τοὺς ἀρχομένους ὑπὸ τῶν
ἀρχόντων. Ἡράκων δὲ τότε μὲν ἀφείθη τῆς αἰτίας·
ὀλίγον δὲ ὕστερον ἐξελεγχθεὶς πρὸς ἀνδρῶν Σουσίων
σεσυληκέναι τὸ ἐν Σούσοις ἱερὸν, καὶ οὗτος ἔδωκε δί-
κην. οἱ δὲ σὺν Στασάνορι καὶ Φραταφέρνῃ πλῆθός τε
ὑποζυγίων παρ' Ἀλέξανδρον ἄγοντες ἦλθον, καὶ κα-
μήλους πολλὰς, ὡς ἔμαθον ὅτι τὴν ἐπὶ Γαδρωσίων
ἄγει, εἰκάσαντες ὅτι τὰ αὐτὰ ἐκεῖνα πείσεται αὐτῷ ἡ
στρατιὰ ἃ ἤδη ἔπαθε. καὶ οὖν καὶ ἐν καιρῷ μὲν καὶ οὗτοι B
ἀφίκοντο, ἐν καιρῷ δὲ αἱ κάμηλοί τε καὶ τὰ ὑποζύ-
για. διένειμε γὰρ ξύμπαντα Ἀλέξανδρος, τοῖς μὲν
ἡγεμόσι κατ' ἄνδρα, τοῖς δὲ κατ' ἴλας τε καὶ ἑκατο-
στύας, τοῖς δὲ κατὰ λόχους, ὅπως τὸ πλῆθος τῶν ὑπο-
ζυγίων τε καὶ καμήλων αὐτῷ ξυνέβαινεν. ἤδη δέ τι-
νες καὶ τοιάδε ἀνέγραψαν, οὐ πιστὰ ἐμοὶ λέγοντες, ὡς
συζεύξας δύο ἁρμαμάξας, κατακείμενος ξὺν τοῖς
ἑταίροις καταυλούμενος, τὴν διὰ Καρμανίας ἦγεν·
ἡ στρατιὰ δὲ αὐτῷ ἐστεφανωμένη τε καὶ παίζουσα εἵπε-
το. προὔκειτο δὲ αὐτῇ σῖτός τε, καὶ ὅσα ἄλλα ἐς τρυ- C
φὴν, παρὰ τὰς ὁδοὺς συγκεκομισμένα πρὸς τῶν
Καρμανίων. καὶ ταῦτα πρὸς μίμησιν τῆς Διονύσου
βακχείας ἀπεικάσθη Ἀλεξάνδρῳ, ὅτι καὶ ὑπὲρ ἐ-
κείνου λόγος ἐλέγετο, καταστρεψάμενον Ἰνδοὺς Διό-
νυσον, οὕτω τὴν πολλὴν τῆς Ἀσίας ἐπελθεῖν· καὶ θρίαμ-
βόν τε αὐτὸν ἐπικληθῆναι τὸν Διόνυσον, καὶ τὰς ἐπὶ
ταῖς νίκαις ταῖς ἐκ πολέμου πομπὰς ἐπὶ τῷ αὐτῷ
τούτῳ, θριάμβους. ταῦτα δὲ οὔτε Πτολεμαῖος ὁ Λά-
γου, οὔτε Ἀριστόβουλος ὁ Ἀριστοβούλου ἀνέγραψαν,
οὐδέ τις ἄλλος ὅντινα ἱκανὸν ἄν τις ποιήσαιτο τεκμη- D
ριῶσαι ὑπὲρ τῶν τοιῶνδε· καί μοι ὡς οὐ πιστὰ ἀναγε-
γράφθαι ἐξήρκεσεν. ἀλλ' ἐκεῖνο ἤδη Ἀριστοβούλῳ ἑ-
πόμενος ξυγγράφω, θῦσαι ἐν Καρμανίᾳ Ἀλέξανδρον
χαριστήρια τῆς κατ' Ἰνδῶν νίκης, καὶ ὑπὲρ τῆς στρα-
τιᾶς ὅτι ἀπεσώθη ἐκ Γαδρωσίων, καὶ ἀγῶνα διαθεῖ-
ναι μουσικόν τε καὶ γυμνικόν. καταλέξαι δὲ καὶ Πευκέ-
σταν ἐς τοὺς σωματοφύλακας, ἤδη μὲν ἐγνωκότα σα-
τράπην καταστῆσαι τῆς Περσίδος, ἐθέλοντα δὲ πρὸ τῆς
σατραπείας μηδὲ ταύτης τῆς τιμῆς καὶ πίστεως ἀπείρα-
τον εἶναι, ἐπὶ τῷ ἐν Μαλλοῖς ἔργῳ. εἶναι δὲ αὐτῷ ἑπτὰ E
εἰς τότε σωματοφύλακας, Λεοννάτον Ἀντέου, Ἡφαι-
στίωνα τὸν Ἀμύντορος, Λυσίμαχον Ἀγαθοκλέους, Ἀ-
ριστόνουν Πεισαίου· τούτους μὲν, Πελλαίους· Περδίκ-
καν δὲ, Ὀρόντου, ἐκ τῆς Ὀρέστιδος· Πτολεμαῖον δὲ τὸν
Λάγου, καὶ Πύθωνα Κρατεᾶ, Ἐορδαίους. ὄγδοον δὲ προσ-
γενέσθαι αὐτοῖς Πευκέσταν τὸν Ἀλεξάνδρῳ ὑπερασπί-
σαντα. ἐν τούτῳ δὲ καὶ Νέαρχος περιπλεύσας τὴν Ὠ-
ρειτῶν τε καὶ Γαδρώσων γῆν, καὶ τῶν Ἰχθυοφάγων, κατῆ-
ρεν ἐς τῆς Καρμανίας τὰ πρὸς θάλασσαν ᾠκισμένα·
ἔνθεν δὲ ἀνελθὼν σὺν ὀλίγοις, Ἀλεξάνδρῳ ἀπήγγε- F
λε τὰ ἀμφὶ τὸν περίπλουν τὸν γενόμενον αὐτῷ κατὰ
τὴν ἔξω θάλασσαν. τοῦτον μὲν δὴ καταπέμπει αὖ-
θις, ἐκπεριπλεύσοντα ἔστ' ἐπὶ τὴν Σουσιανῶν τε
γῆν, καὶ τοῦ Τίγρητος ποταμοῦ τὰς ἐκβολάς. ὅπως δὲ
ἐπλεύσθη αὐτῷ τὰ ἀπὸ τοῦ Ἰνδοῦ ποταμοῦ ἐπὶ τὴν
θάλασσαν τὴν Περσικὴν καὶ τὸ στόμα τοῦ Τίγρητος,
ταῦτα ἰδίᾳ ἀναγράψω, αὐτῷ Νεάρχῳ ἑπόμενος, ὡς καὶ

tes quæ ab Alexandro vi ſubactæ eſſent, vel ſua ſponte deditionem feciſſent (quarũ tanta erat multitudo, tantóque locorũ interuallo inter ſe diſiungebantur) in officio cõtinuit. Neque enim licebat ſub Alexãdri imperio cuiquam præfecto ſubditos iniuria afficere. Heracon quidem tum temporis criminationem ſubterfugerat: cæterum paulo pòſt à Suſiis conuictus, quòd eorum templum diripuiſſet, etiã ipſe pœnas dedit. Staſanor verò & Phratapherues magnã iumentorum atque elephãtorum copiam ad Alexandrum duxerunt, ſimulac eum in Gadroſios exercitũ ducere intellexerunt, exiſtimantes exercitũ eadem illa incõmoda quę paſſus fuerat ſubiturum. Et quidem peropportunè cùm ipſi, tum cameli & iumenta aduenerũt: omniáq; partim in ſingulos præfectos, partim per centurias & cohortes pro numero elephantorũ partitus eſt. Sunt etiã nõnulli qui ſcribãt (quod quidẽ mihi veriſimile non videtur) Alexandrũ duobus curribus iũctis, inter amicos muſicis modulationibus aures eius demulcentes ſtratum, per Carmaniam exercitũ duxiſſe: milites coronatos ludentéſque ſequutos, frumẽtum aliáſque res quę ad voluptatem pertinẽt, ad viam Carmaniis apponentibus. Atque hæc quidẽ æmulatione quadam Dionyſiacæ bacchationis ab Alexandro fiebant. Fama enim tenebat Liberum patrẽ, Indis deuictis, hoc etiam pacto magnã Aſiæ partem peragraſſe: & Dionyſũ ipſum Triũphũ vocatũ eſſe, & pompas quę ob bellicas victorias fiunt, ea de cauſa triũphos dici. Cæterùm hæc neque Ptolemæus Lagi, neque Ariſtobulus Ariſtobuli filius, neque alius quiſpiã autor, cui hac in parte fides haberi poſſit, memoriæ prodiderũt: ſuffecerítque à me tanquã indigna fide relata eſſe. Illud verò, Ariſtobulũ ſequutus, ſcribo, Alexandrũ in Carmania gratias diis agentẽ ſacrum feciſſe ob victoriã de Indis partã, & ob exercitũ ex Gadroſiis ſeruatũ: ludos etiã muſicos & gymnicos edidiſſe: prçterea Peuceſtam in corporis ſui cuſtodẽ adſcripſiſſe, quem quidem iam Perſidis ſatrapam cõſtituere decreuerat, ſed antequam illi ſatrapatum deferret, ne hoc quidem honore fideíque teſtimonio carere eum voluit, ob eximiam eius operam apud Mallos præſtitam. Fuiſſe autem illi tum temporis ſeptem corporis cuſtodes, Leonnatum Antei, Hephæſtionem Amyntoris, Lyſimachum Agathoclis, Ariſtonũ Piſæi filium: hos, Pellæos. Perdiccã Orontis ex Oreſtide, Ptolemęum Lagi & Pythonẽ Crateę F. Eordenſes: octauum verò iis acceſſiſſe Peuceſtã qui Alexandrum ſcuto ſuo protexerat. Inter hæc Nearchus, quũ iã Oreorũ & Gadroſorũ atque Ichthyophagorũ regionẽ circumnauigaſſet, ad maritimã Carmaniæ orã appulit. Inde cum paucis ad Alexandrũ profectus, omnia quæ in ea ad exterius mare nauigatione viderat ei refert. Hunc mox ad claſſem remittit, vt ad Suſianorum regionem & Tigritis fluminis oſtia nauiget. Quomodo autem ab Indo flumine ad mare Perſicũ & Tigritis oſtia enauigarit, ſeorſim cõſcribã, Nearchũ ſequẽs,

cuius Græca extat de rebus Alexādri hiſtoria. quod quidē fortaſſis ad finē huius hiſtoriæ à me præſtabitur, ſi me animus & fortuna eò ducat. Alexāder Hephæſtionem cum maiore exercitus parte, cúmque iumentis & elephantis ſecus mare ex Carmania in Perſidem mittit; quód per hyemis tempus Perſicum mare tranquillū eſſet, & claſſis omniū rerum copia abundaret. Ipſe cum expeditiſſimis peditū, cúmque ſociorum equitatu, & aliqua ſagittariorū parte, aduerſus Paſargadas Perſidis profectus eſt: Staſanorē vero in ſuam prouinciā mittit. Quúmq; ad Perſidis fines veniſſet, Phraſaortē ibi ſatrapatu fungētem nō reperit (qui, Alexādro adhuc apud Indos res gerente, morbo deceſſerat) Orxines verò pręſidem agebat, nō quidem ab Alexandro cōſtitutus, ſed quòd non indignū cenſuiſſet Perſas Alexandro in officio cōtinere, quandiu nemo eſſet qui eius prouincię curā gereret. Acceſſit quoque ad eum in Paſargadas Atrobates Mediæ ſatrapa, iſq; Baryaxem Medum captū adducebat, ꝗ erecta cidari capiti impoſita Perſarū ac Medorum regem ſe appellaſſet, & cum eo omnes defectionis ſocios: quos Alexāder necari iuſſit. AEgerrimè verò ferebat ſcelus in Cyri Cambyſæ filij ſepulcrum admiſſum. quod quidē perfractū ſpoliatúmque reperit, vt autor eſt Ariſtobulus. Eſſe enim apud Paſargadas in hortis regiis Cyri illius ſepulcrū, & circū id, lucum omnis generis arboribus cōſitum, aquiſq; irriguū, atque alto gramine hortum ipſum refertū eſſe: ſepulcrum ipſum ab ima parte ſaxo quadrato ſtructum quadrāgularē formā præ ſe ferre. In editiore parte ædiculam eſſe lapideo fornice contectam, portulámq; habere quæ in eam ducat, ita anguſtā vt ægerrimè vn⁹ aliquis, neq; is magnæ ſtaturæ, ingredi poſſit. in ædicula vrnam auream eſſe poſitā, in qua Cyri corpus conditū ſeruatur: lecticam vrnæ adſtare, cuius pedes ex ſolido auro fabre facti ſint. hanc tapetis Babyloniis ſtratam, ſtragulis purpureis ſubſtratis: lecticæ candym regiam aliáſque veſtes Babylonij operis impoſitas eſſe. Femoralia etiam Medica: ſtolas quoque hyacinthino colore tinctas ibi poſitas fuiſſe ſcribit: atque has quidem, purpurei, alias varij coloris. torques quoque & armillas ac gladios & inaures, aliáque ornamēta ex auro & gemmis compoſita. menſa præterea ibi poſita erat. in medio verò lecticæ vrna, corpus Cyri continens. Eſſe præterea intra ambitum in ipſo ad ſepulcrum aſcenſu exiguam quandam ædiculam, Magis extructam, qui quidem ſepulcrum cuſtodiebant, iam inde à Cambyſe Cyri filio cuſtodiæ munere à patribus in filios tranſmiſſo. Atque his quidem ouis in ſingulos dies ab rege dabatur, viníque & farinæ certus modus: ſingulis etiam menſibus equus vnus quem Cyro ſacrificarent. Titulus ſepulcri Perſicis literis inſcriptus, hoc ſignificabat,
» O MORTALIS, Cyrus ego ſum Cambyſę filius, qui
» Perſis regnum conſtitui, Aſiæque imperaui.

Hæc de Cyri ſepulcro Curt. lib. x. longè aliter narrat.

A τήνδε εἶναι ὑπὲρ Ἀλεξάνδρου Ἑλληνικὴν ξυγγραφήν. ταῦτα μὲν δὴ ἐν ὑστέρῳ ἔσται τυχόν, εἴ ποτε θυμός τέ με καὶ ὁ δαίμων ἄγῃ ταύτῃ. Ἀλέξανδρος δὲ Ἡφαιστίωνα μὲν σύν τε τῇ πλείστῃ μοίρᾳ τῆς στρατιᾶς καὶ τοῖς ὑποζυγίοις, καὶ τοὺς ἐλέφαντας ἅμα οἱ ἔχοντα, τὴν παρὰ θάλασσαν ἀπὸ τῆς Καρμανίας ὡς ἐπὶ τὴν Περσίδα ἄγειν ἐκέλευσεν· ὅτι χειμῶνος ὥρᾳ γιγνομένου αὐτῷ τοῦ στόλου, τὰ πρὸς τῇ θαλάσσῃ Περσίδος ἀλεεινά τε ἦν, καὶ τῶν ἐπιτηδείων ἀφθόνως ἔχοντα. αὐτὸς δὲ ξὺν τοῖς κουφοτάτοις τῶν πεζῶν, καὶ B ξὺν τοῖς ἑταίροις τῶν ἱππέων, καὶ μέρει τινὶ τῶν τοξοτῶν, ᾔει τὴν ἐπὶ Πασαργάδας τῆς Περσίδος· Στασάνορα δὲ καταπέμπει ἐπὶ τὴν ἀρχὴν τὴν ἑαυτοῦ. ὡς δὲ ἐπὶ τοῖς ὅροις ἦν τῆς Περσίδος, Φρασαόρτην μὲν οὐ κατέλαβε σατραπεύοντα ἔτι (νόσῳ γὰρ τετελευτηκὼς ἐτύγχανεν, ἐν Ἰνδοῖς ἔτι Ἀλεξάνδρου ὄντος) Ὀρξίνης δὲ ἐπεμέλετο τῆς Περσίδος, οὐ πρὸς Ἀλεξάνδρου κατασταθείς, ἀλλ' ὅτι οὐκ ἀπηξίωσεν αὐτὸς ἐν κόσμῳ Πέρσας διαφυλάξαι Ἀλεξάνδρῳ, οὐκ ὄντος ἄλλου ἄρχοντος. ἦλθε δὲ ἐς Πασαργάδας καὶ Ἀτροπάτης C ὁ Μηδίας σατράπης, ἄγων Βαρυάξην ἄνδρα Μῆδον συνειλημμένον, ὅτι ὀρθὴν τὴν κίδαριν περιθέμενος, βασιλέα προσεῖπεν αὑτὸν Περσῶν τε καὶ Μήδων· καὶ ξὺν τούτῳ τοὺς μετασχόντας αὐτῷ τοῦ νεωτερισμοῦ τε καὶ τῆς ἀποστάσεως. τούτους μὲν δὴ ἀπέκτεινεν Ἀλέξανδρος. ἐλύπησε δὲ αὐτὸν ἡ παρανομία ἡ ἐς τὸν Κύρου τοῦ Καμβύσου τάφον, ὅτι διορωρυγμένον τε καὶ σεσυλημένον κατέλαβε τοῦ Κύρου τὸν τάφον· ὡς λέγει Ἀριστόβουλος. εἶναι γὰρ ἐν Πασαργάδαις ἐν τῷ παραδείσῳ τῷ βασιλικῷ Κύρου ἐκείνου τάφον· καὶ D περὶ αὐτὸν ἄλσος ἐμπεφυτεῦσθαι δένδρων παντοίων, καὶ ὕδατι εἶναι κατάρρυτον, καὶ πόαν βαθεῖαν πεφυκέναι ἐν τῷ λειμῶνι· καὶ αὐτὸν δὲ τὸν τάφον τὰ κάτω λίθου τετραπέδου ἐς τετράγωνον σχῆμα πεποιῆσθαι· ἄνωθεν δὲ οἴκημα ἐπεῖναι λίθινον ἐστεγασμένον, θυρίδα ἔχον φέρουσαν ἔσω στενήν, ὡς μόλις ἂν ἑνὶ ἀνδρὶ οὐ μεγάλῳ πολλὰ κακοπαθοῦντι παρελθεῖν. ἐν δὲ τῷ οἰκήματι πύελον χρυσῆν κεῖσθαι, ἵνα τὸ σῶμα τὸ Κύρου ἐτέθαπτο· καὶ κλίνην παρὰ τῇ πυέλῳ. πόδας δὲ εἶναι τῇ κλίνῃ χρυσοῦς σφυρηλάτους, καὶ τάπητα E ἐπιβλημάτων Βαβυλωνίων, καὶ καυνάκας πορφυροῦς ὑποστρώννυσθαι. ἐπεῖναι δὲ καὶ κάνδυς, καὶ ἄλλους χιτῶνας τῆς Βαβυλωνίου ἐργασίας. καὶ ἀναξυρίδες Μηδικαὶ καὶ στολαὶ ὑακινθινοβαφεῖς λέγει ὅτι ἔκειντο· αἱ δὲ πορφύρας, αἱ δὲ ἄλλης καὶ ἄλλης χρόας· καὶ στρεπτοί, καὶ ἀκινάκαι, καὶ ἐνώτια χρυσοῦ τε καὶ λίθων κολλητά· καὶ τράπεζα ἔκειτο. ἐν μέσῳ δὲ τῆς κλίνης ἡ πύελος ἔκειτο, ἡ τὸ σῶμα τοῦ Κύρου ἔχουσα. εἶναι δὲ ἐντὸς τοῦ περιβόλου, πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ τὸν τάφον φερούσῃ, οἴκημα σμι- F κρὸν τοῖς μάγοις πεποιημένον, οἳ δὴ ἐφύλασσον τὸν Κύρου τάφον, ἔτι ἀπὸ Καμβύσου τοῦ Κύρου, παῖς παρὰ πατρὸς, ἐκδεχόμενοι τὴν φυλακήν. καὶ τούτοις πρόβατόν τε ἐς ἡμέραν ἐδίδοτο ἐκ βασιλέως, καὶ ἀλεύρων τε καὶ οἴνου τεταγμένα, καὶ ἵππος κατὰ μῆνα ἐς θυσίαν τῷ Κύρῳ. ἐπεγέγραπτο δὲ ὁ τάφος Περσικοῖς γράμμασι, καὶ ἐδήλου Περσιστὶ τάδε, Ὦ ἌΝΘΡΩΠΕ, ἐγὼ Κῦρός εἰμι ὁ Καμβύσου, ὁ τὴν ἀρχὴν Πέρσαις καταστησάμενος, καὶ τῆς Ἀσίας βασιλεύσας.

μὴ οὖν φθόνει μοι τοῦ μνήματος. Ἀλέξανδρος δὲ (ἐπιμελὲς γὰρ ἦν αὐτῷ, ὁπότε ἕλοι Πέρσας, παρελθεῖν ἐς τοῦ Κύρου τὸν τάφον) τὰ μὲν ἄλλα καταλαμβάνει ἐκπεφορημένα, πλὴν τῆς πυέλου καὶ τῆς κλίνης. οἱ δὲ καὶ τὸ σῶμα τοῦ Κύρου ἐλωβήσαντο, ἀφελόντες τὸ πῶμα τῆς πυέλου καὶ τὸν νεκρὸν ἐξέβαλλον· αὐτὴν δὲ τὴν πύελον ἐπειρῶντο εὔογκον σφίσι ποιήσασθαι, καὶ ταύτῃ εὔφορον, τὰ μὲν παρακόπτοντες, τὰ δὲ ξυνθλῶντες αὐτῆς. ὡς δὲ οὐ προυχώρει αὐτοῖς τοῦτο τὸ ἔργον, οὕτω δὴ ἐάσαντες τὴν πύελον ἀπῆλθον. καὶ λέγει Ἀριστόβουλος, αὐτὸς ταχθῆναι πρὸς Ἀλεξάνδρου κοσμῆσαι ἐξ ἀπαρχῆς τῷ Κύρῳ τὸν τάφον· καὶ τοῦ μὲν σώματος ὅσα περ ἔτι σῶα ἦν, καταθεῖναι ἐς τὴν πύελον, καὶ τὸ πῶμα ἐπιθεῖναι· ὅσα δὲ λελώβητο αὐτῆς, κατορθῶσαι· καὶ τὴν κλίνην ἐντεῖναι ταινίαις, καὶ τἆλλα ὅσα ἐς κόσμον ἔκειτο, κατ' ἀριθμόν τε τοῖς πάλαι ὅμοια ἀποθεῖναι, καὶ τὴν θυρίδα δὲ ἀφανίσαι, τὰ μὲν αὐτῆς λίθῳ ἐνοικοδομήσαντα, τὰ δὲ πηλῷ ἐμπλάσαντα· καὶ ἐπιβαλεῖν τῷ πηλῷ τὸ σημεῖον τὸ βασιλικόν. Ἀλέξανδρος δὲ ξυλλαβὼν τοὺς μάγους τοὺς φύλακας τοῦ τάφου, ἐστρέβλωσεν, ὡς κατειπεῖν τοὺς δράσαντας. οἱ δὲ οὔτε σφῶν οὔτε ἄλλου κατεῖπον στρεβλούμενοι, οὐδὲ ἄλλῃ πῃ ξυνηλέγχοντο ξυνειδότες τῷ ἔργῳ· καὶ ἐπὶ τῷδε ἀφείθησαν ἐξ Ἀλεξάνδρου. ἔνθεν δὲ ἐς τὰ βασίλεια ᾔει τῶν Περσῶν, ἃ δὴ πρόσθεν κατέφλεξεν αὐτὸς, ὡς μοι λέλεκται ὅτι οὐκ ἐπήνουν αὐτὸ ἔργον· ἀλλ' οὐδ' αὐτὸς Ἀλέξανδρος ἐπανελθὼν ἐπῄνει. καὶ μὲν δὴ καὶ κατὰ Ὀρξίνου πολλοὶ λόγοι ἐλέχθησαν πρὸς Περσῶν, ὃς ἦρξε Περσῶν ἐπειδὴ Φρασαόρτης ἐτελεύτησε. καὶ ἐξηλέγχθη Ὀρξίνης ἱερά τε ὅτι σεσυλήκει, καὶ τάφους βασιλικοὺς, καὶ Περσῶν πολλοὺς ὅτι οὐ ξὺν δίκῃ ἀπέκτεινε. τοῦτον μὲν δὴ οἷς ἐτάχθη ὑπὸ Ἀλεξάνδρου ἐκρέμασαν. σατράπην δὲ Πέρσαις ἔταξε Πευκέσταν τὸν σωματοφύλακα, πιστόν τε οἱ ἐς τὰ μάλιστα τιθέμενος, τά τε ἄλλα, καὶ ἐπὶ τῷ ἐν Μαλλοῖς ἔργῳ, ἵνα προεκινδύνευσέ τε καὶ συνεξέσωσεν Ἀλέξανδρον, καὶ ἄλλως, τῷ βαρβαρικῷ τρόπῳ τῆς διαίτης οὐκ ἀξύμφορον. ἐδήλωσε δὲ ἐσθῆτά τε εὐθὺς, ὡς κατεστάθη σατραπεύειν Περσῶν, μόνος τῶν ἄλλων Μακεδόνων μεταβαλὼν τὴν Μηδικὴν, καὶ φωνὴν τὴν Περσικὴν ἐκμαθὼν, καὶ τἆλλα ξύμπαντα τὰ ἐς τρόπον τὸν Περσικὸν κατασκευασάμενος. ἐφ' οἷς Ἀλέξανδρός γε ἐπῄνει αὐτὸν, καὶ οἱ Πέρσαι ὡς τὰ παρὰ σφίσι πρὸ τῶν πατρίων πρεσβεύοντι ἔχαιρον.

A Itaque ne meo monimento inuideas. Alexander, (inceſſerat enim eũ cupido iam tum quum Perſas viciſſet, adeundi illius ſepulcri) reliqua omnia furto ſublata, præter vrnam & lectum reperit. Nonnulli ne ipſius quidẽ corpori pepercerant. ſublato enim vrnæ operculo corpus eiecerant: ipſam verò vrnam imminuere conati fuerant, vt commodius auferri poſſet: partim præſcindentes, partim contundentes atque confringẽtes: qúumq; opus non ſucccderet ex ſentẽtia, relicta tandem vrna abierũt. B Ariſtobulus ab Alexãdro deſignatũ ſe fuiſſe ait, qui ſepulcrum de integro inſtauraret, corporiſque reliquias quę ſupererant in vrna conderet, operculóque tegeret: quæque rupta eſſent reficeret, priſtinóque ornatu reſtitueret. ad hæc ædiculæ portam lapide & calce obſtrueret, regio ſigno illi impreſſo. Poſt hæc Alexander magos ſepulcri cuſtodes comprehenſos in quæſtionem dari iubet, vti autores facinoris indicent. C qui quidem torti, neque de ſe neque de aliis quicquam confeſſi ſunt, neque vllius rei ſibi conſcij eſſe ſunt deprehenſi. quapropter ab Alexandro dimiſſi. Inde in regiam Perſarum profectus eſt, quam ipſe antea concremarat. quod quidem factum neque ego probaui, neque Alexander ipſe reuerſus laudauit. Ibi multa Orxini (qui Perſas poſt Phraſaortis obitum rexerat) crimina obiecta ſunt: quòd templa, & ſepulcra regia ſpoliaſſet, multóſque Perſarum iniuſtè peremiſſet. atque hunc quidẽ iuſſu Alexandri in crucem ſuſtulerunt. D Dehinc Peuceſtẽ corporis cuſtodem (quòd fidem eius egregiam cùm aliis in rebus tum apud Mallos expertus eſſet, vbi magno ſuo periculo Alexandrum ſeruarat) Perſis ſatrapam conſtituit, qui quidem barbarica morum ratione ab illorũ ingeniis minimè alienus erat. quod quidem declarauit, quum ſtatim atque ſatrapatum apud Perſas gerere cœpit, ſolus ex omnibus Macedonibus veſte Medica mutata, linguam Perſicam didicit, reliquáque omnia ad Perſicum modum accommodauit. E Quo quidem nomine Alexander eum collaudauit: & Perſæ, quòd Perſicum cultũ patrio prætuliſſet, gauiſi ſunt.

Curt. Præter clypeum eius putrẽ & arcus duos Scythicos & acinacem, nihil reperit.

ARRIANI HISTORIARVM DE EXPEDItione Alexandri,

Liber ſeptimus.

POSTQVAM Alexāder in Paſargadas ac Perſepolim venit, cupido cum cepit nauigandi per Euphratē ac Tigrim in Perſicum mare, fluminúmq; in mare exitus viſēdi, quēadmodum & Indi oſtia, & quod ex ea parte eſt mare viderat. Sunt etiam qui tradant Alexādrum in animo habuiſſe magnam Arabiæ partem circumnauigare, & AEthiopum regionem, Libyámq; & Numidas, atque ita ſuperato Atlante mōte, ad Gades in noſtrū mare, Africa Carthaginéque ſubacta, penetrare. Ita enim meritò totius Aſiæ regē vocari poſſe (Perſarum enim ac Medorū reges, quum ne milleſimam quidem Aſiæ partē tenerent, iniquè ſeſe magnos reges vocaſſe) Hinc ſunt qui dicāt eum per Euxinum pontum nauigare voluiſſe in Scythas & Mœotim paludem: alij, in Siciliam & Iapygium promontorium. Iam tum enim Romanorū nomen latè diffuſum, animum eius cōmouiſſe. Ego verò quid in animo ſuo agitarit neque certò affirmare poſſum, neque curæ mihi eſt id coniecturis aſſequi. Illud certè mihi aſſeuerare poſſe videor, illum nihil humile aut exigui momēti animo voluiſſe, neque quantumlibet terrarū ſuo imperio adieciſſet, conquieturum fuiſſe: non ſi Europam Aſiæ, aut Britannicas inſulas Europæ cōiunxiſſet, ſed vlterius ſemper aliquid à notitia hominum remotum quæſiturum: & ſi cum alio nemine, cum ſuo ipſius animo perpetuam ei contentionem futuram fuiſſe. Quo quidē nomine Indorum ſapientes laudo, quorū nonnullos quum aliquando in horto, in quem commentandi cauſa conuenire ſolent, ſub dio ambulantes offendiſſet, eos ad Alexandri atque exercitus conſpectum nihil aliud feciſſe, quàm pedibus terrā quam calcabant pulſaſſe. Alexandro autem cauſam eius facti per interpretes interrogāte, ita reſponderunt, Quoniam, ô rex Alexander, v-
» nuſquiſque mortalium tantum terræ poſſi-
» det, quantum hoc eſt quod calcamus: tu
» verò homo reliquis ſimilis es, præterquam
» ꝙ curioſus atque iniquus tam procul à do-
» mo tua diſceſſeris, tibi pariter atque aliis ne-
» gotiū faceſſens. quū alioqui exiguo ab hinc
» tēpore moriturus, nō plus terræ ſis poſſeſſu-
» rus, quàm corpori tuo ſepeliendo ſufficiat.

Atque Alexāder quidem ſapientum ſententiam laudauit: non deſtitit tamen alia, & quidem iis quæ laudarat cōtraria, perſequi. Siquidem & Diogenē Sinopeum in Iſthmo admiratus fuiſſe dicitur, quum illū ad ſolem ſtratū apricantémq; offendiſſet, cū argyraſpidū & ſociorū manu propius acceſſiſſe, rogaſſéque num aliqua re indigeret: Cui Diogenes nulla ſe re egere reſpōdit, ſimúlq; Alexādrū cū ſuo comitatu re-

Curt. Rex cognoſcendi plura cupidine accenſus, rurſus eos terram legere iubet, donec ad Euphratem appelleret claſſem, inde aduerſo amne Babyloniā ſubiturus. Ipſe animo infinita com plexus ſtatuerat, omni ad Orientē m ritima regione perdomita, ex Syria petere Africam, Carthagini infenſus. In de Numidiæ ſolitudinibus peragratis curſum Gades dirigere.

ἈΡΡΙΑΝΟΥ ἹΣΤΟΡΙΩΝ ἈΝΑΒΑΣΕΩΣ Ἀλεξάνδρου,

Βιβλίον ἕβδομον.

ΩΣ ΔΕ ἘΣ Πασαργάδας τε καὶ ἐς Περσέπολιν ἀφίκετο Ἀλέξανδρος, πόθος καταλαμβάνει αὐτὸν καταπλεῦσαι κατὰ τὸν Εὐφράτην τε καὶ κατὰ τὸν Τίγρητα ἐπὶ τὴν θάλασσαν τὴν Περσικήν, καὶ τῶν τε ποταμῶν ἰδεῖν τὰς ἐκβολὰς τὰς ἐς τὸν πόντον, καθάπερ τοῦ Ἰνδοῦ, καὶ τὴν ταύτῃ θάλασσαν. οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ὅτι ἐπενόει Ἀλέξανδρος περιπλεῦσαι τήν τε Ἀραβίαν τὴν πολλήν, καὶ τὴν Αἰθιόπων γῆν, καὶ τὴν Λιβύην τε καὶ τοὺς Νομάδας, ὑπὲρ τὸν Ἄτλαντα τὸ ὄρος, ὡς ἐπὶ Γάδειρα ἔσω ἐς τὴν ἡμετέραν θάλασσαν, καὶ τὴν Λιβύην τε καταστρεψάμενος καὶ Καρχηδόνα, οὕτω δὴ τῆς Ἀσίας πάσης δικαίως ἂν βασιλέα καλεῖσθαι. (τοὺς γάρτοι Περσῶν καὶ Μήδων βασιλέας, οὐδὲ τοῦ πολλοστοῦ μέρους τῆς Ἀσίας ἐπάρχοντας, οὐ σὺν δίκῃ καλεῖν σφᾶς μεγάλους βασιλέας) ἔνθεν δὲ οἱ μὲν λέγουσιν ὅτι ἐς τὸν πόντον τὸν Εὔξεινον ἐσπλεῖν ἐπενόει, ἐς Σκύθας τε καὶ τὴν Μαιῶτιν λίμνην. οἱ δέ, ὅτι ἐς Σικελίαν τε καὶ ἄκραν Ἰαπυγίαν. ἤδη γὰρ καὶ ὑποκινεῖν αὐτὸν τὸ Ῥωμαίων ὄνομα, προχωροῦν ἐπὶ μέγα. ἐγὼ δέ, ὁποῖα μὲν ἦν Ἀλεξάνδρου τὰ ἐνθυμήματα, οὔτε ἔχω ἀτρεκῶς ξυμβαλεῖν, οὔτε μέλει ἔμοιγε εἰκάζειν· ἐκεῖνο δὲ καὶ αὐτὸς ἄν μοι δοκῶ ἰσχυρίσασθαι, οὔτε μικρόν τι καὶ φαῦλον ἐπινοεῖν Ἀλέξανδρον, οὔτε μεῖναι ἂν ἀτρεμοῦντα ἐπ' οὐδενὶ τῶν ἤδη κεκτημένων, οὐδὲ εἰ τὴν Εὐρώπην τῇ Ἀσίᾳ προσέθηκεν, οὐδ' εἰ τὰς Βρεττανῶν νήσους τῇ Εὐρώπῃ, ἀλλ' ἔτι ἂν ἐπέκεινα ζητεῖν τι τῶν ἠγνοημένων· εἰ καὶ μὴ ἄλλῳ τῳ, ἀλλὰ αὐτόν γε αὑτῷ ἐρίζοντα. καὶ ἐπὶ τῷδε ἐπαινῶ τοὺς σοφιστὰς τῶν Ἰνδῶν, ὧν λέγουσιν ἔστιν οὓς καταληφθέντας ὑπ' Ἀλεξάνδρου ὑπαιθρίους ἐν λειμῶνι, ἵναπερ αὐτοῖς διατριβαὶ ἦσαν, ἄλλο μὲν οὐδὲν ποιῆσαι πρὸς τὴν ὄψιν αὐτοῦ τε καὶ τῆς στρατιᾶς, κρούειν δὲ τοῖς ποσὶ τὴν γῆν ἐφ' ἧς βεβηκότες ἦσαν. ὡς δὲ ἤρετο Ἀλέξανδρος δι' ἑρμηνέων, ὅτι νοοῖ αὐτοῖς τὸ ἔργον· τοὺς δὲ ἀποκρίνασθαι ὧδε, Ὦ βασιλεῦ Ἀλέξανδρε, ἄνθρωπος μὲν ἕκαστος τοσόνδε τῆς γῆς κατέχει, ὅσονπερ τοῦτό ἐστιν ἐφ' ὅτῳ βεβήκαμεν· σὺ δὲ ἄνθρωπος ὤν, παραπλήσιος τοῖς ἄλλοις, πλήν γε δὴ ὅτι πολυπράγμων καὶ ἀτάσθαλος, ἀπὸ τῆς οἰκείας τοσαύτην γῆν ἐπεξέρχῃ, πράγματα ἔχων τε καὶ παρέχων ἄλλοις· καὶ οὖν καὶ ὀλίγον ὕστερον ἀποθανών, τοσοῦτον καθέξεις τῆς γῆς, ὅσον ἐξαρκεῖ ἐντεθάφθαι τῷ σώματι. κἀνταῦθα ἐπῄνεσε μὲν Ἀλέξανδρος τούς τε λόγους καὶ τοὺς εἰπόντας, ἔπρασσε δὲ ὅμως ἄλλα καὶ τἀναντία οἷς ἐπῄνεσεν. ἐπεὶ καὶ Διογένην τὸν ἐκ Σινώπης θαυμάσαι λέγεται ἐν Ἰσθμῷ, ἐντυχὼν αὐτῷ κατακειμένῳ ἐν ἡλίῳ, ἐπιστὰς σὺν τοῖς ὑπασπισταῖς καὶ τοῖς πεζεταίροις, καὶ ἐρόμενος εἴ του δέοιτο. ὁ δὲ Διογένης ἄλλου μὲν ἔφη δεῖσθαι οὐδενός,

ἀπὸ τοῦ ἡλίου δὲ ἀπελθεῖν ἐκέλευσεν αὐτόν τι καὶ τοὺς A
σὺν αὐτῷ. οὕτω τοι οὐ πάντη ἔξω ἦν τοῦ ἐπινοεῖν τὰ
κρείττω Ἀλέξανδρος, ἀλλ᾽ ἐκ δόξης γὰρ δεινῶς ἐκρα-
τεῖτο. ἐπεὶ καὶ ἐς Τάξιλα αὐτῷ ἀφικομένῳ, καὶ ἰδόντι
τῶν σοφιστῶν Ἰνδῶν τοὺς γυμνούς, πόθος ἐγένετο ξυ-
νεῖναί τινα οἱ τῶν ἀνδρῶν τούτων, ὅτι τὴν καρτερίαν
αὐτῶν ἐθαύμασε. καὶ ὁ μὲν πρεσβύτατος τῶν σοφι-
στῶν, ὅτου ὁμιληταὶ οἱ ἄλλοι ἦσαν, Δάνδαμις ὄνομα,
οὔτε αὐτὸς ἔφη παρ᾽ Ἀλέξανδρον ἥξειν, οὔτε τοὺς
ἄλλους εἴα· ἀλλ᾽ ἀποκρίνασθαι γὰρ λέγεται, ὡς Διὸς
υἱὸς καὶ αὐτὸς εἴη, εἴπερ οὖν καὶ Ἀλέξανδρος· καὶ B
ὅτι οὔτε δέοιτό του τῶν παρ᾽ Ἀλεξάνδρου· (ἔχειν γὰρ οἱ εὖ
τὰ παρόντα) καὶ ἅμα ὁρᾶν τοὺς ξὺν αὐτῷ πλανω-
μένους τοσαύτην γῆν καὶ θάλασσαν ἐπ᾽ ἀγαθῷ οὐ-
δενί, μήτε πέρας τι αὐτοῖς γινόμενον τῶν πολλῶν πλα-
νῶν. οὔτ᾽ οὖν ποθεῖν τι αὐτός, ὅτου κύριος ἦν Ἀλέ-
ξανδρος δοῦναι· οὔτ᾽ αὖ δεδιέναι, ὅπου κρατοίη ἐ-
κεῖνος ἔς τι εἴργεσθαι. ζῶντι μὲν γάρ οἱ τὴν Ἰνδῶν γῆν
ἐξαρκεῖν, φέρουσαν τὰ ὡραῖα· ἀποθανόντι δέ, ἀπαλ-
λαγήσεσθαι οὐκ ἐπιεικοῦς ξυνοίκου τοῦ σώματος. οὔκ-
ουν οὐδὲ Ἀλέξανδρον ἐπιχειρῆσαι βιάσασθαι, γνόντα C
ἐλεύθερον ὄντα τὸν ἄνδρα· ἀλλὰ Κάλανον γὰρ ἀναπει-
σθῆναι τῶν ταύτῃ σοφιστῶν, ὅντινα μάλιστα δὴ αὐτοῦ ἀ-
κράτορα Μεγασθένης ἀνέγραψεν· αὐτούς τε τοὺς σοφι-
στὰς λέγειν κακίζοντας τὸν Κάλανον, ὅτι ἀπολιπὼν τὴν
παρὰ σφίσιν εὐδαιμονίαν, ὁ δὲ δεσπότην ἄλλον ἢ τὸν
θεὸν ἐθεράπευε. ταῦτα ἐγὼ ἀνέγραψα, ὅτι καὶ ὑπὲρ
Καλάνου ἐχρῆν εἰπεῖν ἐν τῇ περὶ Ἀλεξάνδρου ξυγ-
γραφῇ. μαλακισθῆναι γάρ τι τῷ σώματι τὸν Κά-
λανον ἐν τῇ Περσίδι γῇ, οὔπω πρόσθεν νοσήσαντα. οὔκ-
ουν οὐδὲ δίαιταν διαιτᾶσθαι θέλειν ἀρρώστου ἀνδρός, D
ἀλλὰ εἰπεῖν γὰρ πρὸς Ἀλέξανδρον, καλῶς αὐτῷ ἔχειν
ἐν τῷ τοιῷδε καταστρέψαι, πρίν τινος ἐς πεῖραν ἐλθεῖν
παθήματος, ὅ, τιπερ ἐξαναγκάσῃ αὐτὸν μεταβάλλειν
τὴν πρόσθεν δίαιταν. καὶ Ἀλέξανδρον ἀντειπεῖν μὲν
αὐτῷ ἐπιπολύ· ὡς δὲ οὐχ ὑφησόμενον ἑώρα, ἀλλὰ
ἄλλως ἂν ἀπαλλαγέντα, εἰ μή τις ταύτῃ ὑπείκοι· οὕ-
τω δὴ ἀπήγγελλεν αὐτὸς κελεῦσαι ἀφθῆναι αὐτῷ
πυράν, καὶ ταύτης ἐπιμεληθῆναι Πτολεμαῖον τὸν Λά-
γου τὸν σωματοφύλακα. οἱ δὲ καὶ πομπήν τινα προπομ-
πεῦσαι καὶ αὐτῷ λέγουσιν ἵππους τε καὶ ἄνδρας, τοὺς μὲν E
ὡπλισμένους, τοὺς δὲ θυμιάματα παντοῖα τῇ πυρᾷ ἐ-
πιφέροντας. οἱ δὲ καὶ ἐκπώματα χρυσᾶ καὶ ἀργυ-
ρᾶ, καὶ ἐσθῆτα βασιλικὴν λέγουσιν ὅτι ἔφερον. αὐ-
τῷ δὲ παρασκευασθῆναι μὲν ἵππον, ὅτι βαδίσαι ἀ-
δυνάτως εἶχεν ὑπὸ τῆς νόσου· οὐ μὴν δυνηθῆναί γε
οὐδὲ τοῦ ἵππου ἐπιβῆναι, ἀλλὰ ἐπὶ κλίνης γὰρ κομι-
σθῆναι φερόμενον, ἐστεφανωμένον τε τῷ Ἰνδῶν νό-
μῳ, καὶ ᾄδοντα τῇ Ἰνδῶν γλώσσῃ. οἱ δὲ Ἰνδοὶ λέγου-
σιν ὅτι ὕμνοι θεῶν ἦσαν καὶ αὐτοὶ οἱ ἔπαινοι. καὶ τὸν μὲν
ἵππον τοῦτον ὅτου ἐπιβήσεσθαι ἔμελλε (βασιλικὸν ὄν- F
τα τῶν Νυσαίων) πρὶν ἀναβῆναι ἐπὶ τὴν πυράν, Λυ-
σιμάχῳ χαρίσασθαι, τῶν τινι θεραπευόντων αὐτὸν
ἐπὶ σοφίᾳ· τῶν δὲ δὴ ἐκπωμάτων ἢ στρωμάτων ὅσα ἐμ-
βληθῆναι εἰς τὴν πυρὰν κόσμον αὐτῷ τετάχει Ἀλέξαν-
δρος, ἄλλα ἄλλοις δοῦναι τῶν ἀμφ᾽ αὐτόν. οὕτω δὴ
ἐπιβάντα τῇ πυρᾷ, κατακλιθῆναι μὲν ἐν κόσμῳ,
ὁρᾶσθαι δὲ πρὸς τῆς στρατιᾶς ξυμπάσης. Ἀλεξάνδρῳ
δὲ οὐκ ἐπιεικὲς φανῆναι τὸ θέαμα, ἐπὶ φίλῳ ἀνδρὶ

A cedere iuſſit, ne obiectu corporũ ſolis calorẽ interciperẽt. Ita nõ planè alienus erat ab optimarũ rerũ cõſideratione, ſed gloriæ cupiditas tranſuerſum eum rapiebat. Nã & quũ ad Taxilã vrbẽ veniſſet, Indorũ ſapiẽtes nudos conſpicatus, aliquẽ eorũ ſibi adiungi optabat, incredibilẽ in eis laborũ tolerãtiam admiratus. At qui inter illos ſapientes erat natu maximus, cuius reliqui ſectatores erãt, Dandamis nomine, reſpõdit, neque ſe ad Alexandrũ venturũ, neque aliis vt irent permiſſurũ. ſe enim etiã Iouis filiũ eſſe, perinde B atque Alexãder. neque vlla re ab Alexãdro egere: iis enim quæ haberet contentũ eſſe. Addidit præterea videre ſe, iis qui vnà cũ eo tantũ terrarũ ac maris peruagati eſſent, nihil boni propoſitũ eſſe, neque vllum erroribus eorũ finẽ ſtatui. Nihil itaque ſe expetere eorum quæ Alexãder largiri poſſet: ſed nec timere quidẽ ne iis quæ ipſe poſſideret prohiberetur. Quãdiu enim viueret, Indorũ regionem tẽpeſtiuos ſtatis anni partibus fructus ferentẽ ipſi ſufficere: quũ verò mori cõtinge- C ret, ſe à corpore vt ſocio nõ ſatis æquo diſceſſurum. Quę quũ audiſſet Alexãder, noluit inuitũ cogere, ꝙ liberũ hominẽ eſſe intelligeret: Calano tamẽ perſuaſiſſe, vni ex ſapientum numero: quẽ quidẽ incõtinentẽ fuiſſe Megaſthenes ſcribit: reliquóſq; ſapiẽtes iudicaſſe perperã id à Calano factũ fuiſſe, ꝙ relicta felicitate quam ſeſe cõſecutos cẽſebãt, aliũ dominũ quàm Deũ coleret. Atque hæc quidẽ cõmemoraui, quoniã & Calani mentionẽ fieri oportebat in hiſtoria Alexandri. D Is nãque quũ in Perſide corpore eſſet imbecillo, qui nunquã antea æger fuerat, nõ patiebatur ſe ad ægrotantiũ regulã ac diętã curari: quin potius Alexandro dicebat, præclarè ſecũ agi, quòd in eo ſtatu mori ſibi cõtingeret, priuſquam aliquod incõmodum experiretur, quod priſtinã viuẽdi rationẽ immutare cogeret: Alexãder cõtrà eius ſentẽtię acriter reluctabatur. Quũ verò ab inſtituto deduci non poſſe cerneret, ſed aliud genus mortis quæſiturũ, niſi iſtud ei cõcederetur, crederet, rogũ ei, vt petierat, accẽdi iuſſit: e- E iúſq; rei negotiũ dat Ptolemæo Lagi F. corporis cuſtodi. Sũt qui aſſerãt pompã etiã ab Alexãdro pręmiſſam fuiſſe, equóſq; & viros, alios quidẽ armatos, alios varij generis odoramẽta in rogũ cõgeſſiſſe: alij pocula aurea & argentea, atque adeò veſtẽ regiã illatam aiunt. Ipſi verò, ꝙ præ morbo incedere non poſſet, equũ adductũ fuiſſe. quĩmo; ne equũ quidẽ cõſcendere poſſet, lectica vectũ, atque Indico more coronatũ fuiſſe, hymnos patria lingua canẽtẽ: quos quidẽ Indi ipſi laudes deorũ continere dicebãt. Porro equũ quem F fuerat inſceſurus (erat autẽ regius, ex genere Nyſæorũ) priuſquã in rogũ ſe immitteret, Lyſimacho cuidã, qui eum ſapiẽtiæ nomine obſeruarat ac coluerat, dedit. Pocula verò & ſtragula quę Alexander ornandi eius cauſa in rogũ cõiici iuſſerat, aliis atque aliis qui ei aderant diſtributa ſunt. Dehinc conſcenſo rogo decorè ſe reclinaſſe in cõſpectu totius exercitus. Alexander indecorum cenſuit ſpectaculo intereſſe, quòd amicus eſſet:

reliquis ſummæ admirationi fuit, in mediis flammis corpus non mouens. Simulac verò lj quibus id negotij datum erat ignem rogo immiſerũt, tubas clanxiſſe Nearchus tradit, (ita enim ab Alexandro imperatum erat) vniuerſúmque exercitum clamores ſuſtuliſſe, perinde atque quum prælium inire conſueuit: elephantos etiam ingentem quendam bellicúmque fremitum edidiſſe, Calanum cohoneſtantes. Hæc aliáque huiuſcemodi autores fide digni de Calano conſcripſere, non inutilia quidem hominibus quibus curæ eſt intelligere, quàm fortis atque inuictus ſit humanus animus, ſi aliquid ſibi firmiter proponat.

Poſt hæc Alexander Atropatem in ſatrapatum ſuum mittit, ipſe Suſa proficiſcitur. Abulitem eiúſque filium Oxathrem, quòd res Suſiorum non rectè adminiſtrarant, comprehenſos necauit. Multa porrò flagitia admiſſa erant ab iis qui regiones ab Alexãdro debellatas adminiſtrabãt, cùm in templa & ſepulcra, tum in ſubditos ipſos. Diuturna enim regis in Indos expeditio fore videbatur: neque veriſimile eis fiebat eum ex tot gentibus tótque elephantis ſoſpitem rediturum, ſed trans Indum, Hydaſpem, Aceſinem, atque Hyphaſim interiturum. Calamitas etiam illa quæ exercitui apud Gadroſios acciderat, ſatrapas illius regionis magis extimularat, vt de ipſius reditu omnem cogitationem deponerent. Porro Alexãder pronior iam ad fidem delationibus adhibendã factus erat, atrocibúſque ſuppliciis leuiter etiam delinquentes afficiebat, quippe quos maiora delicta animo agitaſſe cogitabat. Poſthæc ad nuptias & ſuas & amicorum in Suſis celebrandas animum conuertit: atque ipſe quidem Barſinem ex Darij filiabus natu maximam vxorem duxit, & præter hanc aliam (vt Ariſtobulus tradit) Paryſatin, ex filiabus Ochi natu minimam: ſed & antea Roxanem Oxyartis Bactrij filiam duxerat. Drypetim, Darij filiam, vxoriſque ſuę ſororẽ Hephæſtioni dat. (volebat enim Hephæſtionis liberos ſibi conſobrinos eſſe) Cratero Amaſtrinẽ Oxyartis Darij fratris filiam: Perdiccæ, Atropatis Medorum ſatrapæ filiã: Ptolemæo corporis cuſtodi, atque Eumeni ſcribæ regio, Artabazi filias: illi quidem Artacamam, huic verò Artonim: Nearcho Spitamenis Bactrij filiam dedit, atque ita reliquis etiam amicis Perſarum ac Medorum illuſtrium filias LXXX matrimonio copulauit. Nuptiæ Perſico more celebratæ ſunt. ſedilia ex ordine iis poſita erãt qui vxores ducturi erant, & poſt conuiuium ſponſæ adductæ ſingulæ ſuis ſponſis aſſederunt, qui mox dextris datis oſculo eas exceperunt, initio à rege facto. cunctorum enim nuptiæ ſimul agebantur. quod quidem, ſiquid aliud, populariter atque amicè ab Alexandro factum eſſe iudicabatur. Sponſi ſua quiſque ſponſa accepta receſſerunt: Alexãder dotes omnibus contulit. Nomina prætereà reliquorum Macedonum qui Aſiaticas vxores duxiſſent conſcribi iuſſit. numerus decẽ millium fuit:

A γιγνόμενον· ἀλλὰ τοῖς γὰρ ἄλλοις θαῦμα παρασχέσθαι, οὐδέν τι παρακινήσαντος ἐν τῷ πυρὶ τοῦ σώματος. ὡς δὲ τὸ πῦρ ἐς τὴν πυρὰν ἐνέβαλον οἷς προστεταγμένον ἦν, τάς τε σάλπιγγας φθέγξασθαι λέγει Νέαρχος (οὕτως ὑπ' Ἀλεξάνδρου προστεταγμένον) καὶ τὴν στρατιὰν ἐπαλαλάξαι πᾶσαν, ὁποῖόν τι καὶ ἐς τὰς μάχας ἰοῦσα ἐπηλάλαζε· καὶ τοὺς ἐλέφαντας συνεπηχῆσαι τὸ ὀξὺ καὶ πολεμικὸν, τιμῶντας Κάλανον. ταῦτα καὶ τοιαῦτα ὑπὲρ Καλάνου τοῦ Ἰνδοῦ ἱκανοὶ ἀναγεγράφασιν, οὐκ ἀχρεῖα πάντα ἐς ἀνθρώπους, ὅτῳ γνῶναι
B ἐπιμελὲς, ὅτι ὡς καρτερόν τι ἐστὶ καὶ ἀνίκητον γνώμη ἀνθρωπίνη ὅ, τι περ ἐθέλοι ἐξεργάσασθαι.

Ἐν τούτῳ δὲ Ἀλέξανδρος Ἀτροπάτην μὲν ἐπὶ τὴν αὐτοῦ σατραπείαν ἐκπέμπει, παρελθὼν ἐς Σοῦσα· Ἀβουλίτην δὲ καὶ τὸν τούτου παῖδα Ὀξάθρην, ὅτι κακῶς ἐπεμελεῖτο τῶν Σουσίων, συλλαβὼν ἀπέκτεινε. πολλὰ μὲν δὴ πεπλημμέλητο ἐκ τῶν κατεχόντων τὰς χώρας ὅσαι δορύκτητοι πρὸς Ἀλεξάνδρου ἐγένοντο, ἔς τε τὰ ἱερὰ καὶ τάφους, καὶ αὐτοὺς τοὺς ὑπηκόους· ὅτι χρόνιος ὁ εἰς Ἰνδοὺς στόλος ἐγεγόνει τῷ βασιλεῖ, καὶ οὐ πιστὸν ἐφαίνετο ἀπονοστήσειν αὐτὸν ἐκ τοσῶνδε ἐθνῶν,
C καὶ τοσῶνδε ἐλεφάντων, ὑπὲρ τὸν Ἰνδόν τε καὶ Ὑδάσπην, καὶ τὸν Ἀκεσίνην καὶ Ὕφασιν, φθειρόμενον. καὶ αἱ ἐν Γαδρωσίοις δὲ αὐτῷ ξυμφοραὶ ξυνενεχθεῖσαι ἔτι μᾶλλον ἐπῆραν τοὺς ἐν ταύτῃ σατραπεύοντας, καὶ καταφρονῆσαι αὐτοῦ τῆς οἴκοι ἀπονοστήσεως. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς Ἀλέξανδρος ὀξύτερος λέγεται γενέσθαι ἐν τῷ τότε ἐς τὸ πιστεῦσαί τε τοῖς ἐπικαλουμένοις, ὡς πιθανοῖς δὴ ἐν παντὶ οὖσι· καὶ ἐπὶ τὸ τιμωρήσασθαι μεγάλως τοὺς ἐπὶ μικροῖς ἐξελεγχθέντας, ὅτι καὶ
D τὰ μεγάλα ἂν ἐδόκουν αὐτῷ τῇ αὐτῇ γνώμῃ ἐξεργάσασθαι. ὁ δὲ καὶ γάμους ἐποίησεν ἐν Σούσοις ἑαυτοῦ τε καὶ τῶν ἑταίρων· αὐτὸς μὲν τῶν Δαρείου θυγατέρων τὴν πρεσβυτάτην Βαρσίνην ἠγάγετο. ὡς δὲ λέγει Ἀριστόβουλος, καὶ ἄλλην πρὸς ταύτῃ τῶν Ὤχου θυγατέρων τὴν νεωτάτην Παρύσατιν· ἤδη δὲ ἦν αὐτῷ ἠγμένη καὶ ἡ Ὀξυάρτου τοῦ Βακτρίου παῖς Ῥωξάνη· Δρύπετιν δὲ Ἡφαιστίωνι δίδωσι, Δαρείου παῖδα, καὶ ταύτην ἀδελφὴν τῆς αὐτοῦ γυναικός (ἐθέλειν γάρ οἱ ἀνεψιοὺς τῶν παίδων γενέσθαι τοὺς Ἡφαιστίω-
E νος παῖδας) Κρατερῷ δὲ Ἀμάστρινην, τὴν Ὀξυάρτου τοῦ Δαρείου ἀδελφοῦ παῖδα· Περδίκκᾳ δὲ τὴν Ἀτροπάτου τοῦ Μηδίας σατράπου παῖδα ἔδωκε· Πτολεμαίῳ δὲ τῷ σωματοφύλακι, καὶ Εὐμενεῖ τῷ γραμματεῖ τῷ βασιλικῷ, τὰς Ἀρταβάζου παῖδας· τῷ μὲν Ἀρτακάμαν, τῷ δὲ Ἀρτώνιν· Νεάρχῳ δὲ τὴν Σπιταμένους τοῦ Βακτρίου παῖδα. ὡσαύτως δὲ καὶ τοῖς ἄλλοις ἑταίροις τὰς δοκιμωτάτας Περσῶν τε καὶ Μήδων παῖδας, ἐς ὀγδοήκοντα. οἱ γάμοι δὲ ἐποιήθησαν νόμῳ τῷ Περσικῷ· θρόνοι ἐτέθησαν τοῖς νυμφίοις ἐφε-
F ξῆς, καὶ μετὰ τὸν πότον ἧκον αἱ γαμούμεναι, καὶ παρεκαθέζοντο ἑκάστη τῷ ἑαυτῆς. οἱ δὲ ἐδεξιώσαντό τε αὐτὰς καὶ ἐφίλησαν· πρῶτος δὲ ὁ βασιλεὺς ἦρξεν. ἐν τῷ αὐτῷ γὰρ πάντων ἐγίγνοντο οἱ γάμοι. καὶ τοῦτο, εἴπερ τι ἄλλο, ἔδοξε δημοτικόν τε καὶ φιλέταιρον πρᾶξαι Ἀλέξανδρος. οἱ δὲ παραλαβόντες ἀπῆγον τὴν ἑαυτοῦ ἕκαστος· προῖκας δὲ ξυμπάσαις ἐπέδωκεν Ἀλέξανδρος. καὶ ὅσοι δὲ ἄλλοι ἠγμένοι ἦσαν Μακεδόνες τῶν Ἀσιανῶν τινας γυναικῶν, ἀπογραφῆναι ἐκέλευσε καὶ τούτων τὰ ὀνόματα, καὶ ἐγένοντο ὑπὲρ τοὺς μυρίους·

A καὶ τούτοις δωρεαὶ Ἀλεξάνδρου ἐδόθησαν ἐπὶ τοῖς γάμοις. καὶ τὰ χρέα ἐπιλύσασθαι τῆς στρατιᾶς ὅσοις χρέα ἦν, ἐν καιρῷ οἱ ἔδοξε. καὶ κελεύει ἀπογράφεσθαι ὁπόσον ὀφείλει ἕκαστος, ὡς ληψομένους. καὶ τὰ μὲν πρῶτα ὀλίγοι ἀπέγραψαν σφῶν τὰ ὀνόματα, δεδιότες ἐξ Ἀλεξάνδρου μὴ πεῖρα αὕτη εἴη καθειμένη, ὅτῳ οὐκ ἀποχρῶσα ἡ μισθοφορὰ τῶν στρατιωτῶν ἐστι, καὶ ὅτῳ πολυτελὴς ἡ δίαιτα. ὡς δὲ ἐξήγγελτο ὅτι οὐκ ἀπογράφουσι σφᾶς οἱ πολλοὶ, ἀλλ' ἐπικρύπτουσιν ὅτῳ τι εἴη συμβόλαιον, τὴν μὲν ἀπιστίαν τῶν στρατιωτῶν ἐκάκισεν· B (οὐ γὰρ χρῆναι οὔτ' οὖν τὸν βασιλέα ἄλλό τι ἢ ἀληθεύειν πρὸς τοὺς ὑπηκόους, οὔτε τῶν ἀρχομένων τινὰ ἄλλό τι ἢ ἀληθεύειν δοκεῖν τὸν βασιλέα) καταθεὶς δὲ τραπέζας ἐν τῷ στρατοπέδῳ, καὶ ἐπὶ τούτων χρυσίον, καὶ τοὺς ἐπιμελησομένους τῆς δόσεως ἑκάστοις, ὅστις συμβόλαιον ἐπεδείκνυτο, ἐπιλύεσθαι τὰ χρέα ἐκέλευεν, οὐκ ἀπογραφομένους ἔτι τὰ ὀνόματα. καὶ οὕτω δὴ ἐπίστευσάν τε ἀληθεύειν Ἀλέξανδρον· καὶ σὺν χάριτι μείζονι ἐγίγνετο αὐτοῖς τὸ μὴ γνωσθῆναι μᾶλλόν τι, ἢ τὸ παύσασθαι ὀφείλοντας. C λέγεται δὲ γενέσθαι ἡ δόσις αὕτη τῇ στρατιᾷ ἐς τάλαντα δισμύρια. ἔδωκε δὲ καὶ δῶρα ἄλλοις ἄλλα, ὅπως τις κατ' ἀξίωσιν ἐτιμᾶτο, ἢ κατ' ἀρετήν, εἴ τις ἐπιφανὴς ἐγεγένει ἐν τοῖς κινδύνοις. καὶ ἐστεφάνωσε χρυσοῖς στεφάνοις τοὺς ἀνδραγαθίᾳ διαπρέποντας· πρῶτον μὲν Πευκέσταν τὸν ὑπερασπίσαντα· ἔπειτα Λεοννάτον, καὶ τοῦτον ὑπερασπίσαντα, καὶ διὰ τοὺς ἐν Ἰνδοῖς κινδύνους, καὶ τὴν ἐν Ὥροις νίκην γενομένην, ὅτι παραταξάμενος σὺν τῇ ὑπολειφθείσῃ δυνάμει πρὸς τοὺς νεωτερίζοντας τῶν τε Ὠρειτῶν καὶ τῶν πλησίον D τούτοις ᾠκισμένων, τῇ τε μάχῃ ἐκράτησε, καὶ τἆλλα καλῶς ἔδοξε τὰ ἐν Ὥροις κοσμῆσαι. ἐπὶ τούτοις δὲ Νέαρχον ἐπὶ τῷ περίπλῳ τῷ ἐκ τῆς Ἰνδῶν γῆς κατὰ τὴν μεγάλην θάλασσαν, ἐστεφάνωσε· καὶ γὰρ καὶ οὗτος ἀφιγμένος ἤδη ἐς Σοῦσα ἦν· ἐπὶ τούτοις δὲ, Ὀνησίκριτον τὸν κυβερνήτην τῆς νεὼς τῆς βασιλικῆς· ἔτι δὲ Ἡφαιστίωνα καὶ τοὺς ἄλλους σωματοφύλακας. ἧκον δὲ αὐτῷ καὶ οἱ σατράπαι, οἱ ἐκ τῶν πόλεών τε τῶν νεοκτίστων, καὶ τῆς ἄλλης γῆς τῆς δορυαλώτου, παῖδας ἡβάσκοντας ἤδη ἐς τρισμυρίους ἄγοντες, τὴν αὐτὴν E ἡλικίαν γεγονότας (οὓς καὶ ἐπιγόνους ἐκάλει Ἀλέξανδρος) κεκοσμημένους Μακεδονικοῖς ὅπλοις, καὶ τὰ πολέμια ἐς τὸν τρόπον τὸν Μακεδονικὸν ἠσκημένους. καὶ οὗτοι ἀφικόμενοι λέγονται ἀνιᾶσαι Μακεδόνας, ὡς πάντα δὴ μηχανωμένου Ἀλεξάνδρου ὑπὲρ τοῦ μηκέτι ὡσαύτως δεῖσθαι Μακεδόνων. εἶναι γὰρ οὖν καὶ Μηδικὴν τὴν Ἀλεξάνδρου στολὴν *ἄλογον οὐ σμικρὸν Μακεδόσιν ὁρωμένην. καὶ τοὺς γάμους ἐν τῷ νόμῳ τῷ Περσικῷ ποιηθέντας, οὐ πρὸς θυμοῦ γενέσθαι τοῖς πολλοῖς αὐτῶν, οὐδὲ τῶν γημάντων ἔστιν οἷς, καίτοι τῇ ἰ- F σότητι τῇ ἐς τὸν βασιλέα μεγάλως τετιμημένοις. Πευκέστας τε ὁ Περσῶν σατράπης τῇ τε σκευῇ καὶ τῇ φωνῇ Περσίζων ἐλύπει αὐτοὺς, ὅτι τῷ βαρβαρισμῷ αὐτοῦ ἔχαιρεν Ἀλέξανδρος· καὶ οἱ Βακτρίων δὲ καὶ οἱ Σογδιανῶν καὶ Ἀραχωτῶν ἱππεῖς, καὶ Ζαράγγων δὲ καὶ Ἀρείων, καὶ Παρθυαίων, καὶ ἐκ Περσῶν οἱ Εὐάκαι καλούμενοι ἱππεῖς, καταλοχισθέντες εἰς τὴν ἵππον τὴν ἑταιρικήν,

& his etiam ſponſalia munera ab Alexãdrõ data ſunt. Ad hæc opportunum ei viſum eſt quidquid æris alieni milites conflauerant diſſoluere. Quũmque quantum quiſque deberet ad ſe referri iuſſiſſet, vt pecuniam acciperent, initio quidem pauci n. mina ſua conſcribi paſſi ſunt, veriti ne Alexander id eo cõſilij faceret, vt exploraret quibus militib[9] ob immoderatos ſumptus quos facerẽt ſtipendium non ſufficeret: poſteaquam verò renũtiatum ei eſt pleroſque nomina dare nolle, ſed ſuas vnumquenq; rationes & contractus occultare, militum diffidentiam reprehendit (dicens non debere regem erga ſubditos ſuos alium quàm veracem eſſe, neque quenquam ſubditorum aliter affectũ eſſe debere, quàm vt regem veracem eſſe credat) deinde menſis per caſtra diſpoſitis, pecuniáque iis impoſita, & conſtitutis qui largitionem illam adminiſtrarent, omnium qui rationes contractúſque ſuos adferrent nomina diſſolui iuſſit, ne nominibus quidem debitorum conſcriptis: ac tum demum veracem Alexandrum crediderunt, gratiúſque eis accidit ignorari nomina, quàm debito liberari. Ea largitio exercitui facta XX M talentũm fuiſſe dicitur. Ad hæc alia aliis pro vniuſcuiuſq; dignitate dona dedit, aut pro virtute qua quis in periculis eminuiſſet. Eos verò qui præclarum aliquod facinus edidiſſent aureis coronis donauit. ac primùm quidem Peuceſtam qui ſcuto eum protexerat: deinde Leonnatum, qui etiam eum propugnarat, & ob pericula apud Indos adita, & victoriam apud Oros partam, quódq; cum copiis ſuis in aciem progreſſus, Oritarum iiſque finitimorum populorum motus defectionémque compeſcuiſſet & pręlio ſuperaſſet, multáque alia apud Oros præclarè geſſiſſet. Dehinc Nearchum, quòd claſſem ex Indorum regione in Oceanum duxiſſet, coronauit. nam & hic iam Suſa peruenerat. Poſt hunc Oneſicritum gubernatorem nauis regiæ: deinde Hephæſtionem alióſque corporis cuſtodes. Poſt hæc ſatrapæ nouarũ vrbium abs ſe conditarum, aliarúmque prouinciarum quas debellarat, ad Alexandrum venerunt, XXX M adoleſcentum pubeſcentium & æqualium ducentes, (quos Alexander Epigonos ſiue *poſteros ſuos vocabat) omnes Macedonicis armis inſtructos, & ad militiã Macedonico more exercitatos. Horum aduentũ Macedones ægrè tuliſſe dicuntur, vtpote machinante omnibus modis Alexandro, ne in poſterum perinde Macedonibus egeret. Improbari enim eis vehementer, quòd ſtola Medica Alexandrum indutũ cernerẽt: quódque nuptiæ Perſico more celebratæ eſſent, multis etiam eorum qui vxores duxerant diſplicuiſſe: tametſi æqualitate ac ſocietate regiarum nuptiarum vehementer cohoneſtati fuiſſent. Malè etiam eos habebat, quòd Peuceſtas Perſarum ſatrapa cultu ipſo atque ſermone Perſizaret, quódque Alexãder barbarica illa affectatione delectaretur. præterea ꝙ Bactriani, Sogdiani, Arachoti, Zarangi, Arij, Parthi, & qui ex Perſis Euacæ vocantur equites, amicorum equitatui accenſi

Fac. Succeſſores.

Vet.cod. ἄλγος.

permiſtiq; eſſent, quotquot dignitate aut corporis præſtãtia aut virtute aliqua præditi iudicarentur. adhæc quòd quinta equitum præfectura acceſſiſſet, nõ quidem tota ſolis barbaris conſtans, ſed quòd vniuerſo equitatu aucto, nõnulli barbari in eam admiſsi eſſent. atque agemati quidem accenſi fuiſſent Cophes Artabazi F. Hydarnes, Artiboles, Mazæi filij, Phradaſmenes, & Phrataphernis Parthorum atque Hyrcaniæ ſatrapæ filij: Itanes Oxyartis filius, & Roxanes Alexandri vxoris frater: Aegobares, eiuſq; frater Mithrobæus: quódque horum dux eſſet Hydaſpes Bactrianus. & quòd his Macedonicæ haſtæ loco barbaricorum iaculorum datæ eſſent. Hęc omnia Macedones periniquo animo ferebant, quòd Alexander in barbaricos planè mores abire videretur, Macedonum verò inſtituta ipſóſq; adeò Macedones deſpectui haberet. Poſt hæc Alexander pedeſtris exercitus maiorem partem Hephæſtioni in Perſicum mare ducendam cõmittit. Ipſe verò claſſe in Suſiorum regionem appulſa, cõſcenſis nauibus cũ argyraſpidibus & agemate, ac parte equitum amicorum per Eulæum amnem ad mare nauigauit. Quúmque iam non procul ab oſtiis quibus in mare fertur abeſſet, pleriſq; nauibus atque iis quæ quaſſatæ erant ibi relictis, ipſe cum velocioribus ab Eulæo amne per mare ad Tigritis oſtia contendit. reliquæ naues per Eulæum aductę in alueum qui ex Tigrite in Eulæum amnem ducitur, in Tigrim deuectæ ſunt. Nam ex duobus fluuiis, Euphrate nimirum & Tigri, qui Aſſyriam interiectam terminant (vnde & Meſopotamia ab indigenis vocata eſt) Tigris quidem Euphrate multò humilior multos alueos ex Euphrate in ſe recipit: multos etiã alios fluuios admittens, & ex eis auctus in pontum Perſicum fertur: magnus ipſe, neque vſquam ad oſtium maris vſque vado tranſmeabilis, quandoquidem nihil ex eo flumine in terram diffunditur quod eius profunditatẽ imminuat. Eſt enim ea parte terra altior quàm aqua. neque hic fluuius in alios alueos aut alia flumina diffunditur, ſed potius in ſe recipit: terram verò ipſe non irrigat. At Euphrates per altiora loca labitur, & paſsim ſuis aquis terræ quam alluit altitudinem exæquat, multíque ex eo aluei deriuantur: alij quidem perennes, ex quibus vtriuſque ripæ accolæ aquam petunt, alij certo tempore fiunt, quum aquæ ad irrigandam terram inopia premuntur (rarò enim iis in locis imbres è cœlo cadunt) quò fit vt in aquam non omnino magnam, & vadoſam alioqui, Euphrates deſinat. Alexander circumuectus mari, quidquid ſpatij inter Eulæum amnem & Tigrim Perſici ſinus littus continet, per Tigrim ad caſtra nauigauit, vbi Hephæſtion cum omnibus copiis conſederat. Inde rurſus Opim, vrbem ad Tigrim ſitam profectus eſt, atq; inter nauigandum cataractas omnes tolli amnémque exęquari iubet. quas quidem cataractas Perſæ confecerant, ne quis è mari nauali claſſe in

A ὅσοι αὐτῶν κατ᾽ ἀξίωσιν καὶ κάλλει τοῦ σώματος ἢ τῇ ἄλλῃ ἀρετῇ ὑπερφαίνοντες ἐφαίνοντο· καὶ πέμπτη ἐπὶ τούτοις ἱππαρχία προσγινομένη, οὐ βαρβαρικὴ ἡ πᾶσα, ἀλλὰ ἐπαυξηθέντος γὰρ τοῦ παντὸς ἱππικοῦ, κατελέγησαν ἐς αὐτὸ τῶν βαρβάρων· τῷ, τε ἀγήματι προσκαταλεγέντες Κώφης τε ὁ Ἀρταβάζου, καὶ Ὑδάρνης καὶ Ἀρτιβόλης, οἱ Μαζαίου· καὶ Φραδασμένης, καὶ οἱ Φραταφέρνου τοῦ Παρθυαίων καὶ Ὑρκανίας σατράπου παῖδες· καὶ Ἰτάνης Ὀξυάρτου μὲν παῖς, Ῥωξάνης δὲ τῆς γυναικὸς Ἀλεξάνδρου ἀδελφός· καὶ Αἰγοβάρης, καὶ ὁ τούτου ἀδελφὸς Μιθροβαῖος· καὶ ἡγε- B μὼν ἐπὶ τούτοις ἐπισταθεὶς Ὑδάσπης ὁ Βάκτριος. καὶ τούτοις δόρατα Μακεδονικὰ ἀντὶ τῶν βαρβαρικῶν μεσαγκύλων δοθέντα. ταῦτα πάντα ἐλύπει τοὺς Μακεδόνας, ὡς πάντῃ δὴ βαρβαρίζοντος τῇ γνώμῃ Ἀλεξάνδρου, τὰ δὲ Μακεδονικὰ νόμιμά τε καὶ αὐτοὺς Μακεδόνας ἐν ἀτίμῳ χώρᾳ ἄγοντος. Ἀλέξανδρος δὲ τῆς μὲν πεζῆς στρατιᾶς τὴν πολλὴν Ἡφαιστίωνα ἄγειν ἐκέλευεν ἔστε ἐπὶ τὴν θάλασσαν τὴν Περσικήν· αὐτὸς δὲ, ἀναπλευσάσης αὐτῷ τοῦ ναυτικοῦ ἐς τὴν Σου- C σίαν γῆν, ἐπιβὰς τῶν νεῶν ξὺν τοῖς ὑπασπισταῖς τε καὶ τῷ ἀγήματι, καὶ τῶν ἱππέων τῶν ἑταίρων ἀναβιβασάμενος οὐ πολλούς, κατέπλει κατὰ τὸν Εὐλαῖον ποταμὸν ὡς ἐπὶ θάλασσαν. ἤδη δὲ πλησίον ὢν τῆς ἐκβολῆς τῆς ἐς τὸν πόντον, τὰς μὲν πλείονάς τε καὶ πεπονηκυίας τῶν νεῶν καταλείπει αὐτοῦ· αὐτὸς δὲ ταῖς μάλιστα ταχυναυτούσαις παρέπλει ἀπὸ τοῦ Εὐλαίου ποταμοῦ κατὰ τὴν θάλασσαν, ὡς ἐπὶ τὰς ἐκβολὰς τοῦ Τίγρητος. αἱ δὲ ἄλλαι αὐτῷ νῆες ἀνακομισθεῖσαι κατὰ τὸν Εὐλαῖον ἔστ᾽ ἐπὶ τὴν διώρυχα ἣ τέτμηται ἐκ τοῦ Τίγρητος ἐς τὸν Εὐλαῖον, ταύτῃ διεκομίσθησαν ἐς τὸν Τίγρητα. τῶν γὰρ δὴ ποταμῶν τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγρη- D τος, οἳ τὴν μέσην σφῶν Ἀσσυρίαν ἀπείργουσιν (ὅθεν καὶ τὸ ὄνομα Μεσοποταμία πρὸς τῶν ἐπιχωρίων κλήζεται) ὁ μὲν Τίγρης πολύ τι ταπεινότερος ῥέων τοῦ Εὐφράτου, διώρυχάς τε πολλὰς ἐκ τοῦ Εὐφράτου ἐς αὐτὸν δέχεται, καὶ πολλοὺς ἄλλους ποταμοὺς συλλαβών, καὶ ἐξ αὐτῶν αὐξηθεὶς ἐσβάλλει ἐς τὸν πόντον τὸν Περσικόν, μέγας τε καὶ οὐδαμοῦ διαβατὸς ἔστε ἐπὶ τὴν ἐκβολήν, καθότι οὐ καταναλίσκεται αὐτοῦ οὐδὲν ἐς τὴν χώραν. ἔστι γὰρ μετεωροτέρα ἡ ταύτῃ γῆ τοῦ ὕδατος· οὐδὲ ἐκδίδωσιν οὗτος κατὰ τὰς διώρυχας, οὐδὲ ἐς ἄλλον ποταμόν, ἀλλὰ δέχε- E ται γὰρ ἐκείνους μᾶλλον· ἀρδεύεσθαί τε ἀφ᾽ αὐτοῦ τὴν χώραν οὐδαμῇ παρέχει. ὁ δὲ Εὐφράτης μετέωρός τε ῥεῖ καὶ ἰσοχείλης πανταχῇ τῇ γῇ, καὶ διώρυχές τε πολλαὶ ἀπ᾽ αὐτοῦ πεποίηνται· αἱ μὲν ἀέναοι, ἀφ᾽ ὧν ὑδρεύονται οἱ παρ᾽ ἑκάτερα ᾠκισμένοι· τὰς δὲ καὶ πρὸς καιρὸν ποιοῦνται, ὁπότε σφίσιν ὕδατος ἐνδεῶς ἔχοι, ἐς τὸ ἐπάρδειν τὴν χώραν (οὐ γὰρ ὕεται τὸ πολὺ ἡ γῆ αὕτη ἐξ οὐρανοῦ) καὶ οὕτως ἐς οὐ πολὺ ὕδωρ ὁ Εὐφράτης τελευτῶν, καὶ τεναγῶδες ἐς τοῦτο, οὕτως ἀποπαύεται. Ἀλέξανδρος δὲ περιπλεύσας κατὰ τὴν θάλασσαν, ὅσον μεταξὺ τοῦ τε F Εὐλαίου ποταμοῦ καὶ τοῦ Τίγρητος ἐπεῖχεν ὁ αἰγιαλὸς τοῦ κόλπου τοῦ Περσικοῦ, ἀνέπλει κατὰ τὸν Τίγρητα ἔστε ἐπὶ τὸ στρατόπεδον, ἵνα Ἡφαιστίων αὐτῷ τὴν δύναμιν πᾶσαν ἔχων ἐστρατοπεδεύκει. ἐκεῖθεν δὲ αὖθις ἔπλει ἐς Ὦπιν, πόλιν ἐπὶ τοῦ Τίγρητος ᾠκισμένην. ἐν δὲ τῷ ἀνάπλῳ, τοὺς καταρράκτας τοὺς κατὰ τὸν ποταμὸν ἀφανίζων, ὁμαλὸν πάντῃ ἐποίει τὸν ῥοῦν· οἳ δὴ ἐκ Περσῶν πεποιημένοι ἦσαν, τοῦ μή τινα ἀπὸ θαλάσσης ἀνα-

πλεῦσαι εἰς τὴν χώραν αὐτῶν νηΐτῃ στόλῳ κρατήσοντα. ταῦτα δὲ μεμηχάνητο ἅτε δὴ οὐ ναυτικοῖς τοῖς Πέρσαις. οὕτω δὴ συνεχεῖς οἱ καταῤῥάκται πεποιημένοι ἄπορον τὸν ἀνάπλουν ἐποίουν τὸν κατὰ τὸν Τίγρητα. Ἀλέξανδρος δὲ οὐκ ἔφη τῶν κρατούντων τοῖς ὅπλοις εἶναι τὰ τοιαῦτα σοφίσματα. οὔκουν πρὸς αὐτοῦ ἐποιεῖτο ταύτην τὴν ἀσφάλειαν, ἣν ἔργῳ οὐδὲ λόγου ἀξίαν ἀπέφηνε, οὐ χαλεπῶς διαλύσας τῶν Περσῶν τὰ σπουδάσματα. ὡς δὲ ἐς τὴν Ὦπιν ἀφίκετο, ξυναγαγὼν τοὺς Μακεδόνας, προεῖπεν ὅτι τοὺς ὑπὸ γήρως ἢ πηρώσεως τοῦ σώματος ἀχρείους ἐς τὰ πολέμια ὄντας, παραλύει μὲν τῆς στρατιᾶς, ἀποπέμπει δὲ ἐς τὰ σφέτερα ἤθη· ἐπιδώσει δὲ μένουσιν, ὅσα αὐτούς τε ζηλωτοτέρους ποιήσει τοῖς οἴκοι, καὶ τοὺς ἄλλους Μακεδόνας ἐξορμήσει ἐς τὸ θέλειν τῶν αὐτῶν κινδύνων τε καὶ πόνων μετέχειν. Ἀλέξανδρος μὲν, ὡς χαριούμενος δῆθεν τοῖς Μακεδόσι, ταῦτα ἔλεγεν· οἱ δὲ, ὡς ὑπεροφώμενοί τε ἤδη πρὸς Ἀλεξάνδρου, καὶ ἀχρεῖοι πάντῃ ἐς τὰ πολέμια νομιζόμενοι, οὐκ ἀλόγως αὖ τῷ λόγῳ ἠχθέσθησαν τῷ πρὸς Ἀλεξάνδρου λεχθέντι κατὰ τὴν στρατιὰν ταύτην πᾶσαν· πολλοῖς καὶ ἄλλοις ἀχθεσθέντες, ὅτι πολλάκις ἤδη ἐλύπει αὐτοὺς ἥ, τε ἐσθὴς ἡ Περσικὴ ἐς τοῦτο φέρουσα, καὶ τῶν Ἐπιγόνων τῶν βαρβάρων τὰ Μακεδονικὰ ἤθη κόσμησις καὶ ἀνάμιξις τῶν ἀλλοφύλων ἱππέων ἐς τὰς τῶν ἑταίρων τάξεις. οὔκουν σιγῇ ἔχοντες ἐκαρτέρησαν, ἀλλὰ πάντας γὰρ ἀπαλλάττειν τῆς στρατιᾶς ἐκέλευον, αὐτὸν δὲ μετὰ τοῦ πατρὸς στρατεύεσθαι· τὸν Ἄμμωνα δὴ τῷ λόγῳ ἐπικερτομοῦντες. ταῦτα ἀκούσας Ἀλέξανδρος (ἦν γὰρ δὴ ὀξύτερός τε ἐν τῷ τότε, καὶ ἀπὸ τῆς βαρβαρικῆς θεραπείας οὐκέτι ὡς πάλαι ἐπιεικὴς ἐς τοὺς Μακεδόνας) καταπηδήσας σὺν τοῖς ἀμφ' αὐτὸν ἡγεμόσιν ἀπὸ τοῦ βήματος, ξυλλαβεῖν τοὺς ἐπιφανεστάτους τῶν ταραξάντων τὸ πλῆθος κελεύει· αὐτὸς τῇ χειρὶ δεικνύων τοῖς ὑπασπισταῖς, οὕστινας χρὴ ξυλλαμβάνειν· καὶ ἐγένοντο οὗτοι ἐς τρεισκαίδεκα. τούτους μὲν δὴ ἀπάγειν κελεύει τὴν ἐπὶ θανάτῳ. ὡς δὲ κατεσιώπησαν οἱ ἄλλοι ἐκπλαγέντες, ἀναβὰς αὖθις ἐπὶ τὸ βῆμα, ἔλεξεν ὧδε, Οὐχ ὑπὲρ τοῦ καταπαῦσαι ὑμῶν τὴν οἴκαδε ὁρμὴν, ὦ Μακεδόνες, λεχθήσεταί μοι ὁ λόγος, (ἔξεστι γὰρ ὑμῖν ἀπιέναι ὅποι βούλεσθε, ἐμοῦ γε ἕνεκα) ἀλλ' ὡς γνῶναι ὑμᾶς πρὸς ὁποίους τινὰς ὑμᾶς ὄντας ὁποῖοί τινες αὐτοὶ γενόμενοι ἀπαλλάσσεσθε. καὶ πρῶτά γε ἀπὸ Φιλίππου τοῦ πατρὸς, ᾗ περ καὶ εἰκὸς, τοῦ λόγου ἄρξομαι. Φίλιππος γὰρ παραλαβὼν ὑμᾶς πλανήτας καὶ ἀπόρους, ἐν διφθέραις τοὺς πολλοὺς νέμοντας ἀνὰ τὰ ὄρη πρόβατα ὀλίγα, καὶ ὑπὲρ τούτων κακῶς μαχομένους Ἰλλυριοῖς τε καὶ Τριβαλλοῖς, καὶ τοῖς ὁμόροις Θρᾳξὶ, χλαμύδας μὲν ὑμῖν ἀντὶ τῶν διφθερῶν φορεῖν ἔδωκε, κατήγαγε δὲ ἐκ τῶν ὀρῶν ἐς τὰ πεδία, ἀξιομάχους καταστήσας τοῖς προσχώροις τῶν βαρβάρων, ὡς μὴ χωρίων ἔτι ὀχυρότητι πιστεύοντας μᾶλλον ἢ τῇ οἰκείᾳ ἀρετῇ σώζεσθαι· πόλεών τε οἰκήτορας ἀπέφηνε, καὶ νόμοις καὶ ἤθεσι χρηστοῖς ἐκόσμησεν· αὐτῶν δὲ ἐκείνων τῶν βαρβάρων, ὑφ' ὧν πρόσθεν ἤγεσθε καὶ ἐφέρεσθε αὐτοί τε καὶ τὰ ὑμέτερα, ἡγεμόνας κατέστησεν ἐκ δούλων καὶ ὑπηκόων· καὶ τῆς Θρᾴκης

A eorum regionem penetraret. atque ita confectæ erāt à Perſis, quòd rei nauticę periti nō eſſent, & cataractarum frequentia difficilē admodum nauigationem faceret. Alexander huiuſmodi inuenta eſſe dicebat hominū qui armis parum valerent. Neque verò eam munitionem ſibi obtinēdam putauit, quam reuera nullius momenti eſſe ſtatuebat, Perſarúmque molitiones paruo negotio deleuit. Opim quum venit, conuocatis Macedonibus pronuntiauit, ſe omnes eos qui vel ætate vel membrorum mutilatione inutiles
B ad pugnam facti eſſent miſſos ab exercitu facere, & in domos ſuas redeūdi poteſtatem dare: qui verò voluntariè manerent, tantum ſe largiturum, vt meritò aliis qui domi deſideant, inuidioſi ſint futuri, alióſque Macedones excitaturi vt libenter vnà cum eis pericula ac labores adeant. Atque hæc quidē Alexander animo gratificandi Macedonibus dicebat: ipſi, ita interpretati aeſi ab Alexandro deſpicerentur inutiléſque ad res bellicas iudicarentur, vehementer ea oratione commoti ſunt, qua Alexāder ad vniuerſum
C exercitum vſus fuerat. Accedebant & aliæ indignationis cauſæ, quòd iam ſæpenumero eos offenderat Perſica veſtis eòdem pertinēs, & ornatus Macedonic⁹ barbaris adoleſcentibus, quos Poſteros ſuos vocabat, conceſſus, deinde peregrini equites, amicorum cohortibus acceuſi & permiſti. Non igitur iam amplius ſilentium tenuerunt, ſed omnes militiæ ſacramento abſolui petierunt. adiicientes, vt cum patre ſuo bellum gereret, Ammonem iis verbis ſugillantes. Quæ quum audiſſet Alexander (erat enim
D iam magis ſolitò ad iram procliuis, atque ob barbaricum comitatum non ita atque olim erga Macedonas facilis atque humanus) confeſtim cum ducibus qui eum circūſtabant è ſolio proſiliens, præcipuos eorum qui multitudinem ad ſeditionem concitabant cōprehendi iubet, argyraſpidibus manu deſignans quóſnam capi vellet: tredecim hi fuere. quos ſtatim ad ſupplicium rapi iubet. Quo facto quum reliqui attoniti ſilentium feciſſent, conſcenſo rurſus ſolio, in hūc
E modum orſus eſt, Non ſum facturus verba, Macedones, vt vos ab iſta domum redeundi cupiditate demoueam (ſiquidem per me integrū vobis eſt quò libuerit abire) ſed vt intelligatis, quid ego vobis præſtiterim, & qualem vos mihi vicem rependentes diſcedatis. Ac primùm à Philippo patre (vt par eſt) ordiar. Philippus enim vos incertis ſedibus errantes atque inopes, & pleroſque ſub pellibus degētes, exiguóſque ouium greges in montibus paſcentes, ac pro iis parum fe-
F liciter aduerſus Illyrios, Triballos, & finitimos Thracas bellum gerentes, pro pellibus chlamydes geſtandas dedit, ex montibus in planitiem deduxit, paréſque hoſtibus ad pugnandum effecit, vt non tam in locorū munitione deinceps, quàm in veſtra virtute ſalutem collocaretis: vrbes vobis habitandas dedit, optimiſq; legibus atque inſtitutis ornauit. Idem vobis in eos ipſos barbaros qui vos aſſiduis populationib⁹ laceſſebāt, imperiū acquiſiuit, & dominos è ſeruis effecit: magnā Thracię

» partē Macedoniæ adiecit, oppidiſq; ad ma-
» ritimam oram peropportunis in poteſtatem
» ſuam redactis, commerciorum facultatem a-
» peruit, & tutas metallorum fodinas ſup-
» peditauit. Theſſalos præterea, quorum metu
» olim exanimati eratis, veſtro imperio ſubie-
» cit: gente Phocēſium afflicta, aditum in Græ-
» ciam amplū & expeditū pro anguſto & dif-
» ficili vobis patefecit. Atheniēſes verò & The
» banos, qui vobis inſidiabantur, ſic afflixit,
» nobis iam ſecum vnà militantibus, vt quum
» antea vectigal Athenienſibus penderemus,
» Thebanis pareremus, iam vice verſa vtranq;
» illam ciuitatem in fide ac tutela noſtra ha-
» beamus. In Peloponēſum etiam ingreſſus, res
» illas conſtituit. Imperator deniq; totius Græ
» ciæ deſignatus, vt bellum aduerſus Perſas ſu-
» ſciperet, gloriam eius rei nō ſibi magis quàm
» genti & nomini Macedonum adiecit. Atque
» hæc ſunt patris mei erga vos beneficia, ma-
» gna illa quidem, ſi cum aliis non comparen-
» tur: parua, ſi cum noſtris conferātur. Nam e-
» go patri ſuccedens, aurea quædam pauca ar-
» genteáque pocula nactus in patrijs theſauris,
» talenta vero ne ſexaginta quidem: quāquam
» ære alieno preſſus, quod mihi pater ad quingēta
» circiter talenta reliquerat, tamen contracto
» nouo ære alieno talentûm octingentorum,
» ex Macedonia, quæ vos vix alere poterat, ca-
» ſtra moui: ac protinus fretum Helleſponti vo
» bis patefeci, Perſis, qui tum imperium maris
» tenebant, ſuperatis: deuictis deinde Darij du
» cibus equeſtri prælio totam Ioniam, AEo-
» liam, vtranque Phrygiam, Lydiam quoque
» imperio Macedonum adieci, Miletum obſi-
» dione cepi: cæteras gentes & nationes, quæ
» voluntariam fecerunt deditionē, vobis ſub-
» ieci, ſtipendiariáſque feci. AEgypti Cyrenēſ-
» que opes, quibus potiti ſumus ſine vi, eę quo-
» que ad vos acceſſerunt: Cœleſyria, Palæſtina,
» Meſopotamia, poſſeſsiones veſtrę ſunt: Baby
» lon, Bactra, Suſa, in veſtra poteſtate ſunt: o-
» pes Lydorum veſtræ ſunt, theſauri Perſarum,
» opes Indorum, veſter denique Oceanus eſt:
» vos ſatrapæ, vos duces, vos ordinum princi-
» pes & ductores. Nam mihi ipſi ex tot labori-
» bus quid aliud ſupereſt quàm iſta purpura, &
» iſtud diadema? priuatim enim nihil habeo:
» neque eſt qui meos demonſtrare poſsit the-
» ſauros, præter ea quæ vos tenetis, vel quæ
» ſeruantur veſtri cauſa. quandoquidem non
» habeo ad quid eos reſeruem in priuatum v-
» ſum, quippe qui iiſdem vtor cibis atque vos,
» & æquè ſomnum capio atq; vos. Quin vilio-
» ribus etiam cibis vtor quàm vos, quicūq; vi-
» uitis delicioſius: ac pro vobis vigilare me cer
» tò ſcio, vt ipſi nimirum placidè quietéq; dor-
» miatis. Sed fortaſſe hæc omnia, vobis labores
» & pericula ſubeuntibus, ipſe veſter impera-
» tor laborū & periculorum omniū immunis,
» adeptus ſum. Et quiſnam veſtrûm auſit dice-
» re ſe plures pro me labores, quàm me pro il-
» lo ſubiiſſe? Age etiam quicunque veſtrûm ha
» bet vulnera, denudet corpus, oſtendat cica-
» trices: oſtendam ipſe quoque viciſsim meas.

A τὰ πολλὰ τῇ Μακεδονίᾳ προσέθηκε, καὶ τῶν ἐπὶ τῇ θα-
λάττῃ χωρίων τὰ ἐπικαιρότατα καταλαβόμενος,
τὴν ἐμπορίαν τῇ χώρᾳ ἀνεπέτασε, καὶ τῶν μετάλλων
τὴν ἐργασίαν ἀδεῆ παρέσχε· Θεσσαλῶν δὲ ἄρχοντας,
ὧν πάλαι ἐτεθνήκειτε τῷ δέει, ἀπέφηνε· καὶ τὸ Φω-
κέων ἔθνος ταπεινώσας, τὴν ἐς τὴν Ἑλλάδα πάροδον
πλατεῖαν καὶ εὔπορον ἀντὶ στενῆς τε καὶ ἀπόρου ὑμῖν
ἐποίησεν. Ἀθηναίους τε καὶ Θηβαίους ἐφεδρεύοντας
ἀεὶ τῇ Μακεδονίᾳ ἐς τοσόνδε ἐταπείνωσεν, ἤδη ταῦτά
γε καὶ ἡμῶν αὐτῷ ξυμπονούντων, ὡς ἀντὶ τοῦ φόρους τε-
B λεῖν Ἀθηναίοις καὶ ὑπακούειν Θηβαίων, παρ᾽ ἡμῶν ἐν
τῷ μέρει ἐκείνοις τὴν ἀσφάλειαν σφίσι πορίζεσθαι.
ἐς Πελοπόννησον δὲ παρελθὼν, τὰ ἐκεῖ αὖ ἐκόσμησε·
καὶ ἡγεμὼν αὐτοκράτωρ συμπάσης τῆς ἄλλης Ἑλλά-
δος ἀποδειχθεὶς τῆς ἐπὶ τὸν Πέρσην στρατιᾶς, οὐχ ἑαυ-
τῷ μᾶλλόν τι τὴν δόξαν τήνδε ἢ τῷ κοινῷ τῶν Μακε-
δόνων προσέθηκε. ταῦτα μὲν τὰ ἐκ τοῦ πατρὸς τοῦ ἐ-
μοῦ ἐς ὑμᾶς ὑπηργμένα, ὡς μὲν αὐτὰ ἐφ᾽ ἑαυτῶν σκέ-
ψασθαι, μεγάλα, μικρὰ δὲ, ὥς γε δὴ πρὸς τὰ ἡμέτερα
ξυμβαλεῖν. ὃς παραλαβὼν παρὰ τοῦ πατρὸς χρυσᾶ
C μὲν καὶ ἀργυρᾶ ἐκπώματα ὀλίγα, τάλαντα δὲ οὐδὲ
ἑξήκοντα ἐν τοῖς θησαυροῖς, χρεῶν δὲ ὀφειλόμενα ὑ-
πὸ Φιλίππου ἐς πεντακόσια τάλαντα, δανεισάμενος
ἐπὶ τούτοις αὐτὸς ἄλλα ὀκτακόσια, ὁρμηθεὶς ἐκ τῆς
χώρας τῆς γε οὐδὲ ὑμᾶς αὐτοὺς βοσκούσης καλῶς, εὐ-
θὺς μὲν τοῦ Ἑλλησπόντου ὑμῖν τὸν πόρον, θαλασσοκρα-
τούντων ἐν τῷ τότε Περσῶν, ἀνεπέτασα· κρατήσας δὲ
τῇ ἵππῳ τοὺς σατράπας τοῦ Δαρείου, τήν τε Ἰωνίαν πᾶσαν
τῇ ὑμετέρᾳ ἀρχῇ προσέθηκα, καὶ τὴν Αἰολίδα πᾶσαν, καὶ
Φρύγας ἀμφοτέρους, καὶ Λυδοὺς, καὶ Μίλητον εἷλον
πολιορκίᾳ· τὰ δὲ ἄλλα πάντα ἑκόντα προσχωρήσαντα
D λαβὼν, ὑμῖν καρποῦσθαι ἔδωκα. καὶ τὰ ἐξ Αἰγύπτου
καὶ Κυρήνης ἀγαθὰ, ὅσα ἀμαχεὶ ἐκτησάμην, ὑμῖν
ἔρχεται· ἥ τε κοίλη Συρία, καὶ ἡ Παλαιστίνη, καὶ ἡ μέ-
ση τῶν ποταμῶν, ὑμέτερον κτῆμά εἰσι· καὶ Βαβυλὼν,
καὶ Βάκτρα, καὶ Σοῦσα, ὑμέτερα· καὶ ὁ Λυδῶν πλοῦ-
τος, καὶ οἱ Περσῶν θησαυροὶ, καὶ τὰ Ἰνδῶν ἀγαθὰ, καὶ
ἡ ἔξω θάλασσα, ὑμέτερα· ὑμεῖς σατράπαι, ὑμεῖς στρα-
τηγοὶ, ὑμεῖς ταξιάρχαι. ὡς ἔμοιγε αὐτῷ τί περίεστιν ἀ-
πὸ τούτων τῶν πόνων, ὅτι μὴ αὕτη ἡ πορφύρα, καὶ τὸ δια-
δημα τοῦτο; κέκτημαι δὲ ἰδίᾳ οὐδὲν, οὐδὲ ἔχει τις ἀπο-
E δεῖξαι θησαυροὺς ἐμοὺς, ὅτι μὴ ταῦτα ὑμέτερα κτή-
ματα, ἢ ὅσα ἕνεκα ὑμῶν φυλάττεται. ἐπεὶ οὐδέ ἐστιν ἰ-
δίᾳ μοι ἐς ὅ,τι φυλάξω αὐτοὺς, σιτουμένῳ τε τὰ αὐτὰ
ὑμῖν σιτία, καὶ ὕπνον τὸν αὐτὸν αἱρουμένῳ. καίτοι οὐ-
δὲ σιτία ἐμοὶ δοκῶ τὰ αὐτὰ τοῖς τρυφῶσιν ὑμῶν σιτεῖ-
σθαι· προαγρυπνῶν δὲ ὑμῶν οἶδα, ὡς καθεύδειν ἔχοιτε
ὑμεῖς. ἀλλὰ ταῦτα γὰρ, ὑμῶν πονούντων καὶ ταλαιπω-
ρουμένων, ἐκτησάμην αὐτὸς ἀπόνως καὶ ἀταλαι-
πώρως ἐξηγούμενος. καὶ τίς ὑμῶν ἢ πονήσας οἶδεν
ἐμοῦ μᾶλλον ἢ ἐγὼ ὑπὲρ ἐκείνου; ἄγε δὴ καὶ ὅτῳ τραύ-
F ματα ὑμῶν ἐστι, γυμνώσας αὐτὰ ἐπιδειξάτω, καὶ ἐ-
γὼ τὰ ἐμὰ ἐπιδείξω ἐν μέρει· ὡς ἔμοιγε οὐκ ἔστιν ὅ,τι τοῦ
σώματος τῶν γε δὴ ἔμπροσθεν μερῶν ἄτρωτον ὑπολέ-
λειπται· οὐδὲ ὅπλον τι ἐστὶν ἢ ἐκ χειρὸς, ἢ τῶν ἀφιεμέ-
νων, οὗ γε οὐκ ἴχνη ἐν ἐμαυτῷ φέρω· ἀλλὰ καὶ ξίφει

Al. ἀνεδεῖ.

» Nam nulla eſt aduerſa corporis pars quæ cicatrice careat: neque vllum ſane teli genus eſt, quod
» cominus tractetur, vel eminus iaciatur, cuius in meo corpore aliqua veſtigia nō extent: ſed & gladio

ἐκ χειρὸς τέτρωμαι, καὶ τετόξευμαι ἤδη, καὶ ἀπὸ μηχανῆς βέβλημαι· καὶ λίθοις πολλαχῇ καὶ ξύλοις παιόμενος ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας δόξης, καὶ τοῦ ὑμετέρου πλούτου, νικῶντας ὑμᾶς ἄγω διὰ πάσης γῆς καὶ θαλάσσης, καὶ πάντων ποταμῶν καὶ ὀρῶν καὶ πεδίων πάντων. γάμους τε ὑμῖν τοὺς αὐτοὺς γεγάμηκα, καὶ πολλῶν ὑμῶν οἱ παῖδες συγγενεῖς ἔσονται τοῖς παισὶ τοῖς ἐμοῖς. ἔτι τε ᾧ χρέα ἦν, οὐ πολυπραγμονήσας ἐφ᾽ ὅτῳ ἐγένετο, τοσαῦτα μὲν μισθοφορούντων, τοσαῦτα δὲ ἁρπαζόντων, ὁπότε ἐκ πολιορκίας ἁρπαγὴ γίγνοιτο, διαλέλυμαι ταῦτα. στέφανοί τε χρυσοῖ τοῖς πλείστοις ὑμῶν εἰσι, μνημεῖα τῆς τε ἀρετῆς τῆς ὑμετέρας καὶ τῆς ἐξ ἐμοῦ τιμῆς ἀθάνατα. ὅστις δὲ δὴ καὶ ἀπέθανεν, εὐκλεὴς μὲν αὐτῷ ἡ τελευτὴ ἐγένετο, περιφανὴς δὲ ὁ τάφος· χαλκαῖ δὲ αἱ εἰκόνες τῶν πλείστων οἴκοι ἑστᾶσιν, οἱ γονεῖς δ᾽ ἔντιμοί εἰσι, λειτουργίας τε ξυμπάσης καὶ εἰσφορᾶς ἀπηλλαγμένοι. οὐ γάρ τις φεύγων ὑμῶν ἐτελεύτα, ἐμοῦ ἄγοντος. καὶ νῦν τοὺς ἀπολέμους ὑμῶν, ζηλωτοὺς τοῖς οἴκοι ἀποπέμψειν ἔμελλον. ἀλλ᾽ ἐπειδὴ πάντες ἀπιέναι βούλεσθε, ἄπιτε πάντες· καὶ ἀπελθόντες οἴκοι ἀπαγγείλατε, ὅτι τὸν βασιλέα ὑμῶν Ἀλέξανδρον, νικῶντα μὲν Πέρσας καὶ Μήδους καὶ Βακτρίους, καὶ Σάκας, καταστρεψάμενον δὲ Οὐξίους τε καὶ Ἀραχώτους καὶ Δράγγας, κεκτημένον δὲ καὶ Παρθυαίους καὶ Χωρασμίους καὶ Ὑρκανίους, ἔστε ἐπὶ τὴν θάλασσαν τὴν Κασπίαν· ὑπερβάντα δὲ τὸν Καύκασον ὑπὲρ τὰς Κασπίας πύλας, καὶ περάσαντα Ὄξον τε τὸν ποταμὸν καὶ Τάναϊν, ἔτι δὲ τὸν Ἰνδὸν ποταμὸν, οὐδενὶ ἄλλῳ ὅτι μὴ Διονύσῳ περαθέντα· καὶ τὸν Ὑδάσπην, καὶ τὸν Ἀκεσίνην, καὶ τὸν Ὑδραώτην, καὶ τὸν Ὕφασιν διαπεράσαντα ἄν, εἰ μὴ καὶ ὑμεῖς ἀπωκνήσατε· καὶ εἰς τὴν μεγάλην θάλασσαν, κατ᾽ ἀμφότερα τοῦ Ἰνδοῦ τὰ στόματα ἐμβαλόντα, καὶ διὰ τῆς Γαδρωσίας τῆς ἐρήμου ἐλθόντα, ᾗ οὐδείς πω πρόσθεν ξὺν στρατιᾷ ἦλθε· καὶ Καρμανίαν ἐν παρόδῳ προσκτησάμενον, καὶ τὴν Ὠρειτῶν γῆν· περιπεπλευκότος δὲ ἤδη αὐτῷ τοῦ ναυτικοῦ τὴν ἀπ᾽ Ἰνδῶν γῆς εἰς Πέρσας θάλασσαν, ὡς εἰς Σοῦσα ἐπανηγάγετε· ἀπολιπόντες οἴχεσθε, παραδόντες φυλάσσειν τοῖς νενικημένοις βαρβάροις. ταῦτα ὑμῖν καὶ πρὸς ἀνθρώπων ἴσως εὐκλεᾶ, καὶ πρὸς θεῶν ὅσια δήπου ἔσται ἀπαγγελθέντα. ἄπιτε.

Ταῦτα εἰπὼν, κατεπήδησέ τε ἀπὸ τοῦ βήματος ὀξέως, καὶ ἐς τὰ βασίλεια παρελθὼν, οὔτε ἐθεράπευσε τὸ σῶμα, οὔτέ τῳ ὤφθη τῶν ἑταίρων· ἀλλ᾽ οὐδὲ ἐς τὴν ὑστεραίαν ὤφθη. τῇ τρίτῃ δὲ καλέσας εἴσω τῶν Περσῶν τοὺς ἐπιλέκτους, τάς τε ἡγεμονίας αὐτοῖς τῶν τάξεων διένειμε· καὶ ὅσους συγγενεῖς ἀπέφηνε, τούτοις δὲ νόμιμον ἐποίησε φιλεῖν αὐτὸν μόνοις. οἱ δὲ Μακεδόνες ἔν τε τῷ παραυτίκα ἀκούσαντες τῶν λόγων ἐκπεπληγμένοι, σιγῇ ἔμενον αὐτοῦ πρὸς τῷ βήματι· οὐδέ τις ἠκολούθησε τῷ βασιλεῖ ἀπαλλαττομένῳ, ὅτι μὴ οἱ ἀμφ᾽ αὐτὸν ἑταῖροί τε καὶ οἱ σωματοφύλακες· οἱ δὲ πολλοὶ, οὔτε μένοντες ὅ,τι πράττουσιν ἢ λέγουσιν εἶχον, οὔτε ἀπαλλάσσεσθαι ἤθελον. ὡς δὲ τὰ Περσῶν τε καὶ Μήδων αὐτοῖς ἐξηγγέλλετο, αἵ τε ἡγεμονίαι Πέρσαις διδόμεναι, καὶ ἡ στρατιὰ ἡ βαρβαρικὴ ἐς λό-

cominus ſauciatus ſum, & ſagittis vulneratus, & catapultis malè habitus. Quanquā verò & lapidibus & lignis paſſim pro vobis, veſtráque gloria & opibus, fuerim appetitus, tamē vos duco victores per omnes terras, omniáque maria, per flumina, per montes, per loca plána. Nuptias etiam perinde atque vos celebraui, vt liberi bonæ partis veſtrûm futuri ſint cognati meis liberis. Prętereа æs alienum, quo quis veſtrûm premebatur, nōn curioſius exquirēs qua de re fuerit contractum, ipſe diſſolui: quanuis & ſtipendium militare ingēs perſoluerem, & vos ex vrbium direptione quæſtus ingentes faceretis. Adde quòd pleroſque veſtrûm coronis aureis donaui, quæ veſtræ virtutis, & honorum quos vobis tribui, æterna monumenta futuræ eſſent. Quòd ſicui fortiter pugnanti contigit occumbere, is præter mortis honeſtatē & gloriam quam adeptus eſt, monumento inſigni decoratus eſt. pleriſque domi æneæ ſtatuæ ſunt erectæ: parentibus eorum honores tributi ſunt, & immunitas à publicis muneribus atque tributis cōceſſa. nam nemo adhuc veſtrûm ſub meis auſpiciis fugiens cecidit: iámque mecū conſtitueram domum remittere quicunque veſtrûm militiæ oneribus ſuſtinēdis pares non ſunt, honoribus & præmiis ita decoratos vt ſui ciues eos fortunatos & beatos eſſent exiſtimaturi. Sed poſteaquā idē abeūdi animus omnibus eſt, abite omnes, ac domū renūtiate vos regē veſtrum Alexandrū, qui Perſas, Medos, Bactrianos vicit, qui Vxios, Arachotos & Drangas ſubegit, qui tenet Parthos, Choraſmios, Hyrcanos, ad mare vſque Caſpiū: qui Caucaſū montē ſuperauit, portáſq; Caſpias, qui Oxū flumē Tanaínq; trāſmiſit, Indū etiā à nullo antea niſi à Dionyſo ſuperatū: qui etiā Hydaſpē, Aceſinē, Hydraoten, Hyphaſinque traieciſſet, ni per vos ſtetiſſet, qui eū ſequi noluiſtis: qui denique in Oceanum per vtrunque Indi oſtium ingreſſus, per ſolitudines, & fines Gadroſiorum (quò nemo ante eū cum exercitu venit) iter habuit, & Carmaniā ex itinere atque Oritas ſubegit: quem, claſſe iam eius circumuecta ex finibus Indorū in mare Perſicum, victorē Suſa reduxiſtis: eum (inquam) ciuibus veſtris renuntiate vos deſeruiſſe, atque diſceſſiſſe, & fidei barbarorum qui ab eo ſunt deuicti, commiſiſſe. Hæc ſcilicet renuntiata gloriam apud homines, opinionē pietatis apud deos ſunt vobis adiunctura. Iam itaque abite.

Hęc proloquutus proſiliit è ſolio, rēgiámque ingreſſus neque corpus curauit, neque amicorum quenquam eo die admiſit. ſed ne poſtridie quidem. Tertio autem die vocatis ad ſe Perſarū principibus ducatus agminum inter eos partitus eſt, & quotquot conſanguineos effecerat, iis ſolis vt deoſculari ipſū liceret ſanxit. At Macedones regis oratione cōmoti, attonitis ſimiles apud ſolium taciti conſiſtebant. neque quiſquā regem diſcedentem comitatus eſt, præterquam amici & cuſtodes corporis. plerique verò eorum qui manſerant, neque quid dicerent, neque quid facerent ſciebant: neque diſcedere volebāt. Poſtquam verò quid de Medis ac Perſis ſtatuiſſet cognouerunt, ducatus nimirū Perſis datos eſſe, barba-

toſq; per varios ordines diſtributos, & Macedonico nomine Perſicũ agema vocari, & peditũ ſociorũ agmẽ ex Perſis cõſtitutũ, alióſq; aſſeteros, argyraſpidũ etiã agmẽ Perſicum, & amicorum equitatũ, aliúdq; agema regium, non amplius ſeſe continere potuerũt: ſed cõcurſu ad regiam facto, arma ante ianuã proiecerunt, quæ regi libelli ſupplicis loco eſſent. Ipſi pro foribus ſtantes clamorem tollebãt, intromitti poſtulantes, autores tumultus quiq; clamandi initium fecerant dedituri: neque à ianua interdiu vel noctu diſceſſuri, niſi Alexander eorum cõmiſeratione tangeretur. Quæ vt Alexandro nuntiata ſunt, confeſtim ad eos egreditur, humileſq; ac demiſſos conſpicatus, & communi omniũ mœrore atque eiulatu commotus collacrymatus eſt. Qúmque aliquantum veluti aliquid dicturus conſtitiſſet, ipſi ſupplices permanſerunt. Tum Callines quidam & ætate & præfectura in amicorum equitatu non obſcurus, ita loquutus eſt, » Hoc eſt, ô rex, quod Macedonum animos malè habet, quòd iã nonnullos Perſarum tibi conſanguineos effeciſti, quódque Perſæ cognati Alexandri appellantur. hos te deoſculari ſinis, Macedonibus ab huiuſcemodi honore excluſis. Tum Alexander eius orationem interrumpẽs, Omnes vos, inquit, cognatos mihi facio, ac deinceps ita vocabo. His dictis Callines progreſſus eũ deoſculatus eſt, aliíque quibus id cordi fuit: atque ita receptis armis clamantes & pæana canentes ad caſtra redierunt. Poſt hæc Alexander ſacrificium dijs quibus conſueuerat fecit, epulúmque publicum curauit, accumbente ipſo pariter, omnibúſque Macedonibus, deinde Perſis ac deinceps reliquis gentibus, prout quiſq; aut dignitate aut virtute bellica illuſtris eſſet. Tum ex eodem cratere & rex & qui vnà accumbebant libarunt, Græcis vatibus & Magis vota nuncupantibus, & cùm alia fauſta ac proſpera, tum concordiam imperijque ſocietatem precantibus. Nouem millia conuiuarum huic epulo adfuiſſe memorant, eóſque omnes eandem libationem feciſſe, eundémq; pæanem eciniſſe. Dehinc Macedones volũtarij ab eo dimiſſi ſunt, qui aut per ætatẽ aut aliquã membrorum mutilationem inutiles bello erant: quibus quidem non exacti tantùm temporis ſtipendia perſoluit, ſed etiam viatico quod ad reditum ſufficeret eſt proſequutus. Singulis etiam talentum vltra ſtipendium numerauit. Si quibus autem filij ex Aſiaticis mulieribus eſſet, apud ſe relinqui iuſſit, ne ſeditionẽ aliquam in Macedonia excitarent barbararũ mulierum liberi, pueris domi relictis matribúſque permiſti: Macedonicis eos moribus imbui bellicáq; diſciplina inſtrui curaturus: qúmque iam in viros excreuiſſent, parentibus redditurus. Atque hæc quidem diſcedẽtibus incerta inexploratáque promiſit: illud verò certiſsimum amoris beneuolentiæque erga eos ſuæ documẽtum edere voluit, quòd Craterum, quem fideliſsimum ſibi haberet, & æquè ac caput ſuum amabat, cuſtodem &

Fac. pœnitentiæ ſignum.

Cur. Quũ poſtero die prohibiti aditu veniſſent, Aſiaticis modò militibus admiſſis, lugubrem totis caſtris edidere clamorẽs, denuntiantes ſe prorſus eſſe morituros, ſi rex perſeueraret iraſci.

A λοχούς τε καταλεγομένην, καὶ τὰ Μακεδονικὰ ὀνόματα ἄγημά τι Περσικὸν καλούμενον, καὶ πεζέταιροι Πέρσαι, καὶ ἀσέταιροι ἄλλοι, καὶ ἀργυρασπίδων τάξις Περσική, καὶ ἡ τῶν ἑταίρων ἵππος, καὶ ταύτης ἄλλο ἄγημα βασιλικὸν, οὐκέτι καρτεροὶ σφῶν ἦσαν· ἀλλὰ ξυνδραμόντες ὡς πρὸς τὰ βασίλεια, τὰ μὲν ὅπλα αὐτοῦ πρὸ τῶν θυρῶν ἐρρίπτουν, ἱκετηρίας ταύτας τῷ βασιλεῖ· αὐτοὶ δ᾽ ἐβόων πρὸ τῶν θυρῶν ἑστηκότες, δεόμενοι παρελθεῖν εἴσω· τούς τε αἰτίους τῆς ἐν τῷ τότε ταραχῆς, καὶ τοὺς ἄρξαντας τῆς βοῆς ἐκδιδόναι ἐθέλειν. οὔκουν ἀπαλλαγήσεσθαι τῶν θυρῶν, οὔτε ἡμέρας οὔτε νυκτὸς, B εἰ μή τινα οἶκτον σφῶν ἕξει Ἀλέξανδρος. ταῦτα ὡς ἀπηγγέλλετο αὐτῷ, σπουδῇ ἐξέρχεται· καὶ ἰδών τε ταπεινῶς διακειμένους, καὶ ἀκούσας σὺν οἰμωγῇ τῶν πολλῶν βοώντων, καὶ αὐτῷ προχεῖται δάκρυα. καὶ ὁ μὲν ἀνήγετο, ὥς τι ἐρῶν· οἱ δὲ ἔμενον λιπαροῦντες. καί τις αὐτῶν καθ᾽ ἡλικίαν τε καὶ ἱππαρχίαν τῆς ἵππου τῆς ἑταιρικῆς οὐκ ἀφανὴς, Καλλίνης ὄνομα, τοιαῦτα εἶπεν, ὦ βασιλεῦ, τὰ λυποῦντά ἐστι Μακεδόνας, ὅτι σὺ Περσῶν μέν τινας ἤδη πεποίησαι σαυτῷ συγγενεῖς, C καὶ καλοῦνται Πέρσαι συγγενεῖς Ἀλεξάνδρου, καὶ φιλοῦσί σε· Μακεδόνων δὲ οὔπω τις γέγευται ταύτης τῆς τιμῆς. ἔνθα δὴ ὑπολαβὼν Ἀλέξανδρος, ἀλλ᾽ ὑμᾶς τε (ἔφη) ξύμπαντας ἐμαυτῷ τίθεμαι συγγενεῖς, καὶ τό γε ἀπὸ τούτου οὕτω καλέσω. Τοιαῦτα εἰπόντα προσελθὼν ὁ Καλλίνης τε ἐφίλησεν αὐτὸν, καὶ ὅστις ἄλλος φιλῆσαι ἤθελε. καὶ οὕτω δὴ ἀναλαβόντες τὰ ὅπλα, βοῶντές τε καὶ παιανίζοντες, ἐς τὸ στρατόπεδον ἀπῄεσαν. Ἀλέξανδρος δὲ ἐπὶ τούτοις θυσίαν τε ἐποίησε τοῖς θεοῖς οἷς αὐτῷ νόμος, καὶ θοίνην δημοτελῆ ἐποίησε, καθήμενός τε αὐτὸς, καὶ πάντων καθημένων ἀμφ᾽ αὐτὸν μὲν Μακεδόνων, ἐν δὲ τῷ ἐφεξῆς τούτων, D Περσῶν· ἐπὶ τε τούτοις, τῶν ἄλλων ἐθνῶν ὅσοι κατ᾽ ἀξίωσιν, ἤ τινα ἄλλην ἀρετὴν πρεσβευόμενοι, καὶ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος αὐτός τε καὶ οἱ ἀμφ᾽ αὐτὸν ἀρυόμενοι, ἔσπενδον τὰς αὐτὰς σπονδὰς, καταρχομένων τῶν τε Ἑλλήνων μάντεων καὶ τῶν Μάγων. εὔχετο δὲ τά τε ἄλλα ἀγαθὰ, καὶ ὁμόνοιάν τε καὶ κοινωνίαν τῆς ἀρχῆς, τοῖς τε Μακεδόσι καὶ Πέρσαις. εἶναι δὲ κατέχει λόγος τοὺς μετασχόντας τῆς θοίνης ἐνακισχιλίους, καὶ τούτους πάντας μίαν τε σπονδὴν σπεῖσαι, καὶ ἐπ᾽ αὐτῇ παιανίσαι. ἔνθα δὴ ἐθελονταὶ ἤδη αὐτῷ ἀπῄεσαν τῶν Μακεδόνων, ὅσοι διὰ γῆρας ἤ τινα ἄλλην E ξυμφορὰν ἀπόλεμοι ἦσαν· καὶ οὗτοι αὐτῷ ἐγένοντο ἐς τοὺς μυρίους. τούτοις δὲ τήν τε μισθοφορὰν οὐ τοῦ ἐξήκοντος ἤδη χρόνου ἔδωκεν Ἀλέξανδρος μόνον, ἀλλὰ καὶ τοῦ ἐς τὴν ἀπονόστησιν τὴν οἴκαδε ξυμβαίνοντος. ἐπέδωκε δὲ καὶ τάλαντον ἑκάστῳ ὑπὲρ τὴν μισθοφοράν. παῖδες δὲ εἴ τῳ ἦσαν ἐκ τῶν Ἀσιανῶν γυναικῶν, παρ᾽ οἱ καταλιπεῖν ἐκέλευσε, μὴ στάσιν κατάγειν ἐς Μακεδονίαν, ἀλλοφύλους τε καὶ ἐκ τῶν βαρβάρων γυναικῶν παῖδας τοῖς οἴκοι ὑπολελειμμένοις παισί τε καὶ μητράσιν αὐτῶν. αὐτὸς δὲ ἐπιμελήσεσθαι, ὡς F ἐκτρέφοιντο μακεδονικῶς, τά τε ἄλλα καὶ ἐς τὰ πολέμια κοσμούμενοι· γενομένους δὲ ἄνδρας, ἄξειν αὐτὸς ἐς Μακεδονίαν, καὶ παραδώσειν τοῖς πατράσι. ταῦτά τε ἀπαλλαττομένοις ἀστάθμητα καὶ ἀτέκμαρτα ἐπηγγέλλετο· καὶ ὅπως ἔχει φιλίας τε καὶ πόθου ἐς αὐτοὺς τὸ ἀτρεκέστατον τεκμήριον ἐκεῖνο ποιεῖσθαι ἠξίου, ὅτι τὸν πιστότατόν τε αὐτῷ, καὶ ὅντινα ἴσον τῇ ἑαυτοῦ κεφαλῇ ἄγει

Κρατερὸν

Κρατερὸν ξυμπέμψας αὐτοῖς φύλακά τε καὶ ἡγεμόνα τοῦ στόλου. οὕτω δὴ ἀσπασάμενος ξύμπαντας, αὐτός τε δακρύων καὶ δακρύοντας ἐκείνους ἀπὸ ἑαυτοῦ ἀπήλλαξε. Κρατερῷ δὲ τούτους τε ἄγειν ἐκέλευσε, καὶ ἀπαγαγόντι Μακεδονίας τε καὶ Θρᾴκης καὶ Θετταλῶν ἐξηγεῖσθαι, καὶ τῶν Ἑλλήνων τῆς ἐλευθερίας. Ἀντίπατρον δὲ διαδόχους τοῖς ἀποπεμπομένοις ἄγειν Μακεδόνας τῶν ἀκμαζόντων ἐκέλευσεν. ἔστελλε δὲ καὶ Πολυπέρχοντα ὁμοῦ τῷ Κρατερῷ, δεύτερον δὲ ἀπὸ Κρατεροῦ ἡγεμόνα, ὡς εἴ τι κατὰ τὴν πορείαν Κρατερῷ συμπίπτοι (ὅτι καὶ μαλακῶς τὸ σῶμα ἔχοντα ἀπέπεμπεν αὐτὸν) μὴ ποθῆσαι στρατηγὸν τοὺς ἰόντας. λόγος δέ τις οὗτος ἐφοίτα ἀφανὴς παρὰ τοῖς τὰ βασιλικὰ πράγματα, ὅσῳ ἐπικρύπτεται, τοσῷδε φιλοτιμότερον ἐξηγουμένοις· καὶ τὸ πιστὸν ἐς τὸ χεῖρον μᾶλλον (ἢ τὸ εἰκός τε καὶ ἡ αὐτῶν μοχθηρία ἄγει) ἢ πρὸς τὸ ἀληθὲς ἐκτρέπουσιν, ἐξηττώμενον Ἀλέξανδρον ἤδη τῆς μητρὸς τῶν διαβολῶν τῶν ἐς Ἀντίπατρον, ἀπαλλάξαι ἐθέλειν ἐκ Μακεδονίας Ἀντίπατρον. καὶ τυχὸν οὐκ ἐς ἀτιμίαν τὴν Ἀντιπάτρου ἡ μετάπεμψις αὐτοῦ ἔφερεν, ἀλλ' ὡς μή τι ἐκ τῆς διαφορᾶς αὐτοῖς γένοιτο ἄχαρι ἐς ἀλλήλους, οὐδ' αὐτῷ ἰάσιμον· ἐπεὶ οὐδὲ ἐπαύοντο Ἀλεξάνδρῳ γράφοντες, ὁ μὲν, τὴν αὐθάδειάν τε τῆς Ὀλυμπιάδος, καὶ ὀξύτητα καὶ πολυπραγμοσύνην, ἥκιστα τῇ Ἀλεξάνδρου μητρὶ εὐσχήμονα. ὥστε καὶ λόγος τις τοιόσδε ἐφέρετο Ἀλεξάνδρου ἐφ' οἷς ὑπὲρ τῆς μητρὸς αὐτῷ ἐξηγγέλλετο, βαρὺ δὴ τὸ ἐνοίκιον τῶν δέκα μηνῶν εἰσπράττεσθαι αὐτὸν τὴν μητέρα· ἡ δὲ, ὑπέρογκον εἶναι τῇ τε ἀξιώσει καὶ τῇ ἄλλῃ θεραπείᾳ Ἀντίπατρον, οὐδὲ μεμνῆσθαι τοῦ καταστήσαντος ἔτι· ἀλλ' αὐτὸν γὰρ ἀξιοῦν τὰ πρῶτα φέρεσθαι ἐν τοῖς ἄλλοις Μακεδόσι τε καὶ Ἕλλησι. καὶ ταῦτα μᾶλλόν τι ἰσχύειν παρ' Ἀλεξάνδρῳ ἐφαίνετο, ὅσα ἐς τὴν Ἀντιπάτρου διαβολὴν φέροντα ἦν, οἷα δὴ καὶ φοβερώτερα ἐν βασιλείᾳ ὄντα. οὐ μέντοι καταφανές γέ τι, ἢ ἔργον ἢ λόγος ἐξηγγέλλετο Ἀλεξάνδρου, ἐφ' ὅτου ἄν τις συνέθηκεν οὐχ ὡσαύτως εἶναι αὐτῷ πρὸς θυμοῦ

* * *

Ἡφαιστίων.

τούτῳ τῷ λόγῳ ὑποπλήξαντα Ἡφαιστίωνα, ξυναλλαγῆναι Εὐμενεῖ, οὐχ ἑκόντα ἑκόντι. ἐν ταύτῃ τῇ ὁδῷ καὶ τὸ πεδίον λέγεται ἰδεῖν Ἀλέξανδρος τὸ ἀνειμένον ταῖς ἵπποις ταῖς βασιλικαῖς. αὐτό τε πεδίον Νησαῖον καλούμενον· καὶ αἱ ἵπποι ὅτι Νησαῖαι κληΐζονται, λέγει Ἡρόδοτος. εἶναι δὲ πάλαι μὲν ἐς πεντεκαίδεκα μυριάδας τῶν ἵππων· τότε δὲ Ἀλέξανδρος οὐ πολὺ πλείονας τῶν πέντε καταλαβεῖν. πρὸς λῃστῶν γὰρ διαρπαγῆναι τὰς πολλὰς αὐτῶν. ἐνταῦθα λέγουσιν ὅτι Ἀτροπάτης ὁ τῆς Μηδείας σατράπης γυναῖκας ἑκατὸν αὐτῷ ἔδωκε, ταύτας φάσκων εἶναι τῶν Ἀμαζόνων· καὶ ταύτας σκευῇ ἀνδρῶν ἱππέων ἐσταλμένας, πλήν γε δὴ ὅτι πελέκεις ἀντὶ δοράτων ἐφόρουν, καὶ ἀντὶ ἀσπίδων πέλτας. οἱ δὲ καὶ τὸν μαστὸν λέγουσιν ὅτι μείονα εἶχον τὸν δεξιὸν, ὃν δὴ καὶ ἔξω εἶχον ἐν ταῖς μάχαις. ταύτας μὲν δὴ ἀπαλλάξαι τῆς στρατιᾶς Ἀλέξανδρον, μή τι νεωτερισθείη κατ' αὐτὰς ἐς ὕβριν πρὸς τῶν Μακεδόνων, ἢ βαρβάρων. κελεῦσαι δὲ ἀπαγγεῖλαι πρὸς τὴν βασίλισσαν σφῶν, ὅτι αὐτὸς ἥξει πρὸς αὐτὴν παιδοποιησόμενος. ταῦτα δὲ οὔτε

A ducem eis adiunxerit. Ita tandem ſalutatos omnes, lacrymans lacrymantes etiam ipſos dimiſit, Craterúmq; eos ducere, deinde Macedoniæ, Thraciæ & Theſaliæ ac libertati Græcorum præeſſe iubet. Antipatrum verò, in eorum qui dimiſſi eſſent locum alios Macedones ætate ac viribus florentes adducere iubet. Polyperchontem etiam cum Cratero miſit, qui ſecundus à Cratero dux eſſet, ne, ſiquid humanitus Cratero in itinere accideret, (quippe qui quum mitteretur corpore erat parum firmo) ducem itineris deſiderarent. B Porro obſcurus quidam rumor ſpargebatur ab iis qui regum negotia, quo magis occultãtur, eo magis euulgare concupiſcũt, fidémque ſemper in deteriorem partem potius quàm in ſaniorem ſcelerate inclinant, Alexandrum iam tum matris ſuæ calumniis quibus Antipatrum onerarat victum, Antipatrũ Macedonia amouere voluiſſe. Sed fortaſſe hæc Antipatri euocatio nequaquam ád eius ignominiam ſpectabat, ſed potius nequid ex illorum diſſenſione mali oriretur, C cui ne ipſe quidem mederi poſſet. Frequentes enim literæ ad Alexandrum adferebantur, quibus hic Olympiadis arrogantiam, acerbitatem, curioſitatémque incuſabat, quę Alexandri matrem parum decerent: adeo vt huiuſmodi quid ab Alexandro dictum fuiſſe narrent, Graue decem menſium habitationis pretium à matre exigi. Olympias verò Antipatrum vt inſolentem ex imperio & popularium obſeruantia, neque iam amplius meminiſſe eius à quo tantam poteſtatem accepiſſet: ſed dignum ſe iudicare qui D inter Macedones & Græcos primas obtineat. Atqui Alexandri fides magis in eam partem inclinabat quæ ad Antipatri calumniam pertinebat, vtpote quod regno magis extimeſcendum erat. Nullum tamen Alexãder vel dictum vel factum edidit, è quo quiſpiam ſuſpicari poſſet, eum alieniore ab Antipatro animo eſſe

* * *

Hoc ſermone deterritum Hephæſtionẽ non libenter Eumeni, eius rei cupido, reconci- E liatum fuiſſe. In hoc ipſo itinere fertur Alexander vidiſſe campum in quo iumenta regia paſci ſolent, quem quidem campum Herodotus Neſſæum, equáſque Neſſæas vocatas fuiſſe ait: fuiſſéque olim in his campis equarum circiter CL millia: tunc verò Alexandrum non multo plures quinquaginta millibus repeiſſe: pleraſque enim à prædonibus furto ſublatas. Eo loci Atropates Mediæ ſatrapa centum ei mulieres dedit, quas Amazones eſſe dicebat, habitu virorũ F equitum ornatas, præterquam quòd ſecures pro lanceis geſtabant, & peltas pro ſcutis. Sunt qui dicant eas etiam dextras mammas minores habuiſſe, eáſque in præliis exeruiſſe. Has Alexander ab exercitu remiſit, nequid à Macedonibus aut barbaris probri paterentur. Iuſſit autem vt reginæ nunciarent, ſe ad eam generandæ prolis cauſa profecturum. Verùm hæc neque Ariſto-

bulus, neque Ptolemæus, neque alius quiſpiam fidedignus autor tradidit. Mihi verò non videtur Amazonũ gens ea tẽpeſtate ſuperfuiſſe. Sed nec ante Alexãdri tẽpora Xenophon earum meminit, qui tamẽ & Colchorum & Phaſiorum mentionẽ fecit, cæterarúmq; barbararũ gentiũ, quas Græci Trapezunte profecti, aut etiam priuſquã Trapezunta venirent, percurrerunt. quibus in locis etiã in Amazones incidiſſet, ſiqua adhuc iis temporibus earũ ſoboles extitiſſet. Neque enim mihi credibile videtur, hoc mulierum genus nunquã extitiſſe: quũ ſint à tã multis & claris autoribus celebratæ. quandoquidẽ & Herculẽ in eas miſſum fuiſſe fama eſt, atque Hippolytes reginæ baltheum in Græciã reportaſſe: & Athenienſes Theſeo duce has mulieres Europã inuadentes primo prælio ſuperatas repuliſſe. Scripta etiã eſt à Cimone Athenienſiũ cum Amazonibus pugna, non minus accuratè quàm Athenienſiũ & Perſarum. Præterea & Herodotus frequẽter harũ mulierũ mentionẽ facit, & quotquot Athenieſes ſcriptores eos qui in bello mortui ſũt ſcriptis ornarunt, bellũ ab Athenienſib' aduerſus Amazonas geſtum in primis celebrarũt. Si verò equeſtres quaſdã mulieres Atropates Alexãdro exhibuit, aliud quoddã barbararũ mulierũ genus fuiſſe crediderim, quę equitandi peritæ, & eo quẽ diximus Amazonum more armatæ fuerint. In Ecbatanis Alexander (vt pro felici ſucceſſu rerũ ei moris erat) ſacrificiũ fecit, ludóſq; gymnicos & muſicos edidit, cõuiuiáque cum amicis curauit. Inter hæc Hephæſtion in morbũ incidit: erátq; is dies ab initio morbi ſeptimus. Atque Alexander quidem ſtatim ac de eius morbo certior factus eſt, ſtadio (habebãtur enim eo die à pueris certamina gymnica) exceſſiſſe dicitur. quúmq; magna celeritate ad eum ſe cõtuliſſet, mortuũ reperit. Hîc alij alia de Alexãdri luctu ſcripſerũt: omnes tamẽ in eo cõſentiunt incredibili cum mœrore affectum fuiſſe. Quibus autẽ rebus dolorem ſuum teſtatus ſit, alij aliter narrãt, prout cuiuſque animus aut beneuolentia aut inuidia erga Hephæſtionẽ, aut erga Alexandrũ ipſũ occupatus erat: quorũ qui indecentiora ſcripſerunt, videntur mihi cenſuiſſe ad Alexãdri laudẽ referẽda eſſe, quæcũque ex ingẽti mœrore ob amici, quẽ præ reliquis mortalibus charum habebat, mortẽ vel dixerit vel fecerit: alij potius vitio vertebãt immoderatum luctum, & regi & Alexandro parum decorũ. alij Alexandrũ magna diei parte eiulantem ſuper amici corpus procubuiſſe narrant, neque recedere voluiſſe, donec ab amicis auelleretur: alij diẽ integrũ noctémque integrã corpori exanimi incubuiſſe aiunt: alij Glauciam medicũ ob potionẽ non rectè datã, in crucẽ tolli iuſſiſſe: alij quòd quũ eum liberalius bibiſſe cerneret, curam eius omiſiſſet. Cęterùm quòd ipſe ſuper mortui corp' proſtratus comã præſciderit, aliáq; luctus ſigna ediderit nõ indecorũ exiſtimauerim, exẽplo Achillis, quẽ à puero æmulabatur: alij currus quo corpus Hepheſtionis vehebatur, ipſummet rectorem aurigámque fuiſſe: quod quidem mihi nequaquam veriſimile videtur: alij quòd in Ecbatanis ædem Æſculapio ſacram ſubuerti iuſſerit. Sed & hoc barbaricum eſt, neque Ale-

Vet. cod. ἀγαθῆς

Ἀριστόβουλος, οὔτε Πτολεμαῖος, οὔτε τις ἄλλος ἀνέγραψεν, ὅστις ἱκανὸς ὑπὲρ τῶν τηλικούτων τεκμηριῶσαι. οὐδὲ δοκεῖ μοι ἐν τῷ τότε σώζεσθαι τὸ γένος τῶν Ἀμαζόνων, οὐδ᾽ ἔτι πρὸ Ἀλεξάνδρου ἢ Ξενοφῶν ἀνεμνήσθη αὐτῶν, Φασιανῶν τε μνησθεὶς καὶ Κόλχων, καὶ ὅσα ἄλλα ἀπὸ Τραπεζοῦντος ὁρμώμενοι, ἢ πρὶν ἐς Τραπεζοῦντα κατελθεῖν οἱ Ἕλληνες ἐπῆλθον ἔθνη βαρβαρικά· ἵναπερ καὶ ταῖς Ἀμαζόσιν ἐντετυχήκεσαν, εἴπερ οὖν ἔτι ἦσαν Ἀμαζόνες. μὴ γενέσθαι μὲν γὰρ παντελῶς τὸ γένος τούτων τῶν γυναικῶν, οὐ πιστὸν δοκεῖ ἔμοιγε, πρὸς τοσούτων καὶ τοιούτων ὑμνηθέν· ὡς Ἡρακλέα τε ἐπ᾽ αὐτὰς λόγος κατέχει ὅτι ἐστάλη, καὶ ζωστῆρά τινα Ἱππολύτης τῆς βασιλίσσης αὐτῶν ὅτι ἐς τὴν Ἑλλάδα ἐκόμισε· καὶ οἱ ξὺν Θησεῖ Ἀθηναῖοι ὅτι ἐπιούσας τὰς γυναῖκας ταύτας τὴν Εὐρώπην πρῶτοι μάχῃ νικήσαντες ἀπέστειλαν. καὶ γέγραπται ἡ Ἀθηναίων καὶ Ἀμαζόνων μάχη πρὸς Κίμωνος, οὐ μεῖον ἤπερ ἡ Ἀθηναίων καὶ Περσῶν. καὶ Ἡροδότῳ πολλάκις περὶ τῶν γυναικῶν τούτων πεποίηται, καὶ ὅσοι Ἀθηναίων τοὺς ἐν πολέμῳ τελευτήσαντας λόγῳ ἐκόσμησαν, καὶ τοῦ πρὸς Ἀμαζόνας ἔργου Ἀθηναίων ἐν τοῖς μάλιστα μνήμην ἐποιήσαντο. εἰ δὲ ἱππικάς δή τινας γυναῖκας Ἀτροπάτης ἔδειξεν Ἀλεξάνδρῳ, βαρβάρους τινὰς ἄλλας γυναῖκας ἱππεύειν ἠσκημένας δοκῶ ὅτι ἔδειξεν, ἐς τὸν λεγόμενον δὴ τῶν Ἀμαζόνων κόσμον ἐσταλμένας.

Ἐν Ἐκβατάνοις δὲ θυσίαν τε ἔθυσεν Ἀλέξανδρος (ὥσπερ αὐτῷ ἐπὶ ξυμφοραῖς ἀγαθαῖς νόμος) καὶ ἀγῶνα ἐπετέλει γυμνικόν τε καὶ μουσικόν. καὶ πότοι αὐτῷ ἐγίγνοντο παρὰ τοῖς ἑταίροις. καὶ ἐν τούτῳ Ἡφαιστίων ἔκαμε τὸ σῶμα· ἑβδόμη τε ἡμέρα ἤδη ἦν αὐτῷ τῆς νόσου, καὶ λέγουσι τὸ μὲν στάδιον πλῆρες εἶναι (παίδων γὰρ ἀγὼν ἦν ἐκείνῃ τῇ ἡμέρᾳ γυμνικός) ἐπεὶ δὲ ἐξηγγέλλετο Ἀλεξάνδρῳ ὅτι κακῶς ἔχει Ἡφαιστίων, ὁ δὲ παρ᾽ αὐτὸν ἐλθὼν σπουδῇ, οὐκέτι ζῶντα κατέλαβεν. ἔνθα δὴ καὶ ἄλλοι ἄλλα ἀνέγραψαν, ὑπὲρ τοῦ πένθους τοῦ Ἀλεξάνδρου. μέγα μὲν γενέσθαι αὐτῷ τὸ πένθος, πάντες τοῦτο ἀνέγραψαν· τὰ δὲ πραχθέντα ἐπ᾽ αὐτῷ, ἄλλοι ἄλλα, ὡς ἕκαστος ἢ εὐνοίας πρὸς Ἡφαιστίωνα, ἢ φθόνου εἶχεν, ἢ καὶ πρὸς αὐτὸν Ἀλέξανδρον. ὧν οἱ τὰ ἀτάσθαλα ἀναγράψαντες, οἱ μὲν ἐς κόσμον φέρειν μοι δοκοῦσιν οἰηθῆναι Ἀλεξάνδρῳ ὅσα ὑπεραλγήσας ἔδρασεν ἢ εἶπεν, ἐπὶ τῷ πάντων δὴ ἀνθρώπων φιλτάτῳ· οἱ δὲ ἐς αἰσχύνην μᾶλλόν τι, ὡς οὐ πρέποντα οὔτ᾽ οὖν βασιλεῖ οὔτε Ἀλεξάνδρῳ. οἱ μὲν, τὸ πολὺ μέρος τῆς ἡμέρας ἐκείνης ἐρριμμένον ἐπὶ τοῦ σώματος τοῦ ἑταίρου ὀδύρεσθαι, οὐδ᾽ ἐθέλειν ἀπαλλαγῆναι, πρίν γε δὴ πρὸς βίαν ἀπηνέχθη πρὸς τῶν ἑταίρων· οἱ δὲ, τὴν τε ἡμέραν ὅλην καὶ τὴν νύκτα ὅλην ἐρρῖφθαι ἐπὶ τῷ σώματι· οἱ δὲ, καὶ τὸν ἰατρὸν Γλαυκίαν ὅτι ἐκρέμασε, καὶ τοῦτον ὡς ἐπὶ φαρμάκῳ κακῶς δοθέντι· οἱ δὲ, ὅτι οἴνου περιεῖδεν ἐμπλησθέντα θεωρῶν αὐτός. καὶ κείρασθαι Ἀλέξανδρον ἐπὶ τῷ νεκρῷ τὴν κόμην, τά τε ἄλλα οὐκ ἀπεικότα τίθεμαι, καὶ κατὰ ζῆλον τὸν Ἀχιλλέως, πρὸς ὅντινα ἐκ παιδὸς φιλοτιμία ἦν αὐτῷ. οἱ δὲ καὶ τὸ ἅρμα, ἐφ᾽ ὅτῳ τὸ σῶμα ἐφέρετο, αὐτὸς ἔστιν ὅτε ἡνιοχεῖν τοῦτο· οὐδαμῇ πιστὸν ἔμοιγε λέγοντες. ἄλλοι δὲ, ὅτι καὶ τοῦ Ἀσκληπιοῦ τὸ ἕδος ἐν Ἐκβατάνοις κατασκάψαι ἐκέλευσε. βαρβαρικὸν δὴ τοῦτο, καὶ

οὐδαμῇ Ἀλεξάνδρῳ προσφορον. ἀλλὰ τῇ Ξέρξου A μᾶλλόν τι ἀτασθαλίᾳ τῇ ἐς τὸ θεῖον, καὶ τὰς πέδας ἃς λέγουσιν εἰς τὸν Ἑλλήσποντον καθεῖναι Ξέρξην, τιμωρούμενον δῆθεν τὸν Ἑλλήσποντον. ἀλλὰ καὶ ἐκεῖνο οὐ πάντῃ ἔξω τοῦ εἰκότος ἀναγεγράφθαι μοι δοκεῖ· ὡς ἐπὶ Βαβυλῶνος ἤλαυνεν Ἀλέξανδρος, ἐντυχεῖν αὐτῷ κατὰ τὴν ὁδὸν πολλὰς πρεσβείας ἀπὸ τῆς Ἑλλάδος, εἶναι δὲ δὴ ἐν τούτοις Ἐπιδαυρίων πρέσβεις· καὶ τούτους ὧν τε ἐδέοντο ἐξ Ἀλεξάνδρου τυχεῖν, καὶ ἀνάθημα δοῦναι αὐτοῖς Ἀλέξανδρον κομίζειν τῷ Ἀσκληπιῷ ἐπειπόντα ὅτι, Καίπερ οὐκ ἐπιεικῶς κέχρηταί μοι ὁ Ἀσκληπιὸς, οὐ σώσας μοι τὸν ἑταῖρον, ὅντινα B ἴσον τῇ ἐμαυτοῦ κεφαλῇ ἦγον. ἐναγίζειν τε ὅτι ἀεὶ ὡς ἥρωϊ ἐκέλευεν Ἡφαιστίωνι, τοῦτο μὲν πρὸς τῶν πλείστων ἀναγέγραπται. οἱ δὲ λέγουσιν ὅτι καὶ εἰς Ἄμμωνος ἔπεμψεν, ἐρησομένους τὸν θεὸν εἰ καὶ ὡς θεῷ θύειν συγχωρεῖ Ἡφαιστίωνι· τὸν δὲ οὐ συγχωρῆσαι. ἐκεῖνα δὲ πρὸς πάντων ξυμφωνούμενα, ἐς τρίτην ἀπὸ τοῦ θανάτου τοῦ Ἡφαιστίωνος ἡμέραν, μήτε σίτου γεύσασθαι Ἀλέξανδρον, μήτε τινὰ θεραπείαν ἄλλην θεραπεῦσαι τὸ σῶμα· ἀλλὰ κεῖσθαι γὰρ ἢ ὀδυρόμενον, ἢ πενθικῶς C σιγῶντα. καὶ πυρὰν κελεῦσαι αὐτῷ ἑτοιμάζεσθαι ἐν Βαβυλῶνι, ἀπὸ ταλάντων μυρίων· οἱ δὲ καὶ πλειόνων ἀνέγραψαν· καὶ ὅτι πένθος ποιεῖσθαι περιηγγέλη κατὰ πᾶσαν τὴν χώραν τὴν βάρβαρον· καὶ ὅτι πολλοὶ τῶν ἑταίρων τῶν Ἀλεξάνδρου ἐς θεραπείαν τὴν ἐκείνου σφᾶς τε αὐτοὺς καὶ τὰ ὅπλα Ἡφαιστίωνι ἀνέθεσαν ἀποθανόντι. πρῶτον δὲ Εὐμενῆ ἄρξαι τοῦ σοφίσματος, ὅντινα ὀλίγῳ πρόσθεν ἔφαμεν ὅτι διηνέχθη πρὸς Ἡφαιστίωνα· καὶ τοῦτο δὲ δρᾶσαι τοῦ Ἀλεξάνδρῳ, ὡς μὴ ἐφήδεσθαι δοκοίη τελευτήσαντι D Ἡφαιστίωνι. οὔκουν οὐδὲ ἄλλον τινὰ ἔταξεν ἀντὶ Ἡφαιστίωνος χιλίαρχον ἐπὶ τῇ ἵππῳ τῇ ἑταιρικῇ Ἀλέξανδρος, ὡς μὴ ἀπόλοιτο τὸ ὄνομα τοῦ Ἡφαιστίωνος ἐκ τῆς τάξεως· ἀλλὰ Ἡφαιστίωνός τε ἡ χιλιαρχία ἐκαλεῖτο, καὶ τὸ σημεῖον αὐτῆς ἡγεῖτο ἐξ Ἡφαιστίωνος πεποιημένον. ἀγῶνά τε ἐπενόει ποιῆσαι γυμνικόν τε καὶ μουσικὸν, πλήθει τε τῶν ἀγωνιζομένων, καὶ τῇ εἰς αὐτὸν χορηγίᾳ πολύ τι τῶν ἄλλων τῶν πρόσθεν ἀριδηλότερον. τρισχιλίους γὰρ ἀγωνιστὰς τοὺς ξύμπαντας παρεσκεύασε, καὶ οὗτοι ὀλίγον ὕστερον ἐπ' Ἀλεξάνδρου E τῷ τάφῳ λέγουσιν ὅτι ἠγωνίσαντο. χρόνος τε ἦν συχνὸς τῷ πένθει· καὶ αὐτός τε αὐτὸν ἤδη μετεκάλει ἀπ' αὐτοῦ, καὶ οἱ ἑταῖροι μᾶλλόν τι ἐν τῷ τοιῷδε ἤνυτον. ἔνθα δὴ ἐξέλασιν ποιεῖται ἐπὶ Κοσσαίους, ἔθνος πολεμικὸν, ὅμορον τῷ Οὐξίων. εἰσὶ δὲ ὄρειοι οἱ Κοσσαῖοι, καὶ χωρία ὀχυρὰ κατὰ κώμας νέμονται, ὁπότε προσάγοι δύναμις ἐς τὰ ἄκρα τῶν ὀρῶν ἀποχωροῦντες ἀθρόοι ἢ ὅπως ἂν προχωρῇ ἑκάστοις, οὕτω διαφεύγουσιν, ἐς ἀπορίαν βάλλοντες τοὺς ξὺν δυνάμει σφίσιν ἐπιχειροῦντας· ἀπελθόντων δὲ, αὖθις εἰς τὸ λῃστεύειν τρεπόμενοι, ἀπὸ τούτου τὸν βίον ποιοῦνται. F Ἀλέξανδρος δὲ ἐξεῖλεν αὐτῶν τὸ ἔθνος, καίπερ χειμῶνος στρατεύσας· ἀλλ' οὔτε χειμὼν ἐγένετο ἐμπόδιον αὐτῷ, οὔτε αἱ δυσχωρίαι, οὔτε αὐτῷ οὔτε Πτολεμαίῳ τῷ Λάγου, ὃς μέρος τῆς στρατιᾶς ἐπ' αὐτοὺς ἦγεν. οὕτως οὐδὲν ἄπορον Ἀλεξάνδρῳ τῶν πολεμικῶν ἦν, ἐς ὅ,τι ὁρμήσειε. κατιόντι δὲ αὐτῷ εἰς Βαβυλῶνα, Λιβύων τε πρεσβεῖαι ἐνετύγχανον, ἐπαινούντων τι καὶ στεφα-

xandro vlla ratione conueniens: ſed Xerxis potius in deos impietate dignum, & cõpedibus quas illum in Helleſpontum vindictæ cauſa demiſiſſe ferunt. Cæterùm hoc nõ diſſentaneum vero iudicauerim, quòd à nõnullis memoriæ traditum eſt: eunti verſus Babylonem Alexandro multas Græcorũ legationes in itinere obuiã veniſſe, inter quos etiam Epidauriorũ legati erant. quibus quũ poſtulata conceſſiſſet, donariũ dediſſe quod AEſculapio ſuffigerent, his verbis adiectis, AEſculapius parum æquus mihi fuit, qui a-« micum, quem ego tanquam caput meum a-« mabam, non ſeruarit. Hephæſtioni etiã ſem-« per vt heroi parentari iuſſiſſe à pleriſque ſcriptum eſt. Alij addunt miſiſſe illum ad Ammonis templũ qui deum conſuleret, an Hephæſtioni vt deo ſacrificari permitteret. idq; Iouem negaſſe. In his verò ſcriptores omnes inter ſe conueniunt, Alexandrum totum triduum ab Hephæſtionis obitu neque cibum deguſtaſſe, neque vllam aliam corporis curam tenuiſſe, ſed aut lamentantem, aut tacitè dolorem prementem iacuiſſe, mandaſſéque illi funus parari Babylone x. M talentũm: alij plura adſcribunt. quódque per vniuerſam barbarorum regionem publicum luctum indixerit. ad hæc multos ex amicis Alexãdri ad leuandum dolorem, & ſe & arma Hephæſtioni deuouiſſe: ac primùm quidem omniũ Eumenẽ illius conſilij autorem fuiſſe, quẽ paulo antè ſimultatẽ cũ Hephæſtione geſſiſſe diximus. Is id officij mortuo præſtabat, ne Alexander illum lętitiã ex Hephæſtionis obitu pcepiſſe ſuſpicaretur. Præter hæc Alexander neminẽ in Hephæſtionis locum, qui chiliarchiæ equitũ ſociorũ præeſſet ſuffecit, ne Hephæſtionis nomen ex agmine interiret, ſed Hephæſtionis chiliarchiam vocari voluit: ſignúmq; ei præferri in agmine & prælio quod Hephæſtion cõfecerat. Ludos præterea gymnicos & muſicos, cùm certantiũ multitudine, tum ſumptuum præmiorúmque magnitudine, lõgè priorib⁹ omnibus illuſtriores inſtituit. Tria nanque certantium millia in id præparauerat, quos quidẽ non multo pòſt ad ipſius tumulũ certaſſe ferunt. Et iam multo tempore luctus cõtinuatus erat, ipſéque ſe à mœrore reuocare cœperat, multúmq; eam ad rem amicorum cõſolationes iuuabãt: quũ rurſum expeditionẽ in Coſſæos gentẽ bellicoſam, Vxiis finitimã, ſuſcipit. Sunt hi mõtani populi, oppidáq; munita inhabitant: vbi ſe valido aliquo exercitu peti vident in montiũ cacumina confertim ſeſe recipiunt, aut quà cuique integrum eſt diffugiunt in loca quæ ab exercitu adiri non poſſint: deinde diſcedentibus hoſtibus rurſus ad latrocinia cõuerſi, vitam hoc pacto tuentur. Alexander nihilominus illos, quantumuis hyems eſſet, ſedibus ſuis eiecit. Cæterùm neque bruma, neque difficultas locorum, aut ipſi, aut Ptolemæo Lagi, qui partem exercitus ducebat, impedimento fuit. adeo nihil eius virtuti bellicæ inacceſſum erat. Dehinc Babyloniam petenti Alexandro Afrorum legati oc-

currerunt gratulantes, Aſiæ coronam illi deferentes. Ex Italia quoque Brutij, Lucani ac Tuſci eadem de cauſa legatos miſerunt. Idem & Carthagenieſes feciſſe dicuntur: ab AEthiopibus quoque venerunt, & à Scythis Europam incolentibus: à Celtis etiam & Iberis, omnes amicitiam petentes: quorum nomina ac cultum tum primùm Macedones cognouerũt. Nonnullos etiam vt controuerſias quæ inter eos incidiſſent dirimeret, veniſſe ferunt. Ac tum primùm Alexandrum ſibiipſi & qui cum eo erant vniuerſæ terræ ac maris dominum viſum eſſe. Ariſtus autem & Aſclepiades, ex iis qui de Alexandri rebus geſtis ſcripſerunt, dicũt Romanos etiam legatos miſiſſe: & Alexandrum, audita eorum legatione, iam tum de futura Romanorum potentia aliquid auguratum eſſe, quum & illorum modeſtiam & diligentiam, ac generoſitatem animaduertiſſet, eorúmque mores atque inſtituta cognouiſſet. Cæterùm hoc, vt neque omnino certum, neque prorſus incredibile, commemoraui: tametſi nullus Romanarum rerum ſcriptor huius legationis ad Alexandrum miſſæ mentionem fecit: neque ex iis qui Alexandri res geſtas cõſcripſerunt (quos quidem ego præcipuè ſequor) Ptolemæus Lagi & Ariſtobulus. Neque verò Romanæ reipublicæ conueniens videtur, quæ liberrima tum temporis erat, ad regem exterum, quique alioqui tam procul domo aberat, legatos miſiſſe. præſertim quum neque metus vrgeret, neque vlla vtilitatis ſpes eos moueret: quúmque, ſi qui alij, odio tyrannicum & genus & nomen proſequerentur.

Poſt hæc Alexander Heraclidem Argæi filium cum nauiũ architectis in Hyrcaniam mittit, qui exciſa è montibus Hyrcaniæ materia naues oblongas conficiat: partim tectas, partim apertas, Græcarum nauium inſtar. Cupiebat enim etiam illud mare, & Caſpium atque Hyrcanium, & cui mari cõmittatur cognoſcere, vtrum ponto Euxino, vtrum ab orientali mari Indos verſus circunductus Oceanus in ſinum Hyrcaniũ refundatur (quemadmodum etiam Perſicum, rubrum mare alij vocant, ſinum Oceani eſſe compererat) Neque enim adhuc inuenta erant Caſpij maris initia, quãuis multæ gentes circum ipſum incolerẽt, multíque amnes nauigabiles in illud mare ferrentur. Nam ex Bactris Oxus maximus Aſiæ fluminum, Indicis exceptis, in Caſpium mare fluit: per Scythas, Oxyartes. Araxem quoque, qui ab Armeniis fluit, in hoc mare ferri plerique tradunt: atque hi quidem maximi amnes ſunt. multi verò prætereа alij in hos fluuios illabentes, & ipſi ſeorſum in iſtud mare exeunt: partim ab iis qui cum Alexandro gentes illas obierunt cogniti; partim vltra ſinum in Scythas, Nomadas dictos, labentes, in vniuerſum nobis incogniti. Alexander quum per Tigrim flumen exercitum traieciſſet, Babylonem proficiſcens, Chaldæos vates obuios habuit, qui eum ab amicis ſeuocatum rogarunt vt profectioni Babylonicæ ſuperſederet. Oraculo enim ſeſe

Fac. Quam Scythæ montani accolunt.

A νομιζόντων ἐπὶ τῇ βασιλείᾳ τῆς Ἀσίας· καὶ ἐξ Ἰταλίας Βρέττιοί τε καὶ Λευκανοὶ καὶ Τυρρηνοὶ ἐπὶ τῆς αὐτῆς ἐπρέσβευον. καὶ Καρχηδονίους τότε πρεσβεῦσαι λέγεται, καὶ ἀπὸ Αἰθιόπων πρέσβεις ἐλθεῖν, καὶ Σκυθῶν τῶν ἐκ τῆς Εὐρώπης, καὶ Κελτοὺς καὶ Ἴβηρας, ὑπὲρ φιλίας δεησομένους· ὧν τά τε ὀνόματα καὶ τὰς σκευὰς τότε πρῶτον ὀφθῆναι πρὸς Ἑλλήνων τε καὶ Μακεδόνων. τοὺς δὲ καὶ ὑπὲρ τῶν εἰς ἀλλήλους διαφορῶν λέγουσιν ὅτι Ἀλέξανδρον διακρῖναι ἐπέτρεπον. καὶ τότε μάλιστα αὐτόν τε αὑτῷ Ἀλέξανδρον καὶ τοῖς B ἀμφ' αὐτὸν φανῆναι γῆς τε ἁπάσης καὶ θαλάσσης κύριον. Ἀρίστος δὲ καὶ Ἀσκληπιάδης τῶν τὰ Ἀλεξάνδρου ἀναγραψάντων, καὶ Ῥωμαίους λέγουσιν ὅτι ἐπρέσβευσαν· καὶ ἐντυχόντα ταῖς πρεσβείαις Ἀλέξανδρον, ὑπὲρ Ῥωμαίων τι τῆς ἐσομένης ἐς τὸ ἔπειτα δυνάμεως μαντεύσασθαι, τόν τε κόσμον τῶν ἀνδρῶν ἰδόντα καὶ τὸ φιλόπονόν τε καὶ ἐλευθέριον, καὶ περὶ τοῦ πολιτεύματος ἅμα διαπυνθανόμενον. καὶ τοῦτο οὔτε ὡς ἀτρεκὲς, οὔτε ὡς ἄπιστον πάντη ἀνέγραψα. πλήν γε δὴ οὔτε τις Ῥωμαίων ὑπὲρ τῆς πρεσβείας ταύτης, ὡς C παρὰ Ἀλέξανδρον σταλείσης, μνήμην ἐποιήσατό τινα, οὐδὲ τῶν τὰ Ἀλεξάνδρου γραψάντων (οἷστισι μᾶλλον ἐγὼ ξυμφέρομαι) Πτολεμαῖος ὁ Λάγου καὶ Ἀριστόβουλος· οὐδὲ τῷ Ῥωμαίων πολιτεύματι ἐπεικὸς ἦν, ἐλευθέρῳ δὴ τότε ἐς τὰ μάλιστα ὄντι, παρὰ βασιλέα ἀλλόφυλον, ἄλλως τε καὶ ἐς τοσόνδε ἀπὸ τῆς οἰκείας πρεσβεῦσαι· οὔτε φόβου ἐξαναγκάζοντος, οὔτε κατ' ἐλπίδα ὠφελείας, μίσει τε, εἴπερ τινὰς ἄλλους, τοῦ τυραννικοῦ γένους τε καὶ ὀνόματος κατεχομένους.

Ἐκ τούτου δὴ Ἡρακλείδην τὸν Ἀργαίου ἐκπέμπει D ἐς Ὑρκανίαν, ναυπηγοὺς ἅμα οἱ ἄγοντα, κελεύσας ὕλην τεμόντα ἐκ τῶν ὀρῶν τῶν Ὑρκανίων, ναυπηγεῖσθαι ναῦς μακρὰς, ἀφράκτους τε καὶ πεφραγμένας, ἐς τὸν κόσμον τὸν Ἑλληνικόν. πόθος γὰρ εἶχεν αὐτὸν καὶ ταύτην ἐκμαθεῖν τὴν θάλασσαν, τὴν Κασπίαν τε καὶ Ὑρκανίαν καλουμένην, ποίᾳ τινὶ ξυμβάλλει θαλάσσῃ, πότερα τῇ τοῦ πόντου τοῦ Εὐξείνου, ἢ ἀπὸ τῆς ἑῴας τῆς κατ' Ἰνδοὺς ἐκπεριερχομένη ἡ μεγάλη θάλασσα ἀναχεῖται εἰς κόλπον τὸν Ὑρκάνιον· (καθάπερ οὖν καὶ τὸν Περσικὸν ἐξεῦρε, τὴν ἐρυθρὰν δὴ καE λουμένην θάλασσαν, κόλπον οὖσαν τῆς μεγάλης θαλάσσης) οὐ γάρ πω ἐξεύρηνται αἱ ἀρχαὶ τῆς Κασπίας θαλάσσης, καίτοι ἐθνῶν τε αὐτὴν οἰκούντων οὐκ ὀλίγων, καὶ ποταμῶν πλοΐμων ἐμβαλλόντων εἰς αὐτήν. ἐκ Βάκτρων μὲν Ὄξος μέγιστος τῶν Ἀσιανῶν ποταμῶν, πλήν γε δὴ τῶν Ἰνδῶν, ἐξίησιν ἐς ταύτην τὴν θάλασσαν. διὰ Σκυθῶν δὲ, Ὀξυάρτης. καὶ τὸν Ἀράξην δὲ, τὸν ἐξ Ἀρμενίων ῥέοντα, ἐς ταύτην ἐσβάλλειν ὁ πλείων λόγος κατέχει· μέγιστοι μὲν οὗτοι. πολλοὶ δὲ δὴ καὶ ἄλλοι ἐς τούτους ἐμβάλλοντες, καὶ αὐF τοὶ ἐπὶ σφῶν ἐς τὴν θάλασσαν ταύτην ἐξίασιν· οἱ μὲν, καὶ γινωσκόμενοι πρὸς τῶν ἀμφ' Ἀλέξανδρον, ἐπελθόντων τὰ ἔθνη ταῦτα· οἱ δὲ, κατὰ τὰ ἐπέκεινα τοῦ κόλπου ὡς εἰκὸς ἐς τοὺς Σκύθας τοὺς Νομάδας, ὃ δὴ ἄγνωστον πάντη ἐστίν. Ἀλέξανδρος δὲ, ὡς τὸν Τίγρητα ποταμὸν ξὺν τῇ στρατιᾷ διέβη, ἐλαύνων ἐπὶ Βαβυλῶνος, ἐνταῦθα ἐντυγχάνουσιν αὐτῷ Χαλδαίων οἱ λόγιοι. καὶ ἀπαγαγόντες ἀπὸ τῶν ἑταίρων, ἐδέοντο ἐπισχεῖν τὴν ἐπὶ Βαβυλῶνος ἔλασιν. λόγιον γὰρ

γεγονέναι σφίσιν ἐκ θεοῦ τοῦ Βήλου, μὴ πρὸς ἀγαθοῦ A
οἱ εἶναι τὴν πάροδον τὴν ἐς Βαβυλῶνα ἐν τῷ τότε. τὸν
δὲ ἀποκρίνασθαι αὐτοῖς λόγον, τοῦ Εὐριπίδου τοῦ
ποιητοῦ ἔπος. ἔχει δὲ τὸ ἔπος Εὐριπίδῃ ὧδε, Μάντις
δ' ἄριστος ὅστις εἰκάζει καλῶς. Σὺ δὲ ὦ βασιλεῦ,
ἔφασαν οἱ Χαλδαῖοι μὴ πρὸς δυσμὰς ἀφορῶν αὐ-
τὸς, μηδὲ τὴν στρατιὰν ταύτῃ ἐπέχουσαν ἄγων παρελ-
θεῖν· ἀλλὰ ἐκπεριελθὼν πρὸς ἕω μᾶλλον. τῷ δὲ οὐδὲ
τοῦτο εὐμαρὲς διὰ δυσχωρίαν ξυνέβη· ἀλλὰ ἦγε γὰρ
αὐτὸν ταύτῃ τὸ δαιμόνιον, ᾗ παρελθόντα ἐχρῆν ἤδη
τελευτῆσαι. καί που τυχὸν καὶ ἄμεινον αὐτῷ ἦν ἐν ἀ- B
κμῇ τῆς τε ἄλλης δόξης, καὶ τοῦ πόθου τοῦ παρ' ἀνθρώ-
πων ἀπηλλάχθαι, πρίν τινα ξυμβῆναι αὐτῷ ξυμφο-
ρὰν ἀνθρωπίνην, ἧς ἕνεκα καὶ Σόλωνα Κροίσῳ πα-
ραινέσαι εἰκὸς, τέλος ὁρᾶν μακροῦ βίου, μηδὲ πρό-
σθεν τινὰ ἀνθρώπων ἀποφαίνειν εὐδαίμονα. ἐπεὶ καὶ
αὐτῷ Ἀλεξάνδρῳ ἡ Ἡφαιστίωνος τελευτὴ οὐ σμικρὰ
ξυμφορὰ γεγένητο· ἧς καὶ αὐτὸς Ἀλέξανδρος προα-
πελθεῖν ἂν δοκῇ μοι ἐθελῆσαι μᾶλλον, ἢ ζῶν πειρα-
θῆναι· οὐ μεῖον ἢ καὶ Ἀχιλλέα δοκῶ ἂν ἑλέσθαι προ-
αποθανεῖν Πατρόκλου μᾶλλον, ἢ τοῦ θανάτου αὐτοῦ C
τιμωρὸν γενέσθαι. ἦν δέ τι καὶ ὕποπτον αὐτῷ ἐς τοὺς
Χαλδαίους, ὡς οὐ κατὰ μαντείαν τινὰ μᾶλλον, ἢ ἐς ὠ-
φέλειαν τὴν αὐτῶν φέροι αὐτοῖς ἡ κώλυσις τῆς Ἀ-
λεξάνδρου ἐς Βαβυλῶνα ἐν τῷ τότε ἐλάσεως. ὁ γὰρ
τοῦ Βήλου νεὼς ἐν μέσῃ τῇ πόλει ἦν τῶν Βαβυλω-
νίων, μεγέθει τε μέγιστος, καὶ ἐκ πλίνθου ὀπτῆς ἐν ἀ-
σφάλτῳ ἡρμοσμένης. τοῦτον τὸν νεὼν, ὥσπερ καὶ τὰ
ἄλλα ἱερὰ τῶν Βαβυλωνίων, Ξέρξης κατέσκαψεν, ὅτε
ἐκ τῆς Ἑλλάδος ὀπίσω ἀπενόστησεν. Ἀλέξανδρος δὲ ἐν
νῷ εἶχεν ἀνοικοδομεῖν· οἱ μὲν λέγουσιν, ὅτι ἐπὶ τοῖς D
θεμελίοις τοῖς πρόσθεν, καὶ τούτου ἕνεκα τὸν χοῦν ἐκ-
φέρειν ἐκέλευε τοὺς Βαβυλωνίους· οἱ δὲ, ὅτι καὶ μείζο-
να ἔτι τοῦ πάλαι ὄντος. ἐπεὶ δὲ ἀποστάντος αὐτοῦ μαλ-
θακῶς ἀνθήψαντο τοῦ ἔργου οἷς ταῦτα ἐπιτέτραπτο.
ὁ δὲ τῇ στρατιᾷ πάσῃ ἐπενόει τὸ ἔργον ἐργάσασθαι· εἶναι
δὲ τῷ Βήλῳ πολλὴν μὲν τὴν χώραν ἀνειμένην ἐκ τῶν
Ἀσσυρίων βασιλέων· πολὺν δὲ τὸν χρυσὸν, καὶ ἀπὸ τοῦ
πάλαι μὲν τὸν νεὼν ἐπισκευάζεσθαι, καὶ τὰς θυσίας
τῷ θεῷ θύεσθαι. τότε δὲ τοὺς Χαλδαίους τὰ τοῦ θεοῦ
νέμεσθαι, οὐκ ὄντος ἐς ὅ,τι ἀναλωθήσεται τὰ περιγι- E
γνόμενα. τούτων δὴ ἕνεκα ὕποπτοι Ἀλεξάνδρῳ
ἦσαν οὐκ ἐθέλειν παρελθεῖν εἴσω Βαβυλῶνος Ἀλέ-
ξανδρον, ὡς μὴ δι' ὀλίγου τὸν νεὼν ἐπιτελεσθέντα ἀ-
φελέσθαι αὐτοὺς τὰς ἐκ τῶν χρημάτων ὠφελείας.
ὅμως δὲ τά γε τῆς ἐπιστροφῆς τῆς κατὰ τὴν εἴσοδον
τὴν ἐς τὴν πόλιν, ἐθελῆσαι αὐτοῖς πεισθῆναι λέγει Ἀ-
ριστόβουλος, καὶ τῇ πρώτῃ μὲν παρὰ τὸν ποταμὸν
τὸν Εὐφράτην καταστρατοπεδεῦσαι· ἐς δὲ τὴν ὑστε-
ραίαν ἐν δεξιᾷ ἔχοντα τὸν ποταμὸν, παρ' αὐτὸν πο-
ρεύεσθαι, θέλοντα ὑπερβάλλειν τῆς πόλεως τὸ μέ- F
ρος τὸ ἐς δυσμὰς τετραμμένον, ὡς ταύτῃ ἐπιστρέ-
ψαντα πρὸς ἕω ἄγειν. ἀλλὰ οὐ γὰρ δυνηθῆναι ὑπὸ
δυσχωρίας οὕτως ἐξελάσαι ξὺν τῇ στρατιᾷ, ὅτι τῷ
ἀπὸ δυσμῶν τῆς πόλεως εἰσιόντι, εἰ ταύτῃ πρὸς
ἕω ἐπέστρεφεν, ἑλώδη τε καὶ τεναγώδη ἦν, καὶ οὕ-
τω καὶ ἑκόντα καὶ ἄκοντα ἀπειθῆσαι τῷ θεῷ. ἐπεὶ
καὶ τοιόνδε τινὰ λόγον Ἀριστόβουλος ἀναγέγραφεν,
Ἀπολλόδωρον τὸν Ἀμφιπολίτην, τῶν ἑταίρων τῶν

Beli monitos, ingreſſum in Babylonem ne-
quaquam ei tum temporis fauſtum ac feli-
cem fore. Ipſe Euripidis verſum eis obiicie-
bat, qui ita habet,

Qui conticit bene, augur eſt is optimus.

Tum illi, Atqui, ô rex, ne occidentẽ verſus «
reſpicias, neque exercitum hac ducẽs ingre- «
diare, ſed potius circumactũ agmẽ in orien- «
tem ducito. Sed ob difficultatẽ viæ id præ- «
ſtare nõ potuit: fortuna ſiue fato eum in viã
propellente, cuius tranſitus ipſi exitio futu-
rus erat. Et fortaſſe ſatius ei fuit, in ſummo
felicitatis faſtigio, ſummóque hominũ deſi-
derio vitã cum morte cõmutare, priuſquã ei
calamitas aliqua humano more accideret.
Cuius rei cauſa Solonẽ Crœſo ſuaſiſſe veri-
ſimile eſt vt longæ vitæ exitũ ſpectaret, ne-
que prius quẽquã mortaliũ felicẽ iudicaret.
quandoquidẽ & Hephæſtionis obitus non
exigui infortunij loco Alexãdro accidiſſe vi-
detur, quẽ mea ſentẽtia præuenire ipſe quàm
viuus experiri maluiſſet: non ſecus atque A-
chilli iucundius fuiſſet Patrocli mortẽ ſua
ipſius morte anteuertiſſe, quàm necis eius vl-
tor relinqui. Inciderat autem Alexandro ſu-
ſpicio quædam de Chaldæis, quòd ſe nõ tam
oraculi quàm priuatæ ipſorũ vtilitatis cau-
ſa per id tempus ab ingreſſu Babylonis de-
terrerent. Nam Beli templum in media Ba-
byloniorum vrbe ſitum erat, magnitudine
atque opere ex lapide coctili & bitumina-
to præclarum. quod templum, quemadmo-
dum & cætera Babyloniorũ loca ſacra, Xer-
xes ſubuerterat, quum ex Græcia reuertere-
tur. Alexander verò in animo habebat tem
plum inſtaurare, atque, vt quidam ſcribunt,
è veteribus fundamentis exædificare: eámq;
ob cauſam rudera exportare Babylonios iuſ
ſerat. vt verò alij, auguſtius quàm antea fue-
rat efficere ſtatuerat. Quúmque ipſo abſen-
te ſegnius quàm vellet operi inſtarent, ipſe
cum vniuerſo exercitu opus aggredi cogita-
bat. Erat autem Belo multum agri ab Aſſy-
riis regibus conſecratum, multo etiam auro
iam olim templum inſtructum erat, ad ſa-
crificia deo faciendum. Tum verò quum in
nullos vſus conferrẽtur annui reditus, Chal
dæis id omne quod Belo ſacrum erat cede-
bat. Quamobrem ſuſpicari cœpit Alexan-
der nolle eos ipſum Babylonem ingredi,
ne paruo temporis ſpatio exædificato tem-
plo ipſi tantis pecuniarũ cõmodis priuaren-
tur. Ariſtobulus tamẽ autor eſt, Alexandrũ
Chaldæorũ cõſilio de circumagendo itinere
in vrbẽ acquieſcere voluiſſe, ac primo quidẽ
die ad Euphratẽm fluuiũ caſtra poſuiſſe: po-
ſtridie verò quum flumen ei ad dextrã eſſet,
iuxta ipſum proceſſiſſe, cupientẽ prætergre-
di eam vrbis partẽ quæ occaſum ſpectabat,
vt inde orientẽ verſus ſe conuerterẽt: ſed ob
difficultatem locorum ita cum exercitu in-
gredi non potuiſſe: quòd nimirum quum ab
occidentali vrbis parte in orientalem ſeſe
conuertere vellet, paludoſis limoſiſque lo-
cis impediretur: atque ita partim volentem
partim nolentem Beli oraculo nõ paruiſſe.
Porro Ariſtobul⁹ aliud quippiã huiuſcemo-
di narrat: Apollodorũ Amphipolitẽ, ex ami-

cis Alexandri, ducem exercitus quē Alexander Mazæo Babyloniorum ſatrapæ reliquerat, quum ad Alexādrum ex Indis reuerſum cōueniſſet, vidiſſétque eum in ſatrapas qui aliis atque aliis prouinciis præfuerant, ſeuerius animaduertentem, Pithagoræ fratri ſuo ſcripſiſſe (vatem enim fuiſſe Pithagoram, ex eorum genere qui exta conſulunt) & de ſalute ſua eum conſuluiſſe: Pithagoram eius literis reſpondiſſe, rogaſſéque cuius potiſſimùm metu vaticinio vti vellet: qui quū reſpondiſſet, ſe ab Alexandro & Hephæſtione ſibi metuere, Pithagoram primùm pro Hephæſtione exta inſpexiſſe. quúmque iecinori fibrę deeſſent, literas rurſum ſcripſiſſe, eáſque obſignatas ad Apollodorū ex Babylone in Ecbatana miſiſſe, quib' monebat ne quicquā ab Hepheſtione metueret. propediem enim è viuis ſublatum iri. quam quidem epiſtolā ait Ariſtobulus Apollodorum accepiſſe pridie quàm Hephæſtio exiret è vita. Tum Pithagoram, quum rurſus pro Alexandro exta conſuluiſſet, fibráſque iecinori deeſſe reperiſſet, idem fratri ſuo de Alexandro ſcripſiſſe. Apollodorum verò id nō ſubticuiſſe, ſed Alexandro quę acceperat indicaſſe, vt beneuolo erga regē animo eſſe videretur, monēs vt immınēs periculū caueret. Atque Alexandrum quidem Apollodorū collaudaſſe narrat: quúmque Babylonē veniſſet, percontatum eſſe Pithagorā quo ſigno edoctus fratri ſuo talia de ſe ſcripſiſſet: qui quū reſpōdiſſet, quòd hoſtiæ iecinora abſque fibris inuenta eſſent, Alexandrum rurſus interrogaſſe quid hoc portenderet: & Pithagoram, magnum malum portendi dixiſſe. Alexandrum verò tantum abfuiſſe vt Pithagoræ ſuccenſuerit, vt eum deinceps chariorem habuerit, quòd citra dolum ſimpliciter ei rem ipſam dixiſſet. Hæc Ariſtobulus ſe à Pithagora audiſſe teſtatur: ac poſtea Perdiccæ atque Antigono eadem vaticinatum eſſe. Eodem enim prodigio edito Perdiccam aduerſus Ptolemæum bellantem mortuum eſſe: Antigonū verò in pugna aduerſus Seleucum & Lyſimachum ad Ipſum commiſſa. Atqui de Calano ſophiſta Indo etiam huiuſcemodi quippiam ſcriptum eſt: Quum moriturus ad rogum iret, reliquos quidem amicos oſculatū fuiſſe: ad Alexandrùm verò deoſculandi illum cauſa accedere noluiſſe, ſed dixiſſe Babylone ſe illum reperturum, ibíque oſculum daturum eſſe. Quæ quidem verba tum temporis neglecta parúmq; animaduerſa fuiſſe: poſtea verò mortuo apud Babylonem Alexandro memoria repetita, Alexandri mortē vaticinatum fuiſſe compererunt.

Alexandro Babylonem ingreſſo legationes Græcorum obuiam venerūt. quibus verò de rebus ſingulæ miſſæ fuerint non conſtat. Mea verò ſententia, pleræque eò ſpectabant vt eum coronarēt, vtque cùm ob alias victorias, tum ob Indicas ei congratularentur, lætitiámque publicā ob felicem ex Indis reditum teſtarentur. Quos quidem humaniter exceptos debitiſque honoribus ornatos domū remiſiſſe dicitur. Quotquot autem clarorum virorum ſtatuas aut deorū ſimulacra, aut aliud quiduis deis conſecratū

Ἀλεξάνδρου, στρατηγὸν τῆς στρατιᾶς ἣν παρὰ Μαζαίῳ τῷ Βαβυλῶνος σατράπῃ ἀπέλιπεν Ἀλέξανδρος, ἐπειδὴ δὲ συνέμιξεν ἐπανιόντι αὐτῷ ἐξ Ἰνδῶν, ὁρῶντα πικρῶς τιμωρούμενον τοὺς σατράπας ὅσοι ἐπ' ἄλλῃ καὶ ἄλλῃ χώρᾳ τεταγμένοι ἦσαν, ἐπιστεῖλαι Πειθαγόρᾳ τῷ ἀδελφῷ (μάντιν γὰρ εἶναι τὸν Πειθαγόραν τῆς ἀπὸ σπλάγχνων μαντείας) μαντεύσασθαι καὶ ὑπὲρ αὐτοῦ τῆς σωτηρίας. ἀντεπιστεῖλαι δὲ αὐτῷ Πειθαγόραν, πυνθανόμενον τίνα μάλιστα φοβούμενος χρήσασθαι ἐθέλοι τῇ μαντείᾳ. τὸν δὲ γράψαι αὖθις, ὅτι τόν τε βασιλέα αὐτὸν καὶ Ἡφαιστίωνα. θύεσθαι δὴ τὸν Πειθαγόραν πρῶτα μὲν ἐπὶ τῷ Ἡφαιστίωνι· ὡς δὲ ἐπὶ τοῦ ἥπατος τοῦ ἱερείου ὁ λοβὸς ἀφανὴς ἦν, οὕτω δὴ ἐγγράψαντα καὶ κατασημηνάμενον τὸ γραμμάτιον, πέμψαι παρὰ τὸν Ἀπολλόδωρον ἐκ Βαβυλῶνος εἰς Ἐκβάτανα, δηλοῦντα μηδέν τι δεδιέναι Ἡφαιστίωνα. ἔσεσθαι γὰρ αὐτοῖς ὀλίγου χρόνου ἐκποδών. καὶ ταύτην τὴν ἐπιστολὴν λέγει Ἀριστόβουλος κομίσασθαι Ἀπολλόδωρον μιᾷ πρόσθεν ἡμέρᾳ ἢ τελευτῆσαι Ἡφαιστίωνα. αὖθις δὲ θύεσθαι τὸν Πειθαγόραν ἐπὶ τῷ Ἀλεξάνδρῳ, ἄλοβον τὸ ἧπαρ τοῦ ἱερείου. καὶ Πειθαγόραν τὰ αὐτὰ καὶ ὑπὲρ Ἀλεξάνδρου γράψαι Ἀπολλοδώρῳ. Ἀπολλόδωρον δὲ οὐ κατασιωπῆσαι, ἀλλὰ φράσαι γὰρ πρὸς Ἀλέξανδρον τὰ ἐπεσταλμένα, ὡς εὔνοιαν μᾶλλόν τι ἐπιδειξόμενον τῷ βασιλεῖ, εἰ φυλάττεσθαι παραινέσειε μή τις αὐτῷ κίνδυνος ἐν τῷ τότε ξυμπέσοι. καὶ Ἀπολλόδωρόν τε λέγει ὅτι Ἀλέξανδρος ἐπῄνεσε· καὶ τὸν Πειθαγόραν, ἐπειδὴ παρῆλθεν εἰς Βαβυλῶνα, ἤρετο ὅτου γενομένου αὐτῷ σημείου ταῦτα ἐπέστειλε πρὸς τὸν ἀδελφόν. τὸν δὲ εἰπεῖν, ὅτι ἄλοβόν οἱ τὸ ἧπαρ ἐγένετο τοῦ ἱερείου. ἐρομένου δὲ ὅ,τι νοεῖ τὸ σημεῖον, μέγα εἰπεῖν εἶναι χαλεπόν. Ἀλέξανδρον δὲ τοσούτου δεῆσαι χαλεπῆναι τῷ Πειθαγόρᾳ, ὡς καὶ δι' ἐπιμελείας ἔχειν αὐτὸν πλείονος, ὅτι ἀδόλως τὴν ἀλήθειάν οἱ ἔφρασε. ταῦτα αὐτὸς Ἀριστόβουλος λέγει παρὰ Πειθαγόρου πυθέσθαι, καὶ Περδίκκᾳ δὲ αὐτὸν μαντεύσασθαι λέγει, καὶ Ἀντιγόνῳ ὕστερον. καὶ τοῦ αὐτοῦ σημείου ἀμφοῖν γενομένου, Περδίκκαν τε ἐπὶ Πτολεμαῖον στρατεύσαντα ἀποθανεῖν, καὶ Ἀντίγονον ἐν τῇ μάχῃ τῇ πρὸς Σέλευκον καὶ Λυσίμαχον τῇ ἐν Ἰψῷ γενομένῃ. καὶ μὲν δὴ καὶ ὑπὲρ Καλάνου τοῦ σοφιστοῦ τοῦ Ἰνδοῦ τοιόσδε τις ἀναγέγραπται λόγος· ὁπότε ἐπὶ τὴν πυρὰν ᾔει ἀποθανούμενος, τότε τοὺς μὲν ἄλλους ἑταίρους ἀσπάζεσθαι αὐτόν· Ἀλεξάνδρῳ δὲ οὐκ ἐθελῆσαι προσελθεῖν ἀσπασόμενον, ἀλλὰ φάναι γὰρ ὅτι ἐν Βαβυλῶνι αὐτῷ ἐντυχὼν ἀσπάσεται. καὶ τοῦτον τὸν λόγον ἐν μὲν τῷ τότε ἀμεληθῆναι· ὕστερον δὲ ἐπειδὴ ἐτελεύτησεν ἐν Βαβυλῶνι Ἀλέξανδρος, ἐς μνήμην ἐλθεῖν τῶν ἀκουσάντων, ὅτι ἐπὶ τῇ τελευτῇ ἄρα τῇ Ἀλεξάνδρου ἐθειάσθη.

Παρελθόντι δὲ αὐτῷ ἐς Βαβυλῶνα πρεσβεῖαι παρὰ τῶν Ἑλλήνων ἐνέτυχον· ὑπὲρ ὅτου μὲν ἕκαστοι πρεσβευόμενοι, οὐκ ἀναγέγραπται. δοκεῖν δ' ἔμοιγε, αἱ πολλαὶ στεφανούντων τε αὐτὸν ἦσαν, καὶ ἐπαινούντων ἐπὶ ταῖς νίκαις, ταῖς τε ἄλλαις καὶ μάλιστα ταῖς Ἰνδικαῖς· καὶ ὅτι σῶος ἐξ Ἰνδῶν ἐπανήκει, χαίρειν φασκόντων. καὶ τούτους δεξιωσάμενός τε καὶ τὰ εἰκότα τιμήσας, ἀποπέμψαι ὀπίσω λέγεται. ὅσους δὲ ἀνδριάντας ἢ ἀγάλματα, ἢ εἰ δή τι ἄλλο ἀνάθημα

ἐκ τῆς Ἑλλάδος Ξέρξης ἀνεκόμισεν ἐς Βαβυλῶνα, ἢ ἐς Πασαργάδας, ἢ ἐς Σοῦσα, ἢ ὅπη ἄλλη τῆς Ἀσίας, ταῦτα δοῦναι ἄγειν τοῖς πρέσβεσι. καὶ τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας τὰς χαλκᾶς οὕτω λέγεται ἀπενεχθῆναι ὀπίσω ἐς Ἀθήνας, καὶ τῆς Ἀρτέμιδος τῆς Κερκαίας τὸ ἕδος. κατέλαβε δὲ ἐν Βαβυλῶνι, ὡς λέγει Ἀριστόβουλος, καὶ τὸ ναυτικόν, τὸ μὲν κατὰ τὸν Εὐφράτην ποταμὸν ἀναπεπλευκὸς ἀπὸ θαλάσσης τῆς Περσικῆς, ὅ, τι περ σὺν Νεάρχῳ ἦν· τὸ δὲ ἐκ Φοινίκης ἀνακεκομισμένον· πεντήρεις μὲν δύο τῶν ἐκ Φοινίκων, τετρήρεις δὲ τρεῖς, τριήρεις δὲ δώδεκα, τριακοντόρους δὲ ἐς τριάκοντα. ταύτας ξυντμηθείσας κομισθῆναι ἐπὶ τὸν Εὐφράτην ποταμὸν ἐκ Φοινίκης ἐς Θάψακον πόλιν· ἐκεῖ δὲ ξυμπηχθείσας αὖθις καταπλεῦσαι ἐς Βαβυλῶνα. λέγει δὲ ὅτι καὶ ἄλλος αὐτῷ ἐναυπηγεῖτο στόλος, τέμνοντι τὰς κυπαρίσσους τὰς ἐν τῇ Βαβυλωνίᾳ. τούτων γὰρ μόνων τῶν δένδρων εὐπορίαν εἶναι ἐν τῇ χώρᾳ τῶν Ἀσσυρίων, τῶν δὲ ἄλλων ὅσα ἐς ναυπηγίαν, ἀπόρως ἔχειν τὴν γῆν ταύτην. πληρώματα δὲ ἐς τὰς ναῦς καὶ τὰς ἄλλας ὑπηρεσίας, πορφυρέων τε πλῆθος, καὶ τῶν ἄλλων ὅσοι ἐργάται τῆς θαλάσσης, ἀφῖχθαι αὐτῷ ἐκ Φοινίκης τε καὶ τῆς ἄλλης παραλίας· λιμένα τε ὅτι πρὸς Βαβυλῶνα ἐποίει ὀρυκτόν, ὅσον χιλίαις ναυσὶ μακραῖς ὅρμον εἶναι· καὶ νεωσοίκους ἐπὶ τοῦ λιμένος. καὶ Μίκκαλος ὁ Κλαζομένιος μετὰ πεντακοσίων ταλάντων ἐπὶ Φοινίκης τε καὶ Συρίας ἐστέλλετο, τοὺς μὲν μισθῷ πείσων, τοὺς δὲ καὶ ὠνησόμενος, ὅσοι θαλάσσιοι ἄνθρωποι. τήν τε γὰρ παραλίαν τὴν πρὸς τῷ κόλπῳ τῷ Περσικῷ κατοικίζειν ἐπενόει, καὶ τὰς νήσους τὰς ταύτῃ. ἐδόκει γὰρ αὐτῷ οὐ μεῖον Φοινίκης εὐδαίμων ἡ χώρα αὕτη γενέσθαι. ἦν δὲ αὐτῷ τοῦ ναυτικοῦ ἡ παρασκευὴ ὡς ἐπὶ Ἄραβας τοὺς πολλούς· πρόφασιν μέν, ὅτι μόνοι τῶν ταύτῃ βαρβάρων οὔτε πρεσβείαν ἀπέστειλαν, οὔτε τι ἄλλο ἐπιεικὲς ἢ ἐπὶ τιμῇ ἐπέπρακτο Ἄραψιν ἐς αὐτόν· τὸ δὲ ἀληθές, ὥς γέ μοι δοκεῖ, ἄπληστος ἦν τοῦ κτᾶσθαί τι ἀεὶ Ἀλέξανδρος. λόγος δὲ κατέχει, ὅτι ἤκουεν Ἄραβας δύο μόνον τιμᾶν θεούς, τόν Οὐρανόν τε καὶ τὸν Διόνυσον· τὸν μὲν Οὐρανόν τε αὐτὸν ὁρώμενον, καὶ τὰ ἄστρα ἐν οἷ ἔχοντα τά τε ἄλλα καὶ τὸν ἥλιον, ἀφ' ὅτου μεγίστη καὶ φανοτάτη ὠφέλεια ἐς πάντα ἥκει τὰ ἀνθρώπεια· Διόνυσον δέ, κατὰ δόξαν τῆς ἐς Ἰνδοὺς στρατιᾶς. οὔκουν ἀπαξιοῦν καὶ αὑτὸν τρίτον ἂν νομισθῆναι πρὸς Ἀράβων θεόν, οὐ φαυλότερα ἔργα Διονύσου ἀποδειξάμενον. εἴπερ οὖν καὶ Ἀράβων κρατήσας, ἐπιτρέψειεν αὐτοῖς, καθάπερ Ἰνδοῖς, πολιτεύειν κατὰ τὰ σφῶν νόμιμα. τῆς τε χώρας ἡ εὐδαιμονία ὑπεκίνει αὐτόν, ὅτι ἤκουεν ἐκ τῶν λιμνῶν τὴν κασίαν γίγνεσθαι αὐτοῖς· ἀπὸ δὲ τῶν δένδρων τὴν σμύρναν τε καὶ τὸν λιβανωτόν· ἐκ δὲ τῶν θάμνων τὸ κινάμωμον τέμνεσθαι· οἱ λειμῶνες δὲ ὅτι νάρδον αὐτόματοι ἐκφέρουσι. τὸ μέγεθος τῆς χώρας, ὅτι οὐκ ἐλάττων ἡ παράλιος τῆς Ἀραβίας ἤπερ ἡ τῆς Ἰνδικῆς αὐτῷ ἐξηγγέλλετο, καὶ νῆσοι αὐτῇ προσκεῖσθαι πολλαί, καὶ λιμένες πανταχοῦ τῆς χώρας ἐνεῖναι, οἷοι παρασχεῖν μὲν ὅρμους τῷ ναυτικῷ, παρασχεῖν δὲ καὶ πόλεις ἐνοικισθῆναι, καὶ ταύτας γενέσθαι εὐδαίμονας. δύο δὲ νῆσοι κατὰ τὸ στόμα τοῦ Εὐφράτου πελάγιαι ἐξηγγέλλοντο αὐτῷ· ἡ μὲν πρώτη οὐ πρόσω τῶν ἐκβολῶν τοῦ Εὐφράτου, εἰς ἑκατὸν καὶ εἴκοσι σταδίους,

A Xerxes Babylonem, vel Suſas, vel in Paſargadas, aut quãuis aliam Aſiæ partẽ ex Græcia deportauerat, ea legatis reportanda dedit. Atque ita Harmodij & Ariſtogitonis æneas ſtatuas Athenas remiſiſſe dicitur, ſimúlq; Dianæ *Cercçę ſimulacrum. Recepit autem apud Babylonios (vt Ariſtobulus ait) claſſem naualem, quæ partim per Euphratẽ fluuiũ in Perſicum mare ſubuecta erat, Nearcho duce: partim ex Phœnicia appulerat. Phœnicũ quidem quinqueremes duas, quadriremes tres, triremes XII, triginta remo- B rum naues XXX. Hæ in partes diſſectæ ad Euphratẽ in Thapſacum vrbem vectæ ſunt, ibique rurſus compaginatę Babylonem nauigarunt. Dicit idem Alexandrũ aliam quoque claſſem conſtruxiſſe, cæſis cupreſſis. Harum enim arborum tantùm in Aſſyria copiã eſſe, reliquarum quæ conficiendis nauibus aptæ ſint inopia laborare. Supplementa etiã in naues aliáq; miniſteria, & purpuras piſcantiũ aliorúmq; marinorũ operariorũ multitu- C dinẽ ex Phœnicia atque vniuerſa maritima ora ad eũ veniſſe. portũ præterea apud Babylonios effodi curauit, qui mille naues oblongas caperet: porticus etiã & naualia portui adiunxit. Miſitque Miccalum Clazomeniũ cum quingentis talentis in Phœniciam & Syriam, qui quoſcunque maritimos poſſet mercede alliceret vel conduceret. ſiquidem in maritimam Perſici ſinus oram eiúſque inſulas colonias deducere ſtatuerat. Aeque enim opulenta ſibi ea regio atque Phœnicia fore videbatur. Claſſem verò in Arabas po- D puloſam gentẽ parabat, ea occaſione quòd ſoli ex barbaris illius regionis neque legationes ad eum miſiſſent, neque quidquã officij aut honoris ſibi detuliſſent: ſed reuera, (vt mihi quidẽ videtur) quòd nulla eum cõquirendi ditiones ſatietas capiebat. Fama autem tenuit, id cauſæ fuiſſe quòd audiſſet Arabas duos tantũ deos colere, cœlum ſcilicet & Dionyſum. Cœlum quidem, quòd cùm reliqua aſtra, tum ſolem in ſe continere videretur, à quo quamplurima manifeſtiſſimáque ad omnes humanos vſus commo- E da manarent: Dionyſum verò ob famam ducti in Indos exercitus. Quapropter non indignum cenſebat ſe, qui pro tertio deo apud Arabas haberetur: quippe qui rebus geſtis Dionyſo nequaquam inferior eſſet: & certè deuictis Arabibus, ſuis legibus viuendi poteſtatem, vt Indis, feciſſet. Inuitabat eum præterea opulentia regionis, quòd audiſſet caſiam paluſtribus locis apud eos naſci, ex arboribus myrrham & thura legi: ex fruticibus cinamomũ reſcindi: prata ſua ſponte F nardũ gignere. Quod ad magnitudinem regionis attinet, Arabiã maritimã India minorẽ non eſſe acceperat: multáſq; ei inſulas adiacere: frequentes præterea portus ac ſtationes receptui claſſis idoneas in ea regione eſſe: multas vrbes ad habitandum commodas opulentáſq; habere. Duæ verò inſulæ in mari ſitæ ad Euphratis oſtia nuntiabantur: quarũ altera non procul inde vbi Euphrates in mare exit, CXX ſtadiis à littore fluuiíque

Pro Κερκαίας legitur etiam Κεραίας & Κελαίας.

faucibus diſtabat. atque hanc quidem minorem, & ſyluis denſam eſſe, ac Dianæ templum habere: circum templũ indigenas habitaſo, & capreas caſq; Dianæ ſacras relinqui, neq; fas eſſe eas capere, niſi ad ſacrificium deę faciendum. in hunc enim vſum occidi ne fas non eſſe. Hanc inſulam ait Ariſtobulus Icarum ab Alexandro vocari iuſſam, ab inſula Icaro in AEgæo mari ſita, in quam Icarum Dædali filium, liquata cera qua alas ſibi affixerat, procidiſſe aiunt, quòd non, prout pater ei imperarat, vicinus terræ volaſſet, ſed ſtolidè ſublimem aeris regionem petens, liquata à ſolaribus radiis cera, nomen inſulæ & mari à ſuo nomine dediſſet. Illam enim, Icarum: mare verò, Icarium dictum fuiſſe. Altera inſula ab Euphratis oſtio vnius diei ac noctis nauigatione diſtare dicitur, ſecundo vẽto puppim afflante, Tylus inſulæ nomen eſt. quæ & magna, neque omnino aſpera ſyluoſaque eſt: ſed mitibus maturíſque fructibus gignendiș idonea. Hæc per Archiam Alexandro nuntiata ſunt: qui cum naue triginta remorum ad explorandam nauigationem in Arabiam emiſſus, ad Tylum inſulam vſque peruenit: vlterius procedere non auſus. Androſthenes verò cum alia naue X X X remorum miſſus, multam etiam cherroneſi oram prętерlegit. Omnium autem qui emiſſi ſunt longiſsimè proceſsit Hieron Solenſis, gubernator, cui etiam data naue X X X remorum mandarat Alexander vt vniuerſam Arabiæ cherroneſum circumnauigaret, donec ad Arabicum ſinum AEgypto vicinum ad vrbem Heroum perueniſſet. Sed neque is vlterius progredi auſus eſt, quum alioqui totam fere Arabum regionem circũnauigaſſet. Nam ad Alexandrum reuerſus, ingentem cherroneſi magnitudinem eſſe nuntiauit: eiúſque promontorium eſſe longè in Oceanum porrectum. quod & ij qui cum Nearcho ex India nauigabant, priuſquam in ſinum Perſicum flecterent, non procul abs ſe remotum viderant: parúmque abfuerat quin eò appellerent. Ita enim Oneſicrito gubernatori viſum fuerat. At Nearchus ſcribit ſe id prohibuiſſe, vt enauigato per circuitum ſinu Perſico, ea quorum gratia ab Alexandro miſſus erat, renuntiare poſſet. Neque enim ad nauigandum Oceanum miſſum eſſe, ſed vt regionem mari adiacentem cognoſceret, & qui homines ea loca inhabitarent, quique in ea portus & aquæ eſſent, vtque incolarum mores atque inſtituta exploraret: & quæ terra bonos, quæ malos fructus gignat. quam quidem rem exercitui ſaluti fuiſſe aſſerit. Neq; enim incolumes fuiſſe reuerſuros, ſi vltra deſertã Arabię orã nauigaſſent. Qua de cauſa Hierõ quoq; retro curſum flexiſſe fertur. Interea verò dum triremes parantur, portúſq; apud Babylonẽ effoditur, Alexander ad Pallacopã amnẽ per Euphratẽ deuectus eſt. Diſtat is à Babylone ſtadiis ferme D C C C. Porro amnis hic ex Euphratis in alueum ſuũ diffuſione, nõ ex peculiari fonte

A ἀπέχουσα ἀπὸ τοῦ αἰγιαλοῦ τι καὶ τοῦ στόματος τοῦ ποταμοῦ, μικροτέρα αὕτη, καὶ δασεῖα ὕλῃ παντοίᾳ. εἶναι δὲ ἐν αὐτῇ καὶ ἱερὸν Ἀρτέμιδος, καὶ τοὺς οἰκήτορας αὐτῆς ἀμφὶ τὸ ἱερὸν τὴν δίαιταν ποιεῖσθαι· νέμεσθαί τε αὐτὴν αἶξί τε ἀγρίαις καὶ ἐλάφοις, καὶ ταύτας ἀνεῖσθαι ἀφέτους τῇ Ἀρτέμιδι· οὐδὲ εἶναι θέμις θήραν ποιεῖσθαι ἀπ' αὐτῶν, ὅτι μὴ θῦσαί τινα τῇ θεῷ ἐθέλοντα, ἐπὶ τῷδε θηρᾶν μόνον. ἐπὶ τῷδε γὰρ οὐκ εἶναι ἀθέμιτον. καὶ ταύτην τὴν νῆσον λέγει Ἀριστόβουλος ὅτι Ἴκαρον ἐκέλευσε καλεῖσθαι Ἀλέξανδρος, ἐπὶ τῆς νήσου τῆς Ἰκάρου τῆς ἐν B τῷ Αἰγαίῳ πόντῳ, ἐς ἣν τινα Ἴκαρον τὸν Δαιδάλου, τακέντος τοῦ κηροῦ ὅτῳ προσήρτητο τὰ πτερά, πεσεῖν ὁ λόγος κατέχει· ὅτι οὐ κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς πρὸς τῇ γῇ ἐφέρετο, ἀλλὰ μετέωρος γὰρ ὑπὸ ἀνοίας φερόμενος, παρέσχε τῷ ἡλίῳ θάλψαι τε καὶ ἀνεῖναι τὸν κηρόν· καὶ ἀπὸ ἑαυτοῦ τὸν Ἴκαρον τῇ τε νήσῳ καὶ τῷ πελάγει τὴν ἐπωνυμίαν ἐγκαταλιπεῖν· τὴν μὲν Ἴκαρον καλεῖσθαι, τὸ δὲ Ἰκάριον. ἡ δὲ ἑτέρα νῆσος ἀπὸ τοῦ στόματος τοῦ Εὐφράτου ἐλέγετο ἀπέχειν ὅσον πλοῦν ἡμέρας καὶ νυκτὸς κατ' οὖρον θεούσῃ νηΐ. Τύλος δὲ αὐτῇ εἶναι ὄνομα. μεγάλη δὲ εἶναι, καὶ οὔτε C τραχεῖα ἡ πολλὴ, οὔτε ὑλώδης, ἀλλ' οἵα καρπούς τε ἡμέρους ἐκφέρειν καὶ πάντα ὡραῖα. ταῦτα ἀπηγγέλθη Ἀλεξάνδρῳ, τὰ μὲν πρὸς Ἀρχίου, ὃς ξὺν τριακοντόρῳ ἐκπεμφθεὶς ἐπὶ κατασκοπῇ τοῦ παράπλου τοῦ ὡς ἐπὶ τοὺς Ἄραβας, μέχρι μὲν τῆς νήσου τῆς Τύλου ἦλθεν, τὸ πρόσω δὲ οὐκέτι περαιωθῆναι ἐτόλμησεν. Ἀνδροσθένης δὲ ξὺν ἄλλῃ τριακοντόρῳ σταλεὶς, καὶ τῆς χερρονήσου τι τῶν Ἀράβων παρέπλευσε. μακροτάτω δὲ τῶν ἐκπεμφθέντων προὐχώρησεν Ἱέρων ὁ Σολεὺς ὁ κυβερνήτης, λαβὼν καὶ οὗτος παρ' Ἀλεξάνδρου τριακόντορον. D ἣν μὲν γὰρ αὐτῷ προστεταγμένον περιπλεῦσαι τὴν χερρόνησον τὴν Ἀράβων πᾶσαν, ἔστε ἐπὶ τὸν κόλπον τὸν πρὸς Αἰγύπτῳ τὸν Ἀράβιον, τὸν καθ' Ἡρώων πόλιν. οὐ μὴν ἐτόλμησέ γε τὸ πρόσω ἐλθεῖν, καίτοι ἐπὶ τὸ πολὺ περιπλεύσας τὴν Ἀράβων γῆν· ἀλλ' ἀναστρέψας γὰρ παρ' Ἀλέξανδρον, ἐξήγγελλε τό μέγεθός τε τῆς χερρονήσου θαυμαστόν τι εἶναι, καὶ ὅσον οὐ πολὺ ἀποδέον τῆς Ἰνδῶν γῆς· ἄκραν τε ἀνέχειν ἐπὶ πολὺ τῆς μεγάλης θαλάσσης· ἣν δὴ καὶ τοὺς ξὺν Νεάρχῳ ἀπὸ τῆς Ἰνδικῆς πλέοντας, πρὶν ἐπικάμψαι ἐς τὸν κόλ- E πον τὸν Περσικὸν, οὐ πόρρω ἀνατείνουσαν, ἰδεῖν τε καὶ παρ' ὀλίγον ἐλθεῖν διαβαλεῖν ἐς αὐτήν· καὶ Ὀνησικρίτῳ τῷ κυβερνήτῃ ταύτῃ δοκοῦν. ἀλλὰ Νέαρχος λέγει ὅτι αὐτὸς διεκώλυσεν, ὡς ἐκπεριπλεύσας τὸν κόλπον τὸν Περσικὸν ἔχοι ἀπαγγεῖλαι Ἀλεξάνδρῳ, ἐφ' οἷστισι πρὸς αὐτοῦ ἐστάλη. οὐ γὰρ ἐπὶ τῷ πλεῦσαι τὴν μεγάλην θάλασσαν ἐστάλθαι, ἀλλ' ἐπὶ τῷ καταμαθεῖν τὴν χώραν τὴν προσεχῆ τῇ θαλάσσῃ, καὶ τοὺς κατοικοῦντας αὐτὴν ἀνθρώπους, ὅρμους τε ἐν αὐτῇ καὶ ὕδατα, καὶ τὰ νόμαια τῶν ἀνδρῶν, καὶ εἴ τις ἀ- F γαθοὺς καρποὺς ἐκφέρει, ἢ εἴ τις κακούς. καὶ οὖν καὶ τοῦτο αἴτιον γενέσθαι ἀποσωθῆναι Ἀλεξάνδρου τὸν στρατόν. οὐ γὰρ ἂν σωθῆναι πλεύσαντας ὑπὲρ τῆς Ἀραβίας τὰ ἔρημα· ἐφ' ὅτῳ καὶ ὁ Ἱέρων ἐπιστρέψαι ὀπίσω λέγεται. ἐν ᾧ δὲ αὐτῷ ἐναυπηγοῦντο μὲν αἱ τριήρεις, ὁ λιμὴν δὲ πρὸς Βαβυλῶνι ὠρύσσετο, ἐκπλεῖ ἐκ Βαβυλῶνος κατὰ τὸν Εὐφράτην, ὡς ἐπὶ τὸν Παλλακόπαν καλούμενον ποταμόν. ἀπέχει δὲ οὗτος τῆς Βαβυλῶνος σταδίους ὅσον ὀκτακοσίους. καὶ ἔστι διῶρυξ αὕτη ὁ Παλλακόπας ἐκ τοῦ Εὐφράτου, οὐχὶ δὲ ἐκ πηγῶν τις ἀνίσχων

A πταμός. ὁ γὰρ Εὐφράτης ποταμὸς ῥέων ἐκ τῶν Ἀρμενίων ὀρῶν, χειμῶνος μὲν ὥρᾳ προχωρεῖ κατὰ τὰς ὄχθας, οἷα δὴ οὐ πολλοῦ ὄντος αὐτῷ τοῦ ὕδατος, ἦρος δὲ ὑποφαίνοντος, καὶ πολὺ δὴ μάλιστα ὑπὸ τροπάς, ἅστινας τοῦ θέρους ὁ ἥλιος ἐπιστρέφει, μέγας τε ἐπέρχεται, καὶ ὑπερβάλλει ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν Ἀσσυρίαν. τηνικαῦτα γὰρ αἱ χιόνες αἱ ἐπὶ τοῖς ὄρεσι τοῖς Ἀρμενίοις κατατηκόμεναι, αὔξουσιν αὐτῷ τὸ ὕδωρ ἐπὶ μέγα· ὅτι ἐπιπολῆς ἐστιν αὐτῷ καὶ ὑψηλὸς ὁ ῥοῦς, ὑπερβάλλει ἐς τὴν χώραν, εἰ μή τις ἀναστομώσας αὐτὸν κατὰ τὸν Παλλακόπαν ἐς τὰ ἕλη τε ἐκτρέψειε καὶ B τὰς λίμνας, αἳ δὴ ἀρχόμεναι ἀπὸ ταύτης τῆς διώρυχος, ἔστε ἐπὶ τὴν ξυνεχῆ τῇ Ἀράβων γῇ, καὶ ἔνθεν μὲν ἐς τέναγος ἐπὶ πολύ, ἐκ δὲ τοῦ ἐς θάλασσαν κατὰ πολλά τε καὶ μάλιστα ἀφανῆ στόματα ἐκδίδωσι. τετηκυίας δὲ τῆς χιόνος ἀμφὶ Πλειάδων μάλιστα δύσιν ὀλίγος τε ὁ Εὐφράτης ῥέει, καὶ οὐδὲν μεῖον τὸ πολὺ αὐτοῦ κατὰ τὸν Παλλακόπαν ἐκδιδοῖ ἐς τὰς λίμνας· εἰ δή τις μὴ ἀποφράξει τὸν Παλλακόπαν αὖθις, ὡς κατὰ τὰς ὄχθας ἐκτραπὲν φέρεσθαι τὸ ὕδωρ κατὰ πόρου, ἐκένωσεν ἂν τὸν Εὐφράτην ἐς αὐτόν, ὡς μηδ' ἐπάρδεσθαι ἀπ' αὐτοῦ τὴν Ἀσσυρίαν γῆν. ἀλλ' ἀπε- C φράσσοντο γὰρ αἱ ἐς τὸν Παλλακόπαν τοῦ Εὐφράτου ἐκβολαὶ πρὸς τοῦ σατράπου τῆς Βαβυλωνίας πολλῷ πόνῳ (καίπερ οὐ χαλεπῶς ἀναστομούμεναι) ὅτι ἰλυώδης τε ἡ ταύτῃ γῆ, καὶ πηλὸς ἡ πολλὴ αὐτῆς, οἷα δεχομένη τὸ ὕδωρ τοῦ ποταμοῦ, μὴ εὐμαρῆ τὴν ἀποστροφὴν αὐτοῦ παρέχειν. ἀλλὰ καὶ ἐς τρίτον μῆνα Ἀσσυρίων ἄνδρες ὑπὲρ τοὺς μυρίους ἐν τῷδε τῷ πόνῳ ξυνείχοντο. ταῦτα ἀπαγγελθέντα ἐπήγαγεν Ἀλέξανδρον ὠφελῆσαί τι τὴν χώραν τὴν Ἀσσυρίαν· ἔνθεν μὲν δὴ ἐς τὸν Παλλακόπαν ἐτρέπετο τοῦ Εὐφρά- D του ὁ ῥοῦς, ταύτῃ δὲ ἔγνω βεβαίως ἀποκλεῖσαι τὴν ἐκβολήν. προελθόντι δὲ ὅσον σταδίους τριάκοντα ὑπόπετρος ἡ γῆ ἐφαίνετο, οἵα διακοπεῖσα· εἰ ξυναφὴς ἐγένετο τῇ πάλαι διώρυχι τῇ κατὰ τὸν Παλλακόπαν, οὔτ' ἂν διαχεῖσθαι παρέχειν τὸ ὕδωρ ὑπὸ στερρότητος τῆς γῆς, τήν τε ἀποστροφὴν αὐτοῦ τῇ τεταγμένῃ ὥρᾳ μὴ χαλεπῶς γίγνεσθαι. τούτων ἕνεκα, ἐπί τε τὸν Παλλακόπαν ἔπλευσε, καὶ κατ' αὐτὸν καταπλεῖ ἐς τὰς λίμνας, ὡς ἐπὶ τὴν Ἀράβων γῆν. ἔνθα χῶρόν τινα ἐν καλῷ ἰδών, πόλιν ἐξῳκοδόμησέ τε καὶ E ἐτείχισε, καὶ ἐν ταύτῃ κατῴκισε τῶν Ἑλλήνων τινὰς τῶν μισθοφόρων, ὅσοι τε ἑκόντες καὶ ὅσοι ὑπὸ γήρως ἢ κατὰ πήρωσιν ἀπόλεμοι ἦσαν. αὐτὸς δὲ ὡς ἐξελέγξας δὴ τῶν Χαλδαίων τὴν μαντείαν, ὅτι οὐδὲν πεπόνθοι ἐν Βαβυλῶνι ἄχαρι, καθάπερ ἐκεῖνοι ἐμαντεύοντο (ἀλλ' ἔφθη γὰρ ἐλάσας ἔξω Βαβυλῶνος πρίν τι παθεῖν) ἀνέπλει αὖθις κατὰ τὰ ἕλη θαρρῶν, ἐν ἀριστερᾷ ἔχων τὴν Βαβυλῶνα· ἵνα δὴ καὶ ἐπλανήθη αὐτῷ μέρος τοῦ ναυτικοῦ κατὰ τὰ στενά, ἀπορίᾳ ἡγεμόνος· F πρίν γε δὴ αὐτὸς πέμψας τὸν ἡγησόμενον, ἐπανήγαγεν αὐτοὺς ἐς τὸν πόρον. λόγος δὲ λέγεται τοιόσδε, τῶν βασιλέων τῶν Ἀσσυρίων τοὺς τάφους ἐν ταῖς λίμναις τε εἶναι τοὺς πολλοὺς καὶ ἐν τοῖς ἕλεσι δεδομημένους. ὡς δὲ ἔπλει Ἀλέξανδρος κατὰ τὰ ἕλη (κυβερνᾶν γὰρ αὐτὸν λόγος τὴν τριήρη) πνεύματος μεγάλου ἐμπεσόντος αὐτῷ ἐς τὴν καυσίαν, καὶ τὸ διάδημα αὐτῇ συνεχόμενον, τὴν μὲν δὴ βαρυτέραν πεσεῖν ἐς-

oritur. Euphrates enim ex montibus Armeniis oriens, hyberno tempore intra ripas labitur, vtpote non multum aquæ trahens. Ineunte autẽ vere multóque magis ſub ſolſtitium æſtiuum grandis exit, ripiſque ſuperatis Aſſyriorum campos inundat. Tunc enim niues in Armeniis montibus liquatæ aquas eius mirum in modum augent: atque ita in magnam altitudinẽ elatus vniuerſam circumiectam regionẽ obruat, niſi quis nõnihil diducens in Pallacopam & in paludes ac ſtagna eum exoneret. quæ quidem paludes, ab hoc alueo initio facto vſque ad regionem Arabiæ proximam, per vadoſa loca ac tandem per occultos meatus in mare feruntur. Reſolutis verò niuibus, præcipuè circa Virgiliarum occaſum, Euphrates minor labitur: at nihilominus magna eius pars per Pallacopam in lacus deriuatur. niſi verò quis rurſus Pallacopæ alueum obſtruat, ita vt in aduerſum nitens ripas tranſcendat, facilè ita Euphratem labentem exhauriat, vt Aſſyriorum campi ab eo irrigari nequeant. Quapropter Babyloniorum ſatrapa magno labore Euphratis in Pallacopam exitus obſtruit. (quanuis non magna cum difficultate aperiantur) quòd limoſa iis in partibus terra, quippe quæ fluminis aqua proluitur, minimè facilem aquę reflexionem admittat: adeo vt X. M Aſſyrij tres integros menſes in hoc opere conſumpſerint. Quæ Alexandro enarrata, incitarunt eum vt aliquid in vtilitatem Aſſyriæ meditaretur. Itaque qua in Pallacopam Euphrates deriuatur, eius exitũ firmius obſtruere inſtituit. Quúmq; ad ſtadia triginta progreſſus eſſet, petroſam terrã reperit, quæ ſi interciſa ad veterem Pallacopæ alueum perduceretur, nequaquam, propter terræ firmitatem, aquã tranſmiſſura eſſe videbatur: atque ita ſtatis anni temporibus facilem aquarum conuerſionem atque exundationem fore iudicabat. Idcirco Alexander per Pallacopam vectus, nauigando per lacus deſcendit in Arabum regionem: ibi commodum quendam locum contemplatus, vrbem ædificauit mœnibúſque cinxit, & coloniam eò deduxit ex Græcis mercenariis, voluntariis, & qui aut ſenectute aut caſu aliquo inepti bello facti erant. Ipſe, contempto Chaldæorum oraculo, quòd nihil aduerſi, quemadmodum vaticinati erant, ei eueniſſet (iam enim Babylone exceſſerat nullo infortunio accepto) fiducia plenus rurſum pèr paludes nauigat, Babylonem à ſiniſtra habens. Quúmque in iis anguſtiis pars exercitus inopia ducis erraret, præmiſſo duce qui viam monſtraret, in alueum eos reduxit. Huiuſcemodi verò quiddam narrant: Multa eſſe Aſſyriorum regum ſepulcra in iis paludibus exſtructa. Quúmque Alexander nauigando pergeret (ipſum enim ſuæ triremis gubernatorem fuiſſe aiunt) obortum ingentem ventum, dum nauigaret, regium capitis ornamentum & diadema ei alligatum abripuiſſe, atque illud quidẽ vo-

pote grauius, in aquam procidiſſe: iſtud verò vento abreptũ arundini cuidã, ex iis quæ monimentis regum adnatę erant, hæſiſſe. idq; ab eo futuri caſus prodigium habitum. dehinc nautam quendam enataſſe, qui diadema ab arundine auelleret, idque receptum non manu geſtaſſe, ne natans madefaceret, ſed capiti impoſitum attuliſſe. Atqui pleríque eorum qui res Alexandri ſcripſerunt cum diligentiæ ſuæ cauſa talento donatum ab Alexandro: deinde capite plecti iuſſum aiunt: Chaldæis monentibus, caput illud quod diadema regium geſtaſſet, ſaluum relinqui negligique non debere. Ariſtobulus verò non recenſet quidem eum talentum accepiſſe, ſed plagis affectum, quòd diadema capiti impoſuiſſet. Eum autem quendam ex Phœnicibus nautis fuiſſe ait, qui Alexandro diadema retulit: nonnulli Seleucum fuiſſe affirmant. idque Alexandro interitum, Seleuco magnum imperium portendiſſe. Seleucum enim maximum poſt Alexandrum (ſuſcepto magno imperio) regem fuiſſe, animóque maximè regio præditum, & plurimis regnis poſt Alexãdrũ imperaſſe, minimè dubium mihi videtur. Alexander Babylonem reuerſus, Peuceſtam cum X X. M Perſarum reuerſum è Perſide reperit. is magnam quoque Coſſæorum manũ & Tapurorum non paucos adduxerat: quòd & hæ gentes Perſidi finitimæ in primis bellicoſæ eſſe dicebãtur. Venerat item Philoxenus, è Caria exercitum ducens, & Menander è Lydia. Menidas quoque cum equeſtribus copiis. Inter hæc legati è Græcia venerunt, iique ipſi coronati Alexandrum acceſſerunt, eúmque coronis aureis coronauere, qui nimirum vt eum tanquam deum colerẽt venerant. non longè interim ipſe ab interitu aberat. Tum Perſarum ſtudio collaudato, quòd Peuceſtæ per omnia paruiſſent, ſimúlque Peuceſta ipſo qui moderatè ſapientérque gubernaſſet, Macedonicis ordinibus eos accenſuit. Decurionem quidem Macedonem ſingulis decuriis præfecit, adhæc duplarium Macedonem & decaſtaterem, ita vocatum à ſtipendio, quod quidem minus accipiebat quàm duplarius, maius verò quàm gregarij milites. Secundùm hos duodecim Perſas, ita tamen vt extremus decaſtater Macedo etiam eſſet. Singulæ itaq; decurię quatuor Macedones habebant. è quibus tres ampliora quàm reliqui ſtipendia accipiebant: quartus verò toti decuriæ præerat. Perſæ verò X I I erant. Et Macedones quidem patria armatura vtebantur: Perſæ partim ſagittis, partim amentatis iaculis. Interea Alexander claſſem crebrò ad remum exercebat. magna erat inter triremes & quadriremes quæ in fluuio erant contentio, acre remigum & gubernatorum certamen. victoribus coronæ dabantur. Per hos dies venerunt etiam ab Ammone ij quos ſciſcitatum miſerat, quóſnam honores Hephæſtioni tribuere fas eſſet. qui quidẽ Ammonem reſpondiſſe nuntiabant, fas eſſe vt heroi ſacrificare. Quo oraculo lætatus, deinceps eum vt heroem coluit. Poſt hæc Cleomeni

A τὸ ὕδωρ, τὸ διάδημα δὲ ἀπενεχθὲν πρὸς τῆς πνοῆς, σχεθῆναι ἐν καλάμῳ· τὸν κάλαμον δὲ τῶν ἐπιπεφυκότων εἶναι τάφῳ τινὶ τῶν πάλαι βασιλέων. τοῦτό τε οὖν αὐτὸ πρὸ τῶν μελλόντων σημῆναι, καὶ ὅτι τῶν τις ναυτῶν ἐκνηξάμενος ὡς ἐπὶ τὸ διάδημα, ἀφελὼν τοῦ καλάμου αὐτὸ, μετὰ χεῖρας μὲν οὐκ ἤνεγκεν, ὅτι νηχομένου ἂν αὐτοῦ ἐβρέχετο, περιθεὶς δὲ τῇ κεφαλῇ τῇ αὑτοῦ, οὕτω δὴ ἤνεγκε. καὶ οἱ μὲν πολλοὶ τῶν ἀναγραψάντων τὰ Ἀλεξάνδρου, λέγουσιν ὅτι τάλαντον μὲν ἐδωρήσατο αὐτῷ Ἀλέξανδρος, τῆς προθυμίας εἵνεκα· ἀποτεμεῖν δὲ ὅτι ἐκέλευσε τὴν κεφαλὴν, τῶν μάντεων B ταύτῃ ἐξηγησαμένων, μὴ περιϊδεῖν σῶαν ἐκείνην τὴν κεφαλὴν ἥτις τὸ διάδημα ἐφόρεσε τὸ βασίλειον. Ἀριστόβουλος δὲ τάλαντον μὲν ὅτι ἔλαβεν οὐ λέγει αὐτὸν, ἀλλὰ πληγὰς λαβεῖν τῆς περιθέσεως ἕνεκα τοῦ διαδήματος. Ἀριστόβουλος μὲν δὴ τῶν τινα Φοινίκων τῶν ναυτῶν λέγει, ὅτι τὸ διάδημα τῷ Ἀλεξάνδρῳ ἐκόμισεν· εἰσὶ δὲ οἳ Σέλευκον λέγουσι. καὶ τοῦτο τῷ τε Ἀλεξάνδρῳ σημῆναι τὴν τελευτὴν, καὶ τῷ Σελεύκῳ τὴν βασιλείαν τὴν μεγάλην. Σέλευκον γὰρ μέγιστον τῶν μετὰ Ἀλέξανδρον (διαδεξάμενον τὴν C ἀρχὴν τὴν μεγάλην) βασιλέα γενέσθαι, τήν τε γνώμην βασιλικώτατον, καὶ πλείστης γῆς ἐπάρξαι μετά γε αὐτὸν Ἀλέξανδρον, οὔ μοι δοκεῖ ἰέναι ἐς ἀμφίλογον. Ἐπανελθὼν δὲ εἰς Βαβυλῶνα, καταλαμβάνει Πευκέσταν ἥκοντα ἐκ Περσῶν, ἄγοντα στρατιὰν Περσῶν ἐς δισμυρίους. ἦγε δὲ καὶ Κοσσαίων καὶ Ταπούρων οὐκ ὀλίγους, ὅτι καὶ ταῦτα τὰ ἔθνη τῶν προσχώρων τῇ Περσίδι, μαχιμώτατα εἶναι ἐξηγγέλλετο. ἧκε δὲ αὐτῷ καὶ Φιλόξενος, στρατιὰν ἄγων ἀπὸ Καρίας, καὶ Μένανδρος ἐκ Λυδίας ἄλλους· καὶ Μενίδας τοὺς ἱππέας ἄγων τοὺς αὐτῷ ξυνταχθέντας. καὶ πρεσβεῖαι δὲ ἐν τούτῳ ἐκ D τῆς Ἑλλάδος ἧκον, καὶ τούτων οἱ πρέσβεις, αὐτοί τε ἐστεφανωμένοι Ἀλεξάνδρῳ προσῆλθον, καὶ ἐστεφάνουν αὐτὸν στεφάνοις χρυσοῖς, ὡς θεωροὶ δῆθεν ἐς τιμὴν θεοῦ ἀφιγμένοι· τῷ δὲ οὐ πόῤῥω ἄρα ἡ τελευτὴ ἦν. ἔνθα δὴ τούς τε Πέρσας ἐπαινέσας τῆς προθυμίας, ὅτι πάντα Πευκέστᾳ ἐπείθοντο, καὶ αὐτὸν Πευκέσταν τῆς ἐν κόσμῳ αὐτῶν ἐξηγήσεως, κατέλεγεν αὐτοὺς ἐς τὰς Μακεδονικὰς τάξεις. δεκαδάρχην μὲν τῆς δεκάδος ἡγεῖσθαι Μακεδόνα, καὶ ἐπὶ τούτῳ διμοιρίτην Μακεδόνα καὶ δεκαστάτηρον, οὕτως ὀνομαζόμενον ἀπὸ τῆς μισθοφορᾶς, ἥν τινα E μείονα μὲν τοῦ διμοιρίτου, πλείονα δὲ τῶν οὐκ ἐν τιμῇ στρατευομένων ἔφερεν. ἐπὶ τούτοις δὲ δώδεκα Πέρσας, καὶ τελευταῖον τῆς δεκάδος Μακεδόνα, δεκαστάτηρον καὶ τοῦτον· ὥστε ἐν τῇ δεκάδι τέσσαρας μὲν εἶναι Μακεδόνας, τοὺς μὲν τρεῖς τῇ μισθοφορᾷ προὔχοντας, τὸν δὲ τῇ ἀρχῇ τῆς δεκάδος· δώδεκα δὲ Πέρσας. τοὺς μὲν Μακεδόνας, τὴν πάτριον ὅπλισιν ὡπλισμένους· τοὺς δὲ Πέρσας, τοὺς μὲν τοξότας, τοὺς δὲ καὶ μεσάγκυλα ἔχοντας. ἐν τούτῳ δὲ πολλάκις μὲν τοῦ ναυτικοῦ ἀπεπειρᾶτο. πολλαὶ δὲ ἔριδες αὐτῷ τῶν τριηρῶν, καὶ ὅσαι τε- F τρήρεις κατὰ τὸν ποταμὸν ἐγίγνοντο, καὶ ἀγῶνες τῶν τε ἐρετῶν καὶ τῶν κυβερνητῶν, καὶ στέφανοι τῶν νικώντων. ἧκον δὲ καὶ παρὰ Ἄμμωνος οἱ θεωροὶ, οὕστινας ἐστάλκει ἐρησομένους ὅπως θέμις αὐτῷ τιμᾶν Ἡφαιστίωνα. οἱ δὲ, ὡς ἥρωϊ ἔφησαν ὅτι θύειν θέμις ὁ Ἄμμων λέγει. ὁ δὲ ἔχαιρέ τε τῇ μαντείᾳ, καὶ τὸ ἀπὸ τοῦδε ὡς ἥρωα ἐγέραιρε. καὶ Κλεομένει ἀνδρὶ κακῷ,

A καὶ πολλὰ ἀδικήματα ἀδικήσαντι ἐν Αἰγύπτῳ, ἐπιστέλλει ἐπιστολήν. καὶ ταύτην, τὸ μὲν ἐς Ἡφαιστίωνα καὶ ἀποθανόντα φιλίας ἕνεκα καὶ μνήμης, οὐ μέμφομαι ἔγωγε· ἄλλων δὲ πολλῶν ἕνεκα, μέμφομαι. ἔλεγε γὰρ ἡ ἐπιστολὴ κατασκευασθῆναι Ἡφαιστίωνι ἡρῷον ἐν Ἀλεξανδρείᾳ τῇ Αἰγυπτίᾳ, ἔν τε τῇ πόλει αὐτῇ, καὶ ἐν τῇ νήσῳ τῇ Φάρῳ, ἵνα ὁ πύργος ἐστὶν ὁ ἐν τῇ νήσῳ, μεγέθει τε μέγιστος, καὶ πολυτελείᾳ ἐκπρεπέστατος· καὶ ὅπως ἐπικρατήσῃ ἐπικαλεῖσθαι ἀπὸ Ἡφαιστίωνος. καὶ τοῖς συμβολαίοις, καθ᾽ ὅσα οἱ ἔμποροι ἀλλήλοις ξυμβάλλουσιν, ἐγγράφεσθαι τὸ ὄνομα Ἡφαιστίωνος. B ταῦτα μὲν οὖν οὐκ ἔχω μέμψασθαι, πλήν γε δὴ ὅτι οὐκ ἐπὶ μεγάλοις μεγάλως διεσπουδάζετο· ἐκεῖνα δὲ καὶ πάνυ μέμφομαι. Ἢν γὰρ καταλάβω ἐγὼ (ἔλεγε τὰ γράμματα) τὰ ἱερὰ τὰ ἐν Αἰγύπτῳ καλῶς κατεσκευασμένα, καὶ τὰ ἡρῷα τὰ Ἡφαιστίωνος, εἴτε τι πρότερον ἡμάρτηκας, ἀφήσω σε τούτου, καὶ τὸ λοιπὸν, ὁπηλίκον ἂν ἁμάρτῃς, οὐδὲν πείσῃ ἐξ ἐμοῦ ἄχαρι. τοῦτο ἀνδρὶ ἄρχοντι πολλῆς μὲν χώρας πολλῶν δὲ ἀνθρώπων, ἐκ βασιλέως μεγάλου ἐπεσταλμένον, ἄλλως τε καὶ κακῷ ἀνδρὶ, οὐκ ἔχω ἐπαινέσαι. C Ἀλλὰ γὰρ αὐτῷ ἤδη Ἀλεξάνδρῳ ἐγγὺς ἦν τὸ τέλος. καί τι καὶ τοιόνδε πρὸ τῶν μελλόντων σημῆναι λέγει Ἀριστόβουλος· καταλοχίζειν μὲν αὐτὸν τὴν στρατιὰν τὴν ξὺν Πευκέστᾳ τε ἐκ Περσῶν, καὶ ἀπὸ θαλάσσης ξὺν Φιλοξένῳ καὶ Μενάνδρῳ ἥκουσαν, ἐς τὰς Μακεδονικὰς τάξεις. διψήσαντα δὲ, ἀποχωρῆσαι ἐκ τῆς ἕδρας, καταλιπόντα ἔρημον τὸν θρόνον τὸν βασίλειον. εἶναι δὲ κλίνας ἑκατέρωθεν τοῦ θρόνου ἀργυρόποδας, ἐφ᾽ ὧν οἱ ἀμφ᾽ αὐτὸν ἑταῖροι ἐκάθηντο. τῶν τινα οὖν ἠμελημένων ἀνθρώπων D (οἱ δὲ καὶ τῶν ἐν φυλακῇ ἀδέσμῳ ὄντα λέγουσιν) ἔρημον ἰδόντα τὸν θρόνον καὶ τὰς κλίνας, περὶ τῷ θρόνῳ δὲ ἑστηκότας τοὺς εὐνούχους (καὶ γὰρ καὶ οἱ ἑταῖροι ξυνανέστησαν τῷ βασιλεῖ ἀποχωροῦντι) διελθόντα διὰ τῶν εὐνούχων, ἀναβῆναί τε ἐπὶ τὸν θρόνον καὶ καθέζεσθαι· τοὺς δὲ οὐκ ἀναστῆναι μὲν αὐτὸν ἐκ τοῦ θρόνου, κατὰ δή τινα νόμον Περσικὸν· περιρρηξαμένους δὲ, τύπτεσθαι τά τε στήθη καὶ τὰ πρόσωπα, ὡς ἐπὶ μεγάλῳ κακῷ. ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, κελεῦσαι στρεβλωθῆναι τὸν καθίσαντα, μήποτε ἐξ ἐπιβουλῆς ξυντεταγμένον τοῦτο ἔδρασε, γνῶναι E θέλοντα· τὸν δὲ οὐδὲν ἄλλο κατειπεῖν, ὅτι μὴ ἐπὶ νοῦν οἱ ἐλθὸν οὕτω πρᾶξαι. ᾗ δὴ καὶ μᾶλλον ἐπ᾽ οὐδενὶ ἀγαθῷ ξυμβῆναι αὐτῷ οἱ μάντεις ἐξηγοῦντο. ἡμέραι τε οὐ πολλαὶ ἐπὶ τούτῳ ἐγένοντο, καὶ τεθυκὼς τοῖς θεοῖς τάς τε νομιζομένας θυσίας ἐπὶ ξυμφοραῖς ἀγαθαῖς, καί τινας καὶ ἐκ μαντείας, εὐωχεῖτο ἅμα τοῖς φίλοις, καὶ ἔπινε πόρρω τῶν νυκτῶν. δοῦναι δὲ λέγεται καὶ τῇ στρατιᾷ ἱερεῖα, καὶ οἶνον κατὰ λόχους καὶ ἑκατοστύας. ἀπὸ δὲ τοῦ πότου, αὐτὸν μὲν ἀπαλλάττεσθαι ἐθέλειν ἐπὶ κοιτῶνι, εἰσὶν οἳ ἀνέγραψαν· F Μήδιον δὲ αὐτῷ ἐντυχόντα, τῶν ἑταίρων ἐν τῷ τότε τὸν πιθανώτατον, δεηθῆναι κωμάσαι παρά οἱ· γενέσθαι γὰρ ἂν ἡδὺν τὸν κῶμον. καὶ αἱ βασίλειοι ἐφημερίδες ὧδε ἔχουσι, πίνειν παρὰ Μηδίῳ αὐτὸν κωμάσαντα· ἔπειτα ἐξαναστάντα, καὶ λουσάμενον, καθεύδειν τε, καὶ αὖθις δειπνεῖν παρὰ Μηδίῳ, καὶ αὖθις πίνειν πόρρω τῶν νυ-

homini improbo, qui Ægyptios multis iniuriis affecerat, epiſtolam ſcripſit. quam quidem, memoriæ beneuolentiæque erga Hephæſtionem mortuũ cauſa, haud reprehenderim: multis verò aliis de cauſis non probo. Iubebat enim ea epiſtola templum Hephæſtioni exędificari in Alexandria Ægyptiaca, cùm in ipſa vrbe, tum in inſula Pharo, in qua turris erat & magnitudine & ſumptu operis excellens: & hoc iuris obtineret vt de Hephæſtionis nomine appellaretur. Adhæc tabulis contractuum, quoſcunque negotiatores inter ſe cõficerent, Hephęſtionis nomen inſcribi. Atque hæc quidem eo tantùm nomine reprehendo, quòd in rebus non magnis nimis magnam operam poſuit: illa verò in vniuerſum damno. Si enim ego (ita ſcribebat) in Ægyptum veniens, templa ritè abs te Hephæſtioni vt heroi extructa inuenero, non ſolùm ſiquid antehac commiſiſti, ignoſcam, ſed quantuncunque deinceps deliqueris, nihil incommodi tibi à me accidet. Hoc certè ad hominem improbum, multis & terris & viris imperantem, à magno rege ſcriptum nulla ratione probare poſſum. Sed iam Alexandri interitus imminebat, quem vel hoc maximè prodigio ſignificatum fuiſſe Ariſtobulus ſcribit. Copias enim quæ cum Peuceſta ex Perſide, & ex mari cum Philoxeno & Menandro venerant, in Macedonicos ordines diſtribuiſſe, quúmque ſitim ſentiret, nonnihil à ſolio receſſiſſe, regiámque ſellam vacuam reliquiſſe. Fuiſſe porro ab vtraque ſolii parte lectos argenteis pedibus innixos, quibus amici inſidebant. Quendam verò obſcurum hominẽ (ſunt qui aliquem qui in cuſtodia citra vincula habebatur, fuiſſe dicant) quum regiam ſellam vacuam videret, & eunuchos vtrinque thronũ circunſtantes (nam & amici regẽ diſcedẽtem comitati erãt) per medios eunuchos tranſiſſe, ſoliúmq; conſcẽdiſſe & in eo cõſediſſe. Eos verò è ſolio eum detrahere nõ auſos, Perſica quadã lege prohibitos: laceratis tantùm veſtibus pectora faciémque contudiſſe, magnum aliquod malum ominatos. Quæ vbi Alexandro nuntiata ſunt, eum qui ſolio inſederat in quæſtionem dari iuſſiſſe, num fortè ex compoſitis inſidiis id feciſſet exploraturum: nihil verò confeſſum, pręterquam quòd leuitate quadam animi impulſus id feciſſet: tantóque maius malum vates inde portendiſſe. Paucis pòſt diebus quum diis conſuetas ſibi pro felicibus ſucceſſibus hoſtias ſacrificaſſet, nonnulláſque ex vatum monitu adieciſſet, cum amicis epulatus eſt, conuiuiúmque in multam noctẽ produxit. Hoſtias etiam exercitui dediſſe, vinúmque per cohortes & centurias diſtribuiſſe dicitur. A conuiuio ſunt qui ſcribant eum in cubiculũ concedere voluiſſe: ſed Medium, vnũ ex amicis tum tẽporis ei maximè charũ, obuiã factum rogaſſe vt ſecũ comeſſatum veniret: fore enim iucundã comeſſationem. Et quidẽ diaria regis ita habent: ipſum apud Medium comeſſatum bibiſſe. deinde quum ſurrexiſſet ſéque abluiſſet, dormiſſe: rurſúmque ediſſe apud Medium & in multam

noctem bibiſſe, quúmq; è conuiuio diſceſsiſſet, lauiſſe, lotum nonnihil mandiſſe, ibique cubuiſſe, quòd iam febricitaret: deinde lectica ad ſacrificia delatum ſacrificaſſe vti conſueuerat per ſingulos dies. ſacrificiiſq; peractis in androne iacuiſſe in veſperum vſq;. Inter hæc iter nauigationémque ducibus pronuntiaſſe, & quidem eos qui pedites profecturi erant, in quartum diem: qui verò ſecum nauigaturi eſſent, vt in quintum diem parati eſſent iuſsiſſe. Poſt hæc lectica delatum flumen verſus, conſcenſáque naue flumen traieciſſe in hortum amœniſsimum: ibíque rurſus lotum requieuiſſe. Poſtridie denuo lotum cõſueta ſacrificia diis feciſſe. ingreſſúmque cubiculum, iacuiſſe cum Medio colloquentem, imperaſſéque ducibus vt mane adeſſent. His peractis cœnaſſe modicè, rurſúſque in cubiculum delatum continuè per totam noctem febricitaſſe: poſtridie lauiſſe, lotúmque ſacrificaſſe, & Nearcho reliquíſque ducibus nauigationem in tertium diem indixiſſe: poſtero quoque die lotum conſueta ſacrificia diis feciſſe. ſacrificiiſque factis febrim non ceſſaſſe. Nihilominus tamen conuocatis ducibus præcepiſſe vt omnia ad nauigationem parata eſſent. lotúmque ſub veſperum peius habuiſſe. Sequenti luce in ædes balneis vicinas tranſlatum eſſe, conſuetáque ſacrificia peregiſſe. Quúmque iam vis morbi inualuiſſet, primarios tamen duces euocaſſe. déque nauigatione rurſus mandata dediſſe. Altero die difficulter admodum ad ſacrificia delatum ſacrificaſſe, nihilóque ſecius nauigationem imperaſſe. poſtridie, quum iam peſsimè haberet, tamen à conſuetis ſacrificiis non deſtitiſſe. Iuſsiſſe verò vt duces circa aulam verſarentur: & eos qui mille, quique quingentis militibus præfecti eſſent pro foribus cuſtodiam agerent. quúmque iam planè langueret, ex horto in regiam tranſlatum. Ingreſsiſque ad eum ducibus, agnouiſſe quidem eos, alloqui tamen non potuiſſe, nullámque vocem edidiſſe, & tota illa nocte ac ſequenti die grauiſſima febri correptum fuiſſe. Ita in diariis regiis ſcriptum inueni. Inter hæc milites deſiderio eius videndi captos eſſe. & nonnullis viuum cernere cupientibus: nonnullis, quòd iam mortuus eſſe diceretur, mortémque eius à cuſtodibus corporis celari (mea ſententia). ſuſpicantibus, pleroſque præ dolore ac deſiderio regis, vi ad illum videndum irrupiſſe. Sed iam regem ingrediente exercitu vocem defeciſſe: capite tantum ægrè ſubleuato atq; oculis indicium aliquod animi facientibus, ſingulis dextram præbuiſſe. Iiſdem diariis regiis continetur, in Serapidis æde pernoctaſſe Pythonem, Attalum, Demophontem, & Peuceſtam. præterea Cleomenem & Menidam, ac Seleucum. & percontantibus deũ, an melius ſatiúſque eſſet Alexandrum in templum ſuum, vt à ſe curaretur, deferri, oraculũ redditum, Non oportere eò deferri: ſed melius ei ſi ibi maneat fore. ídque amicos Alexandro renuntiaſſe, neque multo pòſt Ale-

In vet. poſt τὴν ἡμέραν legitur, καὶ τὴν ἄλλην νύκτα καὶ τὴν ἡμέραν.

A κτῶν. ἀπαλλαχθέντα δὲ τοῦ πότου, λούσασθαι· καὶ λουσάμενον, ὀλίγον τι ἐμφαγεῖν, καὶ καθεύδειν αὐτοῦ, ὅτι ἤδη ἐπύρεσσεν. ἐκκομισθέντα δὲ ἐπὶ κλίνης πρὸς τὰ ἱερὰ, θῦσαι ὡς νόμος ἐφ' ἑκάστῃ ἡμέρᾳ. καὶ τὰ ἱερὰ ἐπιθέντα, κατακεῖσθαι ἐν τῷ ἀνδρῶνι ἔστε ἐπὶ κνέφας. ἐν τούτῳ δὲ τοῖς ἡγεμόσι παραγγέλλειν ὑπὲρ τῆς πορείας. καὶ τοῦ πλοῦ· τοὺς μὲν, ὡς πεζῇ ἰόντας, παρασκευάζεσθαι ἐς τετάρτην ἡμέραν· τοὺς δὲ ἅμα οἷ πλέοντας, ὡς εἰς πέμπτην πλευσομένους. ἐκεῖθεν δὲ κατακομισθῆναι ἐπὶ κλίνης ὡς ἐπὶ τὸν ποB ταμόν· καὶ πλοίου ἐπιβάντα, διαπλεῦσαι πέραν τοῦ ποταμοῦ ἐς τὸν παράδεισον. κἀκεῖ αὖθις λουσάμενον, ἀναπαύεσθαι. ἐς δὲ τὴν ὑστεραίαν, λούσασθαί τε αὖθις, καὶ θῦσαι τὰ νομιζόμενα. καὶ εἰς τὴν καμάραν εἰσελθόντα, κατακεῖσθαι διαμυθολογοῦντα πρὸς Μήδιον. παραγγεῖλαι δὲ καὶ τοῖς ἡγεμόσιν, ἀπαντῆσαι ἕωθεν. ταῦτα πράξαντα, δειπνῆσαι ὀλίγον. κομισθέντα δὲ αὖθις ἐς τὴν καμάραν, πυρέσσειν ἤδη ξυνεχῶς τὴν νύκτα ὅλην. τῇ δὲ ὑστεραίᾳ λούσασθαι, καὶ λουσάμενον θῦσαι. Νεάρχῳ δὲ καὶ τοῖς ἄλλοις ἡγεμόσι παραγγεῖλαι τὰ ἀμφὶ τὸν πλοῦν, ὅπως ἔσται ἐς τρίτην ἡμέραν. C τῇ δὲ ὑστεραίᾳ λούσασθαι αὖθις, καὶ θῦσαι τὰ τεταγμένα· καὶ τὰ ἱερὰ ἐπιθέντα, οὐκέτι ἐλινύειν πυρέσσοντα· ἀλλὰ καὶ ὣς τοὺς ἡγεμόνας εἰσκαλέσαντα, παραγγέλλειν τὰ πρὸς τὸν ἔκπλουν ὅπως αὐτῷ ἔσται ἕτοιμα. λούσασθαί τε ἐπὶ τῇ ἑσπέρᾳ, καὶ λουσάμενον ἔχειν ἤδη κακῶς. τῇ δὲ ὑστεραίᾳ μετακομισθῆναι ἐς τὴν οἰκίαν τὴν πρὸς τῇ κολυμβήθρᾳ, καὶ θῦσαι μὲν τὰ τεταγμένα. ἔχοντα δὲ πονήρως, ὅμως ἐσκαλέσαι τῶν ἡγεμόνων τοὺς ἐπικαιριωτάτους, καὶ ὑπὲρ τοῦ πλοῦ αὖθις παραγγέλλειν. τῇ δ' ἐπιούσῃ μόγις ἐκκομιD σθῆναι πρὸς τὰ ἱερὰ, καὶ θῦσαι, καὶ μηδὲν μεῖον ἔτι παραγγέλλειν ὑπὲρ τοῦ πλοῦ τοῖς ἡγεμόσιν. ἐς δὲ τὴν ὑστεραίαν κακῶς ἤδη ἔχοντα, ὅμως θῦσαι τὰ τεταγμένα. παραγγεῖλαι δὲ, τοὺς μὲν στρατηγοὺς διατρίβειν κατὰ τὴν αὐλήν· χιλιάρχας δὲ καὶ πεντακοσιάρχας, πρὸ τῶν θυρῶν. ἤδη δὲ παντάπασι πονήρως ἔχοντα, διακομισθῆναι ἐκ τοῦ παραδείσου εἰς τὰ βασίλεια. εἰσελθόντων δὲ τῶν ἡγεμόνων, γνῶναι μὲν αὐτοὺς, φωνῆσαι δὲ μηδὲν ἔτι, ἀλλ' εἶναι ἄναυδον· καὶ τὴν νύκτα πυρέσσειν κακῶς καὶ τὴν ἡμέραν. οὕτως ἐν ταῖς ἐφημερίσι E ταῖς βασιλείοις ἀναγέγραπται. καὶ ἐπὶ τούτοις, ὅτι οἱ στρατιῶται ἐπόθησαν ἰδεῖν αὐτόν· οἱ μὲν, ὡς ζῶντα ἔτι ἴδοιεν· οἱ δὲ, ὅτι τεθνηκέναι ἤδη ἐξηγγέλλετο, ἐπικρύπτεσθαι δὲ αὐτοῦ ἐτόπαζον πρὸς τῶν σωματοφυλάκων τὸν θάνατον, ὡς ἔγωγε δοκῶ, τοὺς πολλοὺς δὲ ὑπὸ πένθους καὶ πόθου τοῦ βασιλέως, βιάσασθαι ἰδεῖν Ἀλέξανδρον. τὸν δὲ ἄφωνον μὲν εἶναι λέγουσι παραπορευομένης τῆς στρατιᾶς· δεξιοῦσθαι δὲ ὡς ἑκάστους, τήν τε κεφαλὴν ἐπαίροντα μόγις, καὶ τοῖν ὀφθαλμοῖν ἐπισημαίνοντα. λέγουσι δὲ αἱ ἐφημερίδες αἱ βασίλειαι, ἐν F τῷ τοῦ Σεράπιδος ἱερῷ Πύθωνά τε ἐγκοιμηθέντα, καὶ Ἄτταλον, καὶ Δημοφῶντα, καὶ Πευκέσταν· πρὸς δὲ, Κλεομένην τε καὶ Μενίδαν, καὶ Σέλευκον, ἐπερωτᾶν τὸν θεὸν εἰ λῷον καὶ ἄμεινον Ἀλεξάνδρῳ, εἰς τὸ ἱερὸν τοῦ θεοῦ κομισθέντα, καὶ ἱκετεύσαντα θεραπεύεσθαι πρὸς τοῦ θεοῦ. καὶ γενέσθαι φήμην τινὰ ἐκ τοῦ θεοῦ. μὴ κομίζεσθαι εἰς τὸ ἱερὸν, ἀλλ' αὐτοῦ μένοντι ἔσεσθαι ἄμεινον. ταῦτά τε ἀπαγγεῖλαι τοὺς ἑταίρους, καὶ Ἀλέ-

ξανδρον

ξάνδρον οὐ πολὺ ὕστερον ἀποθανεῖν· ὡς τοῦτο ἄρα ἤδη ὂν τὸ ἄμεινον. οὐ πόῤῥω δὲ τούτων οὔτε Ἀριστοβούλῳ οὔτε Πτολεμαίῳ ἀναγέγραπται. οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ἐρέσθαι μὲν τοὺς ἑταίρους αὐτόν, ὅτῳ τὴν βασιλείαν ἀπολείπει· τὸν δὲ ὑποκρίνασθαι, ὅτι τῷ κρατίστῳ. οἱ δέ, προσθεῖναι πρὸς τούτῳ τῷ λόγῳ, ὅτι μέγαν ἐπιτάφιον ἀγῶνα ὁρᾷ ἐπ᾽ αὐτῷ ἐσόμενον. πολλὰ δὲ καὶ ἄλλα οἶδα ἀναγεγραμμένα ὑπὲρ τῆς Ἀλεξάνδρου τελευτῆς. καὶ φάρμακον ὅτι ἐπέμφθη παρ᾽ Ἀντιπάτρου Ἀλεξάνδρῳ, καὶ ἐκ τοῦ φαρμάκου ὅτι ἀπέθανε. καὶ τὸ φάρμακον ὅτι Ἀριστοτέλης μὲν Ἀντιπάτρῳ ἐξεῦρε, δεδοικὼς ἤδη Ἀλέξανδρον, Καλλισθένους ἕνεκα· Κάσανδρος δὲ ὁ Ἀντιπάτρου ἐκόμισεν. οἱ δὲ, καὶ ὅτι ἐν ἡμιόνου ὁπλῇ ἐκόμισε, καὶ τοῦτο ἀνέγραψαν· δοῦναι δὲ αὐτὸ Ἰόλλαν τὸν ἀδελφὸν τοῦ Κασάνδρου τὸν νεώτερον. εἶναι γὰρ οἰνοχόον βασιλικὸν τὸν Ἰόλλαν, καί τι λελυπῆσθαι πρὸς Ἀλεξάνδρου ὀλίγῳ ἔμπροσθεν τῆς τελευτῆς. οἱ δέ, καὶ Μήδιον μετασχεῖν τοῦ ἔργου, ἐραστὴν ὄντα τοῦ Ἰόλλα· καὶ αὐτὸν γὰρ εἶναι τὸν εἰσηγητὴν γενόμενον Ἀλεξάνδρῳ τοῦ κώμου. ὀδύνην τε αὐτῷ ἐπὶ τῇ κύλικι γενέσθαι ὀξεῖαν, καὶ ἐπὶ τῇ ὀδύνῃ ἀπαλλαγῆναι ἐκ τοῦ πότου. ἤδη δέ τις οὐκ ᾐσχύνθη ἀναγράψαι, ὅτι αἰσθόμενος οὐ βιώσιμον ὄντα αὑτὸν Ἀλέξανδρος, ἐς τὸν Εὐφράτην ποταμὸν ᾔει ἐμβαλῶν, ὡς ἀφανὴς ἐξ ἀνθρώπων γενόμενος, πιστοτέραν τὴν δόξαν παρὰ τοῖς ἔπειτα ἐγκαταλείποι ὅτι ἐκ θεοῦ τε αὐτῷ ἡ γένεσις ξυνέβη· καὶ παρὰ θεοὺς ἡ ἀποχώρησις. Ῥωξάνην δὲ τὴν γυναῖκα οὐ λαθεῖν ἐξιόντα, ἀλλὰ εἰργόμενον πρὸς αὐτῆς, ἐποιμώξαντα εἰπεῖν, ὅτι ἐφθόνησεν ἄρα δόξης αὐτῷ τῆς ἐς ἅπαν, ὡς θεῷ δὴ γεγενημένῳ. καὶ ταῦτα ἐμοί, ὡς μὴ ἀγνοεῖν δόξαιμι μᾶλλον ὅτι λεγόμενά ἐστιν, ἢ ὡς πιστὰ ἐς ἀφήγησιν, ἀναγεγράφθω. ἐτελεύτα μὲν δὴ Ἀλέξανδρος τῇ τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ ὀλυμπιάδι, ἐπὶ Ἡγησίου ἄρχοντος Ἀθήνησιν. ἐβίω δὲ δύο καὶ τριάκοντα ἔτη, καὶ τοῦ τρίτου μῆνας ἐπέλαβεν ὀκτώ, ὡς λέγει Ἀριστόβουλος. ἐβασίλευσε δὲ δώδεκα ἔτη, καὶ τοὺς ὀκτὼ μῆνας τούτους· τό, τε σῶμα κάλλιστος, καὶ φιλοπονώτατος, καὶ ὀξύτατος γενόμενος, καὶ τὴν γνώμην ἀνδρειότατος, καὶ φιλοτιμότατος, καὶ φιλοκινδυνότατος, καὶ τοῦ θείου ἐπιμελέστατος. ἡδονῶν δὲ τῶν μὲν τοῦ σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης, ἐπαίνου μόνου ἀπληστότατος· ξυνιδεῖν δὲ τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινότατος, καὶ ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος, καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι τε καὶ κοσμῆσαι δαημονέστατος· καὶ τὸν θυμὸν τοῖς στρατιώταις ἐπᾶραι, καὶ ἐλπίδων ἀγαθῶν ἐμπλῆσαι, καὶ τὸ δεῖμα ἐν τοῖς κινδύνοις τῷ ἀδεεῖ τῷ αὑτοῦ ἀφανίσαι, ξύμπαντα ταῦτα γενναιότατος. καὶ οὖν καὶ ὅσα ἐν τῷ ἀφανεῖ πρᾶξαι, ξὺν μεγίστῳ θάρσει ἔπραξεν· ὅσα τε φθάσας ὑφαρπάσαι τῶν πολεμίων, πρὶν καὶ δεῖσαί τινα αὐτὰ ὡς ἐσόμενα, προλαβεῖν δεινότατος· καὶ τὰ μὲν ξυντεθέντα ἢ ὁμολογηθέντα, φυλάξαι βεβαιότατος· πρὸς δὲ τῶν ἐξαπατώντων μὴ ἁλῶναι, ἀσφαλέστατος. χρημάτων δὲ ἐς μὲν ἡδονὰς τὰς αὑτοῦ, φειδωλότατος· ἐς δὲ εὐποιίαν τῶν πέλας, ἀφθονώτατος. εἰ δέ τι ἐπλημμελήθη Ἀλεξάνδρῳ δι᾽ ὀξύτητα, ἢ ὑπ᾽ ὀργῆς, ἢ εἴ τι ἐς τὸ ὑπερογκότερον προήχθη βαρβαρίσαι, οὐ μεγάλα

A xandrum deceſſiſſe quaſi id magis in rem i-
pſius eſſet. Ptolemæus & Ariſtobulus non
multum ab his diſſentiunt. Sunt qui hoc e-
tiam addant: Interrogatum ab amicis, cui-
nam regnum relinqueret: reſpondiſſe, Opti
mo ac præſtantiſſimo. Alij adieciſſe cum ad
hæc verba aiunt, cernere ſe ingens certamen
inter eos poſt eius mortem futurum. Ne-
que verò me præterit multa alia præter hæc
de Alexãdri obitu ſcripta eſſe: quódque ve-
nenum ei ab Antipatro miſſum fuerit, quo
interiit. Ariſtotelémque id Antipatro con-
B feciſſe, Alexandrum ob Calliſthenis necem
motuentem: ídque à Caſſandro Antipatri
filio allatum: alij in iumenti vngula allatum
ſcribunt: & per Iollam minorem Caſſandri
fratrem regi traditum. Fuiſſe enim Iollam
regi à poculis, eique ab Alexãdro paulo ante
eius mortem acerbi aliquid accidiſſe. Alij
Medium, quòd Iollæ amator eſſet, ſceleris
conſcium fuiſſe ſcribunt. Nam & hunc Ale-
xandro autorem comeſſationis fuiſſe, ſta-
timque poſt hauſtum poculum vehementẽ
C dolorem ſenſiſſe, ita vt conuiuio excedere
ſit coactus. Quidam etiam ſcribere non e-
rubuit, Alexandrum quum iam de ſalute de-
ſperaret, ad Euphratem ſe contuliſſe conii-
ciendi ſe in flumẽ animo, vti ſublatus ex ho-
minum oculis, certiorem apud poſteros fi-
dem faceret, ſe ex deorum genere ortum, ad
deos rediiſſe. Roxanem verò, cõſilio eius in-
tellecto, inhibuiſſe, plorãtémq; ipſum dixiſ-
ſe: Inuidere illam ſibi diuinitatis partæ glo-
riam. Quæ quidem ideo potius à me com-
memorãtur, ne ignoraſſe videar ea tum ſpar
D ſa fuiſſe, quàm quod fide digna exiſtimem.
Deceſſit autẽ Alexãder Olympiade CXIIII,
archonte Athenis Hegeſia. Vixit annos
XXXII, menſes VIII, vt autor eſt Ariſto-
bulus. Regnauit annos XII, menſes VIII.
Statura corporis pulcherrima fuit, diligen-
tiſſimus & vehementiſſimus, magna animi
fortitudine præditus, honoris & gloriæ ap-
petentiſſimus, periculorum amantiſſimus,
diuini cultus obſeruantiſſimus: circa corpo
ris voluptates moderatiſſimus: circa eas quę
E ad animum pertinent, ſola laude inexplebi-
lis, ſumma conſilij dexteritate quid in rebus
obſcuris facto eſſet opus cernebat: & ex ve-
riſimilibus feliciſſimè euentus rerũ cõiecta-
bat: ordinandi exercitus, armandi, guber-
nandíque peritiſſimus. idem ad militum a-
nimos excitandos & bona ſpe replendos, &
metum periculorum priuati periculi con-
temptione profligandum, eximius. Res du-
bias ſumma audacia aggrediebatur: ad an-
ticipandos hoſtes eóſque corripiẽdos, priuſ-
quam quod euenturum erat timerent, ſoler-
F tiſſimus, promiſſi pactíque religioſiſſimus
obſeruator: néve aliorum fraudibus cape-
retur, inſtructiſſimus: pecunias in priuatas
voluptates parciſſimè conuertebãt: in ami-
cos ſumma cum liberalitate erogabat. Si-
quid verò ab Alexandro iræ vehementia ra-
piditatéque commiſſum eſt, aut ſi inſolẽtius
barbarorũ faſtum imitatus eſt, equidẽ non

Curt. Veneno necatum eſſe cre
didere plerique, filium Antipatri
inter miniſtros, Iollam nomine,
patris iuſſu de-
diſſe.

tanti faciendū cenſuerim, ſi quis iuuenilem Alexandri ætatē nō iniquè æſtimet, ſi perpetuū felicitatis curſum, ſi aſſentatores, qui voluptatis cauſa cum regibus magno eorū malo verſantur, animaduertat. Cæterùm delicti pœnitētia duci, id ego ſoli ipſi inter veteres reges tanquā eximiū ac genuinū quiddā adſcribo. Plerique enim, tametſi alicuius delicti conſcij ſibi ſint, tuētes id vt rectè factū obtegere ſe culpā ſuā putant: iniquè ſtatuentes. Vnicam enim peccati medicinam eſſe cenſeo, peccati agnitionē & confeſſionem, manifeſtúmq; pœnitentiæ documentū edere. Nam qui iniuriā accepit, nō ita grauiter læſum ſeſe iudicat, ſi is qui læſit perperā ſeſe feciſſe fateatur: & bona alicui ſpes ſit, ſe non amplius iniuria affectū iri, ſi is qui affecit pœnitentiā facti ſui præ ſe ferat. Quod verò ad deum generis ſui originē referebat, ne hoc quidem atrox delictū fuiſſe cenſuerim: quippe qui nihil aliud fortaſſis ſibi propoſitum habuerit quàm vt eo figmento maiorē autoritatem apud ſubditos ſibi cōciliaret. Neq; verò mihi videtur Alexāder fuiſſe Minoe aut Aeaco aut Rhadamātho inferior, quorū genus ad Iouē à veteribus relatū, nullo ipſis vitio aut cōtumeliæ verſum fuit: quēadmodū nec Theſei ortus ad Neptunū, neque Ionis ad Apollinē relatus. Verùm & Perſicus habitus arte quadam mihi à rege aſſumtus videtur, ne in vniuerſum alienus ab eis rex eſſe videretur: vtq; refugiū quoddā aduerſus Macedonum inſolentiā ſuperbiámque haberet. Qua etiā de cauſa eum Macedonū ordinib' Perſas melophoros immiſcuiſſe arbitror, & agemati, qui pari cum eis honore eſſent, accenſuiſſe. Lōgas etiam potationes, vt ait Ariſtobulus, non vini cauſa amabat (neque enim multū vini potabat) ſed vt beneuolentiam cum amicis foueret. Quapropter quiſquis Alexandrū incuſat ac vituperat, is non ea ſolùm quæ vituperatione digna ſunt proferens vituperet, ſed omnia eius facta in vnum cumulum cōgerens, ita demum ſecum reputet, quis ipſe & quali fortuna vſus, ad cuius ac quanti principis accuſationē accedat, qui ad tantum humanæ felicitatis faſtigium euaſit, vt vtriuſque cōtinentis rex citra vllā cōtrouerſiam fuerit, noménque ſuum per vniuerſum terrarum orbem propagarit: cogitétque iſte quiſquis eſt accuſator, quàm exilis ipſe ſit, quámque in exilibus paruiſq; momēti rebus laboret, ac ne illas quidem ipſas decorè cōficiat. Ita enim ſentio, nullam ea tempeſtate gentē, nullam vrbē, nullum denique hominē fuiſſe, ad quem non Alexandri nomen peruenerit. Quocirca nō abſque numine eiuſcemodi hominē terris datū exiſtimauerim, cui nemo omniū mortaliū par fuit. quod quidē etiā oracula in Alexandri morte teſtata ſunt, diuerſáque aliis atq; aliis hominib' ſpectra & inſomnia oblata, & cōtinuata in hunc vſque diem inter homines memoria & gloria, maior quàm quæ in hominē cadat: tum denique alia poſt tantum temporis ſpatium oracula Macedonum gēti de eius honore edita. Ego verò, tametſi nonnulla Alexandri facta in hiſtoria rerum ab ipſo geſtarum reprehendi, Alexandri tamen ipſius admiratorem eſſe meipſum citra pudorem profiteor.

A τίθεμαι ἔγωγε, εἰ τὴν νεότητά τέ τις τὴν Ἀλεξάνδρου
μὴ ἀνεπιεικῶς ἐνθυμηθείη, καὶ τὸ διηνεκὲς τῆς εὐ-
τυχίας, καὶ τοὺς πρὸς ἡδονὴν οὐκ ἐπὶ τῷ βελτίστῳ
τοῖς βασιλεῦσι ξυνόντας τε καὶ ἐπὶ κακῷ ξυνεσομέ-
νους. ἀλλὰ μεταγνῶναί γε ἐφ' οἷς ἐπλημμέλησε, μό-
νῳ οἶδα τῶν πάλαι βασιλέων Ἀλεξάνδρῳ ὑπάρξαι
ὑπὸ γενναιότητος. οἱ δὲ πολλοί, εἰ καί τι ἔγνωσαν πλημ-
μελήσαντες, τῷ προηγορεῖν αὐτοῦ ὡς καλῶς δὴ πρα-
χθέντος, ἐπικρύψειν οἴονται τὴν ἁμαρτίαν, κακῶς γι-
γνώσκοντες. μόνη γὰρ ἔμοιγε δοκεῖ ἴασις ἁμαρτίας,
ὁμολογεῖν τε ἁμαρτάνοντα, καὶ δῆλον εἶναι ἐπ' αὐτῷ με-
B ταγιγνώσκοντα· ὡς τοῖς παθοῦσί τι ἄχαρι, οὐ πάντη
χαλεπὰ τὰ παθήματα φαινόμενα, εἰ ὁ δράσας αὐτὰ
ξυγχωροίη ὅτι οὐ καλὰ ἔδρασεν· αὐτῷ τέ τινι ἐς τὸ μέλ-
λον ταύτην τὴν ἐλπίδα ἀγαθὴν ὑπολειπομένην, μή ποτε
ἂν παραπλήσιόν τι ἁμαρτεῖν, εἰ τοῖς πρόσθεν πλημ-
μεληθεῖσιν ἀχθόμενος φαίνοιτο. ὅτι δὲ εἰς θεὸν τὴν γέ-
νεσιν τὴν αὐτοῦ ἀνέφερεν, οὐδὲ τοῦτο ἐμοὶ δοκεῖ εἶναι μέ-
γα αὐτῷ τὸ πλημμέλημα, εἰ μὴ καὶ σόφισμα ἦν τυ-
χὸν ἐς τοὺς ὑπηκόους τοῦ σεμνοῦ ἕνεκα. οὔκουν δοκεῖ
ἔμοιγε ἢ Μίνως γενέσθαι βασιλεὺς ἀφανέστερος,
C ἢ Αἰακοῦ, ἢ Ῥαδαμάνθυος· οἷς δὴ ἐς Δία ἀνενε-
χθεῖσα ἡ γένεσις πρὸς τῶν πάλαι ἀνθρώπων, οὐδεμιᾷ
αὐτῶν ὕβρει προστίθεται· οὐδὲ Θησέως τοῦ Ποσειδῶνος,
οὐδὲ Ἴωνος τοῦ Ἀπόλλωνος. ὡς ἔμοιγε καὶ ἡ Περσικὴ
σκευὴ σόφισμα εἶναι δοκεῖ, πρός τε τοὺς βαρβάρους,
ὡς μὴ πάντη ἀλλότριον αὐτῶν φαίνεσθαι τὸν βασι-
λέα· καὶ πρὸς τοὺς Μακεδόνας, ὡς ἀποστροφήν τινα
εἶναι αὐτῷ ἀπὸ τῆς ὀξύτητός τε καὶ ὕβρεως τῆς Μακε-
δονικῆς. ἐφ' ὅτῳ δὴ καὶ ἐγκαταμῖξαι μοι δοκεῖ
ταῖς τάξεσιν αὐτῶν τοὺς Πέρσας τοὺς μηλοφόρους, καὶ
D τοῖς ἀγήμασι τοὺς ὁμοτίμους. καὶ οἱ πότοι δέ, ὡς λέ-
γει Ἀριστόβουλος, οὐ τοῦ οἴνου ἕνεκα μακροὶ αὐτῷ ἐγί-
γνοντο (οὐ γὰρ πίνειν πολὺν οἶνον Ἀλέξανδρον) ἀλλὰ
φιλοφροσύνης τῆς εἰς τοὺς ἑταίρους. ὅστις δὲ κακί-
ζει Ἀλέξανδρον, μὴ μόνον ὅσα ἄξια κακίζεσθαί ἐστι
προσφερόμενος, κακιζέτω, ἀλλὰ ξύμπαντα τὰ Ἀλε-
ξάνδρου εἰς ἓν χωρίον ξυναγαγών, οὕτω δὴ ἐκλογι-
ζέσθω, ὅστις τε ὢν αὐτός, καὶ ὁποίᾳ τύχῃ κεχρημένος,
ὅντινα γενόμενον ἐκεῖνον καὶ ἐς ὅσον εὐτυχίας τῆς ἀν-
θρωπίνης ἐλθόντα, βασιλέα τε ἀμφοῖν τοῖν ἠπείροιν
E ἀναμφιλογώτατα γενόμενον, καὶ ἐπὶ πᾶν ἐξικόμε-
νον τῷ αὐτοῦ ὀνόματι, κακίζει· σμικρότερός γε ὢν αὐ-
τός, καὶ ἐπὶ σμικροῖς πονούμενος, καὶ οὐδὲ ταῦτα ἐν
κόσμῳ τιθέμενος. ὡς ἔγωγε δοκῶ ὅτι οὔτε τι ἔθνος
ἀνθρώπων, οὔτε τις πόλις ἐν τῷ τότε ἦν, οὔτε τις εἷς
ἄνθρωπος, εἰς ὃν οὐ πεφοιτήκει τὸ Ἀλεξάνδρου ὄνο-
μα. οὔκουν οὐδ' ἐμοὶ ἔξω τοῦ θείου φῦναι ἂν δο-
κεῖ ἀνήρ, οὐδενὶ ἄλλῳ ἀνθρώπων ἐοικώς. καὶ ταῦτα
χρησμοί τε ἐπισημῆναι ἐπὶ τῇ τελευτῇ τοῦ Ἀλεξάν-
δρου λέγονται, καὶ φάσματα ἄλλα ἄλλοις γενόμενα, καὶ
F ἐνύπνια φανέντα ἄλλα ἄλλοις· καὶ ἡ ἐς τοῦτο ἐξ ἀνθρώ-
πων τιμή τε αὐτοῦ, καὶ μνήμη οὐκ ἀνθρωπίνη οὖσα· καὶ νῦν
διὰ τοσούτου ἄλλοι χρησμοὶ ἐπὶ τῇ τιμῇ αὐτοῦ τῷ
ἔθνει τῶν Μακεδόνων χρησθέντες. ἐπεὶ καὶ αὐτὸς ἐμεμ-
ψάμην ἔστιν ἃ ἐν τῇ ξυγγραφῇ τῶν Ἀλεξάνδρου ἔργων,
ἀλλ' αὐτόν γε Ἀλέξανδρον οὐκ αἰσχύνομαι θαυμάζων·

τὰ δὲ ἔργα ἐκεῖνα ἐχάκισα, ἀληθείας τε ἕνεκα τῆς ἐμῆς, καὶ ἅμα ὠφελείας τῆς ἐπ' ἀνθρώποις· ἐφ' ὅτῳ ὡρμήθην, οὐδὲ αὐτὸς ἄνευ θεοῦ, ἐς τήνδε τὴν ξυγγραφήν.

A Facta verò nonnulla improbaui, & veritatis meæ & publicæ vtilitatis cauſa: in cuius gratiam huius hiſtoriæ ſcriptionem, nō abſque numine etiam, aggreſſus ſum.

ἈΡΡΙΑΝΟΥ ἸΝΔΙΚΑ΄.

ΤΑ ἜΞΩ Ἰνδοῦ ποταμοῦ τὰ πρὸς ἑσπέρην ἐπὶ τὸν ποταμὸν Κωφῆνα, Ἀστακηνοὶ καὶ Ἀσσακηνοί, ἔθνεα Ἰνδικὰ, ἐποικέουσιν. ἀλλ' οὔτε μεγάλοι τὰ σώματα, κατάπερ οἱ ἐντὸς τοῦ Ἰνδοῦ ᾠκισμένοι, οὔτε ἀγαθοὶ ὡσαύτως τὸν θυμόν· οὐδὲ μέλανες ὡσαύτως τοῖς πολλοῖς Ἰνδοῖσιν. οὗτοι πάλαι μὲν Ἀσσυρίοις ὑπήκοοι ἦσαν· ἐπεὶ δὲ Μῆδοι Περσέων ἤκουον, καὶ φόρους ἀπέφερον Κύρῳ τῷ Καμβύσου ἐκ τῆς γῆς σφῶν, οὓς ἔταξε Κῦρος. Νυσαῖοι δὲ οὐκ Ἰνδικὸν γένος ἐστίν, ἀλλὰ τῶν ἅμα Διονύσῳ ἐλθόντων ἐς τὴν γῆν τῶν Ἰνδῶν· τυχὸν μὲν καὶ Ἑλλήνων, ὅσοι ἀπόμαχοι αὐτῶν ἐγένοντο ἐν τοῖς πολέμοις οὓς ἐκεῖνος πρὸς Ἰνδοὺς Διόνυσος ἐπολέμησε· τυχὸν δὲ καὶ τῶν ἐπιχωρίων τοὺς ἐθέλοντας τοῖς Ἕλλησι συνῴκισε· τήν τε χώραν Νυσαίην ὠνόμασεν ἀπὸ τοῦ ὄρεος τῆς Νύσης Διόνυσος, καὶ τὴν πόλιν αὐτῶν Νῦσαν. καὶ τὸ ὄρος τὸ πρὸς τῇ πόλει, ὅτου ἐν τῇσιν ὑπωρείῃσιν ᾤκισται ἡ Νῦσα, Μηρὸς κληΐζεται, ἐπὶ τῇ συμφορῇ ἥντινα ἐχρήσατο εὐθὺς γενόμενος. ταῦτα μὲν οἱ ποιηταὶ ἐπὶ Διονύσῳ ἐποίησαν. καὶ ἐξηγείσθων αὐτὰ ὅσοι λόγιοι Ἑλλήνων ἢ βαρβάρων. ἐν Ἀσσακηνοῖσι δὲ Μάσσακα, πόλις μεγάλη, ἵναπερ καὶ τὸ κράτος τῆς γῆς ἐστι τῆς Ἀσσακίης. καὶ ἄλλη πόλις Πευκέλα, ἔτι μεγάλη καὶ αὐτή, οὐ μακρὰν τοῦ Ἰνδοῦ. ταῦτα μὲν ἔξω τοῦ Ἰνδοῦ ποταμοῦ ᾤκισται πρὸς ἑσπέρην, ἔστε ἐπὶ τὸν Κωφῆνα. τὰ δὲ ἀπὸ τοῦ Ἰνδοῦ πρὸς ἕω, τοῦτό μοι ἔστω ἡ τῶν Ἰνδῶν γῆ, καὶ Ἰνδοὶ οὗτοι ἔστωσαν. ὅροι δὲ τῆς Ἰνδῶν γῆς, πρὸς μὲν Βορέου ἀνέμου ὁ Ταῦρος τὸ ὄρος. καλέεται δὲ ὁ Ταῦρος ἔτι ἐν τῇ γῇ ταύτῃ· ἀλλ' ἄρχεται μὲν ὁ Ταῦρος ἀπὸ θαλάσσης τῆς κατὰ Παμφύλους τε καὶ Λυκίην, καὶ Κίλικας· παρατείνει τε ἔστε τὴν πρὸς ἕω θάλασσαν, τέμνων τὴν Ἀσίην πᾶσαν. ἄλλη δὲ ἄλλο καλέεται τὸ ὄρος, τῇ μὲν Παραπαμισὸς, τῇ δὲ Ἠμωδὸς, ἄλλῃ δὲ Ἤμαον κληΐζεται· καὶ τυχὸν ἄλλα καὶ ἄλλα ἔχει οὐνόματα. Μακεδόνες δὲ οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες, Καύκασον αὐτὸ ἐκάλεον· ἄλλον τοῦτον Καύκασον, οὐ τὸν Σκυθικόν. ὡς καὶ τὰ ἐπέκεινα τοῦ Καυκάσου λόγον κατέχειν ὅτι ἦλθεν Ἀλέξανδρος. τὰ πρὸς ἑσπέρην δὲ τῆς Ἰνδῶν γῆς ὁ ποταμὸς ὁ Ἰνδὸς ἀπείργει, ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν, ἵναπερ αὐτὸς κατὰ δύο στόματα ἐκδιδοῖ, οὐ συνεχέα ἀλλήλοισι τὰ στόματα, κατάπερ τὰ πέντε τοῦ Ἴστρου ἐστὶ συνεχέα· ἀλλ' ὡς τὰ τοῦ Νείλου, ὑπὸ τῶν Δέλτα ποιέεται τὸ Αἰγύπτιον. ὧδέ τι καὶ τῆς Ἰνδῶν γῆς Δέλτα ποιέει ὁ Ἰνδὸς ποταμὸς, οὐ μεῖον τοῦ Αἰγυπτίου· καὶ τοῦτο Πάταλα τῇ Ἰνδῶν γλώσσῃ καλέ-

ARRIANI RERVM INDICARVM LIBER.

B QVAE extra Indum amnē occidentem verſus ſunt regiones ad Cophenē fluuium vſque, Aſtaceni atque Aſſaceni, Indicę gentes, incolūt. Sunt verò hi Indis intra Indum amnē habitantibus & corporum magnitudine & animorum præſtantia inferiores: neque ita, vt plerique Indi, fuſci. Hi olim Aſſyriis parebant: poſtquam verò Medi in Perſarū poteſtatē venerunt, tributa etiam Cyro Cam-
C byſæ filio ex ſuis ditionibus pepēderūt. Nyſæi verò Indorum gens non ſunt, ſed ex iis originē ducunt, qui olim cum Libero patre in Indiam venerant, Græcis fortaſſe, qui in bellis quæ Dionyſus cum Indis geſſit, inutiles bello facti fuerāt. Fortaſſis autem etiam indigenas voluntarios in eandem cum Gręcis coloniam deduxit, regionémque Nyſæā à monte Nyſa vocauit, vrbémque ipſam Nyſam. Mons verò vrbi vicinus, ad cuius radicem ſita eſt Nyſa, Merus, hoc eſt, Femur vo-
D catur, ob infortunium quòd ipſi ſtatim ac natus eſſet accidit. Atque hæc quidē poetæ de Dionyſo finxerunt: idem omnes, quotquot vel apud Græcos vel apud barbaros fabuloſas hiſtorias ſcripſerunt, narrarunt. Apud Aſſacenos eſt Maſſaca ingens oppidū, quod Aſſaceni regni caput eſt. Alia præterea vrbs Peucela, magna etiam hęc, non procul ab Indo. hæc regio extra Indū amnē habitatur occidentē verſus, vſque ad Cophenē fluuium. Quæ verò regio ab Indo orientem
E verſus eſt, eam ego Indiam appello, quíque eas partes incolunt, Indi ſunt. Terminatur autem India à ſeptentrione, Tauro monte: qui quidem adhuc in ea regione nomē hoc retinet. Incipit verò Taurus à mari circa Pamphyliā & Lyciā, ac Ciliciā, tenditq; perpetuo dorſo ad orientalē Oceanū, totā Aſiā interſecās. Alibi verò aliam appellationē accipit hic mōs. quibuſdam enim in locis Parapamiſus, aliis Emodus, aliis Emaon dicitur. fieri autē poteſt vt alias atque alias ap-
F pellationes habeat. Macedones verò qui cū Alexandro militarunt Caucaſum eum vocarunt, diuerſum ab eo qui in Scythia eſt. Vnde fama tenuit, Alexandrum Caucaſum tranſcendiſſe. Occidentalem verò Indiam Indus amnis diſtinguit ad Oceanum vſque, vbi ipſe per duo oſtia in eum fertur, neque ea quidem inter ſe propinqua, quemadmodum quinque illa Danubij oſtia. At ſicut Nilus Delta AEgyptium efficit, ita Indus amnis Indię Delta facit, neq; id minus AEgyptio, quod quidē Indorū lingua Pattala vocatur. Quà

verò ad Auſtrũ & meridiẽ vergit India, Oceano clauditur: orientales etiam eius partes Oceanus terminat. Ac meridionalis quidem tractus, & Pattala ab Alexandro & Macedonibus ac pleriſque Græcis perluſtrata ſunt: orientalem autem Alexander non adiit: is vltra Hyphaſim amnem eſt. Pauci verò ſcripſerunt de gentibus quæ ad Gangem ſunt: aut vbi Gangis oſtia, maximáque ad Gangem Indorum vrbs Palimbothra. Mihi certè Eratoſthenes Cyrenæus maiore fide dignus videtur, quoniã illi curæ erat de circuitu Indię ſcribere. Is à monte Tauro, vbi Indi fontes ſunt, ſecus Indum amnẽ eunti ad Oceanum, Indiam ſtadia XIII. M continere ait. Latus verò huic oppoſitum ſtatuit ab eodem monte in mare orientale, nequaquam huic lateri æquale: ſed longo tractu promontoriũ ad CCC ſtadia in mare protendi: huic lateri XVI. M ſtadia tribuit. Atque hanc quidem eſſe Indiæ latitudinem conſentaneum eſt: longitudinem verò ab occidente in orientem vſque ad vrbẽ Palimbothrã, dicit ſe funibus dimenſum ſcribere. (eſſe enim viam regiam) eámque eſſe ſtadiorum X. M: vlteriora non ita certa eſſe. Quotquot verò communem opinionem in ſcribendo ſecuti ſunt, à promontorio in mare porrecto, X. M ſtadia continere dicunt: ſuperius, eſſe longitudinem ſtadiorum XX. M. Cteſias Cnidius Indiam reliquæ Aſiæ æqualem eſſe magnitudine affirmat: ſed errat. Oneſicritus verò eam tertiam partem eiuſdem Aſiæ eſſe perhibet. Nearchus quatuor menſium iter per eiuſdem plana eſſe dicit. Megaſthenes verò Indiæ ſpatium ab oriente in occidentem latitudinem eſſe vult, quam alij longitudinem faciunt. Idem Megaſthenes autor eſt, vbi breuiſſimum eius ſpatium eſt à ſeptentrione in meridiem, XVI. M ſtadia continere. Hæc autem longitudo eſt diſtans, vbi anguſtiſſima eſt, ſummùm XXII. M ſtadiis. Flumina tot ſunt in India, quot in reliqua Aſia: in his maximi ſunt Ganges, & Indus, à quo & regio nomen accepit: vterque & Nilo AEgyptio & Iſtro Scythico, (etiamſi in vnum alueum confluerent) maior eſt: at mea ſentẽtia Aceſines ipſe Nilum & Iſtrum magnitudine ſuperat, vbi Hydaſpe, Hydraote & Hyphaſi in ſuum alueum receptis, in Indum fertur. adeo vt eius latitudo triginta ſtadia efficiat. Fortaſſis autem etiam alia multa maiora flumina Indiam ſecant. Cæterùm vltra Hyphaſim amnem nihil explorati habeo, quod affirmare poſſim. Neque enim vltra Hyphaſim progreſſus eſt Alexander. Ex his verò duobus maximis fluminibus Gange atque Indo, Megaſthenes Gangem Indo longè maiorẽ eſſe ſcribit. Idem ſentiunt alij omnes qui Gangis mentionem in ſcriptis ſuis faciunt. Nam & grandem iam inde ab ipſis fontibus oriri, & alios complures fluuios, Cainam nimirum, Erannoboam, Coſſoanum, Sonum,

Al. οὐδ' ὅσον.

Al. αὐτῷ. τὸ δὲ ἀπὸ ἄρκτου πρὸς μεσημβρίην, τοῦτο δὲ αὐτῷ μ.

A ἐστι. τὸ δὲ πρὸς νότου τε ἀνέμου καὶ μεσημβρίης, καὶ αὐτὴ ἡ μεγάλη θάλασσα ἀπείργει τὴν Ἰνδῶν γῆν· καὶ τὰ πρὸς ἕω αὐτὴ ἡ θάλασσα ἀπείργει. τὰ μὲν πρὸς μεσημβρίην, καὶ τὰ Πάταλά τε καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολὰς, ὤφθη πρός τε Ἀλεξάνδρου καὶ Μακεδόνων καὶ πολλῶν Ἑλλήνων· τὰ δὲ πρὸς ἕω Ἀλέξανδρος μὲν οὐκ ἐπῆλθε, τὰ δὲ πρόσω ποταμοῦ Ὑφάσιος. ὀλίγοι δὲ ἀνέγραψαν τὰ μέχρι ποταμοῦ Γάγγεω, καὶ ἵνα τοῦ Γάγγεω αἱ ἐκβολαὶ, καὶ πόλις Παλίμβοθρα μεγίστη Ἰνδῶν πρὸς τῷ Γάγγῃ. ἐμοὶ δὲ Ἐρατοσθένης B ὁ Κυρηναῖος πιστότερος ἄλλου ἔστω, ὅτι τῆς περιόδου πέρι ἔμελεν Ἐρατοσθένει. οὗτος ἀπὸ τοῦ ὄρεος τοῦ Ταύρου, ἵνα τοῦ Ἰνδοῦ αἱ πηγαὶ, παρ᾽ αὐτὸν Ἰνδὸν ποταμὸν ἰόντι ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν, καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολὰς, μυρίους σταδίους καὶ τρισχιλίους τὴν πλευρὴν λέγει ἐπέχειν τῆς γῆς τῆς Ἰνδῶν. ταύτῃσι δὲ ἀντίπορον πλευρὴν ποιέει τὴν ἀπὸ τοῦ αὐτοῦ ὄρεος παρὰ τὴν ἑῴην θάλασσαν, οὐκέτι ταύτῃ τῇ πλευρῇ ἴσην· ἀλλὰ ἄκρην γὰρ ἀνέχειν ἐπὶ μέγα εἴσω ἐς τὸ πέλαγος, ἐς τρισχιλίους σταδίους μάλιστα ἀνατείνουσαν C τὴν ἄκρην· εἴη ἂν ὦν αὐτῷ ἡ πλευρὴ τῆς Ἰνδῶν γῆς πρὸς ἕω, μυρίους καὶ ἑξακισχιλίους σταδίους ἐπέχουσα. τοῦτο μὲν αὐτῷ πλάτος τῆς Ἰνδῶν γῆς συμβαίνει· μῆκος δὲ τὸ ἀφ᾽ ἑσπέρης ἐπὶ ἕω, ἔστε μὲν ἐπὶ πόλιν Παλίμβοθρα, μεμετρημένον σχοίνοισι λέγει ἀναγράφειν (καὶ εἶναι γὰρ ὁδὸν βασιληίην) τοῦτο ἐπέχειν ἐς μυρίους σταδίους· τὰ δὲ ἐπέκεινα οὐκέτι ὡσαύτως ἀτρεκέα. φήμας δὲ ὅσοι ἀνέγραψαν, ξὺν τῇ ἄκρῃ τῇ ἀνεχούσῃ ἐς τὸ πέλαγος, ἐς μυρίους σταδίους μάλιστα ἐπέχειν λέγουσιν· εἶναι δὲ ἄνω τὸ μῆκος τῆς Ἰνδῶν γῆς, σταδίων D μάλιστα δισμυρίων. Κτησίης δὲ ὁ Κνίδιος τὴν Ἰνδῶν γῆν ἴσην τῇ ἄλλῃ Ἀσίῃ λέγει, οὐδὲν λέγων. ὁ δὲ Ὀνησίκριτος τρίτην μοῖραν τῆς πάσης Ἀσίης· Νέαρχος δὲ μηνῶν τεττάρων ὁδὸν τὴν δι᾽ αὐτοῦ τοῦ πεδίου τῆς Ἰνδῶν γῆς. Μεγασθένει δὲ, τὸ ἀπὸ ἀνατολῶν ἐς ἑσπέρην πλάτος ἐστὶ τῆς Ἰνδῶν γῆς, ὅ, τι περ οἱ ἄλλοι μῆκος ποιέουσι· καὶ λέγει Μεγασθένης, μυρίων καὶ ἑξακισχιλίων σταδίων εἶναι, ἵνα περ τὸ βραχύτατον αὐτοῦ, τὸ ἀπὸ ἄρκτου πρὸς μεσημβρίην. τοῦτο δὲ αὐτῷ μῆκος γίγνεται· καὶ ἐπέχει τριηκοσίους καὶ δισχιλίους καὶ δισμυρίους, E ἵνα περ τὸ στενώτατον αὐτοῦ. ποταμοὶ δὲ τοσοίδε εἰσὶν ἐν τῇ Ἰνδῶν γῇ, ὅσοι οὐδὲ ἐν τῇ πάσῃ Ἀσίῃ. μέγιστοι μὲν, ὁ Γάγγης τε καὶ ὁ Ἰνδὸς, ὅτου καὶ ἡ γῆ ἐπώνυμος· ἄμφω, τοῦ τε Νείλου τοῦ Αἰγυπτίου καὶ τοῦ Ἴστρου τοῦ Σκυθικοῦ (καὶ εἰ ἐς ταυτὸ συνέλθοι αὐτοῖσι τὸ ὕδωρ) μέζονες. δοκέειν δὲ ἔμοιγε, καὶ ὁ Ἀκεσίνης μέζων ἐστὶ τοῦ τε Ἴστρου καὶ τοῦ Νείλου, ἵνα περ παραλαβὼν ἅμα τόν τε Ὑδάσπεα καὶ τὸν Ὑδραώτεα καὶ τὸν Ὕφασιν, ἐμβάλλει ἐς τὸν Ἰνδὸν, ὡς καὶ τριάκοντα αὐτῷ στάδια τὸ πλάτος ταύτῃ εἶναι. καὶ τυχὸν, καὶ ἄλ- F λοι πολλοὶ μέζονες ποταμοὶ ἐν τῇ Ἰνδῶν γῇ ῥέουσιν· ἀλλὰ οὔ μοι ἀτρεκὲς, ὑπὲρ τῶν ἐπέκεινα Ὑφάσιος ποταμοῦ ἰσχυρίσασθαι· ὅτι οὐ πρόσω τοῦ Ὑφάσιος ἦλθεν Ἀλέξανδρος. αὐτοῖν δὲ τοῖν μεγίστοιν ποταμοῖν, τοῦ τε Γάγγεω καὶ τοῦ Ἰνδοῦ, τὸν Γάγγεα μεγέθει πολύ τι ὑπερφέρειν Μεγασθένης ἀνέγραψεν, καὶ ὅσοι ἄλλοι μνήμην τοῦ Γάγγεω ἔχουσιν. αὐτόν τε γὰρ μέγαν ἀνίσχειν ἐκ τῶν πηγέων, δέχεσθαί τε ἐς αὐτὸν, τόν τε Καϊνὰν ποταμὸν, καὶ τὸν Ἐραννοβόαν, καὶ τὸν Κοσσόανον, πάντας πλωτούς· ἔτι δὲ Σῶνόν τε ποταμὸν, καὶ

Σιττόκατιν, καὶ Σολόματιν· καὶ τούτους πλωτούς. ἐπὶ A
δὲ Κονδοχάτην τε, καὶ Σάμβον, καὶ Μάγωνα, καὶ Ἀ-
γόρανιν, καὶ Ὤμαλιν. ἐμβάλλουσι δὲ ἐς αὐτὸν Κομμε-
νάσης τε μέγας ποταμὸς καὶ Κάκουθις, καὶ Ἀνδώ-
ματις ἐξ ἔθνεος Ἰνδικοῦ τοῦ Μανδιαδινῶν ῥέων· καὶ
ἐπὶ τούτοισιν, Ἄμυστις παρὰ πόλιν Καταδούπην, καὶ
Ὀξύμαγις ἐπὶ Παζάλαις καλουμένοισι· καὶ Ἐρεννέσης
ἐν Μάθαις, ἔθνει Ἰνδικῷ, ξυμβάλλει τῷ Γάγγῃ. τού-
των λέγει Μεγασθένης οὐδένα τοῦ Μαιάνδρου ἀπο-
δέοντα, ἵνα περ ναυσίπορος ὁ Μαίανδρος, εἶναι. ὧν
τὸ εὖρος τῷ Γάγγῃ, ἔνθαπερ αὐτὸς ἑωυτοῦ στενώτατος, B
ἐς ἑκατὸν σταδίους. πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς μὴ
ἄποπτον εἶναι τὴν πέραν χώρην· ἵνα χθαμαλή τε ἐστι,
καὶ οὐδαμῇ γηλόφοισιν ἀνεστηκυῖα. τῷ δὲ Ἰνδῷ ἐς
ταυτὸν ἔρχεται Ὑδραώτης μὲν, ἐν Καμβισθόλοις, πα-
ρειληφὼς· τόν τε Ὕφασιν ἐν Ἀστρόβαις, καὶ τὸν Σα-
ράγγην ἐκ Μηκέων, καὶ τὸν Νεῦδρον ἐξ Ἀττακηνῶν,
ἐς Ἀκεσίνην ἐμβάλλει. Ὑδάσπης δὲ ἐν Ὀξυδράκαις,
ἄγων ἅμα οἱ τὸν Σίναρον ἐν Ἀρίσπαις, ἐς τὸν Ἀκεσί-
νην ἐκδιδοῖ καὶ οὗτος. ὁ δὲ Ἀκεσίνης ἐν Μαλλοῖς ξυμ- C
βάλλει τῷ Ἰνδῷ· καὶ Τούταπος δὲ μέγας ποταμὸς ἐς
τὸν Ἀκεσίνην ἐκδιδοῖ. τούτων ὁ Ἀκεσίνης ἐμπλησθεὶς,
καὶ τῇ ἐπικλήσει ἐκνικήσας αὐτὸς τῷ ἑωυτοῦ ἤδη ὀνό-
ματι, ἐσβάλλει ἐς τὸν Ἰνδόν. Κωφὴν δὲ, ἐν Πευκελαΐ-
τιδι ἅμα οἱ ἄγων Μαλάμαντόν τε καὶ Σόαστον, καὶ Γα-
ροίαν, ἐκδιδοῖ ἐς τὸν Ἰνδόν. καθύπερθεν δὲ τουτέων,
Πτάρενος καὶ Σάπαρνος, οὐ πολὺ διέχοντες, ἐμβάλλουσιν
ἐς τὸν Ἰνδόν. Σόαμος δὲ, ἐκ τῆς ὀρεινῆς τῆς Σαβίσσα
ῥέων, ἔρημος ἄλλου ποταμοῦ, ἐκδιδοῖ ἐς αὐτόν. καὶ του-
τέων τοὺς πολλοὺς Μεγασθένης λέγει ὅτι πλωτοί εἰσιν.
οὔκουν ἀπιστίην χρὴ ἔχειν, ὑπέρ τε τοῦ Ἰνδοῦ καὶ τοῦ Γάγ- D
γεω, μηδὲ συμβλητοὺς εἶναι αὐτοῖσι τόν τε Ἴστρον καὶ
τοῦ Νείλου τὸ ὕδωρ. ἐς μέντοι τὸν Νεῖλον οὐδένα πο-
ταμὸν ἐκδιδόντα ἴσμεν, ἀλλ' ἀπ' αὐτοῦ διώρυχας
τετμημένας κατὰ τὴν χώρην τὴν Αἰγυπτίην. ὁ δέ γε
Ἴστρος, ὀλίγος μὲν ἀνίσχει ἀπὸ τῶν πηγέων· δέχεται δὲ
πολλοὺς ποταμοὺς, ἀλλ' οὔτε πλήθει οὔτε μεγέθει ἴσους
τοῖς Ἰνδῶν ποταμοῖσιν, οἳ ἐς τὸν Ἰνδὸν καὶ τὸν Γάγγην
ἐκδιδοῦσιν· πλωτοὺς δὲ δὴ καὶ κάρτα ὀλίγους, ὧν τοὺς
μὲν αὐτὸς ἰδὼν οἶδα, τὸν Ἔνον τε, καὶ τὸν Σάον. Ἔνος μὲν
ἐν μεθορίῳ τῆς Νωρίκων καὶ Ῥαιτῶν γῆς μίγνυται τῷ E
Ἴστρῳ· ὁ δὲ Σάος, κατὰ Παίονας. ὁ δὲ χῶρος ἵνα περ συμ-
βάλλουσιν οἱ ποταμοὶ, Ταυρουνὸς καλέεται. ὅστις
δὲ καὶ ἄλλον οἶδε ναυσίπορον τῶν ἐς τὸν Ἴστρον ἐκδιδόν-
των, ἀλλὰ οὐ πολλούς που οἶδε. τὸ δὲ αἴτιον ὅστις ἐθέ-
λει φράζειν τοῦ πλήθεός τε καὶ μεγέθεος τῶν Ἰνδῶν
ποταμῶν, φραζέτω. ἐμοὶ δὲ καὶ ταῦτα ὡς ἀκοὴ ἀνα-
γεγράφθω. ἐπεὶ καὶ ἄλλων πολλῶν ποταμῶν οὐνόμα-
τα Μεγασθένης ἀνέγραψεν, οἳ ἔξω τοῦ Γάγγεώ τε καὶ
τοῦ Ἰνδοῦ ἐκδιδοῦσιν ἐς τὸν ἑῷόν τε καὶ μεσημβρι-
νὸν τὸν ἔξω πόντον. ὥστε τοὺς πάντας ὀκτὼ καὶ πεν- F
τήκοντα λέγουσιν ὅτι εἰσὶν Ἰνδοὶ ποταμοὶ ναυσίπο-
ροι πάντες. ἀλλ' οὐδὲ Μεγασθένης πολλὴν δοκέει
μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης, πλήν γε ὅτι πλεῦνα
ἢ οἱ ξὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου ἐπελθόντες. ξυγ-
γενέσθαι γὰρ Σανδρακόττῳ λέγει, τῷ μεγίστῳ βασιλεῖ τῶν
Ἰνδῶν· καὶ Πώρῳ, ἔτι τούτου μέζονι. οὗτος ὢν ὁ Με-
γασθένης λέγει οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδα-
μοῖσιν ἀνθρώποισιν, οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους.

A Sittocatim, & Solomatim, atque hos qui-
dem nauigabiles in ſe recipere. Præter hos,
Condochatem, Sambum, Magonem, Ago-
ranim, & Omalim. Feruntur etiam in eum
Commenaſes grandis fluuius, & Cacuthis — Ex vet. Commi-naſes. vbi & alia pleraque nomina ſecus quàm hic ſcripta ſunt.
atque Andomatis ex Mandiadinis Indica
gente fluens. ad hęc, Amyſtis iuxta vrbē Ca-
tadupam, & Oxymagis apud Pazalas, atque
Erineſes apud Mathas, Indiæ gentem, etiam
in Gangem fluunt. Horum omniū fluuiorū
Megaſthenes nullum Mæandro minorem,
quà maximè nauigabilis Mæander eſt, eſ-
B ſe aſſerit. Patet autem Ganges, quà maximè
anguſtus eſt, ad centum ſtadia. Multis verò
in locis ſtagnat, ita vt vlterior terra conſpi-
ci non poſſit, quippe quæ ea parte humilis
eſt, nullóſque colles habet. In Indum autem
illabitur Hydraotes quidem, in Cambi-
ſtholis: qui Hyphaſim in Aſtrobis, Sarāgem
ex Meceis, Neudrum ex Attacenis in ſe reci-
piēs, in Aceſinem fluit. Hydaſpes verò in O-
xydracis, Sinarum apud Ariſpas in ſe reci-
C piens, etiam in Aceſinem fertur. Aceſines a-
pud Mallos cum Indo committitur: & Tuta
pus ingens fluuius in Aceſinem exit. Quibus
amnibus Aceſines grandior factus, ſuúm-
que victor nomen retinēs, in Indum fertur.
Cophenes in Peucelaitide ducēs ſecum Ma
lamantum, Soaſtum, & Garœam amnes, &
ipſe ſe Indo miſcet. vltra hos, Ptarenus & Sa-
parnus, non multum inter ſe diſtantes, in In-
dum fluunt. Soamus quoque ex montanis
Sabiſſæ fluens abſque alterius fluuij ſocieta-
te in eundem ſe ingerit. Horum pleroſque
Megaſthenes nauigabiles eſſe affirmat. Ne-
D quaquam igitur incredibile fuerit, Iſtrum &
Nilum ſi coniunctis in vnum alueum aquis
fluant, Indo vel Gangi comparari non poſ-
ſe. Nam in Nilum nullum flumen illabi ſci-
mus, ſed alios ex eo aluecs per AEgyptū du
ci. Iſter verò exiguus à fontibus oritur: &
multos quidē fluuios in ſe recipit, ſed neque
multitudine neque magnitudine Indicis flu
minibus, qui in Indū & Gangē feruntur, pa-
res: & paucos admodū nauigabiles. Ex qui-
bus ipſe Enū vidi ac Saum. Atque Enus qui-
E dem in cōfinio Noricorū & Rhetorū Iſtro
ſe immiſcet: Saus autē, apud Pæonas. Locus
verò is vbi hæc duo flumina inter ſe cōmit-
tuntur, Taurunus vocatur. Siquis alios præ-
terea fluuios nauigabiles in Iſtrū fluētes no-
rit, paucos eos eſſe neceſſe eſt. Quiſquis autē
cauſam magnitudinis horū Indię fluminum
explicare velit, per me hoc illi integrum ſit:
mihi verò ſatis fuerit quæ de his accepi, con
ſcripſiſſe. Nanq; & aliorū cōplurium flumi-
nū nomina Megaſthenes cōmemorat: quæ
extra Gangē atque Indū ferūtur in orienta-
F le & meridionale mare: ita vt LVIII in vni-
uerſum ſint Indiæ fluuij, omnes nauigabiles.
Sed nec ipſe Megaſthenes mihi videtur mul — Vet. λέγει, vt referatur ad Megaſthenem.
tum Indię peragraſſe: plus tamē certè quàm
qui cum Alexandro militarunt. Sandracotæ
enim ſe adfuiſſe ſcribit, maximo Indorum
regi: & Poro, qui vel Sandracota potentior
fuit. Scribit itaque hic Megaſthenes, ne-
que Indos cum vllis hominibus bellum
geſſiſſe, neque vllos Indis bellum intuliſſe.

Cæterùm Seſoſtrim AEgyptiũ, magna Aſiæ parte ſubacta, quum in Europam vſque cum exercitu proceſſiſſet, retroceſſiſſe, pedémque retuliſſe. Indathyrſim autem Scytham è Scythia profectum, multas Aſiæ gentes debellaſſe: AEgyptum etiam victorem adiiſſe: ac Semiramidem quidem Aſſyriam tentaſſe exercitum in Indos ducere, ſed mortem eius conſilia conatúſque fregiſſe. Solum verò Alexandrum in Indos expeditionem feciſſe. atqui ante Alexãdrũ fama tenet Dionyſum etiam Indos ſubegiſſe. de Hercule, infirmior fama eſt. At verò expeditionis à Dionyſo factæ non leue documentum eſt Nyſa vrbs & Merus mons, quódque hedera in hoc mõte naſcatur: quòd præterea Indi ipſi tympana ac cymbala pulſantes pugnas adeunt, itémque veſte diſtincta maculis, Libero patri bacchantium more, vtantur: Herculis autem nõ multa monimenta extant. Cæterùm quòd Aornon petram, quam Alexander vi cepit, Hercules expugnare non potuerit, Macedonica quædã iactantia mihi videtur: quemadmodum & Parapamiſum montem Caucaſum vocarunt Macedones: quũ nihil cum Caucaſo commune habeat. Antrũ quoque illud quod apud Parapamiſadas eſſe acceperant, Promethei Titanis eſſe dixerũt, in quo ille ob ignem furto ſublatum ſuſpenſus fuerat. Apud Sibas quoque, Indicam gentem, quòd eos pellibus amictos conſpexerãt, ab Herculis expeditione relictos eſſe Sibas aſſerebant. Siquidem & clauam geſtant Sibæ, & bubus clauæ notam inurunt: atque hoc ad memoriam clauæ Herculis retulerunt. Si cui verò hæc credibilia videntur, alius certè hic Hercules fuerit quàm aut Thebanus, aut Tyrius, aut AEgyptius, aut aliquis ex ſuperiori regione non procul ab Indis habitata magnus rex. Atque hæc quidem ad refutationem illius ſermonis dicta ſint, ne omnino credibilia videantur, quæ de iis qui vltra Hyphaſim degunt nonnulli conſcripſerunt: nam ad Hyphaſim amnem vſque, non ſunt prorſus indigni fide qui expeditioni Alexandri interfuerunt. Siquidem etiam hoc Megaſthenes de flumine quodam Indico, cui Silas nomẽ eſt, commemorat: fluere ex fonte eiuſdem cum flumine nominis per regionem Silorum, qui etiam eandem quam fons & fluuius appellationem acceperunt. Eius aquam eiuſcemodi eſſe, vt nihil omnino ſuſtinere poſſit, neque quicquam ei innatare, neque ſupernauigare, ſed omnino in fundũ demergi. ita reliquis omnibus hanc aquam magis euanidã atque aeream eſſe. Porro India per æſtatẽ pluuia madet: præcipuè verò Parapamiſus, & Emodus, atque Himacus mons, & ab his magni ac turbulenti amnes fluunt. Perfunduntur etiam pluuia æſtate campi Indiæ, ita vt plerique ſtagnent, fugitque aliquando Alexandri exercitus ab Aceſine fluuio, quũ media æſtate eius aqua campos obrueret. Ex quibus licet ſimilem Nili flaturam colligere, quòd veriſimile ſit AEthiopum montes æſtate conplui, atque iis pluuiis auctum Nilum limoſúmque factum, ſuperatis ripis AEgyptum inundare: atque

A ἀλλὰ Σέσωστριν μὲν τὸν Αἰγύπτιον, τῆς Ἀσίας καταστρεψάμενον τὴν πολλὴν, ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιᾷ ἐλάσαντα, ὀπίσω ἀπονοστῆσαι. Ἰνδάθυρσιν δὲ τὸν Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα, πολλὰ μὲν τῆς Ἀσίης ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων γῆν κρατέοντα· Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχειρέειν μὲν στέλλεσθαι εἰς Ἰνδοὺς, ἀποθανεῖν δὲ πρὶν τέλος ἐπιθεῖναι τοῖσι βουλεύμασιν. ἀλλὰ Ἀλέξανδρον γὰρ στρατεῦσαι ἐπὶ Ἰνδοὺς μοῦνον. καὶ πρὸ Ἀλεξάνδρου, Διονύσου πέρι πολλὸς λόγος κατέχει, ὡς καὶ τούτου στρατεύσαντος ἐς Ἰνδοὺς, καὶ καταστρεψαμένου Ἰνδούς· Ἡρακλέους δὲ πέρι, οὐ πολλός. Διονύσου **B** μέν γε καὶ Νύσα πόλις μνῆμα οὐ φαῦλον τῆς στρατηλασίης, καὶ ὁ Μηρὸς τὸ ὄρος, καὶ ὁ κισσὸς ὅτι ἐν τῷ ὄρει τούτῳ φύεται. καὶ αὐτοὶ οἱ Ἰνδοὶ ὑπὸ τυμπάνων τε καὶ κυμβάλων στελλόμενοι ἐς τὰς μάχας· καὶ ἐσθὴς αὐτοῖσι κατάστικτος ἐοῦσα, κατάπερ τοῦ Διονύσου τοῖσι βάκχοισιν· Ἡρακλέους δὲ οὐ πολλὰ ὑπομνήματα. ἀλλὰ τὴν Ἄορνον γὰρ πέτρην, ἣν τινα Ἀλέξανδρος βίῃ ἐχειρώσατο, ὅτι Ἡρακλέης οὐ δυνατὸς ἐγένετο ἐξελεῖν, Μακεδονικὸν δοκέει μοι τὸ κόμπασμα, κα**C**τάπερ ὦν καὶ τὸν Παραπάμισον, Καύκασον ἐκάλεον Μακεδόνες, οὐδέν τι προσήκοντα τοῦτον τῷ Καυκάσῳ. καί τι καὶ ἄντρον ἐπιφρασθέντες ἐν Παραπαμισάδῃσι, τοῦτο ἔφασαν ἐκεῖνο εἶναι τοῦ Προμηθέως τοῦ Τιτῆνος τὸ ἄντρον, ἐν ὅτῳ ἐκρέματο ἐπὶ τῇ κλοπῇ τοῦ πυρός. καὶ δὴ καὶ ἐν Σίβαισιν, Ἰνδικῷ γένει, ὅτι δορὰς ἀμπεχομένους εἶδον τοὺς Σίβας, ἀπὸ τῆς Ἡρακλέους στρατηλασίης ἔφασκον τοὺς ὑπολειφθέντας εἶναι τοὺς Σίβας. καὶ γὰρ καὶ σκυτάλην φορέουσί τε οἱ Σίβαι, καὶ τοῖς βουσὶν αὐτῶν ῥόπαλον ἐπικέκαυται· καὶ **D** τοῦτο ἐς μνήμην ἀνέφερον τοῦ ῥοπάλου τοῦ Ἡρακλέους. εἰ δέ τῳ πιστὰ ταῦτα, ἄλλος ἂν οὗτος Ἡρακλέης εἴη, οὐχ ὁ Θηβαῖος, ἢ ὁ Τύριος οὗτος, ἢ ὁ Αἰγύπτιος, ἤ τις καὶ κατὰ τὴν ἄνω χώρην οὐ πόρρω τῆς Ἰνδῶν γῆς ᾠκισμένην μέγας βασιλεύς. ταῦτα μέν μοι ἐκβολὴ ἔστω τοῦ λόγου, ἐς τὸ μὴ πιστὰ φαίνεσθαι, ὅσα ὑπὲρ τῶν ἐπέκεινα τοῦ Ὑφάσιος ποταμοῦ Ἰνδῶν μετεξέτεροι ἀνέγραψαν· ἔστε γὰρ ἐπὶ τὸν Ὕφασιν, οἱ τῆς Ἀλεξάνδρου στρατηλασίης μετασχόντες, οὐ πάντῃ ἄπιστοι εἰσίν. ἐπεὶ καὶ τόδε λέγει Μεγασθένης ὑπὲρ ποταμοῦ Ἰνδι**E**κοῦ, Σίλαν μὲν εἶναί οἱ οὔνομα, ῥέειν δὲ ἀπὸ κρήνης ἐπωνύμου τοῦ ποταμοῦ, διὰ τῆς χώρης τῶν Σιλέων, καὶ τούτων ἐπωνύμων τοῦ ποταμοῦ τε καὶ τῆς κρήνης. τὸ δὲ ὕδωρ παρέχεσθαι τοιόνδε· οὐδὲν εἶναι ὅτῳ ἀντέχει τὸ ὕδωρ, οὔτε τι νήχεσθαι ἐπ' αὐτοῦ, οὔτε τι ἐπιπλέειν, ἀλλὰ πάντα γὰρ ἐς βυσσὸν δύνειν. οὕτω τοι ἀμενηνότερον πάντων εἶναι τὸ ὕδωρ ἐκεῖνο, καὶ ἠεροειδέστερον. ὕεται δὲ ἡ Ἰνδῶν γῆ τὸ θέρος, μάλιστα μὲν τὰ ὄρεα Παραπαμισός τε καὶ ὁ Ἤμωδὸς, καὶ τὸ Ἰμαϊκὸν ὄρος, καὶ ἀπὸ τουτέων μεγάλοι καὶ θολεροὶ οἱ ποταμοὶ ῥέου**F**σιν. ὕεται δὲ τοῦ θέρεος καὶ τὰ πεδία τῶν Ἰνδῶν, ὥστε λιμνάζειν τὰ πολλὰ αὐτέων. καὶ ἔφυγεν ἡ Ἀλεξάνδρου στρατιὴ ἀπὸ τοῦ Ἀκεσίνου ποταμοῦ μέσου θέρεος, ὑπερβαλόντος τοῦ ὕδατος εἰς τὰ πεδία· ὥστε ἀπὸ τῶνδε ἔξεστι τεκμηριοῦσθαι, καὶ τοῦ Νείλου τὸ πάθημα τοῦτο, ὅτι ἐοικὸς εἶναι ὕεσθαι τὰ Αἰθιόπων ὄρεα τοῦ θέρεος· καὶ ἀπ' ἐκείνων ἐμπιπλάμενον τὸν Νεῖλον ὑπερβάλλειν ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν Αἰγυπτίην, θολερὸς ὦν.

καὶ οὕτω ῥέει ἐν τῇδε τῇ ὥρῃ, ὡς οὔτε ἂν ἀπὸ χιόνος τηκομένης ἔρρεεν, οὔτε εἰ πρὸς τὴν ὥρην θέρεος πνεόντων ἐτησίων ἀνέμων ἀνεκόπτετό οἱ τὸ ὕδωρ. ἄλλως τε οὐδὲ χιονόβατα εἴη ἂν τὰ Αἰθιόπων ὄρεα ὑπὸ καύματος. ὕεσθαι δὲ καθάπερ τὰ Ἰνδῶν, οὐκ ἔξω ἐστὶ τοῦ εἰκότος. ἐπεὶ καὶ τἄλλα ἡ Ἰνδῶν γῆ οὐκ ἀπέοικε τῆς Αἰθιοπίας· καὶ οἱ ποταμοὶ οἱ Ἰνδοὶ, ὁμοίως τῷ Νείλῳ τῷ Αἰθιοπίῳ τε καὶ Αἰγυπτίῳ, κροκοδείλους τε φέρουσιν, ἔστιν δὲ οἳ αὐτῶν καὶ ἰχθύας, καὶ ἄλλα κήτεα ὅσα ὁ Νεῖλος, πλὴν ἵππου τοῦ ποταμίου. Ὀνησίκριτος δὲ καὶ τοὺς ἵππους τοὺς ποταμίους λέγει ὅτι φέρουσι. τῶν τε ἀνθρώπων αἱ ἰδέαι οὐ πάντη ἀπᾴδουσιν, αἱ Ἰνδῶν τε καὶ Αἰθιόπων. οἱ μὲν πρὸς νότου ἀνέμου Ἰνδοὶ, τοῖς Αἰθίοψι μᾶλλόν τι ἐοίκασι, μέλανές τε ἰδέσθαι εἰσὶ, καὶ ἡ κόμη αὐτοῖς μέλαινα. πλήν γε δὴ ὅτι σιμοὶ οὐχ ὡσαύτως, οὐδὲ οὐλόκρανοι ὡς Αἰθίοπες· οἱ δὲ βορειότεροι τούτων, κατ' Αἰγυπτίους μάλιστα ἂν εἶεν τὰ σώματα. ἔθνεα δὲ Ἰνδικὰ εἴκοσι καὶ ἑκατὸν τὰ ἅπαντα λέγει Μεγασθένης, δυοῖν δέοντα. καὶ πολλὰ μὲν εἶναι ἔθνεα Ἰνδικὰ, καὶ αὐτὸς ξυμφέρομαι Μεγασθένει· τὸ δὲ ἀτρεκὲς οὐκ ἔχω εἰκάσαι ὅπως ἐκμαθὼν ἀνέγραψεν, οὐδὲ πολλοστὸν μέρος τῆς Ἰνδῶν γῆς ἐπελθὼν, οὐδὲ ἐπιμιξίης πᾶσι τοῖς γένεσιν ἐούσης ἐς ἀλλήλους. πάλαι μὲν δὴ νομάδας εἶναι Ἰνδοὺς, καθάπερ Σκυθέων τοὺς οὐκ ἀροτῆρας, οἳ ἐπὶ τῇσιν ἁμάξῃσι πλανώμενοι, ἄλλοτε ἄλλην τῆς Σκυθίης ἀμείβουσιν, οὔτε πόλιας οἰκέοντες, οὔτε ἱερὰ θεῶν σέβοντες· οὕτω μηδὲ Ἰνδοῖσι πόλιας εἶναι, μηδὲ ἱερὰ θεῶν δεδομημένα. ἀλλ' ἀμπέχεσθαι μὲν δορὰς θηρίων ὅσων κατακαίνοιεν· σιτέεσθαι δὲ τῶν δενδρέων τὸν φλοιόν. καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῇ Ἰνδῶν φωνῇ τάλα· καὶ φύεσθαι ἐπ' αὐτῶν, καθάπερ τῶν φοινίκων ἐπὶ τῇσι κορυφῇσιν, οἷά περ τολύπας. σιτέεσθαι δὲ καὶ τῶν θηρίων ὅσα ἕλοιεν, ὠμοφαγέοντας, πρὶν δὴ Διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τῶν Ἰνδῶν. Διόνυσον δὲ ἐλθόντα, ὡς καρτερὸς ἐγένετο Ἰνδῶν, πόλιάς τε οἰκῆσαι, καὶ νόμους θέσθαι τῇσι πόλεσιν, οἴνου τε δοτῆρα Ἰνδοῖς γενέσθαι, καθάπερ Ἕλλησι. καὶ σπείρειν διδάξαι τὴν γῆν, διδόντα αὐτὸν σπέρματα· ἢ οὐκ ἐλάσαντος ταύτῃ Τριπτολέμου, ὅτε περ ἐκ Δήμητρος ἐστάλη σπείρειν τὴν γῆν πᾶσαν· ἢ πρὸ Τριπτολέμου τίς οὗτος Διόνυσος ἐπελθὼν τὴν Ἰνδῶν γῆν, σπέρματα σφίσιν ἔδωκε καρποῦ τοῦ ἡμέρου. βόας τε ὑπ' ἀρότρῳ ζεῦξαι Διόνυσον πρῶτον, καὶ ἀροτῆρας ἀντὶ νομάδων ποιῆσαι Ἰνδῶν τοὺς πολλοὺς, καὶ ὁπλίσαι ὅπλοισι τοῖσιν ἀρηΐοισι. καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε Διόνυσος ἄλλους τε, καὶ μάλιστα δὴ ἑωυτὸν, κυμβαλίζοντας καὶ τυμπανίζοντας. καὶ ὄρχησιν δὲ ἐκδιδάξαι τὴν σατυρικὴν, τὸν κόρδακα παρ' Ἕλλησι καλούμενον. καὶ κομᾶν Ἰνδοὺς τῷ θεῷ, μιτρηφορέειν τε ἀναδεῖξαι, καὶ μύρων ἀλοιφὰς ἐκδιδάξαι. ὥστε καὶ εἰς Ἀλέξανδρον ἔτι ὑπὸ κυμβάλων τε καὶ τυμπάνων ἐς τὰς μάχας Ἰνδοὺς καθίστασθαι. ἀπιόντα δὲ ἐκ τῆς Ἰνδῶν γῆς, ὡς οἱ ταῦτα κεκόσμητο, καταστῆσαι βασιλέα τῆς χώρης Σπαρτέμβαν τῶν ἑταίρων ἕνα, τὸν βακχωδέστατον. τελευτήσαντος δὲ Σπαρτέμβα, τὴν βασιλείην ἐκδέξασθαι Βουδύαν τὸν τούτου παῖδα. καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βασιλεῦσαι Ἰνδῶν, τὸν πατέρα· τὸν δὲ παῖδα, εἴκοσιν ἔτεα. καὶ τούτου παῖδα ἐκδέξασθαι τὴν βασιλείην Κραδεύαν. καὶ τὸ ἀπὸ τοῦδε, τὸ

A ita quidem hac anni parte fluit, vt neque niue liquata flueret, neque ſi ab eteſiis æſtate ſpirantibus inhiberetur ipſi aqua: alioqui ne niue quidē conſperſi eſſent præ calore AEthiopum montes. Pluuias verò pati quemadmodum India, nequaquam diſſentaneum rationi exiſtimauerim. nam & cæteris in rebus India haud diſſimilis AEthiopiæ eſt. Quinetiam fluuij Indici, perinde ac Nilus AEthiopicus & AEgyptius, crocodilos gignunt & piſces, ac balęnas eiuſdem generis vt Nilus, excepto equo fluuiatili: ſed & hos B etiam gignere Oneſicritus tradit. At nec facie quidem ac vultu multum inter ſe differunt Indi & AEthiopes. Certè qui ad meridiem vergunt Indi AEthiopibus magis ſimiles ſunt, nigra facie, & nigra coma, ſed nō æquè ſimi, neque ita criſpo capillitio: qui verò magis ad ſeptentrionē incolunt, AEgyptios potius corporis forma referunt. Porro gentes Indicas centum duodeviginti in vniuerſum ſtatuit Megaſthenes. Ego verò multas quidem Indiæ gentes eſſe, cum C Megaſthene ſenſerim: vnde autem certi aliquid cognouerit, coniectura aſſequi nō poſſum, quum exiguam quandam Indiæ partē peragrarit, neque omnes eius gentes commercia inter ſe agitent. Olim quidem Indi paſtores fuere, quemadmodū & Scythæ qui arationem non exercent, ſed in plauſtris degentes incertis ſedibus vagantur, neque vrbes incolunt, neque templa deorum colunt. Ita neque Indis vrbes ſunt, neque tēpla diis exſtructa, ſed ferarum quas cædūt exuuiis ſe veſtiunt: arborum corticibus veſcūtur, vo- D cantur autem eorum lingua eæ arbores Tala: innaſcitur iis quemadmodum in ſummitatibus palmarū, carnoſum quiddam. Veſcebantur & feris quas venatu capiebāt, crudis, priuſquam Dionyſus ad Indos veniſſet. Qui poſtquam venit, eóſque deuicit, vrbes Indorum condidit, iiſque leges ſanxit: vini etiam vſum Indis dedit, vt & Græcis. dato etiam ſemine, rationem ſerendi eos docuit: ſiue quòd Triptolemus, quum à Cerere ad conſerendam vniuerſam terram E miſſus fuit, ad eam regionem non peruenerit: ſiue quòd ante Triptolemum Dionyſus aliquis ad Indos profectus maturorum fructuum ſemina iis dederit. Primus etiā Dionyſus boues aratris iunxit, & pleroſque Indorum ex paſtoribus aratores fecit, martiiſque armis armauit: & cultum cùm aliorum deorum tum ſuiipſius docuit, quem tympanorum & cymbalorum pulſu fieri iuſſit. Saltationem etiam ſatyricam induxit, quam Græci Cordaca vocāt. Ad hæc comam deo F nutrire, mitram gerere, vnguentiſque vti oſtendit: adeo vt ad Alexandri vſque tempora cū cymbalis & tympanis prælia inierint. Diſcedens verò ex India Dionyſus rebus ita conſtitutis, regem Indis præfecit Spartembam, vnum ex amicis, rerum Bacchicarum periti ſſimum. Quo mortuo, ad Budyam eius filium regnum tranſiit. Et Spartembas quidem annos L I I Indis regnauit: Budyas non plus X X. Huius filius Cradeuas in regnum ſucceſſit: atque exinde per multam

A ætatem regnũ à patribus in filios per manus eſt traditum. Si verò regem abſq; liberis decedere contingeret, delectu habito ſibi reges creabant. Herculem porro, quem ad Indos perueniſſe fama eſt, Indigetem ipſi Indi vocant. atque hic à Suraſenis Indica gente præcipuè colitur, qui quidẽ duas magnas vrbes habent, Methoram & Cliſoboram. Iobares fluuius nauigabilis per eorum regionẽ fluit. Hic Hercules, vt autor eſt Megaſthenes, eodem cultu corporis quo Thebanus Hercules vtebatur. quod & Indi narrant.
B multóſque admodum ei liberos mares fuiſſe (multas enim vxores habuiſſe etiã hunc Herculem) filiam verò vnicam, nomine Pandæam. regionem quoque in qua nata eſt, & cuius imperio eam præfecit Hercules, Pandæam à filiæ nomine appellatam. datos ei inſuper elephantos D. equites ad IIII M. pedites circiter CXXX M. Sunt & Indi qui hoc etiam de Hercule narrent. Quum vniuerſam terram ac mare peragraſſet, & quidquid erat mali ſuſtuliſſet, ornatum quendam muliebrem in mari reperiſſe. quem etiam in hũc
C diem qui merces ab Indis magno ſtudio emptas ad nos adferunt, inde portant: ſed & quotquot apud Græcos olim & nunc apud Romanos ditiores ſunt, maiore adhuc ſtudio emunt margaritam marinam, ita Indorum lingua dictam. Herculem enim eum ornatũ admiratum, margaritas huius generis ex vniuerſo mari Indico colligi iuſsiſſe, quibus filia eius ornaretur. Megaſthenes concham huius margaritæ retibus capi ſcribit. Verſari autem circa eam agmen multarum concharum, veluti apum examen. Regem enim ſuum etiam aut reginam margaritas habere, vt apes: ac ſi fortè contingat regẽ capi,
D reliquum etiam margaritarum examen celeriter ei circũfundi: ſi verò rex piſcatores euadat, ne reliquas quidem conchas capi poſſe. Earum carnes Indos vbi eas ceperint putreſcere ſinere: oſſe ad ornatum vti. Eſſe autem margaritas quæ contra triplum aurum obrizum, atque id quidem in India effoſſum, veneant. Ad hæc in his regionibus quibus Herculis filia imperitauit, fœminas vbi ad ſeptimum ætatis annum peruenerint, viro maturas nubere: viros XL ſummùm annos viuere. Atque hac de re huiuſcemodi ſermonem
E apud Indos iactarĩ: Quum Herculi iam ſeni hæc filia nata eſſet, neque procul abeſſe vitæ ſuæ finem ſuſpicaretur, nec inueniret virum tali ſponſa dignum, ipſum cum filia ſeptem annos nata coiiſſe. vt ſobolẽ ex ſe & illa in reges Indiæ ſufficeret. Herculem itaque illam nubilem feciſſe. atque exinde vniuerſam eam gentem cui Pãdæa imperauit idipſum beneficij ab Hercule accepiſſe. Mea verò ſententia eſt: ſi Hercules par erat rei adeo inuſitatæ
F perpetrandæ, diuturnioris etiam ipſum vitæ fuiſſe: quippe qui cum filia iuuencula rem habere poſſet. Si enim illa de puellarum ad nuptias maturitate vera ſunt, eódem mihi ſpectare videtur quod de virorum ætate dici-

πολὺ μὲν κατὰ γένος ἀμείβειν τὴν βασιλείαν, παῖδα παρὰ πατρὸς ἐκδεχόμενον· εἰ δὲ ἐκλείποι τὸ γένος, οὕτω δὴ ἀριστίνδην καθίστασθαι Ἰνδοῖσι βασιλέας. Ἡρακλέα δὲ, ὅντινα ἐς Ἰνδοὺς ἀφικέσθαι λόγος κατέχει, παρ' αὐτοῖσιν Ἰνδοῖσι γηγενέα λέγεσθαι. τοῦτον τὸν Ἡρακλέα μάλιστα πρὸς Συρασηνῶν γεραίρεσθαι, Ἰνδικοῦ ἔθνεος. ἵνα δύο πόλιες μεγάλαι, Μέθορά τε καὶ Κλεισόβορα, καὶ ποταμὸς Ἰαβάρης πλωτὸς διαρρέει τὴν χώραν αὐτῶν. τὴν σκευὴν δὲ οὗτος ὁ Ἡρακλέης ἥντινα ἐφόρεε, Μεγασθένης λέγει ὅτι ὁμοίην τῷ Θηβαίῳ Ἡρακλέϊ ὡς αὐτοὶ Ἰνδοὶ ἀπηγέονται. καὶ τούτῳ ἄρσενας μὲν παῖδας πολλοὺς κάρτα γενέσθαι ἐν τῇ Ἰνδῶν γῇ (πολλῇσι γὰρ δὴ γυναιξὶν ἐς γάμον ἐλθεῖν καὶ τοῦτον τὸν Ἡρακλέα) θυγατέρα δὲ μουνογενέην. οὔνομα δὲ εἶναι τῇ παιδὶ Πανδαίην. καὶ τὴν χώρην ἵνα τε ἐγένετο, καὶ ἧστινος ἐπέτρεψεν αὐτῇ ἄρχειν Ἡρακλέης, Πανδαίην, τῆς παιδὸς ἐπώνυμον. καὶ ταύτῃ ἐλέφαντας μὲν γενέσθαι ἐκ τοῦ πατρὸς ἐς πεντακοσίους, ἵππον δὲ ἐς τετρακισχιλίην, πεζῶν δὲ ἐς τὰς τρεῖς καὶ δέκα μυριάδας. καὶ τάδε μετεξέτεροι Ἰνδῶν περὶ Ἡρακλέους λέγουσιν. ἐπελθόντα αὐτὸν πᾶσαν γῆν καὶ θάλασσαν, καὶ καθήραντα ὅ,τι περ κακὸν κίναδος, ἐξευρεῖν ἐν τῇ θαλάσσῃ κόσμον γυναικήϊον· ὅντινα καὶ ἐς τοῦτο ἔτι οἵ τε ἐξ Ἰνδῶν τῆς χώρης τὰ ἀγώγιμα παρ' ἡμέας ἀγινέοντες σπουδῇ ὠνεόμενοι ἐκκομίζουσι· καὶ Ἑλλήνων δὲ πάλαι καὶ Ῥωμαίων νῦν ὅσοι πολυκτέανοι καὶ εὐδαίμονες, μέζονι ἔτι σπουδῇ ὠνέονται τὸν μαργαρίτην δὴ τὸν θαλάσσιον, οὕτω τῇ Ἰνδῶν γλώσσῃ καλεόμενον. τὸν γὰρ Ἡρακλέα, ὡς καλόν οἱ ἐφάνη τὸ φόρημα, ἐκ πάσης τῆς θαλάσσης ἐς τὴν Ἰνδῶν γῆν συναγινέειν τὸν μαργαρίτην δὴ τοῦτον, τῇ θυγατρὶ τῇ ἑωυτοῦ εἶναι κόσμον. καὶ λέγει Μεγασθένης, θηρεύεσθαι τὴν κόγχην αὐτοῦ δικτύοισι, νέμεσθαι δ' ἐν τῇ θαλάσσῃ κατ' αὐτὴν πολλὰς κόγχας, καθάπερ τὰς μελίσσας. καὶ εἶναι γὰρ καὶ τοῖσι μαργαρίτῃσι βασιλέα, ἢ βασίλισσαν, ὡς τῇσι μελίσσῃσι. καὶ ὅστις μὲν ἐκεῖνον κατ' ἐπιτυχίην συλλάβοι, τοῦτον δὲ εὐπετέως περιβάλλειν καὶ τὸ ἄλλο σμῆνος τῶν μαργαριτῶν· εἰ δὲ διαφύγοι σφέας ὁ βασιλεὺς, τούτῳ δὲ οὐκέτι θηρατοὺς εἶναι τοὺς ἄλλους· τοὺς ἁλόντας δὲ περιορᾶν κατασαπῆναι σφίσι τὴν σάρκα, τῷ δὲ ὀστέῳ ἐς κόσμον χρῆσθαι. καὶ εἶναι γὰρ καὶ παρ' Ἰνδοῖσι τὸν μαργαρίτην τριπλάσιον κατὰ τιμὴν πρὸς χρυσίον τὸ ἄπεφθον, καὶ τοῦτο ἐν τῇ Ἰνδῶν γῇ ὀρυσσόμενον. ἐν δὲ τῇ χώρῃ ταύτῃ, ἵνα ἐβασίλευσεν ἡ θυγάτηρ τοῦ Ἡρακλέους, τὰς μὲν γυναῖκας ἑπταέτεας ἐούσας, ἐς ὥρην γάμου ἰέναι, τοὺς δὲ ἄνδρας τεσσαράκοντα ἔτεα τὰ πλεῖστα βιώσκεσθαι. καὶ ὑπὲρ τούτου λεγόμενον λόγον εἶναι παρ' Ἰνδοῖσιν· Ἡρακλέα, ὀψιγόνου οἱ γενομένης τῆς παιδὸς, ἐπεί τε δὴ ἐγγὺς ἔμαθεν ἑωυτῷ ἐοῦσαν τὴν τελευτὴν, οὐκ ἔχοντα ὅτῳ ἀνδρὶ ἐκδῷ τὴν παῖδα ἑωυτοῦ ἐπαξίῳ, αὐτὸν μιγῆναι τῇ παιδὶ ἑπταέτεϊ ἐούσῃ, ὡς γένος ἐξ οὗ τε κἀκείνης ὑπολείπεσθαι Ἰνδῶν βασιλέας. ποιῆσαι ὦν αὐτὴν Ἡρακλέα ὡραίην γάμου· καὶ ἐκ τοῦδε ἅπαν τὸ γένος τοῦτο ὅπου ἡ Πανδαίη ἐπῆρξε, ταὐτὸ τοῦτο γέρας ἔχειν παρὰ Ἡρακλέους. ἐμοὶ δὲ δοκέει, εἴπερ ὦν τὰ ἐς τοσόνδε ἄτοπα Ἡρακλέης οἷός τε ἦν ἐξεργάζεσθαι, καὶ αὐτὸν ἀποφῆναι μακροβιώτερον, ὡς ὡραίῃ μιγῆναι τῇ παιδί. ἀλλὰ γὰρ εἰ ταῦτα ὑπὲρ τῆς ὥρης τῶν ταύτῃ παίδων ἀτρεκέα ἐστὶν, ἐς ταὐτὸν φέρειν δοκεῖ ἔμοιγε ἐς ὅ,τι περ καὶ ὑπὲρ τῶν ἀνδρῶν τῆς ἡλικίης ὅτι τεσσαρακοντοῦτες ἀποθνή-

σκουσιν οἱ πρεσβύτατοι αὐτῶν. οἷς γὰρ τό, τε γῆρας τοσῶδε ταχύτερον ἐπέρχεται, καὶ ὁ θάνατος ὁμοῦ τῷ γήρᾳ, πάντως που καὶ ἡ ἀκμὴ πρὸς λόγον τοῦ τέλεος ταχυτέρη ἐπανθέει. ὥστε τριακοντούτιες μὲν ὠμογέροντές ἄν που εἶεν αὐτοῖσιν οἱ ἄνδρες· εἴκοσι δὲ ἔτεα γεγονότες, οἱ ἔξω ἥβης νεανίσκοι. ἡ δὲ ἀκροτάτη ἥβη, ἀμφὶ τὰ πεντεκαίδεκα ἔτεα. καὶ τῇσι γυναιξὶν ὥρη τοῦ γάμου κατὰ λόγον ἂν οὕτω ἐς τὰ ἑπτὰ ἔτεα συμβαίνοι. καὶ γὰρ τοὺς καρποὺς ἐν ταύτῃ τῇ χώρῃ πεπαίνεσθαί τε ταχύτερον τῆς ἄλλης, αὐτὸς οὗτος Μεγασθένης ἀνέγραψε, καὶ φθίνειν ταχύτερον. ἀπὸ μὲν δὴ Διονύσου βασιλέας ἠρίθμεον Ἰνδοὶ ἐς Ἀνδρόκοττον, τρεῖς καὶ πεντήκοντα καὶ ἑκατόν· ἔτεα δὲ, δύο καὶ τεσσαράκοντα καὶ ἑξακισχίλια. ἐν δὲ τούτοισι τρὶς τὸ πᾶν εἰς ἐλευθερίην.* τὴν δὲ, καὶ ἐς τριακόσια· τὴν δὲ, εἴκοσί τε ἐτέων καὶ ἑκατόν. πρεσβύτερόν τε Διόνυσον Ἡρακλέους δέκα καὶ πέντε γενεῇσιν Ἰνδοὶ λέγουσιν. ἄλλον δὲ οὐδένα ἐμβαλεῖν ἐς γῆν τὴν Ἰνδῶν ἐπὶ πολέμῳ· οὐδὲ Κῦρον τὸν Καμβύσεω, καίτοι ἐπὶ Σκύθας ἐλάσαντα, καὶ τἄλλα πολυπραγμονέστατον δὴ τῶν κατὰ τὴν Ἀσίην βασιλέων γενόμενον τὸν Κῦρον. ἀλλὰ Ἀλέξανδρον γὰρ ἐλθεῖν τε καὶ κρατῆσαι πάντων τοῖς ὅπλοις, ὅσους γε δὴ ἐπῆλθε· καὶ ἂν καὶ πάντων κρατῆσαι, εἰ ἡ στρατιὴ ἤθελεν. οὐ μὲν δὴ οὐδὲ Ἰνδῶν τινα ἔξω τῆς οἰκείης σταλῆναι ἐπὶ πολέμῳ, διὰ δικαιότητα. λέγεται δὲ καὶ τάδε, μνημεῖα ὅτι Ἰνδοὶ τοῖς τελευτήσασιν οὐ ποιέουσιν, ἀλλὰ τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν ἱκανὰς ἐς μνήμην τίθενται τοῖσιν ἀποθανοῦσι, καὶ τὰς ᾠδὰς αἳ αὐτοῖσιν ἐπᾴδονται. πόλεων δὲ καὶ ἀριθμὸν οὐκ εἶναι ἂν ἀτρεκὲς ἀναγράψαι τῶν Ἰνδικῶν, ὑπὸ πλήθεος. ἀλλὰ γὰρ ὅσαι παραποτάμιαι αὐτέων, ἢ παραθαλάσσιαι, ταύτας μὲν ξυλίνας ποιέεσθαι· οὐ γὰρ εἶναι ἐκ πλίνθου ποιεομένας διαρκέσαι ἐπὶ χρόνον, τοῦ τε ὕδατος ἕνεκα τοῦ ἐξ οὐρανοῦ, καὶ ὅτι οἱ ποταμοὶ αὐτοῖσιν ὑπερβάλλοντες ὑπὲρ τὰς ὄχθας, ἐμπιπλᾶσι τοῦ ὕδατος τὰ πεδία. ὅσαι δὲ ἐν ὑπερδεξίοις τε καὶ μετεώροις τόποισι, καὶ τούτοισιν ὑψηλοῖσιν, ᾠκισμέναι εἰσί, ταύτας δὲ ἐκ πλίνθου τε καὶ πηλοῦ ποιέεσθαι. μεγίστην δὲ πόλιν Ἰνδοῖσιν εἶναι Παλίμβοθρα καλεομένην, ἐν τῇ Γαδρωσίων γῇ, ἵνα αἱ συμβολαί εἰσι τοῦ τε Ἐραννοβόα ποταμοῦ καὶ τοῦ Γάγγεω· τοῦ μὲν Γάγγεω, τοῦ μεγίστου ποταμῶν· ὁ δὲ Ἐραννοβόας, τρίτος μὲν ἂν εἴη τῶν Ἰνδῶν ποταμῶν, μέζων δὲ τῶν ἄλλων καὶ οὗτος· ἀλλὰ ξυγχωρέει αὐτὸς τῷ Γάγγῃ, ἐπειδὰν ἐμβάλῃ ἐς αὐτὸν τὸ ὕδωρ. καὶ λέγει Μεγασθένης, μῆκος μὲν ἐπέχειν τὴν πόλιν καθ᾽ ἑκατέρην τὴν πλευρὴν, ἵνα περ μακροτάτη αὐτὴ ἑωυτῆς ᾤκισται, ἐς ὀγδοήκοντα σταδίους· τὸ δὲ πλάτος, ἐς πεντεκαίδεκα. τάφρον δὲ περιβεβλῆσθαι τῇ πόλει, τὸ εὖρος ἑξάπλεθρον, τὸ δὲ βάθος, τριήκοντα πηχέων. πύργους δὲ ἑβδομήκοντα καὶ πεντακοσίους ἐπέχειν τὸ τεῖχος, καὶ πύλας τέσσαρας καὶ ἑξήκοντα. εἶναι δὲ καὶ τόδε μέγα ἐν τῇ Ἰνδῶν γῇ, πάντας Ἰνδοὺς εἶναι ἐλευθέρους, οὐδέ τινα δοῦλον εἶναι Ἰνδόν. τοῦτο μὲν Λακεδαιμονίοις ἐς ταὐτὸ συμβαίνει καὶ Ἰνδοῖσιν. Λακεδαιμονίοις μέν γε οἱ εἵλωτες δοῦλοί εἰσι, καὶ τὰ δούλων ἐργάζονται· Ἰνδοῖσι δὲ, οὐδὲ ἄλλος δοῦλός ἐστι, μήτοιγε Ἰνδῶν τις. νενέμηνται δὲ οἱ πάντες Ἰνδοὶ ἐς ἑπτὰ μάλιστα γενεάς. ἐν μὲν αὐτοῖσιν οἱ σοφισταί εἰσι, πλήθει μὲν

A tur, quòd qui quàmlongiſsimè viuunt quadrageſimum annum non excedant. Quibus enim ſenectus tanto celerius aduenit, iis ſimul & mors omnino, & vigor ætatis, proportione quadam ad finem vitæ habita, citiùs accedat neceſſe eſt; ita vt viri triginta annos nati, iam ad primam illam viridem ſenectam perueniſſe dicendi ſint: & qui XX, iuuentutis: qui XV, adoleſcentiæ terminos exceſſiſſe, & fœminis eadem ratione maturitas ad nuptias ſeptimo anno cõtingat: ſed fructus in ea regione citius quàm in alia vlla matureſcere, citiúſque interire idem Megaſthenes ſcribit. B A Dionyſo quidẽ ad Androcotum Indi reges numerabant CLIII, annos verò VI.M XLII. Ex his verò omnibus ter tantùm libertate vſi fuerãt.* deinde per annos CCC. iterũ per annos CXX. Dionyſũ etiã Indi Hercule antiquiorẽ eſſe dicunt XV ſeculis: nullúmque aliũ belli inferendi cauſa fines ſuos ingreſſum: neque Cyrum Cambyſæ filium, quanuis aduerſus Scythas exercitum duxerit, & (quantum ad alias res attinet) multa præclarè geſſerit. C Alexandrum verò in eas regiones veniſſe, omnéſq; armis ſubegiſſe ad quas peruenerit: ac cæteros omnes ſubacturum fuiſſe, niſi exercitus vlterius progredi recuſaſſet. Sed neque Indorũ quenquam domo ad bellum miſſum eſſe, ne iniuſti viderẽtur. Feruntur etiam hæc: Non condere Indos monimenta mortuis. Virtutes enim virorum ad perpetuandã poſt mortem memoriam ſufficere exiſtimant, & carmina atque odas quibus eorum virtutes decantant. D Vrbium etiam Indicarum numerum præ multitudine compertum non eſſe: eas verò quæ iuxta flumina aut mare ſitæ ſũt, ex lignea materia conſtructas eſſe. Neque enim, ſi ex latere confectæ eſſent, longo tempore duraturas, tum propter imbres, tum quod amnes ſuperatis ripis plana paſſim loca aqua repleãt. Quæ verò editioribus locis poſitæ ſunt, ex lateribus & cæmento factas eſſe. Maximam autem apud Indos vrbem eſſe Palimbothram in Gadroſiorum finibus, ad Erannoboæ & Gangis fluminum confluen- E tem: ac Gangis quidem maximi omnium fluminum. Erannoboas autẽ tertius eſt Indiæ fluminum, reliquis maior. ſed Gangi cedit, quum in eum aquam ſuam immiſit. Ait porro Megaſthenes longitudinem vrbis eſſe ab vtroque latere, quà longiſſimè habitatur, ſtadiorum LXXX, latitudinem XV, foſſámque vrbi circumductam, latitudine ſex iugerũm, altitudine cubitorum XXX, murũ turres habere CCLXX, portas LXIIII. Hoc etiã eſſe memorabile in India, Omnes F Indos liberos eſſe, neque vllum omnino Indum ſeruũ eſſe. qua quidem in re Indis cum Lacedæmoniis conuenit. Lacedæmoniis enim Helotes ſiue mancipia tantùm ſerui ſunt, ſeruiliáque munia obeunt. Neque Indi aliis ſeruis vtuntur: Indo verò nemine. Diſtinguntur autem Indi omnes in ſex potiſſimùm genera hominum: quorum alij ſophiſtæ ſiue ſapientes appellantur, numero

Videtur hîc aliquid deeſſe.

ſeptem

quidē reliquis inferiores: ſed honore & gloria præſtantiſsimi. Neque enim ad vlla opera quæ corpore præſtantur adiguntur: neque quicquam conferre ad publicum vſum laborant, neq; (vt ſummatim dicam) vllius planè operis neceſsitas ſophiſtis impoſita eſt, quàm vt diis pro communi ſalute ſacrificia faciant. Et ſiquis priuatim ſacrificat, aliquis ex ſophiſtis interpres ſacrificiorum ei adiungitur. neq; enim aliter accepta diis ſacrificia ſunt. Sunt verò etiam hi ſoli inter Indos diuinandi periti: neque cuiquam diuinatio permittitur, niſi ſapienti viro. Vaticinantur autem de temporibus anni, aut ſiquæ publica calamitas immineat. De rebus priuatis non vaticinantur, ſiue quòd diuinandi rationem ad res minores pertinere non putent: ſiue quòd indignum credant circa minutiora hæc laborare. Quicunque verò ter diuinando à vero aberrarit, huic nihil aliud pœnæ loco infligitur, quàm quòd ei deinceps ſilentium indicitur: neque cuiquam licet eum cui ſilentium imperatū fuerit ad loquendum cogere. Hi ſophiſtæ nudi degunt. hyeme, ſub dio apricantur: æſtate quum ſol feruet, in pratis & paluſtribus locis, ſub ingentibus arboribus. quarū vmbram Nearchus ſcribit ad quinque iugera in circuitu extendi, facileque mille ſub vnius arboris vmbra deliteſcere. tantæ magnitudinis eſſe eas arbores. Fructibus verò maturis per certa anni tēpora veſcuntur, corticibuſq; arborum, quæ & dulces ſunt & multi nutrimenti, perinde atque palmarum caricæ. Secundum genus hominum à ſophiſtis ſunt Agricolæ, quorum quidem inter Indos præcipua eſt multitudo. Hi neque arma habent quibus in bello vtantur, neque bellicas res curant: ſed agros colunt, & regibus liberiſque vrbibus tributa pendunt. Præterea ſi inteſtina inter Indos bella incidant, agricolas capere aut agrum eorum vaſtare nefas eſt. reliqui inter ſe bellum gerunt, ſeſéq; mutuo interficiunt. Ipſi iuxta eos tranquillè aut arationi, aut vindemiæ, vel frondationi, vel meſsi vacant. Tertium genus Indorum, eſt Armētariorum, & hi neque vrbes neque pagos inhabitant, ſed in montibus degunt & tributū ex armētis & pecore pendunt. auéſq; & agreſtes feras venantur. Quartum genus eſt Opificum & negotiatorum. Et hi publici miniſtri ſunt, atque ex operibus ſuis tributa perſoluunt, iis exceptis qui arma bellica fabricantur. Ij enim etiam ex publico mercedē accipiūt. In hoc genere ſunt fabri nauales & nautæ quotquot flumina nauigant. Quintum genus eſt Militantium: multitudine quidem ſecundum ab agricolis, ſed maximè liberum atq; alacre. Hi ſolùm bellicas res adminiſtrant. Arma alij ipſis conficiunt, & equos alij ſuppeditant, ſeruiúntque his apud caſtra alij, qui & equos curant, atque arma extergent, & elephantos ducunt, & currus inſtruunt ac gubernant. Ipſi verò, quum bellandum eſt, bellant: conſtituta autem pace iucundam atque alacrem vitam degunt: tantúmque ſtipendij eis ex publico datur, vt ex eo etiam alios commodè alere poſsint.

A μείους τῶν ἄλλων, δόξῃ δὲ καὶ τιμῇ γεραρώτατοι. οὔτε γάρ τι τῷ σώματι ἐργάζεσθαι ἀναγκαίη σφὶν προσκέαται· οὔτε τι ἀποφέρειν ἀφ᾽ ὅτου πονέουσιν ἐς τὸ κοινόν· οὐδέ τι ἄλλο ἀνάγκης ἁπλῶς ἐπεῖναι τοῖσι σοφιστῇσιν, ὅτι μὴ θύειν τὰς θυσίας τοῖσι θεοῖσιν ὑπὲρ τοῦ κοινοῦ τῶν Ἰνδῶν. καὶ ὅστις δὲ ἰδίᾳ θύει, ἐξηγητὴς αὐτῷ τῆς θυσίης τῶν τις σοφιστῶν τούτων γίνεται, ὡς οὐκ ἂν ἄλλως κεχαρισμένα τοῖς θεοῖς θύσαντας. εἰσὶ δὲ καὶ μαντικῆς οὗτοι μοῦνοι Ἰνδῶν δαήμονες, οὐδὲ ἐφεῖται ἄλλῳ μαντεύεσθαι, ὅτι μὴ σοφῷ ἀνδρί. B μαντεύουσι δὲ ὅσα ὑπὲρ τῶν ὡραίων τοῦ ἔτεος, καὶ εἴ τις ἐς τὸ κοινὸν συμφορὴ καταλαμβάνει· τὰ ἴδια δὲ ἑκάστοισιν οὔ σφιν μέλει μαντεύεσθαι· ἢ ὡς οὐκ ἐξικνεομένης τῆς μαντικῆς ἐς τὰ μικρότερα, ἢ ὡς οὐκ ἄξιον ἐπὶ τούτοισι πονέεσθαι. ὅστις δὲ ἁμάρτοι ἐς τρὶς μαντευσάμενος, τούτῳ δὲ ἄλλο μὲν κακὸν γίγνεσθαι οὐδέν, σιωπᾶν δὲ εἶναι ἐπάναγκες τοῦ λοιποῦ· καὶ οὐκ ἔστιν ὅστις ἐξαναγκάσει τὸν ἄνδρα τοῦτον φωνῆσαι, ὅτου ἡ σιωπὴ κατακέκριται. οὗτοι γυμνοὶ διαιτῶνται οἱ σοφισταί, τοῦ μὲν χειμῶνος ὑπαίθριοι ἐν τῷ ἡλίῳ, τοῦ δὲ C θέρεος ἐπὴν ὁ ἥλιος κατέχῃ, ἐν τοῖσι λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ δένδρεσι μεγάλοισιν· ὧν τὴν σκιὴν Νέαρχος λέγει ἐς πέντε πλέθρα ἐν κύκλῳ ἐξικνέεσθαι, καὶ ἂν μυρίους ὑπὸ ἑνὶ δένδρεϊ σκιάζεσθαι· τηλικαῦτα εἶναι ταῦτα τὰ δένδρεα. σιτέονται δὲ ὡραῖα, καὶ τὸν φλοιὸν τῶν δένδρων, γλυκύν τε ὄντα καὶ τρόφιμον, οὐ μεῖον ἤπερ αἱ βάλανοι τῶν φοινίκων. Δεύτεροι δ᾽ ἐπὶ τούτοισιν οἱ γεωργοί εἰσιν· οὗτοι πλῆθει πλεῖστοι Ἰνδῶν ἐόντες. καὶ τούτοισιν οὔτε ὅπλα ἐστὶν ἀρήϊα, οὔτε μέλει τὰ πολέμια ἔργα, ἀλλὰ τὴν χώρην οὗτοι ἐργάζονται καὶ τοὺς φόρους τοῖς τε βασιλεῦσι καὶ τῇσι πόλεσιν ὅσαι αὐτόνομοι, οὗτοι D ἀποφέρουσι. καὶ εἰ πόλεμος ἐς ἀλλήλους τοῖσιν Ἰνδοῖσιν τύχοι, τῶν ἐργαζομένων τὴν γῆν οὐ θέμις σφὶν ἅπτεσθαι, οὐδὲ αὐτὴν τὴν γῆν τέμνειν· ἀλλὰ οἱ μὲν πολεμοῦσι καὶ κατακαίνουσιν ἀλλήλους ὅπως τύχοιεν· οἱ δὲ πλησίον αὐτῶν κατ᾽ ἡσυχίην ἀροῦσιν, ἢ τρυγῶσιν, ἢ κλαδοῦσιν, ἢ θερίζουσι. Τρίτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ νομέες, οἱ ποιμένες τε καὶ βουκόλοι, καὶ οὗτοι οὔτε κατὰ πόλιας, οὔτε ἐν τῇσι κώμῃσιν οἰκέουσι· νομάδες τέ εἰσι, καὶ ἀνὰ τὰ ὄρεα βιοτεύουσι. φόρον δὲ καὶ οὗτοι ἀπὸ τῶν κτηνέων ἀποφέρουσι· καὶ θηρεύουσιν οὗτοι ἀνὰ τὴν χώρην E ὄρνιθάς τε καὶ ἄγρια θηρία. Τέταρτον δέ ἐστι τὸ δημιουργικόν τε καὶ καπηλικὸν γένος. καὶ οὗτοι λειτουργοί εἰσι, καὶ φόρον ἀποφέρουσιν ἀπὸ τῶν ἔργων τῶν σφετέρων, πλήν γε δὴ ὅσοι τὰ ἀρήϊα ὅπλα ποιέουσιν. οὗτοι δὲ καὶ μισθὸν ἐκ τοῦ κοινοῦ προσλαμβάνουσιν. ἐν δὲ τούτῳ τῷ γένει οἵ τε ναυπηγοὶ καὶ οἱ ναῦταί εἰσιν ὅσοι κατὰ τοὺς ποταμοὺς πλώουσι. Πέμπτον δὲ γένος ἐστὶν Ἰνδοῖσιν, οἱ πολεμισταί, πλῆθει μὲν δεύτερον μετὰ τοὺς γεωργούς, πλείστῃ δὲ ἐλευθερίῃ τε καὶ εὐθυμίῃ ἐπιχρεόμενον· καὶ οὗτοι ἀσκηταὶ μόνων τῶν F πολεμικῶν ἔργων εἰσί. τὰ δὲ ὅπλα ἄλλοι αὐτοῖς ποιέουσι, καὶ ἵππους ἄλλοι παρέχουσι· καὶ διακονοῦσιν ἐπὶ στρατοπέδου ἄλλοι, οἳ τούς τε ἵππους αὐτοῖς θεραπεύουσι, καὶ τὰ ὅπλα ἐκκαθαίρουσι, καὶ τοὺς ἐλέφαντας ἄγουσι, καὶ τὰ ἅρματα κοσμέουσί τε καὶ ἡνιοχεύουσιν. αὐτοὶ δέ, ἔστ᾽ ἂν μὲν πολεμεῖν δέῃ, πολεμοῦσιν· εἰρήνης δὲ γενομένης, εὐθυμέουσι. καί σφιν μισθὸς ἐκ τοῦ κοινοῦ τοσόσδε ἔρχεται, ὡς καὶ ἄλλους τρέφειν ἀπ᾽ αὐτοῦ εὐμα-

ρέως. Ἕκτοι δέ εἰσιν Ἰνδοῖσιν, οἱ ἐπίσκοποι καλεόμενοι. οὗτοι ἐφορῶσι τὰ γινόμενα κατά τε τὴν χώρην, καὶ κατὰ τὰς πόλιας· καὶ ταῦτα ἀναγγέλλουσι τῷ βασιλεῖ, ἵνα περ βασιλεύονται Ἰνδοί· ἢ τοῖς τέλεσιν, ἵνα περ αὐτόνομοι εἰσί. καὶ τούτοις οὐ θέμις ψεῦδος ἀναγγεῖλαι οὐδὲν, οὐδέ τις Ἰνδῶν αἰτίην ἔσχε ψεύσασθαι. Ἕβδομοι δέ εἰσιν, οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμενοι ὁμοῦ τῷ βασιλεῖ, ἢ κατὰ πόλιας ὅσαι αὐτόνομοι, σὺν τῇσιν ἀρχῇσι. πλήθει μὲν ὀλίγον τὸ γένος τοῦτό ἐστι, σοφίῃ δὲ καὶ δικαιότητι ἐκ πάντων προκεκριμένον. ἔνθεν οἵ τε ἄρχοντες αὐτοῖσιν ἐπιλέγονται, καὶ ὅσοι νομάρχαι καὶ ὕπαρχοι, καὶ θησαυροφύλακές τε καὶ στρατοφύλακες, ναύαρχοί τε καὶ ταμίαι, καὶ τῶν κατὰ γεωργίην ἔργων ἐπιστάται. γαμέειν δὲ ἐξ ἑτέρου γένεος, οὐ θέμις· οἷον τοῖσι γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ, ἢ ἔμπαλιν· οὐδὲ δύο τέχνας ἐπιτηδεύειν τὸν αὐτόν, οὐδὲ τοῦτο θέμις. οὐδὲ ἀμείβειν ἐξ ἑτέρου γένεος εἰς ἕτερον· οἷον, γεωργικὸν ἐκ νομέως γενέσθαι, ἢ νομέα ἐκ δημιουργικοῦ. μοῦνον σφίσιν ἀνεῖται, σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι· ὅτι οὐ μαλθακὰ τοῖσι σοφιστῇσιν εἰσὶ τὰ πρήγματα, ἀλλὰ πάντων ταλαιπωρότατα. Θηρῶσι δὲ Ἰνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρία, κατάπερ καὶ Ἕλληνες. ἡ δὲ τῶν ἐλεφάντων σφὶν θήρη οὐδέν τι ἄλλῃ ἔοικεν· ὅτι καὶ ταῦτα τὰ θηρία οὐδαμοῖσιν ἄλλοισι θηρίοις ἐπέοικεν. ἀλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπεδον, καὶ καυματώδεα, ἐν κύκλῳ τάφρον ὀρύσσουσιν, ὅσον μεγάλῳ στρατοπέδῳ ἐπαυλίσασθαι· τῆς δὲ τάφρου τὸ εὖρος ἐς πέντε ὀργυιὰς ποιέονται, βάθος τε ἐς τέσσαρας. τὸν δὲ χοῦν ὅντινα ἐκβάλλουσιν ἐκ τοῦ ὀρύγματος, ἐπὶ τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες, ἀντὶ τείχεος διαχρέονται. αὐτοὶ δὲ ἐπὶ τῷ χώματι τοῦ ἐπὶ τοῦ χείλεος τοῦ ἔξω τῆς τάφρου, σκηνὰς σφὶν ὀρυκτὰς ποιέονται, καὶ διὰ τουτέων ὀπὰς ὑπολείπονται, δι' ὧν φῶς τε αὐτοῖς συνεισφέρεται, καὶ τὰ θηρία προσάγοντα, καὶ ἐπελαύνοντα ἐς τὸ ἕρκος σκέπτονται. ἐνταῦθα ἐντὸς τοῦ ἕρκεος καταστήσαντες τῶν τινας θηλέων τρεῖς ἢ τέσσαρας, ὅσαι μάλιστα τὸν θυμὸν χειροήθεες, μίαν εἴσοδον ἀπολιμπάνουσι κατὰ τὴν τάφρον, γεφυρώσαντες τὴν τάφρον· καὶ ταύτῃ χοῦν τε καὶ πόαν πολλὴν ἐπιφέρουσι, τοῦ μὴ εὔδηλον εἶναι τοῖσι θηρίοισι τὴν γέφυραν, μή τινα δόλον οἰσθῶσιν. αὐτοὶ μὲν οὖν ἐκποδὼν σφᾶς ἔχουσι κατὰ τῶν σκηνέων τῶν ὑπὸ τῇ τάφρῳ δεδυκότες. οἱ δὲ ἄγριοι ἐλέφαντες ἡμέρης μὲν οὐ πελάζουσι τοῖσιν οἰκουμένοισι, νύκτωρ δὲ πλανῶνταί τε πάντῃ, καὶ ἀγεληδὸν νέμονται, τῷ μεγίστῳ καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι, κατάπερ αἱ βόες τοῖσι ταύροισιν. ἐπεὰν ὦν τῷ ἕρκει πελάσωσι, τήν τε φωνὴν ἀκούοντες τῶν θηλέων, καὶ τῇ ὀδμῇ αἰσθόμενοι, δρόμῳ ἵενται ὡς ἐπὶ τὸν χῶρον τὸν πεφραγμένον. ἐκπεριελθόντες δὲ τῆς τάφρου τὰ χείλεα, εὖτ' ἂν τῇ γεφύρῃ ἐπιτύχωσι, κατὰ ταύτην εἰς τὸ ἕρκος ὠθέονται. οἱ δὲ ἄνθρωποι αἰσθόμενοι τὴν ἔσοδον τῶν ἐλεφάντων τῶν ἀγρίων, οἱ μὲν αὐτῶν τὴν γέφυραν ὀξέως ἀφεῖλον, οἱ δὲ ἐπὶ τὰς πέλας κώμας ἀποδραμόντες, ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι ἐν τῷ ἕρκει ἔχονται. οἱ δὲ ἀκούσαντες ἐπιβαίνουσι τῶν κρατίστων τε τὸν θυμὸν καὶ τῶν χειροηθεστάτων ἐλεφάντων. ἐπιβάντες δὲ, ἐλαύνουσιν ὡς ἐπὶ τὸ ἕρκος· ἐλάσαντες δὲ, οὐκ αὐτίκα μάχης ἅπτονται, ἀλλ' ἐῶσι γὰρ λιμῷ ταλαιπωρηθῆναι τοὺς ἀγρίους ἐλέφαντας, καὶ ὑπὸ τῷ

A Sextum genus eſt Epiſcoporum, ſiue inquiſitorum. hi quid in vrbibus, quid in agris agatur inquirunt, eáque regibus, ſi per reges gubernentur: aut magiſtratibus, ſi liberæ ciuitates ſunt, denuntiãt. His fas non eſt falſa pro veris denuntiare: neque Indorũ quiſquam mendacij vnquam accuſatus eſt. Septimum genus eſt Eorũ qui de rebus ad cõmune pertinentibus conſultant: idque vel cum rege, vel per vrbes quæ liberę imperium tenent. Atque hi quidẽ numero pauci ſunt: ſed ſapientia ac iuſtitia reliquis præſtant. Ex B hoc genere, principes & legũlatores ac præſides, quæſtores, ac copiarum & claſſium duces, & rerum ruſticarum præfecti deligũtur. Coniugia inter hos ordines promiſcua fieri nefas eſt. neque enim licet agricolæ ex opificum ordine vxorẽ ducere: nec contrà. Neque vni duas artes exercere fas eſt, neque ex vno genere in aliud tranſire: vtpote agricolam ex paſtore, aut paſtorem ex opifice fieri. Hoc tantùm permittitur, ſophiſtã C ex quocunque genere fieri. neque enim mollis eſt ſophiſtarum vita, ſed omnium laborioſiſſima. Venantur autem Indi reliquas feras vt Græci: ſed elephantorum venatio longè diuerſa eſt. ſiquidem & hæ feræ nullis aliis ſimiles ſunt. Deligunt venatores locũ planũ & apricũ. in eius circuitu foſſam ducunt magni exercitus capacem. Foſſæ latitudo quinque vlnas habet, altitudo quatuor. Terram quam fodiendo eruunt vtrinque ad labra foſſę congerunt, eáque pro muro vtuntur. deinde in exterioris labri agge- D re cauernulas quaſdam ſibi fodiunt, & foramina in iis, per quæ lucem admittant, relinquunt: ipſique è ſeptis feras iis appropinquantes atque ingredientes proſpectant: & tres aut quatuor elephantos fœminei ſexus ex manſuetioribus ſepto includentes, vnum ad foſſam aditum relinquunt, labro foſſæ ponte iuncto, quem multo ceſpite herbido ſternunt, ne conſpici à feris pons, aut dolus ſentiri poſſit. Venatores procul remoti ſeſe in cauernis ſuffoſſis continent. Porro feri elephanti loca habitata interdiu non adeũt: E noctu verò errantes gregatim paſcuntur, eúmque ducem ſequuntur qui & maximus ſit & generoſiſſimus: non aliter ac tauros boues ſequi videmus. Poſtquam ſeptis propiores facti fœminarum vocem audierunt, eáſque per odoratum cognouere, protinus ad ſepta aduolant, & foſſæ labra circumeuntes, quum ad pontem peruenerint, per eum ſepta ingrediuntur. Venatores, vbi ingreſſos ſentiunt, alij continuò pontem ſubtrahunt, alij proximos pagos petentes, elephantos F ſepto incluſos eſſe nuntiant. Quo cognito, populares confeſtim elephantos optimos ac manſuetiſsimos conſcendunt. Nec tamẽ primo ſtatim aduentu cum agreſtibus elephantis pugnam aggrediuntur, ſed illos aliquandiu fame macerari ac ſiti domari ſinũt:

quúmque iam languidiores factos vident, rurſus immiſſo ponte ſepta ingrediuntur. Et primò quidem acre certamen fit inter domitos elephantos & feros captos: tandé ſuperátur, vt par eſt, feri, lãguore & fame preſſi. Tum ſeſſores ex elephantis in terrã demiſsi languidis illis ſummos pedés colligant: dehinc domitis elephantis imperant vt feros multis plagis excipiant, donec verberibus defatigati in terram procidant, humíque proſtratos inſcendunt. poſt hæc laqueos ceruicibus aptant. Ne verò ſeſſores excutiant, néve aliquid aliud damni inferant, colla acuto enſe in circuitum proſcindunt, vulnúſque laqueo circumligant, vt præ vulnere & collum & caput immotum teneant. Si enim peruicaciter reluctentur, funis in vulnus adigitur. Atque ita tandem victos ſeſe agnoſcentes vincti cum domitis ducuntur. Siqui verò eorum immaturæ ætatis aut inepti videantur, abire in loca ipſis conſueta permittunt. Cæteros captos in pagos ducunt, ac primùm eos gramine & viridibus culmis paſcunt. & ſi præ dolore ac mœrore pabulo abſtineant, Indi circumſtantes tympanorum ac cymbalorum pulſu, cantúque eos exhilarant ac demulcent. Intelligens enim, ſiquæ alia fera, eſt elephas. Et quidem nonnulli rectores ſuos in bello cæſos, ſublatos ad ſepulturam detulerunt: alij iacentes propugnatũt: alij pro ſeſſoribus lapſis neci ſeſe obiecerunt. quidam quum per iram rectorem ſuum occidiſſet, pœnitentia & mœrore ſe confecit. Vidi ego aliquando elephantum cymbalum pulſantẽ, aliis ſaltantibus, duobus cymbalis ad anteriora crura appenſis, alióque ad proboſcidem alligato. Ipſe alternatim proboſcide cymbalũ in numerum ad vtrunque crus pulſabat: reliqui in gyrum choreas ducebant, & ſublatis flexíſque prioribus cruribus in numerum etiam procedebant, prout is qui cymbalum pulſabat ſono præibat. Elephas venerem appetit verno tẽpore, quẽadmodum bos aut equã, quũ fœminis ſpiracula quædam circa tẽpora adaperta expirant. fertque in vtero fœtum minimùm XVI menſes: ſummùm, XVIII. parit autem elephas vnicum, ſicut equa. atque hunc lacte ſuo in octauum vſque annum nutrit. viuunt elephanti, qui plurimum, annos CC. plerique ante hoc tempus morbo intereunt. Senectute verò ad hanc ætatem pertingunt. Oculorum ægritudini præſens remedium eſt lac bubulũ: reliquis morbis vinum nigrum epotum prodeſt. Vlceribus autem carnes ſuillæ toſtæ atque intritæ. Tigrim verò Indi elephanto multò fortiorem eſſe cenſent. Eius pellem ſe vidiſſe ſcribit Nearchus, feram ipſam nequaquam. Indos tamen narrare magnitudine eſſe maximi equi: tanta verò velocitate & robore, vt nulli alteri feræ comparari poſsit. Quando cum elephante congreditur, in caput eius inſilire, faciléque

A δίψει δουλωθῆναι. εὖτ᾽ ἂν δὲ σφίσι κακῶς ἔχειν δοκέωσι, τηνικαῦτα ἐπιστήσαντες αὖθις τὴν γέφυραν, ἐλαύνουσί τε ὡς ἐς τὸ ἕρκος. καὶ τὰ μὲν πρῶτα μάχη ἵσταται κρατερὴ τοῖσιν ἡμέροισι τῶν ἐλεφάντων πρὸς τοὺς ἑαλωκότας. ἔπειτα κρατέονται μὲν κατὰ τὸ εἰκὸς οἱ ἄγριοι, ὑπό τε τῇ ἀθυμίῃ καὶ τῷ λιμῷ ταλαιπωρεύμενοι. οἱ δὲ ἀπὸ τῶν ἐλεφάντων καταβάντες, παρειμένοισιν ἤδη τοῖσιν ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέουσιν. ἔπειτα ἐγκελεύονται τοῖσιν ἡμέροισι πληγῇσι σφᾶς κολάζειν πολλῇσιν, ἔστ᾽ ἂν ἐκεῖνοι ταλαιπωρεύμενοι ἐς γῆν πέσωσι. παραστάντες δὲ, βρόχους
B περιβάλλουσιν αὐτοῖσι κατὰ τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμένοισι. τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας, μηδέ τι ἄλλο ἀτάσθαλον ἐργάζεσθαι, τὸν τράχηλον αὐτοῖσιν ἐν κύκλῳ μαχαιρίῳ ὀξεῖ ἐπιτέμνουσι, καὶ τὸν βρόχον κατὰ τὴν τομὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε καὶ τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος. εἰ γὰρ περιστρέφοιντο ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι τὸ ἕλκος ὑπὸ τῷ κάλῳ. οὕτω μὲν ἀτρέμα ἴσχουσι. καὶ αὐτοὶ γνωσιμαχέοντες ἤδη, ἄγονται κατὰ
C τὸν δεσμὸν πρὸς τῶν ἡμέρων. ὅσοι δὲ νήπιοι αὐτῶν, ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τούτους ἐῶσιν ἀπαλλάττεσθαι ἐς τὰ σφέτερα ἤθεα. ἄγοντες δὲ εἰς τὰς κώμας τοὺς ἁλόντας, τοῦ τε χλωροῦ καλάμου καὶ τῆς πόας τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν. οἱ δὲ ὑπὸ ἀθυμίης, οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς δὲ περιιστάμενοι οἱ Ἰνδοὶ, ᾠδαῖσί τε καὶ τυμπάνοισι, καὶ κυμβάλοισιν ἐν κύκλῳ κρούοντές τε καὶ ἐπᾴδοντες, κατευνάζουσι. θυμόσοφον γὰρ, εἴπερ τι ἄλλο θηρίον, ὁ ἐλέφας. καί τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν, ἐν πολέμῳ ἀποθανόντας, ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφήν. οἱ δὲ καὶ ὑπερήσπισαν κειμένους. οἱ δὲ καὶ πεσόντων προεκιν-
D δύνευσαν. ὁ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην, ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν. εἶδον δὲ ἔγωγε καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα, καὶ ἄλλους ὀρχεομένους, κυμβάλοιν τῷ κυμβαλίζοντι πρὸς τοῖν σκελοῖν τοῖσιν ἔμπροσθεν προσκρεμαμένοιν, καὶ πρὸς τῇ προβοσκίδι καλεομένῃ ἄλλο κύμβαλον. ὁ δὲ ἐν μέρει τῇ προβοσκίδι ἔκρουε τὸ κύμβαλον ἐν ῥυθμῷ πρὸς ἑκατέροιν τοῖν σκελοῖν. οἱ δὲ ὀρχεόμενοι ἐν κύκλῳ τε ἐχόρευον, καὶ ἐπαείροντές τε καὶ ἐπικάμπτοντες τὰ ἔμπροσθεν σκέλεα ἐν τῷ μέρει, ἐν ῥυθμῷ καὶ οὗ-
E τοι ἔβαινον, καθότι ὁ κυμβαλίζων σφισὶν ὑφηγέετο. βαίνεται δὲ ἐλέφας ἦρος ὥρῃ, κατάπερ βοῦς ἢ ἵππος, ἐπεὰν τῇσι θηλέεσιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ ἀνοιχθεῖσαι ἐκπνέωσι. κύει δὲ τοὺς ἐλαχίστους μὲν, ἑκκαίδεκα μῆνας, τοὺς πλείστους δὲ ὀκτωκαίδεκα. τίκτει δὲ ἓν, κατάπερ ἵππος. καὶ τοῦτο ἐκτρέφει τῷ γάλακτι, ἐς ἔτος ὄγδοον. ζῶσι δὲ ἐλεφάντων οἱ πλεῖστα ἔτεα ζῶντες, ἐς διηκόσια. πολλοὶ δὲ νόσῳ προτελευτῶσιν αὐτῶν. γήρᾳ δὲ ἐς τόσον ἔρχονται. καὶ ἔστιν αὐτοῖσι τῶν μὲν ὀφθαλμῶν ἴαμα, τὸ βόειον γάλα
F ἐγχεόμενον. πρὸς δὲ τὰς ἄλλας νόσους, ὁ μέλας οἶνος πινόμενος. ἐπὶ δὲ τοῖσιν ἕλκεσι, τὰ ὕεια κρέα ὀπτώμενα καὶ καταπασσόμενα. ταῦτα παρ᾽ Ἰνδοῖσίν ἐστιν αὐτοῖσιν ἰάματα. Τοῦ δὲ ἐλέφαντος τὸν τίγριν πολλόν τι ἀλκιμώτερον Ἰνδοὶ ἄγουσι. τίγριος δὲ δέρμα μὲν ἰδεῖν λέγει Νέαρχος, αὐτὸν δὲ τίγριν οὐκ ἰδεῖν. ἀλλὰ τοὺς Ἰνδοὺς γὰρ ἀπηγέεσθαι, τίγριν εἶναι μέγεθος μὲν ἡλίκον τὸν μέγιστον ἵππον, τὴν δὲ ὠκύτητα καὶ ἀλκὴν, οὐδενὶ ἄλλῳ εἰκάσαι. τίγριν γὰρ ἐπεὰν ὁμοῦ ἔλθῃ ἐλέφαντι, ἐπιπηδᾶν τε ἐπὶ τὴν κεφαλὴν τοῦ ἐλέφαντος,

ἐλέφαντος, καὶ ἄγχειν δύνασθαι. ταύτας δὲ ὁκοίας καὶ ἡμεῖς ὁρέομεν καὶ τίγριας καλέομεν, θῶας εἶναι αἰόλους καὶ μέζονας ἤπερ τοὺς ἄλλους θῶας. ἐπεὶ καὶ ὑπὲρ τῶν μυρμήκων λέγει Νέαρχος, μύρμηκα μὲν αὐτὸς οὐκ ἰδέσθαι ὁποῖον δή τινα μετεξέτεροι διέγραψαν γίνεσθαι ἐν τῇ Ἰνδῶν γῇ· δορὰς δὲ καὶ τούτων ἰδεῖν πολλὰς, ἐς τὸ στρατόπεδον κατακομισθείσας τὸ Μακεδονικόν. Μεγασθένης δὲ καὶ ἀτρεκέα εἶναι ὑπὲρ τῶν μυρμήκων τὸν λόγον ἱστορέει, τούτους εἶναι τοὺς τὸν χρυσὸν ὀρύσσοντας, οὐκ αὐτοῦ τοῦ χρυσοῦ ἕνεκα, ἀλλὰ σφίσι γὰρ κατὰ τῆς γῆς ὀρύσσουσιν, ἵνα φωλεύοιεν· κατάπερ οἱ ἡμέτεροι οἱ σμικροὶ μύρμηκες ὀλίγον τῆς γῆς ὀρύσσουσιν. ἐκείνους δὲ εἶναι ἀλωπέκων μέζονας, πρὸς λόγον τοῦ μεγέθεος σφῶν, καὶ τὴν γῆν ὀρύσσειν· τὴν δὲ γῆν, χρυσῖτιν εἶναι, καὶ ἀπὸ ταύτης γίνεσθαι Ἰνδοῖσι τὸν χρυσόν. ἀλλὰ Μεγασθένης ἀκοὴν ἀπηγέεται· καὶ ἐγὼ ὅτι οὐδὲν τούτου ἀτρεκέστερον ἀναγράψαι ἔχω, ἀπίημι ἑκὼν τὸν ὑπὲρ τῶν μυρμήκων λόγον. σιττακοὺς δὲ Νέαρχος μὲν ὡς δή τι θῶμα ἀπηγέεται, ὅτι γίνονται ἐν τῇ Ἰνδῶν γῇ· καὶ ὁποῖος ὄρνις ἐστὶν ὁ σιττακὸς, καὶ ὅπως φωνὴν ἱεὶ ἀνθρωπίνην. ἐγὼ δὲ ἐπεὶ αὐτός τε πολλοὺς ὄπωπα, καὶ ἄλλους ἐπισταμένους, εἴδεα τοῦ ὄρνιθος, οὐδὲν ὡς ἀτόπου δῆθεν ἀπηγήσομαι· οὐδὲ ὑπὲρ πιθήκων τοῦ μεγέθεος, ἢ ὅτι καλοὶ παρ' Ἰνδοῖς πίθηκοί εἰσιν, οὐδὲ ὅπως θηρῶνται ἐρέω. καὶ γὰρ ταῦτα γνώριμα ἐρέω, πλήν γε δὴ, ὅτι καλοί που πίθηκοι εἰσί. καὶ ὄφιας δὲ λέγει Νέαρχος θηρευθῆναι, αἰόλους μὲν καὶ ταχέας· μέγεθος δὲ, ὃν μὲν λέγει ἑλεῖν Πύθωνα τὸν Ἀντιγένεος, πηχέων ὡς ἑκκαίδεκα· αὐτοὺς δὲ τοὺς Ἰνδοὺς πολὺ μέζονας τούτων λέγειν εἶναι τοὺς μεγίστους ὄφιας. ὅσοι δὲ ἰητροὶ Ἕλληνες, τούτοισιν οὐδὲν ἄκος ἐξεύρητο, ὅστις ὑπὸ ὄφεως δηχθείη Ἰνδικοῦ· ἀλλ' αὐτοὶ γὰρ οἱ Ἰνδοὶ ἰῶντο τοὺς πληγέντας. καὶ ἐπὶ τῷδε Νέαρχος λέγει· συλλελεγμένους ἀμφ' αὐτὸν ἔχειν Ἀλέξανδρον Ἰνδῶν ὅσοι ἰητρικὴν σοφώτατοι· καὶ κεκηρῦχθαι ἀνὰ τὸ στρατόπεδον, ὅστις δηχθείη, ἐπὶ τὴν σκηνὴν φοιτᾶν τὴν βασιλέως. οἱ δὲ αὐτοὶ οὗτοι καὶ τῶν ἄλλων νούσων τε καὶ παθέων ἰητροὶ ἦσαν. οὐ πολλὰ δὲ ἐν Ἰνδοῖσι πάθεα γίνεται, ὅτι αἱ ὧραι σύμμετροι εἰσὶν αὐτόθι. εἰ δέ τι μεῖζον καταλαμβάνοι, τοῖσι σοφιστῇσιν ἀνεκοινοῦντο· καὶ ἐκεῖνοι οὐκ ἄνευ θεοῦ ἐδόκεον ἰῆσθαι ὅ,τι περ ἰήσιμον. ἐσθῆτι δὲ Ἰνδοὶ λινέῃ χρέονται, κατάπερ λέγει Νέαρχος, λίνου τοῦ ἀπὸ τῶν δενδρέων, ὑπὲρ ὅτου μοι ἤδη λέλεκται. τὸ δὲ λίνον τοῦτο ἢ λαμπρότερον τὴν χροιήν ἐστιν ἄλλου λίνου παντός· ἢ μέλανες αὐτοὶ ἐόντες λαμπρότερον τὸ λίνον φαίνεσθαι ποιέουσιν. ἔστι δὲ κιθὼν λίνεος αὐτοῖς ἔστε ἐπὶ μέσην τὴν κνήμην· εἵματα δὲ, τὸ μὲν περὶ τοῖσιν ὤμοισι περιβεβλημένον· τὸ δὲ, περὶ τῇσι κεφαλῇσιν εἱλιγμένον. καὶ ἐνώτια Ἰνδοὶ φορέουσιν ἐλέφαντος, ὅσοι κάρτα εὐδαίμονες· οὐ γὰρ πάντες Ἰνδοὶ φορέουσι. τοὺς δὲ πώγωνας λέγει Νέαρχος ὅτι βάπτονται Ἰνδοὶ, χροιὴν δὲ ἄλλην καὶ ἄλλην· οἱ μὲν, ὡς λευκοὺς φαίνεσθαι, οἵους λευκοτάτους· οἱ δὲ, κυανέους· τοὺς δὲ, φοινικέους εἶναι· τοὺς δὲ, καὶ πορφυρέους ἄλλους, πρασοειδέας. καὶ σκιάδια ὅτι προβάλλονται τοῦ θέρεος ὅσοι οὐκ ἠμελημένοι Ἰνδῶν. ὑποδήματα δὲ λευκοῦ δέρματος φορέουσι, περιττῶς καὶ ταῦτα ἠσκημένα· καὶ τὰ ἴχνη τῶν ὑποδημάτων αὐτοῖσι ποικίλα καὶ ὑψηλά, τοῦ μέζονας φαίνεσθαι.

A ſtrangulare. cæterùm eas quas nos videmus & tigres vocamus, thoes eſſe maculoſas, maiores quàm ſint aliæ thoes. De formicis etiā ſcribit Nearchus, ſe quidē eas non vidiſſe, cuiuſmodi nonnulli tradunt in India naſci. pelles tamen earū non paucas ſibi ſe viſas, in caſtra Macedonum allatas. Megaſthenes certā veráq; eſſe quæ de formicis ſcribūtur dicit. Eas nimirū eſſe quę aurum è terra effodiunt, non quidē auri ipſius cauſa, ſed vt ſibi antra in quibus deliteſcant parent: quemadmodū noſtræ etiā formicę exiguæ quū ſint, nōnihil B terræ eruunt. Eſſe autē formicas illas vulpibus maiores, ratione magnitudinis earū, terrámque fodere, quæ aurum mixtum habeat, & ex ea Indis aurum fieri. ſed Megaſthenes auditum narrat. Ego verò quum nihil habeā certius quod ea de re ſcribere poſſim, libenter hunc de formicis ſermonē miſſum faciā. Pſittacos autem Nearchus narrat, tanquam rem miram, apud Indos naſci: & cuiuſmodi auis ſit pſittacus deſcribit, ac vocem humanam exprimere ait. Ego, quoniam multas eC ius generis aues vidi, nōnullas etiam volantes, nouí auem, nihilque de ea tanquam mirum narrabo; neque de ſimiarum magnitudine, vel quòd pulchræ apud Indos ſimiæ ſint, vel quomodo capiantur, dicam. Nota enim omnibus dixerim: præterquam fortaſſe quòd pulchræ ſint. Scribit etiā Nearchus ſerpentes ibidem capi maculoſos, magnæq; velocitatis: & eum quem Python Antigenis F. cepit, fuiſſe cubitorū circiter XVI. Indos verò affirmare, multo maiores his apud ſe naſci eos qui maximi ſint. Neminē autē GręD corum medicorū remediū aduerſus morſum Indici ſerpentis inueniſſe: ipſos tamē Indos eos qui morſi eſſent curaſſe. Addit Nearch* Alexandrū Indos quotquot medicinæ peritiſſimi erāt apud ſe habuiſſe; & per præconē in caſtris edictū fuiſſe, vt quiſquis à ſerpente ictus eſſet, ad regis tabernaculū veniret. Porro hi ipſi medici etiā aliis morbis medebantur. Cæterùm non multos in India morbos graſſari, quòd tempora anni tēperatiora iis locis ſint. Siqua verò maior vis ingrueret, ſophiE ſtas cōſulere, eóſq; nō ſine diuina quadā virtute, quicquid medicabile eſt curare. Linea veſte vtūtur Indi, vt ait Nearchus, lino ex arboribus facto. qua de re mihi iam dictū eſt: & hoc quidē linum aut reliquis omnibus linis candidius eſt, aut nigri ipſi quum ſint, faciunt vt candidius id quàm eſt eſſe videatur. Eſt autem ipſis ſubucula linea crure medio tenus: amiculū autem partim humeris, partim capiti circūmiectum. Inaures etiā Indi geſtant ex ebore, qui admodum locupletes F ſunt: neque enim vulgus iis vtitur. Barbas quoque variis coloribus fucare Indos Nearchus ſcribit: vt aliis quammaximè alba appareat, aliis fuſca, aliis rubea, aliis purpurea, aliis viridis. Vmbracula quoque præ ſe geſtare æſtate, eos qui alicui* nominis ſint. calceos ex corio albo geſtant, eóſque accuratè atque eleganter confectos, ita vt altiores variiſque coloribus diſtinctas ſoleas habeant, quo proceriores eſſe videantur. Armaturæ

Vel, Atque ideo Al. Indos &c. apud ſe habuiſſe ſcribit. vt [illegible] iungatur cum συλλελεγμένους.

In vet. λαμπρότερον.

autē Indicæ nō vnus atque idem eſt modus. Pedites enim Indi arcum habent, eiuſdem, cū eo qui eum geſtat altitudinis; atque hūc quidem ad terram obfirmantes, ſiniſtróque pede vt eum tendant cōtranitentes, ita neruum longè retro adducunt. Sagittis enim vtuntur, trium paulo minus cubitorum: nihílque eſt quod non Indici ſagittarij telum penetret: non ſcutum, non thorax, aut aliud armaturæ genus quantumuis validum. In ſiniſtra peltas ex crudo corio bubulo, anguſtiores quàm ij qui eas geſtant, longitudine, propemodum æquales. Hi iaculis loco ſagittarum vtuntur: enſem omnes geſtant, bona amplitudine: trium cubitorum, non vltra, lōgitudine. Hūc, quum cominus pugna miſcetur, (quam quidem non facilè Indi inter ſe ineunt) vtraque manu ſtringunt, quo maiorem plagam inferant. Equites duobus iaculis vtuntur, quæ Dauniis ſunt ſimilia: pelta minore quàm pedites. Equi neque ſellis inſternuntur, neque frenis quæ Græcanicis aut Celticis ſimilia ſint cohibentur: ſed extremam faucium partem loro, quod ex crudo corio bubulo conſutum ſit, circumuinciunt: ad huius lori interiorē partem clauiculos æneos aut ferreos non admodū acutos affigunt: locupletiores, eburneis vtuntur. In ipſis equorum faucibus ferrum eſt, inſtar veruti, cui habenæ alligantur. Quando igitur adducunt habenas, verutum equum cohibet, clauiculíque illi appenſi, pungentes, habenis morem gerere cogunt. Porro Indi corporibus ſunt graciles, proceri, multóque cæteris mortalibus leuiores atque expeditiores. Vehuntur plerique camelis, equis, & aſinis: ditiores, elephantis. Regium enim apud Indos eſt elephanto vehi: proximus huic honor, quaternis equis. tertius, camelis vehi. vno equo vehi, vile eſt. Mulieres apud eos caſtæ admodum ſunt, neque vlla mercede, quàm elephanti, corrumpi ſe patiuntur. Elephantum danti copiam ſui faciunt. neque hoc turpitudini vertitur, ſi elephanti mercede adducta mulier conſuetudinem cum quoquam habeat: quin potius honorificum ſibi ducunt, formæ ſuæ pulchritudinem elephanto dignam haberi. Nubunt nihil vel dantes vel accipientes: ſed quotquot iam maturæ viro fuerint, adducuntur à parentibus in publicum, vt is qui lucta vicerit, aut pugillatu, vel alia quapiam virtute reliquis antecelluerit, eam ſibi quā volet deligat. Plerique verò Indi arationem exercēt, & frumento veſcuntur, exceptis montanis qui ferinas carnes edunt. Atque hæc quidem mihi de Indis expoſuiſſe ſufficiat, quæ tanquam præcipua Nearchus & Megaſthenes viri graues de iis cōſcripſerunt. Quum enim mihi hoc opere propoſitum non fuerit Indorum mores atque inſtituta deſcribere, ſed quo pacto Alexander ex Indis in Perſas exercitum reduxerit, finē digreſſionis faciam.

ALEXANDER enim parata iam ad Hydaſpis ripas claſſe, collectis omnibus Phœnicibus & Cypriis aut AEgyptiis qui priorem expeditionē ſecuti fuerāt, ex iis naues impleuit: delectis miniſtris ac remigib⁹,

A ὁπλισμὸς δὲ τῆς Ἰνδῶν, οὐχ ὡυτὸς εἰς τρόπος· ἀλλ' οἱ μὲν πεζοὶ αὐτοῖσι τόξον τε ἔχουσιν ἰσόμηκες τῷ φορέοντι τὸ τόξον· καὶ τοῦτο κάτω ἐπὶ τὴν γῆν θέντες, καὶ τῷ ποδὶ τῷ ἀριστερῷ ἀντιβάντες, οὕτως ἐκτοξεύουσι, τὴν νευρὴν ἐπὶ μέγα ὀπίσω ἀπαγαγόντες. ὁ γὰρ ὀϊστὸς αὐτοῖσιν ὀλίγον ἀποδέων τριπήχεος· οὐδέ τι ἀντέχει τοξευθὲν πρὸς Ἰνδοῦ ἀνδρὸς τοξικοῦ, οὔτε ἀσπὶς, οὔτε θώρηξ, οὔτε εἴ τι καρτερὸν ἐγένετο. ἐν δὲ τῇσιν ἀριστερῇσι πέλται εἰσὶν αὐτοῖσιν ὠμοβόϊναι, στεινότεραι μὲν ἢ κατὰ τοὺς φορέοντας, μήκει δὲ οὐ πολλὸν B ἀποδέουσαι. τοῖσι δὲ ἄκοντες ἀντὶ τόξων εἰσί. μάχαιραν δὲ πάντες φορέουσι, πλατείην δὲ, καὶ τὸ μῆκος οὐ μέζω τριπήχεος· καὶ ταύτην, ἐπεὰν συστάδην καταστῇ αὐτοῖσιν ἡ μάχη (τὸ δὲ οὐκ εὐμαρέως Ἰνδοῖσιν ἐς ἀλλήλους γίγνεται) ἀμφοῖν τῇν χεροῖν καταφέρουσιν ἐς τὴν πληγὴν, τοῦ καρτερὴν τὴν πληγὴν γενέσθαι. οἱ δὲ ἱππέες ἀκόντια δύο αὐτοῖσιν ἔχουσιν, οἷα τὰ Δαύνια ἀκόντια· καὶ πέλτην τὴν μικροτέρην τῶν πεζῶν. οἱ δὲ ἵπποι αὐτοῖσιν οὐ σεσαγμένοι εἰσὶν, οὐδὲ χαλινοῦνται τοῖσιν Ἑλληνικοῖσι χαλινοῖσιν ἢ τοῖσι C Κελτικοῖσιν ἐμφερέως· ἀλλὰ περὶ ἄκρῳ τῷ στόματι τοῦ ἵππου ἐν κύκλῳ ἔχουσι δέρμα ὠμοβόϊνον, ῥαπτὸν, περιηρτημένον· καὶ ἐν τούτῳ χάλκεα κέντρα ἢ σιδήρεα, οὐ κάρτα ὀξέα, ἔσω ἐστραμμένα. τοῖσι δὲ πλουσίοισιν ἐλεφάντινα κέντρα ἐστίν. ἐν δὲ τῷ στόματι σίδηρον αὐτοῖσιν οἱ ἵπποι ἔχουσιν, οἷόν περ ὀβελὸν, ἔνθεν ἐξηρτημένοι εἰσὶν αὐτοῖσιν οἱ ῥυτῆρες. ἐπεὰν ὦν ἐπαγάγωσι τὸν ῥυτῆρα, ὅ, τε ὀβελὸς κρατέει τὸν ἵππον, καὶ τὰ κέντρα, οἷα δὴ ἐξ αὐτοῦ ἠρτημένα, κεντέοντα, οὐκ ἐᾷ ἄλλό τι ἢ πείθεσθαι τῷ ῥυτῆρι. τὰ δὲ σώ- D ματα ἰσχνοί τε εἰσὶν Ἰνδοὶ καὶ εὐμήκεες, καὶ κοῦφοι πολλόν τι ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους. ὀχήματα δὲ τοῖς μὲν πολλοῖς Ἰνδῶν, κάμηλοι εἰσὶν, καὶ ἵπποι καὶ ὄνοι· τοῖς δὲ εὐδαίμοσιν, ἐλέφαντες. βασιλικὸν γὰρ ὄχημα ὁ ἐλέφας παρ' Ἰνδοῖς ἐστι. δεύτερον δὲ τιμῇ ἐπὶ τούτῳ, τὰ τέθριππα· τρίτον δὲ, αἱ κάμηλοι. τὸ δὲ ἐφ' ἑνὸς ἵππου ὀχέεσθαι, ἄτιμον. αἱ γυναῖκες δὲ αὐτοῖσιν, ὅσαι κάρτα σώφρονες, ἐπὶ μὲν ἄλλῳ μισθῷ οὐκ ἄν τι διαμάρτοιεν· ἐλέφαντα δὲ λαβοῦσα γυνὴ μίσγεται τῷ δόντι. οὐδὲ αἰσχρὸν Ἰνδοὶ ἄγουσι, τὸ ἐπὶ ἐλέφαντι E μιγῆναι· ἀλλὰ καὶ σεμνὸν δοκέει τῇσι γυναιξὶν, ἀξίην τὸ κάλλος φανῆναι ἐλέφαντος. γαμέουσι δὲ οὔτε τι διδόντες, οὔτε λαμβάνοντες· ἀλλὰ ὅσαι ἤδη ὡραῖαι γάμου, ταύτας οἱ πατέρες προάγοντες ἐς τὸ ἐμφανὲς καθιστῶσιν, ἐκλέξασθαι τῷ νικήσαντι πάλην, ἢ πὺξ, ἢ δρόμον, ἢ κατ' ἄλλην τινὰ ἀνδρείαν προκριθέντι. σιτοφάγοι δὲ καὶ ἀροτῆρες Ἰνδοί εἰσιν, ὅσοι γε μὴ ὄρειοι αὐτῶν· οὗτοι δὲ τὰ θήρεια κρέα σιτέονται. ταῦτά μοι ἀπόχρη δεδηλῶσθαι ὑπὲρ Ἰνδῶν, ὅσα γνωριμώτατα Νέαρχός τε καὶ Μεγασθένης δοκίμω ἄνδρε ἀναγεγρά- F φάτην. ἐπεὶ δὲ οὐδὲ ἡ ὑπόθεσίς μοι τῆσδε τῆς συγγραφῆς τὰ Ἰνδῶν νόμιμα ἀναγράψαι ἦν, ἀλλ' ὅπως γὰρ παρεκομίσθη Ἀλεξάνδρῳ ἐς Πέρσας ἐξ Ἰνδῶν ὁ στόλος, ταῦτα δή μοι ἐκβολὴ ἔστω τοῦ λόγου.

Ἀλέξανδρος γὰρ, ἐπειδή οἱ παρεσκεύαστο τὸ ναυτικὸν ἐπὶ τοῦ Ὑδάσπεω τῇσιν ὄχθῃσιν, ἐπιλεγόμενος ὅσοι τε Φοίνικες, καὶ ὅσοι Κύπριοι ἢ Αἰγύπτιοι εἵποντο ἐν τῇ ἄνω στρατηλασίῃ, ἐκ τούτων ἐπλήρου τὰς νέας, ὑπηρεσίας τε αὐτῇσι καὶ ἐρέτας ἐπιλεγόμενος,

ὅσοι τῶν θαλασσίων ἔργων δαήμονες. ἦσαν δὲ καὶ νησιῶται ἄνδρες οὐκ ὀλίγοι ἐν τῇ στρατιῇ, οἷς ταῦτα ἔμελε, καὶ Ἴωνες, καὶ Ἑλλησπόντιοι. τριήραρχοι δὲ αὐτῶν ἐπεστάθησαν ἐκ Μακεδόνων μὲν, Ἡφαιστίων τε Ἀμύντορος, καὶ Λεοννάτος ὁ Εὔνου, καὶ Λυσίμαχος ὁ Ἀγαθοκλέους, καὶ Ἀσκληπιόδωρος ὁ Τιμάνδρου, καὶ Ἄρχων ὁ Κλεινίου, καὶ Δημόνικος ὁ Ἀθηναίου, καὶ Ἀρχίας ὁ Ἀναξιδότου, καὶ Ὀφέλλας Σειλήνου, καὶ Τιμάνθης Παντιάδου· οὗτοι μὲν Πελλαῖοι. ἐκ δὲ Ἀμφιπόλεως ἦγον οἵδε· ἐκ Κρήτης Νέαρχος Ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τὸν παράπλουν ἀνέγραψε· καὶ Λαμπέδων ὁ Λαρίχου, καὶ Ἀνδροσθένης Καλλιστράτου. ἐκ δὲ Ὀρεστίδος, Κρατερός τε ὁ Ἀλεξάνδρου, καὶ Περδίκκας ὁ Ὀρόντεω. Ἐορδαῖοί τε, Πτολεμαῖός τε ὁ Λάγου, καὶ Ἀριστόνους ὁ Νησαίου. ἐκ Πύδνης τε, Μήτρων τε ὁ Ἐπιχάρμου, καὶ Νικαρχίδης ὁ Σίμου. ἐπὶ δὲ Ἄτταλός τε ὁ Ἀνδρομένεω Στυμφαῖος καὶ Πευκέστας Ἀλεξάνδρου Μιόζεος, καὶ Πείθων Κρατεᾶ, Ἀλκεμένεος καὶ Λεοννάτος Ἀντιπάτρου, Αἰγαῖος καὶ Πάνταυχος Νικολάου, Ἀλαρίτης καὶ Μυλλέας Ζωίλου Βερροιέως. οὗτοι μὲν οἱ ξύμπαντες Μακεδόνες. Ἑλλήνων δὲ, Μήδιος μὲν Ὀξυθέμιδος Λαρισσαῖος, Εὐμένης δὲ Ἱερωνύμου, ἐκ Καρδίης. Κριτόβουλος δὲ Πλάτωνος Κῷος, καὶ Θόας Μηνοδώρου, καὶ Μαίανδρος Μανδρογένεος, Μάγνητες. Ἄνδρων δὲ Καβήλεω, Τήιος. Κυπρίων δὲ, Νικοκλέης Πασικράτεος Σόλιος, καὶ Νιθάδων Πνυταγόρεω, Σαλαμίνιος. ἦν δὲ δὴ καὶ Πέρσης αὐτῷ τριήραρχος, Μαγώας ὁ Φαρνούχεως. τῆς δὲ αὐτοῦ Ἀλεξάνδρου νεὼς κυβερνήτης ἦν Ὀνησίκριτος Ἀστυπαλαιεύς. γραμματεὺς δὲ τοῦ στόλου παντὸς, Εὐαγόρας Εὐκλέωνος, Κορίνθιος. ναύαρχος δὲ αὐτοῖσιν ἐπεστάθη, Νέαρχος Ἀνδροτίμου. τὸ γένος μὲν Κρὴς ὁ Νέαρχος· ᾤκει δὲ ἐν Ἀμφιπόλει τῇ ἐπὶ Στρυμόνι. Ὡς δὲ ταῦτα ἐκεκόσμητο Ἀλεξάνδρῳ, ἔθυε τοῖς θεοῖσιν ὅσοι τε πάτριοι ἢ μαντευτοὶ αὐτῷ, καὶ Ποσειδῶνι, καὶ Ἀμφιτρίτῃ, καὶ Νηρηίσι, καὶ αὐτῷ τῷ Ὠκεανῷ· καὶ τῷ Ὑδάσπῃ ποταμῷ ἀπὸ ὅτου ὡρμᾶτο· καὶ τῷ Ἀκεσίνῃ, ἐς ὅντινα ἐκδιδοῖ ὁ Ὑδάσπης· καὶ τῷ Ἰνδῷ, ἐς ὅντινα ἄμφω ἐκδιδοῦσιν. ἀγῶνές τε αὐτῷ μουσικοὶ καὶ γυμνικοὶ ἐποιοῦντο. καὶ ἱερεῖα τῇ στρατιῇ πάσῃ κατὰ τέλεα ἐδίδοτο. ὡς δὲ πάντα ἐξήρτυτο αὐτῷ ἐς ἀναγωγὴν, Κρατερὸν μὲν τὰ ἐπὶ θάτερα τοῦ Ὑδάσπεω ἰέναι σὺν τῇ στρατιῇ ἐκέλευσε πεζικῇ τε καὶ ἱππικῇ. ἐς τὸ ἐπὶ θάτερα δὲ Ἡφαιστίων αὐτῷ παρεπορεύετο, σὺν ἄλλῃ στρατιῇ πλείονι ἔτι τῆς τῷ Κρατερῷ συντεταγμένης· καὶ τοὺς ἐλέφαντας Ἡφαιστίων αὐτῷ ἦγε, ὄντας ἐς διηκοσίους. αὐτὸς δὲ τοὺς ὑπασπιστὰς καλεομένους ἅμα οἱ ἦγε, καὶ τοὺς τοξότας πάντας· καὶ τῶν ἱππέων τοὺς ἑταίρους καλεομένους τοὺς πάντας ἐς ὀκτακισχιλίους. τοῖσι μὲν δὴ ἀμφὶ Κρατερὸν καὶ Ἡφαιστίωνα ἐτέτακτο ἵνα προπορευθέντες ὑπομένοιεν τὸν στόλον. Φίλιππον δὲ, ὃς αὐτῷ σατράπης τῆς χώρης ταύτης ἦν, ἐπὶ τοῦ Ἀκεσίνου ποταμοῦ τὰς ὄχθας πέμπει, ἅμα στρατιῇ πολλῇ καὶ τοῦτον. ἤδη γὰρ καὶ δώδεκα μυριάδες αὐτῷ μάχιμοι εἵποντο, σὺν οἷς ἀπὸ θαλάσσης τε αὐτὸς ἀνήγαγε. καὶ αὖθις οἱ ἐπὶ συλλογὴν αὐτῷ στρατιᾶς πεμφθέντες ἧκον, ἔχοντες παντοῖα ἔθνεα βαρβαρικὰ ἅμα οἱ ἄγοντες καὶ πάσῃ ἰδέῃ ὡπλισμένα. αὐτὸς δὲ ἄρας ταῖς ναυσὶ, κατέπλει κατὰ τὸν Ὑδάσπεα ἔστε ἐπὶ τοῦ Ἀκεσίνου τε καὶ τοῦ Ὑδάσπεω τὰς συμβολάς. νῆες δὲ αἱ σύμπασαι αὐτῷ ὀκτακόσιαι ἦσαν, αἵ τε μακραὶ καὶ ὅσαι στρογγύλαι

A qui rerum naualium peritiſſimi eſſent. Erant enim etiam in exercitu inſulares non pauci Iones atque Helleſpontij, iis in rebus bene verſati. Triremium itaque ductores conſtituit: ex Macedonibus quidem Hephæſtionē Amyntoris filium, Leonnatum Euni, Lyſimachum Agathoclis, Aſclepiodorū Timandri, Archōtem Cliniæ, Demonicū Athenęi, Archiam Anaxidoti, Ophellam Sileni, Timanthem Pantiadis. hi Pellæi erant. Ex Amphipoli hi duces fuerūt: Ex Creta, Nearchus Androtimi filius, qui Paraplum cōſcripſit: B Lampedon Larichi F. Androſthenes Calliſtrati. Ex Oreſtide, Craterus Alexādri filius. Perdiccas Orontis. Heordęi, Ptolemæus Lagi F. Ariſtonus Niſæi. Ex Pydna, Metron Epicharmi F. & Nicarchides Simi. Præterea Attalus Andromenis F. Stymphæus & Peuceſtas Alexandri Miozis, Python Crateæ, Alcomeneus & Leonnatus Antipatri: AEgæus & Pantauchus Nicolai: Alarites & Mylleas Zoili Berœēſis: hi omnes Macedones. Ex Gręcis verò Medius Oxynthemidis, C Dariſæus: Eumenes Hieronymi Cardi': Critobulus Platonis Cous: Thoas Menodori F. Mæāder Mādrogenis, Magneſij: Andron Cabelei, Teius: ex Cypriis, Nicocles Paſicratis F. Solius & Nithadon Pnytagoræ, Salaminius. Erat autē etiā Perſa quidā triremi pręfectus Magoas Pharnuchis F. Ipſius verò Alexandri triremis gubernator erat Oneſicritus Aſtypalæus. Scriba totius claſſis Euagoras Eucleonis F. Corinthius. Nauarchum eis conſtituit Nearchum Androtimi F. Erat D hic Nearchus Cres genere: habitabat autē Amphipoli quæ ad Strymonem fluuium ſita eſt. His rebus ita cōſtitutis, Alexander diis patriis, & quibus vates monebāt, ſacrū fecit: Neptuno etiam, & Amphitritę ac Nereidibus, ipſiq; Oceano. Hydaſpi quoque, vnde ſoluebat: Aceſini præterea ꝙ in eū Hydaſpes influat: Indo, in quē vterque fertur. Certamina quoque muſica & gymnica propoſuit, victimis per ſingula agmina & turmas diſtributis. Omnibus itaque rebus ad nauigandū paratis, Craterū ad alterā Hydaſpis ripā cū E exercitu equeſtri ac pedeſtri iter facere iubet. Ab altera verò parte Hephęſtion cū maiore adhuc quàm Craterus exercitu proceſſerat. Elephātos etiā ducebat Hephæſtion numero CC. Ipſe argyraſpidas ſecūm ducebat, & ſagittarios omnes, & equitatū ſociorum VIII milliū. Atqui Cratero & Hephęſtioni in mādatis dat vti præeant, claſſemq; præſtolentur. Philippū verò, quem in ea regione præſidē cōſtituerat, ad Aceſinis fluuij ripas mittit, magnas etiam hunc copias du- F centem. Iam enim CXX M militū eū ſequebātur, cum iis quos ex maritimis oris adduxerat. Acceſſerant etiā ij quos paſſim ad cōſcribendum exercitū miſerat, & barbaras omnis generis nationes variis armis inſtructas adducebant. Ipſe inde oram ſoluens per Hydaſpem ad Aceſinis & Hydaſpis confluentem nauigauit, naues in vniuerſum habens DCCC, partim oblongas atque onerarias, partim vehendis equis & fru-

mento aptas. Quonam verò pacto claſſis per hæc flumina nauigarit: & quot in ea nauigatione gentes ſubiugárit, quódque periculum in Mallis incurrerit, & quomodo ibidem vulnus acceperit, quomodo etiam Peuceſtas & Leonnatus eum proſtratum ſcutis ſuis protexerint: omnia hæc à nobis in alia hiſtoria, quam Attica lingua conſcripſimus, commemorata ſunt. In hoc autem libro id tantùm narro: quomodo Nearchus ab Indi oſtiis ſoluens, per Oceanum in ſinum Perſicum nauigarit, quem quidem nonnulli mare rubrum appellant. Nearchus de hac re ita ſcribit: Alexandri deſiderium fuiſſe vniuerſum mare quod ab Indis in Perſicum vſque ſinum patet enauigare: Cæterùm illum nauigationis longinquitate deterritum fuiſſe, ſimúlque veritum ne in aliquam deſertam regionem aut portus difficiles frugibúſque carentes delatus, claſſem amitteret, ingénſque aliqua macula rebus præclarè abs ſe geſtis offuſa omnem felicitatis gloriam obliteraret: viciſſe tamen ingentem quandam ſibi innatam inuſitatę alicuius ac magnæ rei gerendæ cupiditatem. Dubitaſſe autem quē perficiendis cogitationibus ſuis parem deligeret: ſimúlque iis qui tam longinquam expeditionem adirent, metum adimeret, ſeſe neglectos in manifeſtum periculum mitti. Nearchus autor eſt Alexandrum ſecum cōmunicaſſe, quem potius claſſis ducem ac præfectum deſignaret: quúmque diuerſorum meminiſſet, alios periculi metu, alios præ mollitie animi, alios patriæ deſiderio occupatos recuſaſſe. atque Alexandrum eos aliis atque aliis verbis increpaſſe. Tum ſe operam ſuam pollicitum dixiſſe, » Ego, ô rex, » claſſis gubernationem ſuſcipiam, & (ſi deus » cœpta ſecundarit) claſſem ſimul & militem » in Perſidem ducam, ſi omnino eius regio» nis mare nauigabile fuerit, aut ſi id vlla ra» tione ab humano ingenio præſtari poſſit. Alexandrum verò verbo negaſſe velle ſe in tantos labores tantáque pericula aliquem amicorum ſuorum conicere: ſe verò nequaquam ideo languidiorem effectum eſſe, ſed obnixè oraſſe. ac tum demum Alexandrum Nearchi animum adeo promptum atque alacrem collaudaſſe, eúmque vniuerſæ claſſi præfeciſſe: & exercitum qui ad hāc nauigationē deſtinatus erat, & nautas quietiore animo fuiſſe, quòd perſuaſum haberent Alexandrum nulla ratione ad manifeſta pericula Nearchum miſſurum, niſi & ipſi quoque ſeruandi eſſent. Præterea ſumma apparatus magnificentia, & nauium ornatus, ſtudiáque præfectorum erga miniſtros & ſuppleméta, omnium animis qui antea metu debilitati fractíque erant, robur bonámque ſpem ad opus conficiendum addebant. Multum præterea de metu ipſorum adimebat, quòd Alexander ipſe per Indi oſtia in mare nauigaſſet: quòd Neptuno cæteriſque diis marinis hoſtias mactaſſet, eximiáque dona mari dediſſet. Perpetua quoque & inuſitata Alexandri felicitas fiduciam eorum augebat, quòd nihil eius auſpiciis ductúque infeliciter tentaretur. Quo igitur tempore

Al. [illegible]

A πλοῖα καὶ ἄλλα ἱππαγωγὰ, καὶ σιτία ἅμα τῇ στρατιῇ ἄγουσαι. ὅπως μὲν δὴ κατὰ τοὺς ποταμοὺς κατέπλευσεν αὐτῷ ὁ στόλος, καὶ ὅσα ἐν τῷ παράπλῳ ἔθνεα κατεστρέψατο· καὶ ὅπως διὰ κινδύνου αὐτὸς ἐν Μαλλοῖς ἦκε· καὶ τὸ τρῶμα ὃ ἐτρώθη ἐν Μαλλοῖς, καὶ Πευκέστας τε καὶ Λεοννάτος ὅπως ὑπερήσπισαν αὐτὸν πεσόντα· πάντα ταῦτα λέλεκταί μοι ἤδη ἐν τῇ ἄλλῃ τῇ Ἀττικῇ ξυγγραφῇ. ὁ δὲ λόγος ὅδε τοῦ παράπλου μοι ἀφήγησίς ἐστιν, ὃν Νέαρχος σὺν τῷ στόλῳ παρέπλευσεν, ἀπὸ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς, κατὰ τὴν θάλασσαν τὴν μεγάλην ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικὸν, B ἣν δὴ ἐρυθρὴν θάλασσαν μετεξέτεροι καλέουσι. Νεάρχῳ δὲ λέλεκται ὑπὲρ τούτων ὅδε ὁ λόγος. πόθον μὲν εἶναι Ἀλεξάνδρῳ ἐκπεριπλῶσαι τὴν θάλασσαν τὴν ἀπὸ Ἰνδῶν ἔστε ἐπὶ τὴν Περσικήν· ὀκνέειν δὲ αὐτὸν τοῦ τε πλόου τὸ μῆκος, καὶ μή τινι ἄρα χώρῃ ἐρήμῳ ἐγκύρσαντες, ἢ ὅρμων ἀπόρῳ, ἢ οὐ ξυμμέτρως ἐχούσῃ τῶν ὡραίων, οὕτω δὴ διαφθαρῇ αὐτῷ ὁ στόλος· καὶ οὐ φαύλη κηλὶς αὕτη τοῖς ἔργοισιν αὐτοῦ τοῖς μεγάλοισιν ἐπιγενομένη, τὴν πᾶσαν εὐτυχίην αὐτοῦ ἀφανίσῃ. ἀλλὰ ἐκνικῆσαι γὰρ αὐτῷ τὴν ἐπιθυμίην τοῦ καινόν τι αἰεὶ καὶ ἄτοπον ἐργάζεσθαι. ἀπόρως δὲ ἔχειν, ὅντινα οὐκ ἀδύνατόν C τε ἐς τὰ ἐπινοεύμενα ἐπιλέξαιτο· καὶ ἅμα τῶν ἐν νηῒ ἀνδρῶν, ὡς καὶ τὸν τοιοῦτον στόλον στελλομένων ἀφελεῖν τὸ δεῖμα, τοῦ δὴ ἠμελημένως αὐτοὺς ἐς προῦπτον κίνδυνον ἐκπέμπεσθαι. λέγει δὴ ὁ Νέαρχος, ἑωυτῷ ξυνουσιάσθαι τὸν Ἀλέξανδρον, ὅντινα προχειρίσηται ἐξηγέεσθαι τοῦ στόλου· ὡς δὲ ἄλλου καὶ ἄλλου ἐς μνήμην ἰόντα, τοὺς μὲν ὡς οὐκ ἐθέλοντας κινδυνεύειν ὑπὲρ οὗ ἀπολέγειν, τοὺς δὲ ὡς μαλακοὺς τὸν θυμὸν, τοὺς δὲ ὡς πόθῳ τῆς οἰκίης κατεχομένους· τοῖς δὲ ἄλλο καὶ ἄλλο ἐ- D πικαλέοντα. τότε δὴ αὐτὸν ὑποστάντα εἰπεῖν ὅτι, Ὦ βασιλεῦ, ἐγώ τοι ὑποδέκομαι ἐξηγήσασθαι τοῦ στόλου, καὶ (εἰ τὰ ἀπὸ τοῦ θεοῦ ξυνεπιλαμβάνοι) περιάξω τοι σώας τὰς νέας καὶ τοὺς ἀνθρώπους, ἔστε ἐπὶ τὴν Περσίδα γῆν, εἰ δὴ πλωτός τε ἐστὶν ὁ ταύτῃ πόντος, καὶ τὸ ἔργον οὐκ ἄπορον γνώμῃ ἀνθρωπίνῃ. Ἀλέξανδρον δὲ λόγῳ μὲν οὐ φάναι ἐθέλειν ἐς τοσήνδε ταλαιπωρίην καὶ τοσόνδε κίνδυνον τῶν τινα ἑαυτοῦ φίλων ἐμβάλλειν· αὐτὸν δὲ ταύτῃ δὴ καὶ μᾶλλον οὐκ ἀνιέναι, ἀλλὰ λιπαρέειν. οὕτω δὴ ἀγαπῆσαί τε Ἀλέξανδρον τοῦ E Νεάρχου τὴν προθυμίην, καὶ ἐπιστῆσαι αὐτὸν ἄρχειν τοῦ στόλου παντός. καὶ τότε δὴ ἔτι μᾶλλον τῆς στρατιῆς ὅ,τι περ ἐπὶ τῷ παράπλῳ τῷδε ἐτάσσετο, καὶ τὰς ὑπηρεσίας ἵλεω ἔχειν τὴν γνώμην, ὅτι δὴ Νέαρχόν γε οὔποτε ἂν Ἀλέξανδρος προήκατο ἐς κίνδυνον καταφανέα, εἰ μὴ καὶ σφι σωθήσεσθαι ἔμελλον· λαμπρότης τε πολλὴ τῇ παρασκευῇ ἐποῦσα, καὶ κόσμος τῶν νεῶν, καὶ σπουδαὶ τῶν τριηράρχων ἀμφὶ τὰς ὑπηρεσίας τε καὶ τὰ πληρώματα ἐκπρεπέες, καὶ τοὺς πάντῃ δὴ πάλαι κατοκνέοντας, ἐς ῥώμην ἅμα καὶ ἐλπί- F δας χρηστοτέρας ὑπὲρ τοῦ παντὸς ἔργου ἐπηρκότα ἦν. πολὺ δὲ δὴ συνεπιλαβέσθαι ἐς εὐθυμίην τῇ στρατιῇ, τὸ δὴ αὐτὸν Ἀλέξανδρον ὁρμηθέντα κατὰ τοῦ Ἰνδοῦ τὰ στόματα ἀμφότερα ἐκπλῶσαι ἐς τὸν πόντον, σφάγιά τε τῷ Ποσειδῶνι ἐντεμεῖν, καὶ ὅσοι ἄλλοι θεοὶ θαλάσσιοι, καὶ δῶρα μεγαλοπρεπέα τῇ θαλάσσῃ χαρίσασθαι. τῇ τε ἄλλῃ τῇ Ἀλεξάνδρου παραλόγῳ εὐτυχίῃ πεποιθότας, οὐδὲν ὅ,τι οὐ τολμητόν τι ἐκείνῳ καὶ ἐρκτὸν ἐξηγέεσθαι. ὡς δὲ

A τὰ ἐτήσια πνεύματα ἐκοιμήθη (ἃ δὴ τοῦ θέρεος τὴν ὥρην πᾶσαν κατέχει ἐκ τοῦ πελάγεος ἐπιπνέοντα ἐπὶ τὴν γῆν, καὶ ταύτῃ ἄπορον τὸν πλόον ποιέοντα) τότε δὴ ὡρμέατο, ἐπὶ ἄρχοντος Ἀθήνησι Κηφισοδώρου, εἰκάδι τοῦ Βοηδρομιῶνος μηνὸς, καθότι Ἀθηναῖοι ἄγουσιν· ὡς δὲ Μακεδόνες τε καὶ Ἀσιανοὶ ἦγον, τὸ ἑνδέκατον βασιλεύοντος Ἀλεξάνδρου. θύει δὲ καὶ Νέαρχος πρὸ τῆς ἀναγωγῆς Διῒ σωτῆρι, καὶ ἀγῶνα "ποιέει γυμνικόν. ἄραντες δὲ ἀπὸ τοῦ ναυστάθμου τῇ πρώτῃ ἡμέρᾳ κατὰ τὸν Ἰνδὸν ὁρμίζονται ποταμὸν πρὸς διώρυχι μεγάλῃ, καὶ μένουσιν αὐτοῦ δύο ἡμέρας· B Στοῦρα δὲ ὄνομα ἦν τοῦ χώρου· στάδιοι ἀπὸ τοῦ ναυστάθμου ἐς ἑκατόν. τῇ τρίτῃ δὲ ἄραντες, ἔπλεον ἔστε ἐπὶ διώρυχα ἄλλην, σταδίους τριάκοντα, ἁλμυρὴν ἤδη ταύτην τὴν διώρυχα· ἀνῄει γὰρ ἡ θάλασσα ἐς αὐτὴν, μάλιστα μὲν ἐν τῇσι πλημμυρῇσιν· ὑπέμενε δὲ καὶ ἐν τῇ ἀμπώτει τὸ ὕδωρ μεμιγμένον τοῦ ποταμοῦ· Καύμανα δὲ ὄνομα ἦν τοῦ χώρου. ἔνθεν δὲ εἴκοσι σταδίους καταπλώσαντες, ἐς Κορέατιν ὁρμίζονται, ἔτι κατὰ τὸν ποταμόν. ἔνθεν δὲ ὁρμηθέντες, ἔπλεον οὐκ ἐπὶ πολλόν· ἕρμα γὰρ ἐφάνη C αὐτοῖσι κατὰ τὴν ἐκβολὴν τὴν ταύτῃ τοῦ Ἰνδοῦ, καὶ τὰ κύματα ἐρρόχθει πρὸς τῇ ἠϊόνι, καὶ ἡ ἠϊὼν αὐτὴ τραχεῖα ἦν. ἀλλὰ ἵνα περ μαλθακὸν ἦν τοῦ ἕρματος, ταύτῃ διώρυχα ποιήσαντες ἐπὶ σταδίους πέντε, διῆγον τὰς νέας ἐπειδὴ ἡ πλημμύρα ἐπῆλθεν ἡ ἐκ τοῦ πόντου. ἐκπεριπλώσαντες δὲ σταδίους πεντήκοντα καὶ ἑκατὸν, ὁρμίζονται ἐς Κρώκαλα νῆσον ἀμμώδεα· καὶ μένουσιν αὐτοῦ τὴν ἄλλην ἡμέραν. προσοικέει δὲ ταύτῃ ἔθνος Ἰνδικὸν, οἱ Ἀράβιες καλεόμενοι, ὧν καὶ ἐν τῇ μέζονι ξυγγραφῇ μνήμην ἔσχον· καὶ ὅτι εἰσὶν ἐπώνυμοι ποταμοῦ Ἀράβιος, ὃς διὰ τῆς γῆς αὐτῶν ῥέων, ἐκδιδοῖ ἐς D θάλασσαν, ὁρίζων τούτων τε τὴν χώρην καὶ τῶν Ὠρειτέων. ἐκ δὲ Κροκάλων ἐν δεξιᾷ μὲν ἔχοντες ὄρος τὸ καλεόμενον αὐτοῖσιν Εἶρον, ἐν ἀριστερᾷ δὲ νῆσον ἀλιτενέα ἔπλεον· ἡ δὲ νῆσος παρατεταμένη τῇ ἠϊόνι, κόλπον στεινὸν ποιέει. διεκπλώσαντες δὲ ταύτην, ὁρμίζονται ἐν λιμένι εὐόρμῳ· ὅτι δὲ μέγας τε καὶ καλὸς ὁ λιμὴν, Νεάρχῳ ἔδοξεν ἐπονομάζειν αὐτὸν Ἀλεξάνδρου λιμένα. νῆσος δέ ἐστιν ἐπὶ τῷ στόματι τοῦ λιμένος ὅσον σταδίους δύο ἀπέχουσα, Βίβακτα ὄνομα τῇ νήσῳ· ὁ δὲ χῶρος ἅπας Σάγγαδα. ἡ δὲ νῆσος καὶ τὸν λιμένα, E προκειμένη πρὸ τοῦ πελάγεος, αὐτὴ ἐποίησεν. ἐνταῦθα πνεύματα μεγάλα ἐκ τοῦ πόντου ἔπνεε καὶ συνεχέα. καὶ Νέαρχος δείσας τῶν βαρβάρων μή τινες συνταχθέντες ἐφ' ἁρπαγὴν τοῦ στρατοπέδου τραπέατο, ἐκτειχίζει τὸν χῶρον λιθίνῳ τείχει. τέσσαρες δὲ καὶ εἴκοσιν ἡμέραι τῇ μονῇ ἐγένοντο. καὶ λέγει, ὅτι μύας τε ἐθήρευον τοὺς θαλασσίους οἱ στρατιῶται, καὶ ὄστρεα δὲ, τοὺς σωλῆνας καλεομένους, ἄτοπα τὸ μέγεθος, ὡς τοῖσιν ἐν τῇδε τῇ ἡμετέρῃ θαλάσσῃ συμβαλέειν· F καὶ ὕδωρ ὅτι ἁλμυρὸν ἐπίνετο. ἅμα τε ὁ ἄνεμος ἐπαύσατο, καὶ οἱ ἀνήγοντο· καὶ περαιωθέντες σταδίους ἐς ἑξήκοντα, ὁρμίζονται πρὸς αἰγιαλῷ ψαμμώδεϊ. νῆσος δὲ ἐπῆν τῷ αἰγιαλῷ ἐρήμη· ταύτην δὲ πρόβλημα ποιησάμενοι, ὡρμίσθησαν· Δόμαι ὄνομα τῇ νήσῳ. ὕδωρ δὲ οὐκ ἦν ἐν τῷ αἰγιαλῷ· ἀλλὰ προελθόντες ἐς τὴν μεσογαίην ὅσον εἴκοσι σταδίους, ἐπιτυγχάνουσιν ὕδατι καλῷ. τῇ δὲ ὑστεραίῃ ἐς νύκτα αὐτοῖς ὁ πλόος ἐγίνετο ἐς Σάραγγα σταδίους τριηκοσίους, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ

A eteſiæ ſiue anniuerſarij venti ſpirare deſierant (qui quidem per integram æſtatem ex mari in terram flantes nauigationem impediunt) oram ſoluerunt, archonte Athenis Cephiſodoro, XX die menſis Auguſti quēadmodum Athenienſes computant: vt verò Macedones & Aſiatici, vndecimo ex quo Alexander regnabat anno. Sacrificauit autē & Nearchus antequam nauigationem ſuſciperet Ioui ſeruatori, ludóſque gymnicos edidit. Primo itaque die quum è portu ſoluiſſent, per fluuium Indum ad amplum quē- B dam alueum appulerunt, cui Sturæ nomen eſt, diſtantem à portu ſtadiis circiter C. biduóque ibi commorati ſunt. Tertio die inde mouentes, ad alium alueum XXX ſtadiis inde remotum peruenerunt, cuius aqua ſalſedinem maris referebat. mare enim in eam accedente æſtu ſe ingerit, aquáque flumini permiſta etiam recedente æſtu manet. Caumana is locus dicitur. Inde XX ſtadia prouecti ad Coreatim ſecundo flumine perue- C nerunt. Hinc rurſum mouentes non procul nauigarunt: ſcopulum conſpicati ea parte qua Indus in mare fertur, & fluctus littori illidebantur, littúſque ipſum aſperum erat. Cæterùm qua ſcopulus mollior videbatur, foſſa quinque ſtadiorum perducta, naues traduxerunt æſtu marino accedente. Inde ſtadia CL emenſi in Crocala arenoſam inſulam peruenerunt, ibique alterum diem commorati ſunt. Vicina huic inſulæ loca incolunt Arabij Indica gens, quorum etiam in maiori opere mentionem feci: quódque id nominis à flumine Arabio acceperint, qui D per ipſorum regionem fluens in mare fertur, eorúmque fines ab Oritarum finibus diuidit. Ex Crocalis, ad dextram habentes montem Irum: ad ſiniſtram verò inſulam "vadoſam, vlterius nauigarunt. hæc inſula ad littus extenta, anguſtum ſinum efficit: hunc emenſi ad tranquillum portum delati ſunt. qui quòd amplus ſimul & pulcher eſſet, placuit Nearcho vt Alexandri portus appellaretur. Contra portus fauces inſula quædam adiacet, duo inde ſtadia diſtans, cui Biba- E cta nomen eſt: omnis verò adiacens regio Sangada dicitur. hæc inſula mari oppoſita ſuapte natura portum efficit. hîc ingentes continuíque venti ſpirabant. Nearchus veritus ne qua barbarorum manus collecta caſtra diriperet, lapideo muro locum cingit, & XXIIII dies ibi moratus eſt: dicítque milites per id tempus mures marinos cœpiſſe, & oſtrea, quæ Solenas vocant, inuſitatæ magnitudinis, ſi cum noſtri maris oſtreis conferantur. Aquam etiam ſalſam potaſſe nar- F rat. Sedato autem vento, vela fecerunt, ac ſtadia circiter LX progreſſi, in ſabuloſū littus appulerunt. Inſula adiacebat littori deſerta: hæc ſuo obiectu portum ipſis efficiebat: Doma nomen inſulæ erat. Quúmque in littore aquam non haberent: in planiora loca ad viginti circiter ſtadia progreſſi dulcem aquam repererunt. Poſtridie quum ad veſperum vſque nauigaſſent, in Saranga, CCC inde ſtadia, ad littus appule-

Vet. cod. poſt ποιέει habet, καὶ ἄθλα.

Fac. Haliteneſ.

runt. Ibi aqua octo fermè à littore ſtadia aberat. Illinc repetita nauigatione, ad Sacala locum deſertum appulſi ſunt. Inde tranſnauigatis duobus ſcopulis adeo inter ſe propinquis vt palmulæ remorum vtrinque cautes ſtringerent, emenſi ſtadia ccc in Morontobaris conſtiterunt. Ibi portus eſt ampliſſimus & rotundus, ac profundus, miniméque procelloſus. Cæterùm fauces eius anguſtæ. hunc patria lingua Portum fœminarum vocabant: quòd mulier quædam prima illi loco imperarit. Traiectis ſcopulis, in mare maiores vndas voluens peruenerunt. Cæterùm ſcopulos tranſiſſe res magna videbatur. ita in poſterum diem nauigarunt, inſulam quãdam à ſiniſtra pelago obiectam habentes, quæ quidem ita propinqua littori erat, vt exiguus alueus inter inſulam & littus medius eſſe videretur. lxx in vniuerſum ſtadiorũ ea nauigatio fuerat. Multæ erant denſæque in littore arbores, inſuláque ipſa variis ſyluis vmbroſa. Sub lucem per anguſta quædam loca ex ea inſula nauigarunt. neque enim adhuc æſtu marino vndæ excreuerãt: continuatáque nauigatione ad cxx ſtadia, apud fauces Arabij amnis conſtiterunt. & portum quidem ibi amplum & commodum nacti ſunt: aquam verò potui ineptã, quòd per Arabij oſtia mare ſe ingerat. Itaque lx ſtadia aduerſo amne profecti ad lacum deuenerunt: atque inde aſſumta aqua reuerſi ſunt. Inſula apud portum eſt eminens ac vaſta. circa hanc oſtreorum atque omnis generis piſcium piſcatus erat. Atque huc quidem vſque Arabiorum regio protẽditur: qui extremi Indorum has oras habitant: vlteriora Oritæ tenent. Ab oſtio itaque Arabij digreſſi, Oritarum regionem prætérnauigantes, ad Pagala cc ſtadiis emenſis appulerunt, & ad rupem (nam ancoras vadum admittebat) ſubſtiterunt. Nautæ itaque dum naues in ſalo ancoris nituntur, egreſſi, aquã attulerunt. Poſtridie inde digreſſi, & ccc ſtadiis emenſis ſub veſperum in Cabana perueniunt, claſſémque ad littus deſertum locant, & quia littus ſcopuloſum erat, in ſalo ancoras iaciunt. Poſt hanc nauigationem quum ingens ventorum vis claſſi incumberet, duæ naues oblongæ & actuaria vna perierunt: viri natatu euaſerunt. neque enim procul à terra aberãt. Inde ſub mediam noctem digreſſi ad Cocala, cc ſtadiis confectis, ſub littus conſtiterunt. ac naues quidẽ in ſalo ancoris nitebantur. Nearchus milite in terram expoſito ibi caſtra poſuit. Siquidem multo nauigationis labore defatigati, quietem petebant. Caſtra vallo aduerſus barbarorum incurſum munit. Hoc in loco Leonnatus, cui Oritarum res Alexander commiſerat, magno prælio Oritas vicit, & quotquot ſeſe Oritis coniunxerant: cæſis vi m, ducibúſque eorum omnibus: à Leonnati partibus, equitibus xv: peditibus non multis, & Apollophane Gadroſiorum ſatrapa, deſideratis. Sed hæc in alia hiſtoria à nobis conſcripta ſunt: eáque de cauſa Leonna-

A καὶ ὕδωρ ἦν ἀπὸ τοῦ αἰγιαλοῦ ὅσον ἐς ὀκτὼ σταδίους. ἔνθεν δὲ πλώσαντες, ὁρμίζονται ἐν Σακάλοισι, τόπῳ ἐρήμῳ. καὶ δὴ ἐκπλώσαντες σκοπέλους δύο, οὕτω τι ἀλλήλοις πελάζοντας ὥστε τοὺς ταρσοὺς τῶν νεῶν ἅπτεσθαι ἔνθεν καὶ ἔνθεν τῶν πετρέων, καθορμίζονται ἐν Μοροντοβάροις, σταδίους διελθόντες ἐς τριηκοσίους. ὁ δὲ λιμὴν μέγας καὶ εὔκυκλος, καὶ βαθὺς, καὶ ἄκλυστος· ὁ δὲ ἔσπλους ἐς αὐτὸν, στενός. τοῦτον τῇ γλώσσῃ τῇ ἐπιχωρίῃ Γυναικῶν λιμένα ἐκάλεον, ὅτι γυνὴ τοῦ χώρου τούτου πρώτη ἐπῆρξεν. ὡς δὲ διὰ τῶν σκοπέλων B διεξέπλεον, κύμασί τε μεγάλοισιν ἐνέκυρσαν, καὶ τῇ θαλάσσῃ ῥοώδει. ἀλλὰ ἐκπεριπλῶσαι γὰρ ὑπὲρ τοὺς σκοπέλους, μέγα ἔργον ἐφαίνετο. ἐς δὲ τὴν ὑστεραίην ἔπλεον, νῆσον ἐς ἀριστερὰ ἔχοντες πρὸ τοῦ πελάγεος, οὕτω τι τῷ αἰγιαλῷ συναφέα, ὥστε εἰκάσαι ἂν διώρυχα εἶναι τὸ μέσον τοῦ τε αἰγιαλοῦ καὶ τῆς νήσου. στάδιοι οἱ πάντες ἑβδομήκοντα τοῦ διέκπλου· καὶ ἐπὶ τοῦ αἰγιαλοῦ δένδρεα ἦν πολλὰ καὶ δασέα, καὶ ἡ νῆσος ὕλῃ παντοίῃ σύσκιος. ὑπὸ δὲ τὴν ἕω ἔπλεον ἔξω τῆς νήσου, κατὰ ῥηχίην στεινήν. ἔτι γὰρ ἀνάπωτις κατεῖ- C χε. πλώσαντες δὲ ἐς ἑκατὸν καὶ εἴκοσι σταδίους, ὁρμίζονται ἐν τῷ στόματι τοῦ Ἀράβιος ποταμοῦ. καὶ λιμὴν μέγας καὶ καλὸς πρὸς τῷ στόματι· ὕδωρ δὲ οὐκ ἦν πότιμον. τοῦ γὰρ Ἀράβιος αἱ ἐκβολαὶ ἀναμεμιγμέναι τῷ πόντῳ ἦσαν. ἀλλὰ τεσσαράκοντα σταδίους ἐς τὸ ἄνω προχωρήσαντες, λάκκῳ ἐπιτυγχάνουσι· καὶ ἔνθεν ὑδρευσάμενοι, ὀπίσω ἀπενόστησαν. νῆσος δὲ ἐπὶ τῷ λιμένι ὑψηλὴ καὶ ἐρῆμος· καὶ περὶ ταύτην ὀστρέων τε καὶ ἰχθύων παντοδαπῶν θήρη. μέχρι μὲν τοῦδε Ἀράβιες, ἔσχατοι Ἰνδῶν, ταύτῃ ᾠκισμένοι· D τὰ δὲ ἀπὸ τοῦδε Ὠρεῖται ἐπεῖχον. ὁρμηθέντες δὲ ἐκ τῶν ἐκβολῶν τοῦ Ἀράβιος, παρέπλεον τὴν Ὠρειτέων τὴν χώρην· καὶ ὁρμίζονται ἐν Παγάλοισι, πλώσαντες σταδίους ἐς διηκοσίους, πρὸς ῥηχίῃ· ἀλλὰ ἀγκύρῃσι γὰρ ἐπίβολος ἦν ὁ χῶρος. τὰ μὲν οὖν πληρώματα ἀποσάλευον ἐν τῇσι νηυσίν· οἱ δὲ ἐφ' ὕδωρ ἐκβάντες, ὑδρεύοντο. τῇ δὲ ὑστεραίῃ ἀναχθέντες ἅμα ἡμέρῃ, καὶ πλώσαντες σταδίους ἐς τριηκοσίους, κατάγονται ἑσπέριοι ἐς Κάβανα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ. καὶ ἐνταῦθα ῥηχίη τρηχέη ἦν· καὶ ἐπὶ τῷδε E μετεώρους τὰς νέας ὡρμίσαντο. κατὰ τοῦτον τὸν πλόον πνεῦμα ὑπολαμβάνει τὰς νέας μέγα ἐκ πόντου. καὶ νέες δύο μακραὶ διαφθείρονται ἐν τῷ πλόῳ, καὶ κέρκουρος. οἱ δὲ ἄνθρωποι σώζονται ἀπονηξάμενοι, ὅτι οὐ πόρρω τῆς γῆς ὁ πλόος ἐγένετο. ἀμφὶ δὲ μέσας νύκτας ἀναχθέντες πλέουσιν ἔστε ἐπὶ Κώκαλα· τοῦ αἰγιαλοῦ, ἔνθεν ὡρμήθησαν, ἀπεῖχε σταδίους διηκοσίους. καὶ αἱ μὲν νῆες σαλεύουσαι ὥρμεον. τὰ πληρώματα δὲ ἐκβιβάσας Νέαρχος πρὸς τῇ γῇ ηὐλίσθη· ὅτι ἐπὶ πολλὸν τεταλαιπωρηκότες ἐν τῇ θαλάσσῃ, F ἀναπαύσασθαι ἐπόθεον. στρατόπεδον δὲ περιεβάλλετο, τῶν βαρβάρων τῆς φυλακῆς ἕνεκα. ἐν τούτῳ τῷ χώρῳ Λεοννάτος, ὅτῳ τὰ Ὠρειτῶν ἐξ Ἀλεξάνδρου ἐπετέτραπτο, μάχῃ μεγάλῃ νικᾷ Ὠρείτας τε καὶ ὅσοι Ὠρείτῃς συνεπελάβοντο τοῦ ἔργου· καὶ κτείνει αὐτῶν ἑξακισχιλίους, καὶ τοὺς ἡγεμόνας πάντας. τῶν δὲ σὺν Λεοννάτῳ ἱππεῖς μὲν ἀποθνήσκουσι πεντεκαίδεκα· τῶν δὲ πεζῶν ἄλλοι τε οὐ πολλοὶ καὶ Ἀπολλοφάνης ὁ Γαδρωσίων σατράπης. ταῦτα μὲν δὴ ἐν τῇ ἄλλῃ ξυγγραφῇ ἀναγέγραπται καὶ ὅπως Λεοννάτος ἐπὶ τῷδε

ἐστεφανώθη πρὸς Ἀλεξάνδρου χρυσῷ στεφάνῳ, ἐν Μακεδόσιν. ἐνταῦθα σῖτος ἦν νενεμημένος κατὰ πρόσταγμα Ἀλεξάνδρου, ἐς ἐπισιτισμὸν τῷ στρατῷ. καὶ ἐμβάλλονται σιτία ἡμερέων δέκα ἐς τὰς νέας. καὶ τῶν νεῶν ὅσαι πεπονήκεσαν κατὰ τὸν πλόον μέχρι τοῦδε, ἐπεσκεύασαν. καὶ τῶν ναυτέων ὅσοι ἐν τῷ ἔργῳ βλακεύειν ἐφαίνοντο Νεάρχῳ, τούτους μὲν πεζῇ ἄγειν Λεοννάτῳ ἔδωκεν· αὐτὸς δὲ ἀπὸ τῶν σὺν Λεοννάτῳ στρατιωτέων συμπληροῖ τὸ ναυτικόν. ἐνθένδε ὁρμηθέντες ἔπλεον ἀκραέϊ· καὶ διελθόντες σταδίους ἐς πεντακοσίους, ὁρμίζοντο πρὸς ποταμῷ χειμάρρῳ· Τόμηρος ὄνομα ἦν τῷ ποταμῷ, καὶ λίμνη ἦν ἐπὶ τῇσι ἐκβολῇσι τοῦ ποταμοῦ. τὰ δὲ βράχεα τὰ πρὸς τῷ αἰγιαλῷ ἐπῴκεον ἄνθρωποι ἐν καλύβῃσι πνιγηρῇσι. καὶ οὗτοι ὡς προσπλέοντας εἶδον, ἐθάμβησάν τε, καὶ παρατείναντες σφᾶς παρὰ τὸν αἰγιαλὸν, ἐτάχθησαν ὡς ἀπομαχούμενοι πρὸς τοὺς ἐκβαίνοντας. λόγχας δὲ ἐφόρεον παχέας, μέγεθος ὡς ἑξαπήχεας. ἀκωκὴ δὲ οὐκ ἐπῆν σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐτῇσι πεπυρακτωμένον τὸ αὐτὸ ἐποίεε. πλῆθος δὲ ἦσαν ὡς ἑξακόσιοι, καὶ τούτους Νέαρχος ὡς ὑπομένοντας τε καὶ παρατεταγμένους κατεῖδε, τὰς μὲν νέας ἀνακωχεύειν κελεύει ἐντὸς βέλεος, ὡς τὰ τοξεύματα ἐς τὴν γῆν ἀπ᾽ αὐτῶν ἐξικνέεσθαι. αἱ γὰρ τῶν βαρβάρων λόγχαι παχέαι φαινόμεναι, ἀγχέμαχοι μὲν, ἄφοβοι δὲ ἐς τὸ ἀκοντίζεσθαι ἦσαν. αὐτὸς δὲ τῶν στρατιωτέων ὅσοι αὐτοί τε κουφότατοι καὶ κουφότατα ὡπλισμένοι, τοῦ τε νέειν δαημονέστατοι, τούτους δὲ ἐκνήξασθαι κελεύει ἀπὸ ξυνθήματος. πρόσταγμα δὲ σφίσιν ἦν, ὅπως τις ἐκνηξάμενος σταίη ἐν τῷ ὕδατι, προσμένειν τὸν παραστάτην οἱ ἐσόμενον· μηδὲ ἐμβάλλειν πρόσθεν πρὸς τοὺς βαρβάρους, πρὶν ἐπὶ τριῶν ἐς βάθος ταχθῆναι τὴν φάλαγγα· τότε δὲ δρόμῳ ἤδη ἰέναι, ἐπαλαλάξαντας. ἅμα δὲ ἐρρίπτεον ἑωυτοὺς οἱ ἐπὶ τῷδε τεταγμένοι ἐκ τῶν νεῶν ἐς τὸν πόντον, καὶ ἐνήχοντο ὀξέως, καὶ ἵσταντο ἐν κόσμῳ. καὶ φάλαγγα ἐκ σφῶν ποιησάμενοι, δρόμῳ ἐπήεσαν αὐτοί τε ἀλαλάζοντες τῷ Ἐνυαλίῳ, καὶ οἱ ἐπὶ τῶν νεῶν ξυνεπηχέοντες· τοξεύματά τε καὶ ἀπὸ μηχανέων βέλεα ἐφέροντο ἐς τοὺς βαρβάρους. οἱ δὲ τήν τε λαμπρότητα τῶν ὅπλων ἐκπλαγέντες, καὶ τῆς ἐφόδου τὴν ὀξύτητα, καὶ πρὸς τῶν τοξευμάτων τε καὶ τῶν ἄλλων βελέων βαλλόμενοι, οἷα δὴ ἡμίγυμνοι ἄνθρωποι, οὐδὲ ὀλίγον ἐς ἀλκὴν τραπέντες ἐγκλίνουσι. καὶ οἱ μὲν αὐτοῦ φεύγοντες ἀποθνήσκουσιν, οἱ δὲ καὶ ἁλίσκονται· ἔστι δὲ οἳ καὶ διέφυγον ἐς τὰ ὄρεα. ἦσαν δὲ οἱ ἁλόντες τά τε ἄλλα σώματα δασέες, καὶ τὰς κεφαλὰς καὶ τοὺς ὄνυχας θηριώδεες. τοῖς γὰρ δὴ ὄνυξιν ὅσα σιδήρῳ διαχρᾶσθαι ἐλέγοντο, καὶ τοὺς ἰχθύας τούτοισι διασχίζοντες κατεργάζεσθαι, καὶ τῶν ξύλων ὅσα μαλακώτερα· τὰ δὲ ἄλλα τοῖς λίθοισι τοῖσιν ὀξέσιν ἔκοπτον. σίδηρος γὰρ αὐτοῖσιν οὐκ ἦν. ἐσθῆτα δὲ ἐφόρεον δέρματα θήρεια· οἱ δὲ καὶ ἰχθύων τῶν μεγάλων τὰ παχέα. ἐνταῦθα νεωλκοῦσι τὰς νέας, καὶ ὅσαι πεπονηκυῖαι αὐτῶν ἐπισκευάζουσι. τῇ δὲ ἕκτῃ ἡμέρῃ ἐστέλλοντο· καὶ πλώσαντες σταδίους ἐς τριηκοσίους, ἀφικνέονται ἐς χῶρον, ὃς δὴ ἔσχατος ἦν τῆς Ὠρειτῶν γῆς. Μάλανα τῷ χώρῳ ὄνομα. Ὠρεῖται δὲ ὅσοι ἄνω ἀπὸ θαλάσσης οἰκέουσιν, ἐσταλμένοι μὲν κατάπερ Ἰνδοὶ, εἰσὶ, καὶ τὰ ἐς πόλεμον ὡσαύτως παραρτέονται· γλῶσσα δὲ ἄλλη αὐτοῖσι καὶ ἄλλα νόμαια. μῆκος τοῦ παράπλου, παρὰ μὲν χώρην τὴν Ἀραβίων, ἐς χιλίους μάλιστα στα-

A. tum aurea corona ab Alexandro inter Macedones coronatum fuiſſe. Eo etiam loci frumentum ab Alexandro in commeatum exercitus procuratum erat. In decem itaque dies frumentum in naues inuehunt. Naues tempeſtate quaſſatas reficiunt. ex nautis qui ſegniores in opere eſſe videbantur, Nearchus peditatui quem Leonnatus ducebat adiunxit: peditéſque in nautarum ſupplementum ex Leonnati copiis delegit. Inde ſecundo vento delati per quingenta ſtadia,

B ad fluuium quendam torrenti ſimilem peruenerunt: Tomerus fluuio nomen eſt. ad eius exitum ſtagnum erat: & circa vada littori propinqua homines anguſta quædam tuguria incolebant: qui vt claſſem appellentẽ viderunt, inſolitæ rei ſpectaculo attoniti, ſeſe ad littus extenderũt, veluti pugnam cum exituris commiſſuri. Lanceas gerebãt craſſas, VI cubitos longas. Cuſpis ferrea non erat, ſed igne toſta atque acuta. erant hi circiter DC: quos vt Nearchus ſubſiſtere inſtructa acie vidit, claſſem ad littus intra teli

C iactum appelli imperat; ita vt tela è nauibus in terram pertingere poſſent. Craſſæ enim barbarorum lanceæ ad pugnam cominus conſerendam aptæ erant, eminus vero parũ metuendæ videbantur. Tum ex militibus qui expeditiſſimi leuiſſiméq; armati eſſent, & nandi peritiſſimi, ſigno dato enatare iubet: mandatis additis vt prout quiſque enatarit, in aqua ſubſiſtens ſocium expectet: neque prius in hoſtem tela iaciant, quàm triplici ordine acies inſtructa ſit. tum curſim,

D clamoréque ſublato in eos ferantur. Confeſtim itaque qui ad hoc deſignati erant ſeſe è nauibus in mare coniiciunt, celeritérque enatant. Deinde in ordinem redacti, inſtructa phalange, magnis clamoribus editis curſim barbaros petunt. At qui in nauibus erãt etiam acclamantes tela iaculáque è machinis in eos mittebant. Barbari armorũ ſplendore, & inſultus celeritate attoniti, quum iaculis ac telis vndique peterentur, vtpote ſeminudi, confeſtim non expectato conflictũ in fugam vertuntur. Multi in ea fuga cæſi,

E multi capti: nonnulli in montes fugerunt. Erant verò captiui craſſis corporibus: capite & vnguibus ferinis: ſiquidem vnguibus loco ferri. vti dicebantur, piſcéſque iis diſcindentes, ligna etiam molliora iis ſecabãt: ad duriora ſaxis acutis vtebantur: ferrum apud eos non erat. Ferarum, aut grandium piſcium pellibus ſeſe veſtiebant. Nearchus hîc naues in littus ſubduci, quaſſatáſque refici iubet. Sexto die nauigationem repetunt: trecentíſque ſtadiis emenſis in locum quen-

F dam perueniunt, qui Oritarum regionis eſt vltimus: Malana eum locum vocant. Atqui Oritæ qui mediterranea loca incolunt, eodem habitu quo Indi vtuntur: eodémque modo armantur: lingua tamen atque inſtitutis differunt. Longitudo huius nauigationis, ad Arabiorũ oras, eſt ſtadiorũ mille:

ab eo loco vnde ſoluerant: ad Oritarum regionem M D C. Porrò Indorum regione circumnauigata (neque enim vltra Oritas Indi ſunt) Nearcho autore vmbræ non eadem ratione fiebant: ſed vbi introrſus in mare meridiem verſus procedebant, ibi ipſæ etiam vmbræ in meridiem vergebant. Quum verò ſol medium cæli ſpatium occupat, nullæ iis in locis vmbræ conſpiciuntur. Aſtra quoque, quæ antea ſublimia cernebantur, aut iam planè non apparebant, aut depreſſa ad terram conſpiciebantur. & iam occidere, iam oriri, quæ antea ſemper conſpicua fuerant, videbantur. Et quidem hæc nō diſſentanea vero mihi videtur quæ Nearchus ſcripſit. Siquidē in Syene AEgyptia tempore ſolſtitij æſtiui puteus quidam oſtenditur, qui meridie nullā vmbram facit. In Meroe quoque eodem anni tempore nullæ vmbræ fiunt. Conſentaneum igitur eſt, Indis qui meridionalem partē habitant idem accidere: præcipuè verò iuxta mare Indicum, quò magis id mare ad meridiem vergit. Atque hæc quidem hactenus.

Poſt Oritas, verſus mediterraneam regionem Gadroſij habitant: quorum fines difficulter cum exercitu Alexander tranſijt, pluráque incommoda & damna accepit, quàm in tota reliqua expeditione. Ea in maiori opere à me conſcripta ſunt. Infra Gadroſos loca maritima accolunt ij quos Ichthyophagos vocant. eorū oras præternauigarunt. quúmque primo die ad ſecundam vigiliam ſoluiſſent, L X inde ſtadiis ad Bagiſara delati ſunt. Portus iis in locis erat ad receptum claſsis commodus, pagúſque Paſira, L X ſtadiis à mari diſtās: accolæ eius Paſirei. Poſtridie quum maturius ſoluiſſent, rupem quandam longè in mari prominentem, altámque ac præruptam præternauigant: defoſsiſque puteis aquam quidem multam ſed ſalſam nacti, illum quidem diem in ancoris ſubſtiterunt, quòd petroſum littus eſſet. poſtridie in Coltas venerunt, C C ſtadiis emenſis. Inde rurſum ſub lucem mota claſſe, D C ſtadia progreſsi ad Calamas in pago quodam littori vicino conſtiterunt. Palmas ibi cum caricis viridibus repererunt. Inſula centū à littore ſtadiis diſtans, Carnine dicta. Ibi Nearcho pagi illius incolæ hoſpitalitia munera offerunt, pecudes & piſces. Pecudum illarum carnes ait piſcoſas eſſe, quemadmodum & aues marinas, quòd & ipſæ piſces edant. Gramen enim ea regio non habet. At poſtridie C C ſtadia emenſi ad littus appulerūt, pagúmque repererunt X X X ſtadiis à mari diſtantem. pago Cyſa nomē erat: littori Carbis. Hoc loco paruulæ quædam cymbæ repertæ ſunt, vtpote piſcatorum minimè opulentorum. piſcatores ipſos non repererunt. fugerant enim ſimulac naues appellentes viderant. Frumentum ibi nullum erat, idque exercitum defecere cœperat. Cæterùm capris in naues abductis receſſerunt. Inde promontorium quoddam altum ad C L ſtadia in mare porrectum circumuecti, in portum minimè procelloſum venerunt. Ibi & aqua erat, & piſcatores

A δίους, ἔνθενπερ ὡρμήθησαν, παρὰ δὲ τὴν Ὠρειτέων γῆν, ἑξακόσιοι καὶ χίλιοι. παραπλεόντων δὲ τὴν Ἰνδῶν γῆν (τὸ ἐντεῦθεν γὰρ οὐκέτι Ἰνδοί εἰσι) λέγει Νέαρχος ὅτι αἱ σκιαὶ αὐτοῖσιν οὐ ταὐτὸ ἐποίεον· ἀλλὰ ὅπου μὲν ἐπὶ πολὺ τοῦ πόντου ὡς πρὸς μεσημβρίην προχωρήσειαν, ἔνθα καὶ αὐταὶ αἱ σκιαὶ πρὸς μεσημβρίην τετραμμέναι ἐφαίνοντο. ὁπότε δὲ τὸ μέσον τῆς ἡμέρης ἐπέχοι ὁ ἥλιος, ἤδη δὲ καὶ ἔρημα σκιῆς πάντα ὤφθη αὐτοῖσι. τῶν τε ἀστέρων ὅσους πρόσθεν μετεώρους κατεώρων, οἱ μὲν ἀφανέες πάντη ἦσαν· οἱ δὲ πρὸς αὐτῇ τῇ γῇ ἐφαί-
B νοντο καταδύνοντές τε καὶ αὐτίκα ἀνατέλλοντες, οἱ πάλαι ἀειφανέες. καὶ ταῦτα οὐκ ἀπεικότα δοκέει μοι ἀναγράψαι Νέαρχος. ἐπεὶ καὶ ἐν Συήνῃ τῇ Αἰγυπτίῃ, ἐπεὰν τροπαὶ ὦσι θέρεος ὥρη ὁ ἥλιος, φρέαρ ἀποδεδειγμένον ἐστὶ, καὶ τοῦτο ἄσκιον ἐν μεσημβρίῃ φαίνεται· ἐν Μερόῃ δὲ πάντα ἄσκια τῇ αὐτῇ ὥρῃ. εἰκὸς ὦν καὶ ἐν Ἰνδοῖσιν, ἅτε πρὸς μεσημβρίην ᾠκισμένοισι, τὰ αὐτὰ δὴ πάθεα ἐπέχειν, καὶ μάλιστα δὴ κατὰ τὸν πόντον τὸν Ἰνδικὸν, ὅσῳ μᾶλλον αὐτοῖσιν ἡ θάλασσα πρὸς μεσημβρίην κέκλιται. Ταῦτα μὲν δὴ ὧδε ἐχέ-
C τω. Ἐπὶ δὲ Ὠρείτῃσι κατὰ μὲν μεσογαίην Γαδρώσιοι ἐπεῖχον. ὧν τὴν χώρην χαλεπῶς διεξῆλθεν ἅμα τῇ στρατιῇ Ἀλέξανδρος. καὶ κακὰ τοσαῦτα ἔπαθεν, ὅσα οὐδὲ τὰ σύμπαντα τῆς συμπάσης στρατηλασίης. καὶ ταῦτά μοι ἐν τῇ μέζονι συγγραφῇ ἀναγέγραπται. κάτω δὲ Γαδρωσίων, παρὰ τὴν θάλασσαν αὐτὴν, οἱ Ἰχθυοφάγοι καλεόμενοι οἰκέουσι. παρὰ τούτων τὴν γῆν ἔπλεον, τῇ μὲν πρώτῃ ἡμέρῃ περὶ τὴν δευτέρην φυλακὴν ἀναχθέντες, καταίρουσιν ἐς Βαγίσαρα. στάδιοι δὲ παράπλου ἑξακόσιοι. λιμήν τε ἐστὶν αὐτόθι εὔορμος, καὶ κώμη Πασιρὰ, ἀπέχουσα ἀπὸ θαλάσσης ἑξήκοντα στα-
D δίους. καὶ οἱ πρόσοικοι αὐτῆς Πασιρέες. ἐς δὲ τὴν ὑστεραίαν πρωΐτερον τῆς ὥρης ἀναχθέντες, περιπλέουσιν ἄκρην ἐπὶ πολύ τι ἀνέχουσαν ἐς τὸν πόντον, καὶ αὐτὴν ὑψηλὴν καὶ κρημνώδεα. Φρέατα δὲ ὀρύξαντες, ὕδωρ οὐκ ὀλίγον καὶ πονηρὸν ἀρυσάμενοι, ταύτῃ μὲν τῇ ἡμέρῃ ἐπ' ἀγκυρέων ὥρμεον, ὅτι ῥηχίη κατὰ τὸν αἰγιαλὸν ἀνεῖχεν. ἐς δὲ τὴν ὑστεραίην καταίρουσιν ἐς Κόλτα, σταδίους ἐλθόντες διηκοσίους. ἔνθεν δὲ ἕωθεν πλεύσαντες σταδίους ἑξακοσίους, ἐν Καλάμοισιν ὁρμίζονται, κώμη πρὸς τῷ αἰγιαλῷ. Φοίνικες δὲ περὶ αὐτὴν ὀλίγοι πε-
E φύκεσαν, καὶ βάλανοι ἐπ' αὐτοῖσι χλωραὶ ἐπῆσαν. καὶ νῆσος ὡς ἑκατὸν σταδίους ἀπὸ τοῦ αἰγιαλοῦ ἀπέχουσα, Καρνίνη ὄνομα. ἐνταῦθα ξένια Νεάρχῳ προσφέρουσιν οἱ κωμῆται, πρόβατα καὶ ἰχθύας. καὶ τῶν προβάτων τὰ κρέα λέγει ὅτι ἦν ἰχθυώδεα, ὥσπερ τῶν ὀρνίθων τῶν πελαγίων, ὅτι καὶ αὐτὰ ἰχθύας σιτέεται· πόα γὰρ οὐκ ἔνι ἐν τῇ χώρῃ. ἀλλὰ τῇ ὑστεραίῃ πλεύσαντες ἐς σταδίους διηκοσίους, ὁρμίζονται πρὸς αἰγιαλῷ, καὶ κώμη ἀπὸ θαλάσσης ἐς σταδίους τριήκοντα ἀπεχούσῃ. ἡ μὲν κώμη Κύσα ἐκαλέετο, Καρβὶς δὲ τῷ αἰγια-
F λῷ ὄνομα ἦν. ἐνταῦθα πλοίοισιν ἐπιτυγχάνουσι σμικροῖσιν, οἷα ἁλιέων εἶναι πλοῖα οὐκ εὐδαιμόνων. αὐτοὺς δὲ οὐ καταλαμβάνουσιν· ἀλλ' ἔφυγον γὰρ καθορμιζομένας ἰδόντες τὰς νέας. σῖτός τε αὐτόθι οὐκ ἐνῆν, καὶ ἐπελελοίπει τὴν στρατιὴν ὁ πολλός· ἀλλὰ αἶγας ἐμβαλόμενοι ἐς τὰς νέας, οὕτω δὴ ἀπέπλεον. καὶ περιπλώσαντες ἄκρην ὑψηλὴν, ὅσον πεντήκοντα καὶ ἑκατὸν σταδίους ἀνέχουσαν ἐς τὸν πόντον, κατάγονται ἐν λιμένι ἀκλύστῳ. καὶ ὕδωρ αὐτόθι ἦν, καὶ ἁλιέες

ᾤκεον· Μόσαρνα ὄνομα ἦν τῷ λιμένι. ἔνθεν δὲ καὶ ἡγεμὼν τοῦ πλόου λέγει Νέαρχος ὅτι συνέπλωσεν αὐτοῖσιν, Ὑδράκης ὄνομα, Γαδρώσιος. ὑπέστη δὲ Ὑδράκης κατάξειν αὐτοὺς μέχρι Καρμανίης. τὰ δὲ ἀπὸ τοῦδε οὐκέτι χαλεπὰ ἦν, ἀλλὰ μᾶλλόν τι ὀνομαζόμενα, ἔς τε ἐπὶ τὸν κόλπον τὸν Περσικόν. ἐκ δὲ Μοσάρνων νυκτὸς ἐπάραντες, πλώουσι σταδίους ἑπτακοσίους καὶ πεντήκοντα, ἐς Βάλωμον αἰγιαλόν. ἔνθεν δὲ ἐς Βάρνα κώμην, σταδίους τετρακοσίους, ἵνα φοίνικές τε πολλοὶ ἐνῆσαν, καὶ κῆπος. καὶ ἐν τῷ κήπῳ μυρρίναι ἐπεφύκεσαν, καὶ ἄλλα ἄνθεα, ἀφ' ὅτων στεφανώματα τοῖσι κωμήτῃσιν ἐπλέκοντο. ἐνταῦθα πρῶτον δένδρεά τε εἶδον ἥμερα, καὶ ἀνθρώποις οὐ πάντη θηριώδεας ἐποικέοντας. ἐνθένδε ἐς διηκοσίους σταδίους περιπλώσαντες, κατάγονται ἐς Δενδρώβοσα· καὶ αἱ νέες ἐπ' ἀγκυρέων ἐσαλεύθησαν. ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες ἐς Κώφαντα λιμένα ἀφίκοντο, τετρακοσίους μάλιστα σταδίους διεκπλώσαντες. ἐνταῦθα ἁλιέες τε ᾤκεον, καὶ πλοῖα αὐτοῖσιν ἦν μικρὰ καὶ πονηρά. καὶ τῇσι κώπῃσιν οὐ κατὰ σκαλμὸν ἤρεσσον (ὡς ὁ Ἑλλήνων νόμος) ἀλλ' ὥσπερ ποταμοῦ τὸ ὕδωρ ἐπιβάλλοντες ἔνθεν καὶ ἔνθεν, κατάπερ οἱ σκάπτοντες τὴν γῆν. ὕδωρ δὲ πολύ τε ἦν ἐν τῷ λιμένι, καὶ καθαρόν. περὶ δὲ πρώτην φυλακὴν ἄραντες, κατάγονται ἐς Κύιζα, ἐς ὀκτακοσίους σταδίους διεκπλώσαντες· ἵνα αἰγιαλός τε ἔρημος ἦν, καὶ ῥαχίη. αὐτοὶ οὖν ἐπ' ἀγκυρέων ὥρμεον, καὶ κατὰ ναῦν τε δεῖπνον ἐποιέοντο. ἐνθένδε διεκπλώσαντες σταδίους πεντακοσίους, ἀπίκοντο ἔς τινα πόλιν μικρὴν οἰκεομένην ἐπὶ γηλόφου, οὐ πόρρω τοῦ αἰγιαλοῦ. καὶ Νέαρχος ἐπιφραδεὶς ὅτι σπείρεσθαι τὴν χώρην εἰκός, λέγει πρὸς Ἀρχίην (ὃς ἦν Ἀναξιδότου μὲν παῖς, Πελλαῖος, συνέπλει δὲ Νεάρχῳ, τῶν ἐν αἴνῃ ὢν Μακεδόνων) πρὸς τοῦτον λέγει, ὅτι καταληπτέον σφίσιν εἴη τὸ χωρίον· ἑκόντας τι γὰρ οὐκ ἂν οἴεσθαι δοῦναι τῇ στρατιῇ σιτία· βίῃ τε οὐχ οἷόν τε εἶναι ἐξαιρέειν, πολιορκίης δὲ καὶ τριβῆς δεήσειν· σφᾶς δὲ ἐπιλελοιπέναι τὰ σιτία· ὅτι δὲ ἡ γῆ σιτοφόρος τῇ καλάμῃ τεκμηριοῦσθαι, ἣν ἦν οὐ πόρρω τοῦ αἰγιαλοῦ ἀφεωρᾶν βαθέην. ταῦτα ἐπεὶ σφίσιν ἐδόκεε, τὰς μὲν ἄλλας νέας κελεύει παραρτέεσθαι ὡς ἐς πλόον. καὶ ὁ Ἀρχίης αὐτῷ ἐξήρτυε τὰ ἐς τὸν πλόον. αὐτὸς δὲ ὑπολειφθεὶς μετὰ μιῆς νεός, ἐπὶ θέαν δῆθεν τῆς πόλιος ᾔει. προσάγοντι δὲ αὐτῷ πρὸς τὰ τείχεα φιλίως, ξείνια ἔφερον ἐκ τῆς πόλιος, θύννους τε ἐν κριβάνοισιν ὀπτούς (οὗτοι γὰρ ἔσχατοι τῶν Ἰχθυοφάγων οἰκέοντες πρῶτοι αὐτοῖσιν ὤφθησαν, οὐκ ὠμοφαγέοντες) καὶ πέμματα ὀλίγα, καὶ βαλάνους τῶν φοινίκων. ὁ δὲ ταῦτα μὲν ἀσμένως δέκεσθαι ἔφη, ἐθέλειν δὲ θεήσασθαι τὴν πόλιν· οἱ δὲ εἴων παρελθεῖν. ὡς δὲ εἴσω πυλέων παρῆλθε, δύο μὲν τῶν τοξοτῶν κατέχειν κελεύει τὴν πυλίδα. αὐτὸς δὲ μετὰ δύο ἄλλων, καὶ τοῦ ἑρμηνέως, ἐπὶ τὸ τεῖχος τὸ ταύτῃ ἀνελθών, ἐσήμηνε τοῖς ἀμφὶ τὸν Ἀρχίην ὅπως συνέκειτο· τὸν μὲν ἂν σημῆναι, τὸν δὲ συμβαλόντα ποιέειν τὸ τεταγμένον. ἰδόντες δὲ τὸ σημήιον οἱ Μακεδόνες, ἐπώκελλόν τε κατὰ τάχος τὰς νέας, καὶ ἐξεπήδων σπουδῇ ἐς τὴν θάλασσαν. οἱ δὲ βάρβαροι ἐκπλαγέντες τοῖσι γινομένοισιν, ἐπὶ τὰ ὅπλα ἔθεον. ὁ δὲ ἑρμηνεὺς ὁ σὺν Νεάρχῳ, ἐκή-

A habitabant: Moſarna portui nomen erat. Hinc ſcribit Nearchus ducem nauigationis, Hydracem nomine, Gadruſium, vnà cum ipſis nauigaſſe: pollicitúmque eſſe ſe illos in Carmaniam delaturum. Omnis hic ad ſinum Perſicum tractus non ita difficilis nauigatu eſt: multo tamen priore celebrior. Mota ex Moſarnis per noctem claſſe, DCCL ſtadia emenſi ad Balomum littus delati ſunt: atque inde in Barna vicum, ſtadiis abinde CCCC, in quo frequentes palmæ erant, & hortus. In horto myrti naſce- B bantur, variíque flores, è quibus paganę corollas texebant. Hoc primùm in loco arbores cultas, hominéſque non omnino feros repererunt. Inde CC ſtadia prouecti Dendroboſam appulerũt. naues ibi in ſalo ſubſtiterunt. Hinc ſub mediam noctem ſoluentes in Cophantem portum peruenerunt, CCCC circiter ſtadia emenſi. Hîc & piſcatores degebant, paruiſque & vilibus ſcaphis vtebantur, & remis non per ſcalmos diſpoſitis (vt Græcorum mos eſt) remigabant: ſed C hinc atque hinc flumini incumbentes, aquã fodere videbantur. In hac inſula aquam & multam & puram inuenerunt. Inde ad primam noctis vigiliã ſoluentes ad Cyiza peruenerunt, DCCC ſtadia emenſi: quúmque littus deſertum ac ſcopuloſum eſſet, iactis in ſalo ancoris ſubſtiterunt, atque in nauibus corpora curarunt. Inde prouecti ad quingenta ſtadia, in paruum quoddam oppidum venerunt, in colle non procul à littore ſitum. Nearchus veriſimile ratus eam D regionem cultam eſſe, Archiæ Anaxidoti filio, Pellæo, qui inter Macedones celebris, cum Nearcho nauigarat, ait, videri ſibi oppidum occupãdũ eſſe. Neque enim oppidanos ſua ſponte frumenta exercitui daturos: vi autem capi non poſſe: diuturna enim obſidione opus fore. Se verò iam frumẽtis deſtitui. Frugiferam autem regionem eſſe inde colligi, quòd denſos culmos non procul à littore vidiſſet. Quum itaque id conſilium eis probaretur: reliquas quidem naues, veluti ad nauigationẽ inſtrui iubet, & Archiæ E eius rei negotio dato, ipſe cum vna naue ad ſpeculandum oppidum proceſſit. Quúmq; amicè ad muros appelleret, oppidani hoſpitalitatis ergô dona, thunnos nimirum in clibano toſtos (hi enim extremi Ichthyophagorum erant, neque crudis piſcibus vt priores illi veſcebantur) aliáque nonnulla bellaria & palmarum caricas adferebant. Quæ quidem Nearchus ſe libenter accipere dixit: cupere verò vrbem viſere: quod quum nec illi recuſarent, quum iam portas ingreſſus eſſet, duos ſagittarios ad cuſtodiam portæ F relinquit: Ipſe, cum aliis duobus & interprete in murum qui ab ea parte erat conſcendens, Archiæ ſignum dat, quemadmodum inter eos conuenerat: vt hic quidem ſignũ ederet, ille ſtatim intellecta re id quod ſtatutum erat faceret. Macedones conſpecto ſigno cõfeſtim naues ad murũ applicãt, ſummáq; celeritate in mare proſiliũt. Barbari hiſce rebus perculſi ad arma cõfugiũt. Interpres verò qui Nearcho aderat proclama-

bat: vt frumentum exercitui darent, ſi ſaluam vrbem vellent. Negabant illi primò ſibi frumentum eſſe, ſimúlque ad muros conuolabant. Cæterùm à ſagittariis qui Nearcho aderant, telis ex edito loco in eos miſsis, facilè repulſi ſunt. Poſtquam verò captam iam eſſe vrbem ſenſerunt, ac direptioni proximam, tum demum Nearcho ſupplices facti, vt omni frumento quod in vrbe eſſet accepto diſcedat, oppidóque parcat, orant. Nearchus Archiam portas & murũ occupare iubet: ipſe alios per vrbem mittit qui explorent an citra fraudem quicquid frumenti haberent oſtendiſſent. Atque illi quidem multam ex toſtis piſcibus farinam oſtenderunt: frumenti verò atque hordei parum. Siquidem farina piſcium pro frumento, panibus verò pro opſonio vtebatur. Poſtquam verò omne frumentum oſtenderunt, tanto atque exercitui ſufficerèt accepto, inde proceſſerunt ad rupem quam indigenæ Soli ſacram Bagiam appellant. Inde ſub mediam noctem ſoluentes mille ſtadiis emenſis in Talmena tutum à ventis portum venerunt. Hinc in Canaſida vrbem deſertam CCCC ſtadiis inde diſtantem. vbi puteum quendam effoſſum repererunt, cui palmæ agreſtes adnatæ erant. harum ſumma capita præciſa ederunt. Iam enim frumentum exercitui deerat. Vrgente itaque fame totum illum diem & noctem nauigarunt, & ad littus deſertum appelluntur. Nearchus veritus ne ſi in terram deſcenderent, præ deſperatione naues desererent, in ſalo ancoras iaci iubet. Inde ſoluentes in Canatem venerunt, ſtadiis DCC emenſis. Inde, quòd littus eſſet vadoſum, digreſsi, DCCC ſtadiis confectis ad Trœſos appulerunt. Ad littus pagi quidam erant exigui atque inopes. Incolæ domos ſuas deſeruerant. Pauculum ibi frumenti & carycarum ex palmis nacti ſunt. Camelis ſeptem qui relicti fuerant cæſis, carnes eorum vorarunt. Sub lucem repetita nauigatione, ſtadiis CCC emenſis in Dagaſira peruenerunt. quem locum pauci quidam paſtores incolebant. Inde ſoluentes integram noctem & diem nulla interpoſita mora nauigarunt: ſtadiíſque MC emenſis, fines Ichthyophagorum enauigarunt, magna rerum neceſſariarum penuria preſsi. Neq; verò ad terram appulerunt, erãt enim frequentes ad littus ſcopuli, ſed iactis in ſalo ancoris ſubſtiterunt. Longitudo oræ Ichthyophagorum hac nauigatione emenſa, eſt ſtadiorum X M. Ichthyophagi verò dicuntur à piſcium eſu. Pauci ex iis piſcatui ſtudent. pauci enim ſcaphas habent, aut artem piſcandi norunt: ſed maximam partem recedente æſtu marino captant. Nõnulli etiam retia conficiunt, tantæ magnitudinis vt ad duo ſtadia pertingant. Ea ex palmarum libris texunt, torquentes librum inſtar lini. Quum verò mare recedit, terrámque deſerit, vbi illa ſicca relinquitur, vacua plerunque piſcibus eſt: ſed vbi terra profundiori aliquo ſinu aquam retinet, ibi magnam piſcium copiam reperiunt. Ex his plerique minores, alij etiam maiores ſunt.

A ρυσαν σῖτον διδόναι τῇ στρατιῇ, εἰ σόαν ἐθέλωσιν ἔχειν τὴν πόλιν· οἱ δὲ ἠρνοῦντο εἶναι σφίσι, καὶ ἅμα προσέβαλον τῷ τείχει. ἀλλὰ ἀνέστελλον αὐτοὺς οἱ τοξόται οἱ ἀμφὶ τὸν Νέαρχον, ἐξ ὑπερδεξίου τοξεύοντες. ὡς δὲ ἔμαθον ἐχομένην τε ἤδη καὶ ὅσον οὔπω ἀνδραποδισθησομένην σφίσι τὴν πόλιν, τότε δὴ ἐδέοντο τοῦ Νεάρχου, τὸν μὲν σῖτον ὅσπερ ἦν αὐτοῖσιν λαβόντα ἀπάγειν, τὴν πόλιν δὲ μὴ διαφθεῖραι. Νέαρχος δὲ τὸν μὲν Ἀρχίην κελεύει καταλαβεῖν τὰς πύλας, καὶ τὸ κατ' αὐτὰς τεῖχος· αὐτὸς δὲ συμπέμπει τοὺς κατοψομένους τὸν σῖτον, εἰ ἀδόλως δεικνύουσιν. οἱ δὲ, τὸ μὲν ἀ- B πὸ τῶν ἰχθύων τῶν ὀπτῶν ἀληλεσμένον ἄλευρον πολὺ ἐδείκνυσαν, πυροὺς δὲ καὶ κριθὰς ὀλίγας. καὶ γὰρ καὶ ἐτύγχανον σίτῳ μὲν τῷ ἀπὸ τῶν ἰχθύων, τοῖσι δὲ ἄρτοισιν ὅσα ὄψῳ διαχρεόμενοι. ὡς δὲ τὰ ὄντα ἐπεδείκνυον, οὕτω δὴ ἐκ τῶν παρεόντων ἐπισιτισάμενοι ἀνήγοντο, καὶ ὁρμίζονται πρὸς ἄκρην ἥντινα οἱ ἐπιχώριοι ἱρὴν ἡλίου ἦγον· οὔνομα τῇ ἄκρῃ Βάγια. ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες, διεκπλώουσι σταδίους ἐς χιλίους, ἐς Τάλμενα λιμένα εὔορμον. ἐνθένδε ἐς Κανα- C σίδα πόλιν ἐρήμην, σταδίους ἐς τετρακοσίους· ἵνα τινὶ φρέατι ὀρυκτῷ ἐπιτυγχάνουσι. καὶ φοίνικες ἄγριοι ἐπεφύκεσαν, τούτων τοὺς ἐγκεφάλους κόπτοντες, ἐσιτέοντο· σῖτος γὰρ ἐπιλελοίπει τὴν στρατιήν· καὶ κακῶς ἤδη ὑπὸ λιμοῦ ἔχοντες, ἔπλεον τήν τε ἡμέρην καὶ τὴν νύκτα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ. Νέαρχος δὲ καταδείσας μὴ ἄρα ἐς τὴν γῆν ἐκβάντες ἀπολίποιεν τὰς νέας ὑπὸ ἀθυμίας, ἐπὶ τῷδε μετεώρους ἔχει τὰς νέας ἐπ' ἀγκυρέων. ἐνθένδε ἀναχθέντες, ἐς Κανάτην ὁρμίζονται, σταδίους ὡς ἑπτακοσίους καὶ πεντήκοντα διεκπλώσαντες. ἔστι δὲ καὶ αἰγιαλὸς ἐν αὐτῷ, καὶ διώρυχες βραχεῖαι. ἐνθένδε σταδίους ὀκτακοσίους διεκπλώ- D σαντες, ἐν Τρῶσιν ὁρμίζονται. κῶμαι δὲ μικραὶ καὶ πονηραὶ ἐπῆσαν· καὶ οἱ μὲν ἄνθρωποι ἐκλείπουσι τὰ οἰκεῖα, αὐτοὶ δὲ σίτῳ τινὶ ὀλίγῳ ἐπιτυγχάνουσι, καὶ βαλάνοις ἐκ φοινίκων· καὶ καμήλους ἑπτὰ ὅσαι ἐγκατελείφθησαν κατακόψαντες, ἀπὸ τούτων τὰ κρέα ἐσιτέοντο. ὑπὸ δὲ τὴν ἕω ἀναχθέντες σταδίους τριακοσίους πλώουσι, καὶ καθορμίζονται ἐς Δαγάσειρα· ἔνθα νομάδες τινὲς ἄνθρωποι ᾤκεον. ἔνθεν δὲ ἄραντες, τήν τε νύκτα καὶ τὴν ἡμέρην, οὐδέν τι ἐλινύοντες ἔπλεον. ἀλλὰ διελθόντες γὰρ σταδίους χιλίους τε καὶ ἑκατὸν, ἐξέ- E πλωσαν τὸ ἔθνος τῶν Ἰχθυοφάγων, πολλὰ κακὰ ταύτῃ παθόντες ἀπορίῃ τῶν ἀναγκαίων. ὁρμίζονται δὲ οὐ πρὸς τῇ γῇ· ῥηχίη γὰρ ἦν ἐπὶ πολλὸν ἀνέχουσα, ἀλλὰ μετέωροι ἐπ' ἀγκυρέων. μῆκος τοῦ παράπλου τῶν Ἰχθυοφάγων τῆς χώρης ὀλίγῳ πλεῦνες στάδιοι μύριοι. οὗτοι δὲ οἱ Ἰχθυοφάγοι σιτέονται (κατότι περ καὶ κληΐζονται) ἰχθύας: ὀλίγοι μὲν αὐτῶν ἁλιεύοντες τοὺς ἰχθύας. ὀλίγοισι γὰρ καὶ πλοῖα ἐπὶ τῷδε πεποίηται, καὶ τέχνη ἐξεύρηται ἐπὶ τῇ θήρῃ τῶν ἰχθύων· τὸ πολὺ δὲ ἡ ἀνάπωτις αὐτοῖσι παρέχει. οἱ δὲ δίκτυα ἐπὶ τῷδε πεποίηνται, F μέγεθος καὶ ἐς δύο σταδίους τὰ πολλὰ αὐτῶν. πλέκουσι δ' αὐτὰ ἐκ τοῦ φλοιοῦ τῶν φοινίκων, στρέφοντες τὸν φλοιὸν ὥσπερ λίνον. ἐπεὰν δὲ ἡ θάλασσα ὑπονοστήσῃ, καὶ γῆ ὑπολειφθῇ, ἵνα μὲν ξηρὴ ἡ γῆ ὑπολείπεται, ἐρήμη τὸ πολύ ἐστιν ἰχθύων· ἔνθα δὲ βαθέα ἐστὶν, ὑπολείπεταί τι τοῦ ὕδατος, καὶ ἐν τῷδε κάρτα πολλοὶ ἰχθύες. οἱ μὲν πολλοὶ σμικροὶ αὐτῶν, οἱ δὲ καὶ μέζο-

κες. τούτοις περιβάλλοντες τὰ δίκτυα, αἱρέουσι· σιτέονται δὲ ὠμοὺς μὲν, ὅπως ἀνειρύουσιν ἐκ τοῦ ὕδατος, τοὺς ἁπαλωτάτους αὐτῶν· τοὺς δὲ μέζονάς τε καὶ σκληροτέρους, ὑπὸ ἡλίῳ αὐαίνοντες, εὖτ' ἂν ἀφαυανθῶσι, καταλοῦντες ἄλευρα ἀπ' αὐτῶν ποιέονται καὶ ἄρτους· οἱ δὲ μάζας ἐκ τούτων τῶν ἀλεύρων πέσσουσι. καὶ τὰ βοσκήματα αὐτοῖσι τοὺς ἰχθύας ξηροὺς σιτέεται. ἡ γὰρ χώρη ἔρημος λειμώνων, οὐδὲ ποίην φέρει. θηρεύουσι δὲ καὶ καράβους πολλαχῇ, καὶ ὄστρεα καὶ τὰ κογχύλια. ἅλες δὲ αὐτόματοι γίνονται ἐν τῇ χώρῃ· ἀπὸ τούτων ἔλαιον ποιέουσιν. οἱ μὲν δὴ αὐτῶν ἐρήμους τόπους οἰκέουσιν, ἄδενδρόν τε τὴν χώρην καὶ ἄφορον καρπῶν ἡμέρων, τούτοισιν ἀπὸ τῶν ἰχθύων ἡ πᾶσα δίαιτα ποιέεται. ὀλίγοι δὲ αὐτῶν σπείρουσιν ὅσον τῆς χώρης, καὶ τούτῳ κατάπερ ὄψῳ χρέονται πρὸς τοὺς ἰχθύας· ὁ γὰρ σῖτος αὐτοῖσιν οἱ ἰχθύες. οἰκία δὲ πεποίηνται οἱ μὲν εὐδαιμονέστατοι αὐτῶν, ὅσα κήτεα ἐκβάλλει ἡ θάλασσα, τούτων τὰ ὀστέα ἐπιλεγόμενοι, τούτοισιν ἀντὶ ξύλων χρεόμενοι· καὶ θύρας τὰ ὀστέα ὅσα πλατέα αὐτῶν ἁλίσκεται, ἀπὸ τούτων ποιέονται. τοῖσι δὲ πολλοῖσι καὶ πενεστέροισιν ἀπὸ τῶν ἀκανθέων τῶν ἰχθύων τὰ οἰκία ποιέεται. κήτεα δὲ μεγάλα ἐν τῇ ἔξω θαλάσσῃ βόσκεται, καὶ ἰχθύες πολὺ μέζονες ἢ ἐν τῇδε τῇ εἴσω. καὶ λέγει Νέαρχος, ὁπότε ἀπὸ Κυΐζων παρέπλεον, ὑπὸ τὴν ἕω ὀφθῆναι ὕδωρ ἄνω ἀναφυσώμενον τῆς θαλάσσης, οἷά περ ἐκ πρηστήρων βίᾳ ἀναφερόμενον. ἐκπλαγέντας δὲ σφέας, πυνθάνεσθαι τῶν κατηγεομένων τοῦ πλόου ὅ, τι εἴη καὶ ἀπὸ τούτου τὸ πάθημα. τοὺς δὲ ὑποκρίνασθαι, ὅτι κήτεα ταῦτα φερόμενα κατὰ τὸν πόντον ἀναφυσᾷ ἐς τὸ ἄνω τὸ ὕδωρ. καὶ τοῖσι ναύτῃσιν ἐκπλαγεῖσιν, ἐκ τῶν χειρῶν τὰ ἐρετμὰ ἐκπεσεῖν· αὐτὸς δὲ ἐπιὼν παρακαλέειν τε καὶ θαρσύνειν. καὶ κατ' οὓς παραπλέων ἐγίνετο, ἐς μέτωπόν τε κελεῦσαι καταστήσαντας ὡς ἐπὶ ναυμαχίαν τὰς νέας, ἐπαλαλάζοντας ὁμοῦ τῷ ῥοθίῳ, πυκνήν τε καὶ ὀξέην κτύπῳ πολλῷ τὴν εἰρεσίην ποιέεσθαι. οὕτως ἀναθαρσήσαντας ὁμοῦ δὴ πλέειν ἀπὸ ξυνθήματος. ὡς δὲ ἐπέλαζον ἤδη τοῖσι θηρίοισιν, ἐνταῦθα αὐτοὺς μὲν ὅσον αἱ κεφαλαὶ αὐτοῖσιν ἐχώρεον ἐπαλαλάξαι· τὰς δὲ σάλπιγγας σημῆναι, καὶ τὸν κτύπον ἀπὸ τῆς εἰρεσίης ὡς ἐπὶ μήκιστον κατασχεῖν. οὕτω δὴ ὁρεόμενα ἤδη κατὰ τὰς πρώρας τῶν νεῶν τὰ κήτεα, ἐς βυθὸν δῦναι ἐκπλαγέντα, καὶ οὐ πολλῷ ὕστερον κατὰ τὰς πρύμνας ἀναδύντα ἀνασχεῖν, καὶ τῆς θαλάσσης αὖθις ἀναφυσῆσαι ἐπὶ μέγα. ἔνθεν κρότον τε ἐπὶ τῇ παραλόγῳ σωτηρίᾳ γενέσθαι τῶν ναυτέων, καὶ αἶνον εἰς τὸν Νέαρχον τῆς τε τόλμης καὶ τῆς σοφίης. τούτων μετεξέτερα τῶν κητέων ἐποκέλλειν πολλαχοῦ τῆς χώρης, ἐπεὰν ἄμπωτις κατάσχῃ ἐν τοῖσι βράχεσιν ἐχόμενα· τὰ δὲ καὶ ὑπὸ χειμώνων σκληρῶν ἐς τὴν χέρσον ἐξωθέεσθαι. καὶ οὕτω δὴ κατασηπόμενα, ἀπόλλυσθαί τε, καὶ τὰς σάρκας αὐτοῖσι περιρρεούσας ὑπολείπειν τὰ ὀστέα· χρῆσθαι δὲ τοῖσιν ἀνθρώποισιν ἐς τὰ οἰκία. εἶναι ὦν τὰ μὲν ἐν τῇσι πλευρῇσιν αὐτῶν ὀστέα, δοκοὺς τοῖσιν οἰκήμασιν ὅσα μεγάλα· τὰ δὲ μικρότερα, σφῆκας· τὰ δὲ ἐν τῇσι σιαγόσι, ταῦτα δὲ εἶναι τὰ θύρετρα· οἷα δὴ πολλῶν καὶ εἰς εἴκοσι καὶ πέντε ὀργυιὰς ἀνηκόντων τὸ μέγεθος. εὖτ' αὖ δὲ παρέπλεον τὴν χώρην τῶν Ἰχθυοφάγων, λόγον ἀκούουσι περὶ νήσου

A Hos circumiectis retibus capiunt: & quidē teneriores eorū reti ex aqua protractos, crudos edunt: maiores verò durioréſque, ad ſolem torrentes, ſimulac toſti fuerint molentes in farinā redigunt, panémque ex ea conficiunt. Sunt qui polentam ex hiſce farinis coquunt. Pecori etiam piſcium farinam pabuli loco dant. Omnis enim illa regio pratis carens, nullam herbam gignit: magnam etiam in his locis cancrorum, oſtreorum & conchyliorum vim capiunt. Gignit quoque ea regio ſuapte natura ſalem, ex quo oleum B conficiunt. Qui verò eorum loca deſerta incolunt, & regionem nec arborum nec fructuum feracem, hi ex piſcibus tantum viuunt. pauci ſerunt, atque ij panem opſonij loco cum piſcibus edunt. piſces enim ipſis loco frumenti ſunt. Domos in hunc modum ædificant: Qui ditiſſimi eorum ſunt, balænarum quotquot mare eiicit oſſa ſumentes, iis loco tignorum vtuntur: & ex grandioribus oſſibus portas cōficiunt. Plerique C verò tenuioris fortunæ ex ſpinis piſcium domos cōſtruunt. Porro cete ingentis magnitudinis in exteriori mari naſcuntur, piſceſque multo maiores quàm in hoc interiori. Scribit etiam Nearchus quum ex Cyizis nauigarent, ſub auroram vidiſſe ſe aquam ſurſum è mari efflari, & tāquam violento quodam turbine in altum efferri, perculſóſque ſpectaculo rei nautas percōtatos eſſe ex ducibus nauigationis quidnam hoc ſibi vellet, eóſque reſpondiſſe, cete eſſe, quæ in mari volutantia aquam ſurſum efflent: nautiſque at-D tonitis remos è manibus excidiſſe. Ipſe inſtans eos hortabatur atque animabat: propiúſque adnauigans iuſſit vt naues aduerſis proris veluti ad naualem pugnam inſtructis in ea dirigerent: vtque aſſiduè validéque remigantes vnà cum ipſo remorum ſonitu ingentes etiam clamores ederent, tubíſque clangerent. Ita reuocatis animis ſimul omnes ſigno dato remigationi incubuiſſe. quúmque iam propiores belluis facti eſſent, quantum capita ferre poterant, acclamaſſe, tubáſque clanxiſſe, & remorum pulſum E ingentem ſonitum edidiſſe. atque ita cete quæ iam proris nauium appropinquare videbantur, exterrita in profundum ſeſe abdidiſſe: neque multo pòſt ad puppes emerſiſſe, ruſſumque magnam vndarum vim ſurſum efflaſſe. Tum incredibilem nautarum ob inopinatam ſalutem applauſum factum fuiſſe, Nearchi audaciam pariter & prudentiam laudantium. Nonnullæ verò balænæ interdū ad littus appelluntur, quæ recedente æſtu in vadis hærent: aliæ tempeſtatibus F in terram eiiciuntur, quibus putrefactis carnibúſque colliquatis oſſa remanent, quibus homines ad domos ædificandas vtuntur. Et laterum quidem oſſa vtpote maiora in trabes ædium deligunt: minora verò in tabulas. quæ verò in maxillis ſunt ad ianuas accipiunt: multa ſiquidem eorum x x v cubitos magnitudine excedūt. Nearchus Ichthyophagorum regionem præteruectus, cognouit inſulam quandam in eo mari eſſe,

centum fere ſtadiis à continente remotam, quæ habitatoribus vacua eſſet. Hãc indigenç Soli ſacram eſſe dicebant, Noſalámque vocari, neque à quoquam mortalium adiri. Si quis verò imprudens eò deferatur, eum non amplius cerni. Nearchus actuariam quandam nauem AEgyptiis nautis inſtructam, non procul ab hac inſula euanuiſſe ſcribit, nauigationiſque duces affirmaſſe, quòd imprudentes in eam inſulam delati ex oculis hominum ſublati fuerint. Idem nauim triginta remorum in circuitum inſulæ mittit, mandatis additis vt deſcenſu quidem in inſulam abſtinerent: ſed propius ad inſulæ oram adnauigantes hominibus acclamarent, & gubernatorem nominarent, aut alterius cuiuſpiam non obſcurum nomen. Quúmque nemo auderet, tum ſemet eò nauigaſſe dicit, ac nautas compuliſſe vel inuitos nauem appellere. quúmque in inſulam deſcendiſſet, vanã atque inanem fabulam compeririſſe quæ de inſula illa ſpargebatur. Audiſſe verò ſe etiam alium de hac inſula ſermonem ait: Habitaſſe hanc inſulam vnam Nereidum. eam cum omnibus qui eò appellerent commiſceri ſolitam: eóſque in piſces conuerſos in mare proiicere. Quã de cauſa iratum Nereidi ſolem iuſsiſſe vt ex ea inſula migraret: atque hanc quidem pollicitam eſſe ſe migraturam: cæterùm rogaſſe vt vitium hoc ei adimeret. & homines quos ex hominibus piſces fecerat, rurſus commiſeratione ductam ex piſcibus homines feciſſe. Ex iis Ichthyophagorum genus ad Alexandrum vſque perueniſſe. Ego verò Nearchum eo nomine nõ laudo, quòd otio & ſapientia in re non admodum difficili refellenda abuſus fuerit: arduum cenſens veteres mendacéſque fabulas recenſentem refutare. Supra Ichthyophagos Gadroſij in mediterraneis locis terram ſterilem atque arenoſam colunt: vbi & Alexandri exercitus & Alexander ipſe multa incommoda perpeſſus eſt, quemadmodum in alio opere narraui. Poſtquam verò ex Ichthyophagis in Carmaniam peruentum eſt, primùm ancoris in ſalo iactis conſtiterunt, quòd aſpera longè in mare petra porrecta eſſet. Exinde non ita directè ad occaſum nauigarunt, ſed inter occidentem & ſeptentrionẽ curſum tenuerunt. atq; ita Carmania arboribus fœcundior magiſque frugifera eſt quàm Ichthyophagorum aut Oritarũ regio: magis etiam herboſa, aquiſque abundans. Quum in Badichorum cultum Carmaniç locum appuliſſent, multas arbores pomiferas, exceptis oleis, repererunt. Erat & ea regio vitium & frumenti ferax. Inde ad DCCC ſtadia progreſsi, ad littus deſertum appellunt. Ex eo loco promontoriũ ingens longè in mare porrectũ conſpiciunt, quod vnius diei nauigatione inde abeſſe videbatur. Periti locorum Arabiæ promontorium id eſſe dicebant, vocarique Macetam. Inde cinnanómum & alia eiuſcemodi aromata in Aſſyrios vehi. Ab eo littore vbi claſsis ancoris in ſalo iactis conſtiterat, & promontorio quod exaduerſo in mare porrectũ conſpexerant, ſinus meo iudicio, vt & Nearcho

A νῆσος, ἣ κεῖται μὲν ἀπέχουσα τῆς ταύτῃ ἠπείρου σταδίους ἐς ἑκατὸν, ἐρήμη δέ ἐστιν οἰκητόρων. ταύτην ἱρὴν ἡλίου ἔλεγον εἶναι οἱ ἐπιχώριοι, καὶ Νόσαλα καλέεσθαι, οὐδέ τινα ἀνθρώπων καταίρειν ἐθέλειν ἐς αὐτήν· ὅστις δ᾽ ἂν ὑπ᾽ ἀγνοίης προσσχῇ, γίνεσθαι ἀφανέα. ἀλλὰ λέγει Νέαρχος, κέρκουρόν σφιν ἕνα πλήρωμα ἔχοντα Αἰγυπτίων, οὐ πόρρω τῆς νήσου ταύτης γενέσθαι ἀφανέα, καὶ ὑπὲρ τούτου τοὺς ἡγεμόνας τοῦ πλόου διισχυρίζεσθαι, ὅτι ἄρα καταπλεύσαντες ὑπ᾽ ἀγνοίης εἰς τὴν νῆσον γένοιντο ἀφανέες. Νέαρχος δὲ πέμπει κύκλῳ περὶ τὴν νῆσον τριηκόντορον,
B κελεύσας μὴ κατασχεῖν μὲν ἐς τὴν νῆσον, ἐμβοᾶν δὲ τοὺς ἀνθρώπους, ὡς μάλιστα ἐν χρῷ παραπλέοντας, καὶ τὸν κυβερνήτην ὀνομάζοντας, καὶ ὅτου ἄλλου οὐκ ἀφανὲς τὸ οὔνομα. ὡς δὲ οὐδένα ὑπακούειν, τότε δὴ αὐτὸς λέγει πλεῦσαι ἐς τὴν νῆσον, καὶ κατασχεῖν δὴ προσαναγκάσαι τοὺς ναύτας οὐκ ἐθέλοντας· καὶ ἐκβῆναι αὐτὸς, καὶ ἐλέγξαι κενὸν μῦθον ἐόντα τὸν περὶ τῇ νήσῳ λόγον. ἀκοῦσαι δὲ καὶ ἄλλον λόγον ὑπὲρ τῆς νήσου ταύτης λεγόμενον, οἰκῆσαι τὴν νῆσον ταύτην μίαν τῶν Νηρηίδων· τὸ δὲ οὔνομα οὐ λέγεσθαι τῆς Νηρηίδος. ταύ-
C τῃ δὲ ὅστις πελάσειε τῇ νήσῳ, τούτῳ συγγίνεσθαι μὲν, ἰχθὺν δὲ ἐξ ἀνθρώπου ποιεῦσαν, αὐτὸν ἐμβάλλειν ἐς τὸν πόντον. ἥλιον δὲ ἀχθεσθέντα τῇ Νηρηίδι, κελεύειν μετοικίζεσθαι αὐτὴν ἐκ τῆς νήσου. τὴν δὲ ὁμολογεῖν μὲν ὅτι ἐξοικισθήσεται, δεῖσθαι δέ οἱ τὸ πάθημα καὶ τὸν ἥλιον ὑποδέξασθαι. τοὺς δὲ δὴ ἀνθρώπους οὕστινας αὖ ἰχθύας ἐξ ἀνθρώπων πεποίηκε, κατελεήσαντα αὐτὴν ἀνθρώπους αὖθις ἐξ ἰχθύων ποιῆσαι· καὶ ἀπὸ τούτων τὸ τῶν Ἰχθυοφάγων γένος καὶ εἰς Ἀλέξανδρον κατελθεῖν. καὶ ταῦτα ὅτι ψευδέα ἐξελέγχει Νέαρχος, οὐκ ἐπαινῶ αὐτὸν ἔγωγε τῆς σχολῆς τε καὶ σοφίης, οὔτε κάρτα
D χαλεπὰ ἐξελεγχθῆναι ἐόντα· ταλαίπωρον γὰρ ὂν γινώσκων τοὺς παλαιοὺς λόγους ἐπιλεγόμενον ἐξελέγχειν ἐόντας ψευδέας. Ὑπὲρ τοὺς Ἰχθυοφάγους Γαδρώσιοι ἐς τὸ ἄνω οἰκέουσι γῆν πονηρὴν καὶ ψαμμώδεα. ἔνθεν καὶ τὰ πολλὰ κακὰ ἥ τε στρατιὴ τῷ Ἀλεξάνδρῳ ἔπαθε, καὶ αὐτὸς Ἀλέξανδρος, ὥς μοι ἤδη ἐν τῷ ἄλλῳ λόγῳ ἀπήγηται. ὡς δὲ ἐς τὴν Καρμανίην ἀπὸ τῶν Ἰχθυοφάγων κατῆρεν ὁ στρατὸς, ἐνταῦθα ἵνα πρῶτον τῆς Καρμανίης ὡρμίσαντο, ἐπ᾽ ἀγκυρέων ἐσάλευσαν, ὅτι ῥηχίη παρετέτατο ἐς τὸ πέλαγος τρηχείη. ἐνθένδε δὲ
E ὡσαύτως οὐκέτι πρὸς ἡλίου δυομένου ἔπλεον· ἀλλὰ τὸ μεταξὺ δύσιός τε ἡλίου καὶ τῆς ἄρκτου οὕτω μᾶλλόν τι αἱ πρῷραι αὐτοῖσιν ἐπεῖχον. καὶ οὕτω ἡ Καρμανίη τῶν Ἰχθυοφάγων τῆς γῆς καὶ τῶν Ὠρειτῶν εὐδενδροτέρη τε καὶ εὐκαρποτέρη ἐστὶ, καὶ ποιώδης μᾶλλόν τι καὶ ἔνυδρος. ὁρμίζονται δὲ ἐν Βαδεῖ χώρῳ τῆς Καρμανίης οἰκουμένῳ, δένδρεά τε πολλὰ ἥμερα πεφυκότα ἔχοντι, πλὴν ἐλαίης, καὶ ἀμπέλους ἀγαθὰς, καὶ σιτοφόρῳ. ἔνθεν δὲ ὁρμηθέντες, καὶ διεκπλώσαν-
F τες σταδίους ὀκτακοσίους, πρὸς αἰγιαλῷ ὁρμίζονται ἐρήμῳ. καὶ καθορῶσιν ἄκρην μακρὴν, ἀνέχουσαν ἐπὶ πολλὸν ἐς τὸ πέλαγος. ἀπέχειν δὲ ἐφαίνετο ἡ ἄκρη πλόον ὡς ἡμέρης. καὶ οἱ τῶν χωρίων ἐκείνων δαήμονες τῆς Ἀραβίης ἔλεγον τὴν ἀνίσχουσαν ταύτην ἄκρην· καλέεσθαι δὲ Μάκετα. ἔνθεν τὰ κιννάμωμά τε καὶ ἄλλα τοιουτότροπα ἐς Ἀσσυρίους ἀγινέεσθαι· καὶ ἀπὸ τοῦ αἰγιαλοῦ τούτου, ἵνα περ ὁ στόλος ἐσάλευε, καὶ τῆς ἄκρης, ἥν τινα καταντικρὺ ἀφεώρων ἀνέχουσαν ἐς τὸ πέλαγος, ὁ κόλπος ἐμοί τε δοκεῖ, καὶ Νεάρχῳ

ὡσαύτως

ὡς αὐτοῖς ἐδόκεεν, ἐς τὸ εἴσω ἀναχέεσθαι, ὅπερ εἰκὸς, ἡ ἐρυθρὴ θάλασσα. ταύτην τὴν ἄκρην ὡς κατεῖδον, Ὀνησίκριτος μὲν ἐπέχοντας ἐπ' αὐτὴν πλέειν ἐκέλευεν, ὡς μὴ κατὰ τὸν κόλπον ἐλαστρέοντας ταλαιπωρέεσθαι. Νέαρχος δὲ ἀποκρίνεται νήπιον Ὀνησίκριτον, εἰ ἀγνοέει ἐπ' ὅτεῳ ἐστάλη πρὸς Ἀλεξάνδρου ὁ στόλος. οὐ γὰρ ὅτι ἀπορίῃ ἦν πεζῇ διασωθῆναι πάντα αὐτῷ τὸν στρατὸν, ἐπὶ τῷδε ἄρα ἐκπέμψαι τὰς νέας· ἀλλὰ ἐθέλοντα αἰγιαλούς τε τοὺς κατὰ τὸν παράπλουν κατασκέψασθαι, καὶ ὅρμους καὶ νησῖδας, καὶ ὅστις κόλπος ἐπέχοι, ἐκπεριπλῶσαι τοῦτον, καὶ πόλιας ὅσαι ἐπιθαλάσσιαι, καὶ εἴ τις ἔγκαρπος γῆ, καὶ εἴ τις ἐρήμη. σφᾶς ὦν οὐ χρῆναι ἀφανίσαι τὸ ἔργον, πρὸς τέρματι ἤδη ἐόντας τῶν πόνων, ἄλλως τε οὐδὲ ἀπόρους ἔτι τῶν ἀναγκαίων ἐν τῷ παράπλῳ ἔχοντας· δεδιέναι τε, ὅτι ἡ ἄκρη ἐς μεσημβρίην ἀνέχει, μὴ ἐρήμῳ τε τῇ ταύτῃ γῇ καὶ ἀνύδρῳ καὶ φλογώδεϊ ἐγκύρσωσιν. ταῦτα ἐνίκα. καί μοι δοκέει περιφανέως σῶσαι τὴν στρατιὴν τῇδε τῇ βουλῇ Νέαρχος. τὴν γὰρ δὴ ἄκρην ἐκείνην, καὶ τὴν πρὸς αὐτῇ χώρην πᾶσαν, ἐρήμην τε εἶναι λόγος κατέχει, καὶ ὕδατος ἀπορίῃ ἔχεσθαι. ἀλλὰ ἔπλωον γὰρ ἀπὸ τοῦ αἰγιαλοῦ ἄραντες, τῇ γῇ προσεχέες· καὶ πλώσαντες σταδίους ὡς ἑπτακοσίους, ἐν ἄλλῳ αἰγιαλῷ ὡρμίσαντο· Νεόπτανα ὄνομα τῷ αἰγιαλῷ. καὶ αὖθις ὑπὸ τὴν ἕω ἀνήγοντο· καὶ πλώσαντες σταδίους ἑκατὸν, ὁρμίζονται κατὰ τὸν ποταμὸν Ἄναμιν· ὁ δὲ χῶρος Ἁρμόζεια ἐκαλέετο. φιλία δὲ ἤδη καὶ πάμφορα ταύτῃ ἦν, πλὴν ἐλαῖαι οὐ πεφύκεσαν. ἐνταῦθα ἐκβαίνουσί τε ἐκ τῶν νεῶν, καὶ ἀπὸ τῶν πολλῶν πόνων ἄσμενοι ἀνεπαύοντο, μεμνημένοι ὅσα κακὰ κατὰ τὴν θάλασσαν πεπόνθεσαν, καὶ πρὸς τῇ γῇ τῶν Ἰχθυοφάγων, τήν τε ἐρημίην τῆς χώρης, καὶ τοὺς ἀνθρώπους ὅπως θηριώδεες, καὶ τὰς σφῶν ἀπορίας ἐπιλεγόμενοι. καί τινες αὐτῶν ἀπὸ θαλάσσης ἐς τὸ πρόσω ἀνῆλθον, ἀποσκεδασθέντες τῆς στρατιῆς κατὰ ζήτησιν ἄλλος ἄλλου. ἐνταῦθα ἄνθρωπός σφισιν ὤφθη, χλαμύδα τε φορέων Ἑλληνικὴν, καὶ τὰ ἄλλα ὡς Ἕλλην ἐσκευασμένος, καὶ φωνὴν Ἑλλάδα ἐφώνεε. τοῦτον οἱ πρῶτοι ἰδόντες, δακρῦσαι ἔλεγον· οὕτω τι παράλογον σφίσι φανῆναι, ἐκ τῶν τοσῶνδε κακῶν Ἕλληνα μὲν ἄνθρωπον ἰδεῖν, Ἑλλάδος δὲ φωνῆς ἀκοῦσαι. ἐπηρώτων τε ὁπόθεν ἥκοι, καὶ ὅστις ὤν. ὁ δὲ ἀπὸ τοῦ στρατοπέδου τοῦ Ἀλεξάνδρου ἀποσκεδασθῆναι ἔλεγε, καὶ εἶναι οὐ πόρρω τὸ στρατόπεδον, καὶ αὐτὸν Ἀλέξανδρον. τοῦτον τὸν ἄνθρωπον βοῶντές τε καὶ κροτέοντες ἀνάγουσι παρὰ τὸν Νέαρχον· καὶ Νεάρχῳ πάντα ἔφρασε, καὶ ὅτι πέντε ἡμερέων ὁδὸν ἀπέχει τὸ στρατόπεδον καὶ ὁ βασιλεὺς ἀπὸ τῆς θαλάσσης. τόν τε ὕπαρχον τῆς χώρης ταύτης δείξειν ἔφη Νεάρχῳ, καὶ ἔδειξε. καὶ μετὰ τούτου Νέαρχος γνώμην ποιέεται, ὅπως ἀναβήσεται πρὸς βασιλέα. τότε μὲν δὴ ἐπὶ τὰς νέας ἀπῆλθον. ὑπὸ δὲ τὴν ἕω τὰς νέας ἀνείλκυε, ἐπισκευῆς τε εἵνεκα, ὅσαι αὐτῶν κατὰ τὸν πλοῦν πεπονήκεσαν· καὶ ἅμα ὅτι ἐν τῷ χώρῳ τούτῳ ὑπολείπεσθαί οἱ ἐδόκεε τὸν πολλὸν στρατόν. χάρακά τε ὦν περιβάλλεται διπλοῦν ἐπὶ τῷ ναυστάθμῳ, καὶ τεῖχος γήϊνον, καὶ τάφρον βαθείην, ἀπὸ τοῦ ποταμοῦ τῆς ὄχθης δεξάμενος, ἔστε ἐπὶ τὸν αἰγιαλὸν, ἵνα αἱ νέες αὐτῷ ἀνειρυσμέναι ἦσαν. ἐν ᾧ δὲ ὁ Νέαρχος ταῦτα ἐκόσμεε, τῆς χώρης ὁ ὕπαρχος πεπυσμένος ὅπως ἐν μεγάλῃ φροντίδι ἔχοι

A visum eſt, introrſum refunditur, qui quidem mare Rubrum appellatur. Id promõtorium vbi conſpicati ſunt, Oneſicritus claſſem eò dirigi iubebat. Nearchus parum prudentem eſſe Oneſicritum reſpondit, ſi neſciret quam ad rem Alexander claſſem miſiſſet. Neque enim quia pedeſtri itinere totum exercitum traducere ſaluũ non poſſet, eam ob cauſam naues emiſſas: ſed quòd vellet omnia littora, portúſque & inſulas perluſtrari, omnes etiam ſinus pernauigari, & vrbes quæ ad mare ſitæ eſſent: quæve regio fertilis, quæ deſerta ſit inquiri. Non debere itaque eos totum B negotium peruertere, quum iam ad finem laborum perueniſſent, præcipuè quum res omnes ad nauigationem neceſſariæ eos non deficerent: vereri etiam ſe, quòd promontorium illud in meridiem vergeret, ne in deſertam, & ſiticuloſam torridámque regionem inciderent. Nearchi ſententia vicit. & mihi quidem Nearchus hoc conſilio claſſem vniuerſam ſeruaſſe videtur. Promontorium enim illud, omnémq; regionem illi circumiectam, deſertam eſſe fama eſt, ſummáque aquarum penuria laborare. Mota igitur claſſe, terræ adnauigantes, D C C. ſtadiis emenſis, ad aliud littus, cui Neoptana nomen eſt, C appellunt: rurſúſque ſub auroram inde ſoluunt, & centum ſtadiis enauigatis, ad fluuiũ Anamim perueniunt. Locus ipſe Harmozia vocatur. amicam ibi omniúmque rerum feracem regionem nacti ſunt: oleas tantùm non ferebat. Hîc nauibus egreſſi, cupidè à tot tantíſque laboribus conquierunt, cum iucũda tot malorum quæ mari perpeſſi fuerant recordatione. memoria etiam recolebant, quæ apud Ichthyophagos, in deſertis D regionibus, apud efferatos homines, in ſumma rerum omnium inopia pertuliſſent. Quidam verò interius remotiúſque à mari progreſſi, & ab exercitu ſeiũcti ſunt, alius alium quærentes. Repertus hîc eſt ab eis quidam Græcanica chlamyde reliquóq; habitu Græco indutus, linguam etiam Grecam ſonans, ad cuius primum conſpectũ collacrymatos ferunt: adeo nouũ atque inſolẽs iis videbatur, poſt tot mala hominem Græcum cernere. Interrogarunt itaque, vnde veniret, & E quis eſſet. Ille ſe ab exercitu Alexandri ſeiunctum eſſe reſpondit, caſtráque atque adeò ipſum Alexandrum non procul abeſſe. Hunc hominẽ ipſi confeſtim gaudio exultãtes ad Nearchũ adducunt: qui rem omnem ei retulit, caſtráque & regẽ quinque dierum itinere inde abeſſe. Præſidem etiam illius regionis Nearcho nominauit & oſtendit. tũ Nearchus cũ eo conſiliũ capit quo pacto ad regẽ reuerti poſſit: ſimúlque ad claſſem ſe ſe recipiunt. Poſtridie verò ſub lucem ſubduci F naues iubet, partim vt quæ longa nauigatione quaſſatæ erant, reficerentur: partim quòd magnam exercitus partem ibi relinquere ſtatuerat. Duplici itaque vallo & muro terreo nauale cingit, foſſámque profundam à ripa fluminis ad eam littoris partem in quam naues ſubductæ erant, ducit. Interea dum hæc à Nearcho parantur, præſes regionis quum audiſſet Ale-

xandrum vehementer de claſſe hac ſolicitum eſſe, magnum aliquod munus ſe ab Alexandro accepturũ arbitratus, ſi primus nuntiaret exercitum ſaluum eſſe, & Nearchum propediem in cõſpectum regis venturũ: cõpendio viæ inito, renuntiat Alexãdro, Nearchum à nauibus venire. Alexander tametſi fidẽ eius verbis non haberet, magnam tamẽ vt par eſt ex eo nuntio lætitiã cepit. Quum verò alius ex alio dies traheretur, & tempus ex quo nuntium allatum fuerat cõferret, nõ iam amplius credibile ei videbatur. quúmq; alij atque alij mitterentur qui Nearchũ adueherent, nonnulliq; aliquantulũ viæ progreſſi Nearchũ non offenderent, ne ipſi quidem reuertebantur. Tum Alexander hominem illum tanquam mendacis nuntij autorem, quíque ſuum mœrorẽ vano illo gaudio duplicarat, cõprehendi iubet: ingentémq; dolorẽ & vultu & animo præ ſe ferebat. Interea nonnulli qui cum equis & vehiculis ad quærendum adducendúmq; Nearchũ miſſi fuerant, in ipſo itinere Nearcho & Archiæ obuij facti ſunt: qui quidẽ aliis quinque aut ſex viris comitati veniebant. Neque tamen primo aſpectu vel Nearchũ vel Archiam agnouerunt: adeo immutati atque ab ſeipſis diuerſi erant, hirſuti & ſordidi, ſalſuginéque repleti, rugoſi, ſqualidi, & ex multis vigiliis laboribúſq; pallidi. Interrogantibus enim illis vbinã eſſet Alexander, cognito loco, iter ſuum perſecuti ſunt. Tum Archias animaduerſa re ad Nearchũ cõuerſus ait, » Homines iſtos, Nearche, eadẽ qua nos via per deſerta » cõtendere non aliã ob cauſam iudico, quàm » quòd nos quæſitũ miſſi ſint. Quod verò nos » non agnoſcunt, equidẽ non miror: ita enim » ſqualidi maléque habiti ſumus, vt agnoſci » non poſſimus. Significemus itaque eis quinam ſimus, eóſque viciſſim percontemur, quam ad rem hoc itinere proficiſcãtur: Nearcho Archiæ conſiliũ perquam opportunũ eſt viſum. Rogarunt itaque quónam proficiſcerentur, qui reſpõdent, Nearchũ ſe & naualẽ exercitũ quæſitũ ire: ſtatímq; Nearchũ » reſpondiſſe, Hic ego ſum Nearchus, & hic, » Archias. at vos nobis duces itineris eſtote: » nos Alexãdro de claſſe referemus. Illis itaq; in vehicula exceptis, ad regem reuertuntur. Nõnulli horũ, nuntiũ celeritate præuertere cupiẽtes, præcurrẽtes Alexãdro nuntiarunt Nearchum ipſum, & cum eo Archiã ac quinque alios aduentare: de exercitu verò, nihil ſeſe explorati quod nuntiẽt habere. Ex hoc ipſo nuntio colligebat Alexãder, Nearchũ quidẽ & Archiã præter opinionẽ & fortuitò ſeruatos eſſe, exercitũ verò vniuerſũ periiſſe. neque tantum gaudij ex Nearchi & Archiæ ſalute percepit, quantũ ex amiſſa claſſe mœroris. necdum hic ſermo deſierat, quũ Nearchus & Archias adueniunt, quos Alexãder difficulter admodũ agnoſcere potuit, quòd ita hirſutos & ſqualidos maléq; habitos cerneret: tantóque magis eius dolor ob amiſſũ exercitum naualem confirmabatur. Iniecta tamen Nearcho dextra, eóque ſeorſim ab amicis & argyraſpidibus abducto, multo tempore collacrymatus eſt. Tandem repreſſis lacrymis, Enimuero quòd tu (inquit) Nearche &

Fort. τὴν βραχύτητα, vt ſubaudiatur ſubſtantiuũ ὁδὸν.

A Ἀλέξανδρος τὰ ἀμφὶ τὸν στόλον τοῦτον, μέγα δή τι ἐξ Ἀλεξάνδρου ἀγαθὸν ἀνέγνω πείσεσθαι, εἰ πρῶτος ἀπαγγείλειε τοῦ στρατοῦ τὴν σωτηρίην, καὶ τοῦ Νεάρχου, ὅτι οὐ πολλῷ ὕστερον ἀφίξεται ἐς ὄψιν τὴν βασιλέως· οὕτω δὴ τὴν βραχύτητα ἐλάσας, ἀπαγγέλλει Ἀλεξάνδρῳ, ὅτι Νέαρχος οὗτος προσάγει ἀπὸ τῶν νεῶν. τότε μὲν δὴ καίπερ ἀπιστέων τῷ λόγῳ Ἀλέξανδρος, ἀλλὰ ἐχάρη γε κατὰ τὸ εἰκὸς τῇ ἀγγελίῃ. ὡς δὲ ἡμέρη τε ἄλλη ἐξ ἄλλης ἐγίνετο, καὶ ξυντιθέντι αὐτῷ τῆς ἀγγελίης τὸν χρόνον, οὐκέτι πιστὰ τὰ ἐξηγγελμένα ἐφαίνετο· B πεμπόμενοί τε ἄλλοι ἐπ᾽ ἄλλοισιν, ὡς ἐπὶ κομιδῇ τοῦ Νεάρχου, οἱ μέν τινες ὀλίγον τῆς ὁδοῦ προελθόντες, καὶ διαμαρτόντες τῶν ἀμφὶ τὸν Νέαρχον, οὐδὲ αὐτοὶ ἐπανήεσαν· ἐνταῦθα δὴ τὸν μὲν ἄνθρωπον ἐκεῖνον, ὡς κενά τε ἀγγείλαντα, καὶ λυπηρότερά οἱ τὰ πρήγματα ποιήσαντα τῇ ματαίῃ εὐφροσύνῃ, συλλαβεῖν κελεύει Ἀλέξανδρος· αὐτὸς δὲ τῇ τε ὄψει καὶ τῇ γνώμῃ δῆλος ἦν μεγάλῳ ἄχει βεβλημένος. ἐν τούτῳ δὲ τῶν τινες κατὰ ζήτησιν τοῦ Νεάρχου ἐσταλμένων, ἵππους τε ἐπὶ κομιδῇ αὐτῶν καὶ ἀπήνας δὲ ἄγοντες, ἐντυγχάνουσι κατὰ τὴν ὁδὸν αὐτῷ τε τῷ Νεάρχῳ C καὶ τῷ Ἀρχίῃ, καὶ πέντε ἢ ἓξ ἅμα αὐτοῖσι· μετὰ τοσούτων γὰρ ἀνήει. καὶ ἐντυχόντες, οὔτε αὐτὸν ἐγνώρισαν, οὔτε τὸν Ἀρχίην. οὕτω τοι κάρτα ἀλλοῖοι ἐφαίνοντο, κομόωντές τε καὶ ῥυπόωντες, καὶ μεστοὶ ἅλμης, καὶ ῥικνοὶ τὰ σώματα, καὶ ὠχροὶ ὑπὸ ἀγρυπνίης τε καὶ τῆς ἄλλης ταλαιπωρίης. ἀλλὰ ἐρομένοισι γὰρ αὐτοῖς ἵναπερ εἴη Ἀλέξανδρος, ὑποκρινάμενοι τὸν χῶρον, οἱ δὲ παρήλαυνον. Ἀρχίης δὲ ἐπιφρασθεὶς λέγει πρὸς Νέαρχον, Ὦ Νέαρχε, τούτους τοὺς ἀνθρώπους δι᾽ ἐρημίης ἐλαύνειν D τὴν αὐτὴν ἡμῖν ὁδὸν, οὐκ ἐπ᾽ ἄλλῳ τινὶ συντίθημι, ἢ ὅτι μὴ κατὰ ζήτησιν ἡμετέρην ἀπεσταλμένους· ὅτι δὲ οὐ γινώσκουσιν ἡμέας, οὐκ ἐν θαύματι ποιέομαι. οὕτω γάρ τοι ἔχομεν κακῶς, ὡς ἄγνωστοι εἶναι. φράσωμεν ὦν αὐτοῖς οἵτινες εἰμέν· καὶ τούς ἐρώμεθα καθ᾽ ὅ,τι ταύτῃ ἐλαύνουσιν. ἔδοξε τῷ Νεάρχῳ ἐναίσιμα λέγειν. καὶ ἤροντο ὅποι ἐλαύνουσιν· οἱ δὲ ὑποκρίνονται, ὅτι κατὰ ζήτησιν Νεάρχου τε καὶ τοῦ στρατοῦ τοῦ ναυτικοῦ. ὁ δὲ, Οὗτος, ἔφη ἐγώ εἰμι Νέαρχος, καὶ Ἀρχίης, οὗτος. ἀλλ᾽ ἄγετε ἡμέας· ἡμεῖς δὲ τὰ ὑπὲρ τῆς στρατιῆς Ἀλεξάνδρῳ ἀπηγησόμεθα. E ἀναλαβόντες ὦν αὐτοὺς ἐπὶ τὰς ἀπήνας, ὀπίσω ἤλαυνον. καί τινες αὐτῶν τούτων ὑποφθάσαι ἐθελήσαντες τὴν ἀγγελίην, προδραμόντες λέγουσιν Ἀλεξάνδρῳ, ὅτι οὗτός τοι Νέαρχος, καὶ σὺν αὐτῷ Ἀρχίης καὶ πέντε ἄλλοι κομίζονται παρὰ σε· ὑπὲρ δὲ τοῦ στρατοῦ παντὸς οὐδὲν εἶχον ὑποκρίνασθαι. τοῦτο ὦν ἐκεῖνο συνθεὶς ὁ Ἀλέξανδρος, τοὺς μὲν παραλόγως ἀποσωθῆναι, τὴν στρατιὴν δὲ πᾶσαν διεφθάρθαι αὐτῷ, οὐ τοσόνδε τοῦ Νεάρχου τε καὶ τοῦ Ἀρχίου τῇ σωτηρίῃ ἔχαιρεν, ὅσον ἐλύπει αὐτὸν ἀπολομένη ἡ στρατιὰ πᾶσα. οὔπω πάντα ταῦτα F εἴρητο, καὶ ὁ Νέαρχός τε καὶ ὁ Ἀρχίης προσῆγον. τοὺς δὲ μόγις καὶ χαλεπῶς ἐπέγνω Ἀλέξανδρος, ὅτι τε κομόωντας καὶ κακῶς ἐσταλμένους καθεώρα, ταύτῃ μᾶλλόν τι βεβαιότερον αὐτῷ τὸ ἄχος ὑπὲρ τῆς στρατιῆς τῆς ναυτικῆς ἐγίνετο. ὀψὲ δὲ τὴν δεξιὴν τῷ Νεάρχῳ ἐμβαλὼν καὶ ἀπαγαγὼν μόνον αὐτὸν ἀπὸ τῶν ἑταίρων τε καὶ τῶν ὑπασπιστῶν, πολλὸν ἐπὶ χρόνον ἐδάκρυεν. ὀψὲ δὲ ἀνενεγκὼν, Ἀλλὰ ὅτι σύ γε ἡμῖν ἐπανήκεις σῶς (ἔφη) καὶ

Ἀρχίης οὗτος, ἔχοι ἂν ἔμοιγε ὡς ἐπὶ συμφορῇ τῇ ἁπάσῃ μετρίως· αἱ δέ τοι νέες καὶ ἡ στρατιὴ κοίῳ τινὶ τρόπῳ διεφθάρησαν; ὁ δὲ ὑπολαβὼν, Ὦ βασιλεῦ (ἔφη) καὶ αἱ νέες τοι σῶαι εἰσὶ, καὶ ὁ στρατός· ἡμεῖς δὲ οὗτοι ἄγγελοι τῆς σωτηρίης αὐτῶν ἥκομεν. ἔτι ὦν μᾶλλον ἐδάκρυε Ἀλέξανδρος, καθότι ἀνέλπιστός οἱ ἡ σωτηρίη τοῦ στρατοῦ ἐφαίνετο· καὶ ὅπου ὁρμέουσιν αἱ νέες ἐπανηρώτα. ὁ δὲ, αὗται (ἔφη) ἐν τῷ στόματι τοῦ Ἀνάμιδος ποταμοῦ ἀνειρυσμέναι ἐπισκευάζονται. Ἀλέξανδρος δὲ τόν τε Δία τῶν Ἑλλήνων, καὶ τὸν Ἄμμωνα τὸν Λιβύων ἐπόμνυεν, ἦ μὴν μεῖζον ὡς ἐπὶ τῇδε τῇ ἀγγελίῃ χαίρειν, ἢ ὅτι τὴν Ἀσίην πᾶσαν ἐκτημένος ἔρχεται. καὶ γὰρ καὶ τὸ ἄχος οἱ ἐπὶ τῇ ἀπωλείῃ τῆς στρατιῆς ἀντίρροπον γενέσθαι τῇ ἄλλῃ πάσῃ εὐτυχίῃ. ὁ δὲ ὕπαρχος τῆς χώρης, ὅντινα συνειλήφει Ἀλέξανδρος ἐπὶ τῆς ἀγγελίης τῇ ματαιότητι, παρεόντα κατιδὼν τὸν Νέαρχον, πίπτει τε αὐτῷ πρὸς τὰ γόνατα, καὶ, Οὗτός τοι (ἔφη) ἐγώ εἰμι, ὃς ἀπήγγελλα Ἀλεξάνδρῳ ὅτι σῶοι ἥκετε. ὁρᾷς ὅπως διάκειμαι. οὕτω δὴ δέεται Ἀλεξάνδρου Νέαρχος ἀφεῖναι τὸν ἄνδρα, καὶ ἀφίεται. Ἀλέξανδρος δὲ σωτήρια τοῦ στρατοῦ ἔθυε Διὶ σωτῆρι, καὶ Ἡρακλεῖ, καὶ Ἀπόλλωνι ἀλεξικάκῳ, καὶ Ποσειδῶνί τε, καὶ ὅσοι ἄλλοι θεοὶ θαλάσσιοι. καὶ ἀγῶνα ἐποίεε γυμνικόν τε καὶ μουσικὸν, καὶ πομπὴν ἔπεμπε· καὶ Νέαρχος ἐν πρώτοις ἐπόμπευε, ταινίῃσί τε καὶ ἄνθεσι πρὸς τῆς στρατιῆς βαλλόμενος. ὡς δὲ ταῦτά οἱ τέλος εἶχε, λέγει πρὸς Νέαρχον, Ἐγώ σε ὦ Νέαρχε οὐκέτι θέλω τὸ πρόσω οὔτ' συγκινδυνεύειν, οὔτ' συνταλαιπωρέεσθαι. ἀλλὰ ἄλλος γὰρ τοῦ ναυτικοῦ ἐξηγήσεται τὸ ἀπὸ τοῦδε, ἔστε καταστῆσαι αὐτὸ ἐς Σοῦσα. Νέαρχος δὲ ὑπολαβὼν λέγει, Ὦ βασιλεῦ, ἐγὼ μέντοι πάντα πείθεσθαι ἐθέλω τε καὶ ἀναγκαίη μοι ἐστίν. ἀλλὰ εἰ δή τι καὶ σὺ ἐμοὶ χαρίζεσθαι ἐθέλοις, μὴ ποιήσῃς ὧδε. ἀλλά με ἔασον ἐξηγήσασθαι ἐς ἅπαν τοῦ στρατοῦ, ἔστε σοι σώας καταστήσω ἐς Σοῦσα τὰς νέας. μηδὲ τὰ μὲν χαλεπά τε αὐτοῦ καὶ ἄπορα ἐμοὶ ἐπιτετραμμένα ἐκ σοῦ ἔστω· τὰ δὲ εὐπετέα τε καὶ κλέους ἤδη ἑτοίμου ἐχόμενα, ταῦτα δὲ ἀφαιρεθέντα, ἄλλῳ ἐς χεῖρας διδόσθω. ἔτι λέγοντα παύει αὐτὸν Ἀλέξανδρος, καὶ χάριν προσωμολόγει εἰδέναι. οὕτω δὴ καταπέμπει αὐτὸν, στρατιὴν δοὺς ἐς παραπομπὴν, ὡς διὰ φιλίας ἰόντι, ὀλίγην. τῷ δὲ, οὐδὲ τὰ τῆς ὁδοῦ τῆς ἐπὶ θάλασσαν ἔξω πόνου ἐγένετο· ἀλλὰ συλλελεγμένοι γὰρ οἱ κύκλῳ βάρβαροι, τὰ ἐρυμνὰ τῆς χώρης τῆς Καρμανίης κατεῖχον, ὅτι καὶ ὁ σατράπης αὐτοῖσι τετελευτήκει κατὰ πρόσταξιν Ἀλεξάνδρου. ὁ δὲ νεωστὶ καθεστηκὼς Τληπόλεμος, οὔπω βέβαιον τὸ κράτος εἶχε. καὶ δὶς ὦν καὶ τρὶς τῇ αὐτῇ ἡμέρῃ ἄλλοισι καὶ ἄλλοισι τῶν βαρβάρων ἐπιφαινομένοισιν ἐς χεῖρας ἤεσαν· καὶ οὕτως οὐδέν τι ἐλινύσαντες, μόλις καὶ χαλεπῶς ἐπὶ θάλασσαν ἀπεσώθησαν. ἐνταῦθα θύει Νέαρχος Διὶ σωτῆρι, καὶ ἀγῶνα ποιέει γυμνικόν. ὡς δὲ αὐτῷ τὰ θεῖα ἐν κόσμῳ πεποίητο, οὕτω δὴ ἀνήγοντο. παραπλώσαντες δὲ νῆσον ἐρήμην τε καὶ τραχέην, ἐν ἄλλῃ νήσῳ ὁρμίζονται, μεγάλῃ ταύτῃ καὶ οἰκεομένῃ, πλώσαντες σταδίους τριηκοσίους, ἔνθεν περ ὡρμήθησαν. καὶ ἡ μὲν ἐρήμη νῆσος, Ὀργάνα ἐκαλέετο· ἐς ἣν δὲ ὡρμήθησαν, Ὀάρακτα· ἄμπελοί τε ἐν αὐτῇ ἐπεφύκεσαν, καὶ φοίνικες, καὶ σιτοφόροι. τὸ δὲ μῆκος ἦν τῆς νήσου, στάδιοι ὀκτακόσιοι.

A Archias ſoſpites ac ſalui redieritis, moderatius vniuerſæ claſſis iacturã fero: at verò naues & exercitus quonam pacto perierunt? Tum Nearchus regis ſermonẽ excipiens, Saluæ ſunt (inquit) tibi rex & naues & exercitus: nos verò huius ſalutis nuntij venimus. tum vberiores Alexandro lacrymæ manarũt, ꝙ præter omnẽ expectationẽ ei exercitus ſaluus eſſet: ſimúlq; vbi portũ ceperint rogat. Nearchus eas ad fauces Anamidis fluuij cõſiſtere ait, atq; in terrã ſubductas refici. Poſt hæc Alexãder per Iouẽ Græcorũ & Ammo- B nem Libycum iurans affirmauit, gratius ſibi iucundiúſq; id nuntij accidiſſe, quàm ꝙ vniuerſam Aſiam ſubiugaſſet. Dolorẽ enim ob amiſſum exercitũ, vniuerſæ felicitati ſuæ parem fuiſſe. Præſes verò prouinciæ, quem ob nuntij vanitatẽ cõprehendi iuſſerat, Nearchum præſentẽ cõſpicatus, ei ad genua prouolutus, Ego, inquit, is ſum qui Alexandro nũtiaui vos ſaluos rediiſſe. vides quo pacto exceptus ſim. Tum rogatu Nearchi Alexã- C der eum dimitti iubet. Alexãder ob ſeruatũ exercitum, Ioui ſeruatori, atque Herculi, & Apollini Alexicaco, ſiue infortuniorũ propulſatori, & Neptuno, aliiſque diis marinis ſacrum fecit. Ludos etiam gymnicos & muſicos edidit, pompámque induxit: pompæ dux Nearchus erat, ſertis ac floribus ab omni exercitu petitus. His rebus peractis Alexander ita Nearchum alloquitur, Ego te, Nearche, nulla poſthac pericula aut labores adire volo. Sed alius claſſi præfectus eam in Suſas ducet. Nearchus regis ſermonem ex- D cipiens, Equidem, ô rex (inquit) tibi per omnia morem gerere & cupio, & debeo. Cæterùm ſiqua in re mihi gratificari volueris, hoc ne feceris: quin potius me vniuerſo exercitui præfectũ eſſe patiare, donec tibi naues ſaluas in Suſas perduxerim: néve quũ res arduæ atque difficiles mihi abs te commiſſæ fuerint: faciles, quarũ gloria iam in prõptu eſt, aliis in manus dederis. Adhuc loquentẽ ſedat Alexander, gratiã ſe illi habere profeſſus: atque ita eum dimittit, exiguo exercitu comitatum, quippe cui per amicam regio- E nem eundum eſſet. Cæterùm neque ipſa ad mare profectio Nearcho expers laboris fuit. Collecti enim vndequaque barbari tuta munitáque Carmaniæ loca occuparant. Nam ſatrapa eorum, iuſſu Alexandri, interfectus fuerat. Tlepolemus autem qui recens ſatrapatum inierat, nondum firmum imperium nactus erat. Bis itaque ac ter vno atque eodem die diuerſis in eum barbaris irruentibus pugnandum fuit. Atque ita magno cum labore ægrè tandem ac difficul- F ter ad mare ſalui peruenerunt. Ibi Nearchus Ioui ſeruatori ſacrum facit, gymnicóſque ludos edidit. Rebus itaque diuinis ritè peractis, oram ſoluit: hinc inſulam deſertam atque aſperam prætervecti, ad aliam inſulam grandem atque habitatam, c c c ſtadiis emenſis, appellunt, ibique portum capiũt. Deſerta illa inſula, Organa vocabatur: vbi verò conſtiterunt, Oaracta. Erat hæc vitium, palmarum, & frumenti ferax. Longitudo inſulæ D C C C ſtadia efficiebat.

Præſes eius loci Mazenes, ſua ſponte ſe Nearcho & comitem & ducem nauigationis Suſas vſque adiunxit. In hac inſula aiebant ſepulcrum eius extare qui primus imperium inſulæ tenuiſſet, noménque ei fuiſſe Erythrę atque inde mare illud Erythræũ appellatũ. Ex eo loco ad C C ſtadia Nearchus cũ claſſe profectus, rurſus in eadem inſula portum cepit. Inde aliam inſulam proſpiciunt, X L circiter ſtadiis à magna illa diſtantem, quæ Neptuno ſacra & inacceſſa eſſe dicebatur. ſub auroram itaque inde ſoluunt. Cæterùm æſtus adeo vehemens in mare refuſus eſt, vt tres naues impactæ in vado ſicco hæſerint, & reliquæ difficulter è rupicoſis locis enauigantes in altum euadere potuerint. At verò quæ impactæ erant, accedente rurſus æſtu, & ipſæ deductæ poſtero die ad reliquam claſſem appulerunt. & C C C C ſtadiis emenſis ad aliam inſulam, C C C ſtadiis à continente diſtantem, portum ceperunt. Inde ſub auroram ſoluentes, inſula quadam deſerta quæ ad læuam erat, (Pyloræ ei nomen erat) prætерita, ad Sidodonem vrbem exiguam omniúmque rerum inopem, præterquã aquæ & piſcium, peruenerũt. Nam & hos quoque ichthyophagos eſſe, hoc eſt vt piſcibus veſcantur, neceſſitas facit. ſterilem enim terrã incolunt. Aqua inde tantùm ſumta in Tarſium promontorium longè in mare porrectum deferuntur, C C C ſtadiis emenſis. Inde in Cataeam inſulam deſertam ac vadoſam. ea Mercurio & Veneri ſacra eſſe dicebatur. nauigatio C C C ſtadiorum fuerat. In hanc inſulam ſingulis annis à finitimis oues & capreæ mittuntur, Mercurio & Veneri ſacræ. Has temporis longinquitate, ac ſolitudine efferatas videre erat. Ad hunc vſque locum Carmania pertingit: citeriora Perſæ tenent. Longitudo nauigationis ad Carmanię oram eſt ſtadiorũ I I I M. & D C C. Viuunt Carmani Perſarum more. nam & Perſis finitimi ſunt: eodem etiam armorum & bellandi genere vtũtur. Soluta inde claſſe, Perſidis oram circumuecti, in locum quendam Ilam dictum appulerunt, qui inſulæ exiguæ ac deſertæ, cui Caicandrus nomen eſt, obiectus, portũ efficit. Nauigatio eſt ſtadiorum C C C C. Sub auroram in aliam inſulam habitatam delati ſunt, in qua perinde atque in mari Indico margaritã capi Nearchus ſcribit. Huius inſulæ promontorio præternauigato, ſtadiis X L emenſis, ibi conſtiterunt. Inde ad mõtem excelſum, Ochum dictum, appulerunt. portúmque à ventis tutum, & piſcatores ea loca habitantes repererũt. Inde rurſum ſoluentes, C C C C L ſtadiis emẽſis, ad Apoſtanos appulerunt. Complura ibi nauigia in ſtatione erant: & pagus adiacebat L X ſtadiis à mari remotus. Hinc, repetita per noctem nauigatione, in ſinum quendam frequentibus pagis celebrem delati ſunt, C C C C ſtadiis emẽſis: ibi claſſe ad radicem montis collocata, ſubſtiterunt. Loca illa palmas aliáſque pomiferas arbores quotquot in Græcia naſcuntur ferebant. Inde ſoluentes, in Gogana, regionem habitatam, D C circiter ſtadiis emenſis, nauigant: claſſémque ad fauces fluuij cuiuſdam qui torrenti ſimilis erat (Areon ei erat nomen) collocauit.

A καὶ ὁ ὕπαρχος τῆς νήσου Μαζήνης συνέπλει αὐτοῖσι μέχρι Σούσων, ἐθελοντὴς ἡγεμὼν τοῦ πλόου. ἐν ταύτῃ τῇ νήσῳ ἔλεγον καὶ τοῦ πρόσθεν δυναστεύσαντος τῆς χώρης ταύτης δείκνυσθαι τὸν τάφον· ὄνομα δὲ αὐτῷ Ἐρύθρην εἶναι· ἀπ᾽ ὅτου καὶ τὴν ἐπωνυμίην τῇ θαλάσσῃ ταύτῃ εἶναι, Ἐρυθρὴν καλέεσθαι. ἐνθένδε ἐκ τῆς νήσου ἄραντες ἔπλεον· καὶ τῆς νήσου αὐτῆς παραπλώσαντες ὅσον διηκοσίους σταδίους, ὁρμίζονται ἐν αὐτῇ αὖθις. καὶ καθορῶσιν ἄλλην νῆσον, ἀπέχουσαν τῆς μεγάλης ταύτης τεσσαράκοντα μάλιστα σταδίους· Ποσειδῶνος ἱρὴ ἐλέγετο εἶναι, καὶ ἄβατος. ὑπὸ δὲ τὴν ἕω B ἀνήγοντο· καὶ καταλαμβάνει αὐτοὺς ἀνάπωτις, οὕτω τι καρτερή, ὥστε τρεῖς τῶν νεῶν ἐποκείλασαι ἐν τῷ ξηρῷ ἐσχέθησαν. αἱ δὲ ἄλλαι, χαλεπῶς διεκπλώουσαι τὰς ῥηχίας, ἐς τὰ βάθεα διεσώθησαν. αἱ δὲ ἐποκείλασαι, τῆς πλημμυρίδος ἐπιγενομένης, αὖθις ἐξέπλωσάν τε καὶ δευτεραῖαι κατήγοντο ἵνα περ ὁ πᾶς στόλος. ὁρμίζονται δὲ ἐς νῆσον ἄλλην, διέχουσαν τῆς ἠπείρου ὅσον τριηκοσίους σταδίους, πλώσαντες τετρακοσίους. ἐντεῦθεν ὑπὸ τὴν ἕω ἔπλεον, νῆσον ἐρήμην ἐν ἀριστερᾷ παραμείβοντες (ὄνομα δὲ τῇ νήσῳ Πύλωρα) C καὶ ὁρμίζονται πρὸς Σιδωδώνῃ, πολιχνίῳ σμικρῷ, καὶ πάντων ἀπόρῳ, ὅτι μὴ ὕδατος καὶ ἰχθύων. ἰχθυοφάγοι γὰρ καὶ οὗτοι ὑπ᾽ ἀναγκαίης ἦσαν, ὅτι πονηρὰν γῆν νέμονται. ἐνθένδε ὑδρευσάμενοι, καταίρουσιν ἐς Ταρσίην ἄκρην, ἀνατείνουσαν ἐς τὸ πέλαγος, πλώσαντες σταδίους τριηκοσίους. ἔνθεν ἐς Καταίην, νῆσον ἐρήμην, ἀλιτενέα. αὕτη ἱρὴ Ἑρμέω καὶ Ἀφροδίτης ἐλέγετο· στάδιοι τοῦ πλόου τριηκόσιοι. ἐς ταύτην ὅσα ἔτη ἀφίενται ἐκ τῶν περιοίκων πρόβατα καὶ αἶγες, ἱρὰ τῷ Ἑρμῇ καὶ τῇ Ἀφροδίτῃ. καὶ ταῦτα ἀπηγριωμένα ἦν D ὁρᾶν ὑπὸ χρόνου τε καὶ ἐρημίης. μέχρι τοῦδε Καρμανίη. τὰ δὲ ἀπὸ τοῦδε, Πέρσαι ἔχουσι. μῆκος τοῦ πλόου παρὰ τὴν Καρμανίην χώρην, στάδιοι τρισχίλιοι καὶ ἑπτακόσιοι. ζώουσι δὲ κατάπερ Πέρσαι, ὅτι καὶ ὅμοροι εἰσὶ Πέρσῃσι· καὶ τὰ ἐς τὸν πόλεμον ὡσαύτως κοσμέονται. ἐνθένδε ἄραντες ἐκ τῆς νήσου τῆς ἱρῆς παρὰ τὴν Περσίδα ἤδη ἔπλεον· καὶ κατάγονται ἐς Ἴλαν χῶρον, ἵνα λιμὴν πρὸ νήσου σμικρῆς καὶ ἐρήμης γίνεται· οὔνομα τῇ νήσῳ Καΐκανδρος. ὁ δὲ πλόος στάδιοι τετρακόσιοι. ὑπὸ δὲ τὴν ἕω ἐς ἄλλην νῆσον πλώσαντες E ὁρμίζονται οἰκουμένην· ἵνα καὶ μαργαρίτην θηρᾶσθαι λέγει Νέαρχος, κατάπερ ἐν τῇ Ἰνδῶν θαλάσσῃ. ταύτης τῆς νήσου τὴν ἄκρην παραπλώσαντες σταδίους ὡς τεσσαράκοντα, ἐνταῦθα ὡρμίσθησαν. ἐνθένδε πρὸς ὄρει ὁρμίζονται ὑψηλῷ (Ὦχος ὄνομα τῷ ὄρει) ἐν λιμένι εὐόρμῳ· καὶ ἁλιέες αὐτοῦ ᾤκεον. καὶ ἔνθεν πλώσαντες σταδίους τετρακοσίους καὶ πεντήκοντα, ὁρμίζονται ἐν Ἀποστάνοισι. καὶ πλοῖα πολλὰ αὐτόθι ὥρμεε· κώμη τε ἐπῆν ἀπέχουσα ἀπὸ θαλάσσης σταδίους ἑξήκοντα. νυκτὸς δὲ ἐπάραντες ἔνθεν, F ἐσπλώουσιν ἐς κόλπον συνοικεόμενον πολλῇσι κώμῃσι· στάδιοι τοῦ πλόου τετρακόσιοι. ὁρμίζονται δὲ πρὸς ὑπωρείην. ταύτῃ φοίνικές τε πολλοὶ ἐπεφύκεσαν, καὶ ὅσα ἄλλα ἀκρόδρυα ἐν τῇ Ἑλλάδι γῇ φύεται. ἔνθεν ἄραντες ἐς Γώγανα παραπλέουσι, σταδίους μάλιστα ἑξακοσίους, ἐς χώρην οἰκουμένην. ὁρμίζονται δὲ τοῦ ποταμοῦ τοῦ χειμάρρου (ὄνομα δέ οἱ Ἀρεών) ἐν τῇσιν ἐκ-

βολῆσιν. ἐνταῦθα χαλεπῶς ὁρμίζονται. στεινὸς γὰρ ἦν ὁ ἔσπλοος κατὰ τὸ στόμα· ὅτι βράχεα τὰ κύκλῳ αὐτοῦ, ἡ ἀνάπωτις ἐποίεε. καὶ ἔνθεν αὖ ἐν στόματι ἄλλου ποταμοῦ ὁρμίζονται, διεκπλώσαντες σταδίους ὀκτακοσίους· Σίτακος ὄνομα τῷ ποταμῷ ἦν· οὐδὲ ἐν τούτῳ εὐμαρέως ὁρμίζονται. καὶ ὁ πλόος ἅπας οὗτος ὁ παρὰ τὴν Περσίδα, βράχεα τε ἦσαν, καὶ ῥηχίαι καὶ τενάγεα. ἐνταῦθα σῖτον καταλαμβάνουσι πολλὸν, ξυγκεκομισμένον κατὰ πρόσταξιν βασιλέως, ὡς σφίσιν εἶναι ἐπισιτίσασθαι. ἐνταῦθα ἔμειναν ἡμέρας τὰς πάσας μίαν καὶ εἴκοσι. καὶ τὰς νέας ἀνειρυσάμενοι, ὅσαι μὲν πεπονήκεσαν, ἐπεσκεύαζον· τὰς δὲ ἄλλας ἐθεράπευον. ἐνθένδε ὁρμηθέντες, εἰς Γέρατιν πόλιν ἀφίκοντο, ἐς χῶρον οἰκεόμενον· ἑπτακόσιοι καὶ πεντήκοντα στάδιοι ὁ πλόος. ὡρμίσθησαν δὲ ἐν διώρυχι ἀπὸ τοῦ ποταμοῦ ἐμβεβλημένῃ ἐς θάλασσαν, ᾗ ὄνομα ἦν Ἡράτεμις. ἅμα δὲ ἡλίῳ ἀνίσχοντι παραπλέουσιν ἐς ποταμὸν χειμάρρουν, ὄνομα Πάδαργον. ὁ δὲ χῶρος χερρόνησος ἅπας. καὶ ἐν αὐτῷ κῆποί τε πολλοὶ, καὶ ἀκρόδρυα παντοῖα ἐφύετο· ὄνομα τῷ χώρῳ Μεσαμβρίη. ἐκ Μεσαμβρίης δὲ ὁρμηθέντες, καὶ διεκπλώσαντες σταδίους μάλιστα ἐς διηκοσίους, ἐς Ταόκην ὁρμίζονται, ἐπὶ ποταμῷ Γράνιδι. καὶ ἀπὸ τούτου ἐς τὰ ἄνω Περσέων βασίλεια ἦν, ἀπέχοντα τοῦ ποταμοῦ τῶν ἐκβολέων σταδίους ἐς διηκοσίους. κατὰ τοῦτον τὸν παράπλουν λέγει Νέαρχος ὀφθῆναι κῆτος ἐκβεβλημένον εἰς τὴν ἠϊόνα· καὶ τοῦτο προσπλώσαντας τινὰς τῶν ναυτῶν ἐκμετρῆσαι, καὶ φάναι εἶναι πηχέων πεντήκοντα· δέρμα δὲ αὐτῷ εἶναι φολιδωτὸν, οὕτω τι ἐς βάθος ἧκον, ὡς καὶ ἐπὶ πῆχυν ἐπέχειν· ὄστρεά τε καὶ λεπάδας καὶ φυκία πολλὰ ἔχειν ἐπιπεφυκότα. καὶ δελφῖνας λέγει ὅτι καθορᾶν ἦν πολλοὺς ἀμφὶ τῷ κήτει, καὶ τοὺς δελφῖνας τῶν ἐν τῇ ἔσω θαλάσσῃ μέζονας. ἔνθεν δὲ ὁρμηθέντες, κατάγονται ἐς Ῥώγονιν ποταμὸν χειμάρρουν, ἐν λιμένι εὐόρμῳ. μῆκος τοῦ παράπλου στάδιοι διηκόσιοι. ἐνθένδε τετρακοσίους σταδίους διεκπλώσαντες, αὐλίζονται ἐν ποταμῷ χειμάρρῳ· Βρίζανα τῷ ποταμῷ ὄνομα. ἐνταῦθα χαλεπῶς ὡρμίσαντο, ὅτι ῥηχίη ἦν, καὶ βράχεα. καὶ χοιράδες ἐκ τοῦ πόντου ἀνεῖχον. ἀλλ' ὅτε ἡ πλημμυρὰ ἐπήει, τότε ὡρμήσαντο· ὑπονοστήσαντος δὲ τοῦ ὕδατος, ἐπὶ ξηρῷ ὑπελείφθησαν αἱ νῆες. ἐπεὶ δὲ ἡ πλημμυρὶς ἐν τάξει ἀμείβουσα ἐπῆλθε, τότε δὴ ἐκπλώσαντες ὁρμίζονται ἐπὶ ποταμῷ· ὄνομα δὲ τῷ ποταμῷ Ἄροσις, μέγιστος τῶν ποταμῶν, ὡς λέγει Νέαρχος, ὅσοι ἐν τῷ παράπλῳ τῷδε ἐμβάλλουσιν ἐς τὸν ἔξω πόντον. μέχρι τοῦδε Πέρσαι οἰκέουσι· τὰ δὲ ἀπὸ τούτων, Σούσιοι. Σουσίων δὲ ἔθνος αὐτόνομον κατύπερθε προσοικέει· Οὔξιοι καλοῦνται· ὑπὲρ ὅτων λέλεκταί μοι ἐν τῇ ἄλλῃ ξυγγραφῇ, ὅτι λῃσταί εἰσι. μῆκος τοῦ παράπλου τῆς Περσίδος χώρης, στάδιοι τετρακόσιοι καὶ τετρακισχίλιοι. τὴν δὲ Περσίδα γῆν, τριχῇ νενεμῆσθαι τῶν ὡρέων, λόγος κατέχει. τὸ μὲν αὐτῆς πρὸς τῇ ἐρυθρῇ θαλάσσῃ οἰκεόμενον, ἀμμῶδές τε εἶναι καὶ ἄκαρπον ὑπὸ καύματος· τὸ δὲ ἐπὶ τῷδε πρὸς ἄρκτον τε καὶ Βορέην ἄνεμον ἰόντων, καλῶς κεκρᾶσθαι τῶν ὡρέων. καὶ τὴν χώρην ποιώδεά τε εἶναι, καὶ λειμῶνας ὑδρηλοὺς καὶ ἄμπελον πολλὴν φέρειν, καὶ ὅσοι ἄλλοι καρποὶ, πλὴν ἐλαίης· παραδείσοις τε παντοίοισι τεθηλέναι, καὶ ποταμοῖσι καθαροῖσι διαρρέεσθαι, καὶ λίμνῃσι· καὶ ὀρ-

A idque iniquo ſatis loco: quòd aditus fauciū anguſtus eſſet, ob vada quæ æſtus marini receſſus in orbem fecerat. Inde rurſus ad alterius fluminis, cui Sitaco nomen eſt, fauces appulerunt, DCCC ſtadiis emenſis. ſed ne ibi quidem commodā ſtationem nacti ſunt: vniuerſa hæc ad Perſidis orā nauigatio plurima vadoſa & petricoſa paluſtriáque loca habet. Eo loci Nearchus multum frumenti quod rex ad frumentandum exercitum conuehi curarat, accepit. Ibi XXI dies in vniuerſum commorati, naues quæ ſalo quaſſatæ
B erant in terram ſubductas refecerunt. Inde rurſum oram ſoluentes ad Hieratim oppidum habitatum, DCCL ſtadiis emenſis, appulſi ſunt, claſſémque in alueo fluminis Heratemis qui illac in mare fertur collocarunt: Poſtero die ſub auroram ad exiguum quēdam amnem, Padargum nomine, appellunt. Totus is tractus cherroneſus eſt. in eo hortos quamplurimos arboréſque pomiferas omnis generis repererunt. nomen illi tractui eſt Meſambria. Ex Meſambria di-
C greſſi, ſtadiis circiter CC emenſis in Taocē ad Granidem fluuium peruenerunt. Ab huius fluminis oſtio CC fere introrſum ſtadia Perſarum regia eſt. In hac nauigatione Nearchus balænā abs ſe viſam eſſe ſcribit, quæ in littus eiecta erat: nautáſque nonnullos in terrā egreſſos, eam menſos, retuliſſe quinquaginta cubitorū eſſe. pellem eius ſquammoſam cubiti vnius craſſitudine fuiſſe. Multa etiam oſtrea & lopades, multámq; algam annatam ei fuiſſe: delphines quoque circa
D belluam viſos, maiores quàm orientale mare fert. Inde profecti ad Rogonim fluuium exiguum, in tutum portum ſe recipiunt, CC ſtadiis emenſis. Ab hoc flumine CCCC ſtadia progreſſi ad alium exiguum amnem, Brizana dictum, deuenerunt. Ibi difficili ſtatione ſunt vſi, quòd frequentia vada & ſcopuli ac rupes ad mare eſſent. Accedente itaque æſtu portum ceperunt: recedente, in vado hærebant. Mox reciprocante æſtu enauigantes, ad Aroſen fluuium conſtiterunt. Maximum hunc fluuium Nearchus eſſe ſcribit o-
E mnium, qui per hāc nauigationē in exterius mare influunt. Ad hunc amnem vſque Perſę habitant: vlterius Suſij incolunt. Horum gens quędam libera, Vxij dicti, vlteriora loca tenent: quos in ſuperiori opere latrocinia exercere diximus. Vniuerſa Perſidis ora ſtadia IIII M, CCCC efficit. Porro totius Perſicæ regionis temperaturā tripliciter diuidi fama eſt. Nam quæ pars eius ad mare Rubrum ſita eſt, arenoſam ac ſterilem ob æſtum eſſe. Quæ verò omnino ad ſeptentrio-
F nem & Borealem plagam iacet, cōſtitutionem cęli temperatam habere, regionémque ipſam herboſam, multa irrigua prata, multáſque vites habere, atque adeò omne genus fructuum, excepta olea. Hortis enim amœniſſimis florere, fluuiiſque & lacubus limpidiſſimis irrigari, omníque genere auium quę

circa flumina aut lacus verſari ſolent, abundare: equis etiam aliiſque iumentis paſcendis idoneã eſſe, ſyluoſam prætereà eſſe, venatuíque aptiſsimam. Eam autem quæ adhuc magis in ſeptentrionem vergit, frigidam ac niualem eſſe: Nearchus legatos quoſdam ab Euxino ponto, breuiſsimo itinere profectos, Alexandro Perſidem tranſeunti obuiam veniſſe ſcribit. Idque Alexandro permirum viſum fuiſſe, breuitate viæ ex ipſis cognita. Quòd verò Suſijs finitimi ſint Vxij, antea à nobis dictum eſt. quemadmodũ & Mardi (latrones etiam ipſi) Perſas, Coſſæi Medos accolunt. Quas quidem gentes omnes Alexander domuit. hyeme eas adortus, quando regionem ſuam adiri nulla ratione poſſe putabãt. Vrbes quoque iis condidit, ne iam amplius paſtores ſed aratores agricolæq; eſſent, vtque quũ pro quibus metuerent haberent, ab iniuria ac vi alter alteri inferenda abſtinerent. Inde Suſiorum regionem prætereuctus eſt exercitus. Ab hoc loco Nearchus ſe non ita certa narrare poſſe ſcribit, præterquam portus, & longitudinem nauigationis. Omnem enim illum maris tractum longè latéque vadoſum ac ſcopuloſum eſſe: neque citra periculum portum è mari capi poſſe. Idcirco hãc præcipuam eorum curam fuiſſe, vt ex faucibus amnis, vbi ad fines Perſidis conſederant, ſoluerent, & de aqua in quinq; dies claſſi proſpicerẽt. Duces enim nauigationis monuerant, aquam in iis partibus non reperiri. Qúumque ad quingenta ſtadia prouecti eſſent, ad fauces piſcoſi cuiuſdã lacus, qui Cataderbis dicebatur, conſtiterunt. Exigua ad huius lacus fauces inſula adiacebat, quam Margaſtanam vocant. Inde ſub auroram ſoluentes, per vada vix vnius nauis capacia nauigarunt. Pali hinc inde fixi vada oſtendebant, perinde atque apud Iſthmum inter Leucadem atque Acarnaniam ſigna quædã nauigantibus expoſita ſunt, ne naues in vada impingant. Cæterùm vada apud Leucadem ſabuloſa ſunt. quo fit vt naues iis impactæ facilè acceſſu æſtus ſubducantur. Verùm hîc limus eſt ab vtraque parte profundus & tenax, adeo vt naues impactæ nullo artificio euelli poſsint. Contis enim in limo ſubſidẽtibus nihil proficiebatur. neque nautę nauibus egredi ad eas vadis euellendas poterant. quòd limus veſtigiis cedens eos pectore tenus abſorberet. Atque ita difficillima nauigatione per D C ſtadia vſi, ad nullum portum delati in nauibus corpora curarunt. Noctu verò repetita nauigatione in altum delati, totum etiã diem poſterum in veſperum vſque nauigantes, D C C C ſtadis confectis, ad Euphratis oſtia appulerunt, & ad pagũ quendam Babylonicæ regionis, cui Diridotis nomen eſt, peruenerunt. è quo mercatu thus, aliáque aromata quæ fert Arabia, negotiatores adferunt. Ab oſtiis Euphratis Babylonẽ vſque Nearchus ſtadia I I I M C C C ſtatuit. Eo loci de Alexandri ad Suſios profectione nuntium acceperunt. Ipſi etiam inde retrorſum profecti per Paſitigrim fluuium nauigarunt, vt dextras cum Alexandro iungerent. Oram relegentes, à læua Suſios habebant, la-

A νισιν ἐχέουσιν ἀμφὶ ποταμούς τε καὶ λίμνας ὅσοι τὰ ἤθεα. ἵπποισί τε ἀγαθὴν εἶναι καὶ τοῖσιν ἄλλοισιν ὑποζυγίοισι νέμεσθαι. καὶ ὑλώδεά τε πολλαχῇ καὶ πολύθηρον. τὴν δὲ πρόσω ἔτι ἐπ' ἄρκτον ἰόντων, χειμερίην τε καὶ νιφετώδεα· ὥστε πρέσβεις τινὰς ἐκ τοῦ Εὐξείνου πόντου λέγει Νέαρχος κάρτα ὀλίγην ὁδὸν διελθόντας, ἐντυχεῖν καθ' ὁδὸν ἰόντι τῆς Περσίδος, καὶ θῶυμα γενέσθαι Ἀλεξάνδρῳ, καὶ εἰπεῖν Ἀλεξάνδρῳ τῆς ὁδοῦ τὴν βραχύτητα. Σουσίοις δὲ πρόσοικοι ὅτι εἰσὶν Οὔξιοι, λέλεκταί μοι. κατάπερ Μάρδοι μὲν Πέρσῃσι πρόσχωροι οἰκέουσι, λῃσταὶ καὶ οὗτοι· Κοσσαῖοι δὲ Μήδοισι. καὶ ταῦτα πάντα τὰ ἔθνεα ἡμέρωσεν Ἀλέξανδρος, χειμῶνος B ὥρῃ ἐπιπεσὼν αὐτοῖσιν, ὅτε ἄβατον σφῶν τὴν χώρην ἦγεν. καὶ πόλιας ἐπέκτισε, τοῦ μὴ νομάδας ἔτι εἶναι, ἀλλὰ ἀροτῆρας καὶ γῆς ἐργάτας, καὶ ἔχειν ὑπὲρ ὅτων δειμαίνοντες μὴ κακὰ ἀλλήλους ἐργάσωνται. ἐνθένδε τὴν Σουσίων γῆν παρήμειβε καὶ ὁ στρατός. καὶ ταῦτα οὐκέτι ὡσαύτως καὶ ἀτρεκέως λέγει Νέαρχος ὅτι ἔχει φράσαι, πλήν γε δὴ τοὺς ὅρμους τε καὶ τὸ μῆκος τοῦ πλόου. τὴν χώρην τε γὰρ τεναγώδεά τε εἶναι τὴν πολλήν, καὶ ῥηχίησιν ἐπὶ μέγα ἐς τὸν πόντον ἐσέχουσαν· C καὶ ταύτην σφαλερὴν ἐγκαθορμίζεσθαι. πελαγίοισιν ὦν σφίσι τὴν κομιδὴν τὸ πολὺ γίνεσθαι. ὁρμηθῆναι μὲν δὴ ἐκ τοῦ ποταμοῦ τῶν ἐκβολέων, ἵνα περ ηὐλίσθησαν, ἐπὶ τοῖσιν οὔροισι τῆς Περσίδος. ὕδωρ δὲ ἐμβαλέσθαι πέντε ἡμερέων. οὐκ ἔφασκον γὰρ εἶναι ὕδωρ οἱ καθηγεμόνες τοῦ πλόου. σταδίους δὲ πεντακοσίους κομισθέντες, ὁρμίζονται ἐπὶ στόματι λίμνης ἰχθυώδεος, ᾗ οὔνομα Καταδέρβις. καὶ νησὶς ἐπῆν τῷ στόματι· Μαργάστανα τῇ νησῖδι οὔνομα. ἐνθένδε ὑπὸ τὴν ἕω ἐκπλώσαντες, κατὰ βράχεα ἐκομίζοντο ἐπὶ μιῆς νεώς. πασσάλοισι δὲ ἔνθεν καὶ ἔνθεν πεπηγόσιν ἀπεδηλοῦτο τὰ βράχεα, D καθάπερ ἐν τῷ μεταξὺ Λευκάδος τῆς νήσου ἰσθμῷ καὶ Ἀκαρνανίης ἀποδέδεικται σημεῖα τοῖσι ναυτιλλομένοισι, τοῦ μὴ ἐποκέλλειν ἐν τοῖσι βράχεσι τὰς νέας. ἀλλὰ τὰ μὲν κατὰ Λευκάδα ψαμμώδεα ἐόντα, καὶ τοῖσιν ἐποκείλασι ταχείην τὴν ὑπονόστησιν ἐνδιδοῖ. κεῖθι δὲ πηλός ἐστιν ἐφ' ἑκάτερα τοῦ πλεομένου βαθὺς καὶ ἰλυώδης· ὥστε οὐδεμιῇ μηχανῇ ἐποκείλασιν ἦν ἀποσωθῆναι. οἵ τε γὰρ κοντοὶ κατὰ τοῦ πηλοῦ δύνοντες, αὐτοὶ οὐδέν τι ἐπωφέλεον, ἀνθρώπῳ τε ἐκβῆναι τοῦ ἀπῶσαι τὰς νέας ἐς τὰ πλεόμενα, ἄπορον ἐγίνετο. ἔδυνον γὰρ κατὰ E τοῦ πηλοῦ ἔστε ἐπὶ τὰ στήθεα. οὕτω δὴ χαλεπῶς διεκπλώσαντες σταδίους ἑξακοσίους, κατὰ ναῦν ἕκαστοι ὁρμισθέντες, ἐνταῦθα δείπνου ἐμνήσθησαν. τὴν νύκτα δὲ ἤδη κατὰ βάθεα ἔπλεον, καὶ τὴν ἐφεξῆς ἡμέρην ἔστε ἐπὶ βουλυτόν· καὶ ἦλθον σταδίους ἐνακοσίους. καὶ καθωρμίσθησαν ἐπὶ τοῦ στόματος τοῦ Εὐφράτου, πρὸς κώμῃ τινὶ τῆς Βαβυλωνίης χώρης· ὄνομα δὲ αὐτῇ Διρίδωτις· ἵνα λιβανωτόν τε ἀπὸ τῆς ἐμπορίης γῆς οἱ ἔμποροι ἀγινέουσι, καὶ τὰ ἄλλα ὅσα θυμιήματα ἡ Ἀράβων γῆ φέρει. ἀπὸ δὲ τοῦ στόματος τοῦ Εὐφράτου ἔστε F Βαβυλῶνα, πλόου λέγει Νέαρχος σταδίους εἶναι ἐς τρισχιλίους καὶ τριακοσίους. ἐνταῦθα ἀγγέλλεται Ἀλέξανδρον ἐπὶ Σούσων στέλλεσθαι. ἔνθεν καὶ αὐτοὶ τὸ ὀπίσω ἔπλεον, ὡς κατὰ τὸν Πασιτίγριν ποταμὸν ἀναπλώσαντες, συμμῖξαι Ἀλεξάνδρῳ. ἔπλεον δὴ τὸ ἔμπαλιν ἐν ἀριστερᾷ τὴν γῆν τὴν Σουσίδα ἔχοντες. καὶ

A παραπλέουσι λίμνην, ἐς ἣν ὁ Τίγρης ἐσβάλλει ποταμός· ὃς ῥέων ἐξ Ἀρμενίης παρὰ πόλιν Νῖνον, πάλαι ποτὲ μεγάλην καὶ εὐδαίμονα, τὴν μέσην ἑωυτοῦ τε καὶ τοῦ Εὐφράτου ποταμοῦ (ἣν Μεσοποταμίην ἐπὶ τῷδε κληΐζεσθαι) ποιέει. ἀπὸ δὲ τῆς λίμνης ἐς αὐτὸν τὸν ποταμὸν ἀνάπλοος στάδιοι ἑξακόσιοι. ἵνα καὶ κώμη τῆς Σουσίδος, ἣν καλέουσιν Ἄγινιν. αὕτη δὲ ἀπέχει Σούσων σταδίους ἐς πεντακοσίους· μῆκος τοῦ παράπλου τῆς Σουσίων γῆς ἔστε ἐπὶ στόμα τοῦ Πασιτίγριδος ποταμοῦ, στάδιοι δισχίλιοι. ἐνθένδε κατὰ τὸν Πασιτίγριν ἄνω ἔπλεον διὰ χώρης οἰκουμένης καὶ B εὐδαίμονος. ἀναπλώσαντες δὲ σταδίους ἐς πεντήκοντα καὶ ἑκατὸν, αὐτοῦ ὁρμίζονται, προσμένοντες οὕστινας ἐστάλκει Νέαρχος, σκεψομένους ἵνα ὁ βασιλεὺς εἴη. αὐτὸς δὲ ἔθυε θεοῖς τοῖς σωτῆρσι, καὶ ἀγῶνα ἐποίεε· καὶ ἡ στρατιὴ ἡ ναυτικὴ πᾶσα ἐν εὐθυμίῃσιν ἦν. ὡς δὲ προσάγων ἤδη Ἀλέξανδρος ἠγγέλλετο, ἔπλεον ἤδη αὖθις ἐς τὸ ἄνω κατὰ τὸν ποταμόν· καὶ πρὸς τῇ σχεδίῃ ὁρμίζονται, ἐφ᾽ ᾗ τὸ στράτευμα διαβιβάσειν ἔμελλεν Ἀλέξανδρος ἐς Σοῦσα. ἐνταῦθα ἀνεμίχθη ὁ στρατὸς, καὶ θυσίαι πρὸς Ἀλεξάνδρου ἐθύοντο ἐπὶ τῶν νεῶν τε καὶ C ἀνθρώπων τῇ σωτηρίῃ· καὶ ἀγῶνες ἐποιέοντο. καὶ Νέαρχος ὅποι παραφανείη τῆς στρατιῆς, ἄνθεσί τε καὶ ταινίῃσιν ἐβάλλετο. ἔνθα καὶ χρυσῷ στεφάνῳ στεφανοῦνται ἐξ Ἀλεξάνδρου Νέαρχός τε καὶ Λεοννάτος· Νέαρχος μὲν, ἐπὶ τοῦ ναυτικοῦ τῇ σωτηρίῃ· Λεοννάτος δὲ, ἐπὶ τῇ νίκῃ, ἣν Ὠρείτας τε ἐνίκησε καὶ τοὺς Ὠρείταις προσοικέοντας βαρβάρους. οὕτω μὲν ἀπεσώθη Ἀλεξάνδρῳ ἐκ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς ὁ στρατός. τὰ δὲ ἐν δεξιᾷ τῆς ἐρυθρῆς θαλάσσης ὑπὲρ τὴν Βαβυλωνίην, Ἀραβίη ἡ πολλή ἐστι. καὶ ταύ- D της τὰ μὲν κατήκει ἔστε ἐπὶ τὴν θάλασσαν τὴν κατὰ Φοινίκην τε καὶ τὴν Παλαιστίνην Συρίην· πρὸς δυομένου δὲ ἡλίου ὡς ἐπὶ τὴν εἴσω θάλασσαν Αἰγύπτιοι τῇ Ἀραβίῃ ὁμουρέουσι. κατὰ δὲ Αἴγυπτον ἐσέχων ἐκ τῆς μεγάλης θαλάσσης κόλπος, δῆλον ποιέει ὅτι ἕνεκά γε τοῦ σύρρουν εἶναι τὴν ἔξω θάλασσαν, περίπλους ἂν ἦν ἐκ Βαβυλῶνος ἐς τὸν κόλπον τοῦτον ἐσέχοντα ὡς ἐπ᾽ Αἴγυπτον. ἀλλὰ γὰρ οὔτις παρέπλωσε ταύτῃ οὐδαμοὺς ἀνθρώπων ὑπὸ καύματος καὶ ἐρημίης, εἰ μή τινές γε πελάγιοι κομιζόμενοι. ἀλλὰ οἱ ἐπ᾽ Αἰγύπτου E γὰρ ἐς Σοῦσα ἀποσωθέντες τῆς στρατιῆς τῆς Καμβύσεω, καὶ οἱ παρὰ Πτολεμαίου τοῦ Λάγου πρὸς Σέλευκον τὸν Νικάνορα σταλέντες ἐς Βαβυλῶνα, διὰ τῆς Ἀραβίης χώρης, ἰσθμόν τινα διαπορευθέντες ἐν ἡμέρῃσιν ὀκτὼ τῇσι πάσῃσι, ἄνυδρον καὶ ἐρήμην χώρην ἐπῆλθον ἐπὶ καμήλων σπουδῇ ἐλαύνοντες, ὕδωρ τέ σφιν ἐπὶ τῶν καμήλων φέροντες, καὶ νυκτοπορέοντες. τὰς γὰρ ἡμέρας ὑπαίθριοι ἀνέχεσθαι διὰ καῦμα ἀδύνατοι ἦσαν. τοσούτου δεῖ τά γε ἐπέκεινα ταύτης τῆς F χώρης (ἥντινα ἰσθμὸν ἀποφαινόμεθα) ἐκ τοῦ κόλπου τοῦ Ἀραβίου κατήκοντα ἐς τὴν ἐρυθρὴν θάλασσαν, οἰκεόμενα εἶναι, ὁπότε τὰ πρὸς ἄρκτον μᾶλλον αὐτῶν ἀνέχοντα ἔρημά τέ ἐστι καὶ ψαμμώδεα. ἀλλὰ γὰρ ἀπὸ τοῦ Ἀραβίου κόλπου τοῦ κατ᾽ Αἴγυπτον ὁρμηθέντες ἄνθρωποι, ἐκπεριπλώσαντες τὴν πολλὴν Ἀραβίην, ἐλθεῖν ἐς τὴν κατὰ Σοῦσά τε καὶ Πέρσας θάλασσαν, ἐς τοσόνδε ἄρα περιπλώσαντες τῆς Ἀραβίης, ἐς ὅσον σφίσι τὸ ὕδωρ ἐπήρκεσε τὸ ἐμβληθὲν ἐς τὰς νέας, ἔπειτα ὀπίσω ἀπενόστησαν. ἐκ Βαβυλῶνός τε οὓς ἐ-

A cúmque præteruehuntur in quem Tigris fluuius decurrit: qui ex Armenia fluēs iuxta Ninum, magnā olim & opulentā vrbē, regionē efficit quę inter ſe & Euphratē media eſt, ideóq; Meſopotamia dicitur. A lacu ad ipſū flumen nauigatio eſt ſtadiorum DC. Ibi & pagus quidam Suſiorum eſt, quem Aginim vocant. Is à Suſis diſtat ſtadiis quingentis; Suſiorū ora vſque ad Paſitigris oſtia ad II.M ſtadiorum porrigitur. Inde per Paſitigrim aduerſo flumine per regionem bene habitatam atque opulentam vecti ſunt: confectiſ- B que ſtadiis CL ibi conſtiterunt, expectantes reditum eorum quos Nearchus miſerat ſciſcitaturos vbinam locorum rex eſſet. Ipſe diis ſeruatoribus ſacrum fecit, ludóſque edidit, vniuerſo exercitu nauali in lętitiam effuſo. Poſtquam verò nuntiatum eſt Alexandrum appropinquare, rurſus aduerſo flumine nitentes ad pontem quendam recens factum, per quem Alexander exercitum in Suſas traducturus erat, cōſiſtunt. Eo loci exercitus coniuncti ſunt: Alexāder pro nauibus C ſimul & milite ſaluis ſacrificia fecit, ludóſq; edidit. Nearchus quoquoverſus per caſtra ibat, floribus ac ſertis petebatur. Poſt hęc Alexander Nearchum & Leonnatum aureis coronis donauit: Nearchum, ob claſſem ſeruatam: Leonnatum, ob victoriam quam de Oritis aliíſque barbaris Oritarum vicinis reportarat. In hunc modum exercitus ab Indi amnis oſtiis ſaluus Alexandro reductus eſt. Quæ verò ad dextram maris Rubri partem vltra Babyloniam ſita eſt regio, Arabia D magna ex parte eſt: atque huius quidē pars quædam pertinet ad mare Phœniciæ ac Syriæ Palęſtinæ. Ad occidētem verò, quà interius mare eſt, AEgyptij Arabiæ contermini ſunt. Sinus autem qui ad AEgyptum ex Oceano fertur manifeſtò indicat, ratione concurſus cum exteriori mari, nauigari poſſe ex Babylone in eum ſinū qui ad AEgyptū pertendit. Cæterùm nemo mortalium ea loca præternauigauit, propter ardorem ſolis & ſolitudines, niſi qui mari eò delati fuerint. Nam qui de exercitu Cambyſę ex AEgypto E in Suſas ſalui peruenerunt, quique à Ptolemæo Lagi filio ad Seleucum Nicanorem Babyloniam miſſi fuerunt, per Arabiam, iſthmum quendam tranſgreſſi, octo integros dies per regionē deſertam & aquarum inopem iter fecerūt: idque camelis celeriter vecti, aquámq; ſuper iis portantes, & noctu proficiſcentes. Interdiu enim ſub dio eſſe ob ardorem ſolis nequaquam potuiſſent: tantum abeſt vt regio ſita vltra iſthmum illum, quē F diximus, ex ſinu Arabico in mare Rubrum pertingens, habitabilis ſit: quum ea quæ magis ad ſeptentrionem vergit deſerta ſit atque arenoſa. Cæterùm nonnulli ex Arabico ſinu qui ad AEgyptū ſpectat, profecti, quū magnam Arabiæ partem circumnauigaſſent, vt ad mare quod ad Suſas & Perſiam pertinet peruenirent, poſtquam aqua nauibus impoſita deficere eos cœpit retro conuerſi ſunt. Ij verò quos Alexander ex Babylone miſit

Vet. inſcr.

Vet. inſcr.

vt lõgiſsima ad dextram mari Rubris partem nauigatione facta, loca illius regionis explorarent: inſulas quidem nonnullas viderunt, & interdum ad Arabiæ continentem appulerunt: at promontorium illud quod exaduerſo Carmaniæ oppoſitum viſum ab ſe fuiſſe Nearchus ſcribit, nemo vnquam nauigatione in alteram eius partem pertingere potuit. Et (mea quidem ſententia) ſi nauigabilis is tractus eſſet, aut adiri vlla ratione poſſet, Alexandri certè curioſitas id comprobaſſet. Hanno quidem Afer Carthagine profectus, trans Herculeas columnas in Oceanum enauigauit, Libyam ad læuam relinquens, & per XXXV dies nauigationis ſuæ curſum orientem verſus tenuit. Poſtquam verò ad meridiem conuerſus eſt, in grauiſsimas difficultates incidit, ſumma aquarum inopia preſſus, ſummáque æſtus flagrantia afflictus, igneis quodammodo riuis mari incumbẽtibus. Cyrenæ tamen, Libyæ vrbs, quanquam deſertioribus in locis ſitæ ſunt, herboſæ fertiléſque & irriguæ ſunt: ſaltus etiam frequentiáque prata habent, omniſque generis fructus & iumenta ferunt, ad ea loca vſque quibus ſilphiũ gignitur. Vlteriora eius loca deſerta altiſq; arenis obruta ſunt.

Atque hic qui quidem liber ſeorſim à me conſcriptus ſit, etiam ipſe ad Alexãdrum Philippi filium Macedonem pertinens.

A νέας ἔστελλεν Ἀλέξανδρος, ὡς ἐπὶ μήκιστον πλέοντας, ἐν δεξιᾷ τῆς ἐρυθρῆς θαλάσσης, γνῶναι τοὺς ταύτῃ χώρους, οὗτοι νήσους μέν τινας κατεσκέψαντο, ἐν τῷ παράπλῳ κειμένας. καί που καὶ τῆς ἠπείρου τῆς Ἀραβίης προσέσχον. τὴν δὲ ἄκρην, ἥντινα καταντικρὺ τῆς Καρμανίης ἀνέχουσαν λέγει φανῆναι σφίσι Νέαρχος, οὐκ ἔστιν ὅστις ὑπερβαλὼν, ἐπικάμψαι ἐς τὸ ἐπὶ θάτερα δυνατὸς ἐγένετο. δοκέω δὲ ὡς εἴπερ πλωτά τε ἦν καὶ βαδιστὰ ταύτῃ, ὑπ' Ἀλεξάνδρου ἂν τῆς πολυπραγμοσύνης ἐξελήλεγκτο πλωτά τε καὶ βαδιστὰ ἐόντα. Ἄννων B δὲ ὁ Λίβυς ἐκ Καρχηδόνος ὁρμηθεὶς, ὑπὲρ μὲν Ἡρακλείας στήλας ἐξέπλωσεν ἔξω ἐς τὸν πόντον, ἐν ἀριστερᾷ τὴν Λιβύην γῆν ἔχων. καὶ ἔστε μὲν πρὸς ἀνίσχοντα ἥλιον ὁ πλόος αὐτῷ ἐγένετο, τὰς πάσας πέντε καὶ τριήκοντα ἡμέρας. ὡς δὲ δὴ ἐς μεσημβρίην ἐξετράπετο, πολλῇσιν ἀμηχανίῃσιν ἐνετύγχανεν, ὕδατός τε ἀπορίῃ καὶ καύματι ἐπιφλέγοντι, καὶ ῥύαξι πυρὸς ἐς τὸν πόντον ἐμβάλλουσιν. ἀλλ' ἡ Κυρήνη γὰρ τῆς Λιβύης ἐν τοῖς ἐρημοτέροις πεπολισμένη, ποιώδης τέ ἐστι καὶ μαλθακὴ, καὶ εὔυδρος, καὶ ἀλσέων καὶ λειμώνων καὶ καρπῶν παντοίων καὶ κτηνέων πάμφορος, ἔστε ἐπὶ τοῦ C σιλφίου τὰς ἐκφύσεις. ὑπὲρ δὲ τὸ σίλφιον, τὰ ἄνω αὐτῆς ἔρημα καὶ ψαμμώδεα.

Οὗτός μοι ὁ λόγος ἀναγεγράφθω, φέρων καὶ αὐτὸς ἐς Ἀλέξανδρον τὸν Φιλίππου, τὸν Μακεδόνα.

ἈΛΕΞΑ΄ΝΔΡΟΥ ΒΙ΄ΟΣ, ἘΚ ΤΩ͂Ν ΠΛΟΥΤΑ΄ΡΧΟΥ Βίων παραλλήλων.

Τὸν Ἀλεξάνδρου τοῦ βασιλέως βίον, καὶ τοῦ Καίσαρος, ὑφ᾽ οὗ κατελύθη Πομπήϊος, ἐν τούτῳ τῷ βιβλίῳ γράφοντες, διὰ τὸ πλῆθος τῶν ὑποκειμένων πράξεων, οὐδὲν ἄλλο προεροῦμεν, ἢ παραιτησόμεθα τοὺς ἀναγινώσκοντας, ἐὰν μὴ πάντα, μηδὲ καθ᾽ ἕκαστον ἐξειργασμένως τι τῶν περιβοήτων ἀπαγγέλλωμεν, ἀλλὰ ἐπιτέμνοντες τὰ πλεῖστα, μὴ συκοφαντεῖν. οὔτε γὰρ ἱστορίας γράφομεν, ἀλλὰ βίους· οὔτε ταῖς ἐπιφανεστάταις πράξεσι πάντως ἔνεστι δήλωσις ἀρετῆς ἢ κακίας, ἀλλὰ πρᾶγμα βραχὺ πολλάκις, καὶ ῥῆμα, καὶ παιδιά τις ἔμφασιν ἤθους ἐποίησε μᾶλλον ἢ μάχαι μυριόνεκροι, καὶ παρατάξεις αἱ μέγισται, καὶ πολιορκίαι πόλεων. ὥσπερ οὖν οἱ ζωγράφοι τὰς ὁμοιότητας ἀπὸ τοῦ προσώπου, καὶ τῶν περὶ τὴν ὄψιν εἰδῶν, οἷς ἐμφαίνεται τὸ ἦθος, ἀναλαμβάνουσιν, ἐλάχιστα τῶν λοιπῶν μερῶν φροντίζοντες· οὕτως ἡμῖν δοτέον εἰς τὰ τῆς ψυχῆς σημεῖα μᾶλλον ἐνδύεσθαι, καὶ διὰ τούτων εἰδοποιεῖν τὸν ἑκάστου βίον, ἐάσαντας ἑτέροις τὰ μεγέθη καὶ τοὺς ἀγῶνας. A

Ἀλέξανδρος, ὅτι τῷ γένει πρὸς πατρὸς μὲν ἦν Ἡρακλείδης ἀπὸ Καράνου, πρὸς δὲ μητρὸς, Αἰακίδης, ἀπὸ Νεοπτολέμου, τῶν πάνυ πεπιστευμένων ἐστίν. λέγεται δὲ Φίλιππος, ἐν Σαμοθράκῃ τῇ Ὀλυμπιάδι συμμυηθεὶς, αὐτός τε μειράκιον ὢν ἔτι κἀκείνης παιδὸς ὀρφανῆς γονέων ἐρασθῆναι, καὶ τὸν γάμον οὕτως ἁρμόσαι, πείσας τὸν ἀδελφὸν αὐτῆς Ἀρύμβαν. ἡ μὲν οὖν νύμφη, πρὸ τῆς νυκτὸς ᾗ συνείρχθησαν εἰς τὸν θάλαμον, ἔδοξε, βροντῆς γενομένης, ἐμπεσεῖν αὐτῆς τῇ γαστρὶ κεραυνόν· ἐκ δὲ τῆς πληγῆς, πολὺ πῦρ ἀναφθὲν, εἶτα ῥηγνύμενον εἰς φλόγας πάντῃ φερομένας, διαλυθῆναι. ὁ δὲ Φίλιππος ὑστέρῳ χρόνῳ μετὰ τὸν γάμον εἶδεν ὄναρ αὐτὸν ἐπιβάλλοντα σφραγῖδα τῇ γαστρὶ τῆς γυναικός. ἡ δὲ γλυφὴ τῆς σφραγῖδος, (ὡς ᾤετο) λέοντος εἶχεν εἰκόνα. τῶν δὲ ἄλλων μάντεων ὑφορωμένων τὴν ὄψιν, ὡς ἀκριβεστέρας φυλακῆς δεομένων τῷ Φιλίππῳ τῶν περὶ τὸν γάμον, Ἀρίστανδρος ὁ Τελμησσεὺς κύειν ἔφη τὴν ἄνθρωπον, (οὐθὲν γὰρ ἀποσφραγίζεσθαι τῶν κενῶν) καὶ κύειν παῖδα θυμοειδῆ καὶ λεοντώδη τὴν φύσιν. ὤφθη δέ ποτε καὶ δράκων, κοιμωμένης τῆς Ὀλυμπιάδος, παρεκτεταμένος τῷ σώματι. καὶ τοῦτο μάλιστα τοῦ Φιλίππου τὸν ἔρωτα καὶ τὰς φιλοφροσύνας ἀμαυρῶσαι λέγουσιν, ὡς μηδὲ φοιτᾶν ἔτι πολλάκις παρ᾽ αὐτὴν ἀναπαυσόμενον· εἴτε δείσαντά τινας μαγείας ἐπ᾽ αὐτῷ καὶ φάρμακα τῆς γυναικὸς, εἴτε τὴν ὁμιλίαν, ὡς κρείττονι συνούσης, ἀφοσιούμενον. ἕτερος δὲ περὶ τούτων ἐστὶ λόγος, ὡς πᾶσαι μὲν αἱ τῇδε γυναῖκες ἔνοχοι τοῖς Ὀρφικοῖς οὖσαι καὶ τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ἐκ τοῦ πάνυ παλαιοῦ, Κλώδωνές τε καὶ Μιμαλλόνες ἐπωνυμίαν ἔχουσαι, πολλὰ ταῖς Ἠδωνίσι καὶ ταῖς περὶ τὸν Αἷμον Θρῄσσαις ὅμοια δρῶσιν· ἀφ᾽ ὧν δοκεῖ καὶ τὸ θρησκεύειν ὄνομα ταῖς κατακόροις γενέσθαι καὶ πε-

ALEXANDRI VITA, EX PLVTARCHI Vitis comparatis.

Alexandri regis vitã & C. Cæſaris, à quo eſt Põpeius "oppreſſus, hoc commentario deſcripturi, ob numeroſas res eorum geſtas, nihil præfabimur aliud quàm ab lectoribus poſtulabimus, ſi non omnia, neque "ſigillatim factum quoddam celebre ad amuſsim perſequamur, ſed perſtringamus pleraque, ne mihi obſtrepant. Neque enim hiſtorias ſed vitas conſcribimus: neque ſemper clariſsimæ quæque res virtutes vel vitia repræſentant, ſed exiguum ſubinde factum, dictúmque & iocus aliquis "citius ſpecimen edat morum, quàm funeſtiſsima prælia, maximæ acies, & vrbium oppugnationes. Vt ergo pictores "ex facie & vultu, ex quibus elucent mores, imaginẽ deſumunt, nec de cæteris membris laborãt magnopere: ita concedendum nobis eſt, "animi indicia vt ſcrutemur, ac cuiuſque per hæc informemus vitam, aliis molem rerum & certamina permittamus.

Superatus.

Singulás celebris alicuius facti partes commemoremus, ſed perſtr. pl. ne me calumnioſè reprehendant.

Magis documẽtum præbeat morum.

Ex vultu & lineamentis faciei.

Vt in anim. potius penetrem, ac per hæc vitæ cuiuſque velut lineamenta deſcribamus.

B Alexandrum "ex gente Herculis per Caranum, & genere materno AEacidem per Neoptolemum fuiſſe, pro certo creditur. Fama eſt, in Samothrace initiatum cum Olympiade Philippum, quum eſſet ipſe tum adoleſcens, illam item puellam parentibus orbam amaſſe, atque inde, "parata fratris voluntate Arymbæ, nuptias coiſſe. Sponſæ, ante noctem qua thoro geniali iuncti fuere, viſus eſt Ioue tonante venter ſuus de cælo tangi, atque ex ictu largum ſucceñſum ignẽ, qui mox erumpens in flammas paſsim diſperſas C diſsiparetur. Philippus ſpatio aliquo poſt nuptias vidit in ſomnis vxoris ſe ventrem obſignare. Habebat ſigilli ſculptura (vt viſa ei eſt) imaginem leonis. "Ea viſione vatibus interpretãtibus cæteris Philippo cuſtodiis acrioribus ſepiendam coniugem, Ariſtander Telmeſſius vterum illam ait ferre, (nihil enim quod inane ſit obſignari) ac concepiſſe eam infantem animoſum & natura leonina. Viſus eſt draco etiam ad dormientis Olympiadis corpus exporrectus: idque præcipuè Phi-D lippi erga eam amorem & familiarem conſuetudinem aiunt extenuaſſe, vt rarò cubitum ad illam commearet: quòd vel timeret faſcinationes eius & veneficia, vel conſuetudinem eius, vt quæ conſueſceret cum maiore, deuitaret. Alij aliter de his memorant: omnes iſtius regionis fœminas Orphicis & Liberi patris ſacris antiquitus "contactas, Clodonáſque & Mimallonas cognomento dictas, multa Edonidibus ac Threſsis AEnum accolentibus agere conſimilia. Vnde etiam θρησκεύειν dictio tri-E buta eſſe videtur immodicis & ſuperſtitioſis

Paterno genere, ab Hercule per Car. materno, ab AEaco. per N. originẽ duxiſſe, pro c.

Exorato fratre eius Ar.

Eam viſionem cæt. vat. ſuſpectam habentibus, & interpr. Ph. maiorẽ cautionem circa cõiugium adhibendam eſſe, Ariſt.

Obnoxias. Quaſi, Obnoxiè deditas. Alioqui ἔνοχοι pro κατόχους: vt ſequitur vox κατόχοι.

ſacrificiis. Olympias autem, præ cæteris motum lymphaticum æmulans, & fanaticum peragens ritum, horridiore ſpectaculo, ſerpentes manſuefactos trahebat thiaſis ingentes, qui ex hedera ſubinde & myſticis cunis obiter prorepentes, thyrſóſque & coronas mulierum circumiecti, percellebant viros. Verùm Philippo, qui poſt eam ſpeciem Megalopolitanum Chæronem Delphos miſit, ſortes referunt fuiſſe ab Apolline allatas, iubente vt Ammoni ſacrá faceret, atque hunc deum coleret imprimis: amiſiſſe verò eum alterum oculum, quem rimæ oſtij admouens, deum conſpexit ſerpentis figura cum vxore ſua concubantem. Olympias (vt Eratoſthenes eſt autor) quum euntem ad bellum proſequeretur Alexandrum, arcanum ortum eius ſoli detexit, hortata vt pro natalibus gereret animos. Alij hoc illam aiunt "abdicaſſe, ac dixiſſe, Non deſinet Alexander in crimen me apud Iunonem vocare? Natus Alexander eſt die ſexto menſis Hecatombæonis, quem Loon vocant Macedones: quo die fanum Dianæ Epheſiæ conflagrauit, vt Hegeſias Magneſius exclamauit: cuius adeo frigida eſt exclamatio, vt incendium illud valuerit reſtinguere. Meritò enim arſiſſe dixit templum, dum fuit Diana in Alexandri enixu obſtetricando diſtricta. Magi verò, quotquot agebant Epheſi, fani inflammationem exiſtimantes alterius eſſe prodigium cladis, diſcurrerunt, faciéſque cœciderunt: clamauerúntque, grandem peſtem & perniciem Aſiæ illo die editam. Philippus autem, capta modò Potidæa, eodem die tres nuntios accepit, fuſos à Parmenione ingenti pugna Illyrios: alterum, Olympiis ſe equi pernicitate viciſſe: tertium, natum eſſe Alexandrum. "His nimirum lætum, magis etiam erexere vates, qui affirmauerunt infantem, in cuius natales trigemina concurrerat victoria, fore inuictum. Corporis eius figuram Lyſippi ſtatuæ maximè demonſtrant, à quo voluit ſolo fingi. Etenim, quam præcipuè ſucceſſores eius complures poſt & amici æmulati ſunt, "proiectã ceruicem & in ſiniſtrum humerum modicè propenſam, oculorúmque "lenitatem, ad vnguem expreſſit ille artifex. Apelles autem, Alexandrum pingens fulmen tenentẽ, non repræſentauit colorem eius: ſed magis fuſcum & ſordidiorem fecit, quum fuerit (vt aiunt) candidus: qui color in pectore & facie potiſsimùm purpuraſcebat. Odorem ex cute eius gratiſsimũ afflaſſe, & os eius totúmque corpus reddidiſſe fragrantiam, quã interiores tunicæ retinebant, in commentariis Ariſtoxeni legimus. In cauſa fuit fortaſsis feruidum & igneum corporis eius temperamentum. Gignitur enim odoris ſuauitas (vt Theophraſti eſt opinio) cõcoctis à calore humoribus. Vnde aridi & feruidi tractus orbis plurimas & optimas "ſpecies edunt. Exhaurit enim ſol humorem in ſummis corporibus exiſtentem, vt putredinis materiam. Hic autem calor corporis Alexandrum (vt veriſimile eſt) vinoſum reddidit & "iracundum. A prima pueritia eluxit temperantia eius. nam quum alioqui vehemẽs eſſet & ardens, haud

Deteſtari[ſolitã vel, abominari] & dicere,

His (vt par erat) lætum,

Erectam.

Vel, volubilitatem.

Species hic pro aromatibus.

Vel, animoſum.

A ἐνέργοις ἱερουργίαις. ἡ δὲ Ὀλυμπιὰς μᾶλλον ἑτέρων ζηλώσασα τὰς κατοχὰς, καὶ τοὺς ἐνθουσιασμοὺς ἐξάγουσα βαρβαρικώτερον, ὄφεις μεγάλους χειροήθεις ἐφείλκετο τοῖς θιάσοις, οἳ πολλάκις ἐκ τοῦ κιττοῦ καὶ τῶν μυστικῶν λίκνων παραναδυόμενοι, καὶ περιελιττόμενοι τοῖς θύρσοις τῶν γυναικῶν καὶ τοῖς στεφάνοις, ἐξέπληττον τοὺς ἄνδρας. οὐ μὴν ἀλλὰ Φιλίππῳ μὲν μετὰ τὸ φάσμα πέμψαντι Χαίρωνα τὸν Μεγαλοπολίτην εἰς Δελφοὺς, χρησμὸν κομισθῆναι λέγουσι παρὰ τοῦ θεοῦ, κελεύοντος Ἄμμωνι θύειν, καὶ σέβεσθαι μάλιστα τοῦτον τὸν

B θεόν. ἀποβαλεῖν δὲ τῶν ὄψεων αὐτὸν τὴν ἑτέραν, ἣν τῷ τῆς θύρας ἁρμῷ προσβαλὼν, κατώπτευσεν ἐν μορφῇ δράκοντος συνευναζόμενον τῇ γυναικὶ τὸν θεόν. ἡ δὲ Ὀλυμπιὰς (ὡς Ἐρατοσθένης φησὶ) προπέμπουσα τὸν Ἀλέξανδρον ἐπὶ τὴν στρατείαν, καὶ φράσασα μόνῳ τὸ περὶ τὴν τέκνωσιν ἀπόρρητον, ἐκέλευεν ἄξια φρονεῖν τῆς γενέσεως. ἕτεροι δέ φασιν αὐτὴν ἀφοσιοῦσθαι καὶ λέγειν, Οὐ παύσεταί με διαβάλλων Ἀλέξανδρος πρὸς τὴν Ἥραν; ἐγεννήθη δ' οὖν Ἀλέξανδρος ἱσταμένου μηνὸς Ἑκατομβαιῶνος (ὃν Μακεδόνες Λῶον καλοῦ-

C σιν) ἕκτῃ, καθ' ἣν ἡμέραν ὁ τῆς Ἐφεσίας Ἀρτέμιδος ἐνεπρήσθη νεώς· ὡς Ἡγησίας ὁ Μάγνης ἐπιπεφώνηκεν ἐπιφώνημα κατασβέσαι τὴν πυρκαϊὰν ἐκείνην ὑπὸ ψυχρίας δυνάμενον. εἰκότως γὰρ ἔφη καταφλεχθῆναι τὸν νεὼν, τῆς Ἀρτέμιδος ἀσχολουμένης περὶ τὴν Ἀλεξάνδρου μαίωσιν. ὅσοι δὲ τῶν μάγων ἐν Ἐφέσῳ διατρίβοντες ἔτυχον, τὸ περὶ τὸν νεὼν πάθος ἡγούμενοι πάθους ἑτέρου σημεῖον εἶναι, διέθεον τὰ πρόσωπα τυπτόμενοι, καὶ βοῶντες, ἄτην ἅμα καὶ συμφορὰν μεγάλην τῇ Ἀσίᾳ τὴν ἡμέραν ἐκείνην τετοκέναι. Φιλίππῳ δὲ

D ἄρτι Ποτίδαιαν ᾑρηκότι τρεῖς ἧκον ἀγγελίαι κατὰ τὸν αὐτὸν χρόνον· ἡ μὲν, Ἰλλυριοὺς ἡττᾶσθαι μάχῃ μεγάλῃ διὰ Παρμενίωνος· ἡ δὲ, Ὀλυμπίασιν ἵππῳ κέλητι νενικηκέναι· τρίτη δὲ, περὶ τῆς Ἀλεξάνδρου γενέσεως, ἐφ' οἷς ἡδόμενον (ὡς εἰκὸς) ἔτι μᾶλλον οἱ μάντεις ἐπῆρον, ἀποφαινόμενοι τὸν παῖδα τρισὶ νίκαις συγγεγεννημένον, ἀνίκητον ἔσεσθαι. τὴν μὲν οὖν ἰδέαν τοῦ σώματος οἱ Λυσίππειοι μάλιστα τῶν ἀνδριάντων ἐμφαίνουσιν, ὑφ' οὗ μόνου καὶ αὐτὸς ἠξίου πλάττεσθαι. καὶ γὰρ μάλιστα πολλοὶ τῶν διαδόχων ὕστερον καὶ τῶν φίλων ἀπεμι-

E μοῦντο, τήν τε ἀνάτασιν τοῦ αὐχένος, εἰς εὐώνυμον ἡσυχῇ κεκλιμένου, καὶ τὴν ὑγρότητα τῶν ὀμμάτων διατετήρηκεν ἀκριβῶς ὁ τεχνίτης. Ἀπελλῆς δὲ, γράφων τὸν κεραυνοφόρον, οὐκ ἐμιμήσατο τὴν χρόαν, ἀλλὰ φαιότερον καὶ πεπινωμένον ἐποίησεν. ἦν δὲ λευκὸς, (ὥς φασιν) ἡ δὲ λευκότης ἐπεφοίνισσεν αὐτοῦ περὶ τὸ στῆθος μάλιστα καὶ τὸ πρόσωπον. ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει, καὶ τὸ στόμα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς χιτωνίσκους, ἀνέγνωμεν ἐν ὑπομνήμασιν Ἀριστοξενείοις. αἰτία δὲ ἴσως, ἡ τοῦ σώ-

F ματος κρᾶσις, πολύθερμος οὖσα καὶ πυρώδης. ἡ γὰρ εὐωδία γίνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραστος· ὅθεν οἱ ξηροὶ καὶ διάπυροι τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἀρωμάτων φέρουσιν. ἐξαιρεῖ γὰρ ὁ ἥλιος τὸ ὑγρὸν, ὥσπερ ὕλην σηπεδόνος ἐπιπολάζον τοῖς σώμασιν. Ἀλέξανδρον δὲ ἡ θερμότης τοῦ σώματος (ὡς ἔοικεν) καὶ ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν. ἔτι δὲ ὄντος αὐτοῦ παιδὸς, ἥ τε σωφροσύνη διεφαίνετο, πρὸς τἄλλα ῥαγδαῖον ὄντα καὶ

φερόμενον σφοδρῶς, ἐν ταῖς ἡδοναῖς τῶν περὶ τὸ σῶμα δυσκίνητον εἶναι, καὶ μετὰ πολλῆς πραότητος ἅπτεσθαι τῶν τοιούτων. ἥ τε φιλοτιμία παρ' ἡλικίαν ἐμβριθὲς εἶχεν τὸ φρόνημα καὶ μεγαλόψυχον. οὐ γὰρ ἀπὸ παντὸς οὐδὲ πάσης ἠγάπα δόξαν, (ὡς Φίλιππος, λόγου τε δεινότητι σοφιστικῶς καλλωπιζόμενος, καὶ τὰς ἐν Ὀλυμπίᾳ νίκας τῶν ἁρμάτων ἐγχαράττων τοῖς νομίσμασιν) ἀλλὰ καὶ τῶν περὶ αὐτὸν ἀποπειρωμένων εἰ βούλοιτ' ἂν Ὀλυμπιάσιν ἀγωνίσασθαι στάδιον, (ἦν γὰρ ποδώκης) Εἴγε (ἔφη) βασιλεῖς ἔμελλον ἕξειν ἀνταγωνιστάς. φαίνεται δὲ καὶ καθόλου πρὸς τὸ τῶν ἀθλητῶν γένος ἀλλοτρίως ἔχων. πλείστους γέ τοι θεὶς ἀγῶνας οὐ μόνον τραγῳδῶν καὶ αὐλητῶν καὶ κιθαρῳδῶν, ἀλλὰ καὶ ῥαψῳδῶν, θήρας τε παντοδαπῆς καὶ ῥαβδομαχίας οὔτε πυγμῆς, οὔτε παγκρατίου μετά τινος σπουδῆς ἔθηκεν ἆθλον. τοὺς δὲ παρὰ τοῦ Περσῶν βασιλέως πρέσβεις ἥκοντας ἀποδημοῦντος Φιλίππου ξενίζων, καὶ γενόμενος συνήθης, οὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ, καὶ τῷ μηδὲν ἐρώτημα παιδικὸν ἐρωτῆσαι, μηδὲ μικρόν, ἀλλ' ὁδῶν τε μήκη, καὶ πορείας τῆς ἄνω τρόπον ἐκπυνθάνεσθαι, καὶ περὶ αὐτοῦ βασιλέως ὁποῖος εἴη πρὸς τοὺς πολεμίους, καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις· ὥστε θαυμάζειν ἐκείνους, καὶ τὴν λεγομένην Φιλίππου δεινότητα μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ μεγαλοπραγμοσύνην. ὁσάκις γοῦν ἀπαγγελθείη Φίλιππος ἢ πόλιν ἔνδοξον ᾑρηκώς, ἢ μάχην τινὰ περιβόητον νενικηκώς, οὐ πάνυ φαιδρὸς ἦν ἀκούων, ἀλλὰ πρὸς τοὺς ἡλικιώτας ἔλεγεν, Ὦ παῖδες, πάντα προλήψεται ὁ πατήρ· ἐμοὶ δὲ οὐδὲν ἀπολείψει μεθ' ὑμῶν ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν. οὐ γὰρ ἡδονὴν ζηλῶν, οὐδὲ πλοῦτον, ἀλλ' ἀρετὴν καὶ δόξαν, ἐνόμιζεν, ὅσῳ πλείονα λήψεται παρὰ τοῦ πατρός, ἐλάττονα κατορθώσειν δι' ἑαυτοῦ. διὸ τοῖς πράγμασιν αὐξομένοις καταναλίσκεσθαι τὰς πράξεις εἰς ἐκεῖνον ἡγούμενος, ἐβούλετο μὴ χρήματα, μηδὲ τρυφὰς καὶ ἀπολαύσεις, ἀλλ' ἀγῶνας καὶ πολέμους καὶ φιλοτιμίας ἔχουσαν ἀρχὴν παραλαβεῖν. πολλοὶ μὲν οὖν περὶ τὴν ἐπιμέλειαν (ὡς εἰκὸς) ἦσαν αὐτοῦ, τροφεῖς καὶ παιδαγωγοὶ καὶ διδάσκαλοι λεγόμενοι· πᾶσι δ' ἐφειστήκει Λεωνίδας, ἀνὴρ τό τε ἦθος αὐστηρός, καὶ συγγενὴς Ὀλυμπιάδος· αὐτὸς μὲν οὐ φεύγων τὸ τῆς παιδαγωγίας ὄνομα, καλὸν ἔργον ἐχούσης καὶ λαμπρόν, ὑπὸ δὲ τῶν ἄλλων, διὰ τὸ ἀξίωμα καὶ τὴν οἰκειότητα, τροφεὺς Ἀλεξάνδρου καὶ καθηγητὴς καλούμενος. ὁ δὲ τὸ σχῆμα τοῦ παιδαγωγοῦ καὶ τὴν προσηγορίαν ὑποποιούμενος, ἦν Λυσίμαχος, τῷ γένει Ἀκαρνάν· ἄλλο μὲν οὐδὲν ἔχων ἀστεῖον, ὅτι δ' ἑαυτὸν μὲν ὠνόμαζεν Φοίνικα, τὸν δ' Ἀλέξανδρον, Ἀχιλλέα, Πηλέα δὲ τὸν Φίλιππον, ἠγαπᾶτο, καὶ δευτέραν εἶχε χώραν. ἐπεὶ δὲ Φιλονείκου τοῦ Θεσσαλοῦ τὸν Βουκεφάλαν ἀγαγόντος ὤνιον τῷ Φιλίππῳ τρισκαίδεκα ταλάντων, κατέβησαν εἰς τὸ πεδίον δοκιμάσοντες τὸν ἵππον· ἐδόκει τε χαλεπὸς εἶναι καὶ κομιδῇ δύσχρηστος, οὔτ' ἀναβάτην προσιέμενος, οὔτε φωνὴν ὑπομένων τινὸς τῶν περὶ τὸν Φίλιππον, ἀλλ' ἁπάντων κατεξανιστάμενος· δυσχεραίνοντος δὲ τοῦ Φιλίππου, καὶ κελεύοντος ἀπάγειν ὡς παντάπασιν ἄγριον καὶ ἀκόλαστον, παρὼν Ἀλέξανδρος εἶπεν, Οἷον ἵππον ἀπολλύουσιν, δι' ἀπειρίαν καὶ μαλακίαν χρήσασθαι μὴ δυνάμενοι. τὸ μὲν οὖν πρῶτον ὁ Φίλιππος ἐσιώπησεν· πολλάκις δ' αὐ-

A facilè mouebatur corporis voluptatibus, ac ſumma cũ moderatione eas deguſtabat. At gloriæ cupiditas eius ˚ ſupra ætatem ſpiritus habebat ſolidos & celſos. neque enim vndique neque gloriã aucupabatur omnẽ (vt Philippus, qui ſophiſtarũ more facundiam ſuam oſtentabat, & victoriis curruum Olympiacis ſuis nummos ſignabat) ſed quum tentarent eum miniſtri, quia pernix erat pedibus, an Olympiis certare curriculo vellet, Sanè, ſi habiturus ſim (inquit) aduerſarios reges. B Apparet autẽ abhorruiſſe eum prorſus ab athletarum natione, quippe qui agonas ediderit plurimos tragœdorum, tibicinũ, fidicinum, imò etiam rhapſodorum, venationis cuiuſq; generis & ˚ rhabdomachiæ: at neque pugillatus, neque pancratij ſtudioſè certamen exhibuit. Legatos ab rege Perſarum miſſos abſente Philippo accipiens hoſpitio, factúſq; his familiaris, ita cepit comitate ſua, & ꝙ nihil interrogaret puerile vel demiſſum, ſed ꝓlixitates viarũ exquireret, atque itineris in ſuperioribus regionibus rationem: ac de ipſo C rege, qualis aduerſus hoſtes, quæ denique vires & potẽtia eſſent Perſarũ: vt ſtuperent illi, celebratámque Philippi ſolertiã & vim nihil putarent cum huius pueri comparandã alacritate & magnificis factis [quæ promittebat.] Itaque quoties allatũ eſſet aut nobilem vrbem à Philippo captã, aut illum inſigni potitum victoria, non vſqueadeo gaudebat iis nuntiis, verùm ad æquales dicebat, Omnia præripiet, ſodales, pater, neque vllũ mihi inſignem & illuſtrem relinquet vobiſcũ perpetrandum actum. D Quum enim neque delicias cõcupiſceret neque opes, ſed virtutẽ & gloriam, quo plura acciperet à parente, eo arbitrabatur per ſe deſignaturũ pauciora Quare increſcente imperio, abſumi in illum exiſtimãs actiones, geſtiebat non pecuniam, non luxũ, non voluptates, ſed certaminũ, ſed bellorum, ſed gloriæ materiã ſuppeditans imperium ab eo accipere. ˚ Multi eius inſtitutioni nimirum appoſiti fuerũt, nutritij, pædagogi, & magiſtri appellati: quibus omnibus impoſitus Leonidas erat, vir & moribus ſeuerus E & propinquitate Olympiada cõtingens. Hic pædagogi nomen cum honeſto & ſpecioſo coniunctum officio repudiabat, atque ab aliis dignitatis & neceſſitudinis cauſa nutritius Alexãdri & rector vocabatur: ille qui ſpeciem pædagogi & vocabulũ ſumebat Lyſimachus, natione Acarnan, vrbanitate nulla præditus erat alia, ſed, ꝙ Phœnicem nominaret ſe, Alexandrũ, Achillẽ, & Philippũ, Pelea, ideo gratus erat, & ſecundum locũ tenebat. Quum Bucephalũ Philonicus Theſſalus ad Philippũ duxiſſet tredecim talẽtis ve- F nalẽ, deſcenderunt ad equũ probandũ in cãpum. Videbatur autẽ moroſus & perquam tractatu difficilis: neque quenquã admittebat in ſedẽ, nec vocem ferebat vllius Philippi comitũ, verùm in omnes inſurgebat. Igitur vbi pertęſus Philippus abduci iuſſit quaſi omnino ferum & indomitũ, aſſiſtẽs Alexander ait, Qualem equum perdunt iſti, qui propter imperitiã & mollitiem tractare cum nequeunt. Id primùm tacitus Philippus tulit: at

Quãdam ſupra æt. habebat grauitatem & magnanimitatem.

Quidã interpr. Fuſtuariæ pugnæ.

Multorum curæ (vt par fuit) demandatus erat, qui nutr. & pæd. & m. appellabantur: q. omnib. præerat L.

bat:vt frumentum exercitui darent, ſi ſaluam vrbem vellent. Negabant illi primò ſibi frumentum eſſe, ſimúlque ad muros conuolabant. Cæterùm à ſagittariis qui Nearcho aderant, telis ex edito loco in eos miſsis, facilè repulſi ſunt. Poſtquam verò captam iam eſſe vrbem ſenſerunt, ac direptioni proximam, tum demum Nearcho ſupplices facti, vt omni frumento quod in vrbe eſſet accepto diſcedat, oppidóque parcat, orant. Nearchus Archiam portas & murũ occupare iubet: ipſe alios per vrbem mittit qui explorent an citra fraudem quicquid frumenti haberent oſtendiſſent. Atque illi quidem multam ex toſtis piſcibus farinam oſtenderunt: frumenti verò atque hordei paruin. Siquidem farina piſcium pro frumento, panibus verò pro opſonio vtebãtur. Poſtquam verò omne frumentum oſtenderunt, tanto atque exercitui ſufficerèt accepto, inde proceſſerunt ad rupem quam indigenæ Soli ſacram Bagiam appellant. Inde ſub mediam noctem ſoluentes mille ſtadiis emenſis in Talmena tutum à ventis portum venerunt. Hinc in Canaſida vrbem deſertam C C C C ſtadiis inde diſtantem. vbi puteum quendam effoſſum repererunt, cui palmæ agreſtes adnatæ erant. harum ſumma capita præciſa ederunt. Iam enim frumentum exercitui deerat. Vrgente itaque fame totum illum diem & noctem nauigarunt, & ad littus deſertum appelluntur. Nearchus veritus ne ſi in terram deſcenderent, præ deſperatione naues desererent; in ſalo ancoras iaci iubet. Inde ſoluentes in Canatem venerunt, ſtadiis D C C emenſis. Inde, quòd littus eſſet vadoſum, digreſsi, D C C C ſtadiis confectis ad Trœſos appulerunt. Ad littus pagi quidam erant exigui atque inopes. Incolæ domos ſuas deſeruerant. Pauculum ibi frumenti & caryçarum ex palmis nacti ſunt. Camelis ſeptem qui relicti fuerant cæſis, carnes eorum vorarunt. Sub lucem repetita nauigatione, ſtadiis C C C emenſis in Dagaſira peruenerunt. quem locum pauci quidam paſtores incolebant. Inde ſoluentes integram noctem & diem nulla interpoſita mora nauigarunt: ſtadiiſque M C emenſis, fines Ichthyophagorum enauigarunt, magna rerum neceſſariarum penuria preſsi. Neq; verò ad terram appulerunt, erãt enim frequentes ad littus ſcopuli, ſed iactis in ſalo ancoris ſubſtiterunt. Longitudo oræ Ichthyophagorum hac nauigatione emenſa, eſt ſtadiorum X M. Ichthyophagi verò dicuntur à piſcium eſu. Pauci ex iis piſcatui ſtudent. pauci enim ſcaphas habent, aut artem piſcandi norunt: ſed maximam partem recedente æſtu marino captant. Nõnulli etiam retia conficiunt, tantæ magnitudinis vt ad duo ſtadia pertingant. Ea ex palmarum libris texunt, torquentes librum inſtar lini. Quum verò mare recedit, terrámque deſerit, vbi illa ſicca relinquitur, vacua plerunque piſcibus eſt: ſed vbi terra profundiori aliquo ſinu aquam retinet, ibi magnam piſcium copiam reperiunt. Ex his plerique minores, alij etiam maiores ſunt.

ῥύσαι σῖτον διδόναι τῇ στρατιῇ, εἰ σώαν ἐθέλουσιν ἔχειν τὴν πόλιν· οἱ δὲ ἠρνεῦντο εἶναι σφίσι, καὶ ἅμα προσέβαλον τῷ τείχει. ἀλλὰ ἀνέστελλον αὐτοὺς οἱ τοξόται οἱ ἀμφὶ τὸν Νέαρχον, ἐξ ὑπερδεξίου τοξεύοντες. ὡς δὲ ἔμαθον ἐχομένην τε ἤδη καὶ ὅσον οὔπω ἀνδραποδισθησομένην σφίσι τὴν πόλιν, τότε δὴ ἐδέοντο τοῦ Νεάρχου, τὸν μὲν σῖτον ὅσπερ ἦν αὐτοῖσιν λαβόντα ἀπάγειν, τὴν πόλιν δὲ μὴ διαφθεῖραι. Νέαρχος δὲ τὸν μὲν Ἀρχίην κελεύει καταλαβεῖν τὰς πύλας, καὶ τὸ κατ' αὐτὰς τεῖχος· αὐτὸς δὲ συμπέμπει τοὺς κατοψομένους τὸν σῖτον, εἰ ἀδόλως δεικνύουσιν. οἱ δὲ, τὸ μὲν ἀπὸ τῶν ἰχθύων τῶν ὀπτῶν ἀληλεσμένον ἄλευρον πολὺ ἐδείκνυσαν, πυροὺς δὲ καὶ κριθὰς ὀλίγας. καὶ γὰρ καὶ ἐτύγχανον σίτῳ μὲν τῷ ἀπὸ τῶν ἰχθύων, τοῖσι δὲ ἄρτοισιν ὅσα ὄψῳ διαχρεόμενοι. ὡς δὲ τὰ ὄντα ἐπεδείκνυον, οὕτω δὴ ἐκ τῶν παρεόντων ἐπισιτισάμενοι ἀνήγοντο, καὶ ὁρμίζονται πρὸς ἄκρην ἥντινα οἱ ἐπιχώριοι ἱρὴν ἡλίου ἦγον· οὔνομα τῇ ἄκρῃ Βάγια. ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες, διεκπλώουσι σταδίους ἐς χιλίους, ἐς Τάλμενα λιμένα εὔορμον. ἐνθένδε ἐς Κανασίδα πόλιν ἐρήμην, σταδίους ἐς τετρακοσίους· ἵνα τινὶ φρέατι ὀρυκτῷ ἐπιτυγχάνουσι. καὶ φοίνικες ἄγριοι ἐπεφύκεσαν, τούτων τοὺς ἐγκεφάλους κόπτοντες, ἐσιτέοντο· σῖτος γὰρ ἐπιλελοίπει τὴν στρατιήν· καὶ κακῶς ἤδη ὑπὸ λιμοῦ ἔχοντες, ἔπλεον τήν τε ἡμέρην καὶ τὴν νύκτα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ. Νέαρχος δὲ καταδείσας μὴ ἄρα ἐς τὴν γῆν ἐκβάντες ἀπολίπωσι τὰς νέας ὑπὸ ἀθυμίας, ἐπὶ τῷδε μετεώρους ἔχε τὰς νέας ἐπ' ἀγκυρέων. ἐνθένδε ἀναχθέντες, ἐς Κανάτην ὁρμίζονται, σταδίους ὡς ἑπτακοσίους καὶ πεντήκοντα διεκπλώσαντες. ἔστι δὲ καὶ αἰγιαλὸς ἐν αὐτῷ, καὶ διώρυχες βραχεῖαι. ἐνθένδε σταδίους ὀκτακοσίους διεκπλώσαντες, ἐν Τρωσοῖσιν ὁρμίζονται. κῶμαι δὲ μικραὶ καὶ πονηραὶ ἐπῆσαν· καὶ οἱ μὲν ἄνθρωποι ἐκλείπουσι τὰ οἰκία, αὐτοὶ δὲ σίτῳ τινὶ ὀλίγῳ ἐπιτυγχάνουσι, καὶ βαλάνοις ἐκ φοινίκων· καὶ καμήλους ἑπτὰ ὅσαι ἐγκατελείφθησαν κατακόψαντες, ἀπὸ τούτων τὰ κρέα ἐσιτέοντο. ὑπὸ δὲ τὴν ἕω ἀναχθέντες σταδίους τριακοσίους πλώουσι, καὶ καθορμίζονται ἐς Δαγάσιρα· ἔνθα νομάδες τινὲς ἄνθρωποι ᾤκεον. ἔνθεν δὲ ἄραντες, τήν τε νύκτα καὶ τὴν ἡμέρην, οὐδέν τι ἐλινύοντες ἔπλεον. ἀλλὰ διελθόντες γὰρ σταδίους χιλίους τε καὶ ἑκατὸν, ἐξέπλωσαν τὸ ἔθνος τῶν Ἰχθυοφάγων, πολλὰ κακὰ παθόντες ἀπορίῃ τῶν ἀναγκαίων. ὁρμίζονται δὲ οὐ πρὸς τῇ γῇ· ῥηχίη γὰρ ἦν ἐπὶ πολλὸν ἀνέχουσα, ἀλλὰ μετέωροι ἐπ' ἀγκυρέων. μῆκος τοῦ παράπλου τῶν Ἰχθυοφάγων τῆς χώρης ὀλίγῳ πλεῦνες στάδιοι μύριοι. οὗτοι δὲ οἱ Ἰχθυοφάγοι σιτέονται (κατότι περ καὶ καλέονται) ἰχθύας: ὀλίγοι μὲν αὐτῶν ἁλιεύοντες τοὺς ἰχθύας. ὀλίγοισι γὰρ καὶ πλοῖα ἐπὶ τῷδε πεποίηται, καὶ τέχνη ἐξεύρηται ἐπὶ τῇ θήρῃ τῶν ἰχθύων· τὸ πολὺ δὲ ἡ ἀνάπωτις αὐτοῖσι παρέχει. οἱ δὲ δίκτυα ἐπὶ τῷδε πεποίηνται, μέγεθος καὶ ἐς δύο σταδίους τὰ πολλὰ αὐτῶν. πλέκουσι δὲ αὐτὰ ἐκ τοῦ φλοιοῦ τῶν φοινίκων, στρέφοντες τὸν φλοιὸν ὥσπερ λίνον. ἐπεὰν δὲ ἡ θάλασσα ὑπονοστήσῃ, καὶ γῆ ὑπολειφθῇ, ἵνα μὲν ξηρὴ ἡ γῆ ὑπολείπηται, ἐρήμη τὸ πολὺ ἐστὶν ἰχθύων· ἔνθα δὲ βαθέα ἐστὶν, ὑπολείπεταί τι τοῦ ὕδατος, καὶ ἐν τῷδε κάρτα πολλοὶ ἰχθύες. οἱ μὲν πολλοὶ σμικροὶ αὐτῶν, οἱ δὲ καὶ μέζο-

κες. τούτοις περιβάλλοντες τὰ δίκτυα, αἱρέουσι· σιτέονται δὲ ὠμοὺς μὲν, ὅπως ἀνειρύουσιν ἐκ τοῦ ὕδατος, τοὺς ἁπαλωτάτους αὐτῶν· τοὺς δὲ μέζονάς τε καὶ σκληροτέρους, ὑπὸ ἡλίῳ αὐαίνοντες, εὖτ' ἂν ἀφαυανθῶσιν, καταλοῦντες ἄλευρα ἀπ' αὐτῶν ποιέονται καὶ ἄρτους· οἱ δὲ μάζας ἐκ τούτων τῶν ἀλεύρων πέσσουσι. καὶ τὰ βοσκήματα αὐτοῖσι τοὺς ἰχθύας ξηροὺς σιτέονται. ἡ γὰρ χώρη ἔρημος λειμώνων, οὐδὲ ποίην φέρει. θηρεύουσι δὲ καὶ καράβους πολλαχῆ, καὶ ὄστρεα καὶ τὰ κογχύλια. ἅλες δὲ αὐτόματοι γίνονται ἐν τῇ χώρῃ· ἀπὸ τούτων ἔλαιον ποιέουσιν. οἱ μὲν δὴ αὐτῶν ἐρήμους τόπους οἰκέουσιν, ἄδενδρόν τε τὴν χώρην καὶ ἄφορον καρπῶν ἡμέρων, τούτοισιν ἀπὸ τῶν ἰχθύων ἡ πᾶσα δίαιτα ποιέεται. ὀλίγοι δὲ αὐτῶν σπείρουσιν ὅσον τῆς χώρης, καὶ τούτῳ κατάπερ ὄψῳ χρέωνται πρὸς τοὺς ἰχθύας· ὁ γὰρ σῖτός ἐστιν αὐτοῖσιν οἱ ἰχθύες. οἰκία δὲ πεποίηνται οἱ μὲν εὐδαιμονέστατοι αὐτῶν, ὅσα κήτεα ἐκβάλλει ἡ θάλασσα, τούτων τὰ ὀστέα ἐπιλεγόμενοι, τούτοισιν ἀντὶ ξύλων χρεόμενοι· καὶ θύρας τὰ ὀστέα ὅσα πλατέα αὐτῶν ἁλίσκεται, ἀπὸ τούτων ποιέονται. τοῖσι δὲ πολλοῖσι καὶ πενεστέροισιν ἀπὸ τῶν ἀκανθῶν τῶν ἰχθύων τὰ οἰκία ποιέεται. κήτεα δὲ μεγάλα ἐν τῇ ἔξω θαλάσσῃ βόσκεται, καὶ ἰχθύες πολὺ μέζονες ἢ ἐν τῇδε τῇ εἴσω. καὶ λέγει Νέαρχος, ὁπότε ἀπὸ Κυΐζων παρέπλεον, ὑπὸ τὴν ἕω ὀφθῆναι ὕδωρ ἄνω ἀναφυσώμενον τῆς θαλάσσης, οἷά περ ἐκ πρηστήρων βίᾳ ἀναφερόμενον· ἐκπλαγέντας δὲ σφᾶς, πυνθάνεσθαι τῶν κατηγεομένων τοῦ πλόου ὅ,τι εἴη καὶ ἀπὸ τοῦ τὸ πάθημα· τοὺς δὲ ὑποκρίνασθαι ὅτι κήτεα ταῦτα φερόμενα κατὰ τὸν πόντον ἀναφυσᾷ ἐς τὸ ἄνω τὸ ὕδωρ. καὶ τοῖσι ναύτῃσιν ἐκπλαγεῖσιν ἐκ τῶν χειρῶν τὰ ἐρετμὰ ἐκπεσεῖν· αὐτὸς δὲ ἐπιὼν παρακαλέειν τε καὶ θαρσύνειν· καὶ κατ' οὕστινας παραπλέων ἐγίνετο, ἐς μέτωπόν τε κελεῦσαι καταστῆσαι ὡς ἐπὶ ναυμαχίῃ τὰς νέας, καὶ ἐπαλαλάζοντας ὁμοῦ τῷ ῥοθίῳ, πυκνήν τε καὶ ξὺν κτύπῳ πολλῷ τὴν εἰρεσίην ποιέεσθαι. οὕτως ἀναθαρσήσαντας ὁμοῦ δὴ πλέειν ἀπὸ ξυνθήματος. ὡς δὲ ἐπέλαζον ἤδη τοῖσι θηρίοισιν, ἐνταῦθα αὐτοὺς μὲν ὅσον αἱ κεφαλαὶ αὐτοῖσιν ἐχώρεον ἐπαλαλάξαι· τὰς δὲ σάλπιγγας σημῆναι, καὶ τὸν κτύπον ἀπὸ τῆς εἰρεσίης ὡς ἐπὶ μήκιστον κατασχεῖν. οὕτω δὴ ὁρεόμενα ἤδη κατὰ τὰς πρώρας τῶν νεῶν τὰ κήτεα, ἐς βυθὸν δῦναι ἐκπλαγέντα, καὶ οὐ πολλῷ ὕστερον κατὰ τὰς πρύμνας ἀναδύντα ἀνασχεῖν, καὶ τῆς θαλάσσης αὖθις ἀναφυσῆσαι ἐπὶ μέγα. ἔνθεν κρότον τε ἐπὶ τῇ παραλόγῳ σωτηρίᾳ γενέσθαι τῶν ναυτέων, καὶ αἶνον εἰς τὸν Νέαρχον τῆς τε τόλμης καὶ τῆς σοφίης. τούτων μετεξέτερα τῶν κητέων ἐποκέλλειν πολλαχοῦ τῆς χώρης, ἐπεὰν ἀνάμπωτις κατέχῃ, ἐν τοῖσι βράχεσιν ἐχόμενα· τὰ δὲ καὶ ὑπὸ χειμώνων σκληρῶν ἐς τὴν χέρσον ἐξωθέεσθαι. καὶ οὕτω δὴ κατασηπόμενα, ἀπόλλυσθαί τε, καὶ τὰς σάρκας αὐτοῖσι περιρρεούσας ὑπολείπειν τὰ ὀστέα· χρῆσθαι δὲ τοῖσιν ἀνθρώποισιν ἐς τὰ οἰκία. εἶναι ὦν τὰ μὲν ἐν τῇσι πλευρῇσιν αὐτῶν ὀστέα, δοκοὺς τοῖσιν οἰκήμασιν ὅσα μεγάλα· τὰ δὲ μικρότερα, στρωτῆρας· τὰ δὲ ἐν τῇσι σιαγόσι, ταῦτα δὲ εἶναι τὰ θύρετρα· οἷα δὴ πολλῶν καὶ εἰς εἴκοσι καὶ πέντε ὀργυιὰς ἀνηκόντων τὸ μέγεθος. εὖτ' ἂν δὲ παρέπλεον τὴν χώρην τῶν Ἰχθυοφάγων, λόγον ἀκούουσι περὶ νήσου τι-

A Hos circumiectis retibus capiunt: & quidē teneriores eorū reti ex aqua protractos, crudos edunt: maiores verò durioréſque, ad ſolem torrentes, ſimulac toſti fuerint molentes in farinā redigunt, panémque ex ea conficiunt. Sunt qui polentam ex hiſce farinis coquant. Pecori etiam piſcium farinam pabuli loco dant. Omnis enim illa regio pratis carens, nullam herbam gignit: magnam etiam in his locis cancrorum, oſtreorum & conchyliorum vim capiunt. Gignit quoque ea regio ſuapte natura ſalem, ex quo oleum B conficiunt. Qui verò eorum loca deſerta incolunt, & regionem nec arborum nec fructuum feracem, hi ex piſcibus tantum viuunt. pauci ſerunt, atque ij panem opſonij loco cum piſcibus edunt. piſces enim ipſis loco frumenti ſunt. Domos in hunc modum ædificant: Qui ditiſſimi eorum ſunt, balænarum quotquot mare eiicit oſſa ſumentes, iis loco tignorum vtuntur: & ex grandioribus oſſibus portas cōficiunt. Plerique C verò tenuioris fortunæ ex ſpinis piſcium domos cōſtruunt. Porro cete ingentis magnitudinis in exteriori mari naſcuntur, piſcéſque multo maiores quàm in hoc interiori. Scribit etiam Nearchus quum ex Cyizis nauigarent, ſub auroram vidiſſe ſe aquam ſurſum è mari efflari, & tāquam violento quodam turbine in altum efferri, perculſóſque ſpectaculo rei nautas percōtatos eſſe ex ducibus nauigationis quidnam hoc ſibi vellet, eóſque reſpondiſſe, cete eſſe, quæ in mari volutantia aquam ſurſum efflent: nautiſque at- D tonitis remos è manibus excidiſſe. Ipſe inſtans eos hortabatur atque animabat: propiúſque adnauigans iuſſit vt naues aduerſis proris veluti ad naualem pugnam inſtructis in ea dirigerent: vtque aſſiduè validéque remigantes vnà cum ipſo remorum ſonitu ingentes etiam clamores ederent, tubiſque clangerent. Ita reuocatis animis ſimul omnes ſigno dato remigationi incubuiſſe. quúmque iam propiores belluis facti eſſent, quantum capita ferre poterant, acclamaſſe, tubáſque clanxiſſe, & remorum pulſum E ingentem ſonitum edidiſſe. atque ita cete quæ iam proris nauium appropinquare videbantur, exterrita in profundum ſeſe abdidiſſe: neque multo pòſt ad puppes emerſiſſe, rurſúmque magnam vndarum vim ſurſum efflaſſe. Tum incredibilem nautarum ob inopinatam ſalutem applauſum factum fuiſſe, Nearchi audaciam pariter & prudentiam laudantium. Nonnullæ verò balænæ interdū ad littus appelluntur, quæ recedente æſtu in vadis hærent: aliæ tempeſtatibus F in terram eiiciuntur, quibus putrefactis carnibúſque colliquatis oſſa remanent, quibus homines ad domos ædificandas vtuntur. Et laterum quidem oſſa vtpote maiora in trabes ædium deligunt: minora verò in tabulas. quæ verò in maxillis ſunt ad ianuas accipiunt: multa ſiquidem eorum x x v cubitos magnitudine excedūt. Nearchus Ichthyophagorum regionem prætervectus, cognouit inſulam quandam in eo mari eſſe,

centum fere ſtadiis à continente remotam, quæ habitatoribus vacua eſſet. Hanc indigenę Soli ſacram eſſe dicebant, Noſalámque vocari, neque à quoquam mortalium adiri. Siquis verò imprudens eò deferatur, eum non amplius cerni. Nearchus actuariam quandam nauem AEgyptiis nautis inſtructam, non procul ab hac inſula euanuiſſe ſcribit, nauigationiſque duces affirmaſſe, quòd imprudentes in eam inſulam delati ex oculis hominum ſublati fuerint. Idem nauim triginta remorum in circuitum inſulæ mittit, mandatis additis vt deſcenſu quidem in inſulam abſtinerent: ſed propius ad inſulæ oram adnauigantes hominibus acclamarent, & gubernatorem nominarent, aut alterius cuiuſpiam non obſcurum nomen. Quúmque nemo auderet, tum ſemet eò nauigaſſe dicit, ac nautas compuliſſe vel inuitos nauem appellere. quúmque in inſulam deſcendiſſet, vanã atque inanem fabulam comperiſſe quæ de inſula illa ſpargebatur. Audiſſe verò ſe etiam alium de hac inſula ſermonem ait: Habitaſſe hanc inſulam vnam Nereidum. eam cum omnibus qui eò appellerent commiſceri ſolitam: eóſque in piſces conuerſos in mare proiicere. Qua de cauſa iratum Nereidi ſolem iuſsiſſe vt ex ea inſula migraret: atque hanc quidem pollicitam eſſe ſe migraturam: cæterùm rogaſſe vt vitium hoc ei adimeret. & homines quos ex hominibus piſces fecerat, rurſus commiſeratione ductam ex piſcibus homines feciſſe. Ex iis Ichthyophagorum genus ad Alexandrum vſque perueniſſe. Ego verò Nearchum eo nomine nõ laudo, quòd otio & ſapientia in re non admodum difficili refellenda abuſus fuerit: arduum cenſens veteres mendacéſque fabulas recenſentem refutare. Supra Ichthyophagos Gadroſij in mediterraneis locis terram ſterilem atque arenoſam colunt: vbi & Alexandri exercitus & Alexander ipſe multa incommoda perpeſſus eſt, quemadmodum in alio opere narraui. Poſtquam verò ex Ichthyophagis in Carmaniam peruentum eſt, primùm ancoris in ſalo iactis conſtiterunt, quòd aſpera longè in mare petra porrecta eſſet. Exinde non ita directè ad occaſum nauigarunt, ſed inter occidentem & ſeptentrionẽ curſum tenuerunt. atq; ita Carmania arboribus fœcundior magíſque frugifera eſt quàm Ichthyophagorum aut Oritarũ regio: magis etiam herboſa, aquiſque abundans. Quum in Badichorum cultum Carmanię locum appuliſſent, multas arbores pomiferas, exceptis oleis, repererunt. Erat & ea regio vitium & frumenti ferax. Inde ad DCCC ſtadia progreſsi, ad littus deſertum appellunt. Ex eo loco promontoriũ ingens longè in mare porrectũ conſpiciunt, quod vnius diei nauigatione inde abeſſe videbatur. Periti locorum Arabiæ promontorium id eſſe dicebant, vocaríque Macetam. Inde cinnamomum & alia eiuſcemodi aromata in Aſſyrios vehi. Ab eo littore vbi claſsis ancoris in ſalo iactis conſtiterat, & promontorio quod exaduerſo in mare porrectũ conſpexerant, ſinus meo iudicio, vt & Nearcho

A νῆσος, ἣ κεῖται μὲν ἀπέχουσα τῆς ταύτῃ ἠπείρου σταδίους ἐς ἑκατόν, ἐρήμη δὲ ἐστὶν οἰκητόρων. ταύτην ἱρὴν ἡλίου ἔλεγον εἶναι οἱ ἐπιχώριοι, καὶ Νόσαλα καλέεσθαι· οὐδέ τινα ἀνθρώπων καταίρειν ἐθέλειν ἐς αὐτήν· ὅστις δὲ ἂν ἀπειρίῃ προσχῇ, γίνεσθαι ἀφανέα. ἀλλὰ λέγει Νέαρχος, κέρκουρόν σφιν ἕνα πλήρωμα ἔχοντα Αἰγυπτίων, οὐ πόρρω τῆς νήσου ταύτης γενέσθαι ἀφανέα, καὶ ὑπὲρ τούτου τοὺς ἡγεμόνας τοῦ πλόου διισχυρίζεσθαι, ὅτι δὴ ἄρα καταίραντες ὑπ᾽ ἀγνοίης εἰς τὴν νῆσον γένοιντο ἀφανέες. Νέαρχος δὲ πέμπει κύκλῳ περὶ τὴν νῆσον τριηκόντορον, B κελεύσας μὴ κατασχεῖν μὲν ἐς τὴν νῆσον, ἐμβοᾶν δὲ τοῖς ἀνθρώποις, ὡς μάλιστα ἐν χρῷ παραπλέοντας, καὶ τὸν κυβερνήτην ὀνομάζοντας, καὶ ὅτου ἄλλου οὐκ ἀφανὲς τὸ οὔνομα. ὡς δὲ οὐδένα ὑπακούειν, τότε δὴ αὐτὸς λέγει πλεῦσαι ἐς τὴν νῆσον, καὶ κατασχεῖν δὴ προσαναγκάσαι τοὺς ναύτας οὐκ ἐθέλοντας, καὶ ἐκβῆναι αὐτὸς, καὶ ἐλέγξαι κενὸν μῦθον ἐόντα τὸν περὶ τῇ νήσῳ λόγον. ἀκοῦσαι δὲ καὶ ἄλλον λόγον ὑπὲρ τῆς νήσου ταύτης λεγόμενον, οἰκῆσαι τὴν νῆσον ταύτην μίαν τῶν Νηρηίδων· τὸ δὲ ὄνομα οὐ λέγεσθαι τῆς Νηρηίδος. C ταύτῃ δὲ ὅστις πελάσειε τῇ νήσῳ, τούτῳ συγγίνεσθαι μὲν, ἰχθὺν δὲ ἐξ ἀνθρώπου ποιεῦσαν, αὐτὸν ἐμβάλλειν ἐς τὸν πόντον. ἥλιον δὲ ἀχθεσθέντα τῇ Νηρηίδι, κελεύειν μετοικίζεσθαι αὐτὴν ἐκ τῆς νήσου· τὴν δὲ ὁμολογεῖν μὲν ὅτι ἐξοικισθήσεται, δεῖσθαι δέ οἱ τὸ πάθημα ἀκεσθῆναι· καὶ τὸν ἥλιον ὑποδέξασθαι· τοὺς δὲ δὴ ἀνθρώπους οὕστινας αὖ ἰχθύας ἐξ ἀνθρώπων πεποιήκει, κατελεήσαντα, ἀνθρώπους αὖθις ἐξ ἰχθύων ποιῆσαι· καὶ ἀπὸ τούτων, τῶν Ἰχθυοφάγων τὸ γένος καὶ εἰς Ἀλέξανδρον κατελθεῖν. καὶ ταῦτα ὅτι ψευδέα ἐξελέγχει Νέαρχος, οὐκ ἐπαινῶ αὐτὸν ἔγωγε τῆς σχολῆς τε καὶ σοφίης, οὔτε κάρτα D χαλεπὰ ἐξελεγχθῆναι ἐόντα· ταλαίπωρον εὖ γινώσκων τοὺς παλαιοὺς λόγους ἐπιλεγόμενον ἐξελέγχειν ἐόντας ψευδέας. Ὑπὲρ δὲ τοὺς Ἰχθυοφάγους Γαδρώσιοι ἐς τὸ ἄνω οἰκέουσι γῆν πονηρὴν καὶ ψαμμώδεα. ἔνθεν καὶ τὰ πολλὰ κακὰ ἥ στρατιή τε Ἀλεξάνδρῳ ἔπαθε, καὶ αὐτὸς Ἀλέξανδρος, ὥς μοι ἤδη ἐν τῷ ἄλλῳ λόγῳ ἀπήγηται. ὡς δὲ ἐς τὴν Καρμανίην ἀπὸ τῶν Ἰχθυοφάγων κατῆρεν ὁ στρατὸς, ἐνταῦθα ἵνα πρῶτον τῆς Καρμανίης ὡρμίσαντο, ἐπ᾽ ἀγκυρέων ἐσάλευσαν, ὅτι ῥηχίη παρετέτατο ἐς τὸ πέλαγος τρηχείη. E ἐνθένδε δὲ ὡσαύτως οὐκέτι πρὸς ἡλίου δυομένου ἔπλεον· ἀλλὰ τὸ μεταξὺ δύσιός τε ἡλίου καὶ τῆς ἄρκτου οὕτω μᾶλλόν τι αἱ πρῷραι αὐτοῖσιν ἐπεῖχον. καὶ οὕτω ἡ Καρμανίη τῆς Ἰχθυοφάγων τῆς γῆς καὶ τῆς Ὠρειτῶν εὐδενδροτέρη τε καὶ εὐκαρποτέρη ἐστὶ, καὶ ποιώδης μᾶλλόν τι καὶ ἔνυδρος. ὁρμίζονται δὲ ἐν Βαδὶς χώρῳ τῆς Καρμανίης οἰκουμένῳ, δένδρεα τε πολλὰ ἥμερα πεφυκότα ἔχοντι, πλὴν ἐλαίης, καὶ ἀμπέλους ἀγαθὰς, καὶ σιτοφόρῳ. ἔνθεν δὲ ὁρμηθέντες, καὶ διεκπλώσαντες σταδίους ὀκτακοσίους, πρὸς αἰγιαλῷ ὁρμίζονται ἐρήμῳ. F καὶ καθορῶσιν ἄκρην μακρὴν, ἀνέχουσαν ἐπὶ πολλὸν ἐς τὸ πέλαγος. ἀπέχειν δὲ ἐφαίνετο ἡ ἄκρη πλόον ὡς ἡμέρης. καὶ οἱ τῶν χώρων ἐκείνων δαήμονες τῆς Ἀραβίης ἔλεγον τὴν ἀνίσχουσαν ταύτην ἄκρην· καλέεσθαι δὲ Μάκετα. ἔνθεν τὰ κιννάμωμά τε καὶ ἄλλα τοιουτότροπα ἐς Ἀσσυρίους ἀγινέεσθαι· καὶ ἀπὸ τοῦ αἰγιαλοῦ τούτου, ἵνα περ ὁ στόλος ἐσάλευε, καὶ τῆς ἄκρης, ἥντινα καταντικρὺ ἀφορέοντες ἀνέχουσαν ἐς τὸ πέλαγος, ὁ κόλπος ἐμοί τε δοκεῖ, καὶ Νεάρχῳ

ὡσαύτως

ὡσαύτως ἐδόκεεν, ἐς τὸ εἴσω ἀναχεῖται, ὅπερ εἰκὸς, ἡ ἐρυθρὴ θάλασσα. ταύτην τὴν ἄκρην ὡς κατεῖδον, Ὀνησίκριτος μὲν ἐπέχοντας ἐπ᾽ αὐτὴν πλέειν ἐκέλευεν, ὡς μὴ κατὰ τὸν κόλπον ἐλαστρέοντας ταλαιπωρέεσθαι. Νέαρχος δὲ ἀποκρίνεται νήπιον Ὀνησίκριτον, εἰ ἀγνοέει ἐπὶ τῷ ἐστάλη πρὸς Ἀλεξάνδρου ὁ στόλος. οὐ γὰρ ὅτι ἀπορίη ἦν πεζῇ διασωθῆναι πάντα αὐτῷ τὸν στρατὸν, ἐπὶ τῷδε ἄρα ἐκπέμψαι τὰς νέας· ἀλλὰ ἐθέλοντα αἰγιαλούς τε τοὺς κατὰ τὸν παράπλουν κατασκέψασθαι, καὶ ὅρμους καὶ νησίδας, καὶ ὅστις κόλπος ἐπέχοι, ἐκπεριπλῶσαι τοῦτον, καὶ πόλιας ὅσαι ἐπιθαλάσσιαι· καὶ εἴτις ἔγκαρπος γῆ, καὶ εἴτις ἐρήμη. σφέας ὦν οὐ χρῆναι ἀφανίσαι τὸ ἔργον, πρὸς τέρματι ἤδη ἐόντας τῶν πόνων· ἄλλως τε οὐδὲ ἀπόρως ἔτι τῶν ἀναγκαίων ἐν τῷ παράπλῳ ἔχοντας· δεδιέναι τε, ὅτι ἡ ἄκρη ἐς μεσημβρίην ἀνέχει, μὴ ἐρήμῳ τε τῇ ταύτῃ γῇ καὶ ἀνύδρῳ καὶ φλογώδει ἐγκύρσωσιν. ταῦτα ἐνίκα. καί μοι δοκέει περιφανέως σῶσαι τὴν στρατιὴν τῇδε τῇ βουλῇ Νέαρχος. τὴν γὰρ δὴ ἄκρην ἐκείνην, καὶ τὴν πρὸς αὐτῇ χώρην πᾶσαν, ἐρήμην τε εἶναι λόγος κατέχει, καὶ ὕδατος ἀπορίῃ ἔχεσθαι. ἀλλὰ ἔπλωον γὰρ ἀπὸ τοῦ αἰγιαλοῦ ἄραντες, τῇ γῇ προσεχέες· καὶ πλώσαντες σταδίους ὡς ἑπτακοσίους, ἐν ἄλλῳ αἰγιαλῷ ὁρμίσαντο· Νεόπτανα ὄνομα τῷ αἰγιαλῷ. καὶ αὖθις ὑπὸ τὴν ἕω ἀνήγοντο· καὶ πλώσαντες σταδίους ἑκατὸν, ὁρμίζονται κατὰ τὸν ποταμὸν Ἄναμιν· ὁ δὲ χῶρος Ἁρμόζεια ἐκαλέετο. φίλια δὲ ἤδη καὶ πάμφορα ταύτῃ ἦν, πλὴν ἐλαῖαι οὐ πεφύκεσαν. ἐνταῦθα ἐκβαίνουσί τε ἐκ τῶν νεῶν, καὶ ἀπὸ τῶν πολλῶν πόνων ἄσμενοι ἀνεπαύοντο, μεμνημένοι ὅσα κακὰ κατὰ τὴν θάλασσαν πεπονθότες ἦσαν, καὶ πρὸς τῇ γῇ τῶν Ἰχθυοφάγων, τήν τε ἐρημίην τῆς χώρης, καὶ τοὺς ἀνθρώπους ὅπως θηριώδεες, καὶ τὰς σφῶν ἀπορίας ἐπιλεγόμενοι. καί τινες αὐτῶν ἀπὸ θαλάσσης ἐς τὸ πρόσω ἀνῆλθον, ἀποσκεδασθέντες τῆς στρατιῆς κατὰ ζήτησιν ἄλλος ἄλλου. ἐνταῦθα ἄνθρωπος σφίσιν ὤφθη, χλαμύδα τε φορέων Ἑλληνικὴν, καὶ τὰ ἄλλα ὡς Ἕλλην ἐσκευασμένος, καὶ φωνὴν Ἑλλάδα ἐφώνεε. τοῦτον οἱ πρῶτοι ἰδόντες, δακρῦσαι ἔλεγον· οὕτω τι παράλογον σφίσι φανῆναι, ἐκ τῶν τοσῶνδε κακῶν Ἕλληνα μὲν ἄνθρωπον ἰδεῖν, Ἑλλάδος δὲ φωνῆς ἀκοῦσαι. ἐπηρώτων τε ὁπόθεν ἥκοι, καὶ ὅστις ὤν. ὁ δὲ ἀπὸ τοῦ στρατοπέδου τοῦ Ἀλεξάνδρου ἀποσκεδασθῆναι ἔλεγε, καὶ εἶναι οὐ πόρρω τὸ στρατόπεδον, καὶ αὐτὸν Ἀλέξανδρον. τοῦτον τὸν ἄνθρωπον βοῶντές τε καὶ κροτέοντες ἀνάγουσι παρὰ τὸν Νέαρχον· καὶ Νεάρχῳ πάντα ἔφρασε, καὶ ὅτι πέντε ἡμερέων ὁδὸν ἀπέχει τὸ στρατόπεδον καὶ ὁ βασιλεὺς ἀπὸ τῆς θαλάσσης· τόν τε ὕπαρχον τῆς χώρης ταύτης δείξειν ἔφη Νεάρχῳ, καὶ ἔδειξε. καὶ μετὰ τούτου Νέαρχος γνώμην ποιέεται, ὅπως ἀναβήσεται πρὸς βασιλέα. τότε μὲν δὴ ἐπὶ τὰς νέας ἀπῆλθον. ὑπὸ δὲ τὴν ἕω τὰς νέας ἀνείλκεεν, ἐπισκευῆς τε εἵνεκα, ὅσαι αὐτέων κατὰ τὸν πλοῦν πεπονήκεσαν· καὶ ἅμα ὅτι ἐν τῷ χώρῳ τούτῳ ὑπολείπεσθαί οἱ ἐδόκεε τὸν πολλὸν στρατόν. χάρακά τε ὦν περιβάλλεται διπλοῦν ἐπὶ τῷ ναυστάθμῳ, καὶ τεῖχος γήϊνον· καὶ τάφρον βαθείην, ἀπὸ τοῦ ποταμοῦ τῆς ὄχθης ἀρξάμενος, ἔστε ἐπὶ τὸν αἰγιαλὸν, ἵνα αἱ νέες αὐτῷ ἀνειρυσμέναι ἦσαν. ἐν ᾧ δὲ ὁ Νέαρχος ταῦτα ἐκόσμεε, τῆς χώρης ὁ ὕπαρχος πεπυσμένος ὅπως ἐν μεγάλῃ φροντίδι ἔχοι

viſum eſt, introrſum refunditur, qui quidem mare Rubrum appellatur. Id promõtorium vbi conſpicati ſunt, Oneſicritus claſſem eò dirigi iubebat. Nearchus parum prudentem eſſe Oneſicritum reſpondit, ſi neſciret quam ad rem Alexander claſſem miſiſſet. Neque enim quia pedeſtri itinere totum exercitum traducere ſaluũ non poſſet, eam ob cauſam naues emiſſas: ſed quòd vellet omnia littora, portúſque & inſulas perluſtrari, omnes etiam ſinus perauigari, & vrbes quæ ad mare ſitæ eſſent: quæve regio fertilis, quæ deſerta ſit inquiri. Non debere itaque eos totum negotium peruertere, quum iam ad finem laborum perueniſſent, præcipuè quũm res omnes ad nauigationem neceſſariæ eos non deficerent: vereri etiam ſe, quòd promontorium illud in meridiem vergeret, ne in deſertam, & ſiticuloſam torridámque regionem inciderent. Nearchi ſententia vicit. & mihi quidem Nearchus hoc conſilio claſſem vniuerſam ſeruaſſe videtur. Promontorium enim illud, omnémq; regionem illi circumiectam, deſertam eſſe fama eſt, ſummáque aquarum penuria laborare. Mota igitur claſſe, terræ aduauigantes, D C C ſtadiis emenſis, ad aliud littus, cui Neoptana nomen eſt, appellunt: rurſúſque ſub auroram inde ſoluunt, & centum ſtadiis enauigatis, ad fluuiũ Anamim perueniunt. Locus ipſe Harmozia vocatur. amicam ibi omniúmque rerum feracem regionem nacti ſunt: oleas tantùm non ferebat. Hic nauibus egreſſi, cupidè à tot tantíſque laboribus conquieſcunt, cum iucũda tot malorum quæ mari perpeſſi fuerant recordatione. memoria etiam recolebant, quæ apud Ichthyophagos, in deſertis regionibus, apud efferatos homines, in ſumma rerum omnium inopia pertuliſſent. Quidam verò interius remotiúſque à mari progreſſi, & ab exercitu ſeiũcti ſunt, alius alium quærentes. Repertus hic eſt ab eis quidam Græcanica chlamyde reliquóq; habitu Gręco indutus, linguam etiam Gręcam ſonans, ad cuius primum conſpectũ collacrymatos ferunt: adeo nouũ atque inſolẽs iis videbatur, poſt tot mala hominem Græcum cernere. Interrogarunt itaque, vnde veniret, & quis eſſet. Ille ſe ab exercitu Alexandri ſeiunctum eſſe reſpondit, caſtráque atque adeò ipſum Alexandrum non procul abeſſe. Hunc hominẽ ipſi confeſtim gaudio exultãtes ad Nearchũ adducunt: qui rem omnem ei retulit, caſtráque & regẽ quinque dierum itinere inde abeſſe. Præſidem etiam illius regionis Nearcho nominauit & oſtendit. tũ Nearchus cũ eo conſiliũ capit quo pacto ad regẽ reuerti poſſit: ſimúlque ad claſſem ſeſe recipiunt. Poſtridie verò ſub lucem ſubduci naues iubet, partim vt quæ longa nauigatione quaſſatæ erant, reficerentur: partim quòd magnam exercitus partem ibi relinquere ſtatuerat. Duplici itaque vallo & muro terreo nauale cingit, foſſámque profundam à ripa fluminis ad eam littoris partem in quam naues ſubductæ erant, ducit. Interea dum hæc à Nearcho parantur, præſes regionis quum audiſſet Ale-

xandrum vehementer de claſſe hac ſolici-
tum eſſe, magnum aliquod munus ſe ab Ale
xandro accepturũ arbitratus, ſi primus nun-
tiaret exercitum ſaluum eſſe, & Nearchum
propediem in cõſpectum regis venturũ: cõ-
pendió viæ inito, renuntiat Alexãdro, Near-
chum à nauibus venire. Alexander tametſi
fidẽ eius verbis non haberet, magnam tamẽ
vt par eſt ex eo nuntio lætitiã cepit. Quum
verò alius ex alio dies traheretur, & tempus
ex quo nuntium allatum fuerat cõferret, nõ
iam amplius credibile ei videbatur. quúmq;
alij atque alij mitterentur qui Nearchũ ad-
ueherent, nonnulliq; aliquantulũ viæ pro-
greſſi Nearchũ non offenderent, ne ipſi qui-
dem reuertebantur. Tum Alexander homi-
nem illum tanquam mendacis nuntij auto-
rem, quique ſuum mœrorẽ vano illo gaudio
duplicarat, cõprehendi iubet: ingentémq;
dolorẽ & vultu & animo præ ſe ferebat. In-
terea nonnulli qui cum equis & vehiculis ad
quærendum adducendúmq; Nearchũ miſſi
fuerant, in ipſo itinere Nearcho & Archiæ
obuij facti ſunt: qui quidẽ aliis quinque aut
ſex viris comitati veniebant. Neque tamen
primo aſpectu vel Nearchũ vel Archiam a-
gnouerunt: adeo immutati atque ab ſcipſis
diuerſi erant, hirſuti & ſordidi, ſalſuginéque
repleti, rugoſi, ſqualidi, & ex multis vigiliis
laboribúſq; pallidi. Interrogantibus enim il
lis vbinã eſſet Alexander, cognito loco, iter
ſuum perſecuti ſunt. Tum Archias animad-
» uerſa re ad Nearchũ cõuerſus ait, Homines
» iſtos, Nearche, eadẽ qua nos via per deſerta
» cõtendere non aliã ob cauſam iudico, quàm
» quòd nos quæſitũ miſſi ſint. Quod verò nos
» non agnoſcunt, equidẽ non miror: ita enim
» ſqualidi maléque habiti ſumus, vt agnoſci
» non poſſimus. Significemus itaque eis quí-
» nam ſimus, eóſque viciſſim percontemur,
quam ad rem hoc itinere proficiſcãtur: Ne-
archo Archiæ conſiliũ perquam opportunũ
eſt viſum. Rogarunt itaque quónam profi-
ciſcerentur, qui reſpõdent, Nearchũ ſe & na
ualẽ exercitũ quæſitũ ire: ſtatímq; Nearchũ
» reſpondiſſe, Hic ego ſum Nearchus, & hic,
» Archias. at vos nobis duces itineris eſtote:
» nos Alexãdro de claſſe referemus. Illis itaq;
in vehicula exceptis, ad regem reuertuntur.
Nõnulli horũ, nuntiũ celeritate præuertere
cupiẽtes, præcurrẽtes Alexãdro nuntiarunt
Nearchum ipſum, & cum eo Archiã ac quin
que alios aduentare: de exercitu verò, nihil
ſeſe explorati quod nuntiẽt habere. Ex hoc
ipſo nuntio colligebat Alexãder, Nearchũ
quidẽ & Archiã præter opinionẽ & fortuitò
ſeruatos eſſe, exercitũ verò vniuerſũ periiſſe.
neque tantum gaudij ex Nearchi & Archiæ
ſalute percepit, quantũ ex amiſſa claſſe mœ
roris. necdum hic ſermo deſierat, quũ Near
chus & Archias adueniunt, quos Alexãder
difficulter admodũ agnoſcere potuit, quòd
ita hirſutos & ſqualidos maléq; habitos cer
neret: tantóque magis eius dolor ob amiſſũ
exercitum naualem confirmabatur. Iniecta
tamen Nearcho dextra, eóque ſeorſim ab a-
micis & argyraſpidibus abducto, multo
tempore collacrymatus eſt. Tandem repreſſis lacrymis, Enimuero quòd tu (inquit) Nearche &

Fort. τὴν βραχυτάτην, vt ſubaudiatur ſubſtant. ὁδόν.

A Ἀλέξανδρος τὰ ἀμφὶ τὸν στόλον τοῦτον, μέγα δή τι
ἐξ Ἀλεξάνδρου ἀγαθὸν ἀνέγνω πείσεσθαι, εἰ πρῶτος
ἀπαγγείλειε τοῦ στρατοῦ τὴν σωτηρίην, καὶ τοῦ Νεάρ-
χου, ὅτι οὐ πολλῷ ὕστερον ἀφίξεται ἐς ὄψιν τὴν βα-
σιλέως· οὕτω δὴ τὴν βραχύτητα ἐλάσας, ἀπαγγέλ-
λει Ἀλεξάνδρῳ, ὅτι Νέαρχος οὗτος προσάγει ἀπὸ τῶν
νεῶν. τότε μὲν δὴ καίπερ ἀπιστέων τῷ λόγῳ Ἀλέξαν
δρος, ἀλλὰ ἐχάρη γε κατὰ τὸ εἰκὸς τῇ ἀγγελίῃ. ὡς
δὲ ἡμέρη τε ἄλλη ἐξ ἄλλης ἐγίνετο, καὶ ξυντιθέντι αὐ-
τῷ τῆς ἀγγελίης τὸν χρόνον, οὐκέτι πιστὰ τὰ ἐξηγ-
B γελμένα ἐφαίνετο· πεμπόμενοί τε ἄλλοι ἐπ' ἄλλοι-
σιν, ὡς ἐπὶ κομιδῇ τοῦ Νεάρχου, οἱ μέν τινες ὀλίγον τῆς
ὁδοῦ προελθόντες, καὶ διαμαρτόντες τῶν ἀμφὶ τὸν
Νέαρχον, οὐδὲ αὐτοὶ ἐπανήεσαν· ἐνταῦθα δὴ τὸν μὲν
ἄνθρωπον ἐκεῖνον, ὡς κενά τε ἀγγείλαντα, καὶ λυπη-
ρότερά οἱ τὰ πρήγματα ποιήσαντα τῇ ματαίῃ εὐφρο-
σύνῃ, συλλαβεῖν κελεύει Ἀλέξανδρος· αὐτὸς δὲ τῇ τε
ὄψει καὶ τῇ γνώμῃ δῆλος ἦν μεγάλῳ ἄχει βεβλη-
μένος. ἐν τούτῳ δὲ τῶν τινες κατὰ ζήτησιν τοῦ Νεάρχου ἐ-
σταλμένων, ἵππους τε ἐπὶ κομιδῇ αὐτῶν καὶ ἀπήνας δὲ
C ἄγοντες, ἐντυγχάνουσι κατὰ τὴν ὁδὸν αὐτῷ τε τῷ Νεάρχῳ
καὶ τῷ Ἀρχίῃ, καὶ πέντε ἢ ἓξ ἅμα αὐτοῖσι· μετὰ τοσού-
των γὰρ ἀνήει. καὶ ἐντυχόντες, οὔτε αὐτὸν ἐγνώρισαν,
οὔτε τὸν Ἀρχίην. οὕτω τοι κάρτα ἀλλοῖοι ἐφαίνοντο, κο-
μόωντές τε καὶ ῥυπῶντες, καὶ μεστοὶ ἅλμης, καὶ ῥικνοὶ τὰ
σώματα, καὶ ὠχροὶ ὑπὸ ἀγρυπνίης τε καὶ τῆς ἄλλης τα-
λαιπωρίης. ἀλλὰ ἐρομένοισι γὰρ αὐτοῖς ἵναπερ εἴη Ἀ-
λέξανδρος, ὑποκρινάμενοι τὸν χῶρον, οἱ δὲ παρήλαυ-
νον. Ἀρχίης δὲ ἐπιφραδεὶς λέγει πρὸς Νέαρχον, ὦ
Νέαρχε, τούτους τοὺς ἀνθρώπους δι' ἐρημίης ἐλαύνειν
D τὴν αὐτὴν ἡμῖν ὁδὸν, οὐκ ἐπ' ἄλλῳ τινὶ συντίθημι, ἢ ὅ-
τι μὴ κατὰ ζήτησιν ἡμετέρην ἀπεσταλμένους· ὅτι δὲ οὐ γι-
γνώσκουσιν ἡμέας, οὐκ ἐν θαύματι ποιέομαι. οὕτω
γάρ τοι ἔχομεν κακῶς, ὡς ἀγνῶστοι εἶναι. φράσωμεν οὖν
αὐτοῖς οἵτινες εἰμέν· καὶ τοὺς ἐρώμεθα καθ' ὅ,τι ταύτῃ
ἐλαύνουσιν. ἔδοξε τῷ Νεάρχῳ ἐναίσιμα λέγειν. καὶ
ἤροντο ὅποι ἐλαύνουσιν· οἱ δὲ ὑποκρίνονται, ὅτι κατὰ ζήτη-
σιν Νεάρχου τε καὶ τοῦ στρατοῦ τοῦ ναυτικοῦ. ὁ δὲ, Οὗτος, ἔφη
ἐγώ εἰμι Νέαρχος, καὶ Ἀρχίης, οὗτος. ἀλλ' ἄγετε ἡμέας·
ἡμεῖς δὲ τὰ ὑπὲρ τῆς στρατιῆς Ἀλεξάνδρῳ ἀπηγησό-
E μεθα. ἀναλαβόντες οὖν αὐτοὺς ἐπὶ τὰς ἀπήνας, ὀπί-
σω ἤλαυνον. καί τινες αὐτῶν τούτων ὑποφθάσαι ἐ-
θελήσαντες τὴν ἀγγελίην, προδραμόντες λέγουσιν
Ἀλεξάνδρῳ, ὅτι οὗτός τοι Νέαρχος, καὶ σὺν αὐτῷ Ἀρχίης
καὶ πέντε ἄλλοι κομίζονται παρὰ σέ· ὑπὲρ δὲ τοῦ στρατοῦ παν
τὸς οὐδὲν εἶχον ὑποκρίνασθαι. τοῦτο οὖν ἐκεῖνο συνθεὶς
ὁ Ἀλέξανδρος, τοὺς μὲν παραλόγως ἀποσωθῆναι, τὴν
στρατιὴν δὲ πᾶσαν διεφθάρθαι αὐτῷ, οὐ τοσόνδε τοῦ Νεάρ
χου τε καὶ τοῦ Ἀρχίου τῇ σωτηρίῃ ἔχαιρεν, ὅσον ἐλύπει αὐ
τὸν ἀπολομένη ἡ στρατιὰ πᾶσα. οὔπω πάντα ταῦτα
F εἴρητο, καὶ ὁ Νέαρχός τε καὶ ὁ Ἀρχίης προσῆγον. τοὺς δὲ
μόγις καὶ χαλεπῶς ἐπέγνω Ἀλέξανδρος, ὅτι τε κο-
μόωντας καὶ κακῶς ἐσταλμένους καθεώρα, ταύτῃ μᾶλ
λόν τι βεβαιότερον αὐτῷ τὸ ἄχος ὑπὲρ τῆς στρατιῆς τῆς
ναυτικῆς ἐγίνετο. ὁ δὲ τὴν δεξιὴν τῷ Νεάρχῳ ἐμβαλὼν
καὶ ἀπαγαγὼν μόνον αὐτὸν ἀπὸ τῶν ἑταίρων τε καὶ τῶν
ὑπασπιστῶν, πολλὸν ἐπὶ χρόνον ἐδάκρυεν. ὀψὲ δὲ ἀνε-
νεγκὼν, Ἀλλὰ ὅτι σύ γε ἡμῖν ἐπανήκεις σῶς (ἔφη) καὶ

Ἀρχίης οὗτος, ἔχοι ἂν ἔμοιγε ὡς ἐπὶ συμφορῇ τῇ ἁπάσῃ μετρίως· αἱ δέ τοι νέες καὶ ἡ στρατιὴ κοίῳ τινὶ τρόπῳ διεφθάρησαν; ὁ δὲ ὑπολαβὼν, Ὦ βασιλεῦ (ἔφη) καὶ αἱ νέες τοι σόαι εἰσὶ, καὶ ὁ στρατός· ἡμεῖς δὲ οὗτοι ἄγγελοι τῆς σωτηρίης αὐτῶν ἥκομεν. ἔτι ὧν μᾶλλον ἐδάκρυε Ἀλέξανδρος, καθότι ἀνέλπιστός οἱ ἡ σωτηρίη τοῦ στρατοῦ ἐφαίνετο· καὶ ὅπου ὁρμέουσιν αἱ νέες ἐπανηρώτα. ὁ δὲ, αὗται (ἔφη) ἐν τῷ στόματι τοῦ Ἀνάμιδος ποταμοῦ ἀνειρυσμέναι ἐπισκευάζονται. Ἀλέξανδρος δὲ τόν τε Δία τῶν Ἑλλήνων, καὶ τὸν Ἄμμωνα τὸν Λιβύων ἐπώμνυεν, ἦ μὴν μεῖζον ὡς ἐπὶ τῇδε τῇ ἀγγελίῃ χαίρειν, ἢ ὅτι τὴν Ἀσίην πᾶσαν ἐκτημένος ἔρχεται. καὶ γὰρ καὶ τὸ ἄχος οἱ ἐπὶ τῇ ἀπωλείῃ τοῦ στρατιῆς ἀντίρροπον γενέσθαι τῇ ἄλλῃ πάσῃ εὐτυχίῃ. ὁ δὲ ὕπαρχος τῆς χώρης, ὅντινα συνειλήφει Ἀλέξανδρος ἐπὶ τῆς ἀγγελίης τῇ ματαιότητι, παρόντα κατιδὼν τὸν Νέαρχον, πίπτει τε αὐτῷ πρὸς τὰ γόνατα, καὶ, Οὗτός τοι (ἔφη) ἐγώ εἰμι, ὃς ἀπήγγελλα Ἀλεξάνδρῳ ὅτι σῶοι ἥκετε. ὁρᾷς ὅπως διάκειμαι. οὕτω δὴ δεῖται Ἀλεξάνδρου Νέαρχος ἀφεῖναι τὸν ἄνδρα, καὶ ἀφίεται. Ἀλέξανδρος δὲ σωτήρια τοῦ στρατοῦ ἔθυε Διὶ σωτῆρι, καὶ Ἡρακλεῖ, καὶ Ἀπόλλωνι ἀλεξικάκῳ, καὶ Ποσειδῶνί τε, καὶ ὅσοι ἄλλοι θεοὶ θαλάσσιοι. καὶ ἀγῶνα ἐποίεε γυμνικόν τε καὶ μουσικὸν, καὶ πομπὴν ἔπεμπε· καὶ Νέαρχος ἐν πρώτοις ἐπόμπευε, ταινίῃσί τε καὶ ἄνθεσι πρὸς τῆς στρατιῆς βαλλόμενος. ὡς δὲ ταῦτά οἱ τέλος εἶχε, λέγει πρὸς Νέαρχον, Ἐγώ σε ὦ Νέαρχε οὐκέτι θέλω τὸ πρόσω οὔτ' ὦν κινδυνεύειν, οὔτ' ὦν ταλαιπωρέεσθαι. ἀλλὰ ἄλλος γὰρ τοῦ ναυτικοῦ ἐξηγήσεται τὸ ἀπὸ τοῦδε, ἔστε καταστήσῃ αὐτὸ ἐς Σοῦσα. Νέαρχος δὲ ὑπολαβὼν λέγει, Ὦ βασιλεῦ, ἐγὼ μέντοι πάντα πείθεσθαι ἐθέλω τε καὶ ἀναγκαίη μοι ἐστίν. ἀλλὰ εἰ δή τι καὶ σὺ ἐμοὶ χαρίζεσθαι ἐθέλοις, μὴ ποιήσῃς ὧδε. ἀλλά με ἔασον ἐξηγήσασθαι ἐς ἅπαν τοῦ στρατοῦ, ἔστε τοι σώας καταστήσω ἐς Σοῦσα τὰς νέας. μηδὲ τὰ μὲν χαλεπά τε αὐτοῦ καὶ ἄπορα ἐμοὶ ἐπιτετραμμένα ἐκ σοῦ ἔστω· τὰ δὲ εὐπετέα τε καὶ κλέος ἤδη ἐπίυσυ ἐχόμενα, ταῦτα δὲ ἀφαιρεθέντα, ἄλλῳ ἐς χεῖρας διδόσθω. ἔτι λέγοντα παύει αὐτὸν Ἀλέξανδρος, καὶ χάριν προσωμολόγει εἰδέναι. οὕτω δὴ καταπέμπει αὐτὸν, στρατιὴν δοὺς ἐς παραπομπὴν, ὡς διὰ φιλίας ἰόντι, ὀλίγην. τῷ δὲ, οὐδὲ τὰ τῆς ὁδοῦ τῆς ἐπὶ θάλασσαν ἔξω πόνου ἐγένετο· ἀλλὰ συλλελεγμένοι γὰρ οἱ κύκλῳ βάρβαροι, τὰ ἐρυμνὰ τῆς χώρης τῆς Καρμανίης κατεῖχον, ὅτι καὶ ὁ σατράπης αὐτοῖσι τετελευτήκει κατὰ πρόσταξιν Ἀλεξάνδρου. ὁ δὲ νεωστὶ καθεστηκὼς Τληπόλεμος, οὔπω βέβαιον τὸ κράτος εἶχε. καὶ δὶς ὦν καὶ τρὶς τῇ αὐτῇ ἡμέρῃ ἄλλοισι καὶ ἄλλοισι τῶν βαρβάρων ἐπιφαινομένοισιν ἐς χεῖρας ἤεσαν· καὶ οὕτως οὐδέν τι ἐλινύσαντες, μόλις καὶ χαλεπῶς ἐπὶ θάλασσαν ἀπεσώθησαν. ἐνταῦθα θύει Νέαρχος Διὶ σωτῆρι, καὶ ἀγῶνα ποιέει γυμνικόν. ὡς δὲ αὐτῷ τὰ θεῖα ἐν κόσμῳ πεποίητο, οὕτω δὴ ἀνήγοντο. παραπλώσαντες δὲ νῆσον ἐρήμην τε καὶ τραχέην, ἐν ἄλλῃ νήσῳ ὁρμίζονται, μεγάλῃ ταύτῃ καὶ οἰκουμένῃ, πλώσαντες σταδίους τριηκοσίους, ἔνθενπερ ὡρμήθησαν. καὶ ἡ μὲν ἐρήμη νῆσος, Ὀργάνα ἐκαλέετο· ἐς ἣν δὲ ὡρμήθησαν, Ὀάρακτα· ἄμπελοί τε ἐν αὐτῇ ἐπεφύκεσαν, καὶ φοίνικες, καὶ σιτοφόρος. τὸ δὲ μῆκος ἦν τῆς νήσου, στάδιοι ὀκτακόσιοι.

A Archias ſoſpites ac ſalui redieritis, moderatius vniuerſæ claſſis iacturã fero: at verò naues & exercitus quonam pacto perierunt? Tum Nearchus regis ſermonẽ excipiens, Saluæ ſunt (inquit) tibi rex & naues & exercitus: nos verò huius ſalutis nuntij venimus. tum vberiores Alexandro lacrymæ manarunt, ꝙ præter omnẽ expectationẽ ei exercitus ſaluus eſſet: ſimulq; vbi portũ ceperint rogat. Nearchus eas ad fauces Anamidis fluuij cõſiſtere ait, atq; in terrã ſubductas refici. Poſt hæc Alexãder per Iouẽ Græcorũ & Ammo- B nem Libycum iurans affirmauit, gratius ſibi iucundiúſq; id nuntij accidiſſe, quàm ꝙ vniuerſam Aſiam ſubiugaſſet. Dolorẽ enim ob amiſſum exercitũ, vniuerſæ felicitati ſuæ parem fuiſſe. Præſes verò prouinciæ, quem ob nuntij vanitatẽ cõprehendi iuſſerat, Nearchum præſentẽ cõſpicatus, ei ad genua prouolutus, Ego, inquit, is ſum qui Alexandro nũtiaui vos ſaluos rediiſſe. vides quo pacto exceptus ſim. Tum rogatu Nearchi Alexã- C der eum dimitti iubet. Alexãder ob ſeruatũ exercitum, Ioui ſeruatori, atque Herculi, & Apollini Alexicaco, ſiue infortuniorũ propulſatori, & Neptuno, aliiſque diis marinis ſacrum fecit. Ludos etiam gymnicos & muſicos edidit, pompámque induxit: pompæ dux Nearchus erat, ſertis ac floribus ab omni exercitu petitus. His rebus peractis Alexander ita Nearchum alloquitur, Ego te, Nearche, nulla poſthac pericula aut labores adire volo. Sed alius claſſi præfectus eam in Suſas ducet. Nearchus regis ſermonem ex- D cipiens, Equidem, ô rex (inquit) tibi per omnia morem gerere & cupio, & debeo. Cęterùm ſiqua in re mihi gratificari volueris, hoc ne feceris: quin potius me vniuerſo exercitui præfectũ eſſe patiare, donec tibi naues ſaluas in Suſas perduxerim: néve quũ res arduæ atque difficiles mihi abs te commiſſæ fuerint: faciles, quarũ gloria iam in prõptu eſt, aliis in manus dederis. Adhuc loquentẽ ſedat Alexander, gratiã ſe illi habere profeſſus: atque ita eum dimittit, exiguo exercitu comitatum, quippe cui per amicam regio- E nem eundum eſſet. Cæterùm neque ipſa ad mare profectio Nearcho expers laboris fuit. Collecti enim vndequaque barbari tuta munitáque Carmaniæ loca occuparant. Nam ſatrapa eorum, iuſſu Alexandri, interfectus fuerat. Tlepolemus autem qui recens ſatrapatum inierat, nondum firmum imperium nactus erat. Bis itaque ac ter vno atque eodem die diuerſis in eum barbaris irruentibus pugnandum fuit. Atque ita magno cum labore ægrè tandem ac difficul- F ter ad mare ſalui peruenerunt. Ibi Nearchus Ioui ſeruatori ſacrum facit, gymnicóſque ludos edidit. Rebus itaque diuinis ritè peractis, oram ſoluit: hinc inſulam deſertam atque aſperam præteruecti, ad aliam inſulam grandem atque habitatam, c c c ſtadiis emenſis, appellunt, ibique portum capiũt. Deſerta illa inſula, Organa vocabatur: vbi verò conſtiterunt, Oaracta. Erat hæc vitium, palmarum, & frumenti ferax. Longitudo inſulæ D C C C ſtadia efficiebat.

Præſes eius loci Mazenes, ſua ſponte ſe Nearcho & comitem & ducem nauigationis Suſas vſque adiunxit. In hac inſula aiebant ſepulcrum eius extare qui primus imperium inſulæ tenuiſſet, noménque ei fuiſſe Erythrę atque inde mare illud Erythræū appellatū. Ex eo loco ad CC ſtadia Nearchus cū claſſe profectus, rurſus in eadem inſula portum cepit. Inde aliam inſulam proſpiciunt, XL circiter ſtadiis à magna illa diſtantem, quæ Neptuno ſacra & inacceſſa eſſe dicebatur. ſub auroram itaque inde ſoluunt. Cæterùm æſtus adeo vehemens in mare refuſus eſt, vt tres naues impactæ in vado ſicco hæſerint, & reliquæ difficulter è rupi coſis locis enauigantes in altum euadere potuerint. At verò quæ impactæ erant, accedente rurſus æſtu, & ipſæ deductæ poſtero die ad reliquam claſſem appulerunt. & CCCC ſtadiis emenſis ad aliam inſulam, CCC ſtadiis à continente diſtantem, portum ceperunt. Inde ſub auroram ſoluentes, inſula quadam deſerta quæ ad læuam erat, (Pyloræ ei nomen erat) præterita, ad Sidodonem vrbem exiguam omniúmque rerum inopem, præterquā aquæ & piſcium, peruenerūt. Nam & hos quoque ichthyophagos eſſe, hoc eſt vt piſcibus veſcantur, neceſſitas facit. ſterilem enim terrā incolunt. Aqua inde tantùm ſumta in Tarſium promontorium longè in mare porrectum deferuntur, CCC ſtadiis emenſis. Inde in Catæam inſulam deſertam ac vadoſam. ea Mercurio & Veneri ſacra eſſe dicebatur. nauigatio CCC ſtadiorum fuerat. In hanc inſulam ſingulis annis à finitimis oues & capreæ mittuntur, Mercurio & Veneri ſacræ. Has temporis longinquitate, ac ſolitudine efferatas videre erat. Ad hunc vſque locum Carmania pertingit: citeriora Perſæ tenent. Longitudo nauigationis ad Carmanię oram eſt ſtadiorū III M. & DCC. Viuunt Carmani Perſarum more. nam & Perſis finitimi ſunt: eodem etiam armorum & bellandi genere vtūtur. Soluta inde claſſe, Perſidis oram circumuecti, in locum quendam Ilam dictum appulerunt, qui inſulæ exiguæ ac deſertæ, cui Caicandrus nomen eſt, obiectus, portū efficit. Nauigatio eſt ſtadiorum CCCC. Sub auroram in aliam inſulam habitatam delati ſunt, in qua perinde atque in mari Indico margaritā capi Nearchus ſcribit. Huius inſulæ promontorio præternauigato, ſtadiis XL emenſis, ibi conſtiterunt. Inde ad mōtem excelſum, Ochum dictum, appulerunt. portúmque à ventis tutum, & piſcatores ea loca habitantes repererūt. Inde rurſum ſoluentes, CCCCL ſtadiis emēſis, ad Apoſtanos appulerunt. Complura ibi nauigia in ſtatione erant: & pagus adiacebat LX ſtadiis à mari remotus. Hinc, repetita per noctem nauigatione, in ſinum quendam frequentibus pagis celebrem delati ſunt, CCCC ſtadiis emēſis: ibi claſſe ad radicem montis collocata, ſubſtiterunt. Loca illa palmas aliáſque pomiferas arbores quotquot in Græcia naſcuntur ferebant. Inde ſoluentes, in Gogana, regionem habitatam, DC circiter ſtadiis emenſis, nauigant: claſſémque ad fauces fluuij cuiuſdam qui torrenti ſimilis erat (Areon ei erat nomen) collocauit.

A καὶ ὁ ὕπαρχος τῆς νήσου Μαζήνης συνέπλει αὐτοῖσι μέχρι Σούσων, ἐθελοντὴς ἡγεμὼν τοῦ πλόου. ἐν ταύτῃ τῇ νήσῳ ἔλεγον καὶ τοῦ πρώτου δυναστεύσαντος τῆς χώρης ταύτης δείκνυσθαι τὸν τάφον· ὄνομα δὲ αὐτῷ Ἐρύθρην εἶναι· ἀπ' ὅτου καὶ τὴν ἐπωνυμίην τῇ θαλάσσῃ ταύτῃ εἶναι, Ἐρυθρὴν καλέεσθαι. ἐνθένδε ἐκ τῆς νήσου ἄραντες ἔπλεον· καὶ τῆς νήσου αὐτῆς παραπλώσαντες ὅσον διηκοσίους σταδίους, ὁρμίζονται ἐν αὐτῇ αὖθις. καὶ καθορῶσιν ἄλλην νῆσον, ἀπέχουσαν τῆς μεγάλης ταύτης τεσσαράκοντα μάλιστα σταδίους· Ποσειδῶνος ἱρὴ ἐλέγετο εἶναι, καὶ ἄβατος. ὑπὸ δὲ τὴν ἕω B ἀνήγοντο· καὶ καταλαμβάνει αὐτοὺς ἡ ἄμπωτις, οὕτω τι καρτερή, ὥστε τρεῖς τῶν νεῶν ἐποκείλασαι ἐν τῷ ξηρῷ ἐσχέθησαν. αἱ δὲ ἄλλαι, χαλεπῶς διεκπλώουσαι τὰς ῥηχίας, ἐς τὰ βάθεα διεσώθησαν. αἱ δὲ ἐποκείλασαι, τῆς πλημμυρίδος ἐπιγενομένης, αὖθις ἐξέπλωσάν τε καὶ δευτεραῖαι κατήγοντο ἵνα περ ὁ πᾶς στόλος. ὁρμίζονται δὲ ἐς νῆσον ἄλλην, διέχουσαν τῆς ἠπείρου ὅσον τριηκοσίους σταδίους, πλώσαντες τετρακοσίους. ἐντεῦθεν ὑπὸ τὴν ἕω ἔπλεον, νῆσον ἐρήμην ἐν ἀριστερᾷ παραμείβοντες (ὄνομα δὲ τῇ νήσῳ Πύλωρα) C καὶ ὁρμίζονται πρὸς Σιδωδώνῃ, πολιχνίῳ σμικρῷ, καὶ πάντων ἀπόρῳ, ὅτι μὴ ὕδατος καὶ ἰχθύων. ἰχθυοφάγοι γὰρ καὶ οὗτοι ὑπ' ἀναγκαίης ἦσαν, ὅτι πονηρὰν γῆν νέμονται. ἐνθένδε ὑδρευσάμενοι, καταίρουσιν ἐς Ταρσίην ἄκρην, ἀνατείνουσαν ἐς τὸ πέλαγος, πλώσαντες σταδίους τριηκοσίους. ἔνθεν ἐς Καταίην, νῆσον ἐρήμην, ἁλιτενέα. αὕτη ἱρὴ Ἑρμέω καὶ Ἀφροδίτης ἐλέγετο· στάδιοι τοῦ πλόου τριηκόσιοι. ἐς ταύτην ὅσα ἔτη ἀφίεται ἐκ τῶν περιοίκων πρόβατα καὶ αἶγες, ἱρὰ τῷ Ἑρμῇ καὶ τῇ Ἀφροδίτῃ. καὶ ταῦτα ἀπη[illegible]ια ἦν D ὁρᾶν ὑπὸ χρόνου τε καὶ ἐρημίης. μέχρι τ[illegible] Καρμανίη. τὰ δὲ ἀπὸ τοῦδε, Πέρσαι ἔχουσι. μῆκος τοῦ πλόου παρὰ τὴν Καρμανίην χώρην, στάδιοι τρισχίλιοι καὶ ἑπτακόσιοι. ζώουσι δὲ κατάπερ Πέρσαι, ὅτι καὶ ὅμοροί εἰσι Πέρσῃσι· καὶ τὰ ἐς τὸν πόλεμον ὡσαύτως κοσμέονται. ἐνθένδε ἄραντες ἐκ τῆς νήσου τῆς ἱρῆς παρὰ τὴν Περσίδα ἤδη ἔπλεον· καὶ κατάγονται ἐς Ἴλαν χῶρον, ἵνα λιμὴν πρὸ νήσου σμικρῆς καὶ ἐρήμης γίνεται· οὔνομα τῇ νήσῳ Καΐκανδρος. ὁ δὲ πλόος στάδιοι τετρακόσιοι. ὑπὸ δὲ τὴν ἕω ἐς ἄλλην νῆσον πλώ- E σαντες ὁρμίζονται οἰκουμένην· ἵνα καὶ μαργαρίτην θηρᾶσθαι λέγει Νέαρχος, κατάπερ ἐν τῇ Ἰνδῶν θαλάσσῃ. ταύτης τῆς νήσου τὴν ἄκρην παραπλώσαντες σταδίους ὡς τεσσαράκοντα, ἐνταῦθα ὡρμίσθησαν. ἐνθένδε πρὸς ὄρει ὁρμίζονται ὑψηλῷ (Ὦχος ὄνομα τῷ ὄρει) ἐν λιμένι εὐόρμῳ· καὶ ἁλιέες αὐτοῦ ᾤκεον. καὶ ἔνθεν πλώσαντες σταδίους τετρακοσίους καὶ πεντήκοντα, ὁρμίζονται ἐν Ἀποστάνοισι. καὶ πλοῖα πολλὰ αὐτόθι ὥρμεε· κώμη τε ἐπῆν ἀπέχουσα ἀπὸ θαλάσσης σταδίους ἑξήκοντα. νυκτὸς δὲ ἐπάραντες ἔνθεν, F ἐσπλώουσιν ἐς κόλπον συνοικεόμενον πολλῇσι κώμῃσι· στάδιοι τοῦ πλόου τετρακόσιοι. ὁρμίζονται δὲ πρὸς ὑπωρείην. ταύτῃ φοίνικές τε πολλοὶ ἐπεφύκεσαν, καὶ ὅσα ἄλλα ἀκρόδρυα ἐν τῇ Ἑλλάδι γῇ φύεται. ἔνθεν ἄραντες ἐς Γώγανα παραπλέουσι, σταδίους μάλιστα ἑξακοσίους, ἐς χώρην οἰκουμένην. ὁρμίζονται δὲ τοῦ ποταμοῦ τοῦ χειμάρρου (ὄνομα δέ οἱ Ἀρεών) ἐν τῇσιν ἐκ-

βολῆσιν. ἐνταῦθα χαλεπῶς ὁρμίζονται. στεινὸς γὰρ ἦν ὁ ἔσπλοος κατὰ τὸ στόμα· ὅτι βράχεα τὰ κύκλῳ αὐτοῦ, ἡ ἀνάπωτις ἐποίεε. καὶ ἔνθεν αὖ ἐν στόματι ἄλλου ποταμοῦ ὁρμίζονται, διεκπλώσαντες σταδίους ὀκτακοσίους· Σιτακὸς ὄνομα τῷ ποταμῷ ἦν· οὐδὲ ἐν τούτῳ εὐμαρέως ὁρμίζονται. καὶ ὁ πλόος ἅπας οὗτος ὁ παρὰ τὴν Περσίδα, βράχεά τε ἦσαν, καὶ ῥηχίαι καὶ τενάγεα. ἐνταῦθα σῖτον καταλαμβάνουσι πολλὸν, ξυγκεκομισμένον κατὰ πρόσταξιν βασιλέως, ὡς σφίσιν εἶναι ἐπισιτίσασθαι. ἐνταῦθα ἔμειναν ἡμέρας τὰς πάσας μίαν καὶ εἴκοσι. καὶ τὰς νέας ἀνειρυσάμενοι, ὅσαι μὲν πεπονήκεσαν, ἐπεσκεύαζον· τὰς δὲ ἄλλας ἐθεράπευον. ἐνθένδε ὁρμηθέντες, εἰς Γέρατιν πόλιν ἀφίκοντο, ἐς χῶρον οἰκούμενον· ἑπτακόσιοι καὶ πεντήκοντα στάδιοι ὁ πλόος. ὡρμίσθησαν δὲ ἐν διώρυχι ἀπὸ τοῦ ποταμοῦ ἐμβεβλημένῃ ἐς θάλασσαν, ᾗ ὄνομα ἦν Ἡράτεμις. ἅμα δὲ ἡλίῳ ἀνίσχοντι παραπλέουσιν ἐς ποταμὸν χειμάρρουν, ὄνομα Πάδαργον. ὁ δὲ χῶρος χερρόνησος ἅπας. καὶ ἐν αὐτῷ κῆποί τε πολλοί, καὶ ἀκρόδρυα παντοῖα ἐφύετο· ὄνομα τῷ χώρῳ Μεσαμβρίη. ἐκ Μεσαμβρίης δὲ ὁρμηθέντες, καὶ διεκπλώσαντες σταδίους μάλιστα ἐς διηκοσίους, ἐς Ταόκην ὁρμίζονται, ἐπὶ ποταμῷ Γράνιδι. καὶ ἀπὸ τούτου ἐς τὰ ἄνω Περσῶν βασίλεια ἦν, ἀπέχοντα τοῦ ποταμοῦ τῶν ἐκβολέων σταδίους ἐς διηκοσίους. κατὰ τοῦτον τὸν παράπλουν λέγει Νέαρχος ὀφθῆναι κῆτος ἐκβεβλημένον εἰς τὴν ἠϊόνα· καὶ τοῦτο προσπλώσαντας ἐνίους τῶν ναυτέων ἐκμετρῆσαι, καὶ φάναι εἶναι πηχέων πεντήκοντα· δέρμα δὲ αὐτῷ εἶναι φολιδωτὸν, οὕτω τι ἐς βάθος ἧκον, ὡς καὶ ἐπὶ πῆχυν ἐπέχειν· ὄστρεά τε καὶ λεπάδας καὶ φυκία πολλὰ ἔχειν ἐπιπεφυκότα. καὶ δελφῖνας λέγει ὅτι καθορᾶν ἦν πολλοὺς ἀμφὶ τῷ κήτει. καὶ τοὺς δελφῖνας τῶν ἐν τῇ ἑῴᾳ θαλάσσῃ μέζονας. ἔνθεν δὲ ὁρμηθέντες, κατάγονται ἐς Ῥώγωνιν ποταμὸν χειμάρρουν, ἐν λιμένι εὐόρμῳ. μῆκος τοῦ παράπλου στάδιοι διηκόσιοι. ἐνθένδε τετρακοσίους σταδίους διεκπλώσαντες, αὐλίζονται ἐν ποταμῷ χειμάρρῳ· Βρίζανα τῷ ποταμῷ ὄνομα. ἐνταῦθα χαλεπῶς ὡρμίσαντο, ὅτι ῥηχίη ἦν, καὶ βράχεα. καὶ χοιράδες ἐκ τοῦ πόντου ἀνεῖχον. ἀλλ᾽ ὅτε ἡ πλημμύρα ἐπήει, τότε ὡρμίσαντο· ὑπονοστήσαντος δὲ τοῦ ὕδατος, ἐπὶ ξηροῦ ὑπελείφθησαν αἱ νῆες. ἐπεὶ δὲ ἡ πλημμυρὶς ἐν τάξει ἀμείβουσα ἐπῆλθε, τότε δὴ ἐκπλώσαντες ὁρμίζονται ἐπὶ ποταμῷ· ὄνομα δὲ τῷ ποταμῷ Ἄροσις, μέγιστος τῶν ποταμῶν, ὡς λέγει Νέαρχος, ὅσοι ἐν τῷ παράπλῳ τῷδε ἐμβάλλουσιν ἐς τὸν ἔξω πόντον. μέχρι τοῦδε Πέρσαι οἰκέουσι· τὰ δὲ ἀπὸ τούτων, Σούσιοι. Σουσίων δὲ ἔθνος αὐτόνομον κατύπερθε προσοικέει· Οὔξιοι καλοῦνται· ὑπὲρ ὅτων λέλεκταί μοι ἐν τῇ ἄλλῃ ξυγγραφῇ, ὅτι λῃσταί εἰσι. μῆκος τοῦ παράπλου τῆς Περσίδος χώρης, στάδιοι τετρακόσιοι καὶ τετρακισχίλιοι. τὴν δὲ Περσίδα γῆν, τριχῇ νενεμῆσθαι τῶν ὡρέων, λόγος κατέχει. τὸ μὲν αὐτῆς πρὸς τῇ ἐρυθρῇ θαλάσσῃ οἰκεόμενον, ἀμμῶδές τε εἶναι καὶ ἄκαρπον ὑπὸ καύματος· τὸ δὲ ἐπιπλέως πρὸς ἄρκτον τε καὶ Βορέην ἄνεμον ἰόντων, καλῶς κεκρᾶσθαι τῶν ὡρέων. καὶ τὴν χώρην ποιώδεά τε εἶναι, καὶ λειμῶνας ὑδρηλοὺς καὶ ἄμπελον πολλὴν φέρειν, καὶ ὅσοι ἄλλοι καρποί, πλὴν ἐλαίης· παραδείσοισί τε παντοίοισι τεθηλέναι, καὶ ποταμοῖσι καθαροῖσι διαρρέεσθαι, καὶ λίμνῃσι· καὶ ὀρ-

A idque iniquo ſatis loco: quòd aditus fauciũ anguſtus eſſet, ob vada quæ æſtus marini receſſus in orbem fecerat. Inde rurſus ad alterius fluminis, cui Sitaco nomen eſt, fauces appulerunt, D C C C ſtadiis emenſis. ſed ne ibi quidem commodã ſtationem nacti ſunt: vniuerſa hæc ad Perſidis orã nauigatio plurima vadoſa & petricoſa paluſtriáque loca habet. Eo loci Nearchus multum frumenti quod rex ad frumentandum exercitum conuehi curarat, accepit. Ibi X X I dies in vniuerſum commorati, naues quæ ſalo quaſſa- B tæ erant in terram ſubductas refecerunt. Inde rurſum oram ſoluentes ad Hieratim oppidum habitatum, D C C L ſtadiis emenſis, appulſi ſunt, claſſémque in alueo fluminis Heratemis qui illac in mare fertur collocarunt: Poſtero die ſub auroram ad exiguum quẽdam amnem, Padargum nomine, appellunt. Totus is tractus cherroneſus eſt. in eo hortos quamplurimos arboréſque pomiferas omnis generis repererunt. nomen illi tractui eſt Meſambria. Ex Meſambria di- C greſſi, ſtadiis circiter C C emenſis in Taocẽ ad Granidem fluuium peruenerunt. Ab huius fluminis oſtio C C fere introrſum ſtadia Perſarum regia eſt. In hac nauigatione Nearchus balænã abs ſe viſam eſſe ſcribit, quæ in littus eiecta erat: nautáſque nonnullos in terrã egreſſos, eam menſos, retuliſſe quinquaginta cubitorũ eſſe. pellem eius ſquammoſam cubiti vnius craſſitudine fuiſſe. Multa etiam oſtrea & lopades, multámq; algam annatam ei fuiſſe: delphines quoque circa D belluam viſos, maiores quàm orientale mare fert. Inde profecti ad Rogonim fluuium exiguum, in tutum portum ſe recipiunt, C C ſtadiis emenſis. Ab hoc flumine C C C C ſtadia progreſſi ad alium exiguum amnem, Brizana dictum, deuenerunt. Ibi difficili ſtatione ſunt vſi, quòd frequentia vada & ſcopuli ac rupes ad mare eſſent. Accedente itaque æſtu portum ceperunt: recedente, in vado hærebant. Mox reciprocante æſtu enauigantes, ad Aroſen fluuium conſtiterunt. Maximum hunc fluuium Nearchus eſſe ſcribit o- E mnium, qui per hãc nauigationẽ in exterius mare influunt. Ad hunc amnem vſque Perſę habitant: vlterius Suſij incolunt. Horum gens quędam libera, Vxij dicti, vlteriora loca tenent: quos in ſuperiori opere latrocinia exercere diximus. Vniuerſa Perſidis ora ſtadia IIII M, C C C C efficit. Porro totius Perſicæ regionis temperaturã tripliciter diuidi fama eſt. Nam quæ pars eius ad mare Rubrum ſita eſt, arenoſam ac ſterilem ob æſtum eſſe. Quæ verò omnino ad ſeptentrio- F nem & Borealem plagam iacet, cõſtitutionem cęli temperatam habere, regionémque ipſam herboſam, multa irrigua prata, multáſque vites habere, atque adeò omne genus fructuum, excepta olea. Hortis enim amœniſſimis florere, fluuiíſque & lacubus limpidiſſimis irrigari, omníque genere auium quę

circa flumina aut lacus verſari ſolent, abundare: equis etiam aliiſque iumentis paſcendis idoneã eſſe, ſyluoſam prætcrea eſſe, venatuſque aptiſſimam. Eam autem quæ adhuc magis in ſeptentrionem vergit, frigidam ac niualem eſſe: Nearchus legatos quoſdam ab Euxino ponto, breuiſſimo itinere profectos, Alexandro Perſidem tranſeunti obuiam veniſſe ſcribit. Idque Alexandro permirum viſum fuiſſe, breuitate viæ ex ipſis cognita. Quòd verò Suſijs finitimi ſint Vxij, antea à nobis dictum eſt. quemadmodũ & Mardi (latrones etiam ipſi) Perſas, Coſſæi Medos accolunt. Quas quidem gentes omnes Alexander domuit. hyeme eas adortus, quando regionem ſuam adiri nulla ratione poſſe putabãt. Vrbes quoque iis condidit, ne iam amplius paſtores ſed aratores agricolæq; eſſent, vtque quũ pro quibus metuerent haberent, ab iniuria ac vi alter alteri inferenda abſtinerent. Inde Suſiorum regionem prætervectus eſt exercitus. Ab hoc loco Nearchus ſe non ita certa narrare poſſe ſcribit, præterquam portus, & longitudinem nauigationis. Omnem enim illum maris tractum longè latéque vadoſum ac ſcopuloſum eſſe: neque citra periculum portum è mari capi poſſe. Idcirco hâc præcipuam eorum curam fuiſſe, vt ex faucibus amnis, vbi ad fines Perſidis conſederant, ſoluerent, & de aqua in quinq; dies claſſi proſpicerẽt. Duces enim nauigationis monuerant, aquam in iis partibus non reperiri. Quúmque ad quingenta ſtadia prouecti eſſent, ad fauces piſcoſi cuiuſdã lacus, qui Caderbis dicebatur, conſtiterunt. Exigua ad huius lacus fauces inſula adiacebat, quam Margaſtanam vocant. Inde ſub auroram ſoluentes, per vada vix vnius nauis capacia nauigarunt. Pali hinc inde fixi vada oſtendebant, perinde atque apud Iſthmum inter Leucadem atque Acarnaniam ſigna quædã nauigantibus expoſita ſunt, ne naues in vada impingant. Cæterùm vada apud Leucadem ſabuloſa ſunt. quo fit vt naues iis impactæ facilè acceſſu æſtus ſubducantur. Verùm hîc limus eſt ab vtraque parte profundus & tenax, adeo vt naues impactæ nullo artificio euelli poſſint. Contis enim in limo ſubſidẽtibus nihil proficiebatur, neque nautę nauibus egredi ad eas vadis euellendas poterant. quòd limus veſtigiis cedens eos pectore tenus abſorberet. Atque ita difficillima nauigatione per DC ſtadia vſi, ad nullum portum delati in nauibus corpora curarunt. Noctu verò repetita nauigatione in altum delati, totum etiã diem poſterum in veſperum vſque nauigantes, DCCC ſtadiis confectis, ad Euphratis oſtia appulerunt, & ad pagũ quendam Babylonicæ regionis, cui Diridotis nomen eſt, peruenerunt. è quo mercatu thus, aliáque aromata quæ fert Arabia, negotiatores adferunt. Ab oſtiis Euphratis Babylonẽ vſque Nearchus ſtadia IIIMCCC ſtatuit. Eo loci de Alexandri ad Suſios profectione nuntium acceperunt. Ipſi etiam inde retrorſum profecti per Paſitigrim fluuium nauigarunt, vt dextras cum Alexandro iungerent. Oram relegentes, à læua Suſios habebant, la-

A νισιν ἐοίκασιν ἀμφὶ ποταμούς τε καὶ λίμνας ἔστι τὰ
ἤθεα. ἵπποισί τε ἀγαθὴν εἶναι καὶ τοῖσιν ἄλλοισιν ὑποζυ-
γίοισι νέμεσθαι. καὶ ὑλώδεά τε πολλαχῆ καὶ πολύθη-
ρον. τὴν δὲ πρόσω ἔτι ἐπ' ἄρκτον ἰόντων, χειμερίην τε
καὶ νιφετώδεα· ὥστε πρέσβεις τινὰς ἐκ τοῦ Εὐξεί-
νου πόντου λέγει Νέαρχος κάρτα ὀλίγην ὁδὸν διελθόν-
τας, ἐντυχεῖν κατ' ὁδὸν ἰόντι τῆς Περσίδος, καὶ θῶυ-
μα γενέσθαι Ἀλεξάνδρῳ, καὶ εἰπεῖν Ἀλεξάνδρῳ τῆς ὁδοῦ
τὴν βραχύτητα. Σουσίοις δὲ πρόσοικοι ὅτι εἰσὶν Οὔξιοι,
λέλεκταί μοι· καθάπερ Μάρδοι μὲν Πέρσῃσι προσεχέες
οἰκέουσι. λῃσταὶ καὶ οὗτοι· Κοσσαῖοι δὲ, Μήδοισι. καὶ ταῦ-
B τα πάντα τὰ ἔθνεα ἡμέρωσεν Ἀλέξανδρος, χειμῶνος
ὥρῃ ἐπιπεσὼν αὐτοῖσιν, ὅτε ἄβατον σφῶν τὴν χώ-
ρην ἦγον. καὶ πόλιας ἐπέκτισε, τοῦ μὴ νομάδας ἔτι εἶναι,
ἀλλὰ ἀροτῆρας καὶ γῆς ἐργάτας, καὶ ἔχειν ὑπὲρ ὅτων
δειμαίνοντες. μὴ κακὰ ἀλλήλους ἐργάσωνται. ἐνθένδε
τὴν Σουσίων γῆν παρήμειβε καὶ ὁ στρατός. καὶ ταῦτα
οὐκέτι ὡσαύτως καὶ ἀτρεκέως λέγει Νέαρχος ὅτι ἐστίν οἱ
φράσαι, πλήν γε δὴ τοὺς ὅρμους τε καὶ τὸ μῆκος τοῦ
πλόου. τὴν χώρην τε γὰρ τεναγώδεά τε εἶναι τὴν πολ-
C λήν, καὶ ῥηχίησιν ἐπὶ μέγα ἐς τὸν πόντον ἐσέχουσαν·
καὶ ταύτην σφαλερὴν ἐγκαθορμίζεσθαι· πελαγίοι-
σιν οὖν σφίσι τὴν κομιδὴν τὸ πολὺ γίνεσθαι. ὁρμηθῆναι
μὲν δὴ ἐκ τοῦ ποταμοῦ τῶν ἐκβολέων, ἵνα περ ηὐλί-
σθησαν, ἐπὶ τοῖσιν οὔροισι τῆς Περσίδος. ὕδωρ δὲ ἐμβάλ-
λεσθαι πέντε ἡμερέων. οὐκ ἔφασκον γὰρ εἶναι ὕδωρ οἱ κα-
θηγεμόνες τοῦ πλόου. σταδίους δὲ πεντακοσίους κομισθέν-
τες, ὁρμίζονται ἐπὶ στόματι λίμνης ἰχθυώδεος, ἧ οὔνομα
Κατάδερβις. καὶ νησὶς ἐπῆν τῷ στόματι· Μαργάστανα
τῇ νησῖδι οὔνομα. ἐνθένδε ὑπὸ τὴν ἕω ἐκπλώσαντες,
κατὰ βράχεα ἐκομίζοντο ἐπὶ μιῆς νεώς. πασσάλοισι δὲ
ἔνθεν καὶ ἔνθεν πεπηγόσιν ἀπεδηλοῦτο τὰ βράχεα,
D καθάπερ ἐν τῷ μεταξὺ Λευκάδος τῆς νήσου ἰσθμῷ καὶ
Ἀκαρνανίης ἀποδέδεικται σημεῖα τοῖσι ναυτιλλομένοι-
σι, τοῦ μὴ ἐποκέλλειν ἐν τοῖσι βράχεσι τὰς νέας. ἀλλὰ
τὰ μὲν κατὰ Λευκάδα ψαμμώδεα ὄντα, καὶ τοῖσιν ἐπο-
κείλασι ταχεῖαν τὴν ὑπονόστησιν ἐνδιδοῖ. κεῖθι δὲ πηλός
ἐστιν ἐφ' ἑκάτερα τοῦ πλεομένου βαθὺς καὶ ἰλυώδης·
ὥστε οὐδεμιῇ μηχανῇ ἐποκείλασιν ἦν ἀποσωθῆναι. οἵ
τε γὰρ κοντοὶ κατὰ τοῦ πηλοῦ δύνοντες, αὐτοὶ οὐδέν τι
ἐπωφέλεον, ἀνθρώπῳ τε ἐκβῆναι ὡς ἀπώσασθαι τὰς
νέας ἐς τὰ πλεόμενα, ἄπορον ἐγίνετο. ἔδυνον γὰρ κατὰ
E τοῦ πηλοῦ ἔστε ἐπὶ τὰ στήθεα. οὕτω δὴ χαλεπῶς δι-
εκπλώσαντες σταδίους ἑξακοσίους, κατὰ ναῦν ἕκαστοι
ὁρμισθέντες, ἐνταῦθα δείπνου ἐμνήσθησαν. τὴν νύκτα
δὲ ἤδη κατὰ βάθεα ἔπλεον, καὶ τὴν ἐφεξῆς ἡμέρην
ἔστε ἐπὶ βουλυτόν· καὶ ἦλθον σταδίους ἐνακοσίους. καὶ
καθωρμίσθησαν ἐπὶ τοῦ στόματος τοῦ Εὐφράτου, πρὸς
κώμῃ τινὶ τῆς Βαβυλωνίης χώρης· ὄνομα δὲ αὐτῇ Δι-
ρίδωτις· ἵνα λιβανωτόν τε ἀπὸ τῆς ἐμπορίης γῆς οἱ ἔμ-
ποροι ἀγινέουσι, καὶ τὰ ἄλλα ὅσα θυμιήματα ἡ Ἀρά-
βων γῆ φέρει. ἀπὸ δὲ τοῦ στόματος τοῦ Εὐφράτου ἔστε
F Βαβυλῶνα, πλόον λέγει Νέαρχος σταδίους εἶναι ἐς
τρισχιλίους καὶ τριακοσίους. ἐνταῦθα ἀγγέλλεται
Ἀλέξανδρον ἐπὶ Σούσων στέλλεσθαι. ἔνθεν καὶ αὐτοὶ
τὸ ὀπίσω ἔπλεον, ὡς κατὰ τὸν Πασιτίγριν ποταμὸν
ἀναπλώσαντες, συμμῖξαι Ἀλεξάνδρῳ. ἔπλεον δὴ τὸ
ἔμπαλιν ἐν ἀριστερῇ τὴν γῆν τὴν Σουσίδα ἔχοντες. καὶ

A παραπλέουσι λίμνην, ἐς ἣν ὁ Τίγρης ἐσβάλλει ποταμός· ὃς ῥέων ἐξ Ἀρμενίης παρὰ πόλιν Νῖνον, πάλαι ποτὲ μεγάλην καὶ εὐδαίμονα, τὴν μέσην ἑωυτοῦ τε καὶ τοῦ Εὐφράτου ποταμοῦ (ἣν Μεσοποταμίην ἐπὶ τῷδε κληΐζεσθαι) ποιέει. ἀπὸ δὲ τῆς λίμνης ἐς αὐτὸν τὸν ποταμὸν ἀνάπλοις στάδιοι ἑξακόσιοι. ἵνα καὶ κώμη τῆς Σουσίδος, ἣν καλέουσιν Ἄγινιν. αὕτη δὲ ἀπέχει Σούσων σταδίους ἐς πεντακοσίους· μῆκος τοῦ παράπλου τῆς Σουσίων γῆς ἔστι ἐπὶ στόμα τοῦ Πασιτίγριδος ποταμοῦ, στάδιοι δισχίλιοι. ἐνθένδε κατὰ τὸν Πασίτιγριν ἄνω ἔπλεον διὰ χώρης οἰκουμένης καὶ B εὐδαίμονος. ἀναπλώσαντες δὲ σταδίους ἐς πεντήκοντα καὶ ἑκατόν, αὐτοῦ ὁρμίζονται, προσμένοντες οὕστινας ἐστάλκει Νέαρχος, σκεψομένους ἵνα ὁ βασιλεὺς εἴη. αὐτὸς δὲ ἔθυε θεοῖς τοῖς σωτῆρσι, καὶ ἀγῶνα ἐποίεε· καὶ ἡ στρατιὴ ἡ ναυτικὴ πᾶσα ἐν εὐθυμίῃσιν ἦν. ὡς δὲ προσάγων ἤδη Ἀλέξανδρος ἠγγέλλετο, ἔπλεον ἤδη αὖθις ἐς τὸ ἄνω κατὰ τὸν ποταμόν· καὶ πρὸς τῇ σχεδίῃ ὁρμίζονται, ἐφ' ᾗ τὸ στράτευμα διαβιβάσειν ἔμελλεν Ἀλέξανδρος ἐς Σοῦσα. ἐνταῦθα ἀνεμίχθη ὁ στρατός, καὶ θυσίαι πρὸς Ἀλεξάνδρου ἐθύοντο ἐπὶ τῶν νεῶν τε καὶ C ἀνθρώπων τῇ σωτηρίῃ· καὶ ἀγῶνες ἐποιέοντο. καὶ Νέαρχος ὅποι παραφανείη τῆς στρατιῆς, ἄνθεσί τε καὶ ταινίῃσιν ἐβάλλετο. ἔνθα καὶ χρυσῷ στεφάνῳ στεφανοῦνται ἐξ Ἀλεξάνδρου Νέαρχός τε καὶ Λεοννάτος· Νέαρχος μὲν, ἐπὶ τοῦ ναυτικοῦ τῇ σωτηρίῃ· Λεοννάτος δὲ, ἐπὶ τῇ νίκῃ, ἣν Ὠρείτας τε ἐνίκησε καὶ τοὺς Ὠρείταις προσοικέοντας βαρβάρους. οὕτω μὲν ἀπεσώθη Ἀλεξάνδρῳ ἐκ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς ὁ στρατός. τὰ δὲ ἐν δεξιᾷ τῆς ἐρυθρῆς θαλάσσης ὑπὲρ τὴν Βαβυλωνίην, Ἀραβίη ἡ πολλὴ ἐστί. καὶ ταύ- D της τὰ μὲν κατήκει ἔστε ἐπὶ τὴν θάλασσαν τὴν κατὰ Φοινίκην τε καὶ τὴν Παλαιστίνην Συρίην· πρὸς δυομένου δὲ ἡλίου ὡς ἐπὶ τὴν εἴσω θάλασσαν Αἰγύπτιοι τῇ Ἀραβίῃ ὁμουρέουσι. κατὰ δὲ Αἴγυπτον ἐσίχων ἐκ τῆς μεγάλης θαλάσσης κόλπος, δῆλον ποιέει ὅτι ἕνεκά γε τοῦ σύρρουν εἶναι τὴν ἔξω θάλασσαν, περίπλους ἂν ἦν ἐκ Βαβυλῶνος ἐς τὸν κόλπον τοῦτον ἐσίχοντα ὡς ἐπ' Αἴγυπτον. ἀλλὰ γὰρ οὔτις παρέπλωσε ταύτῃ οὐδαμῶς ἀνθρώπων ὑπὸ καύματος καὶ ἐρημίης, εἰ μή τινές γε πελάγιοι κομιζόμενοι. ἀλλὰ οἱ ἐπ' Αἰγύπτου E γὰρ ἐς Σοῦσα ἀποσωθέντες τῆς στρατιῆς τῆς Καμβύσεω, καὶ οἱ παρὰ Πτολεμαίου τοῦ Λάγου πρὸς Σέλευκον τὸν Νικάνορα σταλέντες ἐς Βαβυλῶνα, διὰ τῆς Ἀραβίης χώρης, ἰσθμόν τινα διαπορευθέντες ἐν ἡμέρῃσιν ὀκτὼ τῇσι πάσῃσι, ἄνυδρον καὶ ἐρήμην χώρην ἐπῆλθον ἐπὶ καμήλων σπουδῇ ἐλαύνοντες, ὕδωρ τέ σφιν ἐπὶ τῶν καμήλων φέροντες, καὶ νυκτοπορέοντες. τὰς γὰρ ἡμέρας ὑπαίθριοι ἀνέχεσθαι διὰ καῦμα ἀδύνατοι ἦσαν. τοσούτου δεῖ τά γε ἐπέκεινα ταύτης τῆς F χώρης (τὴν τινα ἰσθμὸν ἀποφαίνομεν) ἐκ τοῦ κόλπου τοῦ Ἀραβίου κατήκοντα ἐς τὴν ἐρυθρὴν θάλασσαν, οἰκεόμενα εἶναι, ὁπότε τὰ πρὸς ἄρκτον μᾶλλον αὐτῶν ἀνέχοντα ἔρημά τέ ἐστι καὶ ψαμμώδεα. ἀλλὰ γὰρ ἀπὸ τοῦ Ἀραβίου κόλπου τοῦ κατ' Αἴγυπτον ὁρμηθέντες ἄνθρωποι, ἐκπεριπλώσαντες τὴν πολλὴν Ἀραβίην, ἐλθεῖν ἐς τὴν κατὰ Σοῦσά τε καὶ Πέρσας θάλασσαν, ἐς τοσόνδε ἄρα περιπλώσαντες τῆς Ἀραβίης, ἐς ὅσον σφίσι τὸ ὕδωρ ἐπήρκεσε τὸ ἐμβληθὲν ἐς τὰς νέας, ἔπειτα ὀπίσω ἀπενόστησαν. ἐκ Βαβυλῶνός τε οὕστι-

A cúmque prætervehuntur in quem Tigris fluuius decurrit: qui ex Armenia fluēs iuxta Ninum, magnā olim & opulentā vrbē, regionē efficit quę inter ſe & Euphratē media eſt, ideóq; Meſopotamia dicitur. A lacu ad ipſū flumen nauigatio eſt ſtadiorum D C. Ibi & pagus quidam Suſiorum eſt, quem Aginim vocant. Is à Suſis diſtat ſtadiis quingentis, Suſiorū ora vſque ad Paſitigris oſtia ad II. M ſtadiorum porrigitur. Inde per Paſitigrim aduerſo flumine per regionem bene habitatam atque opulentam vecti ſunt: confectiſ- B que ſtadiis C L ibi conſtiterunt, expectantes reditum eorum quos Nearchus miſerat ſciſcitaturos vbinam locorum rex eſſet. Ipſe diis ſeruatoribus ſacrum fecit, ludóſque edidit, vniuerſo exercitu nauali in lętitiam effuſo. Poſtquam verò nunciatum eſt Alexandrum appropinquare, rurſus aduerſo flumine nitentes ad pontem quendam recens factum, per quem Alexander exercitum in Suſas traducturus erat, cōſiſtunt. Eo loci exercitus coniuncti ſunt: Alexāder pro nauibus C ſimul & milite ſaluis ſacrificia fecit, ludóſq; edidit. Nearchus quoquoverſus per caſtra ibat, floribus ac ſertis petebatur. Poſt hęc Axander Nearchum & Leonnatum aureis coronis donauit: Nearchum, ob claſſem ſeruatam: Leonnatum, ob victoriam quam de Oritis aliiſque barbaris Oritarum vicinis reportarat. In hunc modum exercitus ab Indi amnis oſtiis ſaluus Alexandro reductus eſt. Quæ verò ad dextram maris Rubri partem vltra Babyloniam ſita eſt regio, Arabia D magna ex parte eſt: atque huius quidē pars quædam pertinet ad mare Phœniciæ ac Syriæ Palęſtinæ. Ad occidētem verò, quà interius mare eſt, AEgyptij Arabiæ contermini ſunt. Sinus autem qui ad AEgyptum ex Oceano fertur manifeſtò indicat, ratione concurſus cum exteriori mari, nauigari poſſe ex Babylone in eum ſinū qui ad AEgyptū pertendit. Cæterùm nemo mortalium ea loca prænauigauit, propter ardorem ſolis & ſolitudines, niſi qui mari eò delati fuerint. Nam qui de exercitu Cambyſę ex AEgypto E in Suſas ſalui peruenerunt, quique à Ptolemæo Lagi filio ad Seleucum Nicanorem Babyloniam miſſi fuerunt, per Arabiam, iſthmum quendam tranſgreſſi, octo integros dies per regionē deſertam & aquarum inopem iter fecerūt: idque camelis celeriter vecti, aquámq; ſuper iis portantes, & noctu proficiſcentes. Interdiu enim ſub dio eſſe ob ardorem ſolis nequaquam potuiſſent: tantum abeſt vt regio ſita vltra iſthmum illum, quē diximus, ex ſinu Arabico in mare Rubrum pertingens, habitabilis ſit: quum ea quæ magis ad ſeptentrionem vergit deſerta ſit atque arenoſa. Cæterùm nonnulli ex Arabico ſinu qui ad AEgyptū ſpectat, profecti, quū magnam Arabiæ partem circumnauigaſſent, vt ad mare quod ad Suſas & Perſiam pertinet peruenirent, poſtquam aqua nauibus impoſita deficere eos cœpit retro conuerſi ſunt. Ij verò quos Alexander ex Babylone miſit

Vel. ἐσέχων.

Vel. ἐσέχοντα.

vt longiſsima ad dextram mari Rubris partem nauigatione facta, loca illius regionis explorarent: inſulas quidem nonnullas viderunt; & interdum ad Arabiæ continentem appulerunt: at promontorium illud quod exaduerſo Carmaniæ oppoſitum viſum ab ſe fuiſſe Nearchus ſcribit, nemo vnquam nauigatione in alteram eius partem pertingere potuit. Et (mea quidem ſententia) ſi nauigabilis is tractus eſſet, aut adiri vlla ratione poſſet, Alexandri certè curioſitas id comprobaſſet. Hanno quidem Afer Carthagine profectus, trans Herculeas columnas in Oceanum enauigauit, Libyam ad læuam relinquens, & per XXXV dies nauigationis ſuæ curſum orientem verſus tenuit. Poſtquam verò ad meridiem conuerſus eſt, in grauiſsimas difficultates incidit, ſumma aquarum inopia preſſus, ſummáque æſtus flagrantia afflictus, igneis quodammodo riuis mari incumbētibus. Cyrenæ tamen, Libyæ vrbs, quanquam deſertioribus in locis ſitæ ſunt, herboſæ fertiléſque & irriguæ ſunt: ſaltus etiam frequentiáque prata habent, omniſque generis fructus & iumenta ferunt, ad ea loca vſque quibus ſilphiũ gignitur. Vlteriora eius loca deſerta altiſq; arenis obruta ſunt.

Atque hic qui quidem liber ſeorſim à me conſcriptus ſit, etiam ipſe ad Alexādrum Philippi filium Macedonem pertinens.

A ναῦς ἔστελλεν Ἀλέξανδρος, ὡς ἐπὶ μήκιστον πλέοντας, ἐν δεξιᾷ τῆς ἐρυθρῆς θαλάσσης, γνῶναι τὰς ταύτῃ χώρας, οὗτοι νήσους μέν τινας κατεσκέψαντο, ἐν τῷ παράπλῳ κειμένας. καί που καὶ τῆς ἠπείρου τῆς Ἀραβίης προσέσχον. τὴν δὲ ἄκρην, ἥντινα καταντικρὺ τῆς Καρμανίης ἀνέχουσαν λέγει φανῆναι σφίσι Νέαρχος, οὐκ ἔστιν ὅστις ὑπερβαλὼν, ἐπικάμψαι ἐς τὸ ἐπὶ θάτερα δυνατὸς ἐγένετο. δοκέω δὲ ὡς εἴπερ πλωτά τε ἦν καὶ βαδιστὰ ταύτῃ, ὑπ᾽ Ἀλεξάνδρου ἂν τῆς πολυπραγμοσύνης ἐξελήλεγκτο πλωτά τε καὶ βαδιστὰ ἐόντα. Ἄννων B δὲ ὁ Λίβυς ἐκ Καρχηδόνος ὁρμηθεὶς, ὑπὲρ μὲν Ἡρακλείας στήλας ἐξέπλωσεν ἔξω ἐς τὸν πόντον, ἐν ἀριστερᾷ τὴν Λιβύην γῆν ἔχων. καὶ ἔστε μὲν πρὸς ἀνίσχοντα ἥλιον ὁ πλόος αὐτῷ ἐγένετο, τὰς πάσας πέντε καὶ τριήκοντα ἡμέρας. ὡς δὲ δὴ ἐς μεσημβρίην ἐξετράπετο, πολλῇσιν ἀμηχανίῃσιν ἐνετύγχανεν, ὕδατός τε ἀπορίῃ καὶ καύματι ἐπιφλέγοντι, καὶ ῥύαξι πυρὸς ἐς τὸν πόντον ἐμβάλλουσιν. ἀλλ᾽ ἡ Κυρήνη γὰρ τῆς Λιβύης ἐν τοῖς ἐρημοτέροις πεπολισμένη, ποιώδης τέ ἐστι καὶ μαλθακὴ, καὶ εὔυδρος, καὶ ἀλσέων καὶ λειμώνων καὶ καρπῶν παντοίων καὶ κτηνέων πάμφορος, ἔστε ἐπὶ τοῦ C σιλφίου τὰς ἐκφύσιας. ὑπὲρ δὲ τὸ σίλφιον, τὰ ἄνω αὐτῆς ἔρημα καὶ ψαμμώδεα.

Οὗτός μοι ὁ λόγος ἀναγεγράφθω, φέρων καὶ αὐτὸς ἐς Ἀλέξανδρον τὸν Φιλίππου, τὸν Μακεδόνα.



[illegible library stamp]

ΑΛΕΞΑΝΔΡΟΥ ΒΙΟΣ, ἐκ τῶν Πλουτάρχου Βίων παραλλήλων.

ΤΟΝ Ἀλεξάνδρου τοῦ βασιλέως βίον, καὶ τοῦ Καίσαρος, ὑφ' οὗ κατελύθη Πομπήϊος, ἐν τούτῳ τῷ βιβλίῳ γράφοντες, διὰ τὸ πλῆθος τῶν ὑποκειμένων πράξεων, οὐδὲν ἄλλο προεροῦμεν, ἢ παραιτησόμεθα τοὺς ἀναγινώσκοντας, ἐὰν μὴ πάντα, μηδὲ καθ' ἕκαστον ἐξειργασμένως τι τῶν περιβοήτων ἀπαγγέλλωμεν, ἀλλὰ ἐπιτέμνοντες τὰ πλεῖστα, μὴ συκοφαντεῖν. οὔτε γὰρ ἱστορίας γράφομεν, ἀλλὰ βίους· οὔτε ταῖς ἐπιφανεστάταις πράξεσι πάντως ἔνεστι δήλωσις ἀρετῆς ἢ κακίας, ἀλλὰ πρᾶγμα βραχὺ πολλάκις, καὶ ῥῆμα, καὶ παιδιά τις ἔμφασιν ἤθους ἐποίησε μᾶλλον ἢ μάχαι μυριόνεκροι, καὶ παρατάξεις αἱ μέγισται, καὶ πολιορκίαι πόλεων. ὥσπερ οὖν οἱ ζωγράφοι τὰς ὁμοιότητας ἀπὸ τοῦ προσώπου, καὶ τῶν περὶ τὴν ὄψιν εἰδῶν, οἷς ἐμφαίνεται τὸ ἦθος, ἀναλαμβάνουσιν, ἐλάχιστα τῶν λοιπῶν μερῶν φροντίζοντες· οὕτως ἡμῖν δοτέον εἰς τὰ τῆς ψυχῆς σημεῖα μᾶλλον ἐνδύεσθαι, καὶ διὰ τούτων εἰδοποιεῖν τὸν ἑκάστου βίον, ἐάσαντες ἑτέροις τὰ μεγέθη καὶ τοὺς ἀγῶνας.

Ἀλέξανδρος, ὅτι τῷ γένει πρὸς πατρὸς μὲν ἦν Ἡρακλείδης ἀπὸ Καράνου, πρὸς δὲ μητρὸς, Αἰακίδης, ἀπὸ Νεοπτολέμου, τῶν πάνυ πεπιστευμένων ἐστίν. λέγεται δὲ Φίλιππος, ἐν Σαμοθρᾴκῃ τῇ Ὀλυμπιάδι συμμυηθεὶς, αὐτός τε μειράκιον ὢν ἔτι κἀκείνης παιδὸς ὀρφανῆς γονέων ἐρασθῆναι, καὶ τὸν γάμον οὕτως ἁρμόσαι, πείσας τὸν ἀδελφὸν αὐτῆς Ἀρύμβαν. ἡ μὲν οὖν νύμφη, πρὸ τῆς νυκτὸς ᾗ συνείρχθησαν εἰς τὸν θάλαμον, ἔδοξε, βροντῆς γενομένης, ἐμπεσεῖν αὐτῆς τῇ γαστρὶ κεραυνόν· ἐκ δὲ τῆς πληγῆς, πολὺ πῦρ ἀναφθὲν, εἶτα ῥηγνύμενον εἰς φλόγας πάντη φερομένας, διαλυθῆναι. ὁ δὲ Φίλιππος ὑστέρῳ χρόνῳ μετὰ τὸν γάμον εἶδεν ὄναρ αὐτὸν ἐπιβάλλοντα σφραγῖδα τῇ γαστρὶ τῆς γυναικός. ἡ δὲ γλυφὴ τῆς σφραγῖδος, (ὡς ᾤετο) λέοντος εἶχεν εἰκόνα. τῶν δὲ ἄλλων μάντεων ὑφορωμένων τὴν ὄψιν, ὡς ἀκριβεστέρας φυλακῆς δεομένων τῷ Φιλίππῳ τῶν περὶ τὸν γάμον, Ἀρίστανδρος ὁ Τελμησσεὺς κύειν ἔφη τὴν ἄνθρωπον, (οὐθὲν γὰρ ἀποσφραγίζεσθαι τῶν κενῶν) καὶ κύειν παῖδα θυμοειδῆ καὶ λεοντώδη τὴν φύσιν. ὤφθη δέ ποτε καὶ δράκων, κοιμωμένης τῆς Ὀλυμπιάδος, παρεκτεταμένος τῷ σώματι. καὶ τοῦτο μάλιστα τοῦ Φιλίππου τὸν ἔρωτα καὶ τὰς φιλοφροσύνας ἀμαυρῶσαι λέγουσιν, ὡς μηδὲ φοιτᾶν ἔτι πολλάκις παρ' αὐτὴν ἀναπαυσόμενον· εἴτε δείσαντά τινας μαγείας ἐπ' αὐτῷ καὶ φάρμακα τῆς γυναικὸς, εἴτε τὴν ὁμιλίαν, ὡς κρείττονι συνούσης, ἀφοσιούμενον. ἕτερος δὲ περὶ τούτων ἐστὶ λόγος, ὡς πᾶσαι μὲν αἱ τῇδε γυναῖκες ἔνοχοι τοῖς Ὀρφικοῖς οὖσαι καὶ τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ἐκ τοῦ πάνυ παλαιοῦ, Κλώδωνές τε καὶ Μιμαλλόνες ἐπωνυμίαν ἔχουσαι, πολλὰ ταῖς Ἠδωνίσιν καὶ ταῖς περὶ τὸν Αἷμον Θρῄσσαις ὅμοια δρῶσιν· ἀφ' ὧν δοκεῖ καὶ τὸ θρησκεύειν ὄνομα ταῖς κατακόροις γενέσθαι καὶ πε-

ALEXANDRI VITA, EX PLVTARCHI Vitis comparatis.

ALEXANDRI regis vitã & C. Cæſaris, à quo eſt Põpeius ˮoppreſſus, hoc commentario deſcripturi, ob numeroſas res eorum geſtas, nihil præfabimur aliud quàm ab lectoribus poſtulabimus, ſi non omnia, neque ˮſigillatim factum quoddam celebre ad amuſsim perſequamur, ſed perſtringamus pleraque, ne mihi obſtrepant. Neque enim hiſtorias ſed vitas conſcribi- A mus: neque ſemper clariſsimæ quæque res virtutes vel vitia repræſentant, ſed exiguum ſubinde factum, dictũmque & iocus aliquis ˮcitius ſpecimen edat morum, quàm funeſtiſsima prælia, maximæ acies, & vrbium oppugnationes. Vt ergo pictores ˮex facie & vultu, ex quibus elucent mores, imaginẽ deſumunt, nec de cæteris membris laborãt magnopere: ita concedendum nobis eſt, ˮanimi indicia vt ſcrutemur, ac cuiuſque per hæc informemus vitam, aliis molem rerum & certamina permittamus.

Suetſus.

Singulat celebris alicuius facti partes commemoremus, ſed perſtr. pl. ne me calumnioſè reprehendant.

Magis documẽtum præbeat morum.

Ex vultu & lineamentis faciei.

Vt in anĩmi ind. potius penetremus, ac per hæc vitæ cuiuſque velut lineamenta deſcribamus.

B Alexandrum ˮex gente Herculis per Caranum, & genere materno AEacidem per Neoptolemum fuiſſe, pro certo creditur. Fama eſt, in Samothrace initiatum cum Olympiade Philippum, quum eſſet ipſe tum adoleſcens, illam item puellam parentibus orbam amaſſe, atque inde, ˮparata fratris voluntate Arymbæ, nuptias coiſſe. Sponſæ, ante noctem qua thoro geniali iuncti fuere, viſus eſt Ioue tonante venter ſuus de cælo tangi, atque ex ictu largum ſucceñſum ignẽ, qui C mox erumpens in flammas paſsim diſperſas diſsiparetur. Philippus ſpatio aliquo poſt nuptias vidit in ſomnis vxoris ſe ventrem obſignare. Habebat ſigilli ſculptura (vt viſa ei eſt) imaginem leonis. ˮEa viſione vatibus interpretãtibus cæteris Philippo cuſtodiis acrioribus ſepiendam coniugem, Ariſtander Telmeſſius vterum illam ait ferre, (nihil enim quod inane ſit obſignari) ac concepiſſe eam infantem animoſum & natura leonina. Viſus eſt draco etiam ad dormientis Olympiadis corpus exporrectus: idque præcipuè Phi- D lippi erga eam amorem & familiarem conſuetudinem aiunt extenuaſſe, vt rarò cubitum ad illam commearet: quòd vel timeret faſcinationes eius & veneficia, vel conſuetudinem eius, vt quæ conſueſceret cum maiore, deuitaret. Alij aliter de his memorant: omnes iſtius regionis fœminas Orphicis & Liberi patris ſacris antiquitus ˮcontactas, Clodonáſque & Mimallonas cognomento dictas, multa Edonidibus ac Threſsis AEnum accolentibus agere con- E ſimilia. Vnde etiam θρησκεύειν dictio tributa eſſe videtur immodicis & ſuperſtitioſis

Paterno genere, ab Hercule per Car. materno, ab AEaco. per N. originẽ duxiſſe, pro c.

Exorato fratre eius Ar.

Eam viſionem cæt. vat. ſuſpectam habentibus, & interpr. Ph. maiorẽ cautionem circa cõiugium adhibendam eſſe, Ariſt.

Obnoxias. Quaſi, Obnoxiè deditas. Alioqui ἰνόχους pro κατόχους, vt ſequitur vox κατόχοις.

ſacriſiciis. Olympias autem, præ cæteris motum lymphaticum æmulans, & fanaticum peragens ritum, horridiore ſpectaculo, ſerpentes manſuefactos trahebat thiaſis ingentes, qui ex hedera ſubinde, & myſticis cunis obiter prorepentes, thyrſóſque & coronas mulierum circumiecti, percellebant viros. Verùm Philippo, qui poſt eam ſpeciem Megalopolitanum Chæronem Delphos miſit, ſortes referunt fuiſſe ab Apolline allatas, iubente vt Ammoni ſacra faceret, atque hunc deum coleret imprimis: amiſiſſe verò eum alterum oculum, quem rimæ oſtij admouens, deum conſpexit ſerpentis figura cum vxore ſua concubantem. Olympias (vt Eratoſthenes eſt autor) quum euntem ad bellum proſequeretur Alexandrum, arcanum ortum eius ſoli detexit, hortata vt pro natalibus gereret animos. Alij hoc illam aiunt *abdicaſſe, ac dixiſſe, Non deſinet Alexander in crimen me apud Iunonem vocare? Natus Alexander eſt die ſexto menſis Hecatombæonis, quem Loon vocant Macedones: quo die fanum Dianæ Epheſiæ conflagrauit, vt Hegeſias Magneſius exclamauit: cuius adeo frigida eſt exclamatio, vt incendium illud valuerit reſtinguere. Meritò enim arſiſſe dixit templum, dum fuit Diana in Alexandri enixu obſtetricando diſtricta. Magi verò, quotquot agebant Epheſi, fani inflammationem exiſtimantes alterius eſſe prodigium cladis, diſcurrerunt, faciéſque cęciderunt: clamauerúntque, grandem peſtem & perniciem Aſiæ illo die editam. Philippus autem, capta modò Potidæa, eodem die tres nuntios accepit, fuſos à Parmenione ingenti pugna Illyrios: alterum, Olympiis ſe equi pernicitate viciſſe: tertium, natum eſſe Alexandrum. *His nimirum lætum, magis etiam erexere vates, qui affirmauerunt infantem, in cuius natales trigemina concurrerat victoria, fore inuictum. Corporis eius figuram Lyſippi ſtatuæ maximè demonſtrant, à quo voluit ſolo fingi. Etenim, quam præcipuè ſucceſſores eius complures pòſt & amici æmulati ſunt, *proiectā ceruicem & in ſiniſtrum humerum modicè propenſam, oculorúmque *lenitatem, ad vnguem expreſſit ille artifex. Apelles autem, Alexandrum pingens fulmen tenentē, non repræſentauit colorem eius: ſed magis fuſcum & ſordidiorem fecit, quum fuerit (vt aiunt) candidus: qui color in pectore & facie potiſsimùm purpuraſcebat. Odorem ex cute eius gratiſsimū afflaſſe, & os eius totúmque corpus reddidiſſe fragrantiam, quā interiores tunicæ retinebant, in commentariis Ariſtoxeni legimus. In cauſa fuit fortaſsis feruidum & igneum corporis eius temperamentum. Gignitur enim odoris ſuauitas (vt Theophraſti eſt opinio) cōcoctis à calore humoribus. Vnde aridi & feruidi tractus orbis plurimas & optimas *ſpecies edunt. Exhaurit enim ſol humorem in ſummis corporibus exiſtentem, vt putredinis materiam. Hic autem calor corporis Alexandrum (vt veriſimile eſt) vinoſum reddidit & *iracundum. A prima pueritia eluxit temperantia eius. nam quum alioqui vehemēs eſſet & ardens, haud

Deteſtari (ſolitā vel, abominari) & dicere,

His (vt par erat) lætum,

Erectam.

Vel, volubilitatem.

Species hic pro aromatibus.

Vel animoſum.

A ἐλέργοις ἱερουργίαις. ἡ δὲ Ὀλυμπιὰς μᾶλλον ἑτέρων ζηλώσασα τὰς κατοχὰς, καὶ τοὺς ἐνθουσιασμοὺς ἐξάγουσα βαρβαρικώτερον, ὄφεις μεγάλους χειροήθεις ἐφείλκετο τοῖς θιάσοις, οἳ πολλάκις ἐκ τοῦ κιττοῦ καὶ τῶν μυστικῶν λίκνων παραναδυόμενοι, καὶ περιελιττόμενοι τοῖς θύρσοις τῶν γυναικῶν καὶ τοῖς στεφάνοις, ἐξέπληττον τοὺς ἄνδρας. οὐ μὴν ἀλλὰ Φιλίππῳ μὲν μετὰ τὸ φάσμα πέμψαντι Χαίρωνα τὸν Μεγαλοπολίτην εἰς Δελφοὺς, χρησμὸν κομισθῆναι λέγουσιν παρὰ τοῦ θεοῦ, κελεύοντος Ἄμμωνι θύειν, καὶ σέβεσθαι μάλιστα τοῦτον τὸν θεόν. B ἀποβαλεῖν δὲ τῶν ὄψεων αὐτὸν τὴν ἑτέραν, ἣν τῷ τῆς θύρας ἁρμῷ προσβαλὼν, κατώπτευσεν ἐν μορφῇ δράκοντος συνευναζόμενον τῇ γυναικὶ τὸν θεόν. ἡ δὲ Ὀλυμπιὰς (ὡς Ἐρατοσθένης φησὶ) προπέμπουσα τὸν Ἀλέξανδρον ἐπὶ τὴν στρατείαν, καὶ φράσασα μόνῳ τὸ περὶ τὴν τέκνωσιν ἀπόρρητον, ἐκέλευσεν ἄξια φρονεῖν τῆς γενέσεως. ἕτεροι δέ φασιν αὐτὴν ἀφοσιοῦσθαι καὶ λέγειν, Οὐ παύσεταί με διαβάλλων Ἀλέξανδρος πρὸς τὴν Ἥραν; ἐγεννήθη δ' οὖν Ἀλέξανδρος ἱσταμένου μηνὸς Ἑκατομβαιῶνος (ὃν Μακεδόνες Λῷον καλοῦσιν) C ἕκτῃ, καθ' ἣν ἡμέραν ὁ τῆς Ἐφεσίας Ἀρτέμιδος ἐνεπρήσθη νεώς· ὡς Ἡγησίας ὁ Μάγνης ἐπιπεφώνηκεν ἐπιφώνημα κατασβέσαι τὴν πυρκαϊὰν ἐκείνην ὑπὸ ψυχρίας δυνάμενον. εἰκότως γὰρ ἔφη καταφλεχθῆναι τὸν νεὼν, τῆς Ἀρτέμιδος ἀσχολουμένης περὶ τὴν Ἀλεξάνδρου μαίωσιν. ὅσοι δὲ τῶν μάγων ἐν Ἐφέσῳ διατρίβοντες ἔτυχον, τὸ περὶ τὸν νεὼν πάθος ἡγούμενοι πάθους ἑτέρου σημεῖον εἶναι, διέθεον τὰ πρόσωπα τυπτόμενοι, καὶ βοῶντες, ἄτην ἅμα καὶ συμφορὰν μεγάλην τῇ Ἀσίᾳ τὴν ἡμέραν ἐκείνην τετοκέναι. Φιλίππῳ δὲ D ἄρτι Ποτίδαιαν ᾑρηκότι τρεῖς ἧκον ἀγγελίαι κατὰ τὸν αὐτὸν χρόνον· ἡ μὲν, Ἰλλυριοὺς ἡττᾶσθαι μάχῃ μεγάλῃ διὰ Παρμενίωνος· ἡ δὲ, Ὀλυμπιάσιν ἵππῳ κέλητι νενικηκέναι· τρίτη δὲ, περὶ τῆς Ἀλεξάνδρου γενέσεως, ἐφ' οἷς ἡδόμενον (ὡς εἰκὸς) ἔτι μᾶλλον οἱ μάντεις ἐπῆραν, ἀποφαινόμενοι τὸν παῖδα τρισὶ νίκαις συγγεγεννημένον, ἀνίκητον ἔσεσθαι. τὴν μὲν οὖν ἰδέαν τοῦ σώματος οἱ Λυσίππειοι μάλιστα τῶν ἀνδριάντων ἐμφαίνουσιν, ὑφ' οὗ μόνου καὶ αὐτὸς ἠξίου πλάττεσθαι. καὶ γὰρ μάλιστα πολλοὶ τῶν διαδόχων ὕστερον καὶ τῶν φίλων ἀπεμι- E μοῦντο, τήν τε ἀνάτασιν τοῦ αὐχένος, εἰς εὐώνυμον ἡσυχῇ κεκλιμένου, καὶ τὴν ὑγρότητα τῶν ὀμμάτων διατετήρηκεν ἀκριβῶς ὁ τεχνίτης. Ἀπελλῆς δὲ, γράφων τὸν κεραυνοφόρον, οὐκ ἐμιμήσατο τὴν χρόαν, ἀλλὰ φαιότερον καὶ πεπινωμένον ἐποίησεν. ἦν δὲ λευκὸς, (ὥς φασιν) ἡ δὲ λευκότης ἐπεφοίνισσεν αὐτοῦ περὶ τὸ στῆθος μάλιστα καὶ τὸ πρόσωπον. ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει, καὶ τὸ στόμα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς χιτωνίσκους, ἀνέγνωμεν ἐν ὑπομνήμασιν Ἀριστοξενείοις. αἰτία δὲ ἴσως, ἡ τοῦ σώ- F ματος κρᾶσις, πολύθερμος οὖσα καὶ πυρώδης. ἡ γὰρ εὐωδία γίνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραστος· ὅθεν οἱ ξηροὶ καὶ διάπυροι τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἀρωμάτων φέρουσιν. ἐξαιρεῖ γὰρ ὁ ἥλιος τὸ ὑγρὸν, ὥσπερ ὕλην σηπεδόνος ἐπιπολάζον τοῖς σώμασιν. Ἀλέξανδρον δὲ ἡ θερμότης τοῦ σώματος (ὡς ἔοικεν) καὶ ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν. ἔτι δὲ ὄντος αὐτοῦ παιδὸς, ἥ τε σωφροσύνη διεφαίνετο, πρὸς τἄλλα ῥαγδαῖον ὄντα καὶ

A φερόμενον σφοδρῶς, ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὸ σῶμα δυσκίνητον εἶναι, καὶ μετὰ πολλῆς πρᾳότητος ἅπτεσθαι τῶν τοιούτων. ἥ τε φιλοτιμία παρ' ἡλικίαν ἐμβριθὲς εἶχεν τὸ φρόνημα καὶ μεγαλόψυχον. οὐ δὲ γὰρ ἀπὸ παντὸς οὔτε πᾶσαν ἠγάπα δόξαν, (ὡς Φίλιππος, λόγου τε δεινότητι σοφιστικῶς καλλωπιζόμενος, καὶ τὰς ἐν Ὀλυμπίᾳ νίκας τῶν ἁρμάτων ἐγχαράττων τοῖς νομίσμασιν) ἀλλὰ καὶ τῶν περὶ αὐτὸν ἀποπειρωμένων εἰ βούλοιτ' ἂν Ὀλυμπίασιν ἀγωνίσασθαι στάδιον, (ἦν γὰρ ποδώκης) Εἴγε (ἔφη) βασιλεῖς ἔμελλον ἕξειν ἀνταγωνιστάς. B φαίνεται δὲ καὶ καθόλου πρὸς τὸ τῶν ἀθλητῶν γένος ἀλλοτρίως ἔχων. πλείστους γέτοι θεὶς ἀγῶνας οὐ μόνον τραγῳδῶν καὶ αὐλητῶν καὶ κιθαρῳδῶν, ἀλλὰ καὶ ῥαψῳδῶν, θήρας τε παντοδαπῆς καὶ ῥαβδομαχίας οὔτε πυγμῆς, οὔτε παγκρατίου μετά τινος σπουδῆς ἔθηκεν ἆθλον. τοὺς δὲ παρὰ τοῦ Περσῶν βασιλέως πρέσβεις ἥκοντας ἀποδημοῦντος Φιλίππου ξενίζων, καὶ γενόμενος συνήθης, οὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ, καὶ τῷ μηδὲν ἐρώτημα παιδικὸν ἐρωτῆσαι, μηδὲ μικρὸν, ἀλλ' ὁδῶν τε μήκη, καὶ πορείας τῆς ἄνω τρόπον ἐκπυνθάνεσθαι, καὶ περὶ αὐτοῦ βασιλέως ὁποῖος εἴη πρὸς C τοὺς πολεμίους, καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις· ὥστε θαυμάζειν ἐκείνους, καὶ τὴν λεγομένην Φιλίππου δεινότητα μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ μεγαλοπραγμοσύνην. ὁσάκις γοῦν ἀπαγγελθείη Φίλιππος ἢ πόλιν ἔνδοξον ᾑρηκὼς, ἢ μάχην τινὰ περιβόητον νενικηκὼς, οὐ πάνυ φαιδρὸς ἦν ἀκούων, ἀλλὰ πρὸς τοὺς ἡλικιώτας ἔλεγεν, Ὦ παῖδες, πάντα προλήψεται ὁ πατήρ· ἐμοὶ δὲ οὐδὲν ἀπολείψει μεθ' ὑμῶν ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν. οὐ γὰρ ἡδονὴν ζηλῶν, οὐδὲ πλοῦτον, ἀλλ' ἀρετὴν καὶ δόξαν, D ἐνόμιζεν, ὅσῳ πλείονα λήψεται παρὰ τοῦ πατρὸς, ἐλάττονα κατορθώσειν δι' ἑαυτοῦ. διὸ τοῖς πράγμασιν αὐξομένοις καταναλίσκεσθαι τὰς πράξεις εἰς ἐκεῖνον ἡγούμενος, ἐβούλετο μὴ χρήματα, μηδὲ τρυφὰς καὶ ἀπολαύσεις, ἀλλ' ἀγῶνας καὶ πολέμους καὶ φιλοτιμίας ἔχουσαν ἀρχὴν παραλαβεῖν. πολλοὶ μὲν οὖν περὶ τὴν ἐπιμέλειαν (ὡς εἰκὸς) ἦσαν αὐτοῦ, τροφεῖς καὶ παιδαγωγοὶ καὶ διδάσκαλοι λεγόμενοι· πᾶσι δ' ἐφειστήκει Λεωνίδας, ἀνὴρ τό, τε ἦθος αὐστηρὸς, καὶ συγγενὴς Ὀλυμπιάδος· αὐτὸς μὲν οὐ φεύγων τὸ τῆς παιδαγωγίας E ὄνομα, καλὸν ἔργον ἐχούσης καὶ λαμπρὸν, ὑπὸ δὲ τῶν ἄλλων, διὰ τὸ ἀξίωμα καὶ τὴν οἰκειότητα, τροφεὺς Ἀλεξάνδρου καὶ καθηγητὴς καλούμενος. ὁ δὲ τὸ σχῆμα τοῦ παιδαγωγοῦ καὶ τὴν προσηγορίαν ὑποποιούμενος, ἦν Λυσίμαχος, τῷ γένει Ἀκαρνάν· ἄλλο μὲν οὐδὲν ἔχων ἀστεῖον, ὅτι δ' ἑαυτὸν μὲν ὠνόμαζεν Φοίνικα, τὸν δὲ Ἀλέξανδρον, Ἀχιλλέα, Πηλέα δὲ, τὸν Φίλιππον, ἠγαπᾶτο, καὶ δευτέραν εἶχε χώραν. ἐπεὶ δὲ Φιλονείκου τοῦ Θεσσαλοῦ τὸν Βουκέφαλον ἀγαγόντος ὤνιον τῷ Φιλίππῳ τρισκαίδεκα ταλάντων, κατέβησαν εἰς τὸ πεδίον δοκιμάσοντες τὸν ἵππον· F ἐδόκει τε χαλεπὸς εἶναι καὶ κομιδῇ δύσχρηστος, οὔτε ἀναβάτην προσιέμενος, οὔτε φωνὴν ὑπομένων τινὸς τῶν περὶ τὸν Φίλιππον, ἀλλ' ἁπάντων κατεξανιστάμενος· δυσχεραίνοντος δὲ τοῦ Φιλίππου, καὶ κελεύοντος ἀπάγειν ὡς παντάπασιν ἄγριον καὶ ἀκόλαστον, παρὼν Ἀλέξανδρος εἶπεν, Οἷον ἵππον ἀπολλύουσιν, δι' ἀπειρίαν καὶ μαλακίαν χρήσασθαι μὴ δυνάμενοι. τὸ μὲν οὖν πρῶτον ὁ Φίλιππος ἐσιώπησεν, πολλάκις δ' αὐ-

facilè mouebatur corporis voluptatibus, ac ſumma cũ moderatione eas deguſtabat. At gloriæ cupiditas eius "ſupra ætatem ſpiritus habebat ſolidos & celſos. neque enim vndique neque gloriã aucupabatur omnẽ (vt Philippus, qui ſophiſtarũ more facundiam ſuam oſtentabat, & victoriis curruum Olympiacis ſuis nummos ſignabat) ſed quum tentarent eum miniſtri, quia pernix erat pedibus, an Olympiis certare curriculo vellet, Sanè, ſi « habiturus ſim (inquit) aduerſarios reges. « Apparet autẽ abhorruiſſe eum prorſus ab athletarum natione, quippe qui agonas ediderit plurimos tragœdorum, tibicinũ, fidicinum, imò etiam rhapſodorum, venationis cuiuſq; generis & "rhabdomachiæ: at neque pugillatus, neque pancratij ſtudioſè certamen exhibuit. Legatos ab rege Perſarum miſſos abſente Philippo accipiens hoſpitio, factúſq; his familiaris, ita cepit comitate ſua, & φ nihil interrogaret puerile vel demiſſum, ſed prolixitates viarũ exquireret, atque itineris in ſuperioribus regionibus rationem: ac de ipſo rege, qualis aduerſus hoſtes, quæ denique vires & potẽtia eſſent Perſarũ: vt ſtuperent illi, celebratámque Philippi ſolertiã & vim nihil putarent cum huius pueri comparandã alacritate & magnificis factis [quæ promittebat.] Itaque quoties allatũ eſſet aut nobilem vrbem à Philippo captã, aut illum inſigni potitum victoria, non vſqueadeo gaudebat iis nuntiis, verùm ad æquales dicebat, Omnia « præripiet, ſodales, pater, neque vllũ mihi in- « ſignem & illuſtrem relinquet vobiſcũ perpe- « trandum actum. Quum enim neque delicias cõcupiſceret neque opes, ſed virtutẽ & gloriam, quo plura acciperet à parente, eo arbitrabatur per ſe deſignaturũ pauciora Quare increſcente imperio, abſumi in illum exiſtimãs actiones, geſtiebat non pecuniam, non luxũ, non voluptates, ſed certaminũ, ſed bellorum, ſed gloriæ materiã ſuppeditans imperium ab eo accipere. "Multi eius inſtitutioni nimirum appoſiti fuerũt, nutritij, pædagogi, & magiſtri appellati: quibus omnibus impoſitus Leonidas erat, vir & moribus ſeuerus & propinquitate Olympiada cõtingens. Hic pædagogi nomen cum honeſto & ſpecioſo coniunctum officio repudiabat, atque ab aliis dignitatis & neceſſitudinis cauſa nutritius Alexãdri & rector vocabatur: ille qui ſpeciem pædagogi & vocabulũ ſumebat Lyſimachus, natione Acarnan, vrbanitate nulla præditus erat alia, ſed, φ Phœnicem nominaret ſe, Alexandrũ, Achillẽ, & Philippũ, Pelea, ideo gratus erat, & ſecundum locũ tenebat. Quum Bucephalũ Philonicus Theſſalus ad Philippũ duxiſſet tredecim talẽtis venalẽ, deſcenderunt ad equũ probandũ in cãpum. Videbatur autẽ moroſus & perquam tractatu difficilis: neque quenquã admittebat in ſedẽ, nec vocem ferebat vllius Philippi comitũ, verùm in omnes inſurgebat. Igitur vbi pertęſus Philippus abduci iuſsit quaſi omnino ferum & indomitũ, aſsiſtẽs Alexander ait, Qualem equum perdunt iſti, qui pro- « pter imperitiã & mollitiem tractare eum ne- « queunt. Id primùm tacitus Philippus tulit: at «

Quãdam ſupra æt. habebat grauitatem & magnanimitatem.

Quidã interpr. Fuſtuariæ pugnæ,

Multorum curæ (vt par fuit) demandatus erat, qui nutr. & pæd. & m. appellabantur: q. omni præerat L.

crebrius quum obloqueretur & angeretur,
» Culpas tu, inquit, maiores natu, quaſi peri-
» tior ſis, aut tractare equũ noueris rectiꝰ? Hũc
» certè melius (inquit) aliis tractẽ. Si nõ tractes
» (inquit Philippus) quam pœnã pendes teme
» ritatis? Ego hercle, pretiũ equi dependã, inſit
Alexãder. Hĩc riſus cõſequutus eſt, inde ſpõ-
ſio inter eos de pecunia. Mox accurrit ad e-
quum Alexander, correptiſq; habenis cõuer-
tit eum aduerſus ſolẽ. Aduerterat nimirum ꝙ
incurrentẽ & agitatam ante oculos vmbram
cernens percelleretur. Tum molliter eum ad
procurſum incitauit, ac permulſit. quem vbi
ferocientẽ vidit & exultantem, abiecta leni-
ter chlamyde* inſiliit in eum, & nullo nego-
tio conſcẽdit. Frænum autem placidè habe-
nis capiẽs, ſine verberibus vel calcaribus im
petum eius repreſsit. Vt ferocia lenita equũ
currere geſtientẽ vidit, admiſit iam eum, vo-
cémque ferociorem ac pedum pulſum adhi-
buit. Hĩc Philippi comitatum ſolicitudo pri
mùm cum ſilentio inceſsit: vt autẽ flexit &
ritè cõuertit equũ glorians ouánſq;, cæteri o-
mnes applauſere: patri verò manaſſe gaudio
aliquantulũ etiã lacrymarum ferunt. ac poſt-
quam deſiliit ex equo, caput eius oſculatus,
» Quære, inquit, fili, par tibi regnũ. ſiquidẽ non
» capit te Macedonia. Porrò ingeniũ eius con-
ſiderãs non facilè impelli, quòd reluctaretur
cogentibus, ſed rationibus promptè ad offi-
cium duci, etiã ipſe ſuadere ei potius ꝙ impe-
rare tentauit. Quum autẽ muſicæ & triuialiũ
artium doctoribus nequaquam crederet in-
ſtitutionem & expolitionem eius, quòd rem
duceret magis arduam (atque eam quæ ha-
beret, vt apud Sophoclem eſt,
Multis opus frænis, etiam clauis ſimul,)
philoſophorum clariſsimum & eruditiſsimũ
acciuit Ariſtotelem, præmiumq; ei dedit in-
ſtitutionis præclarũ & decorũ. Stagira enim
patriam Ariſtotelis, quam exciderat,* iterum
frequentauit incolis, ciuéſque, qui in exilio
aut in ſeruitute erant, reduxit domũ. Ludum
eis & ſtudij locum Nymphæum prope Mie-
zam aſsignauit: vbi & hac ætate ſedilia Ari-
ſtotelis lapidea & ambulationes vmbroſas
mõſtrant. Opinio eſt Alexãdrum ab eo non
ethica modò & politica præcepta percepiſ-
ſe, verùm etiã ex interioribus & grauioribus
diſciplinis (quas acroamaticas & epopticas
illi peculiariter nuncupabãt, neque efferebãt
in vulgus) attigiſſe. Quũ enim iam in Aſiam
tranſiſſet, atque ad ſe eſſet delatũ cõmenta-
rios de his ab Ariſtotele editos, philoſophię
nomine* expoſtulãs ſcribit ad eũ literas, qua-
rũ hoc eſt exẽplũ. Alexãder Ariſtoteli s. d.
Parũ rectè feciſti ꝙ diſciplinas acroamati-
» cas vulgaueris. Vbi enim cæteris præſtabimꝰ,
» ſi hæ in quibus inſtituti ſumus, omnibus ꝓ-
» miſcuæ erunt diſciplinæ? Ego verò optima-
» rum rerum ſcientia mallẽ me quàm potentia
» præcellere. Vale. Quam illius ambitionem
Ariſtoteles leniens, purgat ſe de illis diſcipli-
nis, in lucẽ eſſe prolatas & non prolatas. Re-
uera enim commẽtarius ille qui dicitur τὰ με-
τὰ τὰ φυσικὰ, ad docendum vel diſcendum ni-
hil habet cõpendij: eſt autẽ ea ſcriptus men-
te, ſpecimẽ modò vt eſſet eruditis. Ego quidẽ

Extulit ſeſe, & tutò conſc.

Inſtaurauit, & ciues qui profugiſſent vel ſeruirent, reſtituit.

Liberè exp.

A τοῦ παραφθεγγομένου καὶ περιπαθοῦντος, Ἐπιτιμᾷς
σὺ (ἔφη) πρεσβυτέροις, ὥς τι πλέον αὐτὸς εἰδὼς, ἢ
μᾶλλον ἵππῳ χρήσασθαι δυνάμενος; Τούτῳ γοῦν (ἔ-
φη) χρησαίμην ἂν ἑτέρου βέλτιον. Ἂν δὲ μὴ χρήσῃ, τί-
να δίκην τῆς προπετείας ὑφέξεις; Ἐγὼ, νὴ Δία (εἶπεν)
ἀποτίσω τοῦ ἵππου τὴν τιμήν. γενομένου δὲ γέλωτος.
εἶτα ὁρισμοῦ πρὸς ἀλλήλους εἰς τὸ ἀργύριον, εὐθὺς
προσδραμὼν τῷ ἵππῳ, καὶ παραλαβὼν τὰς ἡνίας, ἐπέ-
στρεψε πρὸς τὸν ἥλιον· ὡς ἔοικεν, ἐννοήσας ὅτι τὴν σκιὰν
προσπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ δια-
B ταράττοιτο. μικρὰ δὲ οὕτω παρακαλπάσας καὶ κατα-
ψήσας, ὡς ἑώρα πληρούμενον θυμοῦ καὶ πνεύματος,
ἀπορρίψας ἡσυχῇ τὴν χλαμύδα, καὶ μεταρείσας αὐ-
τὸν, ἀσφαλῶς περιέβη. καὶ μικρὰ μὲν περιλαβὼν τὸν
ἡνίαις τὸν χαλινὸν, ἄνευ πληγῆς καὶ σπαραγμοῦ προσ-
ανέστελλεν· ὡς δὲ ἑώρα τὸν ἵππον ἀφεικότα τὴν ἀπει-
λὴν, ὀργῶντα δὲ πρὸς τὸν δρόμον, ἀφεὶς ἐδίωκεν, ἤδη
φωνῇ θρασυτέρᾳ καὶ ποδὸς κρούσει χρώμενος. τῶν δὲ
περὶ τὸν Φίλιππον ἦν ἀγωνία καὶ σιγὴ τὸ πρῶτον· ὡς
δὲ κάμψας ἐπέστρεψεν ὀρθῶς, σοβαρὸς καὶ γεγηθὼς, οἱ
C μὲν ἄλλοι πάντες ἠλάλαξαν, ὁ δὲ πατὴρ καὶ δακρῦσαί τι
λέγεται πρὸς τὴν χαράν. καὶ καταβάντος αὐτοῦ τὴν κε-
φαλὴν φιλήσας, Ὦ παῖ (φασί) ζήτει σεαυτῷ βασι-
λείαν ἴσην· Μακεδονία γάρ σε οὐ χωρεῖ. καθορῶν δὲ
τὴν φύσιν αὐτοῦ δυσκίνητον μὲν οὖσαν, ἐρείσαντος μὴ
βιασθῆναι, ῥᾳδίως δὲ ἀγομένην ὑπὸ λόγου πρὸς τὸ
δέον· αὐτός τε πείθειν ἐπειρᾶτο μᾶλλον ἢ προστάττειν,
καὶ τοῖς περὶ μουσικὴν καὶ τὰ ἐγκύκλια παιδευταῖς οὐ
πάνυ τι πιστεύων τὴν ἐπιστασίαν αὐτοῦ καὶ κατάρτισιν, ὡς
μείζονος οὖσαν πραγματείας (καὶ κατὰ τὸν Σοφοκλέα.
D Πολλῶν χαλινῶν ἔργον οἰάκων θ᾽ ἅμα) μετεπέμψατο
τῶν φιλοσόφων τὸν ἐνδοξότατον καὶ λογιώτατον, Ἀ-
ριστοτέλην, καλὰ καὶ πρέποντα διδασκάλια τελέσας
αὐτῷ. τὴν γὰρ Σταγειριτῶν πόλιν, ἐξ ἧς ἦν Ἀριστοτέλης,
ἀνάστατον ὑπ᾽ αὐτοῦ γεγενημένην, συνῴκισε πάλιν, καὶ
τοὺς διαφυγόντας ἢ δουλεύοντας τῶν πολιτῶν ἀποκα-
τέστησεν. σχολὴν μὲν οὖν αὐτοῖς καὶ διατριβὴν τὸ περὶ
Μίεζαν Νυμφαῖον ἀπέδειξεν, ὅπου μέχρι νῦν Ἀριστο-
τέλους ἕδρας τε λιθίνας, καὶ ὑποσκίους περιπάτους δει-
κνύουσιν. ἔοικε δὲ Ἀλέξανδρος οὐ μόνον τὸν ἠθικὸν καὶ πο-
E λιτικὸν παραλαβεῖν λόγον, ἀλλὰ καὶ τῶν ἀπορρήτων καὶ
βαρυτέρων διδασκαλιῶν (ἃς οἱ ἄνδρες ἰδίως ἀκροα-
ματικὰς καὶ ἐποπτικὰς προσαγορεύοντες, οὐκ ἐξέφε-
ρον εἰς πολλοὺς) μετασχεῖν. ἤδη γὰρ εἰς Ἀσίαν διαβεβη-
κὼς, καὶ πυθόμενος λόγους τινὰς ἐν βιβλίοις περὶ τούτων
ὑπὸ Ἀριστοτέλους ἐκδεδόσθαι, γράφει πρὸς αὐτὸν, ὑ-
πὲρ φιλοσοφίας παρρησιαζόμενος, ἐπιστολὴν, ἧς ἀντί-
γραφόν ἐστιν· Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν.
Οὐκ ὀρθῶς ἐποίησας, ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν
λόγων. τίνι γὰρ δὴ διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ᾽ οὓς
F ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί; ἐγὼ
δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις, ἢ ταῖς
δυνάμεσι διαφέρειν. ἔρρωσο. Ταύτην μὲν οὖν τὴν φι-
λοτιμίαν αὐτοῦ παραμυθούμενος Ἀριστοτέλης, ἀπο-
λογεῖται περὶ τῶν λόγων ἐκείνων, ὡς ἐκδεδομένων καὶ μὴ
ἐκδεδομένων. ἀληθῶς γὰρ, ἡ μετὰ τὰ φυσικὰ πραγμα-
τεία, πρὸς διδασκαλίαν καὶ μάθησιν οὐδὲν ἔχουσα χρήσι-
μον, ὑπόδειγμα τοῖς πεπαιδευμένοις ἀπ᾽ ἀρχῆς γέγρα-
πται. δοκεῖ δέ μοι καὶ τὸ φιλιατρεῖν Ἀλεξάνδρῳ προστρῖ-

ἅψασθαι μᾶλλον ἑτέρων Ἀριστοτέλης. οὐ γὰρ μόνον τὴν θεωρίαν ἠγάπησεν, ἀλλὰ καὶ νοσοῦσιν ἐβοήθει τοῖς φίλοις, καὶ συνέταττε θεραπείας τινὰς καὶ διαίτας, ὡς ἐκ τῶν ἐπιστολῶν λαβεῖν ἔστιν. ἦν δὲ καὶ φύσει φιλόλογος καὶ φιλομαθὴς καὶ φιλαναγνώστης. καὶ τὴν μὲν Ἰλιάδα, τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, ἔλαβε μὲν Ἀριστοτέλους διορθώσαντος, ἣν ἐκ τοῦ νάρθηκος καλοῦσιν· εἶχε δὲ ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς Ὀνησίκριτος ἱστόρηκεν. τῶν δὲ ἄλλων βιβλίων οὐκ εὐπορῶν ἐν τοῖς ἄνω τόποις, Ἅρπαλον ἐκέλευσε πέμψαι· κἀκεῖνος B ἔπεμψεν αὐτῷ τάς τε Φιλίστου βίβλους, καὶ τῶν Εὐριπίδου καὶ Σοφοκλέους καὶ Αἰσχύλου τραγῳδιῶν συχνάς, καὶ Τελέστου καὶ Φιλοξένου διθυράμβους. Ἀριστοτέλη δὲ θαυμάζων ἐν ἀρχῇ, καὶ ἀγαπῶν οὐχ ἧττον (ὡς αὐτὸς ἔλεγε) τοῦ πατρός, ὡς δι' ἐκεῖνον μὲν ζῶν, διὰ τοῦτον δὲ καλῶς ζῶν, ὕστερον ὑποπτότερον ἔσχεν, οὐχ ὥστε ποιῆσαί τι κακόν, ἀλλ' αἱ φιλοφροσύναι τὸ σφοδρὸν ἐκεῖνο καὶ στερκτικὸν οὐκ ἔχουσαι πρὸς αὐτόν, ἀλλοτριότητος ἐγένοντο τεκμήριον. ὁ μέντοι πρὸς φιλοσοφίαν ἐμπεφυκὼς καὶ συντεθραμμένος ἀπ' ἀρχῆς αὐτῷ ζῆλος καὶ C πόθος οὐκ ἐξερρύη τῆς ψυχῆς, ὡς ἥ τε πρὸς Ἀνάξαρχόν τε τιμὴ, καὶ τὰ πεμφθέντα Ξενοκράτει πεντήκοντα τάλαντα, καὶ Δάνδαμις καὶ Καλανὸς οὕτω σπουδασθέντες μαρτυροῦσιν. Φιλίππου δὲ στρατεύοντος ἐπὶ Βυζαντίους, ἦν μὲν ἑκκαιδεκέτης ὁ Ἀλέξανδρος, ἀπολειφθεὶς δὲ κύριος ἐν Μακεδονίᾳ τῶν πραγμάτων καὶ τῆς σφραγῖδος, Μεδάρων τε τοὺς ἀφεστῶτας κατεστρέψατο, καὶ πόλιν ἑλὼν αὐτῶν, τοὺς μὲν βαρβάρους ἐξήλασεν, συμμίκτους δὲ κατοικίσας, Ἀλεξανδρόπολιν προσηγόρευσεν. ἐν δὲ Χαιρωνείᾳ τῆς πρὸς τοὺς Ἕλληνας μά- D χης παρὼν μετέσχεν· καὶ λέγεται πρῶτος ἐνσεῖσαι τῷ ἱερῷ λόχῳ τῶν Θηβαίων. ἔτι δὲ καὶ καθ' ἡμᾶς ἐδείκνυτο παλαιὰ παρὰ τὸν Κηφισὸν Ἀλεξάνδρου καλουμένη δρῦς, πρὸς ἣν τότε κατεσκήνωσεν· καὶ τὸ πολυάνδριον οὐ πόρρω τῶν Μακεδόνων ἐστίν. ἐκ μὲν οὖν τούτων (ὡς εἰκὸς) Φίλιππος ὑπερηγάπα τὸν υἱόν· ὥστε καὶ χαίρειν, τῶν Μακεδόνων Ἀλέξανδρον μὲν, βασιλέα, Φίλιππον δὲ, στρατηγὸν καλούντων. αἱ δὲ περὶ τὴν οἰκίαν ταραχαὶ διὰ τοὺς γάμους καὶ τοὺς ἔρωτας αὐτοῦ, τρόπον τινὰ τῆς βασιλείας τῇ γυναικωνίτιδι συννοσούσης, πολλὰς αἰτίας καὶ με- E γάλας διαφορὰς παρεῖχον· ἃς ἡ τῆς Ὀλυμπιάδος χαλεπότης, δυσζήλου καὶ βαρυθύμου γυναικὸς, ἔτι μείζονας ἐποίει, παροξυνούσης τὸν Ἀλέξανδρον. ἐκφανεστάτην δὲ Ἄτταλος παρέσχεν ἐν τοῖς Κλεοπάτρας γάμοις, ἣν ὁ Φίλιππος ἠγάγετο παρθένον, ἐρασθεὶς παρ' ἡλικίαν τῆς κόρης. θεῖος γὰρ ὢν αὐτῆς ὁ Ἄτταλος, ἐν τῷ πότῳ μεθύων, παρεκάλει τοὺς Μακεδόνας αἰτεῖσθαι παρὰ θεῶν γνήσιον ἐκ Φιλίππου καὶ Κλεοπάτρας γενέσθαι διάδοχον τῆς βασιλείας. ἐπὶ τούτῳ παροξυνθεὶς ὁ Ἀλέξανδρος, καὶ εἰπὼν, Ἡμεῖς δέ σοι, κακὴ κεφαλὴ, F νόθοι δοκοῦμεν; ἔβαλε σκύφον ἐπ' αὐτόν. ὁ δὲ Φίλιππος ἐπ' ἐκεῖνον ἐξανέστη, σπασάμενος τὸ ξίφος· εὐτυχίᾳ δὲ ἑκατέρου, διὰ τὸν θυμὸν καὶ τὸν οἶνον ἔπεσεν σφαλείς. ὁ δὲ Ἀλέξανδρος ἐφυβρίζων, Οὗτος μέντοι (εἶπεν) ἄνδρες, εἰς Ἀσίαν ἐξ Εὐρώπης παρεσκευάζετο διαβαίνειν, ὃς ἐπὶ κλίνην ἀπὸ κλίνης διαβαίνων ἀνατέτραπται. μετὰ ταύτην τὴν παροινίαν, ἀναλαβὼν τὴν Ὀλυμπιάδα, καὶ καταστήσας εἰς Ἤπειρον, αὐτὸς ἐν Ἰλλυριοῖς διέτρι-

A arbitror medicinæ quoque ſtudio imbutum ab Ariſtotele Alexandrū. Nanque non tantùm cōmētatione eius delectatus eſt, verùm multis etiā amicis ſuccurrit in morbis, præſcripſitque certa remedia & ratione victus: *quod ex epiſtolis eius diſcas. Fuit præterea natura *ſtudioſus, & multæ lectionis. Iliada autem, virtutis bellicę & credens & appellās viaticum, accepit ab Ariſtotele correctam, quam ex narthecio vocāt. Eam ſemper cum pugione (vt prodidit Oneſicritus) repoſitam habebat ſub puluino. Aliorum autem librorum quum in ſuperioribus prouinciis non eſſet ei facultas, mandauit Harpalo vt mitteret. Ille miſit ei Philiſti libros, atque ex Euripidis & Sophoclis & AEſchyli tragœdiis plurimas, Teleſtis quoque Philoxenique dithyrambos. Ariſtotelē verò, quem initio ſuſpexit & charum habuit non ſecus (vt ipſe dictitabat) q̃ parentem, quòd huius beneficio viueret, illius, honeſtè viueret, habuit poſt ſuſpectiorē: non quo illum vlla in re læderet, ſed familiaritas, priſtinū ardorem & dilectio- C nem non retinens, notam prętulit alienationis. Hic tamen erga ſapientiæ ſtudiū innatus & collactaneus à prima ætate amor deſideriúmq; non effluxit ex animo eius. quod habit *Anaxarcho honos, & quinquaginta miſſa talenta Xenocrati, Dandamiſque & Calanus ita ab eo culti, teſtantur. Mouente in Byzantinos Philippo annum ætatis gerebat Alexander ſextumdecimū. Demādata ei Macedoniæ & ſigilli cum libera poteſtate cura, Medaros rebellātes ſubegit, captóq; oppido expulit barbaros, ac deducta illuc colonia D *miſtorū, Alexādropolim id appellauit. Prelio aduerſus Græcos ad Chæroneā cōmiſſo interfuit, ac princeps dicitur in ſacram Thebanorum cohortē incurriſſe. Annoſa quercus adhuc noſtra memoria prope Cephiſum oſtendebatur, Alexādri dicta, ad quam tunc *tetendit: neque procul tumulus Macedonū abeſt. Hinc filium non immeritò Philippus dilexit, vt etiam gauderet, quum Alexandrū Macedones regem, Philippū appellarent ducem. At *domeſtici ex nuptiis & amoribus E eius fluctus, cōtacto aliquatenus ſimul gynæcei ægritudine regno, multa iurgia inter eos magnáſq; inuexere diſſenſiones: quas Olympiadis acerbitas, *ſuſpicioſę mulieris & triſtis, quòd incenderet Alexandrum, exaggerauit. Exagitauit maximè eas Attalus in nuptiis Cleopatræ, quā Philippus virginem, amore præter ætatem captus, duxit. Nam quum in conuiuio Attalus, qui ſponſę fuit auunculus, vino incaluiſſet, hortatus eſt Macedonas vt expoſcerent à diis iuſtū ex Philippo & Cleopatra regni ſucceſſorē. Exarſit inde Alexan- F der: ac quū dixiſſet, Quid? nos tibi, ſcelus, adulterini videmur? ſcypho eum petiit. In eum Philippus ſtricto enſe exiliit: ſed bona vtriuſque fortuna, impacto per iram & vinum pede, eſt prolapſus. Cui Alexander inſultans, Hic verò Macedones, inquit, in Aſiam parabat ex Europa tranſmittere, qui ex lecto in lectū tranſgrediens procidit. Poſt hanc *inſolentiam abduxit ſecum Olympiada, quā in Epiro collocauit: ipſe contulit ſe in Illyricū.

Iam verò & artis medicæ amātem Alexandrū Ariſtoteles, magis quàm alius indidiſſe videtur.

*Vt ex ep. eius colligi poteſt.

Stud. literarū; diſcendi cupidus, & m.

Conuenarum.

Intellige de tentoriis.

Domeſticæ ob nuptias & amores eius turbæ.

Zelotypiā laborantis & iracundæ quòd inc.

Debacchationē ex vinolentia ortam.

Interea Corinthius Demaratus, hoſpes familiæ regiæ, & liberè loqui apud regem ſolitus, inuiſit Philippum. Poſtquam primæ ſalutationes & amplexus defluxere, percunctante
» Philippo qui conueniret inter Græcos, Sci-
» licet tibi (inquit) conuenit, Philippe, ſolicitu-
» dinem gerere Græciæ, qui domũ tuam tan-
» tã ſeditione & malis obruiſti. Ita ad ſe reuerſus Philippus, miſſis nuntiis flexum Demarati opera Alexandrum reuocauit. Quum autem Pexodorus, Cariæ ſatrapa, neceſſitudinis vinculo ſe in Philippi ſocietatem inſinuans, cuperet filiam ſuam ſtirpis maximam Aridæo Philippi filio deſpondere, atque Ariſtocritum hac de re in Macedoniam miſiſſet, ſermones denuo agitati & calumniæ ſunt apud Alexandrum ab amicis & matre, id agere Philippum vt ſplendidis nuptiis & inſignibus ſubſidiis imponeret regno Aridæum. Hinc commotus Theſſalum, tragœdiarum hiſtrionẽ, in Cariam legat, ad agendum cum Pexodoro, vt miſſo adulterino & mẽtis impote, traduceret ad Alexandrum affinitatẽ. Quæ cõditio longè magis Pexodoro quàm prior arriſit. Id Philippus quum olfeciſſet, Alexandrum in cubiculo, adhibito vno ex amicis & familiaribus eius Philota, Parmenionis filio, grauiter increpauit & ˚amarè ob iurgauit, vt degenerem, & ſpe, quæ eum manebat, indignum, qui hominis Caris & regi ſeruientis barbaro ambiret gener fieri. Theſſalum autem ſcripſit Corinthiis vt vinctum ad ſe mitterent: ex cæteris verò amicis eius Harpalum, Nearchum, Phrygium inſuper & Ptolemæum ex Macedonia relegauit: quos reduxit deinceps Alexander, atque in ſummo honore habuit. At poſtquam Pauſanias, ex Attali & Cleopatræ conſilio ſtuprũ perpeſſus, occidit Philippũ, quòd ius ſuum exequi non valuiſſet, maxima pars criminis apud Olympiada hæſit, quòd flagrantem ira adhortata eſſet & ſtimulaſſet hunc adoleſcentem. Neque extitit immunis à calumnia Alexander. quippe quum appellaſſet eum poſt ſtuprũ ſibi illatum Pauſanias, quiritaretúrq;, dicitur protuliſſe hęc Medeæ iambica,

Eum ſimul qui tradidit ſimul ſælus
Qui duxit uxorem, ſimul nuptam nouam.

Veruntamen conſcios inſidiarum requiſiuit & puniuit: & quòd de Cleopatra Olympias abſente ſe atrociter conſuluiſſet, indignatus eſt. Igitur annos natus viginti regnum accepit, magna inuidia, graui odio, & periculis preſſum vndique. ˚Quippe & vicinæ gentes domeſticorum deſiderio regum ſeruitutem tentabant excutere: neque Philippus Græciæ, quam ſubiugauerat armis, domandæ & pacandæ ſpatium habuerat: tantùm conuerſas & commiſtas res, in magnis vndis & iactatione, ob inſolẽtiam, reliquerat. Timentibus ergo hunc articulum Macedonibus, ac negotia Græciæ prorſus abiicienda Alexandro, nec vim cenſentibus afferendam, deficientes autem barbaros leniter ad officium reuocandos, fontique medendum nouationum: ipſe, ex diuerſis conſiliis, adortus eſt audacia & animi magnitudine rebus ſuis

Acerbis conuitiis proſcidit.

Nã neque vic. gen. d.d.r. ſer. ferebant, neque Phil.

A βεν. ἐν τούτῳ δὲ Δημάρατος ὁ Κορίνθιος, ξένος ὢν τῆς οἰκίας, καὶ παῤῥησίας μετίχων, ἀφίκετο πρὸς Φίλιππον. μετὰ δὲ τὰς πρώτας δεξιώσεις καὶ φιλοφροσύνας, ἐπερωτῶντος τοῦ Φιλίππου πῶς ἔχουσιν ὁμονοίας πρὸς ἀλλήλους οἱ Ἕλληνες, Πάνυ γοῦν (ἔφη) σοὶ προσήκει Φίλιππε κήδεσθαι τῆς Ἑλλάδος, ὃς τὸν οἶκον τὸν σεαυτοῦ στάσεως τοσαύτης καὶ κακῶν ἐμπέπληκας. Οὕτω δὴ συμφρονήσας ὁ Φίλιππος, ἔπεμψε καὶ κατήγαγε, πείσας διὰ τοῦ Δημαράτου, τὸν Ἀλέξανδρον. ἐπεὶ δὲ Πηξόδωρος ὁ Καρίας σατράπης, ὑποδυόμενος δι' οἰ-
B κειότητος εἰς τὴν Φιλίππου συμμαχίαν, ἐβούλετο τὴν πρεσβυτάτην τῶν θυγατέρων Ἀῤῥιδαίῳ τῷ Φιλίππου γυναῖκα δοῦναι, καὶ περὶ τούτων Ἀρμόκριτον εἰς Μακεδονίαν ἀπέστειλεν, αὖθις ἐγίνοντο λόγοι καὶ διαβολαὶ παρὰ τῶν φίλων καὶ τῆς μητρὸς πρὸς Ἀλέξανδρον, ὡς Ἀῤῥιδαῖον ἐπὶ τῇ βασιλείᾳ Φιλίππου γάμοις λαμπροῖς καὶ πράγμασι μεγάλοις εἰσοικειοῦντος. ὑφ' ὧν διαταραχθεὶς, πέμπει Θεσσαλὸν εἰς Καρίαν τὸν τῶν τραγῳδιῶν ὑποκριτὴν, Πηξοδώρῳ διαλεξόμενον, ὡς χρὴ τὸν νόθον ἐάσαντα, καὶ οὐ φρενήρη, μεθαρ-
C μόσασθαι τὸ κῆδος εἰς Ἀλέξανδρον. καὶ Πηξοδώρῳ μὲν οὐ παρὰ μικρὸν ἤρεσκε ταῦτα τῶν προτέρων μᾶλλον· ὁ δὲ Φίλιππος αἰσθόμενος ὄντα τὸν Ἀλέξανδρον εἰς τὸ δωμάτιον, παραλαβὼν τῶν φίλων αὐτοῦ καὶ συνήθων ἕνα, Φιλώταν τὸν Παρμενίωνος, ἐπετίμησεν ἰσχυρῶς, καὶ πικρῶς ἐλοιδόρησεν, ὡς ἀγεννῆ καὶ τῶν ὑπαρχόντων περὶ αὐτὸν ἀγαθῶν ἀνάξιον, εἰ Καρὸς ἀνθρώπου, καὶ βαρβάρῳ βασιλεῖ δουλεύοντος, ἀγαπᾷ γαμβρὸς γενέσθαι. τὸν δὲ Θετταλὸν ἔγραψε Κορινθίοις ὅπως ἀναπέμψωσιν ἐπὶ πέδαις δεδεμένον. τῶν δὲ ἄλλων ἑταίρων
D Ἅρπαλον καὶ Νέαρχον, ἔτι δὲ Φρύγιον καὶ Πτολεμαῖον, ἐκ Μακεδονίας μετέστησεν· οὓς ὕστερον Ἀλέξανδρος καταγαγὼν, ἐν ταῖς μεγίσταις εἶχε τιμαῖς. ἐπεὶ δὲ Παυσανίας Ἀττάλου γνώμῃ καὶ Κλεοπάτρας ὑβρισθεὶς, καὶ μὴ τυχὼν δίκης, ἀνεῖλε Φίλιππον, τὸ μὲν πλεῖστον εἰς Ὀλυμπιάδα τῆς αἰτίας διῆλθεν, ὡς θυμουμένῳ τῷ νεανίσκῳ προσεγκελευσαμένην καὶ παροξυνάσαν· ἥψατο δέ τις καὶ Ἀλεξάνδρου διαβολή. λέγεται γὰρ, ἐντυχόντος αὐτῷ τοῦ Παυσανίου μετὰ τὴν ὕβριν ἐκείνην, καὶ ἀποδυρομένου, προσενέγκασθαι τὸ τῆς Μηδείας ἰαμβεῖον,

E Τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην.

οὐ μὴν ἀλλὰ καὶ τοὺς συναιτίους τῆς ἐπιβουλῆς ἀναζητήσας ἐκόλασεν, καὶ τὴν Κλεοπάτραν ἀποδημοῦντος αὐτοῦ τῆς Ὀλυμπιάδος ὠμῶς μεταχειρισαμένης ἠγανάκτησεν. παρέλαβε μὲν οὖν ἔτη γεγονὼς εἴκοσι τὴν βασιλείαν, φθόνους μεγάλους καὶ δεινὰ μίση καὶ κινδύνους πανταχόθεν ἔχουσαν. οὔτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα γένη τὴν δούλωσιν ἔφερεν, ποθοῦντα τὰς πατρίους βασιλείας· οὔτε τὴν Ἑλλάδα κρατήσας τοῖς ὅπλοις ὁ Φίλιππος, οἷον καταζεῦξαι καὶ τιθασεῦσαι
F χρόνον ἔσχεν, ἀλλὰ μόνον μεταβαλὼν καὶ ταράξας τὰ πράγματα, πολὺν σάλον ἔχοντα καὶ κίνησιν ὑπὸ ἀηθείας, ἀπέλιπεν. φοβουμένων δὲ τῶν Μακεδόνων τὸν καιρὸν, καὶ τὰ μὲν Ἑλληνικὰ πάντως ἀφεῖναι, καὶ μὴ προσβιάζεσθαι τὸν Ἀλέξανδρον οἰομένων δεῖν, τοὺς δὲ ἀφισταμένους τῶν βαρβάρων ἀνακαλεῖσθαι πράως, καὶ θεραπεύειν τὰς ἀρχὰς τῶν νεωτερισμῶν, αὐτὸς ἀπ' ἐναντίων λογισμῶν ὥρμησε, τόλμῃ καὶ μεγαλοφροσύνῃ κτᾶσθαι τὴν ἀσφάλειαν καὶ σωτηρίαν

τοῖς πράγμασιν· ὡς, κἂν ὁτιοῦν ὑφιέμενος ὀφθῇ τοῦ A φρονήματος, ἐπιθησομένων ἁπάντων. τὰ μὲν οὖν βαρβαρικὰ κινήματα καὶ τοὺς ἐκεῖ πολέμους κατέπαυσεν, ὀξέως ἐπιδραμὼν στρατῷ μέχρι πρὸς τὸν Ἴστρον. ᾗ καὶ Σύρμον ἐνίκησε μάχῃ μεγάλῃ τὸν βασιλέα τῶν Τριβαλλῶν. Θηβαίους δὲ ἀφεστάναι πυθόμενος, καὶ συμφρονεῖν αὐτοῖς Ἀθηναίους, ἐθέλων ἀνὴρ φανῆναι, εὐθὺς ἦγε διὰ Πυλῶν τὴν δύναμιν, εἰπὼν ὅτι Δημοσθένει, παῖδα μὲν αὐτόν, ἕως ἦν ἐν Ἰλλυριοῖς καὶ Τριβαλλοῖς, ἀποκαλοῦντι, μειράκιον δὲ περὶ Θετταλίαν γενόμενον, βούλεται πρὸς τοῖς Ἀθηναίων τείχεσιν ἀνὴρ B φανῆναι. προσμίξας δὲ ταῖς Θήβαις, καὶ διδοὺς ἔτι τῶν πεπραγμένων μετάνοιαν, ἐξῄτει Φοίνικα καὶ Προθύτην· καὶ τοῖς μεταβαλλομένοις πρὸς αὐτὸν ἄδειαν ἐκήρυττεν. τῶν δὲ Θηβαίων ἀντεξαιτούντων μὲν παρ' αὐτοῦ Φιλώταν καὶ Ἀντίπατρον, κηρυττόντων δέ, τοὺς τὴν Ἑλλάδα βουλομένους συνελευθεροῦν, τάττεσθαι μετ' αὐτῶν, οὕτως ἔτρεψε τοὺς Μακεδόνας πρὸς πόλεμον. ἠγωνίσθη μὲν οὖν ὑπὲρ δύναμιν ἀρετῇ καὶ προθυμίᾳ, τὰ παρὰ τῶν Θηβαίων, πολλαπλασίοις οὖσι τοῖς πολεμίοις ἀντιταχθέντων· ἐπεὶ δὲ καὶ τὴν Καδμείαν ἀφέν C τες οἱ φρουροὶ τῶν Μακεδόνων ἐπέπεσον αὐτοῖς ἐξόπισθεν, κυκλωθέντες οἱ πλεῖστοι κατὰ τὴν μάχην αὐτὴν ἔπεσον· ἡ δὲ πόλις ἥλω, καὶ διαρπασθεῖσα κατεσκάφη· τὸ μὲν ὅλον, προσδοκήσαντος αὐτοῦ, τοὺς Ἕλληνας ἐκπλαγέντας πάθει τηλικούτῳ καὶ πτήξαντας ἀτρεμήσειν, ἄλλως δὲ καλλωπισαμένου χαρίζεσθαι τοῖς τῶν συμμάχων ἐγκλήμασιν, (καὶ γὰρ Φωκεῖς καὶ Πλαταιεῖς τῶν Θηβαίων κατηγόρησαν) ὑπεξελόμενος δὲ τοὺς ἱερεῖς, καὶ τοὺς ξένους τῶν Μακεδόνων ἅπαντας, καὶ τοὺς ἀπὸ Πινδάρου γεγονότας, καὶ τοὺς ὑπεναντιωθέντας D τοῖς ψηφισαμένοις τὴν ἀπόστασιν, ἀπέδοτο τοὺς ἄλλους, περὶ τρισμυρίους γενομένους· οἱ δὲ ἀποθανόντες ὑπὲρ ἑξακισχιλίους ἦσαν. ἐν δὲ τοῖς πολλοῖς πάθεσι καὶ χαλεποῖς ἐκείνοις, ἃ τὴν πόλιν κατέσχεν, Θρᾷκές τινες ἐκκόψαντες οἰκίαν Τιμοκλείας γυναικὸς ἐνδόξου καὶ σώφρονος, αὐτοὶ μὲν τὰ χρήματα διήρπαζον, ὁ δὲ ἡγεμὼν τῇ γυναικὶ πρὸς βίαν συγγενόμενος καὶ καταισχύνας, ἀνέκρινεν εἴ που χρυσίον ἔχοι κεκρυμμένον ἢ ἀργύριον. ἡ δὲ ἔχειν ὡμολόγησεν, καὶ μόνον εἰς τὸν κῆπον ἀγαγοῦσα, καὶ δείξασα φρέαρ, ἐνταῦθα ἔφη τῆς πόλεως E ἁλισκομένης καταβαλεῖν αὐτὴ τὰ τιμιώτατα τῶν χρημάτων. ἐγκύψαντος δὲ τοῦ Θρᾳκὸς, καὶ κατασκεπτομένου τὸν τόπον, ὦσεν αὐτὸν ἐξόπισθεν γενομένη, καὶ τῶν λίθων ἐπεμβαλοῦσα πολλούς, ἀπέκτεινεν. ὡς δὲ ἀνήχθη πρὸς τὸν Ἀλέξανδρον ὑπὸ τῶν Θρᾳκῶν δεδεμένη, πρῶτον μὲν ἀπὸ τῆς ὄψεως καὶ τῆς βαδίσεως ἐφαίνη τις ἀξιωματικὴ καὶ μεγαλόφρων, ἀνεκπλήκτως καὶ ἀδεῶς ἑπομένη τοῖς ἄγουσιν. ἔπειτα, τοῦ βασιλέως ἐρωτήσαντος ἥτις εἴη γυναικῶν, ἀπεκρίνατο, Θεαγένους ἀδελφὴ γεγονέναι, τοῦ παραταξαμένου πρὸς Φί- F λιππον ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ πεσόντος ἐν Χαιρωνείᾳ στρατηγοῦντος. θαυμάσας οὖν ὁ Ἀλέξανδρος αὐτῆς καὶ τὴν ἀπόκρισιν καὶ τὴν πρᾶξιν, ἐκέλευσεν ἐλευθέραν ἀπιέναι μετὰ τῶν τέκνων. Ἀθηναίοις δὲ διηλλάγη, καίπερ οὐ μετρίως ἐνεγκοῦσι τὸ περὶ Θήβας δυστύχημα. καὶ γὰρ τὴν τῶν μυστηρίων ἑορτὴν ἐν χερσὶν ἔχοντες, ὑπὸ πένθους ἀφῆκαν, καὶ τοῖς καταφεύγουσιν ἐπὶ τὴν πόλιν ἅπαντα μετεδίδοσαν τῶν φιλαν-

ſecuritatem & ſalutem quærere: exiſtimans, ſi paulum modò animum demiſiſſet, cũctos in ſe inſurrecturos. Barbarorum igitur motus & ſuſpecta inde bella compeſcuit, ſubitò cum exercitu incurrens vſque ad Iſtrum: vbi Syrmum magno prælio Triballorum regem fudit. Thebanos autem accipiens rebellare, atque cum eis conſpirare Athenienſes, quò virum ſe oſtenderet, confeſtim exercitũ per Thermopylas traduxit, dicens, Demoſtheni, qui puerum ſe, dum in Illyrico & Triballis ageret, appellauerat: & adoleſcentulum, quum Theſſaliã iniſſet, velle ſub Athenienſium mœnibus virum ſe monſtrare. Vbi peruenit ad portas Thebanorum, permiſſa iis adhuc præteritorum pœnitentia, expoſcit Phœnicẽ & Prothytem, &, ſi quis ad ſe tranſiſſet, fidem publicam pronuntiat. Ex altera parte depoſcentibus ab eo Thebanis Philotam & Antipatrum, pronuntiãtibúſque per præconem, qui aſſerere vnà in libertatẽ Greciam vellent, hi vt ipſis ſe aſſociarent, tum conuertit Macedonas ad bellum. Certatum ſupra vires eſt ex parte Thebanorũ, qui cum multis hoſtibus comparati ſinguli erãt. Vbi verò præſidiarij Macedones, Cadmia relicta, terga eorum cædere cœperunt, circumuenti plerique in ipſa acie cecidêre. Vrbs capta direptáque & diruta, quòd expectaret, "eo exemplo perculſos & trepidantes quietem acturos Græcos. "Colore tamẽ vſus alioquin hoc eſt, non potuiſſe id ſe ſociorum querimoniis denegare. quippe Phocenſes & Platæenſes criminabãtur Thebanos. Sacerdotibus igitur Macedonúmque hoſpitibus omnibus exceptis, & Pindari ſtirpe, iiſque qui defectionem ſciſcentibus repugnauerãt, cæteros, ad xxx millia, ſub corona vendidit. Occubuerant autem ſupra ſex millia. Inter multas illas & atroces calamitates, quæ eam ciuitatem preſſere, Thraces aliquot domum Timocleæ illuſtris fœminæ & caſtæ exciderunt, prædam autem hauſerunt milites. Præfectus verò vbi ei per vim ſtuprum obtulit, quæſiuit ecquid alicubi auri vel argenti occuluiſſet. Illa habere confeſſa, ſolum in hortos duxit, monſtratóque puteo, In hunc, inquit, dum expugnatur vrbs, chariſſimas quaſque res meas proieci. Inclinantem caput & deſpicientem locum impulit ſtans à tergo hominem, multiſque in eum prouolutis ſaxis oppreſsit. Vt rapta à Thracibus eſt in vinculis ad Alexandrum, primùm ille ex ore & inceſſu dignitatem mulieris & magnanimitatẽ animaduertit, imperterritæ & conſtanter ducentes ſequentis. Deinde interrogata à rege quænam mulier eſſet, Theagenis reſpondit ſororem ſe eſſe, eius qui dimicaſſet acie pro libertate Græcorũ contra Philippũ, & dux Chæroneæ cecidiſſet. Cuius Alexander admiratus & reſponſum & factum, liberam abire cum liberis iuſsit. At cum Athenienſibus rediit in gratiam, quanuis Thebanorum cladem non modicè tuliſſent. Nam myſteriorum ſolenne, quod in manibus erat, ob luctum prætermiſere: refugientéſque ad vrbem ſuam omnibus officiis coluere.

Tanta calamitate perc.

Hoc alioqui prætextu honeſto vſus eſt, non pot.

Cæterùm, ſiue ira eius fuerit iam exatiata, vt leonis, ſiue clementiæ exemplum ſæuiſsimo & triſtiſsimo voluerit coniungere, non modò omni culpa liberauit eos, ſed & ciuitatē adhortatus eſt, ſuſciperet rerum curā, quòd ad ipſam deuoluendum imperium eſſet Græciæ, ſiquid ſibi accidiſſet humanitus. Poſtmodum tamen ſæpius dicitur clades Thebanorū eū torſiſſe, ac non paucis præbuiſſe ſe mitiorem. Prorſus verò admiſſum per temulentiam in Clitum facinus, illámque contra Indos Macedonum ignauiam, quaſi "rudē relinquentium expeditionem ſuam & gloriam, ad iram & "inuidiam retulit Liberi patris. Neque verò quiſquam fuit Thebanorū, qui incolumes forent, qui poſtea rem vllam fruſtra ab eo poſtularet aut oraret. Hactenus de vrbe Thebana. Agentibus conuentum Græcis in Iſthmo, vbi bellum cum Alexandro contra Perſas decreuere, dux eſt declaratus. Quem quum viri reſpub. tractantes philoſophíque frequentes obuiam irent ſalutatum gratulatúmque, idem officium expectauit ab Sinopēſi Diogene, qui apud Corinthum agebat. Vt hic in Cranio otium agens, nihil de Alexandro laborauit, profectus ipſe ad illum eſt. Fortè apricabatur tunc ſtratus. Paululum autem alleuauit ſe ſeſſum, tanta hominū accedēte caterua, atq; Alexādrū intuitus eſt. Qui vbi eū ſalutauit, affatúſq; requiſiuit ecqua re haberet opus, Recede, inquit, pauliſper ex ſole. Perhibetur hinc intātū permotus Alexāderfuiſſe, & obſtupuiſſe, cōtemptus, deſpiciētiā hominis & animi celſitudinē, vt quū comites ſui inter abeundū « ipſū riderēt luderéntq;. Atqui ego, inquit, ni « ſi Alexander eſſem, Diogenes eſſe vellē. Delphos ad Apollinē de bello conſulēdū profectus, ꝙ fortè dies nefaſti eſſent, quib⁹ nō erat ſolēne oracula edere, primò miſit certos, qui vatem orarent vt veniret. Recuſante illa & legem prætendente, aſcendit ipſe, atque vi traxit eam ad templum. Quæ, illius expugnata contentione, ait, Inuictus es, fili. Id audiens Alexander, negauit ſe alias ſortes quærere, ſed habere quod peteret ab ea oraculum. Poſtquam ad bellum mouit, cum alia prodigia deorum nunciata ſunt, tum Orphei ſignum apud Libethra, quod cupreſsinum erat, ſub ea tempeſtate copioſo manauit ſudore. Eo portento omnibus exterritis, bono animo iuſsit illum Ariſtander eſſe: res eum geſturum nunquam obliterandas ac celebres, quæ multum ſudoris & laboris decātātibus eas poetis & muſicis eſſent præbituræ. Copiarum eius numerum, qui minimum edunt, peditum x x x millia, equitum quinque: qui maximum, peditum quatuor & triginta millia, equitum quatuor tradunt. Stipēdium his, L x x talenta, non amplius, eum Ariſtobulus habuiſſe memoriæ prodidit: Duris triginta duntaxat dierū cibaria: Oneſicritus, inſuper talēta ducēta cū habuiſſe æris alieni. Qui quāuis ſubſidiis rem ſuſcepit adeo exiguis & anguſtis, nō antè tamē nauim cōſcēdit, quàm conſideratis rationibus amicorum, erogaſſet huic agrum, illi pagum, alteri vici prouentum vel portus. Quum iam eſſent vectigalia

Imperfectā reliquiſſent exp.

Indignationem ex inuidia ortā. Vel, Indign. inuidiæ coniunctā.

A θρώπων. ἀλλ᾽ εἴτε μεστὸς ἂν ἤδη τὸν θυμόν, ὥσπερ οἱ λέοντες, εἴτε ἐπιεικὲς ἔργον ὠμοτάτῳ καὶ σκυθρωποτάτῳ παραβαλεῖν βουλόμενος, οὐ μόνον ἀφῆκεν αἰτίας πάσης, ἀλλὰ καὶ προσέχειν ἐκέλευσε τοῖς πράγμασι τὸν νοῦν τὴν πόλιν, ὡς, εἴ τι συμβαίη περὶ αὐτόν, ἄρξουσαν τῆς Ἑλλάδος. ὕστερον μέντοι πολλάκις αὐτὸν ἡ Θηβαίων ἀνιᾶσαι συμφορὰ λέγεται, καὶ πρᾳότερον οὐκ ὀλίγοις παρασχεῖν. ὅλως δὲ καὶ τὸ περὶ Κλεῖτον ἔργον ἐν οἴνῳ γενόμενον, καὶ τὴν πρὸς Ἰνδοῖς τῶν Μακεδόνων ἀποδειλίασιν, ὥσπερ ἀτελῆ τὴν στρατείαν καὶ B δόξαν αὐτοῦ προεμένων, εἰς μῆνιν ἀνῆγε Διονύσου καὶ νέμεσιν. ἦν δὲ Θηβαίων οὐδεὶς τῶν περιγενομένων, ὃς ἐντυχών τι καὶ δεηθεὶς ὕστερον, οὐ διεπράξατο παρ᾽ αὐτοῦ. ταῦτα μὲν τὰ περὶ Θήβας. εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων, καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ᾽ Ἀλεξάνδρου στρατεύειν, ἡγεμὼν ἀνηγορεύθη. πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ, καὶ συνηδομένων, ἤλπιζε καὶ Διογένην τὸν Σινωπέα ταυτὸ ποιήσειν, διατρίβοντα περὶ Κόρινθον. ὡς δὲ ἐκεῖνος ἐλάχιστον Ἀλεξάνδρου λόγον ἔχων, C ἐν τῷ Κρανείῳ σχολὴν ἦγε, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν. ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ· καὶ μικρὸν μὲν ἀνεκάθισεν, ἀνθρώπων τοσούτων ἐπερχομένων, καὶ διέβλεψεν εἰς τὸν Ἀλέξανδρον· ὡς δὲ ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν εἴ τινος τυγχάνει δεόμενος, Μικρὸν (εἶπεν) ἀπὸ τοῦ ἡλίου μετάστηθι. πρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον οὕτω διατεθῆναι καὶ θαυμάσαι καταφρονηθέντα τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ ἀνδρός, ὥστε τῶν περὶ αὐτόν, ὡς ἀπῄεσαν, διαγελώντων καὶ σκωπτόντων, Ἀλλὰ μὴν ἐγὼ D (εἶπεν) εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην. βουλόμενος δὲ τῷ θεῷ χρήσασθαι περὶ τῆς στρατείας, ἦλθεν εἰς Δελφούς. καὶ κατὰ τύχην ἡμερῶν ἀποφράδων οὐσῶν, ἐν αἷς οὐ νενόμισται θεμιστεύειν, πρῶτον μὲν ἔπεμπε παρακαλῶν τὴν πρόμαντιν· ὡς δὲ ἀρνουμένης, καὶ προϊσχομένης τὸν νόμον, αὐτὸς ἀναβὰς βίᾳ πρὸς τὸν ναὸν εἷλκεν αὐτήν· ἡ δέ, ὥσπερ ἐξηττημένη τῆς σπουδῆς, εἶπεν, Ἀνίκητος εἶ ὦ παῖ. τοῦτο ἀκούσας Ἀλέξανδρος, οὐκ ἔτι ἔφη χρῄζειν ἑτέρου μαντεύματος, ἀλλ᾽ ἔχειν ὃν ἐβούλετο παρ᾽ αὐτῆς χρησμόν. E ἐπεὶ δὲ ὥρμησεν πρὸς τὴν στρατείαν, ἄλλα τε δοκεῖ σημεῖα παρὰ τοῦ δαιμονίου γενέσθαι, καὶ τὸ περὶ Λείβηθρα τοῦ Ὀρφέως ξόανον (ἦν δὲ κυπαρίττινον) ἱδρῶτα πολὺν ὑπὸ τὰς ἡμέρας ἐκείνας ἀφῆκεν. φοβουμένων δὲ πάντων τὸ σημεῖον, Ἀρίστανδρος ἐκέλευε θαρρεῖν, ὡς ἀοιδίμους καὶ περιβοήτους κατεργασόμενον πράξεις, αἳ πολὺν ἱδρῶτα καὶ πόνον ὑμνοῦσι ποιηταῖς καὶ μουσικοῖς παρέξουσι. τῆς δὲ στρατιᾶς τὸ πλῆθος, οἱ μὲν ἐλάχιστον λέγοντες, τρισμυρίους πεζούς, καὶ πεντακισχιλίους ἱππεῖς· οἱ δὲ πλεῖστον, πεζοὺς μὲν τετρακισμυρίους καὶ F τρισχιλίους, ἱππέας δὲ τετρακισχιλίους ἀναγράφουσιν. ἐφόδιον δὲ τούτοις, οὐ πλέον ἑβδομήκοντα ταλάντων ἔχειν αὐτὸν Ἀριστόβουλος ἱστορεῖ. Δοῦρις δὲ, τριάκοντα μόνον ἡμερῶν διατροφήν. Ὀνησίκριτος δὲ καὶ διακόσια ταλάντων προσοφείλειν. ἀλλὰ καίπερ ἀπὸ μικρῶν καὶ στενῶν οὕτως ὁρμώμενος, οὐ πρότερον ἐπέβη τῆς νεώς, ἢ τὰ τῶν ἑταίρων πράγματα σκεψάμενος, ἀπονεῖμαι τῷ μὲν ἀγρόν, τῷ δὲ κώμην, τῷ δὲ συνοικίας πρόσοδον ἢ λιμένος. ἤδη δὲ κατηναλωμένων καὶ δια-

γεγραμμένων σχεδὸν ἁπάντων τῶν βασιλικῶν, ὁ Περδίκκας, Σεαυτῷ δὲ (εἶπεν) ὦ βασιλεῦ, τί καταλείπεις; τοῦ δὲ φήσαντος ὅτι τὰς ἐλπίδας, Οὐκοῦν (ἔφη) καὶ ἡμεῖς τούτων κοινωνήσομεν, οἱ μετὰ σοῦ στρατευόμενοι. παραιτησαμένου δὲ τοῦ Περδίκκου τὴν διαγεγραμμένην κτῆσιν αὐτῷ, καὶ τῶν ἄλλων φίλων ἔνιοι τὸ αὐτὸ ἐποίησαν. τοῖς δὲ λαμβάνουσι καὶ δεομένοις, προθύμως ἐχαρίζετο· καὶ τὰ πλεῖστα τῶν ἐν Μακεδονίᾳ διανέμων οὕτω κατανάλωσεν. τοιαύτῃ μὲν ὁρμῇ καὶ παρασκευῇ διανοίας τὸν Ἑλλήσποντον διεπέρασεν. ἀναβὰς δὲ εἰς Ἴλιον, ἔθυσε τῇ Ἀθηνᾷ, καὶ τοῖς ἥρωσιν ἔσπεισεν. τὴν δὲ Ἀχιλλέως στήλην ἀλειψάμενος λίπα, καὶ μετὰ τῶν ἑταίρων συναναδραμὼν γυμνὸς, (ὥσπερ ἔθος ἐστὶν) ἐστεφάνωσεν, μακαρίσας αὐτὸν ὅτι καὶ ζῶν, φίλου πιστοῦ, καὶ τελευτήσας, μεγάλου κήρυκος ἔτυχεν. ἐν δὲ τῷ περιϊέναι καὶ θεᾶσθαι τὰ κατὰ τὴν πόλιν, ἐρομένου τινος αὐτὸν εἰ βούλεται τὴν Ἀλεξάνδρου λύραν ἰδεῖν, ἐλάχιστα φροντίζειν ἐκείνης ἔφη· τὴν δ᾽ Ἀχιλλέως ζητεῖν, ᾗ τὰ κλέα καὶ τὰς πράξεις ὕμνει τῶν ἀγαθῶν ἀνδρῶν ἐκεῖνος. ἐν δὲ τούτῳ τῶν Δαρείου στρατηγῶν μεγάλην δύναμιν ἠθροικότων, καὶ παρατεταγμένων ἐπὶ τῇ διαβάσει τοῦ Γρανικοῦ, μάχεσθαι μὲν ἴσως ἀναγκαῖον ἦν, ὥσπερ ἐν πύλαις τῆς Ἀσίας, περὶ τῆς εἰσόδου καὶ ἀρχῆς· τοῦ δὲ ποταμοῦ τὸ βάθος, καὶ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν πέραν ὄχθων, πρὸς οὓς ἔδει γίνεσθαι τὴν ἀπόβασιν μετὰ μάχης, τῶν πλείστων δεδιότων, ἐνίων δὲ καὶ τὸ περὶ τὸν μῆνα νενομισμένον οἰομένων δεῖν φυλάξασθαι, (Δαισίου γὰρ οὐκ εἰώθεσαν οἱ βασιλεῖς τῶν Μακεδόνων ἐξάγειν τὴν στρατιάν) τοῦτο μὲν ἐπηνωρθώσατο, κελεύσας δεύτερον Ἀρτεμίσιον ἄγειν. τοῦ δὲ Παρμενίωνος, ὡς ὀψὲ τῆς ὥρας οὔσης, οὐκ ἐῶντος ἀποκινδυνεύειν, εἰπὼν αἰσχύνεσθαι τὸν Ἑλλήσποντον, εἰ φοβήσεται τὸν Γρανικὸν, διαβεβηκὼς ἐκεῖνον, ἐμβάλλει τῷ ῥεύματι, σὺν ἴλαις ἱππέων τρεῖς καὶ δέκα· καὶ πρὸς ἐναντία βέλη καὶ τόπους ἀπορρῶγας, ὅπλοις καταπεφραγμένοις καὶ ἵπποις ἐλαύνων, καὶ διὰ ῥεύματος παραφέροντος καὶ περικλύζοντος, ἔδοξεν μανικῶς καὶ πρὸς ἀπόνοιαν μᾶλλον ἢ γνώμῃ στρατηγεῖν. οὐ μὴν ἀλλ᾽ ἐμφὺς τῇ διαβάσει, καὶ κρατήσας τῶν τόπων χαλεπῶς καὶ μόλις, ὑγρῶν καὶ περισφαλῶν γινομένων διὰ τὸν πηλὸν, εὐθὺς ἠναγκάζετο φύρδην μάχεσθαι, καὶ κατ᾽ ἄνδρα συμπλέκεσθαι τοῖς ἐπιφερομένοις, πρὶν εἰς τάξιν τινὰ καταστῆναι τοὺς διαβαίνοντας. ἐνέκειντο γὰρ κραυγῇ, καὶ τοὺς ἵππους παραβάλλοντες τοῖς ἵπποις, ἐχρῶντο δόρασι, καὶ ξίφεσι τῶν δοράτων συντριβέντων. ὠσαμένων δὲ πολλῶν ἐπ᾽ αὐτὸν, (ἦν δὲ τῇ πέλτῃ καὶ τοῦ κράνους τῇ χαίτῃ διαπρεπὴς, ἧς ἑκατέρωθεν εἱστήκει πτερὸν λευκότητι καὶ μεγέθει θαυμαστὸν) ἀκοντισθεὶς μὲν ὑπὸ τὴν ὑπεπτυχίδα τοῦ θώρακος, οὐκ ἐτρώθη· Ῥοισάκου δὲ καὶ Σπιθριδάτου τῶν στρατηγῶν προσφερομένων ἅμα, τὸν μὲν ἐκκλίνας, Ῥοισάκῃ δὲ προεμβαλὼν τεθωρακισμένῳ τὸ δόρυ, καὶ κατακλάσας τοῦτο, ἐπὶ τὸ ἐγχειρίδιον ὥρμησεν. συμπεπτωκότων δὲ αὐτῶν, ὁ Σπιθριδάτης ὑποστήσας ἐκ πλαγίων τὸν ἵππον, καὶ μετὰ προθυμίας συνεξαναστὰς, κοπίδι βαρβαρικῇ κατήνεγκεν. καὶ τὸν μὲν λόφον ἀπέρραξεν μετὰ θατέρου πτεροῦ, τὸ δὲ κράνος πρὸς τὴν πληγὴν ἀκριβῶς καὶ μόλις ἀντέσχεν, ὥστε τῶν πρώτων ψαῦσαι τριχῶν τὴν πτέρυγα τῆς κοπίδος.

A penè omnia diſtributa regia, & diplomatibus conſignata, Perdiccas, Tibi ipſi, rex, inquit, quid reliquum feciſti? Cui quum ille reſpondiſſet, Spes meas: Ergo nos quoque, inquit, qui auſpicia ſequimur tua, harum erimus conſortes. Repudiãtem aſsignatum ſibi diplomate prædium Perdiccam nonnulli alii ex amicis ſunt imitati. Accipientibus & petentibus largitus eſt benignè: ac patrimonium quidem Macedonicum diſtributum hoc modo profudit. Hoc impetu & alacritate animi tranſmiſit Helleſpontum. Ilii B Mineruæ ſacrificauit, heroibúſque libauit. Achillis cippũ vnxit, ac circum eum vnà cũ amicis de more cucurrit nudus: eíque coronam impoſuit, beatum prædicans Achillem, quòd & dum viueret, fidum amicum & poſt fata eſſet nactus magnũ præconem. In obeũdo & viſendo oppido, quum quæreret quiſpiam ex eo, velletne Alexandri lyram contemplari: non morari ait ſe illam, ſed Achillis quærere eam, qua decora & res geſtas ille clarorum virorum celebrauerat. Interea C Darii duces ingentem manum conſcripſere, aciémq; inſtruxerũt in ripa Granici. Ibi velut in porta Aſiæ, de ingreſſu & limine quodammodo erat dimicandum: ſed quum amnis altitudinem, iniquitatémque atque ſalebras plerique timerent vlterioris ripæ, quò pugnando euadendum erat, pars etiam ſolẽnia illius menſis in religionẽ traherent (menſe enim Daſio non erat moris regum Macedonum ſigna mouere) hoc correxit, edicens vt denuo agerẽt menſem Artemiſium. Monente Parmenione, quòd veſper eſſet, ne ſe D committeret periculo, rubore ſuffuſum iri ait Helleſpontum, hunc ſi formidaret, quum traieceriт illum: ſimúlque irrupit in flumen turmis equitum tredecim: ruénſque in infeſta tela & loca prærupta, quæ armis ſtipata & equis erant, pérque vndam tranſuerſos auferentem & obruentem, videbatur furore & inſania magis quàm conſilio ducere. Attamen vrgens tranſitum, ſuperatis ægrè magnóque cum labore locis madidis, lubricíſq; ob limum, eueſtigio coactus eſt, priuſquam E in ordinem aliquem collocare tranſeuntes valeret, incondito agmine confligere, ac viritim manus cum inferentibus ſe hoſtibus con ſerere. Inſtabant enim cum clamore illi, equóſque equis conferentes, lanceis, & poſt eas fractas, gladiis pugnabant. Quum multi imminerent illi (erat enim pelta inſignis & galeæ iuba, quæ hinc inde pinnas directas habebat candore & magnitudine ſingulares) iaculo ſub loricæ compagine percuſſus non accepit vulnus. At Rhœſace & Spithri F date ducibus ſimul in ipſum inuehentibus, hunc declinauit, Rhœſaci præuenit lanceam loricato infligere. Ea præfracta, gladium ſtrinxit. His commiſsis, adigit Spithridates ex latere equum, atque Alexandrum acriter adortus copide barbarica ferit, criſtámque cum altera auellit pinna. Galea probè quidem, ſed ægrè tamen reſtitit ictui, ac mucro copidis ſupremos capillos eius perſtrinxit.

Atque hoc modo bonã patrimonii Mac. partem profudit. Vel, Poſſeſsionum Mac.

Traiectu.

Vel, Secundum ag.

Erubeſcere ſe ait Helleſpontum, hunc ſi formidet.

Rem gerere.

Rhœſaci loricato lanceam prior infligit.

His manus con ſerentibus.

Alterũ ictũ librãtẽ occupauit Clitus magnus haſta medium transfigere. Simul Rhœſaces enſe ab Alexandro ictus concidit. Dum eo in diſcrimine & certamine equeſtris pugna verſatur, phalanx Macedonum traiecit, & pedeſtres copiæ concurrerunt: haud ſtrenue tamen neque diu locum tenuerunt hoſtes, ſed terga dederunt: extra mercenarios Græcos. Hi enim in tumulo quodam globo facto in fidẽ recipi ab Alexãdro petiere: qui ira potius quàm conſilio princeps in eos impreſſionem faciens, confoſſum lateribus equum amiſit. Alius fuit hic, non Bucephalas: & qui interfecti ſunt aut vulnera acceperunt, his ibi contigit in præcipitem caſum venire, & " cadere, dum cũ viris fortibus & deſperatis confligunt. De barbaris, peditum viginti millia, equitum duo millia quingenti cecidiſſe dicuntur. De Alexandri exercitu deſiderati (vt Ariſtobulus autor eſt) in totum quatuor & triginta: inter quos pedites nouem fuere. His ſtatuas ex ęre erexit, quas finxit Lyſippus. Participans autem Græcis victoriam, Athenienſibus extra ordinem trecentos clypeos miſit de ſpoliis. Cæteris manubiis in communi glorioſiſsimum titulum inſcribi iuſsit, ALEXANDER PHILIPPI, ET GRAECI, PRAETER LACEDAEMONIOS, DE BARBARIS ASIATICIS. Pocula, purpuram, atque eius generis Perſicam prædã, paucis exceptis, matri cuncta miſit. Hoc prælio immenſa rerum inclinatio eſt ad Alexãdrum inſequuta, adeóque Sardes imperij maritimi barbarorum " domicilium ei ſe permiſere ac cętera ad eum defecere. Solę restiterunt Halicarnaſſus & Miletus: quibus expugnatis, circáq; omnibus ſubactis, ſuſpenſus animo fuit ad reliqua. Sæpe enim properabat cum Dario quamprimùm cõfligere, ac de ſumma rerum aleam iacere: ſępe deliberabat viribus & opibus maritimis prius quaſi exercere ſe & roborare, inde in illum mouere. Fons eſt Lyciæ prope Xanthum oppidum. Huius id temporis aiunt exundatione inflati ſpontanea tabulam ab imo æream erupiſſe. Figuram ea repræſentauit vetuſtarum literarum, quibus ſignificabatur imperium Perſarum euerſum à Græcis deſiturum. His erectus ad oram maritimam pacandam vſque ad Phœniciam & Ciliciam perrexit. Pamphylię percurſus compluribus ſuppeditauit hiſtoricis elegãs ad miraculũ excitãdũ & põpã argumẽtũ, quaſi diuina quadã ſorte cederet Alexãdro mare quod ſeuũ aliâs ex alto littus verberaret, rarò autẽ tenuia & reſonãtia ſub abruptis & cõfragoſis rupibus aperiret ſaxa. Id quod Menãder quoq; indicat in comœdia, ad rei nouitatẽ alludẽs,

Quantùm Alexandrinũ iam iſtu! Quæro quòd ſi fortè quem,
Vltrò currens aderit hic coram:
Sin meandum per maris fluctum profundi,
Permeabilis mihi mox fit.

Alexander ipſe in epiſtolis ſuis " nihil portenti eiuſcemodi iactans, iter narrat feciſſe ſe per Climaca appellatam, atque ex Phaſeli de progreſſum eã peragraſſe, Vnde dies complures in eo oppido ſubſtitit: quib' quũ Theodectis iam fato functi (fuit autẽ Phaſelites)

ἑτέραν δὲ τὸν Σπιθριδάτην πάλιν ἐπαιρόμενον, ἔφθασε Κλεῖτος ὁ μέγας τῷ ξυστῷ διελάσας μέσον. ὁμοῦ δὲ καὶ Ῥοισάκης ἔπεσεν, ὑπὸ Ἀλεξάνδρου ξίφει πληγείς. ἐν τούτῳ δὲ κινδύνου καὶ ἀγῶνος οὔσης τῆς ἱππομαχίας, ἥ τε φάλαγξ διέβαινε τῶν Μακεδόνων καὶ συνῆγον αἱ πεζαὶ δυνάμεις. οὐ μὴν ὑπέστησαν ἐρρωμένως οὐδὲ πολὺν χρόνον, ἀλλ᾽ ἔφυγον τραπόμενοι, πλὴν τῶν μισθοφόρων Ἑλλήνων. οὗτοι δὲ πρός τινι λόφῳ συστάντες, ᾐτοῦντο τὰ πιστὰ τὸν Ἀλέξανδρον. ὁ δὲ θυμῷ μᾶλλον ἢ λογισμῷ πρῶτος ἐμβαλών, τόν τε ἵππον ἀποβάλλει, ξίφει πληγέντα διὰ τῶν πλευρῶν, (ἦν δ᾽ ἕτερος, οὐχ ὁ Βουκεφάλας) καὶ τοὺς πλείστους τῶν ἀποθανόντων καὶ τραυματισθέντων ἐκεῖ συνέβη κινδυνεῦσαι καὶ πεσεῖν πρὸς ἀνθρώπους ἀπεγνωκότας καὶ μαχίμους συμπλεκομένους. λέγονται δὲ, πεζοὶ μὲν, δισμύριοι τῶν βαρβάρων, ἱππεῖς δὲ, δισχίλιοι πεντακόσιοι πεσεῖν. τῶν δὲ περὶ τὸν Ἀλέξανδρον Ἀριστόβουλος φησὶν τέσσαρας καὶ τριάκοντα νεκροὺς γενέσθαι τοὺς πάντας, ὧν ἐννέα πεζοὺς εἶναι. τούτων μὲν οὖν ἐκέλευσεν εἰκόνας ἀνασταθῆναι χαλκᾶς, ἃς Λύσιππος εἰργάσατο. κοινούμενος δὲ τὴν νίκην τοῖς Ἕλλησιν, ἰδίᾳ μὲν τοῖς Ἀθηναίοις ἔπεμψεν τῶν αἰχμαλώτων τριακοσίας ἀσπίδας, κοινῇ δὲ τοῖς ἄλλοις λαφύροις ἐκέλευσεν ἐπιγράψαι φιλοτιμοτάτην ἐπιγραφήν, ΑΛΕΞΑΝΔΡΟΣ Ο ΦΙΛΙΠΠΟΥ, ΚΑΙ ΟΙ ΕΛΛΗΝΕΣ ΠΛΗΝ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ, ΑΠΟ ΤΩΝ ΒΑΡΒΑΡΩΝ ΤΩΝ ΤΗΝ ΑΣΙΑΝ ΚΑΤΟΙΚΟΥΝΤΩΝ. ἐκπώματα δὲ καὶ πορφύρας καὶ ὅσα τοιαῦτα τῶν Περσικῶν ἔλαβεν, πάντα τῇ μητρὶ, πλὴν ὀλίγων, ἔπεμψεν. οὗτος ὁ ἀγὼν μεγάλην εὐθὺς ἐποίησεν τῶν πραγμάτων μεταβολὴν πρὸς Ἀλέξανδρον· ὥστε καὶ Σάρδεις τὸ πρόσχημα τῆς ἐπὶ θαλάσσῃ τῶν βαρβάρων ἡγεμονίας παραλαβεῖν, καὶ τἆλλα προστίθεσθαι. μόνη δὲ Ἁλικαρνασσὸς ἀντέστη καὶ Μίλητος· ἃς ἑλὼν κατὰ κράτος, καὶ τὰ περὶ αὐτὰς πάντα χειρωσάμενος, ἀμφίβολος ἦν πρὸς τὰ λοιπὰ τῇ γνώμῃ. καὶ πολλάκις μὲν ἔσπευδεν Δαρείῳ συμπεσὼν ἀποκινδυνεῦσαι περὶ τῶν ὅλων, πολλάκις δὲ τοῖς ἐπὶ θαλάσσῃ πράγμασι καὶ χρήμασι διενοεῖτο πρῶτον οἷον ἐνασκήσας καὶ ῥώσας αὑτὸν, οὕτως ἀναβαίνειν ἐπ᾽ ἐκεῖνον. ἔστιν δὲ τῆς Λυκίας κρήνη περὶ τὴν Ξανθίων πόλιν, ἧς τότε λέγουσιν αὐτομάτως περιτραπείσης καὶ ὑπερβαλλούσης, ἐκ βυθοῦ δέλτον ἐκπεσεῖν χαλκῆν, τύπους ἔχουσαν ἀρχαίων γραμμάτων, ἐν οἷς ἐδηλοῦτο παύσεσθαι τὴν Περσῶν ἀρχὴν ὑπὸ Ἑλλήνων καταλυθεῖσαν. τούτοις ἐπαρθεὶς, ἠπείγετο τὴν παραλίαν ἀνακαθήρασθαι, μέχρι τῆς Φοινίκης καὶ Κιλικίας. ἡ δὲ τῆς Παμφυλίας παραδρομὴ, πολλοῖς γέγονε τῶν ἱστορικῶν ὑπόθεσις γραφικὴ πρὸς ἔκπληξιν καὶ ὄγκον, ὡς θείᾳ τινὶ τύχῃ παραχωρήσασαν Ἀλεξάνδρῳ τὴν θάλασσαν, ἄλλως ἀεὶ τραχεῖαν ἐκ πελάγους προσφερομένην, σπανίως δὲ λεπτοὺς καὶ προσεχεῖς ὑπὸ τὰ κρημνώδη καὶ παρερρωγότα τῆς ὀρεινῆς πάγους διακαλύπτουσαν. δηλοῖ δὲ καὶ Μένανδρος, ἐν κωμῳδίᾳ παίζων πρὸς τὸ παράδοξον. Ὡς Ἀλεξανδρῶδες ἤδη τοῦτο. κἂν ζητῶ τινα, Αὐτόματος οὗτος παρέσται. κἂν διελθεῖν δηλαδὴ Διὰ θαλάσσης δέῃ τόπον τιν᾽, οὗτος ἔσται μοι βατός. αὐτὸς δὲ Ἀλέξανδρος ἐν ταῖς ἐπιστολαῖς, οὐδὲν τοιοῦτον τερατευσάμενος, ὁδοποιῆσαι φησὶν τὴν λεγομένην κλίμακα, καὶ διελθεῖν, ὁρμήσας ἐκ Φασήλιδος. διὸ καὶ πλείονας ἡμέρας ἐν τῇ πόλει διέτριψεν· ἐν αἷς καὶ Θεοδέκτου τεθνηκότος (ἦν δὲ Φασηλίτης)

Occumbere.

Ornamentum, Vel decus.

Nihil tale, commemorans, quod prodigio ſimile ſit, iter narrat.

ἰδὼν εἰκόνα ἀνακειμένην ἐν ἀγορᾷ, μετὰ δεῖπνον ἐπεκώμασε μεθύων, καὶ τῶν στεφάνων ἐπέρριψεν πολλούς· οὐκ ἄχαριν ἐν παιδιᾷ ἀποδιδοὺς τιμὴν τῇ γενομένῃ δι' Ἀριστοτέλην καὶ φιλοσοφίαν ὁμιλίᾳ πρὸς τὸν ἄνδρα. μετὰ ταῦτα Πισιδῶν τε τοὺς ἀντιστάντας ᾕρει, καὶ Φρυγίαν ἐχειροῦτο, καὶ Γόρδιον πόλιν, ἑστίαν Μίδου τοῦ παλαιοῦ γενέσθαι λεγομένην, παραλαβὼν, τὴν θρυλουμένην ἅμαξαν εἶδεν φλοιῷ κρανείας ἐνδεδεμένην· καὶ λόγον ἐπ' αὐτῇ πιστευόμενον ὑπὸ τῶν βαρβάρων ἤκουσεν, ὡς τῷ λύσαντι τὸν δεσμὸν εἵμαρται βασιλεῖ γενέσθαι τῆς οἰκουμένης. οἱ μὲν οὖν πολλοί φασι, τῶν δεσμῶν τυφλὰς ἐχόντων τὰς ἀρχὰς, καὶ δι' ἀλλήλων πολλάκις σκολιοῖς ἑλιγμοῖς ὑποφερομένων, τὸν Ἀλέξανδρον ἀμηχανοῦντα λῦσαι, διατεμεῖν τῇ μαχαίρᾳ τὸ σύναμμα, καὶ πολλὰς ἐξ αὐτοῦ κοπέντος ἀρχὰς φανῆναι. Ἀριστόβουλος δὲ καὶ πάνυ λέγει ῥᾳδίαν αὐτῷ τὴν λύσιν γενέσθαι, ἐξελόντι τοῦ ῥυμοῦ τὸν ἕστορα καλούμενον, ᾧ συνείχετο τὸ ζυγόδεσμον, εἶθ' οὕτως ὑφελκύσαντι τὸν ζυγόν. ἐντεῦθεν Παφλαγόνας τε καὶ Καππαδόκας προσαγαγόμενος, καὶ τὴν Μέμνονος ἀκούσας τελευτὴν, ὃς τῶν ἐπὶ θαλάττῃ Δαρείου στρατηγῶν ἐπίδοξος ἦν Ἀλεξάνδρῳ πολλὰ πράγματα καὶ μυρίας ἀντιλήψεις καὶ ἀσχολίας παρέξειν, ἐπερρώσθη πρὸς τὴν ἄνω στρατείαν μᾶλλον. ἤδη δὲ καὶ Δαρεῖος ἐκ Σούσων κατέβαινεν, ἐπαιρόμενός τε τῷ πλήθει τῆς δυνάμεως, (ἑξήκοντα γὰρ ἦγε μυριάδας στρατοῦ) καί τινος ὀνείρου θαρρύνοντος αὐτὸν, ὃν οἱ μάγοι πρὸς χάριν ἐξηγοῦντο μᾶλλον ἢ κατὰ τὸ εἰκός. ἔδοξε γὰρ πυρὶ νέμεσθαι πολλῷ τὴν Μακεδόνων φάλαγγα· τὸν δ' Ἀλέξανδρον ἔχοντα στολὴν ἣν αὐτὸς ἐφόρει πρότερον, ἀστάνδης ὢν βασιλέως, ὑπηρετεῖν αὐτῷ· παρελθόντα δ' εἰς τὸ τοῦ Βήλου τέμενος, ἀφανῆ γενέσθαι. διὰ τούτων (ὡς ἔοικεν) ὑπεδηλοῦτο παρὰ τοῦ θεοῦ, λαμπρὰ γενέσθαι καὶ περιφανῆ τὰ τῶν Μακεδόνων· Ἀλέξανδρον δὲ τῆς μὲν Ἀσίας κρατήσειν, ὥσπερ ἐκράτησε Δαρεῖος, ἐξ ἀστάνδου βασιλεὺς γενόμενος, ταχὺ δὲ σὺν δόξῃ τὸν βίον ἀπολείψειν. ἔτι δὲ μᾶλλον ἐθάρρησεν, καταγνοὺς δειλίαν Ἀλεξάνδρου πολὺν χρόνον ἐν Κιλικίᾳ διατρίψαντος. ἦν δ' ἡ διατριβὴ διὰ νόσον, ἣν οἱ μὲν ἐκ κόπων, οἱ δὲ λουσαμένῳ ἐν τῷ τοῦ Κύδνου ῥεύματι καταπαγέντι προσπεσεῖν λέγουσιν. τῶν μὲν οὖν ἄλλων ἰατρῶν οὐδεὶς ἐθάρρει βοηθήσειν, ἀλλὰ τὸν κίνδυνον οἰόμενοι πάσης ἰσχυρότερον εἶναι βοηθείας, ἐφοβοῦντο τὴν ἐκ τοῦ σφαλῆναι διαβολὴν πρὸς τοὺς Μακεδόνας. Φίλιππος δ' ὁ Ἀκαρνὰν μοχθηρὰ μὲν ἑώρα τὰ περὶ αὐτὸν ὄντα, τῇ δὲ φιλίᾳ πιστεύων, καὶ δεινὸν ἡγούμενος εἰ κινδυνεύοντι μὴ συγκινδυνεύσει, μέχρι τῆς ἐσχάτης πείρας βοηθῶν καὶ παραβαλλόμενος, ἐπεχείρησε φαρμακείᾳ· καὶ συνέπεισεν αὐτὸν ὑπομεῖναι καὶ πιεῖν, σπεύδοντα ῥωσθῆναι πρὸς τὸν πόλεμον. ἐν τούτῳ δὲ Παρμενίων ἔπεμψεν ἐπιστολὴν ἀπὸ στρατοπέδου, διακελευόμενος αὐτῷ φυλάξασθαι τὸν Φίλιππον, ὡς ὑπὸ Δαρείου πεπεισμένον ἐπὶ δωρεαῖς μεγάλαις καὶ γάμῳ θυγατρὸς ἀνελεῖν Ἀλέξανδρον. ὁ δὲ, τὴν ἐπιστολὴν ἀναγνοὺς, καὶ μηδενὶ δείξας τῶν φίλων, ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν. ὡς δὲ τοῦ καιροῦ παρόντος εἰσῆλθεν μετὰ τῶν ἑταίρων ὁ Φίλιππος τὸ φάρμακον ἐν κύλικι κομίζων, ἐκείνῳ μὲν ἐπέδωκεν τὴν ἐπιστολὴν, αὐτὸς δὲ τὸ φάρμακον ἐδέξατο,

A in foro locatã, perrexit eò ſaltatũ à cœna temulentus, crebráſq; coronas ei iniecit: haud inuenuſtũ tribuens per ludũ honorẽ conſuetudini, quę per Ariſtotelem & philoſophiã ei cum illo interceſſerat. Hinc Piſidas quos in armis reperit, opprimit, Phrygiam ſubiugat. Gordiũ oppidum (quod veteris Midæ fertur domiciliũ fuiſſe) in fidem accipiẽs, nobilitatum illud ſpectauit vehiculũ cortice reuinctũ corni: ac pro vero à barbaris accepit credi, in fatis eſſe, qui vinculum id ſoluiſſet, is vt imperio orbis terræ potiretur. Commemorant
B multi vinculum, quod tortuoſis orbibus nodi in ſemetipſis identidem implicati celarẽt loramentorum capita, Alexandrum ſoluere deſperantem, gladio nexum diſſ. cuiſſe, atque multa eo reſoluto capita inueniſſe. Ariſtobulus verò ſanè quam expeditè nodũ ait cum ſoluiſſe, quum exemiſſet ex temone clauum, quem vocant, qui temoni alligat iugũ; atque ita inde iugum ſubtraxiſſet. Hinc Paphlagonas & Cappadocas in ditionem accepit. Adfertur etiam Memnonis exitus, qui
C Darij præfectus claſſis, multum Alexandro laboris exhibiturus ſexcẽtáſque tricas & negotia putabatur. Ita magis ad bellum in ſuperiores prouincias promouẽdum eſt confirmatus. Iam Darius è Suſis mouerat, copiarum ſubnixus multitudine (quippe ſexcenta millia militum ſub ſignis habebat) fretúſque ſomnio quodam, quod blandientes ei magis quàm pro veriſimilitudine interpretati fuerant magi. Macedonum agmen "magno ignis fulgore viſum eſt collucere: Alexander autem, quo antè ipſe cultu fuerat indutus,
D quum regis eſſet aſgandes, ſibi miniſtrare, ac quum in Beli templum eſſet ingreſſus, ex oculis eſſe ſubductus. "His (mea ſentẽtia) portendit deus magnificas & claras res Macedonas geſturos, & potiturũ Aſia Alexandrum, ſicut potitus ea Darius fuerat, ex aſgande factus rex: verùm breui vitã cum gloria depoſiturũ. Multo verò magis eſt animatus, quòd Alexandrum pro ignauo duceret, qui multũ tẽporis triuiſſet in Cilicia. Detinuerat autem eũ morbus, quem alij cum ex laboribus, alij
E quũ in amni Cydno gelidiſſimo corpus abluiſſet, conceptũ referunt. Hic, quũ ex cæteris medicis remediũ nemo promitteret, ſed periculũ exiſtimantes omnis ſuperius opis eſſe, timerent, "ſi titubaſſent, obtrectationem apud Macedonas, Philippus Acarnan ſpẽ ſalutis quidem in præcipiti videbat eſſe, verùm amicitia eius fretus, & indignũ ratus ſi cum rege in diſcrimine poſito non vnà diſcrimen ſubiret, nec vltima remedia tentaret vel cum periculo, aggreſſus eſt remedium ei afferre, adhortatúſque eum vt admitteret id & hau-
F riret, ſi feſtinaret valetudinem recipere, vt ad bellũ pergeret. Inter hæc à Parmenione accipit ex caſtris literas, quibus ei denũtiat ne ſalutẽ ſuã cõmittat Philippo: magnis enim muneribus cum à Dario & nuptiis filiæ eius eſſe ad interficiendũ Alexandrũ redemptũ. Hic poſtquã epiſtolã accepit, nulli eã amicorũ oſtendit, ſed ſubiecit eã puluino. Vbi dies illuxit, & Philippus cum amicis intrauit, medicamentum in poculo afferens, tradidit illi

Multo igni depaſci viſum eſt Alex.

His veriſimile erat portendere deum.

Si res ſibi non ſucceſſiſſet, obtrect.

epiſtolam, ipſe medicinam alacriter & intrepidè accepit. Fuit mirificum & viſendũ ſpectaculum tum huius bibentis, tum illius legentis, "inde ſimul inter ſe diſpari modo cõtuentium: verùm Alexandri læto vultu & exporrecto ſuam in Philippum beneuolẽtiam & fidem præferentis, indignãtis illius ob calumniam, & nunc deorum fidem inclamantis, manúſque ad cælum tendentis, nunc in lectum incumbẽtis, & Alexandrum hortantis vt ſibi omiſſo metu fidem haberet. Medicamen enim ſuperato initio corpore, quaſi impulit & demerſit in imũ vires, vt vox quoque intercluderetur, atque interueniente inſuper animi defectu, ſenſus ſupereſſet exilis & perexiguus. Citò tamen "ſanitati à Philippo reſtitutus, viribúſque recuperatis, in conſpectum Macedonum venit. Neque enim prius à conſternatione diſceſſerunt quàm aſpexiſſent Alexandrum. Erat in Darij præſidiis Macedo quidam extorris Macedonia, Amyntas, cui non incognitum erat Alexandri ingenium. Hic molientem cernens Darium intra anguſtias in Alexandrũ contendere, orauit eum vt ſubſiſteret, atq; opperiretur illum in liberis & patentibus campis, qui tantis copiis aggreſſurus pauciores eſſet. Cui vt reſpondit Darius, vereri ſe ne maturarent hoſtes fugam capeſſere, & Alexander ſe ſubducere, Atqui, quod ad id pertinet, inquit, nihil eſt, rex, quod timeas: mouebit enim in te ille, & propè iam mouet. His dictis non perſuaſit Dario vt ita faceret: ſed motis ſignis ille in Ciliciam perrexit, ſimul Alexander contra illum in Syriam. Nocte quum à mutuo occurſu in itinere aberraſſent, retrò ſe recepère. Fuit eo caſu Alexãder lætus, qui occurrere intra fauces properabat hoſti, Darius ſuperiora repetere caſtra, atque ex anguſtiis copias explicare. Iam enim "intelligebat ab re in loca ſe conieciſſe, ob mare, montes, & amnem interlabentẽ Pindarum equitatui incommoda & paſſim interrupta, hoſtiúmque paucitati opportuna. Locum Alexandro fortuna præbuit, verùm hic acie inſtruenda ad victoriam obtinendam vicit beneficia fortunæ: qui quum tanto barbarorum numero eſſet inferior, non dedit illis facultatem circundandi ſe. Ipſe dextero cornu quàm ſiniſtro productiore & exporrecto, oppoſitos ſibi barbaros auertit, ante ſigna dimicans, ac vulnus in femore accepit (vt Chares ait) à Dario, cum quo manus contulit. Cæterùm Alexander de hac pugna ad Antipatrum ſcribens, non meminit eius qui ſauciauerat ipſum. Vulneratum quidem femur gladio, ſed nihil ex vulnere periculi ſcribit accidiſſe. Inſigni parta victoria, & plus centum & decem millibus interfectis, non cepit Darium, qui quatuor aut quinque ſtadia fuga præceperat, ſed curru & arcu eius potitus, recepit ſe, offenditque Macedonas cæteram opulentiam ex barbarorum caſtris immenſam egerentes: tametſi expediti illi ad pugnam veniſſent, maximámque impedimentorum partem reliquiſſent Damaſci.

Deinde alterius alterũ ſimul aſpicientis: Alexandri l.

Refocillatus à Philippo, viribus.

Intell. ſe non ſine ſuo incommodo conieciſſe ſeipſum in loca ob mare, m. & amn. ſ. P. eq. minimè apta, & paſſ.

A προθύμως καὶ ἀνυπόπτως· ὥστε θαυμαστὴν καὶ θεατρικὴν τὴν ὄψιν εἶναι, τοῦ μὲν ἀναγινώσκοντος, τοῦ δὲ πίνοντος· εἶτα ἅμα πρὸς ἀλλήλους ἀποβλεπόντων οὐχ ὁμοίως, ἀλλὰ τοῦ μὲν Ἀλεξάνδρου φαιδρῷ τῷ προσώπῳ καὶ διακεχυμένῳ τὴν πρὸς τὸν Φίλιππον εὐμένειαν καὶ πίστιν ἀποφαίνοντος· ἐκείνου δὲ πρὸς τὴν διαβολὴν ἐξισταμένου, καὶ ποτὲ μὲν θεοκλυτοῦντος καὶ πρὸς τὸν οὐρανὸν ἀνατείνοντος τὰς χεῖρας, ποτὲ δὲ τῇ κλίνῃ περιπίπτοντος, καὶ παρακαλοῦντος τὸν Ἀλέξανδρον εὐθυμεῖν καὶ προσέχειν αὐτῷ. τὸ γὰρ φάρ-
B μακον ἐν ἀρχῇ κρατῆσαν τοῦ σώματος, οἷον ἀπέωσε καὶ κατέδυσεν εἰς βάθος τὴν δύναμιν, ὥστε καὶ φωνὴν ἐπιλείπειν, καὶ τὰ περὶ τὴν αἴσθησιν ἀσαφῆ καὶ μικρὰ κομιδῇ γενέσθαι, λειποθυμίας ἐπιπεσούσης. οὐ μὴν ἀλλὰ ταχέως ἀναληφθεὶς ὑπὸ τοῦ Φιλίππου, καὶ ῥώσας αὐτὸν, ἐπέδειξε τοῖς Μακεδόσιν. οὐ γὰρ ἐπαύοντο, πρὶν ἰδεῖν τὸν Ἀλέξανδρον, ἀθυμοῦντες. ἦν δέ τις ἐν τῷ Δαρείου στρατῷ πεφευγὼς ἐκ Μακεδονίας, ἀνὴρ Μακεδών, Ἀμύντας, οὐκ ἄπειρος τῆς Ἀλεξάνδρου φύσεως. οὗτος ὡρμημένον ἰδὼν Δαρεῖον εἴσω τῶν στε-
C νῶν βαδίζειν ἐπ' Ἀλέξανδρον, ἐδεῖτο κατὰ χώραν ὑπομένειν, ἐν πλάτος ἔχουσι πεδίοις καὶ ἀναπεπταμένοις πρὸς ἐλάττονας πλήθει τοσούτῳ διαμαχούμενον. ἀποκριναμένου δὲ Δαρείου δεδιέναι μὴ φθάσωσιν αὐτὸν ἀποδράντες οἱ πολέμιοι, καὶ διαφυγὼν Ἀλέξανδρος, Ἀλλὰ τούτου γε (εἶπεν) ὦ βασιλεῦ, χάριν, θάρρει. βαδιεῖται γὰρ ἐκεῖνος ἐπὶ σε, καὶ σχεδὸν ἤδη βαδίζει. ταῦτα λέγων Ἀμύντας οὐκ ἔπειθεν, ἀλλ' ἀναστὰς ἐπορεύετο Δαρεῖος εἰς Κιλικίαν, ἅμα δὲ Ἀλέξανδρος εἰς Συρίαν ἐπ' ἐκεῖνον. ἐν δὲ τῇ νυκτὶ διαμαρ-
D τόντες ἀλλήλων, αὖθις ἀνέστρεφον· Ἀλέξανδρος μὲν ἡδόμενός τε τῇ συντυχίᾳ, καὶ σπεύδων ἀπαντῆσαι περὶ τὰ στενά, Δαρεῖος δὲ, τὴν προτέραν ἀναλαβεῖν στρατοπεδείαν, καὶ τῶν στενῶν ἐξελίξαι τὴν δύναμιν. ἤδη γὰρ ἐγνώκει παρὰ τὸ συμφέρον ἐμβεβληκὼς ἑαυτὸν εἰς χωρία θαλάττῃ καὶ ὄρεσι καὶ ποταμῷ διὰ μέσου ῥέοντι τῷ Πινδάρῳ δύσιππα, καὶ διεσπασμένα πολλαχοῦ, καὶ πρὸς τῆς ὀλιγότητος τῶν πολεμίων ἔχοντα τὴν θέσιν. Ἀλεξάνδρῳ δὲ τὸν μὲν τόπον ἡ τύχη παρέσχεν, ἐστρατήγησε δὲ τῶν ἀπὸ τῆς τύχης ὑπαρχόν-
E των πρὸς τὸ νικῆσαι βέλτιον· ὅς γε τοσούτῳ πλήθει τῶν βαρβάρων λειπόμενος, ἐκείνοις μὲν οὐ παρέσχε κύκλωσιν, αὐτὸς δὲ τῷ δεξιῷ τὸ εὐώνυμον ὑπερβαλὼν, καὶ γενόμενος κατὰ κέρας, φυγὴν ἐποίησε τῶν καθ' αὐτὸν βαρβάρων, ἐν πρώτοις ἀγωνιζόμενος· ὥστε τρωθῆναι ξίφει τὸν μηρὸν, ὡς μὲν Χάρης φησὶν, ὑπὸ Δαρείου (συμπεσεῖν γὰρ αὐτοὺς εἰς χεῖρας) Ἀλέξανδρος δὲ περὶ τῆς μάχης ἐπιστέλλων τοῖς περὶ τὸν Ἀντίπατρον, οὐκ εἴρηκεν ὅστις ἦν ὁ τρώσας, ὅτι δὲ τρωθείη τὸν μηρὸν ἐγχειριδίῳ, δυσχερὲς δ' οὐδὲν ἀπὸ τοῦ τραύματος
F συμβαίη, γέγραφεν. νικήσας δὲ λαμπρῶς, καὶ καταβαλὼν ὑπὲρ ἕνδεκα μυριάδας τῶν πολεμίων, Δαρεῖον μὲν οὐχ εἷλεν, τέτταρας σταδίους ἢ πέντε προλαβόντα τῇ φυγῇ· τὸ δὲ ἅρμα καὶ τὸ τόξον αὐτοῦ λαβὼν, ἐπανῆλθε· καὶ κατέλαβε τοὺς Μακεδόνας τὸν μὲν ἄλλον πλοῦτον ἐκ τοῦ βαρβαρικοῦ στρατοπέδου φέροντας καὶ ἄγοντας ὑπερβάλλοντα πλήθει· (καίπερ εὐζώνων πρὸς τὴν μάχην παραγενομένων, καὶ τὰ πλεῖστα τῆς ἀποσκευῆς ἐν Δαμασκῷ καταλιπόντων) τὴν

δὲ

A τὴν δὲ Δαρείου σκηνὴν ἐξῃρηκότας ἐκείνῳ, θεραπείας τε λαμπρᾶς καὶ παρασκευῆς καὶ χρημάτων πολλῶν γέμουσαν. εὐθὺς οὖν ἀποδυσάμενος τὰ ὅπλα, πρὸς τὸ λουτρὸν ἐβάδιζεν, εἰπών, Ἴωμεν ἀπολουσόμενοι τὸν ἀπὸ τῆς μάχης ἱδρῶτα τῷ Δαρείου λουτρῷ. καί τις τῶν ἑταίρων, Μὰ τὸν Δία (εἶπεν) ἀλλὰ τῷ Ἀλεξάνδρου. τὰ γὰρ τῶν ἡττωμένων εἶναί τε δεῖ καὶ προσαγορεύεσθαι τοῦ κρατοῦντος. ὡς δὲ εἶδεν μὲν ὄλκια καὶ κρωσσοὺς καὶ πυέλους καὶ ἀλαβάστρους, πάντα χρυσοῦ ἠσκημένα περιττῶς, ὠδώδει δὲ θεσπέσιον, οἷον ὑπὸ ἀρωμάτων καὶ μύρων, ὁ οἶκος· ἐκ δὲ τούτου παρῆλθεν εἰς σκηνὴν ὕψει τε καὶ μεγέθει καὶ τῷ B περὶ τὴν στρωμνὴν καὶ τραπέζας καὶ τὸ δεῖπνον αὐτοῦ κόσμῳ θαύματος ἀξία, διαβλέψας πρὸς τοὺς ἑταίρους, Τοῦτο ἦν, ὡς ἔοικεν, (ἔφη) τὸ βασιλεύειν. τρεπομένῳ δὲ πρὸς τὸ δεῖπνον αὐτῷ, φράζει τις ἐν τοῖς αἰχμαλώτοις ἀγομένας μητέρα καὶ γυναῖκα Δαρείου, καὶ θυγατέρας δύο παρθένους, ἰδούσας τὸ ἅρμα καὶ τὰ τόξα, κόπτεσθαι καὶ θρηνεῖν, ὡς ἀπολωλότος ἐκείνου. συχνὸν οὖν ἐπισχὼν χρόνον Ἀλέξανδρος, καὶ ταῖς ἐκείνων τύχαις μᾶλλον ἢ ταῖς ἑαυτοῦ ἐμπαθὴς γενόμενος, πέμπει Λεοννάτον, ἀπαγγεῖλαι κελεύσας ὡς οὔτε Δαρεῖος C τέθνηκεν, οὔτε Ἀλέξανδρον δεδιέναι χρή· Δαρείῳ γὰρ ὑπὲρ ἡγεμονίας πολεμεῖν, ἐκείναις δὲ πάντα ὑπάρξειν ὧν καὶ Δαρείου βασιλεύοντος ἠξιοῦντο. τοῦ δὲ λόγου ταῖς γυναιξὶν ἡμέρου καὶ χρηστοῦ φανέντος, ἔτι μᾶλλον γενομέναις αἰχμαλώτοις τὰ ἀπὸ τῶν ἔργων ἀπήντα φιλάνθρωπα. θάψαι γὰρ ὅσους ἐβούλοντο Περσῶν ἔδωκεν, ἐσθῆτι καὶ κόσμῳ χρησαμέναις ἐκ τῶν λαφύρων· θεραπείας τε καὶ τιμῆς ἣν εἶχον, οὐδ' ὁτιοῦν ἀφεῖλεν, συντάξεις δὲ μείζονας ἐκαρποῦντο τῶν προτέρων. ἡ δὲ καλλίστη καὶ βασιλικωτάτη χάρις ἦν παρ' D αὐτοῦ, γυναιξὶ γενναίαις γενομέναις αἰχμαλώτοις καὶ σώφροσι, μήτε ἀκοῦσαί τι, μήτε ὑπονοῆσαι, μήτε προσδοκῆσαι τῶν αἰσχρῶν, ἀλλ' ὥσπερ οὐκ ἐν στρατοπέδῳ πολεμίων, ἀλλ' ἐν ἱεροῖς καὶ ἁγίοις φυλαττομένας παρθενῶσιν, ἀπόρρητον ἔχειν καὶ ἀόρατον ἑτέροις δίαιταν. καίτοι λέγεταί γε τὴν Δαρείου γυναῖκα πολὺ πασῶν τῶν βασιλίδων εὐπρεπεστάτην γενέσθαι, καθάπερ καὶ αὐτὸς Δαρεῖος, ἀνδρῶν κάλλιστος καὶ μέγιστος· τὰς δὲ παῖδας ἐοικέναι τοῖς γονεῦσιν. ἀλλ' Ἀλέξανδρος (ὡς ἔοικεν) τοῦ νικᾶν τοὺς πολεμίους, τὸ κρατεῖν ἑαυτοῦ, βα- E σιλικώτερον ἡγούμενος, οὔτε τούτων ἔθιγεν, οὔτε ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου, πλὴν Βαρσίνης. αὕτη δὲ μετὰ τὴν Μέμνονος τελευτὴν, χήρα γενομένη, περὶ Δαμασκὸν ἐλήφθη. πεπαιδευμένη δὲ παιδείαν Ἑλληνικὴν, καὶ τὸν τρόπον ἐπιεικὴς οὖσα, καὶ πατρὸς Ἀρταβάζου, γεγονότος ἐκ βασιλέως θυγατρὸς, ἐγνώσθη, Παρμενίωνος προτρεψαμένου τὸν Ἀλέξανδρον (ὥς φησιν Ἀριστόβουλος) καλῆς καὶ γενναίας καὶ τὸ κάλλος ἅψασθαι γυναικός. τὰς δὲ ἄλλας αἰχμαλώτους ὁρῶν ὁ Ἀλέξανδρος κάλλει καὶ μεγέθει διαφερούσας, ἔλεγε παίζων, ὡς εἰ- F σὶν ἀλγηδόνες ὀμμάτων αἱ Περσίδες. ἀντεπιδεικνύμενος δὲ πρὸς τὴν ἰδέαν τῶν ἐκείνων τὸ τῆς ἰδίας ἐγκρατείας καὶ σωφροσύνης κάλλος, ὥσπερ ἀψύχους εἰκόνας ἀγαλμάτων παρέπεμπεν. ἐπεὶ δὲ Φιλόξενος, ὁ τῶν ἐπὶ θαλάττης στρατηγὸς, ἔγραψεν εἶναι παρ' αὐτῷ Θεόδωρόν τινα Ταραντῖνον, ἔχοντα παῖδας ὠνίους δύο, τὴν ὄψιν ὑπερφυεῖς, καὶ πυνθανόμενος εἰ πρίηται, χαλεπῶς ἐνεγκὼν, ἐβόα πολλάκις πρὸς τοὺς φίλους,

Tabernaculum Darij reſeruarant illi refertum egregiis ſeruitiis, inſtrumento regio & magna vi auri & argenti. Ibi confeſtim armis exutis ad balneum proceſsit, dicens, Eamus ad abluendũ Darij balneo contractum ex pugna ſudorem. Ibi quidam ex amicis, Minimè verò, inquit, imò Alexandri. " quæ enim ad victos pertinuere, ea & eſſe & dici debent victoris. Vt holcia vidit, croſſos, ampullas, alabaſtros, ex auro fabrefacta omnia, domúſque excitato ſuauiſsimo odore ex aromatibus & vnguentis fragrauit, inde in tabernaculum tranſiit faſtigio, laxitate, lecti, menſarúmque & cœnæ illius nitore admirandum, oculos ad amicos intendens, Hoc nimirum, inquit, erat regnare. Verſo ad cœnam nuntiat quiſpiam matrem vxorémque Darij, & duas filias virgines, quæ inter captiuas ducebantur, vbi viderunt currum & arcum illius, plangere & lamẽtari eum quaſi peremptum. Diu ibi Alexander obticeſcens, atque illarũ magis quàm ſua permotus fortuna, Leõnatum mittit, imperátque vt nuntiet eis nec Darium mortuum, nec eſſe quod Alexandrum timeãt: quippe bellum cum Dario Alexãdrum de imperio gerere, neq; iilis " quicquam ex priſtina fortuna, quæ regnante fuerat Dario, defore. His dictis alleuatæ ſunt & recreatæ fœminæ: multo verò magis iam captiuæ facta benigna comperêre. Quoſcunq; enim vellent permiſit eis Perſas ſepelire, vtq; veſtem & apparatum ſumerent de prǫda: neque de cultu aut dignatione quam habuerãt vel minimum detraxit. annua eis etiam prioribus maiora attribuit. At pulcherrimum & maximè rege dignum beneficium eius in fœminas generoſas captiuas & caſtas extitit, quòd nihil neque audirent, neque ſuſpicarentur, neque expectarent turpe, ſed quaſi non in hoſtium caſtris, verùm in ſacris & ſanctis Veſtæ templis ſeruatæ, in abdito extra aliorum oculos agerent. Et quidem perhibetur Darij coniunx longè omnium reginarum fuiſſe venuſtiſsima, vt virorum ille pulcherrimus & eminentiſſimus: filiæ etiam ſimiles fuiſſe parentum. Sed Alexander profectò, temperare ſibi quàm hoſtes vincere, magis regium ducens, nec has attigit, nec mulierem ante nuptias cognouit vllam, excepta Barſene. Hæc poſt Memnonis mortẽ vidua Damaſci capta eſt: & cum ea, quum literis Græcis inſtituta & moribus placida eſſet, patre Artabazo, ex filia regis prognato, concubuit Alexander, incitante eum (vt Ariſtobulus autor eſt) Parmenione vt elegantẽ mulierem, & præter formam, generoſam, attingeret. Cæteras captiuas vt vidit Alexander ſpecie & ſtatura eximias, dixit ioco, Quàm magni oculorum dolores ſunt Perſides! " Ad æmulationem verò illarum formæ, nitorem oſtentans ſuæ continentiæ & moderationis, ſicut inanimatas ſignorum imagines tranſmittebat eas. Quum rei maritimæ præfectus ad eum Philoxenus ſcripſiſſet, eſſe apud ſe Theodorum quendam Tarentinum, qui pueros duos haberet forma præcellenti, quærens an emeret eos: indignatus, atque identidem ad amicos exclamans,

Bona enim eorum qui ſunt victi, ea & eſſe.

Quicquam eorũ quæ regnãte Dario illis tribuebantur, defore. Quum autem hic ſermo mulieribus placidus benignuſque viſus fuiſſet, multo etiam maiora humanitatis exhibita fuerunt officia.

AEmulatione autem quadam pulchritudinem ſuæ cont. & temperantiæ aduerſus illarũ formam oſtentans, ſicut inan.

rogauit quam vnquam in ſe turpitudinem deprehendiſſet Philoxenus, qui, deſidens ibi, talem maculam procuraret ſibi. Ipſi Philoxeno, in epiſtola multis proſciſſo conuitiis, Theodorum iuſsit vt cum mercibus ſuis in malam rem ablegaret. Agnonem adoleſcentem etiam caſtigauit, quòd ſibi ſcripſiſſet Crobylum velle ſe celebris apud Corinthios nominis puerum comparare, atque ad ipſum mittere. Quum ad eum delatum eſſet, mercenariorum quorundam militum vxores à Damone & Timotheo, Macedonibus qui ſub Parmenione merebant, ſtupratas, Parmenioni per literas mandauit, ſi manifeſti criminis forent, vt eos, tanquam natas ad hominum corruptelam beluas, puniret atque interficeret. Ac de ſemetipſo in hac epiſtola » ad verbum ſcripſit, Ego enim nō ſolùm non » vidiſſe inueniar Darij vxorem, aut videre co» gitaſſe, verùm nec verba facietes de eius de» core ſuſtinuiſſe audire. Dicebat, mortalem ſe eſſe, intelligere ſe potiſsimùm ex ſomno & concubitu, quòd ab eadem imbecillitate naturam inceſſat laſsitudo & voluptas. Fuit & gulæ temperātiſsimus: quod cum aliis ſignis oſtendit, tum ſuis ad Adan verbis, quam matrem adoptauerat, & Cariæ deſignauerat reginam. Nam quum comiter illa multa quotidie fercula ei & bellaria mitteret, coquos denique & piſtores, quos putabat intelligētiſsimos, nihil ait his ſibi eſſe opus: meliores habere ſe coquos à pædagogo donatos Leonida: ad prandium iter antelucanum, ad cœnam exiguum prandium. Idem ille, inquit, » ſtragulorum meorum repoſitorium ſolitus » erat adire, veſtiariúmque, atque ea ſoluere, » inſpiciens num quid mihi ad mollitiem ma» ter vel ad luxum addidiſſet. Iam in vinū quoque fuit minus opinione effuſus. Exiſtimatus eſt autem in illud eſſe effuſus, ob ſpatium quod non bibendo magis quàm fabulando producebat, ſingulis calicibus prolixum ſermonem interponēs ſemper, idque quum abundaret otio: quandoquidem à negotiis quidem non vinū illum, non ſomnus, nullus ludus, non nuptię, non ſpectaculum (ſicut alios duces) abduxit. Teſtatur vita, quam, etſi egit breuiſsimā, plurimis maximiſq; rebus geſtis impleuit. Quū vacuus eſſet, vbi primùm ſurrexiſſet, & ſacra diis feciſſet, mox prandebat ſedens: inde tempus traducebat vel venādo, vel cōmentādo, vel aliquid inter milites diſceptando, vel legendo. Si iter faceret minus vrgens, diſcebat ſimul in progrediendo aut iaculari, aut in currum* concitatum inſilire & deſilire. Crebrò præterea animi cauſa vulpes venabatur & aucupabatur: quod diſcas ex diario eius. Vbi ad diuerſorium veniret, & ad balneum vngendúmque ſe verteret, rogabat panificum & coquorum magiſtros, ecquid cœna rectè & ordine parata eſſet. Ad cœnam ſerò & ſub tenebras iam accumbebat. Erat mirifica eius ſedulitas & circumſpectio in menſa, nequid inæqualiter aut incuria diſtribueretur. Compotationem (vti diximus) in longum fabulando trahebat. Et qui alioquin omnium regum erat in conſuetudine feſtiuiſsimus, neque vllius exors leporis, tunc iactantia odioſus euadebat & plus ſatis

*Dum ageretur, inſſ. Vel, qui ageretur.

A ἐρωτῶν τί πώποτε Φιλόξενος αἰσχρὸν αὐτῷ συνεγνωκὼς, τοιαῦτα ὀνείδη προξενῶν κάθηται. τὸν δὲ Φιλόξενον αὐτὸν ἐν ἐπιστολῇ πολλὰ λοιδορήσας, ἐκέλευεν αὐτοῖς φορτίοις τὸν Θεόδωρον εἰς τὸν ὄλεθρον ἀποστέλλειν. ἐπέπληξεν δὲ καὶ Ἄγνωνι νεανίσκῳ, γράψαντι πρὸς αὐτὸν, ὅτι Κρωβύλον εὐδοκιμοῦντα ἐν Κορίνθῳ, βούλεται πριάμενος ἀγαγεῖν πρὸς αὐτόν. πυνθανόμενος δὲ μισθοφόρων τινῶν γύναια διεφθαρκέναι Δάμωνα καὶ Τιμόθεον, Μακεδόνας τῶν ὑπὸ Παρμενίωνι στρατευομένων, ἔγραψε Παρμενίωνι, κε-

B λεύων, ἐὰν ἐλεγχθῶσιν, ὡς θηρία ἐπὶ καταφθορᾷ τῶν ἀνθρώπων γεγονότα τιμωρησάμενον ἀποκτεῖναι. καὶ περὶ ἑαυτοῦ κατὰ λέξιν ἐν ταύτῃ τῇ ἐπιστολῇ γέγραφεν, Ἐγὼ γὰρ οὐχ ὅτι ἑωρακὼς ἂν εὑρεθείην τὴν Δαρείου γυναῖκα, ἢ βεβουλευμένος ἰδεῖν, ἀλλ' οὔτε τῶν λεγόντων περὶ τῆς εὐμορφίας αὐτῆς προσδεδεγμένος τὸν λόγον. Ἔλεγε δὲ μάλιστα συνιέναι θνητὸς ὢν, ἐκ τοῦ καθεύδειν καὶ συνουσιάζειν· ὡς ἀπὸ μιᾶς ἐγγινόμενον ἀσθενείας τῇ φύσει καὶ τὸ πονοῦν καὶ τὸ ἡδόμενον. ἦν δὲ καὶ γαστρὸς ἐγκρατέστατος, ὡς καὶ τοῦτο ἄλ-

C λοις τε πολλοῖς ἐδήλωσεν, καὶ τοῖς πρὸς Ἄδαν λεχθεῖσιν, ἣν ἐποιήσατο μητέρα, καὶ Καρίας βασίλισσαν ἀπέδειξεν. ὡς γὰρ ἐκείνη φιλοφρονουμένη πολλὰ μὲν ὄψα καθ' ἡμέραν ἀπέστελλεν αὐτῷ καὶ πέμματα, τέλος δὲ, τοὺς δοκοῦντας εἶναι δεινοτάτους ὀψοποιοὺς καὶ ἀρτοποιοὺς, ἔφη τούτων μηδὲν δεῖσθαι· βελτίονας γὰρ ὀψοποιοὺς ἔχειν ὑπὸ τοῦ παιδαγωγοῦ Λεωνίδου δεδομένους αὐτῷ· πρὸς μὲν τὸ ἄριστον, νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον, ὀλιγαριστίαν. Ὁ δ' αὐτὸς οὗτος ἀνὴρ (ἔφη) καὶ τῶν στρωμάτων ἐπιὼν τὰ ἀγγεῖα καὶ τῶν ἱ-

D ματίων ἔλυσεν, ἐπισκοπῶν μή τι μοι τρυφερὸν ἢ περιττὸν ἡ μήτηρ συντέθεικεν. ἦν δὲ καὶ πρὸς οἶνον ἧττον ἢ ἐδόκει καταφερής. ἔδοξε δὲ διὰ τὸν χρόνον, ὃν οὐ πίνων μᾶλλον ἢ λαλῶν εἷλκεν, ἐφ' ἑκάστης κύλικος ἀεὶ μακρόν τινα λόγον διατιθέμενος, καὶ ταῦτα, πολλῆς σχολῆς οὔσης. ἐπεὶ πρός γε τὰς πράξεις οὐκ οἶνος ἐκεῖνον, οὐχ ὕπνος, οὐ παιδιά τις, οὐ γάμος, οὐ θέα, καθάπερ ἄλλους στρατηγοὺς, ἐπέσχεν. δηλοῖ δὲ ὁ βίος, ὃν βιώσας βραχὺν παντάπασιν, πλείστων καὶ μεγίστων πράξεων ἐνέπλησεν. ἐν δὲ ταῖς σχολαῖς, πρῶ-

E τον μὲν ἀναστὰς καὶ θύσας τοῖς θεοῖς, εὐθὺς ἠρίστα καθήμενος· ἔπειτα διημέρευεν κυνηγῶν, ἢ συντάττων, ἢ δικάζων τι τῶν πολεμικῶν, ἢ ἀναγινώσκων. εἰ δὲ ὁδὸν βαδίζοι μὴ λίαν ἐπείγουσαν, ἐμάνθανεν ἅμα πορευόμενος ἢ τοξεύειν, ἢ ἐπιβαίνειν ἅρματος ἐλαυνομένου καὶ ἀποβαίνειν. πολλάκις δὲ παίζων, καὶ ἀλώπεκας ἐθήρευεν, καὶ ὄρνιθας, ὡς ἔστι λαβεῖν ἐκ τῶν ἐφημερίδων. καταλύσας δὲ καὶ τρεπόμενος πρὸς λουτρὸν ἢ ἄλειμμα, τοὺς ἐπὶ τῶν σιτοποιῶν καὶ μαγείρων ἀνέκρινεν εἰ τὰ πρὸς τὸ δεῖπνον εὐπρεπῶς ἔ-

F χουσι. καὶ δειπνεῖν μὲν ὀψὲ καὶ σκότους ἤδη κατακλινόμενος ἤρχετο· θαυμαστὴ δὲ ἦν ἡ ἐπιμέλεια καὶ περίβλεψις ἐπὶ τῆς τραπέζης, ὅπως μηδὲν ἀνίσως, μηδὲ ὀλιγώρως διανέμοιτο. τὸν δὲ πότον (ὥσπερ εἴρηται) μακρὸν ὑπὸ ἀδολεσχίας ἐξέτεινεν· καὶ, τἄλλα πάντων ἥδιστος ὢν βασιλέων συνεῖναι, καὶ χάριτος οὐδεμιᾶς ἀμοιρῶν, τότε ταῖς μεγαλαυχίαις ἀηδὴς ἐγίνετο

καὶ λίαν στρατιωτικὸς, αὐτός τι πρὸς τὸ κομπῶδες
ὑποφερόμενος, καὶ τοῖς κόλαξιν ἑαυτὸν ἀνειμένως
ἱππάσιμον, ὑφ᾽ ὧν οἱ χαριέστατοι τῶν παρόντων ἐπε-
τρίβοντο, μήτε ἁμιλλᾶσθαι τοῖς κόλαξι, μήτε λείπεσθαι
βουλόμενοι τῶν αὐτῶν ἐπαίνων. τὸ μὲν γὰρ, αἰσχρὸν ἐ-
δόκει, τὸ δὲ κίνδυνον ἔφερεν. μετὰ δὲ τὸν πότον λου-
σάμενος ἐκάθευδε πολλάκις μέχρι μέσης ἡμέρας· ἔ-
στιν δ᾽ ὅτε καὶ διημερεύετ᾽ ἐν τῷ καθεύδειν. αὐτὸς μὲν
οὖν καὶ ὄψων ἐγκρατὴς ἦν, ὥστε καὶ τὰ σπανιώτατα
πολλάκις τῶν ἀπὸ θαλάττης αὐτῷ κομιζομένων ἀ-
κροδρύων καὶ ἰχθύων, ἑκάστῳ διαπεμπόμενος τῶν ἑ-
ταίρων, πολλάκις ἑαυτῷ μόνῳ μηδὲν καταλιπεῖν. τὸ
μέντοι δεῖπνον ἦν ἀεὶ μεγαλοπρεπὲς, καὶ τοῖς εὐτυ-
χήμασι τῆς δαπάνης ἅμα συναυξανομένης, τέλος
εἰς μυρίας δραχμὰς προῆλθεν. ἐνταῦθα δὲ ἔστη, καὶ
τοσοῦτον ὡρίσθη τελεῖν τοῖς ὑποδεχομένοις Ἀλέξαν-
δρον. μετὰ δὲ τὴν μάχην τὴν ἐν Ἰσσῷ, πέμψας εἰς
Δαμασκὸν, ἔλαβεν τὰ χρήματα καὶ τὰς ἀποσκευὰς,
καὶ τὰ τέκνα καὶ τὰς γυναῖκας τῶν Περσῶν· καὶ πλεῖ-
στα μὲν ὠφελήθησαν οἱ τῶν Θετταλῶν ἱππεῖς· (τού-
τους γὰρ ἄνδρας ἀγαθοὺς διαφέροντας ἐν τῇ μάχῃ
γενομένους, ἔπεμψεν ἐπίτηδες ὠφεληθῆναι βουλό-
μενος) ἐνεπλήσθη δὲ καὶ τὸ λοιπὸν εὐπορίας στρατό-
πεδον. καὶ γευσάμενοι τότε πρῶτον οἱ Μακεδόνες
χρυσοῦ καὶ ἀργύρου καὶ γυναικῶν καὶ διαίτης βαρ-
βαρικῆς, ὥσπερ κύνες, ἔσπευδον ἀνιχνεύειν, ἴχνους ἁψάμενοι, στίβον,
διώκειν καὶ ἀνιχνεύειν τὸν Περσῶν πλοῦτον. οὐ μὴν
ἀλλ᾽ Ἀλεξάνδρῳ πρῶτον ἐδόκει κρατύνασθαι τὰ
πρὸς θαλάσσῃ. Κύπρον μὲν οὖν εὐθὺς οἱ βασιλεῖς
ἧκον ἐγχειρίζοντες αὐτῷ καὶ Φοινίκην, πλὴν Τύρου.
Τύρον δὲ πολιορκῶν ἑπτὰ μῆνας, χώμασι, καὶ μηχαναῖς
καὶ τριήρεσι διακοσίαις ἐκ θαλάττης, ὄναρ εἶδε τὸν
Ἡρακλέα δεξιούμενον αὐτὸν ἀπὸ τοῦ τείχους καὶ κα-
λοῦντα. τῶν δὲ Τυρίων πολλοῖς κατὰ τοὺς ὕπνους ἔ-
δοξεν ὁ Ἀπόλλων λέγειν ὡς ἄπεισι πρὸς Ἀλέξανδρον.
οὐ γὰρ ἀρέσκειν αὐτῷ τὰ πραττόμενα κατὰ τὴν πό-
λιν. ἀλλ᾽ αὐτοὶ μὲν, ὥσπερ ἄνθρωπον αὐτομολοῦν-
τα πρὸς τοὺς πολεμίους ἐπ᾽ αὐτοφώρῳ τὸν θεὸν εἰλη-
φότες, σειράς τε τῷ κολοσσῷ περιέβαλλον αὐτοῦ, καὶ
καθήλουν πρὸς τὴν βάσιν, Ἀλεξανδριστὴν καλοῦν-
τες. ἑτέραν δὲ ὄψιν Ἀλέξανδρος εἶδεν κατὰ τοὺς ὕπνους·
σάτυρος αὐτῷ φανεὶς ἐδόκει προσπαίζειν πόρρωθεν·
εἶτα βουλομένου λαβεῖν, ὑπεξέφυγεν. τέλος δὲ, πολ-
λὰ λιπαρήσαντος καὶ περιδραμόντος, ἦλθεν εἰς χεῖ-
ρας. οἱ δὲ μάντεις τοὔνομα διαιροῦντες, οὐκ ἀπιθά-
νως ἔφασαν αὐτῷ, Σὴ γενήσεται Τύρος. καὶ κρήνην
δέ τινα δεικνύουσιν, πρὸς ἣν κατὰ τοὺς ὕπνους ἰδεῖν ἔ-
δοξεν τὸν σάτυρον· διὰ μέσου δὲ τῆς πολιορκίας ἐπὶ
τοὺς Ἄραβας τοὺς προσοικοῦντας τῷ Ἀντιλιβάνῳ στρα-
τεύσας, ἐκινδύνευσεν διὰ τὸν παιδαγωγὸν Λυσί-
μαχον. ἐξηκολούθησε γὰρ αὐτῷ, λέγων τοῦ Φοίνικος οὐκ
εἶναι χείρων οὐδὲ πρεσβύτερος. ἐπεὶ δὲ πλησιάσας τοῖς
ὀρεινοῖς, καὶ τοὺς ἵππους ἀπολιπὼν, πεζὸς ἐβάδιζεν, οἱ
μὲν ἄλλοι πολὺ προῆλθον, αὐτὸς δὲ τὸν Λυσίμαχον, ἑσπέ-
ρας ἤδη καταλαμβανούσης, καὶ τῶν πολεμίων ἐγγὺς ὄν-
των, ἀπαγορεύοντα καὶ βαρυνόμενον οὐχ ὑπομένων
ἀπολιπεῖν, ἀλλ᾽ ἀνακαλούμενος καὶ παρακομίζων,
ἔλαθεν τοῦ στρατεύματος ἀποσπασθεὶς μετ᾽ ὀλίγων,

A castrensis: atque cum ipſe ad arrogantiam
delabebatur, tum mancipabat ſeipſum ad-
ulatoribus, à quibus optimi conuiuæ ob-
terebantur, qui neque certare volebant cum
adulatoribus, neque minus quàm illi cum
audebant prædicare. Hoc enim, periculum
adferebat, illud ducebant turpe. A pocu-
lis lautus conferebat ſe dormitum vſque in
meridiem ſubinde: interdum totum diem
cubabat. Fuit inſuper obſonij temperans:
ac rariſsimas ſæpe, quæ à mari ad ipſum af-
ferebantur, delicias fructuum arboreorum
B & piſcium cuique amicorum mittebat: ſibi
vni admodum nihil reſeruabat. Cœna erat
ſemper ſplendida tamen, atque vnà cum ſe-
cunda fortuna ſumptus aſſurgebat: poſtre-
mò ad decem millia drachmarum progreſ-
ſus eſt. Hîc ſubſtitit, tantæque impenſæ A-
lexandrum inuitantibus fuerunt præfinitæ.
Secundum pugnam ad Iſſum, Damaſcum
miſit ad pecuniam, ſarcinas, liberóſque &
coniuges Perſarum accipienda. Ingenti præ-
da ibi Theſſali equites potiti ſunt: (hos e-
C nim illuc, quòd eorum fortiſsima opera v-
ſus in prælio fuiſſet, ex compoſito, quò di-
teſcerent, miſit) cæterùm reliquus quoque
exercitus opulentia fuit repletus. Ibi Mace-
dones, primùm guſtato auro, argento, mu-
lieribus, & vita barbarica, ſicut canes olfa-
ctis veſtigiis, maturabant inſequi atque in-
ueſtigare Perſarum diuitias: at Alexandro
primum viſum eſt oram maritimam in po-
teſtatem ſuam redigere. Atque illi qui in Cy-
pro regnabant, venerunt ad inſulam ei de-
dendam, & Phœnicen, præter Tyrum. Eam
D vrbem dum per menſes ſeptem, aggeribus,
machinis atque ex mari triremibus ducentis
oppugnat, per quietem Herculem vidit ex
muro ſibi manus tendentem inuitantémque.
Tyriorum multis viſus in ſomnis A-
pollo eſt dicere, ad Alexandrum ſe tranſire.
neque enim ſibi cordi eſſe ea quæ in vrbe a-
gerentur. Illi verò Apollinis ſimulacrum, ſic-
ut transfugæ ſceleris comperti, deuinxere
catenis, clauiſque baſi aſfixere, Alexandri
fautorem appellantes. Alia ſpecies eſt no-
E ctu Alexandro obuerſata. Satyrus ei oblatus
eſt: viſus eſt hic procul ei alludere. Quem
quum corripere conaretur, ſubducere ſe:
tandem, poſt preces multas atque circum-
curſationes, venire in manus ſuas. Ei vates,
diſſecto nomine, non abſurdè reſponderunt,
Tua erit Tyrus. *quod* σὰ *Græcè* Tua *ſignificet.*
Oſtendunt etiam fontem apud quem vide-
re ſecundum quietem viſus eſt Satyrum.
Dum tenet obſidio, mouet in Arabas qui
Antilibanum accolunt. Ibi in periculum ve-
nit pædagogi cauſa Lyſimachi, qui comita-
F batur eum, iactans ſe Phœnice neque infe-
riorem neque ætate eſſe grauiorem: ſed poſt-
quam iam ad montana peruenit, ac relictis
equis, iter fecit pedibus, alij longè præceſſe-
rant, ipſe verò nocte ingruente, atque non
longè ab hoſtibus feriſcentem & defeſſum
haud ſuſtinens deſerere Lyſimachum, dum
excitat eum & trahit, ab exercitu impru-
dens cum paucis eſt diſtractus, noctémque

Ei apparuit, qui viſus eſt pr.
Fuga elabi: tan.
Sa erit Tyrus. σὰ Doricè pro σὴ.
Inclamat eum & deduxit, ab exer.

in tenebris & aeri gelu aſperis locis egit. Quum autem frequentes pyras apud hoſtes ſpaſſim lucentes videret, fretus corporis ſui agilitate, atque in partem ipſe laboris ſemper veniendo, perplexitatem Macedonum leniens, accurrit ad proximum ignem: barbariſque duobus, qui aſsidebant, gladio confoſsis, ac correpto titione rediit ad ſuos. Tum ingenti accenſo igne alios extemplo exterruerunt, vt fugam capeſſerent: alios, qui ipſos inuaſere, profligauerunt, ac tutam noctem tranſegere. Hæc ſcripta reliquit Chares.

Porro obſidio hunc habuit exitum. Dum exercitum penè totum reficit à ſuperioribus laboribus Alexander, paucos autem, ne reſpirarent hoſtes, mœnibus admouet, vates Ariſtāder victimis cæſis quum inſpiceret exta, confidentius "aſſeruit apud coronam, vrbem illo menſe haud dubiè expugnandam. Qua dictum eius ludibrio & riſu excipiente, quòd dies ea nouiſsima eſſet, cernēs rex perplexum, "fauénſque ſemper vaticiniis, iuſsit deinceps non trigeſimum illum diem, ſed vigeſimumoctauum menſis numerari: ſignóque tuba dato murum acrius, quàm ab initio inſtituerat, eſt adortus. Quum vrbs oppugnaretur impigrè, neque illi qui in caſtris erant quieſcerent, ſed concurrerent ad opem ferendam, "fracti Tyrij ſunt, vrbémque Alexander illo cepit die. Hinc circumſedenti Gazam, vrbem Syriæ maximam, gleba à ſuperuolante demiſſa alite, in humerum delapſa eſt. Auis in vna ex machinis conſidens, ſubitò neruleeis plagulis, quibus ad verſandos vtebantur funes, eſt irretita. Hoc portentum Ariſtandri prædictioni euentum habuit reſpondentem. nam accepit in humero Alexander vulnus, ſed vrbem cepit. Quum Olympiadi, Cleopatræ & amicis multa de præda mitteret, Leonidæ quoque miſit pædagogo thuris talenta quingenta, & myrrhę centum, "vbi ſpes puerilis ſubiit eum. Quippe Leonidas ingerenti in ſacrificio ambabus manibus & libanti thymiama Alexandro, Vbi potitus eris, inquit, regione odorifera, tum munificè adolebis, nunc modicè vtere præſentibus. Hîc ergo ſcripſit ei Alexander,
» Thus tibi & myrrham affatim miſimus, quo
» tādem deſinas eſſe in deos adſtrictus. Quum oblatum ei ſcrinium, quo nihil viſum pretioſius eſt iis qui Darij opes & ſarcinas in cuſtodiam accipiebant, rogauit amicos quid potiſsimum ex rebus charis in eo reponeret: aliis alia proponentibus, ipſe Iliada illius repoſitorio oſtendit ſe ſeruaturum. Hæc teſtes aſsidui non pauci confirmauere: ſi verò, quod Alexandrini commemorant, Heraclidis fide, verum eſt, haud otioſum vel inutilē apparet Homerum eum comitatum eſſe cōmilitonem. Ferunt enim eum, AEgypto recepta, amplam voluiſſe & populoſam Græcam vrbem condere, eíque indere nomen ſuum. Mox de architectorum cōſilio locum metato & cōplexo mira ſpecies nocte inſequenti eſt per quietem oblata. Vir venerāda

Aſſeruit præſentibus, vrb. Vel, circumſtantibus.

Fauénſque ſemper honori vaticiniorum.

Animos deſpōderunt Tyrii.

Suæ ſpei puerilis recordatus. Quippe L. Alexādro quum aliquādo in ſacr. amb. man. captos odores incendiſſet, Vbi pot.

A ἐν σκότει ἅμα καὶ ῥίγει σφοδρῷ νυκτερεύων ἐν χωρίοις χαλεποῖς. εἶδεν οὖν πόρρω πυρὰ πολλὰ καιόμενα σποράδην τῶν πολεμίων. θαρρῶν δὲ τοῦ σώματος τῇ κουφότητι, καὶ τῷ πονεῖν αὐτὸς ἀεὶ παραμυθούμενος τὴν ἀπορίαν τῶν Μακεδόνων, προσέδραμε τοῖς ἔγγιστα πῦρ καίουσι· καὶ περικαθημένους τῇ πυρᾷ δύο βαρβάρους πατάξας τῷ ἐγχειριδίῳ, καὶ δαλὸν ἁρπάσας, ἧκεν πρὸς τοὺς ἑαυτοῦ κομίζων. ἐγκαύσαντες δὲ πῦρ πολὺ, τοὺς μὲν εὐθὺς ἐφόβησαν, ὥστε φυγεῖν, τοὺς δ᾽ ἐπιόντας ἐτρέψαντο, καὶ κατηυλίσθησαν ἀκινδύνως.
B ταῦτα μὲν οὖν Χάρης ἱστόρηκεν. ἡ δὲ πολιορκία τοιοῦτον ἔσχε πέρας· Ἀλεξάνδρου τὸ μὲν πολὺ τῆς δυνάμεως ἀναπαύοντος ἀπὸ πολλῶν ἀγώνων τῶν ἔμπροσθεν, ὀλίγους δέ τινας, ὡς μὴ σχολάζοιεν οἱ πολέμιοι, τοῖς τείχεσι προσάγοντος, Ἀρίστανδρος ὁ μάντις ἐσφαγιάζετο. καὶ τὰ σημεῖα κατιδὼν, θρασύτερον διωρίσατο πρὸς τοὺς παρόντας, ἐν ἐκείνῳ τῷ μηνὶ πάντως ἁλώσεσθαι τὴν πόλιν. γενομένου δὲ χλευασμοῦ καὶ γέλωτος, (ἦν γὰρ ἡ τελευταία τοῦ μηνὸς ἡμέρα) διηπορημένον αὐτὸν ἰδὼν ὁ βασιλεὺς, καὶ συμφιλοτιμούμενος ἀεὶ τοῖς μαντεύμασιν,
C ἐκέλευε μηκέτι τριακάδα τὴν ἡμέραν ἐκείνην, ἀλλὰ τρίτην φθίνοντος ἀριθμεῖν. καὶ τῇ σάλπιγγι σημήνας, ἀπεπειρᾶτο τῶν τειχῶν ἐρρωμενέστερον ἤπερ ἐξ ἀρχῆς διενοήθη. γενομένης δὲ λαμπρᾶς ἐπιβολῆς, καὶ μηδὲ τῶν ἀπὸ στρατοπέδου καρτερούντων, ἀλλὰ συντρεχόντων καὶ προσβοηθούντων, ἀπεῖπον οἱ Τύριοι· καὶ τὴν πόλιν εἷλεν κατ᾽ ἐκείνην τὴν ἡμέραν. μετὰ δὲ ταῦτα πολιορκοῦντι Γάζαν αὐτῷ, τῆς Συρίας μεγίστην πόλιν, ἐμπίπτει βῶλος εἰς τὸν ὦμον, ἀφεθεὶς ἄνωθεν ὑπὸ ὄρνιθος. ὁ δὲ ὄρνις ἐφ᾽ ἓν τῶν μηχανημάτων καθίσας, ἔλαθεν ἐνσχεθεὶς
D τοῖς νευρίνοις κεκρυφάλοις, οἷς πρὸς τὰς ἐπιστροφὰς τῶν σχοινίων ἐχρῶντο. καὶ τὸ σημεῖον ἀπέβη κατὰ τὴν Ἀριστάνδρου πρόρρησιν· ἐτρώθη μὲν γὰρ Ἀλέξανδρος εἰς τὸν ὦμον, ἔλαβεν δὲ τὴν πόλιν. ἀποστέλλων δὲ πολλὰ τῶν λαφύρων Ὀλυμπιάδι καὶ Κλεοπάτρᾳ καὶ τοῖς φίλοις, κατέπεμψε καὶ Λεωνίδῃ τῷ παιδαγωγῷ τάλαντα λιβανωτοῦ πεντακόσια, καὶ σμύρνης ἑκατὸν, ἀναμνησθεὶς παιδικῆς ἐλπίδος. ὁ γὰρ Λεωνίδης (ὡς ἔοικεν) ἐν θυσίᾳ ποτὲ πρὸς τὸν Ἀλέξανδρον, ἐπιδραξάμενον ἀμφοτέραις ταῖς χερσὶν καὶ καθαγίσαντα τοῦ θυμιάματος, Ὅταν
E (ἔφη) τῆς ἀρωματοφόρου κρατήσῃς Ἀλέξανδρε, πλουσίως οὕτως ἐπιθυμιάσεις· νῦν δὲ φειδομένως χρῶ τοῖς παροῦσιν. τότε οὖν Ἀλέξανδρος ἔγραψε πρὸς αὐτόν, Ἀπέσταλκα μέν σοι λιβανωτὸν ἄφθονον καὶ σμύρναν, ὅπως παύσῃ πρὸς τοὺς θεοὺς μικρολογούμενος. κιβωτίου δέ τινος αὐτῷ προσενεχθέντος, οὗ πολυτελέστερον οὐδὲν ἐφαίνη τοῖς τὰ Δαρείου χρήματα καὶ τὰς ἀποσκευὰς παραλαμβάνουσιν, ἠρώτα τοὺς φίλους ὅ,τι δοκοίη μάλιστα τῶν ἀξίων σπουδῆς εἰς αὐτὸ καταθέσθαι. πολλὰ δὲ πολλῶν λεγόντων, αὐτὸς ἔφη τὴν Ἰλιάδα
F φρουρήσειν ἐνταῦθα καταθέμενος. καὶ ταῦτα μὲν οὐκ ὀλίγοι τῶν ἀξιοπίστων μεμαρτυρήκασιν· εἰ δ᾽ ὅπερ Ἀλεξανδρεῖς λέγουσιν, Ἡρακλείδῃ πιστεύοντες, ἀληθές ὄξιν, οὔκουν οὐκ ἀργὸς οὐδὲ ἀσύμβολος αὐτῷ συστρατεύειν ἔοικεν Ὅμηρος. λέγουσι γὰρ ὅτι τῆς Αἰγύπτου κρατήσας, ἐβούλετο πόλιν μεγάλην καὶ πολυάνθρωπον Ἑλληνίδα συνοικίσας, ἐπώνυμον ἑαυτοῦ καταλιπεῖν· καί τινα τόπον γνώμῃ τῶν ἀρχιτεκτόνων ὅσον οὐδέπω διεμετρεῖτο καὶ περιέβαλλεν. εἶτα νύκτωρ κοιμώμενος, ὄψιν εἶδεν θαυμαστήν. ἀνὴρ πολιὸς εὖ μάλα τὴν

κόμλω, καὶ γεραρὸς τὸ εἶδος, ἔδοξεν αὐτῷ παραστὰς λέγειν τὰ ἔπη τάδε,

Νῆσος ἔπειτά τις ἔστι πολυκλύστῳ ἐνὶ πόντῳ,
Αἰγύπτου προπάροιθε· Φάρον δέ ἑ κικλήσκουσιν.

Εὐθὺς οὖν ἐξαναστὰς ἐβάδιζεν ἐπὶ τὴν Φάρον, ἣ τότε μὲν ἔτι νῆσος ἦν, τοῦ Κανωβικοῦ μικρὸν ἀνωτέρω στόματος, νῦν δὲ διὰ χώματος ἀνείληπται πρὸς τὴν ἤπειρον. ὡς οὖν εἶδε τόπον εὐφυΐᾳ διαφέροντα, (ταινία γάρ ἐστιν ἰσθμῷ πλάτος ἔχοντι σύμμετρον ἐπιεικῶς διείργουσα, λίμνην τε πολλὴν καὶ θάλασσαν ἐν λιμένι μεγάλῳ τελευτῶσαν) εἰπὼν ὡς Ὅμηρος ἦν ἄρα τά τ' ἄλλα θαυμαστὸς, καὶ σοφώτατος ἀρχιτέκτων, ἐκέλευσε διαγράψαι τὸ σχῆμα τῆς πόλεως τῷ τόπῳ συναρμόττοντα. καὶ γῆ μὲν οὐ παρῆν λευκή· τῶν δ' ἀλφίτων λαμβάνοντες, ἐν πεδίῳ μελαγγείῳ κυκλοτερῆ κόλπον ἦγον, οὗ τὴν ἐντὸς περιφέρειαν εὐθεῖαι βάσεις, ὥσπερ ἀπὸ κρασπέδων εἰς σχῆμα χλαμύδος ὑπελάμβανον, ἐξ ἴσου συνάγουσαι τὸ μέγεθος. ἡσθέντος δὲ τῇ διαθέσει τοῦ βασιλέως, αἰφνίδιον ὄρνιθες ἀπὸ τοῦ ποταμοῦ καὶ τῆς λίμνης, πλήθει τε ἄπειροι, καὶ τῷ γένος παντοδαποὶ καὶ μεγάλοι, ἐπὶ τὸν τόπον καταίροντες, νέφεσιν ἐοικότες, οὐδὲ μικρὸν ὑπελίποντο τῶν ἀλφίτων· ὥστε καὶ τὸν Ἀλέξανδρον διαταραχθῆναι πρὸς τὸν οἰωνόν. οὐ μὴν ἀλλὰ καὶ τῶν μάντεων θαρρεῖν παραινούντων, (πολυαρκεστάτην γὰρ οἰκίζεσθαι πόλιν ὑπ' αὐτοῦ, καὶ παντοδαπῶν ἀνθρώπων ἐσομένην τροφὸν) ἔργου κελεύσας ἔχεσθαι τοὺς ἐπιμελητὰς, αὐτὸς ὥρμησεν εἰς Ἄμμωνος ὁδὸν μακρὰν, καὶ πολλὰ μὲν ἔχουσαν ἐργώδη καὶ ταλαίπωρα, κινδύνους δὲ δύο· τὸν μὲν, ἀνυδρίας, δι' ἣν ἔρημός ἐστιν οὐκ ὀλίγων ἡμερῶν· τὸν δὲ, εἰ λάβρος ἐν ἄμμῳ βαθείᾳ καὶ ἀχανεῖ πορευομένοις ἐπιπέσοι νότος· ὥς που καὶ πάλαι λέγεται περὶ τὸν Καμβύσου στρατὸν, ἀναστήσας θῖνα μεγάλην, καὶ κυματώσας τὸ πεδίον, μυριάδας ἀνθρώπων πέντε καταχῶσαι καὶ διαφθεῖραι. ταῦτα πάντα σχεδὸν πάντες ἐλογίζοντο· χαλεπὸν δὲ ἦν Ἀλέξανδρον ἀποστρέψαι πρὸς ὁτιοῦν ὡρμημένον. ἥ τε γὰρ τύχη ταῖς ἐπιβολαῖς ὑπείκουσα, τὴν γνώμην ἰσχυρὰν ἐποίει, καὶ τὸ θυμοειδὲς ἄχρι τῶν πραγμάτων ἐπέφερε τὴν φιλονεικίαν ἀήττητον, οὐ μόνον πολεμίους, ἀλλὰ καὶ τόπους καὶ καιροὺς καταβιαζομένην. ἐν γοῦν τῇ τότε πορείᾳ τὰ συντυχόντα ταῖς ἀπορίαις παρὰ τοῦ θεοῦ βοηθήματα, τῶν ὕστερον χρησμῶν ἐπιστεύθη μᾶλλον. τρόπον δέ τινα καὶ τοῖς χρησμοῖς ἡ πίστις ἐκ τούτων ὑπῆρξεν. πρῶτον μὲν γὰρ ἐκ Διὸς ὕδωρ πολὺ καὶ διαρκεῖς ὑετοὶ γενόμενοι, τόν τε τῆς δίψης φόβον ἔλυσαν, καὶ τὴν ξηρότητα κατασβέσαντες, τῆς ἄμμου νοτερᾶς γενομένης, καὶ πρὸς αὑτὴν συμπεσούσης, εὔπνουν τὸν ἀέρα καὶ καθαρώτερον παρέσχον. ἔπειτα τῶν ὅρων οἵπερ ἦσαν τοῖς ὁδηγοῖς, συγχυθέντων, καὶ πλάνης οὔσης καὶ διασπασμοῦ τῶν βαδιζόντων διὰ τὴν ἄγνοιαν, κόρακες ἐκφανέντες ὑπελάμβανον τὴν ἡγεμονίαν τῆς πορείας, ἑπομένων μὲν, ἔμπροσθεν πετόμενοι καὶ σπεύδοντες, ὑστεροῦντας δὲ καὶ βραδύνοντας ἀναμένοντες. ὃ δὲ ἦν θαυμασιώτατον, (ὡς Καλλισθένης φησὶν) ταῖς φωναῖς ἀνακαλούμενοι τοὺς πλανωμένους νύκτωρ, καὶ κλάζοντες, εἰς ἴχνος καθίστασαν τῆς πορείας.

A canicie atque facie viſus eſt ei aſsiſtens hæc carmina promere,

Exinde undoſo quædam iacet inſula ponto
AEgypto prætexta, Pharum quam nomine dicunt.

Ac confeſtim ſurgens perrexit ad Pharum, quæ id temporis inſula adhuc erat paulo ſupra Canobicum oſtium, nunc cum continẽte commiſſa eſt aggere. Vt loci præcellens viſa eſt commoditas (eſt enim longa ceruice ſatis patenti laxam diſterminans paludem, B terminánſque in ſpatioſum portum mare) Homerum dixit cum cætera eximium, tum prudentiſsimum eſſe architectum, iuſsitque formam vrbis delineari loco congruentem. Quia verò ad manum non erat creta, polenta in campo nigro vſi, ad effigiẽ metati ſunt chlamydis orbe gyrato lacinioſæ ſinum, cuius eſſet ab directis baſibus æquabilis procurſus. Hæc deſcriptio quum regi placeret, aues repentè à flumine & lacu innumero grege C omniſque generis & grandes, inſtar nubium, eum in locum delatæ polentam ſunt omnem depaſtæ. Quo augurio " obtorpeſcẽti Alexãdro augures animũ dedere. quippe copioſam vrbem oſtenderunt ab eo condi, multarúmque nationum futuram alumnam. Tunc inſtare operi, quibus id demãdauerat, iuſsis, ad Ammonis oraculum profectus eſt. Iter prolixum erat, ac cũ multorum laborum ærumnarúmque plenum, tum cum duobus coniunctum periculis: vnc, ob aquæ D penuriam, propter quam deſolata regio non paucorũ dierum itinere eſt: altero, ſi procelloſus in alto & vaſto ſabulo progredientes Auſter occupauerit: vt quondam dicitur Cãbyſis exercitui accidiſſe, quum arenæ ingentem cumulum excitauit, voluitque per campum fluctus, vt quinquaginta millia capitum obruerit oppreſſeritque. Cuncta hęc reputabant ferè omnes: cęterùm arduum erat, Alexandrum, quocunque intendiſſet, ab eo deflectere. Siquidem & fortuna cœptis aſpirãs animum eius firmabat, animíque magnitu- E do vſque ad facta progrediebatur peruicacia inuicta, quæ non hoſtibus modò, ſed locis etiam & temporibus afferret vim. Quas illo in itinere difficultatibus eius dii opes attulerunt, hæ quàm inſequuta oracula fidem meruere maiorem: imò oraculis hæ quodammodo fidem aſtruxere. Primùm enim cæleſtes aquæ & largi excuſsi imbres, ſitis timorem diſcuſſerunt, ariditatéque extincta ſabuli irrigati & iam compactioris, liquidum aera reddiderunt & F puriorem. Deinde " confuſis, quibus duces itineris vtebantur, notis, quum erraret agmen per ignorantiam atque ab itinere deflecteret, corui oblati duces ſe præbuerũt. Si agmen ſequebatur, incitatis antecedebant pennis: ſin incederet lentius & tardius, opperiebãtur. Quod verò miraculũ ſuperabat omne (vt autor eſt Calliſthenes) vocibus & crocitu, ſiqui nocte aberrarent, hos reuocabãt atque ad veſtigiũ viæ reducebant.

Quum perturbatus eſſet Alexander.

Conf. metis quæ ducibus itineris propoſitæ erant. Vel quas ſibi proponebant.

Vt emenſus ſolitudinem, quò tendebat venit, vates Ammonis eum dei nomine vt parentis ſalutauit. Ille quæſiuit an interfectores parentis ſui omnes pœnas dediſſent. Cui vates, Dij meliora, inquit: neque enim tuus mortalis parens eſt. " Ita varians rogauit, omnéſne Philippi puniuiſſet percuſſores. Hinc de imperio, an dominatū ſibi omnium gentium concederet. Quum deus oſtendiſſet & hoc annuere ſe, & Philippi peractam plenè vltionem, deum magnificis donis & ſacerdotes honorauit pecunia. Hæc de oraculis tradunt plerique. Ipſe in epiſtola ad matrem Alexander ſortes quaſdam ſibi ait arcanas redditas, quas reuerſus ſoli ei relaturus eſſet. Sunt qui dictitant vatē, quum appellare comiter Alexandrum Græcè vellet, Ὦ παιδίον, *id eſt Filiole*, poſtremam ſyllabam, vt barbarum, per ς pronuntiaſſe, ac dixiſſe Ὦ παιδίος, loco ν » vſurpantem ς: " neque inuito claudicaſſe in » voce Alexandro, increbuiſſéque ſermonem, Iouis eum à deo appellatum filium. Perhibetur etiam, quum Pſammonem philoſophū audiuiſſet in AEgypto, ex dictis eius hoc præcipuè probaſſe, omnes mortales à deo regi, quippe quod in quaque re imperat & dominatur, eſſe diuinum. Et verò opinionem habuiſſe eum de his " multo ſapientiorē, ac pronuntiaſſe, cunctorum quidem eſſe mortaliū deum communem parentem, ſed peculiariter ſibi adoptare optimum quenque. Omnino aduerſus barbaros inflatus erat, & mirè præ ſe ferebat " probatum ſibi ortum & ſtirpem ſuam diuinam: ad Græcos verò diuinitatem vſurpabat modicè & parcius: extra- » quam ſcribens de Samo Athenienſibus, » Equidem liberam vobis, inſit, vrbem tam » claram non donauerim: verùm eam bene- » ficio tenetis illius qui tunc dominus & parens meus appellabatur; Philippum ſignificans. Poſtea ſagitta ictus atque ingenti preſſus dolore, Hic (amici) inquit, qui fluit, ſanguis, eſt humanus, non talis

-diuis ut ſolitus manare beatis.

Quum aliquādo per magna tonitrua omnibus conſternatis, ſophiſta Anaxarchus, qui » apud eum erat, diceret ei, Num quid tu tale » Iouis fili? Ridens ille, Nolo verò, inquit, » formidoloſus eſſe, ſicut tu me vis, amicis: qui cœnam faſtidis meam, quòd piſces videas in menſis, non ſatraparum capita appoſita. Siquidem vera fama eſt Anaxarchum miſsis à rege Hephæſtioni piſciculis dictum illud iactaſſe, quaſi contemnentem deridentémque eos qui magnis laboribus & periculis venantur ſpecioſa, quum nihil aut parum in deliciis & voluptatibus habeant præ aliis præcipui. Ex iis ergo quæ commemorauimus, liquet nihil ſibi illum perſuaſiſſe vani, aut inflatum fuiſſe, verùm intendiſſe diuinitatis opinione reddere ſibi obnoxios alios. In Phœniciam ex AEgypto regreſſus, diis honorem habuit, pompáſque egit: chorum etiam encyclium, & tragicorum agonas concertationibus etiam, nedū apparatu, celebres. Quippe fuerunt Cypriorum reges choragi, ſicut apud Athenienſes ſorte ex tribubus electi.

Tum ſermone mutato rog.

Libêter autem Alexandrū errorem hunc vocis audiuiſſe, increb.

Multo magis philoſophis conuenientem. Vel, magis philoſopho dignū

Perſuaſum ſibi eſſe quod de ſuo ortu diuino diceretur: ad Gr.

A ἐπεὶ δὲ διεξελθὼν τὴν ἔρημον ἧκεν εἰς τὸν τόπον, ὁ μὲν προφήτης αὐτὸν ὁ Ἄμμωνος, ἀπὸ τοῦ θεοῦ χαίρειν ὡς ἀπὸ πατρὸς, προσεῖπεν· ὁ δὲ ἐπήρετο μή τις αὐτὸν εἴη διαπεφευγὼς τῶν τοῦ πατρὸς φονέων. εὐφημεῖν δὲ τοῦ προφήτου κελεύσαντος, (οὐ γὰρ εἶναι πατέρα θνητὸν αὐτῷ) μεταβαλὼν ἐπυνθάνετο τοὺς Φιλίππου φονεῖς εἰ πάντας εἴη τετιμωρημένος. εἶτα περὶ τῆς ἀρχῆς, εἰ πάντων αὐτῷ δίδωσιν ἀνθρώπων κυρίῳ γενέσθαι. χρήσαντος δὲ τοῦ θεοῦ καὶ τοῦτο διδόναι, καὶ Φίλιππον ἀπέχειν ἐντελῆ τὴν δίκην, ἐδωρεῖτο τὸν θεὸν ἀναθήμασι λαμπροῖς, καὶ χρήμασι τοὺς ἀνθρώπους. B ταῦτα περὶ τῶν χρησμῶν οἱ πλεῖστοι γράφουσιν· αὐτὸς δὲ Ἀλέξανδρος ἐν ἐπιστολῇ πρὸς τὴν μητέρα, φησὶ γεγονέναι τινὰς αὐτῷ μαντείας ἀπορρήτους, ἃς αὐτὸς ἐπανελθὼν φράσει πρὸς μόνην ἐκείνην. ἔνιοι δέ φασι, τὸν μὲν προφήτην, ἑλληνιστὶ βουλόμενον προσειπεῖν μετά τινος φιλοφροσύνης, Ὦ παιδίον, ἐν τῷ τελευταίῳ τῶν φθόγγων, ὑπὸ βαρβαρισμοῦ πρὸς τὸ σίγμα ἐξενεχθῆναι, καὶ εἰπεῖν, Ὦ παιδίος, ἀντὶ τοῦ ν, τῷ σ χρησάμενον. ἀσμένῳ δὲ τῷ Ἀλεξάνδρῳ τὸ C σφάλμα τῆς φωνῆς γενέσθαι, καὶ διαδοθῆναι λόγον, ὡς παῖ Διὸς αὐτὸν τοῦ θεοῦ προσειπόντος. λέγεται δὲ καὶ Ψάμμωνος ἐν Αἰγύπτῳ τοῦ φιλοσόφου διακούσας, ἀποδέξασθαι μάλιστα τῶν λεχθέντων, ὅτι πάντες ἄνθρωποι βασιλεύονται ὑπὸ θεοῦ. τὸ γὰρ ἄρχον ἐν ἑκάστῳ καὶ κρατοῦν, θεῖόν ἐστιν. ἔτι δὲ μᾶλλον αὐτὸς περὶ τούτων φιλοσοφώτερον δοξάζειν, καὶ λέγειν, ὡς πάντων μὲν ὄντα κοινὸν ἀνθρώπων πατέρα, τὸν θεὸν, ἰδίους δὲ ποιούμενον ἑαυτοῦ τοὺς ἀρίστους. καθόλου δὲ πρὸς μὲν τοὺς βαρβάρους σοβαρὸς ἦν, καὶ σφόδρα D πεπεισμένῳ περὶ τῆς ἐκ θεοῦ γενέσεως καὶ τεκνώσεως ὅμοιος, τοῖς δὲ Ἕλλησι μετρίως καὶ ὑποφειδόμενος ἑαυτοῦ ἐξεθείαζεν. πλὴν περὶ Σάμου γράφων Ἀθηναίοις, Ἐγὼ μὲν οὐκ ἂν (φησὶν) ὑμῖν ἐλευθέραν πόλιν ἔδωκα καὶ ἔνδοξον· ἔχετε δὲ αὐτὴν λαβόντες παρὰ τοῦ τότε κυρίου καὶ πατρὸς ἐμοῦ προσαγορευομένου. λέγων τὸν Φίλιππον. ὕστερον δὲ πληγῇ περιπεσὼν ὑπὸ τοξεύματος, καὶ περιαλγὴς γενόμενος, Τοῦτο μὲν (εἶπεν) ὦ φίλοι τὸ ῥέον, αἷμα, καὶ οὐκ ἰχὼρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν. ἐπεὶ δὲ μεγάλης ποτὲ βροντῆς γενομένης, E καὶ πάντων ἐκπλαγέντων, Ἀνάξαρχος ὁ σοφιστὴς παρὼν ἔφη πρὸς αὐτὸν, Μή τι σὺ τοιοῦτον ὁ τοῦ Διός; γελάσας ἐκεῖνος, Οὐ βούλομαι γὰρ (εἶπεν) φοβερὸς εἶναι τοῖς φίλοις, ὥσπερ σύ με κελεύεις, ὁ καταφαυλίζων μου τὸ δεῖπνον, ὅτι ταῖς τραπέζαις ἰχθύας ὁρᾷς ἐπικειμένους, οὐ σατραπῶν κεφαλάς. τῷ γὰρ ὄντι λέγεται τὸν Ἀνάξαρχον, ἰχθυδίων Ἡφαιστίωνι πεμφθέντων ὑπὸ τοῦ βασιλέως, τὸν προειρημένον ἐπιφθέγξασθαι λόγον, οἷον ἐξευτελίζοντα καὶ κατειρωνευόμενον τοὺς τὰ περίβλεπτα μεγάλοις πόνοις καὶ κινδύνοις διώκοντας, ὡς F οὐδὲν ἢ μικρὸν ἐν ἡδοναῖς καὶ ἀπολαύσεσι πλέον ἔχοντας τῶν ἄλλων. ὅ γ᾽ οὖν Ἀλέξανδρος καὶ ἀπὸ τῶν εἰρημένων δῆλός ἐστιν αὐτὸς οὐδὲν πεπονθὼς, οὐδὲ τετυφωμένος, ἀλλὰ τοὺς ἄλλους καταδουλούμενος τῇ δόξῃ τῆς θειότητος. εἰς δὲ Φοινίκην ἐπανελθὼν ἐξ Αἰγύπτου, θυσίας τοῖς θεοῖς καὶ πομπὰς ἐπετέλει, καὶ χορῶν ἐγκυκλίων καὶ τραγικῶν ἀγῶνας, οὐ μόνον ταῖς παρασκευαῖς ἀλλὰ καὶ ταῖς ἁμίλλαις λαμπροὺς γενομένους. ἐχορήγουν γὰρ οἱ βασιλεῖς τῶν Κυπρίων, ὥσπερ Ἀθήνησιν οἱ κλη-

ρούμενοι τὰς φυλάς· καὶ ἠγωνίζοντο θαυμαστῇ φιλοτιμίᾳ πρὸς ἀλλήλους. μάλιστα δὲ Νικοκρέων ὁ Σαλαμίνιος καὶ Πασικράτης ὁ Σόλιος διεφιλονείκησαν. οὗτοι γὰρ ἔλαχον τοῖς ἐνδοξοτάτοις ὑποκριταῖς χορηγεῖν, Πασικράτης μὲν, Ἀθηνοδώρῳ, Νικοκρέων δὲ, Θεσσαλῷ, περὶ ὃν ἐσπουδάκει καὶ αὐτὸς Ἀλέξανδρος. οὐ μὴν διέφηνε τὴν σπουδὴν πρότερον ἢ ταῖς ψήφοις ἀναγορευθῆναι νικῶντα τὸν Ἀθηνόδωρον. τότε δὲ (ὡς ἔοικεν) ἀπιὼν, ἔφη τοὺς μὲν κριτὰς ἐπαινεῖν, αὐτὸς μέντοι μέρος ἂν ἡδέως προέσθαι τῆς βασιλείας ἐπὶ τῷ μὴ Θεσσαλὸν ἰδεῖν νενικημένον. ἐπεὶ δὲ Ἀθηνόδωρος ὑπὸ τῶν Ἀθηναίων ζημιωθεὶς ὅτι πρὸς τὸν ἀγῶνα τῶν Διονυσίων οὐκ ἀπήντησεν, ἠξίου γράψαι περὶ αὐτοῦ τὸν βασιλέα, τοῦτο μὲν οὐκ ἐποίησεν, τὴν δὲ ζημίαν ἀπέστειλεν παρ' ἑαυτοῦ. Λύκωνος δὲ τοῦ Σκαρφέως εὐημεροῦντος ἐν τῷ θεάτρῳ, καὶ στίχον εἰς τὴν κωμῳδίαν ἐμβαλόντος, αἴτησιν περιέχοντα δέκα ταλάντων, γελάσας ἔδωκεν. Δαρείου δὲ πέμψαντος ἐπιστολὴν πρὸς αὐτὸν, καὶ φίλους δεομένους μύρια μὲν ὑπὲρ τῶν ἑαλωκότων λαβεῖν τάλαντα, τὴν δ' ἐντὸς Εὐφράτου πᾶσαν ἔχοντα, καὶ γήμαντα μίαν τῶν θυγατέρων, φίλον εἶναι καὶ σύμμαχον, ἐκοινοῦτο τοῖς ἑταίροις. καὶ Παρμενίωνος εἰπόντος, Ἐγὼ μὲν, εἰ Ἀλέξανδρος ἤμην, ἔλαβον ἂν ταῦτα, Κἀγὼ νὴ Δία (εἶπεν ὁ Ἀλέξανδρος) εἰ Παρμενίων. πρὸς δὲ τὸν Δαρεῖον ἔγραψεν, ὡς οὐδενὸς ἀτυχήσει τῶν φιλανθρώπων ἐλθὼν πρὸς αὐτόν· εἰ δὲ μὴ, αὐτὸς ἐπ' ἐκεῖνον ἤδη πορεύεσθαι. ταχὺ μέντοι μετεμελήθη, τῆς τοῦ Δαρείου γυναικὸς ἀποθανούσης ἐν ὠδῖσι· καὶ φανερὸς ἦν ἀνιώμενος, ὡς ἐπίδειξιν οὐ μικρὰν ἀφῃρημένος χρηστότητος. ἔθαψεν οὖν τὴν ἄνθρωπον, οὐδεμιᾶς πολυτελείας φειδόμενος. τῶν δὲ θαλαμηπόλων τις εὐνούχων, οἱ συνεαλώκεισαν ταῖς γυναιξὶν, ἀποδρὰς ἐκ τοῦ στρατοπέδου, καὶ πρὸς Δαρεῖον ἀφιππασάμενος, Τείρεως ὄνομα, φράζει τὸν θάνατον αὐτῷ τῆς γυναικός. ὡς δὲ πληξάμενος τὴν κεφαλὴν καὶ ἀνακλαύσας, Φεῦ τοῦ Περσῶν (ἔφη) δαίμονος, εἰ τὴν βασιλέως γυναῖκα καὶ ἀδελφὴν, οὐ μόνον αἰχμάλωτον γενέσθαι ζῶσαν, ἀλλὰ καὶ τελευτήσασαν, ἄμοιρον κεῖσθαι ταφῆς βασιλικῆς· ὑπολαβὼν ὁ θαλαμηπόλος, Ἀλλὰ ταφῆς γε χάριν (εἶπεν) ὦ βασιλεῦ, καὶ τιμῆς ἁπάσης καὶ τοῦ πρέποντος, οὐδὲν ἔχεις αἰτιᾶσθαι τὸν πονηρὸν δαίμονα Περσῶν. οὔτε γὰρ ζώσῃ τῇ δεσποίνῃ Στατείρᾳ, καὶ μητρὶ σῇ, καὶ τέκνοις, ἐνέδει τῶν πρόσθεν ἀγαθῶν καὶ καλῶν, ἢ τὸ σὸν ὁρᾶν φῶς (ὃ πάλιν ἀναλάμψει λαμπρὸν ὁ κύριος Ὠρομάσδης) οὔτε ἀποθανοῦσα κόσμου τινὸς ἄμοιρος γέγονεν, ἀλλὰ καὶ πολεμίων τετίμηται δάκρυσιν. οὕτω γάρ ἐστι χρηστὸς κρατήσας Ἀλέξανδρος, ὡς δεινὸς μαχόμενος. ταῦτα ἀκούσαντα Δαρεῖον ἡ ταραχὴ καὶ τὸ πάθος ἐξέφερον πρὸς ὑποψίας ἀτόπους· καὶ τὸν εὐνοῦχον ἐνδοτέρω τῆς σκηνῆς ἀπαγαγὼν, Εἰ μὴ καὶ σὺ μετὰ τῆς Περσῶν (ἔφη) τύχης μακεδονίζεις, ἀλλ' ἔτι σοὶ δεσπότης ἐγὼ Δαρεῖος, εἰπέ μοι, σεβόμενος Μίθρου τε φῶς μέγα καὶ δεξιὰν βασίλειον, ἆρα μὴ τὰ μικρότατα τῶν Στατείρας κλαίω κακῶν, οἰκτρότερα δὲ ζώσης ἐπάσχομεν, καὶ μᾶλλον ἂν κατ' ἀξίαν ἐδυστυχοῦμεν, ὠμῷ καὶ σκυθρωπῷ περιπεσόντες ἐχθρῷ; τί γὰρ εὐπρεπὲς ἀνδρὶ νέῳ πρὸς ἐχθροῦ γυναῖκα μέχρι τιμῆς τοσαύτης συμβόλαιον; ἔτι λέ-

A Certauerunt mira inter ſe contentione, Nicocreon pręſertim Salaminius & Paſicrates Solius ſtudio decertauere acri: quando his ſorte euenerat vt hiſtriones maximè conſpicuos exhiberent: Paſicrates Athenodorum, Theſſalum, cui ipſe fauebat Alexāder, Nicocreon. Non antè detexit tamen ſtudiū ſuum quàm ſuffragiis victor eſſet renuntiatus Athenodorus. Tūc verò in digreſſu laudare ait iudices ſe: ſed maluiſſe portionis regni facere iacturā, quàm vidiſſe Theſſalum victum. Quum eſſet Athenodoro ab Athe-
B nienſibus mulcta dicta, quòd ad Bacchanalium ludos non occurriſſet, atque à rege ille, vt pro ſe deprecaretur literis, poſtulaſſet, id ei denegauit, ſed mulctam miſit de ſuo. Quum Lycon Scarphenſis in theatro placeret, intexuiſſetq; in comœdia verſum, qui petitionem continebat decem talentûm, arridens largitus eſt ea. Miſſa à Dario ad Alexandrum epiſtola & amicis, qui orarent vt pretio decem millium talentûm redderet ſibi captiuos, offerrétque ad amicitiam
C eius & ſocietatem impetrandam, quicquid terrarum citrà Euphratem eſſet, atque vnius filiarum ſuarum nuptias, retulit id ad conſilium amicorum. Quum Parmenio diceret, „Equidem, ſi Alexander eſſem, has conditio„nes acciperem: Et ego quoque hercule, in„quit Alexander, ſi Parmenio eſſem. Dario verò reſcripſit, ſi ad ſe veniſſet, omni genere humanitatis ſe eum proſequuturum; ſin minus, moturum in illum. Breui tamen pœnituit eum, mortua ex partu Darij vxore: nec diſſimulauit dolorem, quòd magna demō-
D ſtrandæ clementiæ eſſet occaſione fraudatus. Extulit autem eam immēſo ſumptu. At è ſpadonibus, qui circa reginam erant cum fœminis capti, elapſus ex caſtris vnus eſt Tireus nomine. Hic, equum nactus & ad Darium profectus, mortem nuntiat ei coniu„gis ſuæ. qui quum caput offenſans eiulānſq; „diceret, Hem Perſarum fortunam: regiſne „coniugem & ſororem non tantùm viuam „captam, ſed & defunctam, regiarum exe„quiarum iacere expertem? Excipiens cubi-
E „cularius, Atqui exequiarum nomine, inquit, „rex, omniſque honoris & ornamenti, nihil „eſt quòd fortunam Perſarum malignam in„cuſes. Nihil enim viuæ dominæ Statiræ, vel matri tuæ liberiſque, ex priſtina fortuna abfuit, niſi tuum videre lumen (quod iterum illuſtrabit ſummus Oromaſdes) nec ornatus mortuæ defuit vllus. Imò hoſtium quoque decorata eſt lacrymis. quippe ità eſt indulgens victor Alexander, vt bellator acris. Hæc audientem Darium cōſternatio & do-
F lor animi ad ſuſpiciones detorſerunt abſonas: qui abducto in tabernaculum interius Tireo, Niſi tu quoque cum Perſarū, inquit, fortuna pro Macedonibus facis, ſed ſi vlla tibi supereſt regis reuerentia tui, noli me celare per ſolis ingens iubar & regiam dexteram, num minimam partem deploro Statiræ calamitatum, quæ viua magis noſtra miſeranda fortuna erat, minúſque dolēda pro noſtra maieſtate aſperitas eius eſſet, ſi in hoſtem incidiſſemus ſæuiorem & triſtiorem.

Sed ego Dar. tibi adhuc ſum dominus, dic mihi, lumen Miſthræ magnū & regiam dextrā reueritus, nonnè min.

Quódnam enim iuueni cum hoſtis vxore vſque ad tantos honores commercium honeſtum? Nondum finierat ille ſermonẽ, quũ ad pedes eius Tireus abiecit ſe, ac ſupplex petiit, abſtineret iis verbis, neque Alexandrũ afficeret iniuria, néve defunctam ſororem & coniugem conſpurcaret, néve maximam ſibi omnis aduerſitatis præcideret conſolationẽ, quòd à viro eſſet humana ſorte maiore ſuperatus: verùm ſuſpiceret etiam Alexandrum, qui Perſarum vxoribus continentiam quàm virtutem oſtendiſſet Perſis maiorem. Simul horrenda ſacramenta Tireus hiſce de rebus concepit, moderationémque & animi celſitudinem reliquam Alexandri commemorauit. Tum progreſſus ad amicos Darius, atq; ad cęlum manus tendens, haſce fudit preces, Dij patrij & regnorum pręſides, primùm mihi concedite vt fortunam Perſarum in gradum reſtitutam, quo eam accepi ſplendorẽ, relinquam: quò Alexandro gratiam referam eorum quæ in meo aduerſo caſu chariſsimis meis præſtitit pignoribus. Quòd ſi fato hoc adeſt tempus deorum inuidiæ & rerum viciſſitudini præfinitũ, de Perſarum regno vt ſit tranſactum, nequis mortalium alius in Cyri ſolio ſedeat quàm Alexander. Hæc ita geſta & dicta plerique ſcriptores tradunt. At Alexander omni cis Euphratem ſubacta Aſia, ſigna in aduentantem Darium decies centenis millibus militum mouit. Hîc ex amicis quidam retulit ei pro ridiculo, ſeruitia, quæ caſtra ſequebantur, per ludum ſe in duas partes diuiſiſſe. vtrique eſſe ducem & imperatorem, vni Alexandrum, alteri ab iis nuncupatum Darium. cœpiſſe glebis inter ſe velitari, mox pugnis: tandem exarſiſſe certamine, atque ad lapides ſudéſque multos progreſſos, nec dirimi eos facilè potuiſſe. Quod vbi accepit, ipſos iuſsit ſolos congredi duces. Alexandrũ ipſe armauit, Philotas Darium. Spectauit exercitus pugnam, omẽ ex euentu capturus. Acri conſerta pugna, ille qui Alexander dicebatur tulit palmam, donóque duodecim vicos & ius ſtola Perſica vtendi accepit. Hoc ſcriptũ reliquit Eratoſthenes. Magnum cum Dario prælium non apud Arbela, (vt multi prodidere) ſed fuit apud Gauſamela commiſſum. Eam vocem denotare domum cameli aiũt, quòd rex quidam olim, qui hoſtes effugerat camelo dromade, hoc loco locauerit eum, certis vicis vectigalibuſque ad curã eius attributis. Porrò luna menſe Boedromione defecit ſub initium myſteriorum, vt ea Athenis agunt. Vndecimo à defectione die, quum exercitus vtrinque in conſpectu eſſent, continuit Darius copias ſuas in armis, ad faces ordines ſuos luſtrans. Alexander, quieſcẽtibus Macedonibus, cum vate Ariſtandro egit pro tabernaculo ſuo ſacris quibuſdam arcanis operans, atque Apollini immolans. Maiores natu amici eius, Parmenio potiſsimùm, vt campum interiacentem inter amnem Niphatẽ montéſque Gordiæos barbaricis luminibus omnem cõtemplati ſunt collucere, incõdita autem & confuſa vox ſtrepitúſque horrendus ab exercitu velut ex vaſto reſonabat pelago, multitudi-

Fortitudinem.

Vt finem capiat regnum Perſ.

A γοντος αὐτοῦ, καταβαλὼν ἐπὶ τοὺς πόδας Τείρεως αὐτὸν, ἱκέτευεν εὐφημεῖν, καὶ μήτε Ἀλέξανδρον ἀδικεῖν, μήτε τὴν τεθνεῶσαν ἀδελφὴν καὶ γυναῖκα καταισχύναι· μήτε αὑτοῦ τὴν μεγίστην ὧν ἔπταικεν ἀφαιρεῖσθαι παραμυθίαν, τὸ δοκεῖν ὑπ' ἀνδρὸς ἡττῆσθαι κρείττονος ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν· ἀλλὰ καὶ θαυμάζειν Ἀλέξανδρον, ὡς πλείονα ταῖς Περσῶν γυναιξὶν σωφροσύνην ἢ Πέρσαις ἀνδρείαν ἐπιδεδειγμένον. ἅμα δὲ ὅρκους τε φρικώδεις τοῦ θαλαμηπόλου κινοῦντος ὑπὲρ τούτων, καὶ περὶ τῆς ἄλλης ἐγκρατείας καὶ με-
B γαλοψυχίας τοῦ Ἀλεξάνδρου λέγοντος, ἐξελθὼν πρὸς τοὺς ἑταίρους ὁ Δαρεῖος, καὶ χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν, ἐπεύξατο, Θεοὶ γενέθλιοι καὶ βασίλειοι, μάλιστα μὲν ἐμοὶ διδοίητε τὴν Περσῶν τύχην εἰς ὀρθὸν αὖθις σταθεῖσαν, ἐφ' οἷς ἐδεξάμην ἀγαθοῖς, ἀπολιπεῖν, ἵνα κρατήσας, ἀμείψωμαι τὰς Ἀλεξάνδρου χάριτας, ὧν εἰς τὰ φίλτατα πταίσας ἔτυχον. εἰ δ' ἄρα τις ἥκει εἱμαρτὸς ἤκει χρόνος ὀφειλόμενος νεμέσει καὶ μεταβολῇ παύσασθαι τὰ Περσῶν, μηδεὶς ἄλλος ἀνθρώπων καθίσειεν εἰς τὸν Κύρου θρόνον πλὴν Ἀλεξάνδρου. ταῦ-
C τα μὲν οὕτω γενέσθαι τε καὶ λεχθῆναι φασὶν οἱ πλεῖστοι τῶν συγγραφέων. Ἀλέξανδρος δὲ τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ὑφ' ἑαυτῷ ποιησάμενος, ἤλαυνεν ἐπὶ Δαρεῖον, ἑκατὸν μυριάσι στρατοῦ καταβαίνοντα. καί τις αὐτῷ φράζει τῶν ἑταίρων, ὡς δὴ γέλωτος ἄξιον πρᾶγμα, τοὺς ἀκολούθους παίζοντας, εἰς δύο μέρη διῃρημένους σφᾶς αὐτοὺς, ὧν ἑκατέρου στρατηγὸν εἶναι καὶ ἡγεμόνα, τὸν μὲν, Ἀλέξανδρον, τὸν δὲ, Δαρεῖον ὑπ' αὐτῶν προσαγορευόμενον. ἀρξαμένους δὲ βώλοις ἀκροβολίζεσθαι πρὸς ἀλλήλους, εἶτα πυγμαῖς, τέλος ἐκκεκαῦσθαι τῇ
D φιλονεικίᾳ, καὶ μέχρι λίθων καὶ ξύλων πολλοὺς δυσκαταπαύστους γεγονότας. ταῦτα ἀκούσας, ἐκέλευσεν αὐτοὺς μονομαχῆσαι τοὺς ἡγεμόνας, καὶ τὸν μὲν Ἀλέξανδρον αὐτὸς ὥπλισεν, τὸν δὲ Δαρεῖον Φιλώτας· ἐθεᾶτο δὲ ὁ στρατὸς, ἐν οἰωνῷ τινι τοῦ μέλλοντος τιθέμενος τὸ γιγνόμενον. ἰσχυρᾶς δὲ τῆς μάχης γενομένης, ἐνίκησεν ὁ καλούμενος Ἀλέξανδρος, καὶ δωρεὰν ἔλαβεν δώδεκα κώμας, καὶ στολῇ Περσικῇ χρῆσθαι. ταῦτα μὲν οὖν Ἐρατοσθένης ἱστόρηκεν. τὴν δὲ μεγάλην μάχην πρὸς Δαρεῖον οὐκ ἐν Ἀρβήλοις (ὥσπερ οἱ πολλοὶ γράφουσιν) ἀλλὰ ἐν Γαυ-
E γαμήλοις γενέσθαι συνέπεσεν. σημαίνειν δέ φασιν οἶκον καμήλου τὴν διάλεκτον, ἐπεὶ τῶν πάλαι τις βασιλέων ἐκφυγὼν πολεμίους ἐπὶ καμήλου δρομάδος, ἐν ταύτῃ καθίδρυσεν αὐτὴν, ἀποτάξας τινὰς κώμας καὶ προσόδους εἰς τὴν ἐπιμέλειαν. ἡ μὲν οὖν σελήνη τοῦ Βοηδρομιῶνος ἐξέλιπεν, περὶ τὴν τῶν μυστηρίων τῶν Ἀθήνησιν ἀρχήν· ἑνδεκάτῃ δὲ ἀπὸ τῆς ἐκλείψεως νυκτὶ, τῶν στρατοπέδων ἐν ὄψει γεγονότων, Δαρεῖος μὲν ἐν ὅπλοις συνεῖχε τὴν δύναμιν, ὑπὸ λαμπάδων ἐπιπορευόμενος τὰς τάξεις· Ἀλέξανδρος δὲ, τῶν Μακεδόνων
F ἀναπαυομένων, αὐτὸς πρὸ τῆς σκηνῆς μετὰ τοῦ μάντεως Ἀριστάνδρου διέτριβεν, ἱερουργίας τινὰς ἀπορρήτους ἱερουργούμενος, καὶ τῷ Φόβῳ σφαγιαζόμενος. οἱ δὲ πρεσβύτεροι τῶν ἑταίρων, καὶ μάλιστα Παρμενίων, ὡς τὸ μὲν πεδίον τὸ μεταξὺ τοῦ Νιφάτου καὶ τῶν ὀρῶν τῶν Γορδυαίων ἅπαν ἑωρᾶτο καταλαμπόμενον τοῖς βαρβαρικοῖς φέγγεσιν, ἀτέκμαρτος δέ τις φωνὴ συμμεμιγμένη, καὶ θόρυβος καὶ φόβος ἐκ τοῦ στρατοπέδου, καθάπερ ἐξ ἀχανοῦς προσήχει πελάγους, θαυ-

A μάσαντες τὸ πλῆθος, καὶ πρὸς ἀλλήλους διαλεχθέντες ὡς μέγα καὶ χαλεπὸν ἔργον εἴη, συμπεσόντας ἐκ προφανοῦς τοσοῦτον ὤσασθαι πόλεμον, ἀπὸ τῶν ἱερῶν γενομένῳ τῷ βασιλεῖ προσελθόντες, ἔπειθον αὐτὸν ἐπιχειρῆσαι νύκτωρ τοῖς πολεμίοις, καὶ τῷ σκότῳ τὸ φοβερώτατον συγκαλύψαι τοῦ μέλλοντος ἀγῶνος. ὁ δὲ τὸ μνημονευόμενον εἰπὼν, Οὐ κλέπτω τὴν νίκην, ἐνίοις μὲν ἔδοξε μειρακιώδη καὶ κενὴν ἀπόκρισιν πεποιῆσθαι, παίζων πρὸς τοσοῦτον κίνδυνον· ἐνίοις δὲ, καὶ τῷ παρόντι θαρρεῖν, καὶ στοχάζεσθαι τοῦ μέλλοντος ὀρθῶς· μὴ διδοὺς πρόφασιν ἡττηθέντι Δαρείῳ B πρὸς ἄλλην αὖθις ἀναθαρρῆσαι πεῖραν, αἰτιωμένῳ τοῦτον νύκτα καὶ σκότος, ὡς ὄρη καὶ στενὰ καὶ θάλασσαν, τῶν προτέρων. οὐ γὰρ ὅπλων οὐδὲ σωμάτων ἀπορίᾳ παύσεσθαι πολεμοῦντα Δαρεῖον, ἀπὸ τηλικαύτης δυνάμεως καὶ χώρας τοσαύτης, ἀλλ' ὅταν ἀφῇ τὸ φρόνημα καὶ τὴν ἐλπίδα, δι' ἐμφανοῦς ἥττης κατὰ κράτος ἐξελεγχθείς. ἀπελθόντων δὲ τούτων κατακλιθεὶς ὑπὸ σκηνὴν, λέγεται τὸ λοιπὸν μέρος τῆς νυκτὸς ὕπνῳ βαθεῖ κρατηθῆναι παρὰ τὸ εἰωθός. ὥστε θαυμάζειν ἐπελθόντας ὄρθρου τοὺς ἡγεμόνας, C καὶ παρ' αὐτῶν ἐξενεγκεῖν παράγγελμα πρῶτον, ἀριστοποιεῖσθαι τοὺς στρατιώτας· ἔπειτα τοῦ καιροῦ κατεπείγοντος, εἰσελθόντα Παρμενίωνα, καὶ παραστάντα τῇ κλίνῃ, δὶς ἢ τρὶς αὐτοῦ φθέγξασθαι τοὔνομα· καὶ διεγερθέντος, οὕτως ἐρωτᾶν ὅ,τι δὴ πεπονθὼς ὕπνον καθεύδει νενικηκότος, οὐχὶ μέλλοντος ἀγωνιεῖσθαι τὸν μέγιστον τῶν ἀγώνων. τὸν γοῦν Ἀλέξανδρον εἰπεῖν διαμειδιάσαντα, Τί γὰρ οὐκ ἤδη σοι νενικηκέναι δοκοῦμεν, ἀπηλλαγμένοι τοῦ πλανᾶσθαι καὶ διώκειν ἐν πολλῇ καὶ κατεφθαρμένῃ φυγομαχοῦντα χώρᾳ Δαρεῖον; οὐ μόνον δὲ D πρὸ τῆς μάχης, ἀλλὰ καὶ παρὰ τὸν κίνδυνον αὑτὸν ἐπεδείξατο μέγαν καὶ συνεστηκότα τῷ λογίζεσθαι καὶ θαρρεῖν ἑαυτόν. ἔσχεν γὰρ ὁ ἀγὼν ἀποτροπὴν καὶ σάλον ἐν τῷ εὐωνύμῳ κέρατι κατὰ Παρμενίωνα, τῆς Βακτριανῆς ἵππου ῥοθίῳ πολλῷ καὶ μετὰ βίας παρεμπεσούσης εἰς τοὺς Μακεδόνας, Μαζαίου δὲ περιπέμψαντος ἔξω τῆς φάλαγγος ἱππεῖς τοῖς σκευοφυλακοῦσι προσβαλοῦντας. διὸ καὶ θορυβούμενος ὑπ' ἀμφοτέρων ὁ Παρμενίων, ἀπέστειλεν πρὸς Ἀλέξανδρον ἀγγέλους φράζοντας οἴχεσθαι τὸν χάρακα καὶ τὰς ἀποσκευὰς, E εἰ μὴ κατὰ τάχος βοήθειαν ὀχυρὰν ἀπὸ τοῦ στόματος πέμψειεν τοῖς ὄπισθεν. ἔτυχε μὲν οὖν κατ' ἐκεῖνο καιροῦ τοῖς περὶ αὐτὸν ἐφόδου διδοὺς σημεῖον· ὡς δὲ ἤκουσεν τὰ παρὰ τοῦ Παρμενίωνος, οὐκ ἔφη σωφρονεῖν αὐτὸν, οὐδὲ ἐντὸς εἶναι τῶν λογισμῶν, ἀλλ' ἐπιλελῆσθαι ταραττόμενον ὅτι νικῶντες μὲν προσκτήσονται καὶ τὰ τῶν πολεμίων, ἡττωμένοις δὲ φροντιστέον οὐ χρημάτων οὐδὲ ἀνδραπόδων, ἀλλ' ὅπως ἀποθανοῦνται καλῶς καὶ λαμπρῶς ἀγωνιζόμενοι. ταῦτα ἐπιστείλας Παρμενίωνι, F τὸ κράνος περιέθετο, τὸν δὲ ἄλλον ὁπλισμὸν εὐθὺς ἀπὸ σκηνῆς εἶχεν, ἐπένδυμα τῶν Σικελικῶν ζωστόν. ἐπὶ δὲ τούτῳ, θώρακα διπλοῦν λινοῦν, ἐκ τῶν ληφθέντων ἐν Ἰσσῷ. τὸ δὲ κράνος, ἦν μὲν σιδηροῦν, ἔστιλβε δὲ ὥσπερ ἄργυρος καθαρὸς, ἔργον Θεοφίλου. συνήρμοστο δὲ αὐτῷ περιτραχήλιον ὁμοίως σιδηροῦν, λιθοκόλλητον. μάχαιραν δὲ θαυμαστὴν βαφῇ καὶ κουφότητι, δωρησαμένου τοῦ Κιτιέων βασιλέως, ἣν εἶχεν, ἠσκημένος τὰ πολλὰ χρῆσθαι μαχαίρᾳ παρὰ τὰς μάχας.

nem ſtupentes, atque inter ſe colloquuti magnam rem & arduam fore, ſi aperto Marte tantum belli fluctum aggrederentur impellere, regreſſum à ſacris regem adeunt, ſuadéntque hoſtem vt nocte adoriatur, contegátque tenebris ˚ſummùm inſtantis terrorem certaminis. Ille enimuerò celebratum hoc dictũ fatus, Non furor victoriam, temerarium viſus quibuſdam eſt & arrogans reſpõſum dediſſe qui tanto in periculo luderet, aliis & in præſentia animatus eſſe & rectè coniicere de futuro, quòd victo Dario anſam non daret, aliam denuò pugnæ aleam reſpiciendi, huius cladis cauſam in noctem & tenebras conferẽti, vt in montes, fauces, & mare, ſuperioris. Quippe non armorum Darium penuria neque hominum poſiturum bellum, tanto imperio & ditione ſuccinctum tam vaſta, verùm vbi extorta aperta acie victoria conuictus animum & ſpem abieciſſet. Poſtquam hi digreſſi ſunt, contulit ſe in tentorium cubitum, vbi dicitur reliquum noctis alto ſopore fuiſſe præter ſolitum oppreſſus: obſtupuerúntque duces, qui primo diluculo eum adierunt, militibúſque ſuo nomine primùm, vt pranderẽt, pronuntiauere, deinde vrgente articulo, ingreſſus Parmenio, & cubili aſsiſtens, bis terve nomine eum compellat. Vbi eum excitauit, rogat quid hoc rei ſit, quòd ſomno indulgeat perinde acſi vicerit, non autem maximum prælium ſit initurus. Tum arridens Alexãder, Num tibi, inquit, non viciſſe videamur, liberati à vagando, Daríumque in laxa & euaſtata tergiuerſantem regione conſectando? At non ante pugnam modò, ſed in ipſo etiam diſcrimine magnum virum ſe & ſolido conſilio animóque eſſe probauit. Siquidem ſiniſtrum cornu, vbi agebat Parmenio, fluctuauit, ac pedẽ retulit, quum equitatus Bactrianus magna impreſsione & vi inuectus in Macedonas fuiſſet, Mazæúſq; turmas aliquot equitum aciẽ circumuectas inuadere iuſsiſſet impedimenta. Ita vtraque re conſternatus Parmenio, miſit ad Alexandrum nuntios, qui ſignificarent ei ˚tranſactum eſſe de caſtris & impedimentis, ni properè firmum ſubſidium ex prima acie nouiſſimis ſubmiſiſſet. Eodem articulo dederat ſuis ſignum pugnæ: verùm vt Parmenionis mandata audiuit, negauit eum ſanum eſſe, neque conſtare mente, ſed præ conſternatione oblitũ, acquirere victores etiam hoſtium opes, victis verò laborandum eſſe non de ſarcinis, neque de mãcipiis, verùm vt pugnantes cadant quamhoneſtiſsimè & fortiſsimè. His datis ad Parmenionem mandatis, galeam ſumpſit: reliquum munimentum corporis iam in tabernaculo induerat, amiculum Siculum cinctum: ſuper eum, thoracem lineum duplicem, ex præda Iſſenſi. Galea erat ferrea, quæ tamen inſtar candidi argẽti refulgebat, Theophili opus. Iam collare habebat ex ferro item compactum, quod gemmis erat diſtinctum: gladium mira tinctura & leuitate, regis Citieorum donum, quo accinctus erat: aſſuetus ferè gladio vti in prælio.

Quod in pugna futurum ſit maximè formidabile.

Actum eſſe de caſtr. Vel, nullam de caſtris & imp. ſpem ſupereſſe, ni pr.

Balteum geſtabat opere ſuperbiore quàm pro reliquæ ratione armaturæ. opificium enim fuit veteris Heliconis, Rhodiorum donum, quo eum illa honorauerat ciuitas. hoc in conflictibus vtebatur. Tantiſper autem dum in acie inſtruenda vel dandis imperiis vel monendo vel inſpiciendo obequitabat aciem, alio vehebatur equo: quòd Bucephalæ, qui iam grauis ætate erat, parceret. Vbi prælium iniret, admouebatur ille: in quem quum tranſiſſet, ilicò ſigna canere iubebat. Ibi Theſſalos longa oratione adhortatus atque alios Græcos, vbi alacres oſtẽderunt ſe, conclamantes, duceret in barbaros, traiecta in ſiniſtram lancea, deorum opem inuocauit, vt autor eſt Calliſthenes: precatus, ſi verè ſatus Ioue eſſet, vt Græcis adeſſent dexteri & propitij. Vates Ariſtander candida læna amictus, coronámque auream geſtans, qui iuxta Alexandrum vehebatur, oſtendit ſuper verticem eius aquilam ſublimem volare, curſúmque rectà dirigere in hoſtes. Vnde ingens ſpectantes inceſsit alacritas: ex alacritate autem & mutua adhortatione admiſſo in hoſtem equitatu, inſtar fluctus ingruit phalaux. Cæterùm priuſquam frontes concurrerent, inclinauit barbarorum acies. Magna erat impulſio, quòd redigeret cedentes Alexander in mediam aciem, vbi Darius agebat. Procul enim per anteſignanos conſpexit media in cohorte regia conſpicuum pulchrum virum & eminentem, qui curru vehebatur excelſo, frequentibus fortibúſque equitibus ſeptus arctè conglobatis circa currum, paratiſque hoſtem excipere. Sed Alexander, cuius terribilis ex propinquo apparebat aſpectus, dum fugientes conijcit in eos qui locum adhuc tenebant, perculit eos maxima ex parte diſturbauitque. Optimorum ac fortiſsimorum quorumque, quum pro rege contrucidarentur, cumulus exaggeratus cadentium, qui comprehendebant moribundi pedes virorum equorúmque, inſectationem inhibuit. Darius, quum omnes terrores ante oculos eſſent, & frons, quam ante ſe habebat, corrueret in eum, haud facilè currum flectere & peruadere valebat, ſed quia rotæ retinebantur tanto aceruo intricatæ cadauerum, equi autem ſtrage illa diſtenti & operti exiliebant conſternabántque aurigam, curru armiſque relictis equam (vt ferunt) recens enixam conſcendens, effudit ſe in fugam: nõ euaſurus in præſentia tamen, vti videbatur, niſi alij iterum à Parmenione equites miſſi ad Alexandrum fuiſſent retrahendum, quòd magna manus adhuc illa parte ſtaret in acie, neque hoſtes pedẽ referrent. Inſimulant ſanè Parmenionis omnino illo in conflictu ignauiam & ſegniciem: ſiue audaciam ſenium eius iam reſoluebat, ſiue potentiam Alexandri (vt tradit Calliſthenes) ille grauabatur & æmulabatur gliſcentem & inſurgentem. Tunc igitur reuocari ſe rex etſi ægrè ferret, veruntamẽ nõ indicauit id militibus, verùm quaſi cædẽ inhibẽs, ac præcipite in noctẽ die, receptuĩ cecinit. In itinere, dũ pergit ad periclitãtes ſuos, accepit omni ex parte fuſos fugatóſq; hoſtes.

Ad prælium autem ſe cõferenti adducebatur ille.

Siue ſenium aliquid iam de audacia detrahebat, ſiue tantum potẽtiæ Alex. incrementũ (vt tr. Calliſthenes) grauabatur & inuidia proſequebatur.

A ἐπιπόρπαμα δὲ ἐφόρει, τῇ μὲν ἐργασίᾳ σοβαρώτερον ἢ κατὰ τὸν ἄλλον ὁπλισμόν. ἦν γὰρ ἔργον Ἑλικῶνος τοῦ παλαιοῦ, τιμὴ δὲ τῆς Ῥοδίων πόλεως, ὑφ᾽ ἧς ἐδόθη δῶρον· ἐχρῆτο δὲ καὶ τούτῳ πρὸς τοὺς ἀγῶνας. ἄχρι μὲν οὖν συντάττων τι τῆς φάλαγγος, ἢ παρακελευόμενος ἢ διδάσκων ἢ ἐφορῶν παρεξήλαυνεν, ἄλλον ἵππον εἶχεν, τοῦ Βουκεφάλα φειδόμενος, ἤδη παρήλικος ὄντος· χωροῦντι δὲ πρὸς ἔργον ἐκεῖνος προσήγετο, καὶ μεταβὰς εὐθὺς ἦρχεν ἐφόδου. τότε δὲ τοῖς Θετταλοῖς πλεῖστα διαλεχθεὶς, καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς
B ἐπέρρωσαν αὐτὸν, βοῶντες ἄγειν ἐπὶ τοὺς βαρβάρους, τὸ ξυστὸν εἰς τὴν ἀριστερὰν μεταβαλὼν, τῇ δεξιᾷ παρεκάλει τοὺς θεοὺς, (ὡς Καλλισθένης φησὶν) ἐπευχόμενος, εἴπερ ὄντως διόθεν ἐστὶν γεγονὼς, ἀμύναι καὶ συνεπιρρῶσαι τοὺς Ἕλληνας. ὁ δὲ μάντις Ἀρίστανδρος, χλανίδα λευκὴν ἔχων καὶ χρυσοῦν στέφανον, ἐπεδείκνυτο παριππεύων ἀετὸν ὑπὲρ κεφαλῆς Ἀλεξάνδρου συνεπαιωρούμενον, καὶ κατευθύνοντα τῇ πτήσει ὄρθιον ἐπὶ τοὺς πολεμίους· ὥστε πολὺ μὲν θάρσος ἐγγενέσθαι τοῖς ὁρῶσιν, ἐκ δὲ τοῦ θαρρεῖν καὶ παρα-
C καλεῖν ἀλλήλοις, δρόμῳ τοῖς ἱππεῦσιν ἱεμένοις ἐπὶ τοὺς πολεμίους ἐπικυμαίνειν τὴν φάλαγγα. πρὶν δὲ συμμῖξαι τοὺς πρώτους, ἐξέκλιναν οἱ βάρβαροι· καὶ διωγμὸς ἦν πολὺς, εἰς τὰ μέσα συνελαύνοντος Ἀλεξάνδρου τὸ νικώμενον, ὅπου Δαρεῖος ἦν. πόρρωθεν γὰρ αὐτὸν κατεῖδεν διὰ τῶν προτεταγμένων ἐν βάθει τῆς βασιλικῆς ἴλης ἐκφανέντα, καλὸν ἄνδρα καὶ μέγαν, ἐφ᾽ ἅρματος ὑψηλοῦ βεβῶτα, πολλοῖς ἱππεῦσιν καὶ λαμπροῖς καταπεφραγμένον εὖ μάλα συνεσπειραμένοις περὶ τὸ ἅρμα, καὶ παρατεταγμένοις
D δέχεσθαι τοὺς πολεμίους. ἀλλὰ δεινὸς ὀφθεὶς ἐγγύθεν Ἀλέξανδρος, καὶ τοὺς φεύγοντας ἐμβαλὼν εἰς τοὺς μένοντας, ἐξέπληξε καὶ διεσκέδασε τὸ πλεῖστον. οἱ δὲ ἄριστοι καὶ γενναιότατοι πρὸ τοῦ βασιλέως φονευόμενοι, καὶ κατ᾽ ἀλλήλων πίπτοντες, ἐμποδὼν τῆς διώξεως ἦσαν, ἐμπλεκόμενοι καὶ περισπαίροντες αὐτοῖς καὶ ἵπποις. Δαρεῖος δὲ, τῶν δεινῶν ἁπάντων ἐν ὀφθαλμοῖς ὄντων, καὶ τῶν προτεταγμένων δυνάμεων ἐρειπομένων εἰς αὐτὸν, ὡς οὐκ ἦν ἀποστρέψαι τὸ ἅρμα καὶ διεξελάσαι ῥᾴδιον, ἀλλ᾽ οἵ τε τροχοὶ συ-
E νείχοντο, πτώμασι πεφυρμένοι τοσούτοις, οἵ τε ἵπποι καταλαμβανόμενοι καὶ ἀποκρυπτόμενοι τῷ πλήθει τῶν νεκρῶν, ἐξήλλοντο καὶ συνετάραττον τὸν ἡνίοχον, ἀπολείπει μὲν τὸ ἅρμα καὶ τὰ ὅπλα, θήλειαν δὲ (ὥς φασιν) νεοτόκον ἵππον περιβὰς ἔφυγεν. οὐ μὴν τότε γ᾽ ἂν ἐδόκει διαφυγεῖν, εἰ μὴ πάλιν ἧκον ἕτεροι παρὰ τοῦ Παρμενίωνος ἱππεῖς, μετακαλοῦντες Ἀλέξανδρον, ὡς συνεστώσης ἔτι πολλῆς δυνάμεως ἐκεῖ, καὶ τῶν πολεμίων οὐκ ἐνδιδόντων. ὅλως γὰρ αἰτιῶνται Παρμενίωνα κατ᾽ ἐκείνην τὴν μάχην νωθρὸν γενέσθαι καὶ δύσεργον· εἴτε τοῦ γήρως ἤδη τι
F παραλύοντος τῆς τόλμης, εἴτε τὴν ἐξουσίαν καὶ τὸν ὄγκον (ὡς Καλλισθένης φησὶν) τῆς Ἀλεξάνδρου δυνάμεως βαρυνόμενον καὶ προσφθονοῦντα. τότε δ᾽ οὖν ὁ βασιλεὺς ἀνιαθεὶς τῇ μεταπέμψει, τοῖς μὲν στρατιώταις οὐκ ἔφρασε τὸ ἀληθὲς, ἀλλ᾽ ὡς ἀπέχων τοῦ φονεύειν, καὶ σκότους ὄντος, ἀνάκλησιν ἐσήμανεν. ἐλαύνων δὲ πρὸς τὸ κινδυνεῦον μέρος, ἤκουσεν καθ᾽ ὁδὸν ἡττῆσθαι παντάπασιν καὶ φεύγειν τοὺς πολεμίους.

A τοῦ τῆς μάχης ἐκείνης λαβούσης τὸ πέρας, ἡ μὲν ἀρχὴ παντάπασιν ἡ Περσῶν ἐδόκει καταλελύσθαι, βασιλεὺς δὲ τῆς Ἀσίας Ἀλέξανδρος ἀνηγορευμένος, ἔθυε τοῖς θεοῖς μεγαλοπρεπῶς, καὶ τοῖς φίλοις ἐδωρεῖτο πλούτους καὶ οἴκους καὶ ἡγεμονίας. φιλοτιμούμενος δὲ πρὸς τοὺς Ἕλληνας, ἔγραψεν τὰς τυραννίδας πάσας καταλυθῆναι, καὶ πολιτεύειν αὐτονόμους. ἰδίᾳ δὲ Πλαταιεῦσι, τὴν πόλιν ἀνοικοδομεῖν, ὅτι τὴν χώραν οἱ πατέρες αὐτῶν ἐναγωνίσασθαι τοῖς Ἕλλησιν ὑπὲρ τῆς ἐλευθερίας παρέσχον. ἔπεμψε δὲ καὶ Κροτωνιάταις εἰς Ἰταλίαν μέρος τῶν λαφύρων, τὴν Φαΰλου τοῦ ἀθλητοῦ τιμῶν προθυμίαν καὶ ἀρετήν, B ὃς περὶ τὰ Μηδικὰ τῶν ἄλλων Ἰταλιωτῶν ἀπεγνωκότων τοὺς Ἕλληνας, ἰδιόστολον ἔχων ναῦν, ἔπλευσεν εἰς Σαλαμῖνα, τοῦ κινδύνου τι μεθέξων. οὕτω τις εὐμενὴς ἦν πρὸς ἅπασαν ἀρετήν, καὶ καλῶν ἔργων φύλαξ καὶ οἰκεῖος. ἐπιὼν δὲ τὴν Βαβυλωνίαν ἅπασαν εὐθὺς ἐπ᾽ αὐτῷ γενομένην, ἐθαύμασε μάλιστα τό, τε χάσμα τοῦ πυρὸς ἐν Ἐκβατάνοις, ὥσπερ ἐκ πηγῆς συνεχῶς ἀναφερομένου, καὶ τὸ ῥεῦμα τοῦ νάφθα λιμνάζοντος διὰ τὸ πλῆθος, οὐ πόρρω τοῦ χάσματος· C ὃς τἄλλα μὲν ἀσφάλτῳ προσέοικεν, οὕτω δὲ εὐπαθὴς πρὸς τὸ πῦρ ἐστιν, ὥστε πρὶν ἢ θιγεῖν τὴν φλόγα, δι᾽ αὐτῆς τῆς περὶ τὸ φῶς ἐξαπτομένης αὐγῆς τὸν μεταξὺ πολλάκις ἀέρα συνεκκαίει. ἐπιδεικνύμενοι δὲ τὴν δύναμιν αὐτοῦ καὶ φύσιν οἱ βάρβαροι, τὸν ἄγοντα πρὸς τὴν κατάλυσιν τοῦ βασιλέως στενωπὸν ἐλαφρῶς τῷ φαρμάκῳ κατέψεκασαν· εἶτα στάντες ἐπ᾽ ἄκρῳ τοὺς λαμπτῆρας τοῖς βεβρεγμένοις προσέθηκαν (ἤδη γὰρ συνεσκόταζεν) τῶν δὲ πρώτων εὐθὺς ἁψαμένων, οὐκ ἔσχεν ἡ νομὴ χρόνον αἰσθητόν, ἀλλ᾽ ἅμα νοήματι διῆκτο πρὸς θάτερον πέρας, D καὶ πῦρ ἐγεγόνει συνεχὴς ὁ στενωπός. ἦν δέ τις Ἀθηνοφάνης Ἀθηναῖος, τῶν περὶ ἄλειμμα καὶ λουτρὸν εἰωθότων τὸ σῶμα θεραπεύειν τοῦ βασιλέως, καὶ τὴν διάνοιαν ἐμμελῶς ἀπάγειν ἐπὶ τὸ ῥᾴθυμον. οὗτος ἐν τῷ λουτρῶνι, τότε παιδαρίου τῷ Ἀλεξάνδρῳ παρεστῶτος εὐτελοῦς σφόδρα καὶ γελοίου τὴν ὄψιν, ᾄδοντος δὲ χαριέντως· ὃς Στέφανος ἐκαλεῖτο, Βούλει (φησὶν) ὦ βασιλεῦ διάπειραν ἐν Στεφάνῳ τοῦ φαρμάκου λαμβάνωμεν; ἂν γὰρ ἅψηται τούτου καὶ μὴ κατασβεσθῇ, παντάπασιν ἂν φαίην ἄμαχον καὶ δεινὴν αὐτοῦ τὴν δύναμιν εἶναι. E προθύμως δέ πως καὶ τοῦ παιδαρίου διδόντος ἑαυτὸν πρὸς τὴν πεῖραν, ἅμα τῷ περιαλεῖψαι καὶ θιγεῖν, ἐξήνθησε φλόγα τοσαύτην τὸ σῶμα, καὶ πυρὶ κατεσχέθη πᾶν, ὥστε τὸν Ἀλέξανδρον εἰς πᾶν ἀπορίας καὶ δέους ἐλθεῖν. εἰ δὲ μὴ κατὰ τύχην πολλὰ παρῆσαν ἀγγεῖα πρὸς τὸ λουτρὸν ὕδατος διὰ χειρῶν ἔχοντες, οὐκ ἂν ἔφθασεν ἡ βοήθεια τὴν ἐπινομήν· ἀλλὰ καὶ τότε μόγις κατέσβεσαν τὸ σῶμα τοῦ παιδὸς, δι᾽ ὅλου πῦρ γενόμενον, καὶ μετὰ ταῦτα χαλεπῶς ἔσχεν. εἰκότως οὖν ἔνιοι τὸν μῦθον ἀνασῴζοντες πρὸς τὴν ἀλήθειαν, F τοῦτο φασὶν εἶναι τὸ τῆς Μηδείας φάρμακον, ᾧ τὸν τραγῳδούμενον στέφανον καὶ τὸν πέπλον ἔχρισεν. οὐ γὰρ ἐξ αὐτῶν ἐκείνων, οὐδ᾽ ἀπ᾽ αὐτομάτου λάμψαι τὸ πῦρ, ἀλλὰ φλογὸς ἐκεῖθεν παρατεθείσης, ὀξεῖαν ὁλκὴν καὶ συναφὴν ἄδηλον αἰσθήσει γενέσθαι. τὰς γὰρ ἀκτῖνας καὶ τὰ ῥεύματα τοῦ πυρὸς ἄπωθεν ἐπερχόμενα τοῖς μὲν ἄλλοις σώμασιν φῶς καὶ θερμότητα προσβάλλειν μόνον, ἐν δὲ τοῖς ἄλλοις ξηρότητα πνευματικὴν ἢ νοτίδα λιπαρὰν καὶ διαρκῆ κεκτημένοις ἀθροιζό-

Hoc pugnæ illius euentu imperium Perſarũ pro ſemel ſubuerſo habitum, atque Aſiæ rex renuntiatus Alexãder, diis magnificè honorem habuit, amicis opes, domos, prouincias eſt largitus. Ad Græcos ambitioſè ſcripſit, velle ſe vt omnes tollerentur iniuſti dominatus, & immunes ipſi ſuis legibus viuerent: priuatim autem ad Platæenſes, vt oppidum ipſorum inſtauraretur, quòd agrum Græcis maiores eorum ad decertandum in eo pro libertate cum barbaris præbuiſſent. Ad hæc Crotoniatis in Italia prædam impertiuit ad Phayli athletæ honorandum ſtudium virtutémque, qui bellis Medicis, quum Itali cæteri res Græcorum haberent pro deploratis, Salamina naui ſuis impenſis inſtructa fuerat ad periculi ſocietatem profectus. *Vſqueadeo candidus erga omnem virtutem erat, factorúmque ad memoriam cuſtos & fautor honeſtorũ. Caſtra inde mouit in Babyloniã, quæ protinus dedidit ſe ei tota. Miraculo ei fuit in Ecbatanis terræ hiatus, ignem perpetuò ſicut ex fonte ſubuehens, & ſcaturigo naphthæ ex abundãtia nõ longè ab illo hiatu ſtagnantis, qui cætera bitumen repræſentat, cæterùm *cognationem habet cum igne adeo magnam, vt, priuſquam contingat flãmã, interfuſum aera frequẽter, ſolo ſplẽdore circa flãmã elucẽte accendat. Quo vim eius & indolẽ oſtẽderẽt barbari, viã ad regis tentorium tendentem irrorauere minutis huius medicamenti ſtillis, ſtantéſque in extremo faculas irrigatis admouere. Iam enim tenebræ erant. Capite accenſo mox flamma puncto temporis depaſta reliqua eſt, atque momento ad alterum percurrit terminum, ac via continuo colluxit igne. Athenophanes erat Athenienſis, ex iis qui in vngendo & balneo curare regis corpus ſolebãt, mẽtémque eius ſcitè abducere ad remiſsionem. Hic, in balneo aſsiſtẽte tunc regi puero facie ridicula, ſed qui caneret lepidè (Stephanum dicebant) Vis, inquit, in Stephano, rex, periculum faciamus naphthæ? Nam hunc ſi attigerit, nec fuerit extinctus, dicam vires eius planè inexuperabiles & eximias eſſe. Quũ promptè puer offerret ſe ad experimentũ, ſimulatque inunctus fuit, & attigit eum medicamẽtum, flammam corpus eius tam ingentem effudit, & igne occupatũ eſt totũ, vt ad extremã perplexitatẽ trepidationémque reciderit Alexander. Quòd ni adfuiſſent qui multa vaſa aquæ in balnei vſum ad manũ habebãt, nulla ope prohiberi potuiſſet quin corpus pueri eſſet ambuſtũ. Sed & tũc corpus eius vndequaque inflammatũ fuit, & ignẽ extinxerunt ægrè: ac poſt malè habuit. Itaque haud abſurdè fabulam quidam ad veritatem reducentes, hoc illud eſſe dictitant Medeæ medicamentum, quo decantatam illam coronam flammeúmq; inunxit. Quippe haud ex ſemetipſis neque ſponte concepiſſe illa ignem, ſed quum adiecta illinc fuiſſet flamma, citam eius & continentem contagionem, quæ ſenſum effugeret, fuiſſe. Nam radios & profluuia ignis eminus ingruentia lumẽ aliis corporibus & feruorẽ tantummodo adiũgere, in aliis ariditate halituoſa pinguiq; & ſaturo præditis liquore collecta atq;

Tãto amore proſequebatur omnem virtutem.

Adeo facilè ab igni afficitur, vt pr.

vi g'iſcentia flammea ſtatim vertere materiā. Mouit generatio eius dubitationem * an potius flammæ fomes liquor hic ex ſolo emanet vi oleoſa inſlammantéq; prædito. Eſt enim perquā Babylonia ignea, vt hordeũ ex humo ſubſultet & regeratur frequenter: q̄ ea regio quaſi nimia inflāmatione palpitet, habeántque homines per feruores in vtribus aqua impletis cubilia. Harpalo, qui regionis huius relictus præfectus fuit, ſtudenti Græcis plantis regiā & ambulationes excolére, cætera reſponderũt, vnā reſpuit tellus hederam, quā ſemper corrupit impatientē eius temperiei, quòd hęc frigidis gaudeat, illa ferueat. Cæterùm huiuſcemodi digreſſus, ſi modum ſeruēt, minus fortaſsis reprehendent moroſi. Alexander Suſis potitus, quadraginta millia talētûm argenti ſignati inuenit, præterea inſtrumentũ regiũ aliud, & res pretioſas innumerabiles. Vbi etiam purpuræ Hermionicæ quinque millia talētûm narrat inuēta, annos ſeruatæ decē minus ducentos, quæ florē recentem adhuc ac nouitium retineret. Cuius ferunt cauſam eſſe, quòd puniceorũ infectura melle perfecta fuerit, & candido oleo, candidorum. quippe horũ in pari ætate ſplendorē integrũ & fulgentē conſpici. Ad hæc ex Nilo & Iſtro aquā inter cætera Dinon memorat ſolenne fuiſſe, vt afferri imperarēt atque in theſaurũ reconderēt reges, tanquā in pignus imperij & rerũ ſe dominos eſſe. Quũ autē Perſis ob aſperitatē eſſet aditu difficilis, præſidiúmq; haberet delectiſsimorũ Perſarum (nanque confugerat eò Darius) quidam vtriuſq; linguæ peritus, qui patre Lycio, Perſide matre ortus erat (quē puero etiamnũ Alexādro præcinuiſſe perhibēt Pythiam, nēpe Lyciũ ducē Alexādro itineris in Perſas fore) modico circuitu duxit eũ in Perſidē. Strages illic ingens captiuorũ edita. ſiquidem ſcribit ipſe, ratum ſe id è re ſua eſſe, imperaſſe vt hoſtes contrucidarētur. Argenti reperit ibi parem ac Suſis ſummā. Reliquum inſtrumentũ regium & opes decem millibus iugorũ mularium & quinque millibus camelorum egeſta. Statuam ingentem Xerxis à turba contemplatus in regiam irrumpentium imprudenter euerſam, ſubſtitit, ac ſicut ſpirantem
» compellās, Vtrum te (inquit) ob illatũ Græ-
» cis bellum præteribimus proſtratum, an ob
» cæteram animi tui celſitudinē & virtutem
» attollemus? Poſtremò, vt diu cogitabundus & tacitus reſtitit, prætergreſſus eſt. Quatuor menſes ibi, quo exercitũ reficeret, q̄ eſſet hyemis tempeſtas, tranſegit. Fama eſt, quũ primùm ſub aurea teſtudine Alexander in ſolio regio conſideret, Corinthium Demaratum, Alexandri familiarē & amicum paternum, ſenili more illacrymaſſe, ac dixiſſe, fraudatos magna voluptate Græcos, qui antè quàm in Darij ſolio Alexandrũ ſpectaſſent ſedentem vita eſſent functi. Hinc in Darium moturus, compotationē & luſum cum amicis iniit: interfuerúntq; meretrices, quæ comeſſatũ venerant ad amatores ſuos. Inter has nobilis imprimis Thais, Ptolemęi, qui poſt regnauit,

A μένα καὶ πυριμανοῦντα μεταβάλλειν ὀξέως τὴν ὕλην.
παρεῖχεν δὲ ἀπορίαν ἡ γένεσις, εἴτε μᾶλλον ὑπέκ-
καυμα τῆς φλογὸς ὑπορρεῖ τὸ ὑγρὸν ἐκ τῆς γῆς φύ-
σιν λιπαρὰν καὶ πυριγόνον ἐχούσης. καὶ γάρ ἐστιν ἡ Βαβυ-
λωνία σφόδρα πυρώδης, ὥστε τὰς μὲν κριθὰς χαμό-
θεν ἐκπηδᾶν καὶ ἀποπάλλεσθαι πολλάκις, οἷον ὑπὸ φλε-
γμονῆς τῶν τόπων σφυγμοὺς ἐχόντων· τοὺς δὲ ἀνθρώπους
ἐν τοῖς καύμασιν ἐπ᾽ ἀσκῶν πεπληρωμένων ὕδατος
καθεύδειν. Ἅρπαλος δὲ τῆς χώρας ἀπολειφθεὶς ἐπιμε-
λητὴς, καὶ φιλοκαλῶν Ἑλληνικαῖς φυτείαις διακο-
B σμῆσαι τὰ βασίλεια καὶ τοὺς περιπάτους, τῶν μὲν ἄλλων
ἐκράτησεν, τὸν δὲ κιττὸν οὐκ ἔστεξεν ἡ γῆ μόνον, ἀλλ᾽ ἀεὶ
διέφθειρεν, οὐ φέροντα τὴν κρᾶσιν. ἡ μὲν γὰρ, πυρώδης, ὁ
δὲ, φιλόψυχρος. τῶν μὲν οὖν τοιούτων παρεκβάσεων, ἂν μέ-
τρον ἔχωσιν, ἧττον ἴσως οἱ δύσκολοι κατηγοροῦσιν. Ἀλέ-
ξανδρος δὲ Σούσων κυριεύσας παρέλαβεν ἐν τοῖς βα-
σιλείοις τετρακισμύρια τάλαντα νομίσματος, τὴν δὲ
ἄλλην κατασκευὴν καὶ πολυτέλειαν ἀδιήγητον. ὅπου φη-
σὶν καὶ πορφύρας Ἑρμιονικῆς εὑρεθῆναι τάλαντα πεντα-
κισχίλια, συγκειμένης μὲν ἐξ ἐτῶν δέκα δεόντων δια-
C κοσίων, πρόσφατον δὲ τὸ ἄνθος ἔτι καὶ νεαρὸν φυλατ-
τούσης. αἴτιον δὲ τούτου φασὶν εἶναι, τὸ τὴν βαφὴν διὰ
μέλιτος γίνεσθαι τῶν ἁλουργῶν, δι᾽ ἐλαίου δὲ λευκοῦ, τῶν λευ-
κῶν. καὶ γὰρ τούτων τὸν ἴσον χρόνον ἐχόντων τὴν λαμπρότητα
καθαρὰν καὶ στίλβουσαν ὁρᾶσθαι. Δίνων δέ φησιν καὶ ὕδωρ
ἀπὸ τοῦ Νείλου καὶ τοῦ Ἴστρου μετὰ τῶν ἄλλων μεταπεμπομένους
εἰς τὴν γάζαν ἀποτίθεσθαι τοὺς βασιλεῖς, οἷον ἐκβεβαιου-
μένους τὸ μέγεθος τῆς ἀρχῆς, καὶ τὸ κυριεύειν ἁπάν-
των. τῆς δὲ Περσίδος οὔσης διὰ τραχύτητα δυσεμβόλου,
καὶ φυλαττομένης ὑπὸ γενναιοτάτων Περσῶν; (Δα-
D ρεῖος μὲν γὰρ ἐπεφεύγει) γίγνεται τινὸς περιόδου κύ-
κλον ἐχούσης οὐ πολλὴν ἡγεμὼν αὐτῷ δίγλωσσος ἄν-
θρωπος, ἐκ πατρὸς Λυκίου, μητρὸς δὲ Περσίδος γεγονώς.
ὅν φασιν ἔτι παιδὸς ὄντος Ἀλεξάνδρου τὴν Πυθίαν προει-
πεῖν, ὡς Λύκιος ἔσται καθηγεμὼν Ἀλεξάνδρῳ τῆς ἐπὶ
Πέρσας πορείας. φόνον μὲν οὖν ἐνταῦθα πολὺν τῶν ἁλι-
σκομένων γενέσθαι συνέπεσεν. γράφει γὰρ αὐτὸς, ὡς νομί-
ζων αὐτῷ τοῦτο λυσιτελεῖν ἐκέλευεν ἀποσφάττεσθαι τοὺς
ἀνθρώπους. νομίσματος δὲ εὑρεῖν πλῆθος ὅσον ἐν Σούσοις
τὴν δὲ ἄλλην κατασκευὴν καὶ τὸν πλοῦτον ἐκκομισθῆναι
E φασὶν μυρίοις ὀρικοῖς ζεύγεσιν καὶ πεντακισχιλίαις
καμήλοις. Ξέρξου δὲ ἀνδριάντα μέγαν θεασάμενος,
ὑπὸ πλήθους τῶν ὠθουμένων εἰς τὰ βασίλεια πλημ-
μελῶς ἀνατετραμμένον, ἐπέστη, καὶ καθάπερ ἔμψυχον
προσαγορεύσας, Πότερόν σε (εἶπεν) διὰ τὴν ἐπὶ τοὺς
Ἕλληνας στρατείαν κείμενον παρέλθωμεν, ἢ διὰ τὴν
ἄλλην μεγαλοφροσύνην καὶ ἀρετὴν ἐγείρωμεν; τέλος
δὲ, πολὺν χρόνον πρὸς ἑαυτῷ γενόμενος καὶ σιωπήσας,
παρῆλθεν. βουλόμενος δὲ τοὺς στρατιώτας ἀναλαβεῖν
(καὶ γὰρ ἦν χειμῶνος ὥρα) τέσσαρας μῆνας αὐτόθι δι-
F ήγαγεν. λέγεται δὲ, καθίσαντος αὐτοῦ τὸ πρῶτον ὑπὸ τὸν
χρυσοῦν οὐρανίσκον ἐν τῷ βασιλικῷ θρόνῳ, τὸν Κορίν-
θιον Δημάρατον, εὔνουν ὄντα ἄνδρα καὶ πατρῷον φί-
λον Ἀλεξάνδρου, πρεσβυτικῶς ἐπιδακρῦσαι, καὶ εἰ-
πεῖν ὡς μεγάλης ἡδονῆς στέροιντο τῶν Ἑλλήνων οἱ τε-
θνηκότες πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ
καθήμενον. ἐκ τούτου μέλλων ἐξελαύνειν ἐπὶ Δα-
ρεῖον, ἔτυχεν μὲν εἰς μέθην τινὰ καὶ παιδιὰν τοῖς ἑται-
ροις ἑαυτὸν δεδωκὼς, ὥστε καὶ γύναια συμπίνειν
ἐπὶ κῶμον ἥκοντα πρὸς τοὺς ἐραστάς. ἐν δὲ τούτοις εὐδοκιμοῦσα μάλιστα Θαΐς, ἡ Πτολεμαίου τοῦ βασι-
λεύσαν-

λαβούσαν τις ὕστερον ἑταίρα, γένος Ἀττική, τὰ μὲν, ἐμμελῶς ἐπαινοῦσα, τὰ δὲ παίζουσα πρὸς τὸν Ἀλέξανδρον, ἅμα τῇ μέθῃ λόγον εἰπεῖν προήχθη, τῷ μὲν τῆς πατρίδος ἤθει πρέποντα, μείζονα δὲ ἢ καθ' αὑτήν. ἔφη γὰρ, ὧν πεπόνηκε πεπλανημένη τὴν Ἀσίαν, ἀπολαμβάνειν χάριν ἐκείνης τῆς ἡμέρας, ἐντρυφῶσα τοῖς ὑπερηφάνοις Περσῶν βασιλείοις· ἔτι δ' ἂν ἥδιον ὑποπρῆσαι κωμάσασα τὸν Ξέρξου τοῦ κατακαύσαντος τὰς Ἀθήνας οἶκον, αὐτὴ τὸ πῦρ ἅψασα τοῦ βασιλέως ὁρῶντος· ὡς ἂν λόγος ἔχῃ πρὸς ἀνθρώπους, ὅτι τῶν ναυμάχων καὶ πεζομάχων ἐκείνων στρατηγῶν τὰ μετὰ Ἀλεξάνδρου γύναια μείζονα δίκην ἐπέθηκεν Πέρσαις ὑπὲρ τῆς Ἑλλάδος. ἅμα δὲ τῷ λόγῳ τούτῳ κρότου καὶ θορύβου γενομένου, καὶ παρακελεύσεως τῶν ἑταίρων καὶ φιλοτιμίας, ἐπισπασθεὶς ὁ βασιλεὺς καὶ ἀναπηδήσας, ἔχων στέφανον καὶ λαμπάδα προῆγεν, οἱ δὲ ἑπόμενοι κώμῳ καὶ βοῇ περιΐσταντο τὰ βασίλεια· καὶ τῶν ἄλλων Μακεδόνων οἱ πυνθανόμενοι συνέτρεχον μετὰ λαμπάδων, χαίροντες. ἤλπιζον γὰρ ὅτι τοῖς οἴκοι προσέχοντος ἐστὶ τὸν νοῦν, καὶ μὴ μέλλοντος ἐν βαρβάροις οἰκεῖν, τὸ πιμπράναι τὰ βασίλεια καὶ διαφθείρειν. οἱ μὲν οὕτω ταῦτα γενέσθαι φασὶν, οἱ δὲ ἀπὸ γνώμης. ὅτι δ' οὖν μετενόησεν ταχὺ καὶ κατασβέσαι προσέταξεν, ὁμολογεῖται. Φύσει δὲ ὢν μεγαλοδωρότατος, ἔτι μᾶλλον ἐπέδωκεν εἰς τοῦτο τῶν πραγμάτων αὐξανομένων. καὶ προσῆν ἡ φιλοφροσύνη, μεθ' ἧς μόνης ὡς ἀληθῶς οἱ διδόντες χαρίζονται. μνησθήσομαι δὲ ὀλίγων ἀρίστων. ὁ τῶν Παιόνων ἡγούμενος, ἀποκτείνας πολέμιον ἄνδρα καὶ τὴν κεφαλὴν ἐπιδειξάμενος αὐτῷ, Τοῦτο (εἶπεν) ὦ βασιλεῦ, παρ' ἡμῖν ἐκπώματος χρυσοῦ τιμᾶται τὸ δῶρον. ὁ δὲ Ἀλέξανδρος γελάσας, κενοῦ γε· (εἶπεν) ἐγὼ δέ σοι μεστὸν ἀκράτου προπίομαι. τῶν δὲ πολλῶν τις Μακεδόνων ἤλαυνεν ἡμίονον, βασιλικὸν χρυσίον κομίζοντα· κάμνοντος δὲ τοῦ κτήνους, αὐτὸς ἀράμενος ἐκόμιζε τὸ φορτίον. ἰδὼν οὖν ὁ βασιλεὺς θλιβόμενον αὐτὸν σφόδρα, καὶ πυθόμενος τὸ πρᾶγμα, μέλλοντος κατατίθεσθαι, Μὴ κάμῃς (εἶπεν) ἀλλὰ πρόσθες ἔτι τὴν λοιπὴν ὁδὸν, ἐπὶ τὴν σκηνὴν σεαυτῷ τοῦτο κομίσας. ὅλως δὲ ἤχθετο τοῖς μὴ λαμβάνουσι μᾶλλον ἢ τοῖς αἰτοῦσιν· καὶ Φωκίωνι μὲν ἔγραψεν ἐπιστολὴν, ὡς οὐ χρησόμενος αὐτῷ φίλῳ τὸ λοιπὸν, εἰ διωθοῖτο τὰς χάριτας· Σεραπίωνι δὲ τῶν ἀπὸ σφαίρας τινὶ νεανίσκων οὐδὲν ἐδίδου, διὰ τὸ μηδὲν αἰτεῖν. ὡς οὖν εἰς τὸ σφαιρίζειν παραγενόμενος Σεραπίων, ἄλλοις ἔβαλε τὴν σφαῖραν· εἰπόντος δὲ τοῦ βασιλέως, Ἐμοὶ δὲ οὐ δίδως; Οὐ γὰρ αἰτεῖς, εἶπεν· τούτῳ μὲν δὴ γελάσας πολλὰ δέδωκεν. Πρωτέᾳ δέ τινι τῶν περὶ σκώμματα καὶ πότον οὐκ ἀμούσων, ἔδοξεν δι' ὀργῆς γεγονέναι. τῶν δὲ φίλων δεομένων, κἀκείνου δακρύοντος, ἔφη διαλλάττεσθαι. κἀκεῖνος, Οὐκοῦν (εἶπεν) ὦ βασιλεῦ, δός τι μοι πιστὸν πρῶτον. ἐκέλευσεν οὖν αὐτῷ πέντε τάλαντα δοθῆναι. περὶ δὲ τῶν τοῖς φίλοις καὶ τοῖς σωματοφύλαξι νεμομένων πλούτων, ἡλίκον εἶχεν ὄγκον, ἐμφαίνει δι' ἐπιστολῆς Ὀλυμπιὰς ἣν ἔγραψεν πρὸς αὐτὸν, ἄλλως (φησὶν) εὖ ποίει τοὺς φίλους καὶ ἐνδόξως ἄγε. νῦν δ' ἰσοβασιλέας πάντας ποιεῖς, καὶ πολυφιλίας παρασκευάζεις αὐτοῖς, σεαυτὸν δὲ ἐρημοῖς. πολλάκις δὲ τοιαῦτα τῆς Ὀλυμπιάδος γραφούσης, ἐφύλαττεν ἀπόρρητα τὰ γράμματα. πλὴν ἅπαξ Ἡφαιστίωνος (ὥσπερ εἰώθει)

A amica, ex Attica oriunda, partim ſcitè celebrans Alexandrum, partim alludens, in ſermonem eſt temulenta prouecta, patriæ quidem eius congruentem moribus, ſed ſupra eius conditionem. Quippe laborum ait ſibi in peragranda exantlatorũ Aſia illo die fructum recipere ſe, ſuperbę Perſarum regiæ inſultãtem: verùm multò libentius per ludum & laſciuiam domicilium Xerxis, qui inflammauit Athenas, ſuccenſuram, facéſque manibus ſuis inſpectante ſubdituram rege: quo inter mortales vulgaretur ſequentes Alexan-
B dri caſtra mulierculas maiores pœnas à Perſis vicem Græciæ, quàm Gręcos naualium & terreſtriũ copiarum duces expetiiſſe. Quum dicentẽ eſſet aſſenſus & admurmuratio conſequuta, adhortatióque & contentio amicorum, impulſus in eam ſententiam exiliit, coronatúſque & facem manu tenens progreſſus eſt. Alij, ſequentes ludibundi conclamantéſque, regiam cinxere: reliquorúmque Macedonum, vbi id intellexerunt, concurſus illuc cum lampadibus exultantium factus eſt.
C Sperabãt enim domũ reſpicientis eſſe ſignũ, nec commoraturi inter barbaros, ꝙ regiam eorum incenderet euerterétq;. Atque hæc ita aliqui autores ſunt geſta fuiſſe, alij cõſultó. Atqui citò illum pœnituiſſe facti, atque vt reſtinguerent flammam imperaſſe, in confeſſo eſt. Munificentia verò, quæ inſita ei erat, multo magis excitata eſt rerum incremento. Adiuncta erat comitas, cuius vnius acceſſione ſanè ſunt munera grata. Huius pauca exempla recenſebo. Pæoniæ præfectus Ariſto, quum hoſtem obtruncaſſet, o-
D ſtendiſſétque ei caput, Hoc donum, rex, inquit, apud nos poculo aureo penſatur. Arridens Alexander, Nempe vacuo, inquit, Ego vero plenum mero tibi propino. Gregarius quidam Macedo mulum onuſtum auro regio agebat. Defeſſo iumento ſarcinam ipſe in humeros ſublatam portabat. Vidit rex onere oppreſſum: ac re intellecta, quum ille id depoſiturus eſſet, Ne defatigeris, inquit, ſed abſolue reliquum itineris, atque in tentorium tuum hoc defer. Omnino ſuccenſe-
E bat magis, ſi non acciperes, quàm ſi poſceres. Phocioni per literas mandauit, ſi non admitteret dona ſua, renuntiare ei ſe amicitiam. Serapioni vni ex grege eorum qui ſecum luſitabant pila, quia nihil petebat, nihil largiebatur. Quum autem ad ludum acceſſiſſet Serapion, adiecit pilam aliis: cui vbi dixit rex, Quin mihi das? Non petis, inquit. Riſit rex, atque ampla largitione eſt eũ proſequutus. Proteæ cuidam in dicteriis inter pocula non infeſtiuo videbatur infenſus. Quum deprecarentur amici pro eo, atque il-
F le lacrymas profunderet, redire dixit ſe cum eo in gratiã. Tũ ille, Igitur rex, inquit, pignus primum mihi aliquod dato. Atq; huic quinque talẽta iuſsit numerari. In ditãdis amicis & ſtipatoribus ſuis ꝗ fuerit prolixus, declarat Olympias epiſtola quam ad eum ſcripſit: Benè merere aliâs, inquit, de amicis & ſplendore vtere. Enimuero nunc omnes regi efficis pares, multóſque amicos eis paras, temetipſum verò reddis ſolitarium. Ea quum identidem ad illum ſcriberet Olympias, ſeruabat in abdito epiſtolas. niſi ſemel Hephæſtioni (vt aſſue-

Propinabo.

Beneficia ſua.

At teipſum deſertũ reddis. vel, Ipſe autem vt deſeratis, facis.

uerat) ſolutam epiſtolam ſecum legenti non vetuit: verùm detracto digito anulo ſigillũ ori illius admouit. Mazęi, cuius apud Dariũ ſumma fuerat gratia, filio ſatrapiæ præfecto alteram adiecit ampliorem. At ille recuſans » ait, Tunc, ô rex, vnus erat Darius, nũc tu mul » tos effeciſti Alexandros. Parmenioni donauit Bagoæ domum, in qua ad cultum pertinentium veſtiarium mille talentûm inuenit. Antipatro per literas mandauit vt cuſtodes corporis aduerſus inſidias adhiberet. Matri dona multa miſit: cæterùm interdixit ei rebus ſe ingerere, vel ducis munera vendicare. Expoſtulantis ſecum leniter tulit acerbitatem. Semel autem quum prolixas literas Antipatri illam criminantis perlegiſſet, falli dixit Antipatrum, ſexcentas epiſtolas vna deleri matris lacrymula. Quum amicos ſuos in totum cerneret luxu perditos, victúq; & ſumptibus licentiores, atque Agnonem Teium clauis argenteis ſuffigere crepidas, Leõnato multis camelis puluerem ex AEgypto vſque ad exercitationes ſupportari, Philotã ad venationem centum ſtadiorum aulæas habere, vnguento plures quàm oleo delibutos ad balneum ire, trahere eos ſecum frictores & *cubicularios: caſtigauit eos placidè & philoſophicè, mirari ſe dicẽs, ipſis, qui tot & tanta certamina decertauiſſent, excidiſſe, eos iucundius qui alios fatigant quàm fatiſcentes quieſcere: neque animaduertere Perſarũ moribus æquiparantes ſuos, nihil eſſe ſeruile magis quàm indulgere deliciis, nec magis regiũ » quàm labores ſuſcipere. Et quidem quî cu- » res, inquit, tua opera equum, vel haſtam ga- » leámve polias, ſi inducere animum non po- » tes vt corpori, quo nihil charius, admoueas » manus? An ignoratis finem nobis vincendi » eſſe, ne eadem ac victi faciamus? Igitur laborem intendit, in expeditionibus & venationibus ſubigens corpus ſuum & periculis exponens, vt Lacon legatus, qui aſsiſtebat, quum conficeret grandem leonem, diceret, » Macte Alexander iſta cum leone de regno » pugna. Hanc venationem Craterus Delphis dedicauit, ac ſimulacra ex ære leonis, canũ, regis cum leone congreſsi, & ſuum ei ſuccurrentis, facienda locauit. quorum Lyſippus partem, partem fecit Leochares. Ita Alexander quidem, dum ſemetipſum pariter exercet, & incendit alios ad virtutem, in præcipites caſus dabat ſe. Amicos verò eius, ob opes & faſtum voluptatibus indulgere & otio affectantes, tædebat errorum & expeditionum: vnde paulatim ad obtrectandum ei & allatrandum ſunt progreſsi. Quod ille primùm tulit leniter, regium eſſe ferens, quũ bene feceris, malè audire. Et quidem benefacta minima eius in amicos, ingentis fuerũt beneuolentiæ & honoris, quẽ illis habebat, ſignificationes. quorũ pauca attexã: Moleſtũ ſibi eſſe mãdauit p literas Peuceſtæ morſum ab vrſo ipſum, q aliis ſcripſiſſet, ſibi non ſignificaſſet. At nũc certè, inquit, ſcribe, vt vales, & num qui te ſociorum in venatione deſeruerũt: vt pœnas dẽt. Hephæſtioni ob certa negotia abſenti, pugnãtibus per ludũ ipſis cũ ichneumone, Craterũ ſcripſit in lanceã Perdiccę induiſſe ſe, vulneratúmq; in vtroq; femore fuiſſe,

*Qui eſſent ſuper ſomnũ, vt à Curtio appellantur.

A λυθεῖσαν ἐπιστολὴν αὐτῷ συναναγινώσκοντος, οὐκ ἐκώλυσεν, ἀλλὰ τὸν δακτύλιον ἀφελόμενος τὸν αὑτοῦ, προσέθηκεν τῷ ἐκείνου στόματι τὴν σφραγῖδα. Μαζαίου δὲ τοῦ μεγίστου παρὰ Δαρείῳ γενομένου παιδὶ σατραπείαν ἔχοντι, δευτέραν προσετίθει μείζονα. παραιτούμενος δὲ ἐκεῖνος εἶπεν, Ὦ βασιλεῦ, τότε μὲν ἦν εἷς Δαρεῖος, νῦν δὲ σὺ πολλοὺς πεποίηκας Ἀλεξάνδρους. Παρμενίωνι μὲν οὖν τὸν Βαγώου ἔδωκεν οἶκον, ἐν ᾧ λέγεται τῶν περὶ Σοῦσαν χιλίων ταλάντων εὑρεθῆναι ἱματισμόν. πρὸς δ' Ἀντίπατρον ἔγραφεν κελεύων ἔχειν φύλακας τοῦ σώματος, ὡς ἐπιβουλευόμενον. B τῇ δὲ μητρὶ πολλὰ μὲν ἐδωρεῖτο καὶ κατέπεμπεν, οὐκ εἴα δὲ πολυπραγμονεῖν, οὐδὲ παραστρατηγεῖν· ἐγκαλούσης δὲ πράως ἔφερεν τὴν χαλεπότητα. πλὴν ἅπαξ ποτὲ μακρὰν Ἀντιπάτρου κατ' αὐτῆς γράψαντος ἐπιστολὴν, ἀναγνοὺς, ἀγνοεῖν εἶπεν Ἀντίπατρον ὅτι μυρίας ἐπιστολὰς ἓν δάκρυον ἀπαλείφει μητρός. ἐπεὶ δὲ τοὺς περὶ αὐτὸν ἑώρα παντάπασιν ἐκτετρυφηκότας, καὶ φορτικοὺς ταῖς διαίταις καὶ πολυτελείαις ὄντας, ὥστε Ἅγνωνα μὲν τὸν Τήϊον ἀργυροῦς ἐν ταῖς κρηπῖσιν ἥλους φορεῖν, Λεοννάτῳ δὲ πολλαῖς καμήλοις ἀπ' Αἰγύπτου κόνιν εἰς τὰ γυμνάσια παρακομίζεσθαι, C Φιλώτᾳ δὲ, πρὸς θήρας σταδίων ἑκατὸν αὐλαίας γεγονέναι, μύρῳ δὲ χρωμένοις ἰέναι πρὸς ἄλειμμα καὶ λουτρὸν ὅσους οὐδὲ ἐλαίῳ, τρίπτας δὲ καὶ κατευναστὰς περιαγομένους· ἐπετίμησεν πράως καὶ φιλοσόφως, θαυμάζειν φάμενος, εἰ τοσούτους ἠγωνισμένοι καὶ τηλικούτους ἀγῶνας οὐ μνημονεύουσιν ὅτι τῶν καταπονηθέντων οἱ καταπονήσαντες ἥδιον καθεύδουσιν· οὐδὲ ὁρῶσι, τοῖς Περσῶν βίοις τοὺς ἑαυτῶν παραβάλλοντες, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, βασιλικώτατον δὲ τὸ πονεῖν. Καίτοι πῶς ἄν τις (ἔφη) δι' ἑαυτοῦ θεραπεύσειεν ἵππον, ἢ λόγ- D χην ἀσκήσειεν ἢ κράνος, ἀπεθικὼς τοῦ φιλτάτου σώματος ἅπτεσθαι τὰς χεῖρας; οὐκ ἴστε (εἶπεν) ὅτι τοῦ κρατεῖν πέρας ἡμῖν ἐστι τὸ μὴ ταὐτὰ ποιεῖν τοῖς κεκρατημένοις; ἐπέτεινεν οὖν ἔτι μᾶλλον αὐτὸς ἑαυτὸν ἐν ταῖς στρατείαις καὶ ταῖς κυνηγεσίαις, κακοπαθῶν καὶ παραβαλλόμενος. ὥστε καὶ Λάκωνα πρέσβυν τὸν παραγενόμενον αὐτῷ λέοντα καταβάλλοντι μέγαν, εἰπεῖν, Καλῶς γε Ἀλέξανδρε πρὸς τὸν λέοντα ἠγώνισαι περὶ τῆς βασιλείας. τοῦτο τὸ κυνήγιον Κρατερὸς εἰς Δελφοὺς ἀνέθηκεν, εἰκόνας χαλκᾶς ποιησάμενος τοῦ λέοντος καὶ τῶν κυνῶν, καὶ τοῦ βασιλέως τῷ λέοντι συνεστῶτος, καὶ αὐτοῦ προσβοηθοῦντος· E ὧν τὰ μὲν Λύσιππος ἔπλασεν, τὰ δὲ Λεωχάρης. Ἀλέξανδρος μὲν οὖν ἑαυτὸν ἀσκῶν ἅμα καὶ τοὺς ἄλλους παροξύνων πρὸς ἀρετὴν ἐκινδύνευεν· οἱ δὲ φίλοι διὰ πλοῦτον καὶ ὄγκον ἤδη τρυφᾶν βουλόμενοι καὶ σχολάζειν, ἐβαρύνοντο τὰς πλάνας καὶ τὰς στρατείας· καὶ κατὰ μικρὸν οὕτω προῆλθον εἰς τὸ βλασφημεῖν καὶ κακῶς λέγειν αὐτόν. ὁ δὲ καὶ πάνυ πράως ἐν ἀρχῇ πρὸς ταῦτα διέκειτο, φάσκων βασιλικὸν εἶναι τὸ κακῶς ἀκούειν εὖ ποιοῦντα. καίτοι τὰ μὲν μικρότατα τῶν γινομένων τοῖς συνήθεσι παρ' αὐτοῦ σημεῖα, μεγάλης ὑπῆρχεν εὐνοίας καὶ τιμῆς· ὧν ὀλίγα παραθήσομαι. F Πευκέστᾳ μὲν ἔγραψεν, μεμφόμενος ὅτι δηχθεὶς ὑπ' ἄρκτου, τοῖς μὲν ἄλλοις ἔγραψεν, αὐτῷ δὲ οὐκ ἐδήλωσεν. Ἀλλὰ νῦν γε (φησὶν) γράψον τὸ πῶς ἔχεις, καὶ μή τινές σε τῶν συγκυνηγετούντων ἐγκατέλιπον, ἵνα δίκην δῶσιν. τοῖς δὲ περὶ Ἡφαιστίωνα διὰ πράξεις τινὰς ἀποῦσιν ἔγραψεν ὅτι παιζόντων αὐτῶν πρὸς ἰχνεύμονα, τῷ Περδίκκου δορατίῳ περιπεσὼν Κρατερὸς, τοὺς μηροὺς ἐτρώθη.

Πευκέστᾳ δὲ σωθέντος ἔκ τινος ἀσθενείας, ἔγραψε πρὸς Ἀλέξιππον τὸν ἰατρὸν εὐχαριστῶν. Κρατεροῦ δὲ νοσοῦντος, ὄψιν ἰδὼν καθ' ὕπνον, αὐτός τε τινὰς θυσίας ἔθυεν ὑπὲρ αὐτοῦ, κἀκεῖνον θῦσαι ἐκέλευσεν. ἔγραψε δὲ καὶ Παυσανίᾳ τῷ ἰατρῷ, βουλομένῳ τὸν Κρατερὸν ἐλλεβορίσαι, τὰ μὲν ἀγωνιῶν, τὰ δὲ παραινῶν ὅπως χρήσηται τῇ φαρμακείᾳ. τοὺς δὲ πρώτους τὴν Ἁρπάλου φυγὴν καὶ ἀπόδρασιν ἀπαγγείλαντας ἔδησεν, Ἐφιάλτην καὶ Κίσσον, ὡς καταψευδομένους τοῦ ἀνδρός. ἐπεὶ δὲ τοὺς ἀσθενοῦντας αὐτοῦ καὶ γέροντας εἰς οἶκον ἀποστέλλοντος, Εὐρύλοχος Αἰγαῖος ἀπέγραψεν ἑαυτὸν εἰς τοὺς νοσοῦντας· εἶτα φωραθεὶς ἔχων οὐδὲν κακὸν, ὡμολόγησεν Τελεσίππας ἐρᾶν, καὶ συνεπακολουθεῖν ἐπὶ θάλασσαν ἀπιούσης ἐκείνης. ἠρώτησεν τίνων ἀνθρώπων ἐστὶ τὸ γύναιον. ἀκούσας δὲ ὅτι τῶν ἐλευθέρων ἑταιρῶν, Ἡμᾶς μὲν (εἶπεν) ὦ Εὐρύλοχε, συνερῶντας ἔχεις· ὅρα δὲ ὅπως πείθωμεν ἢ δώροις ἢ λόγοις τὴν Τελεσίππαν, ἐπειδήπερ ἐξ ἐλευθέρας ἐστίν. θαυμάσαι δὲ αὐτὸν ἔστιν ὅτι καὶ μέχρι τοιούτων ἐπιστολῶν τοῖς φίλοις ἐσχόλαζεν, οἷα γράφει, παῖδα Σελεύκου εἰς Κιλικίαν ἀποδεδρακότα κελεύων ἀναζητῆσαι, καὶ Πευκέσταν ἐπαινῶν ὅτι Νίκωνα Κρατεροῦ δοῦλον συνέλαβεν· καὶ Μεγαβύζῳ περὶ τοῦ θεράποντος τοῦ ἐν τῷ ἱερῷ καθεζομένου, κελεύων αὐτὸν, ἂν δυνήται, συλλαβεῖν ἔξω τοῦ ἱεροῦ προκαλεσάμενος, ἐν δὲ τῷ ἱερῷ μὴ προσάπτεσθαι. λέγεται δὲ καὶ τὰς δίκας διακρίνων ἐν ἀρχῇ τὰς θανατικὰς, τὴν χεῖρα τῶν ὤτων τῷ ἑτέρῳ προστιθέναι, τοῦ κατηγόρου λέγοντος, ὅπως τῷ κινδυνεύοντι καθαρὸν φυλάττηται καὶ ἀδιάβλητον. ἀλλ' ὕστερόν γε αὐτὸν ἐξετράχυναν αἱ πολλαὶ διαβολαὶ, διὰ τῶν ἀληθῶν πάροδον πίστιν ἐπὶ τὰ ψευδῆ λαβοῦσαι. καὶ μάλιστα κακῶς ἀκούων, ἐξίστατο τοῦ φρονεῖν· καὶ χαλεπὸς ἦν καὶ ἀπαραίτητος, ἅτε δὴ τὴν δόξαν ἀντὶ τοῦ ζῆν καὶ τῆς βασιλείας ἠγαπηκώς. τότε δὴ ἐξήλαυνεν ἐπὶ Δαρεῖον, ὡς πάλιν μαχούμενος. ἀκούσας δὲ τὴν ὑπὸ Βήσσου γενομένην αὐτοῦ σύλληψιν, ἀπέλυσεν τοὺς Θεσσαλοὺς οἴκαδε, δισχίλια τάλαντα δωρεὰν ἐπιμετρήσας τῆς μισθοφορᾶς. πρὸς δὲ τὴν τὴν δίωξιν ἀργαλέαν καὶ μακρὰν γινομένην, (ἕνδεκα γὰρ ἡμέραις ἱππάσατο τρισχιλίους καὶ τριακοσίους σταδίους) ἀπηγόρευσαν μὲν οἱ πλεῖστοι, καὶ μάλιστα κατὰ τὴν ἀνυδρίαν. ἔνθα δὴ Μακεδόνες τινὲς ἀπήντησαν αὐτῷ, ὕδωρ ἐν ἀσκοῖς ἐφ' ἡμιόνων κομίζοντες ἀπὸ τοῦ ποταμοῦ. καὶ θεασάμενοι τὸν Ἀλέξανδρον ἤδη μεσημβρίας οὔσης κακῶς ὑπὸ δίψους ἔχοντα, ταχὺ πλησάμενοι κράνος προσήνεγκαν. πυθομένου δὲ αὐτοῦ τίσιν κομίζοιεν, Υἱοῖς (ἔφασαν) ἰδίοις· ἀλλὰ σοῦ ζῶντος, ἑτέρους ποιησόμεθα, κἂν ἐκείνους ἀπολέσωμεν. ταῦτα ἀκούσας, ἔλαβεν εἰς τὰς χεῖρας τὸ κράνος· περιβλέψας δὲ καὶ θεασάμενος τοὺς περὶ αὐτὸν ἱππεῖς, ἅπαντας ἐγκεκλικότας τὰς κεφαλὰς, καὶ πρὸς τὸ ποτὸν βλέποντας, ἀπέδωκεν, οὐ πιὼν, ἀλλὰ ἐπαινέσας τοὺς ἀνθρώπους, ἂν γὰρ αὐτὸς (ἔφη) πίω μόνος, ἀθυμήσουσιν οὗτοι. θεασάμενοι δὲ τὴν ἐγκράτειαν αὐτοῦ καὶ μεγαλοψυχίαν οἱ ἱππεῖς, ἄγειν ἀνέκραγον θαρροῦντα, καὶ τοὺς ἵππους ἐμάστιζον. οὔτε γὰρ κάμνειν, οὔτε διψᾶν, οὐδ' ὅλως θνητοὺς εἶναι νομίζειν αὐτοὺς ἕως ἂν ἔχωσι βασιλέα τοιοῦτον. ἡ μὲν οὖν προθυμία πάντων ἦν ὁμοία, μόνους δέ φασιν ἑξήκοντα συνεκπεσεῖν εἰς

A Quum Peuceſtas ex morbo quodam reua-luiſſet, ad medicum Alexippum ſcripſit age-re ſe ei gratias. Cratero affecto, quũ viſio eſ-ſet ei per quietẽ oblata, & ipſe pro ſalute eius ſacrificauit, & illum iuſſit. Pauſaniæ medico ſcripſit, vbi elleboro eum purgare Craterum accepit velle, partim ęſtuãs, partim admonẽs quemadmodũ medicamentũ propinaret. Il-los qui Harpali fugã primi nuntiauerunt in vincula conie cit, Ephialtẽ & Ciſſum, tanquã mendacia de eo nuntiantes. Quum infirmos & ætate graues domũ remitteret, Euryloch⁹ B autem Aegæus retuliſſet ſe inter ęgrotos, in-de cõpertus nullo morbo teneri, Teleſippæ amore cõfeſſus eſſet ſe deperire, ac comitari ad mare velle abeuntẽ, quæſiuit cuius con-ditionis mulier eſſet. Audito meretricem li-beram eſſe, Habes nos Euryloche, inquit, ti-bi in amore fauentes: at tu da operam, quan-doquidem libera eſt Teleſippa, vt vel donis vel verbis eam inducamus. Mirũ verò eſt va-caſſe eum etiã hactenus amicis, literas vt hu-iuſcemodi mitteret, cuiuſcemodi ſcripſit, C Seleuci puerum qui in Ciliciam profugerat, imperans requiri: Peuceſtam cõmendans ꝙ ſeruum Crateri Niconem corripuiſſet: Me-gabyzo, de ſeruo qui ad ædem ſacram confu-gerat, iubens, ſi queat, extra templum vt in-uitatum occuparet, in templo ne ei iniiceret manum. Iam initio quum iudicia capitalia diſceptaret, fama tenet manum eum alteri auri, dum diceret accuſator, admouere ſoli-tum, reo vt alteram integram & intactam ſeruaret à calumniis. Cæterùm pòſt crebræ calumniæ per veros tramites ad mendacia fi-D dem accipientes exaſperauerunt eum. præci-puè verò quũ ſermonibus ſuorũ carperetur, exibat de poteſtate, ſæuúſque erat atque in-exorabilis: nempe qui gloriam vitæ & regno anteferret. Porro ea tempeſtate in Darium, quaſi bellum reparaſſet, perrexit. Quem vt vinctum accepit à Beſſo, Theſſalos remiſit in patriam, ac duo millia talentûm ſtipen-diis eorum cumuli dono adiecit. Dum con-ſectatur Darium, in itinere laborioſo & pro-lixo (nam diebus vndecim tria millia trecen-E ta ſtadia confecit) plerique laſſitudine ſunt confecti, & præſertim aquæ penuria. Ibi oc-currerunt ei Macedones quidam, qui aquam in vtribus à flumine mulis portabant: cõſpi-cientéſque Alexandrum medio iam die ſiti maceratum, impleuerunt confeſtim galeam, eíque obtulere. Requirente eo quibúſnam aquam afferrent, Liberis noſtris, reſpondêre. « verùm te incolumi alios gignemus, etiamſi « hos amiſerimus. Sub quorum dicta accepit galeam. Cæterùm circumlatis oculis, vbi vi-dit qui ipſum comitabantur equites capite F inclinato potum reſpicientes, reddidit illis aquam non guſtatã, laudauítque eos. Nam ego, inquit, ſi ſolus bibero, hi elangueſcent. Regis conſpicati equites continentiã & ma-gnitudinem animi, duceret, & bono animo eſſet, vociferati ſunt: & equos verberarunt. nã neq; fatigari ſe neq; ſitire, ſed nec morta-les ducere eſſe, quoad talem haberẽt regem. Alacritas erat quidem omnium par, ſed ſo-los ſexaginta ferunt Alexandrum in caſtra

hoſtium perſequutos. Ibi vim magnam auri & argenti proiecti ſupergredic̃tes, multa vehicula puerorum mulierúmque aurigis deſtituta & vagantia præteruecti, primorum tergis inhæſerunt, in illis rati Darium eſſe. Vix tandem inuenitur corpore multis confoſſo iaculis in curru iacens, propè iam moribundus: potum tamen poſtulauit. Vt frigidam hauſit, illum qui porrexerat, Polyſtratum, affatus eſt, Hic mihi terminus, quicunque es, omnis eſt infelicitatis, ꝙ beneficium acceptum nequeam rependere. verùm referet
» Alexander tibi gratiam: Alexandro dij
» immortales, quòd tam humanus in genitri-
» cem, vxorem & liberos meos fuerit: cui hanc
» dextram *te interprete porrigo. Ita fatus, apprehenſa Polyſtrati manu, expirauit. Poſtquam ſuperuenit Alexāder, non obſcurè indoluit huic miſero caſui, chlamydémq; ſuā ſoluit, eáque iniecta corpus inuoluit. Beſſum pòſt comprehenſum dilacerauit, directis arboribus duabus in vnum deflexis, quarum vtrique corporis partem alligauit, inde laxatæ ambæ, atque impetu in ſedem ſuam relatæ, partem ſibi annexam retinuere. Corpus Darij regio cultum more ad matrem eius miſit. Fratrem eius Exathrem in cohortem recepit amicorum. Hinc cum expeditiſsimis copiis deſcendit in Hyrcaniam. Sinum illic maris Ponto (vt apparebat) inuenit non minorem, ſed cætero mari dulciorē. Verùm certi nihil habuit de eo diſcere. Omnino coniecit Mæotin lacum illuc reſtagnare. Atqui non præteriit phyſicos veritas, ſed multis ante Alexandri expeditionem annis ſcripſerunt, in quatuor ſinibus, qui ex Oceano ſubeunt continentem, hunc maximè ad Boream vergere. Hyrcanum pelagus & Caſpium pariter nuncupant. Ibi barbari repentino incurſu exceperunt eos qui equum Alexandri Bucephalan ducebant. Quod ille haud moderatè tulit, ſed miſſo caduceatore, ni remiſiſſent ſibi equum, omnibus necem cum liberis & coniugibus denuntiauit. Quibus equum ad eum reducentibus, vrbéſque ſuas dedentibus, præbuit ſe omnibus humanum: atque illis qui ceperant equum, pretiū dedit redemptionis. Hinc Parthiam petēs, quum in otio ageret, primùm veſtem barbaricam ſumpſit, incertum, vt accommodaret ſe incolarum moribus, multùm exiſtimans valiturum ad manſuefaciendos homines, ſi conſuetudinē & patrios mores eorum vſurparet: an tentare hac re Macedonas, atque ad adorandum ſe traducere, morúmque patriorum ferre conuerſionem & tranſitum in alienos voluit aſſuefacere. Habitum Medicū tamen, quòd prorſus barbaricus eſſet & alienius, repudiauit, nec anaxyridas vel cādyn tiarámve ſumpſit, ſed medium inter Perſicum & Medicum ſcitè temperauit, minus hoc tumidum, & inſolentiorem illo. Vſurpauit cum primùm *agens cum barbaris ac ſub tecto cum amicis, deinde eo cultu prodiit in publicum, ac quum vacaret poſtulationibus conſpiciendum ita dedit ſe omnibus. Erat acerbū id Macedonibus ſpectaculum: ſed miraculo ducti reliquæ eius virtutis, quædam

Per te por. Vel, Tua opera. Quidam interp. Te nuntio.

Eo cultu, quum equitans in publ. prodiret, ac quū v.p. conſp. dod.

A τὸ στρατόπεδον τῶν πολεμίων. ἔνθα δὴ πολὺν μὲν ἄργυρον καὶ χρυσὸν ἐρριμμένον ὑπερβαίνοντες, πολλὰς δὲ παίδων καὶ γυναικῶν ἁρμαμάξας ἡνιόχων ἐρήμους διαφερομένας παρερχόμενοι, τοὺς πρώτους ἐδίωκον, ὡς ἐν ἐκείνοις Δαρεῖον ὄντα. μόλις δὲ εὑρίσκεται, πολλῶν ἀκοντισμάτων κατάπλεως τὸ σῶμα, κείμενος ἐν ἁρμαμάξῃ, μικρὸν ἀπολείπων τοῦ τελευτᾶν. ὅμως δὲ καὶ πιεῖν ᾔτησε· καὶ πιὼν ὕδωρ ψυχρόν, εἶπε πρὸς τὸν δόντα Πολύστρατον, Ὦ ἄνθρωπε, τοῦτό μοι πέρας γέγονε δυστυχίας ἁπάσης, εὖ παθεῖν, ἀμείψασθαι μὴ δυνάμενον·
B ἀλλ᾽ Ἀλέξανδρος ἀποδώσει σοι τὴν χάριν, Ἀλεξάνδρῳ δὲ οἱ θεοί, τῆς εἰς μητέρα καὶ γυναῖκα καὶ παῖδας τοὺς ἐμοὺς ἐπιεικείας, ᾧ ταύτην δίδωμι τὴν δεξιὰν διὰ σοῦ. ταῦτα εἰπὼν καὶ λαβόμενος τῆς τοῦ Πολυστράτου χειρός, ἐξέλιπεν. Ἀλέξανδρος δὲ ὡς ἐπῆλθεν, ἀλγῶν τε τῷ πάθει φανερὸς ἦν, καὶ τὴν ἑαυτοῦ χλαμύδα λύσας ἐπέβαλε τῷ σώματι, καὶ περιέστειλε· καὶ Βῆσσον μὲν ὕστερον εὑρὼν διεσφενδόνησεν, ὀρθίων δένδρων εἰς ταὐτὸ καμφθέντων ἑκατέρῳ μέρος προσαρτήσας τοῦ
C σώματος· εἶτα μεθεὶς ἑκάτερον, ὡς ὥρμητο ῥύμῃ φερόμενον, τὸ προσῆκον αὐτῷ μέρος νείμασθαι. τότε δὲ τοῦ Δαρείου τὸ μὲν σῶμα κεκοσμημένον βασιλικῶς πρὸς τὴν μητέρα ἀπέστειλε, τὸν δὲ ἀδελφὸν Ἐξάθρην εἰς τοὺς ἑταίρους ἀνέλαβεν. αὐτὸς δὲ μετὰ τῆς ἀκμαιοτάτης δυνάμεως εἰς Ὑρκανίαν κατέβαινε· καὶ πελάγους ἰδὼν κόλπον, οὐκ ἐλάττονα μὲν τοῦ Πόντου φανέντα, γλυκύτερον δὲ τῆς ἄλλης θαλάττης, σαφὲς μὲν οὐδὲν ἔσχε πυθέσθαι περὶ αὐτοῦ, μάλιστα δὲ εἴκασε τῆς Μαιώτιδος λίμνης ἀνακοπὴν εἶναι. καίτοι τούς
D γε φυσικοὺς ἄνδρας οὐκ ἔλαθεν ἡ ἀλήθεια, ἀλλὰ πολλοῖς ἔτεσιν ἔμπροσθεν τῆς Ἀλεξάνδρου στρατείας ἱστορήκασιν ὅτι τεσσάρων κόλπων εἰσεχόντων ἀπὸ τῆς ἔξω θαλάσσης, βορειότατος οὗτός ἐστι, τὸ Ὑρκάνιον πέλαγος καὶ Κάσπιον ὁμοῦ προσαγορευόμενον. ἐνταῦθα τῶν βαρβάρων τινὲς ἀπροσδοκήτως περιτυχόντες τοῖς ἄγουσι τὸν ἵππον αὐτοῦ τὸν Βουκεφάλαν, λαμβάνουσιν. ὁ δὲ ἤνεγκεν οὐ μετρίως, ἀλλὰ κήρυκα πέμψας, ἠπείλησε πάντας ἀποκτενεῖν μετὰ τέκνων καὶ γυναικῶν, εἰ τὸν ἵππον αὐτῷ μὴ ἀναπέμψειαν. ἐπεὶ
E δὲ καὶ τὸν ἵππον αὐτῷ ἄγοντες ἧκον, καὶ τὰς πόλεις ἐγχειρίζοντες, ἐχρήσατο φιλανθρώπως πᾶσι, καὶ τοῦ ἵππου λύτρα τοῖς λαβοῦσιν ἔδωκεν. ἐντεῦθεν εἰς τὴν Παρθικὴν ἀναζεύξας καὶ σχολάζων, πρῶτον ἐνεδύσατο τὴν βαρβαρικὴν στολήν, εἴτε βουλόμενος αὐτὸν συνοικειοῦν τοῖς ἐπιχωρίοις νόμοις· (ὡς μέγα πρὸς ἐξημέρωσιν ἀνθρώπων τὸ συνήθες καὶ ὁμόφυλον) εἴτ᾽ ἀπόπειρά τις ὑφεῖτο τῆς προσκυνήσεως αὕτη τοῖς Μακεδόσι, κατὰ μικρὸν ἀναχέσθαι τὴν ἐκδιαίτησιν αὐτοῦ καὶ μεταβολὴν ἐθιζομένοις. οὐ μὴν
F τήν γε Μηδικὴν προσήκατο παντάπασι, βαρβαρικὴν καὶ ἀλλόκοτον οὖσαν, οὐδὲ ἀναξυρίδας, οὐδὲ κάνδυν, οὐδὲ τιάραν ἔλαβεν, ἀλλὰ ἐν μέσῳ τινὰ τῆς Περσικῆς καὶ τῆς Μηδικῆς, μιξάμενος εὖ πως, ἀτυφοτέραν μὲν ἐκείνης, ταύτης δὲ σοβαρωτέραν οὖσαν. ἐχρῆτο δὲ τὸ μὲν πρῶτον, ἐντυγχάνων τοῖς βαρβάροις καὶ τοῖς ἑταίροις κατ᾽ οἶκον, εἶτα τοῖς πολλοῖς οὕτως ἐξελαύνων καὶ χρηματίζων ἑωρᾶτο. καὶ λυπηρὸν μὲν ἦν τοῖς Μακεδόσι τὸ θέαμα· τὴν δὲ ἄλλην αὐτοῦ θαυμάζοντες ἀρετήν,

ᾤοντο δεῖν ἔνια τῶν πρὸς ἡδονὴν αὐτῷ καὶ δόξαν ἐπιχωρεῖν· ὅς γε πρὸς ἅπασι τοῖς ἄλλοις, ἔναγχος τόξευμα μὲν εἰς τὴν κνήμην λαβὼν, ὑφ' οὗ τῆς κερκίδος ὀστέον ἀποθραυσθὲν ἐξέπεσε, λίθῳ δὲ πληγεὶς πάλιν εἰς τὸν τράχηλον, ὥστε καὶ τῆς ὄψεως ἀχλὺν ὑποδραμεῖν, παραμείνασαν οὐκ ὀλίγον χρόνον, ὅμως οὐκ ἐπαύετο χρώμενος ἑαυτῷ πρὸς τοὺς κινδύνους ἀφειδῶς· ἀλλὰ καὶ τὸν Ὀρεξάρτην διαβὰς ποταμὸν (ὃν αὐτὸς ᾤετο Τάναϊν εἶναι) καὶ τοὺς Σκύθας τρεψάμενος, ἐδίωξεν ἐπὶ σταδίους ἑκατὸν, ἐνοχλούμενος ὑπὸ διαρροίας. ἐνταῦθα δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστιν καὶ Πολύκριτος, καὶ Ὀνησίκριτος, καὶ Ἀντιγένης, καὶ Ἴστρος· Ἀριστόβουλος δὲ καὶ Χάρης ὁ εἰσαγγελεὺς, καὶ Πτολεμαῖος, καὶ Ἀντικλείδης, καὶ Φίλων ὁ Θηβαῖος, καὶ Φίλιππος ὁ εἰσαγγελεύς· πρὸς δὲ τούτοις, Ἑκαταῖος ὁ Ἐρετριεὺς, καὶ Φίλιππος ὁ Χαλκιδεὺς, καὶ Δοῦρις ὁ Σάμιος, πλάσμα φασὶ γεγονέναι τοῦτο. καὶ μαρτυρεῖν αὐτοῖς ἔοικεν Ἀλέξανδρος. Ἀντιπάτρῳ γὰρ ἅπαντα γράφων ἀκριβῶς, τὸν μὲν Σκύθην φησὶν αὐτῷ διδόναι τὴν θυγατέρα πρὸς γάμον, Ἀμαζόνος δὲ οὐ μνημονεύει. λέγεται δὲ πολλοῖς χρόνοις Ὀνησίκριτος ὕστερον ἤδη βασιλεύοντι Λυσιμάχῳ τῶν βιβλίων τὸ τέταρτον ἀναγινώσκειν, ἐν ᾧ γέγραπται περὶ τῆς Ἀμαζόνος. τὸν οὖν Λυσίμαχον ἀτρέμα μειδιάσαντα, Καὶ ποῦ (φάναι) τότε ἤμην ἐγώ; Ταῦτα μὲν οὖν ἄν τις οὔτε ἀπιστῶν, ἧττον, οὔτε πιστεύων, μᾶλλον Ἀλέξανδρον θαυμάσειεν. Φοβούμενος δὲ τοὺς Μακεδόνας, μὴ εἰς τὰ ὑπόλοιπα τῆς στρατείας ἀπαγορεύσωσιν, τὸ μὲν ἄλλο πλῆθος εἴασε κατὰ χώραν, τοὺς δὲ ἀρίστους ἔχων ἐν Ὑρκανίᾳ μεθ' ἑαυτοῦ, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς, προσέβαλλε, λέγων, ὡς νῦν μὲν αὐτοὺς ἐνύπνιον τῶν βαρβάρων ὁρώντων, ἂν δὲ μόνον ταράξαντες τὴν Ἀσίαν ἀπίωσιν, ἐπιθησομένων εὐθὺς ὥσπερ γυναιξίν. οὐ μὴν ἀλλ' ἀπιέναι γε τοὺς βουλομένους ἔφη, καὶ μαρτυράμενος ὅτι τὴν οἰκουμένην τοῖς Μακεδόσι κτώμενος ἐγκαταλέλειπται μετὰ τῶν φίλων καὶ τῶν ἐθελόντων στρατεύειν. ταῦτα σχεδὸν αὐτοῖς ὀνόμασιν ἐν τῇ πρὸς Ἀντίπατρον ἐπιστολῇ γέγραπται· καὶ ὅτι ταῦτα εἰπόντος αὐτοῦ πάντες ἐξέκραγον, ὅπου βούλεται τῆς οἰκουμένης, ἄγειν. δεξαμένων δὲ τούτων τὴν πεῖραν, οὐκέτι ἦν χαλεπὸν προσαχθῆναι τὸ πλῆθος, ἀλλὰ ῥᾳδίως ἐπηκολούθησεν. οὕτω δὴ καὶ τὴν δίαιταν ἔτι μᾶλλον ὡμοίου τοῖς ἐπιχωρίοις ἑαυτὸν, ἐκεῖνά τε προσῆγε τοῖς Μακεδονικοῖς ἔθεσιν, ἀνακράσει καὶ κοινωνίᾳ μᾶλλον δι' εὐνοίας καταστήσεσθαι τὰ πράγματα νομίζων ἢ βίᾳ, μακρὰν ἀπαίροντος αὐτοῦ. διὸ καὶ τρισμυρίους παῖδας ἐπιλεξάμενος, ἐκέλευσε γράμματά τε μανθάνειν Ἑλληνικὰ καὶ Μακεδονικοῖς ὅπλοις ἐντρέφεσθαι, πολλοὺς ἐπιστάτας καταστήσας. καὶ τὰ περὶ Ῥωξάνην, ἔρωτι μὲν ἐπράχθη, καλὴν καὶ ὡραίαν ἔν τινι χρόνῳ παρὰ πότον ὀφθεῖσαν· ἔδοξεν δὲ οὐκ ἀνάρμοστα τοῖς ὑποκειμένοις εἶναι πράγμασιν. ἐθάρρησαν γὰρ οἱ βάρβαροι τῇ κοινωνίᾳ τοῦ γάμου, καὶ τὸν Ἀλέξανδρον ὑπερηγάπησαν, ὅτι σωφρονέστατος περὶ ταῦτα γενόμενος, οὐδὲ ἧς μόνης ἡττήθη γυναικὸς, ἄνευ νόμου θιγεῖν ὑπέμεινεν. ἐπεὶ δὲ καὶ τῶν φίλων ἑώρα τῶν μεγίστων, Ἡφαιστίωνα μὲν, ἐπαινοῦντα καὶ συμμετακοσμούμενον αὐτῷ, Κρατερὸν δὲ τοῖς πατρίοις ἐμμένοντα· δι' ἐκείνου μὲν ἐχρημάτιζε τοῖς βαρβάροις, διὰ τούτου δὲ τοῖς Ἕλλησι καὶ τοῖς Μακεδόσι· καὶ ὅλως τὸν μὲν ἐφίλει

A putabant libidini & gloriæ concedenda eius qui præter omnia alia, quum nuper ſagitta in crure ictus, vt os radij fractum excideret, rurſus lapide ſecundum ceruicem aſſlictus, vt caligo oculis eius offunderetur; quæ non paruo ſpatio tenuit eum; nuſquam tamen parceret ſibi in periculis: ſed & tranſmiſſo Orexarte amne (quem ipſe eſſe arbitrabatur Tanaim) fuſos fugatóſque Scythas, quamuis ventris fluore infeſtaretur, ad centum ſtadia eſt inſectatus. Eò veniſſe ad eum Amazonem perhibent multi, inter quos Cli- B tarchus, Polycritus, Oneſicritus, Antigenes, Hiſter ſunt: Ariſtobulus verò, Chares Iſangelus, Ptolemæus, Anticlides, Philon Thebanus, Philippus Iſangelus, inſuper Eretrieſis Hecatæus, Philippus Chalcidenſis, Duris Samius, eſſe hoc aſſerunt commentum. Quibus adſtipulari appatet Alexandrum. ſiquidem Antipatro omnia exactè ſcribens, Scytham ait filiæ ſibi nuptias obtuliſſe, Amazonis nuſquam meminit. Fama eſt, multis annis pòſt Lyſimacho iam regnanti Oneſicritum C quartum librum ſuum recitauiſſe, in quo meminit Amazonis: ac Lyſimachum ſubridentem dixiſſe, Et vbi tunc ego eram? His ſiue fidem detrahas, non eo Alexandrum minus, ſiue adiungas, pluris facias. Porro timens ne ad reliqua expeditionis torpeſcerent Macedones, reliquam multitudinem reliquit in ſtatiuis. Delectiſsimos verò quum in Hyrcaniæ ſecum haberet, ad viginti millia peditum & tria equitum, propoſuit his à barbaris nunc ipſos per ſomnium viſos eſſe: quòd ſi commota tantùm deceſsiſſent Aſia, mox ad- D orituros illos velut fœminas. Veruntamen abire iuſsit, ſiquis vellet, conteſtatúſque, dum Macedonibus orbē terræ ſubigit, ipſo in negotio ſe cum amicis & voluntariis militibus deſtitutum. Hæc penè ad verbum in epiſtola ad Antipatrum perſequutus eſt: quæ quū dixiſſet, omnes cōclamaſſe, duceret quò terrarum vellet. Horum explorata voluntate, procliue iam fuit inducere vulgus, quod facilè eſt aſſenſum. Tum verò multo magis ſe barbarorum moribus accommodauit, illóſ- E que cum inſtitutis commiſcuit Macedonicis, temperatura & communione ſtabiliturum firmius ſe per beneuolentiam imperium exiſtimans, quàm vi, quum procul abſcederet. Itaque triginta millia delectorum puerorum literis Græcis imbui ac Macedonicis inſtitui armis curauit, quibus præpoſuit multos præceptores. Atque Roxanes quidē nuptias cōciliauit amore, cuius eum ſpecies & forma aliquando inter pocula cepit. Non alienæ præſentibus negociis habitæ ſunt tamen. quippe harum fœdere nuptiarum ere- F xerunt ſe barbari, miróque amore ſunt Alexandrū proſequuti, quòd qui eſſet in his continentiſsimus, ne eam quidem, cui ſuccubuit vni, attingere mulierem niſi legitimè ſuſtinuerit. Quum autē ex primis amicis cerneret his aſſentientem Hephæſtionē, atque ad inſtitutum ſuum ſe accōmodantem, Craterū verò patriis inſiſtentē moribus, hoc interprete Græcis & Macedonib⁹ reſpōſa dabat, illo barbaris. Et omnino hunc in maximo

Vox Gr. non eſt viri cognomen, ſed certi apud reges officii nomen, vt in Theſauro Gr. linguæ docui. Sic & paulo pòſt.

honore habebat, illum maximè diligebat, exiſtimãs & dicens perpetuò Hephæſtionem Alexãdri amantẽ, Craterum, regis eſſe. Quapropter exiſtebant inter hos inuicẽ æmulos crebræ offenſiones. Semel in India etiam ad manus venere diſtrictis enſibus. Subuenientibus vtrique amicis accurrẽs Alexander, pbris increpauit Hephæſtionẽ, propalàm ſtolidum eum & amentẽ vocans, niſi intelligeret, ſiquis ei detraheret Alexandrum, actum de ipſo eſſe. Priuatim Craterum corripuit amarè: reconciliatáque ac reſtituta inter eos gratia, per Ammonẽ atque omnes deos ſanctè iurauit, eos ſibi ſupra omnes mortales charos eſſe: quos ſi iterũ cõcertare perciperet, ambos necaturũ ſe, aut eum initium qui dediſſet. Vnde ne per iocum quidẽ deinceps alter alterum vllo dicto vel facto dicitur laceſſiuiſſe. At Philotas Parmenionis autoritate inter Macedonas ſumma erat. Etenim ſtrenuus habebatur & laboris tolerans, munificus autem & effuſus in amicos adeo, vt ſecundum Alexandrum alius nemo. (ac fertur, quum neceſſarius quidam illius argẽtũ ab ipſo poſceret, iuſsiſſe dari. Negante procuratore eſſe, Quid ais? inquit: ne poculum quidem aut veſtem habes?) cæterùm animi tumore & opum ſupercilio, corporiſq; cultu & victu inſolentior erat quàm pro priuato faſtigio. Et ſanè grauitatem tunc amplitudinémque non vrbanitate, ſed ſine gratiis ineptè & inſulſè exprimens ſuſpiciones ſibi conciliauit & inuidiam: vt Parmenio etiam ei aliquando diceret, Deteriorem te mihi fili redde. Hic iamdudum delatus apud Alexandrum fuerat. Quum enim Dario in Cilicia ſuperato, præda capta Damaſci fuiſſet, multis capitibus in caſtra adductis, mulier inter captiuos reperta fuit genere Pydnæa, eximia forma, Antigone dicta fuit. Hanc tenebat Philotas. Vt iuuenis apud amicam & per vinum multa arroganter & militari effuſiens ferocia, arrogauit, quicquid preclarè eſſet geſtũ, ſibi & patri: atq; Alexandrũ appellauit adoleſcentulum, qui ipſorum beneficio nomen regis teneret. Hæc mulier illa familiari cuidam enuntiauit, ille (vt fit) alteri: ita ad Craterum ſermo tandem eſt perlatus. Ille mulierem clàm introduxit ad Alexãdrum: qui his auditis conſuetudine vti eam iuſsit Philotæ, & quicquid intellexiſſet ex eo, id vt mox ad ſe deferret. Philotas verò, qui ita peti ſe ignorabat inſidiis, in contubernio Antigones multa verba & ſermones ineptos infeſtè & inſolenter in regem habuit. At Alexander, etſi grauiter delatus apud ipſum Philotas eſſet, omnia tamen vel beneuolentia fretus erga ſe Parmenionis, vel autoritatem eorum & potentiam timens, tacitus tulit & ſilentio oppreſsit. Eadem tempeſtate Macedo, nomine Dimnus, Chalæſtræus, capitales Alexãdro inſidias ſtruens adoleſcentem quendã Nicomachum, cuius flagrabat amore, inuitauit ad conſilij ſocietatem. Qui quum id repudiaſſet, & fratri indicaſſet Balino tentatum ſe, ille ad Philotam profectus petiit introduci ſe cũ fratre ad Alexandrum, rem magnam ſe & atrocẽ oſtendens habere,

Diſpenſatore.

Ad facinoris ſoc.

Et neceſſariam oſtend.

A μάλιστα, τὸν δὲ ἐτίμα· νομίζων καὶ λέγων ἀεὶ, τὸν μὲν Ἡφαιστίωνα, φιλαλέξανδρον εἶναι, τὸν δὲ Κρατερὸν, φιλοβασιλέα. διὸ καὶ πρὸς ἀλλήλους ὑπούλως ἔχοντες συνέκρουον πολλάκις. ἅπαξ δὲ περὶ τὴν Ἰνδικὴν καὶ εἰς χεῖρας ἦλθον, σπασάμενοι τὰ ξίφη· καὶ τῶν φίλων ἑκατέρῳ παραβοηθούντων, προσελάσας Ἀλέξανδρος, ἐλοιδόρει τὸν Ἡφαιστίωνα, φανερῶς, ἔμπληκτον καλῶν καὶ μαινόμενον, εἰ μὴ συνίησιν ὡς, ἐάν τις αὐτοῦ τὸν Ἀλέξανδρον ἀφέληται, μηδέν ἐστιν. ἰδίᾳ δὲ καὶ τοῦ Κρατεροῦ πικρῶς καθήψατο· καὶ συναγαγὼν αὐτοὺς καὶ διαλ- B λάξας, ἐπώμοσε τὸν Ἄμμωνα καὶ τοὺς ἄλλους θεοὺς, ἦ μὴν μάλιστα φιλεῖν ἀνθρώπων ἁπάντων ἐκείνους· ἂν δὲ πάλιν αἴσθηται διαφερομένους, ἀποκτενεῖν ἀμφοτέρους, ἢ τὸν ἀρξάμενον. ὅθεν ὕστερον οὐδὲ παίζοντες εἰπεῖν τι οὐδὲ πρᾶξαι πρὸς ἀλλήλους λέγονται. Φιλώτας δὲ ὁ Παρμενίωνος, ἀξίωμα μὲν εἶχεν ἐν τοῖς Μακεδόσι μέγα· καὶ γὰρ ἀνδρεῖος ἐδόκει καὶ καρτερικὸς εἶναι, φιλόδωρος δὲ οὕτω καὶ φιλέταιρος μετ' αὐτὸν Ἀλέξανδρον οὐδείς (λέγεται δ' οὖν ὅτι τῶν συνήθων τινὸς αἰτοῦντος ἀργύριον, ἐκέλευσε δοῦναι· φήσαν- C τος δὲ τοῦ διοικητοῦ μὴ ἔχειν, Τί λέγεις; εἶπεν, οὐδὲ ποτήριον ἔχεις, οὐδ' ἱμάτιον;) ὄγκῳ δὲ φρονήματος καὶ βάρει πλούτου, καὶ τῇ περὶ τὸ σῶμα θεραπείᾳ καὶ διαίτῃ χρώμενος ἐπαχθέστερον ἢ κατ' ἰδιώτην, καὶ τότε δὴ τὸ σεμνὸν καὶ ὑψηλὸν οὐκ ἐμμελῶς, ἀλλ' ἄνευ χαρίτων τῷ σολοίκῳ καὶ παραβαίμῳ μιμούμενος, ὑποψίαν καὶ φθόνον ἔσχεν· ὥστε καὶ Παρμενίωνα ποτὲ εἰπεῖν πρὸς αὐτὸν, Ὦ παῖ, χείρων μοι γίνου. πρὸς δὲ αὐτὸν Ἀλέξανδρον ἐκ πάνυ πολλῶν χρόνων ἐτύγχανε διαβεβλημένος. ὅτε γὰρ τὰ περὶ Δαμασκὸν ἑάλω χρήμα- D τα, Δαρείου νικηθέντος ἐν Κιλικίᾳ, πολλῶν σωμάτων κομισθέντων εἰς τὸ στρατόπεδον, εὑρέθη γύναιον ἐν τοῖς αἰχμαλώτοις, τῷ μὲν γένει Πυδναῖον, εὐπρεπὲς δὲ τὴν ὄψιν· ἐκαλεῖτο δὲ Ἀντιγόνη. τοῦτο ἔσχεν ὁ Φιλώτας· οἷα δὲ νέος πρὸς ἐρωμένην, καὶ σὺν οἴνῳ πολλὰ φιλότιμα καὶ στρατιωτικὰ παρρησιαζόμενος, ἑαυτοῦ τὰ μέγιστα τῶν ἔργων ἀπέφαινεν καὶ τοῦ πατρός· Ἀλέξανδρον δὲ μειράκιον ἀπεκάλει, δι' αὐτοὺς τὸ τῆς ἀρχῆς ὄνομα καρπούμενον. ταῦτα τῆς γυναικὸς ἐκφερούσης πρὸς τινα τῶν συνήθων, ἐκείνου δὲ (ὡς εἰκὸς) πρὸς ἕτερον, E περιῆλθεν εἰς Κρατερὸν ὁ λόγος· καὶ λαβὼν τὸ γύναιον, εἰσήγαγε κρύφα πρὸς Ἀλέξανδρον. ἀκούσας δὲ ἐκεῖνος, ἐκέλευσεν φοιτᾶν εἰς ταὐτὸ τῷ Φιλώτᾳ, καὶ πᾶν ὅ,τι ἂν ἐκπύθηται, τοῦτο πρὸς αὐτὸν ἀπαγγέλλειν βαδίζουσαν. ὁ μὲν οὖν Φιλώτας ἐπιβουλευόμενος οὕτως ἠγνόει, καὶ συνὼν τῇ Ἀντιγόνῃ, πολλὰ καὶ πρὸς ὀργὴν καὶ μεγαλαυχίαν κατὰ τοῦ βασιλέως ῥήματα καὶ λόγους ἀνεπιτηδείους προϊέμενος. ὁ δὲ Ἀλέξανδρος, καίπερ καρτερᾶς ἐνδείξεως κατὰ τοῦ Φιλώτου προσπεσούσης, ἐκαρτέρησεν σιωπῇ καὶ κατέσχεν, εἴτε θαρρῶν F τῇ Παρμενίωνος εὐνοίᾳ πρὸς αὐτὸν, εἴτε δεδιὼς τὴν δόξαν αὐτῶν καὶ τὴν δύναμιν. ἐν δὲ τῷ τότε χρόνῳ Μακεδὼν ὄνομα Λίμνος, ἐκ Χαλαίστρας, χαλεπῶς ἐπιβουλεύων Ἀλεξάνδρῳ, Νικόμαχόν τινα τῶν νέων, πρὸς ὃν αὐτὸς ἐρωτικῶς εἶχεν, ἐπὶ τὴν κοινωνίαν τῆς πράξεως παρεκάλει. τοῦ δὲ μὴ δεξαμένου, φράσαντος δὲ τῷ ἀδελφῷ Βαλείνῳ τὴν πεῖραν, ἐλθὼν ἐκεῖνος πρὸς Φιλώταν, ἐκέλευσεν εἰσαγαγεῖν αὐτοὺς πρὸς Ἀλέξανδρον, ὡς περὶ ἀναγκαίων ἔχοντας ἐν-

A τυχεῖν καὶ μεγάλων. ὁ δ᾽ ὅ,τι δὴ παθὼν (ἄδηλον γάρ ἐστιν) οὐ παρῆγεν αὐτούς, ὡς πρὸς ἄλλοις μείζοσι γιγνομένου τοῦ βασιλέως. καὶ τοῦτο δὶς ἐποίησεν. οἱ δὲ καθ᾽ ὑπεροψίαν ἤδη τοῦ Φιλώτου τραπόμενοι πρὸς ἕτερον, καὶ δι᾽ ἐκείνου τῷ Ἀλεξάνδρῳ προσαχθέντες, πρῶτον μὲν τὰ τοῦ Λίμνου κατεῖπον, ἔπειτα παρεδήλωσαν ἡσυχῇ τὸν Φιλώταν, ὡς ἀμελήσειεν αὐτῶν δὶς ἐντυχόντων. καὶ τοῦτο δὴ σφόδρα παρώξυνε τὸν Ἀλέξανδρον· καὶ τοῦ πεμφθέντος ἐπὶ τὸν Λίμνον, ὡς ἠμύνετο συλλαμβανόμενος, ἀποκτείναντος αὐτόν, ἔτι μᾶλλον διεταράχθη, τὸν ἔλεγχον ἐκπεφευγέναι τῆς ἐπιβουλῆς νομίζων. B καὶ πικρῶς ἔχων πρὸς τὸν Φιλώταν, ἐπεσπάσατο τοὺς πάλαι μισοῦντας αὐτόν, ἤδη φανερῶς λέγοντας, ὡς ῥαθυμία τοῦ βασιλέως εἴη, Λίμνον οἰομένου, Χαλαιστραῖον ἄνθρωπον, ἐπιχειρῆσαι τολμήματι τοσούτῳ καθ᾽ αὑτόν· ἀλλὰ τοῦτον μὲν ὑπηρέτην εἶναι, μᾶλλον δὲ ὄργανον ἀπὸ μείζονος ἀρχῆς ἀφιέμενον· ἐν ἐκείνοις δὲ τὴν ἐπιβουλὴν ζητητέον, οἷς μάλιστα ταῦτα λανθάνειν συνέφερεν. τοιούτοις λόγοις καὶ ὑπονοίαις ἀναπετάσαντες τὰ ὦτα τοῦ βασιλέως, ἐπῆγον ἤδη μυρίας κατὰ τοῦ Φιλώτου διαβολάς. C ἐκ τούτου δὲ συλληφθεὶς ἀνεκρίνετο, τῶν ἑταίρων ἐφεστώτων ταῖς βασάνοις, Ἀλεξάνδρου δὲ κατακούοντος, ἔξωθεν αὐλαίας παρατεταμένης· ὅτε δὴ καί φασιν αὐτὸν εἰπεῖν, οἰκτρὰς καὶ ταπεινὰς τοῦ Φιλώτου φωνὰς καὶ δεήσεις τοῖς περὶ τὸν Ἡφαιστίωνα προσφέροντος, Οὕτω δὴ μαλακὸς ὤν, ὦ Φιλῶτα, καὶ ἄνανδρος, ἐπεχείρεις πράγμασι τηλικούτοις; ἀποθανόντος δὲ τοῦ Φιλώτα, καὶ Παρμενίωνα, πέμψας εὐθὺς εἰς Μηδίαν, ἀνεῖλεν, ἄνδρα πολλὰ μὲν Φιλίππῳ συγκατεργασάμενον, μόνον δὲ, ἢ D μάλιστα τῶν πρεσβυτέρων φίλων, Ἀλέξανδρον εἰς Ἀσίαν ἐξορμήσαντα διαβῆναι. τριῶν δὲ υἱῶν, οὓς ἔσχεν ἐπὶ τῆς στρατιᾶς, δύο μὲν ἐπιδόντα πρότερον ἀποθανόντας, τῷ δὲ τρίτῳ συναναιρεθέντα. ταῦτα πραχθέντα πολλοῖς τῶν φίλων φοβερὸν ἐποίησε τὸν Ἀλέξανδρον, μάλιστα δὲ Ἀντιπάτρῳ. καὶ πρὸς Αἰτωλοὺς ἔπεμψε κρύφα, πίστεις διδοὺς καὶ λαμβάνων. ἐφοβοῦντο γὰρ Ἀλέξανδρον Αἰτωλοὶ διὰ τὴν Οἰνιαδῶν ἀνάστασιν, ἣν πυθόμενος, οὐκ Οἰνιαδῶν ἔφη παῖδας, ἀλλ᾽ αὐτὸν ἐπιθήσειν δίκην Αἰτωλοῖς. οὐ πολλῷ δὲ ὕστερον E συνηνέχθη καὶ τὰ περὶ Κλεῖτον, οὕτω μὲν ἁπλῶς πυθομένοις, τῶν κατὰ Φιλώταν ἀγριώτερα· λόγῳ μέντοι συντεθέντες ἅμα καὶ τὴν αἰτίαν καὶ τὸν καιρόν, οὐκ ἀπὸ γνώμης, ἀλλὰ δυστυχίᾳ τινὶ ταῦτα εὑρίσκοντες πεπραγμένα τοῦ βασιλέως, ὀργὴν καὶ μέθην πρόφασιν τῷ Κλείτου δαίμονι παρασχόντος. ἐπράχθη δὲ οὕτως. ἧκόν τινες ὀπώραν Ἑλληνικὴν ἀπὸ θαλάσσης τῷ βασιλεῖ κομίζοντες. ὁ δὲ θαυμάσας τὴν ἀκμὴν καὶ τὸ κάλλος, ἐκάλει τὸν Κλεῖτον, ἐπιδεῖξαι καὶ μεταδοῦναι βουλόμενος. ὁ δὲ θύων μὲν ἐτύγχανεν, ἀφεὶς δὲ F τὴν θυσίαν ἐβάδιζεν, καὶ τρία τῶν κατεσπεισμένων προβάτων ἐπηκολούθησεν αὐτῷ. πυθόμενος δὲ ὁ βασιλεύς, ἀνεκοινοῦτο τοῖς μάντεσιν, Ἀριστάνδρῳ καὶ Κλεομάντει τῷ Λάκωνι. φησάντων δὲ πονηρὸν εἶναι τὸ σημεῖον, ἐκέλευσεν ἐκθύσασθαι κατὰ τάχος ὑπὲρ τοῦ Κλείτου. καὶ γὰρ αὐτὸς ἡμέρᾳ τρίτῃ κατὰ τοὺς ὕπνους εἶδεν ὄψιν ἄτοπον. ἔδοξε γὰρ αὐτῷ τὸν Κλεῖτον μετὰ τῶν Παρμενίωνος υἱῶν ἐν μέλασιν ἱματίοις καθέζεσθαι, τεθνηκότων ἁπάντων. οὐ μὴν ἔφθασεν ὁ Κλεῖτος ἐκθυσάμενος,

quam ei aperirent. Ille, haud ſcio qua de cauſa, (incertum eſt enim) non introduxit eos ad illum, maioribus negotiis regem diſtrictum cauſatus. Bis id fecere. Itaque cœpit ijs Philotas eſſe *ſuſpectus: ita ad alium cõuerſi, atque per eum ad Alexãdrum admiſsi, primùm Dimni coniurationem detulerunt, deinde obiter adiecere, quũ bis interpellaſſent Philotam, non fuiſſe rem ei curæ. Enimuero id Alexandrum ſtimulauit: atque vbi ille qui ad comprehendendum Dimnum miſſus erat, defendentem ſe interfecit, impendio magis eſt commotus, indicem ratus amiſſum initæ in ſe conſpirationis. Huius in Philotam exacerbatus animus concitauit veteres inimicos eius, qui clarè fremebant ſocordem regẽ eſſe, quòd Dimnum cenſeat, hominem Chalæſtræum, tantum facinus ſuſcepiſſe ſolum: ſed hunc adminiſtrum, imò eſſe organum à principio motum maiore. In illis ſcrutandas inſidias quibus maximè hæc tegi bono eſſet. Hiſce verbis & ſuſpicionibus patefactas regis aures onerauerunt iam ſexcentis contra Philotam calumniis. Inde correptum torſerunt, aſsiſtentibus quæſtioni regis amicis, & Alexandro ponè obtenſam aulæam foris exaudiente. Quo tẽpore cũ dixiſſe aiũt, quum miſerãdis & abiectis vocibus precibuſq; Philotas Hephæſtionẽ cõpellaret, α Adeóne mollis tu Philota & effœminatus tantas res moliebare? α Necato Philota, *Parmenionem quoque certos miſit in Mediam qui interficerent, virum qui magnificas res cum Philippo geſſerat, ſolúſque, aut præcipuè ex veteribus amicis, ad tranſeundum in Aſiam incitauerat Alexandrum. Ex tribus filiis quos in caſtris habuit, duos ante viderat defunctos, cum tertio eſt vnà trucidatus. Hæc facta Alexandrum amicis reddiderunt formidabilem, imprimis Antipatro. Is ad AEtolos clàm miſit legatos, fidem dans & accipiens. nam timebant Alexandrum AEtoli ob OEniadarum excidium. quod vbi nuntiatum ei eſt, non OEniadarum ait filios ſed ipſum ſe pœnas ab AEtolis perſequuturum. Non multo pòſt Cliti caſus accidit, ſi ſic nudè audias, Philotæ calamitate tetrior: ſi tamen narrationi adiungas & cauſam & tempus, non de induſtria, ſed infortunio aliquo inuenias patratum, quando regis ira & vinum diræ fortunæ Cliti præbuit occaſionem. Id ad hunc modum geſtum eſt: Quidam ab ora maritima poma Græca regi attulerant: ille viriditatem eorum & ſpeciem miratus acciuit Clitum, vt ei oſtenderet illa & impertiretur. Fortè ille ſacrificabat: qui relictis ſacris, perrexit ad regem, cúmque tres oues, in quas facta iam fuerat libatio, ſunt ſequutæ. Quo intellecto, rex rem ad vates retulit Ariſtandrum & Cleomanta Laconem. Denuntiantibus illis tetrum prodigium eſſe, præcepit vt properè pro Clito litarent. quippe triduo antè oblata ei fuerat in ſomnis fœda ſpecies. Viſus eſt Clitum videre pullatum conſidentem inter Parmenionis filios qui erant omnes extincti. At Clitus, nondum litato, confe-

Legit καθ᾽ ὑποψίαν pro καθ᾽ ὑπεροψίαν.

Vel, Parm. ſtatim miſſum in Mediã interfecit.

ſtim ad cœnam venit, quum rex Caſtori & Polluci ſacrificaſſet. Dum ſtrenuè certatur poculis, cantata carmina ſunt Pranichi cuiuſdã, aut (vt alij volunt) Pierionis, in duces qui pridem victi à barbaris fuerant, ad probrum & riſum ſcripta. Stomachãtibus maioribus natu, inſectantibúſq; poetam & cantorem, Alexandro ex altera parte & aſſeclis eius libenter audientibus, atque vt recitaret exhortantibus: Clitus iam vino grauis, naturáq; aſper & ˙preſfractus, fremuit, negans cõuenire, præſertim vt inter barbaros & hoſtes, Macedones multo quàm qui riderẽt eos, (etiamſi infeſta eſſent fortuna vſi) preſtãtiores, ludibrio haberentur. Ibi quum diceret Alexander, ſibiipſi Clitum patrocinari, qui timiditatem aduerſæ fortunæ nomine cenſeret, exurgens Clitus, Atqui hæc, inquit, te timiditas diis prognatum à Spithridatis gladio terga iam dantem vindicauit: Macedonúmque ſanguine atque hiſce vulneribus ad tantum perueniſti faſtigij, vt repudiato Philippo, Ammonem tibi ipſe aſſeras patrem. Hinc accenſus Alexander, De hiſne, ſceleſte, inquit, quæ quotidie de nobis iactas, concitans Macedonas, gratulaturum te tibi ſperas? Enimuero nec nunc, inquit, nobis Alexander gratulamur, qui hæc premia ferimus laborum: verùm beatos ducimus illos qui iam prius fato functi ſunt quàm virgis Medicis lacerari viderint Macedonas, & aditum petentes ad regem à Perſis. Ea effundente Clito, Alexandróque contra inſurgente, ac Clitum proſcindente conuitiis, ſeniores comprimere enitebantur turbam. Ibi Alexander ad Xenodochum Cardianum & Colophonium Artemium verſus, Númne vobis, inquit, videntur inter Macedonas Græci, ſicut inter feras ſemidij, verſari? Quũ non cederet Clitus, ſed clamaret vt Alexander, ſi quid vellet, in medium proferret, aut ne ad cœnam vocaret liberos homines & liberam linguã habentes: verùm cum barbaris viueret & mancipiis, qui zonam Perſicam & candicantem tunicam adoraturi eſſent: haud vltrà par iræ Alexander, ex malis appoſitis vno coniecto percuſſit Clitum, & gladium quæſiuit. Quẽ quum vnus ſatellitum Ariſtophanes ſubtrahere maturaſſet, aliiq; eum ˙complecterentur & obſecrarent, proſiliens exclamauit, & lingua Macedonica armigeros vocauit (id ſignum erat ingentis tumultus) ac tubicinem canere iuſsit: cui, quòd cunctaretur & tergiuerſaretur, impegit colaphum. Verùm hic poſtea laudem meruit, quòd potiſsimùm in cauſa fuiſſet ne tumultus cieretur in exercitu. At Clitum eadem intemperantia furentem amici ægrè triclinio ſummouẽre. Quum ille altero oſtio regreditur, mirè ſecurè & ferociter Euripidis hos ex Andromache verſus pronuntians,

In Græcia mores mali ſunt. proh dolor!

Tum ablata cuidam ſatelliti Alexander haſta, obuium Clitum remouentémque velum ianuæ transfixit. Quo cum gemitu & fremitu cadente, mox ira animo eius deceſsit. Reuerſus ad ſe, & amicos cernens ſtupentes

Contumax. vel Arrogans.

Retinerent.

A ἀλλ' εὐθὺς ἐπὶ τὸ δεῖπνον ἧκεν τεθυκότος τοῦ βασιλέως Διοσκόροις. πότου δὲ νεανικοῦ συρραγέντος, ᾔδετο ποιήματα Πρανίχου τινὸς, (ὡς δέ φασιν ἔνιοι, Πιερίωνος) εἰς τοὺς στρατηγοὺς πεποιημένα τοὺς ἔναγχος ἡττημένους ὑπὸ τῶν βαρβάρων, ἐπ' αἰσχύνῃ καὶ γέλωτι. τῶν δὲ πρεσβυτέρων δυσχεραινόντων, καὶ λοιδορούντων τόν τε ποιητὴν καὶ τὸν ᾄδοντα, τοῦ δὲ Ἀλεξάνδρου καὶ τῶν περὶ αὐτὸν ἡδέως ἀκροωμένων, καὶ λέγειν κελευόντων, ὁ Κλεῖτος ἤδη μεθύων, καὶ φύσει τραχὺς ὢν καὶ αὐθάδης, ἠγανάκτει, μάλιστα φάσκων οὐ καλῶς B ἐν βαρβάροις καὶ πολεμίοις ὑβρίζεσθαι Μακεδόνας, πολὺ βελτίονας τῶν γελώντων, εἰ καὶ δυστυχίᾳ κέχρηνται. φήσαντος δὲ τοῦ Ἀλεξάνδρου τὸν Κλεῖτον αὑτῷ συνηγορεῖν, δυστυχίαν ἀποφαίνοντα τὴν δειλίαν, ἐπαναστὰς ὁ Κλεῖτος, Αὕτη μέντοι σε (εἶπεν) ἡ δειλία, τὸν ἐκ θεῶν, ἤδη τῷ Σπιθριδάτου ξίφει τὸ νῶτον ἐντρέποντα περιεποίησε· καὶ τῷ Μακεδόνων αἵματι καὶ τοῖς τραύμασι τούτοις ἐγένου τηλικοῦτος, ὥστε Ἄμμωνι σαυτὸν εἰσποιεῖν, ἀπειπάμενος Φίλιππον. παροξυνθεὶς οὖν ὁ Ἀλέξανδρος, Ἦ ταῦτα (εἶπεν) ὦ κακὴ C κεφαλὴ, σὺ περὶ ἡμῶν ἑκάστοτε λέγων, καὶ διαστασιάζων Μακεδόνας, χαιρήσειν νομίζεις; Ἀλλ' οὐδὲ νῦν (ἔφη) χαίρομεν Ἀλέξανδρε, τοιαῦτα τέλη τῶν πόνων κομιζόμενοι· μακαρίζομεν δὲ τοὺς ἤδη τεθνηκότας, πρὶν ἐπιδεῖν Μηδικαῖς ῥάβδοις ξαινομένους Μακεδόνας, καὶ Περσῶν δεομένους, ἵνα τῷ βασιλεῖ προσέλθωμεν. τοιαῦτα τοῦ Κλείτου παῤῥησιαζομένου, καὶ τῶν περὶ Ἀλέξανδρον ἀντανισταμένων καὶ λοιδορούντων αὐτὸν, οἱ πρεσβύτεροι κατέχειν ἐπειρῶντο τὸν θόρυβον. ὁ δὲ Ἀλέξανδρος ἀποστραφεὶς πρὸς Ξενόδοχον D τὸν Καρδιανὸν καὶ τὸν Κολοφώνιον Ἀρτέμιον, Οὐ δοκοῦσιν (εἶπεν) ὑμῖν οἱ Ἕλληνες ἐν τοῖς Μακεδόσιν, ὥσπερ ἐν θηρίοις ἡμίθεοι, περιπατεῖν; τοῦ δὲ Κλείτου μὴ εἴκοντος, ἀλλὰ εἰς μέσον ἃ βούλεται λέγειν τὸν Ἀλέξανδρον κελεύοντος, ἢ μὴ καλεῖν ἐπὶ δεῖπνον ἄνδρας ἐλευθέρους, καὶ παῤῥησίαν ἔχοντας, ἀλλὰ μετὰ βαρβάρων ζῆν καὶ ἀνδραπόδων, οἳ τὴν Περσικὴν ζώνην καὶ τὸν διάλευκον αὐτοῦ χιτῶνα προσκυνήσουσιν, οὐκ ἔτι φέρων τὴν ὀργὴν Ἀλέξανδρος, μήλων παρακειμένων ἑνὶ βαλὼν ἔπαισεν αὐτὸν, καὶ τὸ ἐγχει- E ρίδιον ἐζήτει. τῶν δὲ σωματοφυλάκων ἑνὸς Ἀριστοφάνους φθάσαντος ὑφελέσθαι, καὶ τῶν ἄλλων περιεχόντων καὶ δεομένων, ἀναπηδήσας ἀνεβόα Μακεδονιστὶ καλῶν τοὺς ὑπασπιστὰς, (τοῦτο δὲ ἦν σύμβολον θορύβου μεγάλου) καὶ τὸν σαλπιγκτὴν ἐκέλευε σημαίνειν· καὶ πὺξ ἔπαισεν, ὡς διατρίβοντα καὶ μὴ βουλόμενον· (οὗτος μὲν οὖν ὕστερον εὐδοκίμησεν, ὡς τοῦ μὴ συνταραχθῆναι τὸ στρατόπεδον αἰτιώτατος γενόμενος) τὸν δὲ Κλεῖτον οὐχ ὑφιέμενον οἱ φίλοι μόλις ἐξέωσαν τοῦ ἀνδρῶνος. ὁ δὲ κατ' ἄλλας θύρας αὖθις F εἰσῄει, μάλα ὀλιγώρως καὶ θρασέως Εὐριπίδου τὰ ἐξ Ἀνδρομάχης ἰαμβεῖα ταῦτα περαίνων.

Οἴμοι καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται· οὕτω δὴ λαβὼν παρά τινος τῶν δορυφόρων Ἀλέξανδρος αἰχμὴν, ἀπαντῶντα τὸν Κλεῖτον αὐτῷ, καὶ παράγοντα τὸ πρὸ τῆς θύρας παρακάλυμμα, διελαύνει. πεσόντος δὲ μετὰ στεναγμοῦ καὶ βρυχήματος, εὐθὺς ἀφῆκεν ὁ θυμὸς αὐτόν· καὶ γενόμενος παρ' ἑαυτῷ, καὶ τοὺς φίλους ἰδὼν

ἀφώνους ἑστῶτας, ἑλκύσασθαι μὲν ἐκ τοῦ νεκροῦ τὴν αἰχμὴν ἔφθασεν· πῆξαι δ' ἑαυτὸν ὁρμήσας παρὰ τὸν τράχηλον, ἐπεσχέθη, τῶν σωματοφυλάκων τὰς χεῖρας αὐτοῦ λαβόντων, καὶ τὸ σῶμα βίᾳ παρενεγκόντων εἰς τὸν θάλαμον. ἐπεὶ δὲ τήν τε νύκτα κακῶς κλαίων διήνεγκεν, καὶ τὴν ἐπιοῦσαν ἡμέραν, ἤδη τῇ βοᾷ καὶ θρηνεῖν ἀπειρηκὼς, ἄναυδος ἔκειτο, βαρεῖς ἀναφέρων στεναγμοὺς, δείσαντες οἱ φίλοι τὴν ἀποσιώπησιν, εἰσῆλθον βίᾳ. καὶ τῶν μὲν ἄλλων οὐ προσίετο τοὺς λόγους, Ἀριστάνδρου δὲ τοῦ μάντεως ὑπομιμνήσκοντος αὐτὸν τήν τε ὄψιν ἣν εἶδεν περὶ τοῦ Κλείτου, καὶ τὸ σημεῖον, ὡς δὴ πάλαι καθειμαρμένων τούτων, ἔδοξεν ἐνδιδόναι. διὸ Καλλισθένη τε τὸν φιλόσοφον παρεισήγαγον, Ἀριστοτέλους οἰκεῖον ὄντα, καὶ τὸν Ἀβδηρίτην Ἀνάξαρχον. ὧν Καλλισθένης μὲν ἠθικῶς ἐπειρᾶτο καὶ πρᾴως, ὑποδυόμενος τῷ λόγῳ καὶ περιιὼν ἀλύπως, λαβέσθαι τοῦ πένθους· ὁ δὲ Ἀνάξαρχος, ἰδίαν τινὰ πορευόμενος ἐξ ἀρχῆς ὁδὸν ἐν φιλοσοφίᾳ, καὶ δόξαν εἰληφὼς ὑπεροψίας καὶ ὀλιγωρίας τῶν συνήθων, εὐθὺς εἰσελθὼν ἀνεβόησεν, Οὗτός ἐστιν Ἀλέξανδρος εἰς ὃν ἡ οἰκουμένη νῦν ἀποβλέπει· ὁ δὲ ἔρριπται κλαίων ὥσπερ ἀνδράποδον, ἀνθρώπων νόμον καὶ ψόγον δεδοικὼς, οἷς αὐτὸν προσήκει νόμον εἶναι, καὶ ὅρον τῶν δικαίων, ἐπείπερ ἄρχειν καὶ κρατεῖν νενίκηκεν, ἀλλὰ μὴ δουλεύειν ὑπὸ κενῆς δόξης κεκρατημένον. οὐκ οἶσθα (εἶπεν) ὅτι τὴν δίκην ἔχει πάρεδρον ὁ Ζεὺς, καὶ τὴν Θέμιν, ἵνα πᾶν τὸ πραχθὲν ὑπὸ τοῦ κρατοῦντος θεμιτὸν ᾖ καὶ δίκαιον; τοιούτοις τισὶ λόγοις χρησάμενος ὁ Ἀνάξαρχος, τὸ μὲν πάθος ἐκούφισε τοῦ βασιλέως, τὸ δὲ ἦθος εἰς πολλὰ χαυνότερον καὶ παρανομώτερον ἐποίησεν. αὐτὸν δὲ δαιμονίως ἐνήρμοσεν, καὶ τοῦ Καλλισθένους τὴν ὁμιλίαν, οὐδὲ ἄλλως ἐπίχαριν, διὰ τὸ αὐστηρὸν, οὖσαν, προσδιέβαλεν. λέγεται δέ ποτε παρὰ δεῖπνον ὑπὲρ ὡρῶν καὶ κράσεως τοῦ περιέχοντος λόγων ὄντων, τὸν Καλλισθένη μετέχοντα δόξης, τοῖς δὲ λέγουσι τἀκεῖ μᾶλλον εἶναι ψυχρὰ καὶ δυσχείμερα τῶν Ἑλληνικῶν, ἐναντιουμένου τοῦ Ἀναξάρχου καὶ φιλονεικοῦντος, εἰπεῖν, Ἀλλὰ μὴν ἀνάγκη σοι ταῦτα ἐκείνων ὁμολογεῖν ψυχρότερα· σὺ γὰρ ἐκεῖ μὲν ἐν τρίβωνι διεχείμαζες, ἐνταῦθα δὲ τρεῖς ἐπιβεβλημένος δάπιδας κατάκεισαι. τὸν μὲν οὖν Ἀνάξαρχον καὶ τοῦτο προσπαρώξυνεν, τοὺς δὲ ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει· σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον, εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη, καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν· ὅτι τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος, ἀνέβη πρὸς Ἀλέξανδρον· φθονούμενος δὲ διὰ τὴν δόξαν, ἔστιν ἃ καὶ καθ' αὑτοῦ τοῖς διαβάλλουσι παρεῖχεν, τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος, ἐν δὲ τῷ συνεῖναι, βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν, οὐδὲ ἀρέσκεσθαι τοῖς γινομένοις. ὥστε καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ἐπ' αὐτῷ, Μισῶ σοφιστὴν ὅστις οὐδ' αὐτῷ σοφός. λέγεται δέ ποτε, πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον, ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ ποτηρίου Μακεδόνας ὁ Καλλισθένης, οὕτως εὐροῆσαι πρὸς τὴν ὑπόθεσιν, ὥστε ἀνισταμένους κροτεῖν καὶ βάλλειν τοὺς στεφάνους ἐπ' αὐτόν. εἰπεῖν οὖν τὸν Ἀλέξανδρον, ὅτι

A ſilentio ſtare, euulſit ex mortui corpore telū: quod vertere quum in iugulum ſuum pararet, inhibitus eſt à ſtipatoribus, qui manus eius corripuerunt, eúmque vi detulerunt in cubiculum. Vt noctem miſerè plorando tranſegit, ac proximo die eiulando lamentādóque defeſſum vox defecit, iacuítque alta trahens ſuſpiria, metuentes amici ſilentium, vi ſunt ad eum ingreſſi. Cæterorum quidem non admiſit ſermonem: at quum vates Ariſtander viſum illi quod de Clito fuerat ei re- B præſentatum & prodigium ſubiiceret, iamdudum hæc in fatis fuiſſe, viſus eſt animum relaxare. Ita Calliſthenem philoſophum introduxerunt, Ariſtotelis neceſſarium, & Abderitam Anaxarchum: quorum Calliſthenes placidè tentauit & modeſtè, oratione ſubeūdo & lenibus ambagibus, reprimere mœrorem eius: Anaxarchus, peculiari quadam ab initio in philoſophia incedens via, deſpectórque & contemptor habitus ſodalium ſuorum, ſimulatque ingreſſus eſt, exclamauit, En Alexander ille in quem orbis conijcit ocu- C los: en abiectus in lacrymis inſtar mancipii iacet, legem & probra exhorreſcēs hominū, quibus ipſe lex eſſe & terminus deberet, ſi modò, vt imperaret & rerum potiretur, vicit, nō vt victus ab inani gloria ſeruiret. Neſcis, inquit, aſſeſſorem Ioui iuſtitiam & fas eſſe, quo quicquid actum ab dominante fuerit, id ius & fas ſit? Huiuſcemodi adhibita oratione, ægritudinem Anaxarchus regis alleuauit, mores eius multo fluxiores reddidit & violentiores: ſeipſum verò mirificè inſinuauit D in gratiam eius, & Calliſthenis conſuetudinem, vel aliâs ob auſteritatem parum gratam, inſuper reddidit inuidioſam. Memorāt, orto ſuper cœnam aliquando de tempeſtatibus anni & aeris temperatura ſermone, aſſentientem Calliſthenem opinioni illam regionem aſſerentium gelidiorem & rigentiorem Græcia, repugnante obſtinatè Anaxarcho dixiſſe, Enimuero non potes non fateri intentiorē hîc quàm illic rigorē eſſe: quippe tu in læna illic hyemem traducebas, hîc tribus velatus tapetibus recumbis. Id vehementer e- E tiam exaſperauit Anaxarchum. Cæteros ſophiſtas & aſſentatores mordebat Calliſthenes, quòd in gratia eſſet ob dicendi facultatem apud iuuentutem, neque minus acceptus ſenibus ob vitam modeſtam, grauem, continentem, & adſtipulantem vulgato eius peregrinationis prætextui, ideo profectum cū ad Alexandrū, quo ciues ſuos in patriam reduceret, eámque denuò frequentaret. Qui quum premeretur ob exiſtimationem ſuam F inuidia, interim etiam materiam ipſe ſui calumniandi præbebat, quòd ferè reiiceret vocationes, atque in conuiuiis quum adeſſet, ſignificaret ſupercilio & ſilentio nō laudare ſe vel probare ea quæ agerentur. Vnde de eo dixit Alexander,

Odi ſophiſtam qui ſibi ipſi non ſapit.

Dicitur aliquando multis ad cœnā inuitatis, inter pocula iuſſus Macedonas Calliſthenes laudare, tam profluēti oratione hoc tractaſſe argumētū, vt exiliētes ei plauderēt & coronas ingererent; Alexander verò ibi dixiſſe ei,

Debere (ſi quidē victoria ſua dominatum & imperium conſecutus eſt) non ſeruiliter inani opinioni eſſe ſubiectus. Neſcis, inq.

— Qui dictionis nactus eſt
Campum bonum, haud ægrè fit iſthic eloquens.

" At oſtende (dixiſſe) facultatem tuam vitupe-
" randis Macedonibus, quo emendentur au-
" ditis delictis ſuis. Ita ad retractāda ille prio-
ra verſus, multa in Macedonas magna liber-
tate diſſeruiſſe, & quū Græcorū diſſenſionē
demonſtraſſet cauſam fuiſſe Philippi incre-
menti & potentiæ, dixiſſe,

Diſsidio in populi capit & ſceleratus honorem.

Acerbam inde inuidiam in eum & grauem
cōcepiſſe Macedones, ac dixiſſe Alexander,
non eloquentię ſuæ Calliſthenem, ſed male-
uolentiæ dediſſe Macedonibus documentū.
Hæc Hermippus autor eſt Calliſthenis ana-
gnoſtem Ariſtoteli Stroibum retuliſſe: Cal-
liſthenem autem, animum ab ſe alienatum
regis quum percepiſſet, digredientem bis aut
ter ad ſeipſum dixiſſe,

Occidit & Patroclus multo præſtantior ac tu.

Non abſurdè igitur dixiſſe apparet Ariſto-
telem, facundum eſſe & magnum in dicendo
Calliſthenem, verùm mentem non habere.
At dum fortiter & ſapienter recuſat proſtra-
tus humi Alexandrum ſalutare, ſolúſque diſ-
ſerit publicè ea quæ in occulto optimus quiſ
que & natu maximi inter Macedonas ſtoma-
chabantur, magna quidem macula Mace-
donas & Alexandrum maiore exoluit, de-
terrens eum ab adoratione, ſe verò ipſe per-
didit, quòd extundere id magis regi quàm vi
deretur perſuadere. Chares Mitylenæus Ale-
xandrum prædicat in conuiuio quodam,
quum bibiſſet, phialam vni ex amicis porre-
xiſſe: illum phiala accepta ad aram verſum
aſſurrexiſſe, ac quum hauſiſſet, adoraſſe pri-
mùm, deinde oſculatum Alexandrum, in
conuiuio mox accubuiſſe. Poſtquam id o-
mnes deinceps fecerunt, cepiſſe phialā Cal-
liſthenem, ac non attendente rege ſed cum
Hephæſtione fabulante bibiſſe, atque ad fe-
rendum regi oſculum acceſsiſſe. Ibi quum
Demetrius cognomine Phidon dixiſſet, Ca-
ue rex oſculeris eum: nam vnus hic non ad-
" orauit te: Alexandrum oſculum declinaſſe,
" Calliſthenē verò dixiſſe alta voce, Vno ergo
" oſculo minus ferens abibo. Ita exulcerato
regis animo, primùm habita Hephæſtioni fi-
des eſt, dicenti receptam ſibi Calliſthenē fi-
dem, adoraturum ipſum regē, feſelliſſe. Inde
Lyſimachi & Agnones vellicauerunt eum,
obambulare iactantes ſophiſtam, tanquam
euerſa tyrannide, intumeſcentem, concurre-
réque ad eum & obſeruare adoleſcentes tan-
quam vnum in tot millibus liberum. Quo-
circa inſidiis, quæ Alexandro paratę ab Her-
molao erant, detectis, crimina inimicorum
eius ſunt probabilia viſa, rogatum ab hoc
quemadmodum vir clariſsimus euaderet, re-
ſpondiſſe, ſi interfeciſſet clariſsimum: con-
citantémque ad facinus Hermolaum, mo-
nuiſſe ne aureum lectum formidaret, ſed me-
miniſſet rem ſibi fore cum homine & mor-
bis & vulneribus opportuno. Atqui ex Her-
molai cōiuratione nemo ne in extremis qui-
dem tormētis Calliſthenē nominauit. Sed &
ipſe Alexāder Cratero protinus & Attalo &
Alcetę ſcribēs, pueros in quæſtione cōfeſſos

A κατ᾽ Εὐριπίδην, τὸν λαβόντα τῶν λόγων καλὰς ἀ-
φορμάς, οὐ μέγα ἔργον εὖ λέγειν· ἀλλ᾽ ἔνδειξαι (φά-
ναι) τὴν σεαυτοῦ δύναμιν ἡμῖν, κατηγορήσας Μακεδό-
νων, ἵνα καὶ βελτίους γένωνται μαθόντες ἃ πλημμε-
λοῦσιν. οὕτω δὴ τὸν ἄνδρα πρὸς τὴν παλινῳδίαν τρα-
πόμενον, πολλὰ παῤῥησιάσασθαι κατὰ τῶν Μακεδόνων·
καὶ τὴν Ἑλληνικὴν στάσιν, αἰτίαν ἀποφήναντα τῆς γενο-
μένης περὶ Φίλιππον αὐξήσεως καὶ δυνάμεως, εἰπεῖν,

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς.

ἐφ᾽ ᾧ πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς Μακε-
B δόσι. καὶ τὸν Ἀλέξανδρον εἰπεῖν, ὡς οὐ τῆς δεινότητος
ὁ Καλλισθένης ἀλλὰ τῆς δυσμενείας Μακεδόσιν ἀπό-
δειξιν δέδωκεν. ταῦτα μὲν οὖν ὁ Ἕρμιππος φησὶν
τὸν ἀναγνώστην τοῦ Καλλισθένους Στροῖβον Ἀριστοτέλει
διηγεῖσθαι. τὸν δὲ Καλλισθένην συνέντα τὴν ἀλλοτριό-
τητα τοῦ βασιλέως, δὶς ἢ τρὶς ἀπιόντα πρὸς αὐτὸν εἰπεῖν,

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

οὐ φαύλως οὖν εἰπεῖν ἔοικεν ὁ Ἀριστοτέλης ὅτι Καλ-
λισθένης, λόγῳ μὲν ἦν δυνατὸς καὶ μέγας, νοῦν δὲ
οὐκ εἶχεν. ἀλλὰ τήν γε προσκύνησιν ἰσχυρῶς ἀπω-
C σάμενος καὶ φιλοσόφως, καὶ μόνος ἐν φανερῷ διελ-
θὼν ἃ κρύφα πάντες οἱ βέλτιστοι καὶ πρεσβύτατοι
τῶν Μακεδόνων ἠγανάκτουν, τοὺς μὲν Ἕλληνας αἰ-
σχύνης ἀπήλλαξε μεγάλης, καὶ μείζονος Ἀλέξαν-
δρον, ἀποτρέψας τὴν προσκύνησιν· αὑτὸν δὲ ἀπώ-
λεσεν, ἐκβιάσασθαι δοκῶν μᾶλλον ἢ πεῖσαι τὸν βασι-
λέα. Χάρης δὲ ὁ Μιτυληναῖος φησὶ τὸν Ἀλέξανδρον
ἐν τῷ συμποσίῳ πιόντα φιάλην, προτεῖναί τινι τῶν
φίλων· τὸν δὲ δεξάμενον, πρὸς ἑστίαν ἀναστῆναι, καὶ
πιόντα προσκυνῆσαι πρῶτον, εἶτα φιλῆσαι τὸν Ἀ-
D λέξανδρον ἐν τῷ συμποσίῳ, καὶ κατακλιθῆναι. πάν-
των δὲ τοῦτο ποιούντων ἐφεξῆς, τὸν Καλλισθένην λα-
βόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως,
ἀλλὰ Ἡφαιστίωνι προσδιαλεγομένου, πιόντα προσιέ-
ναι φιλήσοντα. Δημητρίου δὲ τοῦ προσονομαζομένου
Φείδωνος εἰπόντος, Ὦ βασιλεῦ, μὴ φιλήσῃς· οὗτος
γάρ σε μόνος οὐ προσκεκύνηκεν· διακλῖναι τὸ φί-
λημα τὸν Ἀλέξανδρον. τὸν δὲ Καλλισθένην μέγα φθεγ-
ξάμενον εἰπεῖν, φιλήματι τοίνυν ἔλαττον ἔχων ἄπει-
μι. τοιαύτης ὑπογινομένης ἀλλοτριότητος, πρῶτον
E μὲν Ἡφαιστίων ἐπιστεύετο, λέγων ὅτι συνθέμενος
πρὸς αὐτὸν ὁ Καλλισθένης προσκυνῆσαι, ψεύσαιτο
τὴν ὁμολογίαν· ἔπειτα Λυσίμαχοι καὶ Ἅγνωνες ἐπε-
φύοντο, φάσκοντες περιιέναι τὸν σοφιστὴν, ὡς ἐπὶ
καταλύσει τυραννίδος μέγα φρονοῦντα, καὶ συν-
τρέχειν πρὸς αὐτὸν τὰ μειράκια, καὶ περιέπειν, ὡς μό-
νον ἐλεύθερον ἐν τοσαύταις μυριάσιν. διὸ καὶ τῶν πε-
ρὶ Ἑρμόλαον ἐπιβουλευσάντων τῷ Ἀλεξάνδρῳ, καὶ
φανερῶν γενομένων, ἔδοξαν ἀληθέσιν ὅμοια κα-
τηγορεῖν οἱ διαβάλλοντες, ὡς τῷ μὲν προβάλλοντι
F πῶς ἂν ἐνδοξότατος γένοιτο ἄνθρωπος, εἰπεῖν, ἂν ἀ-
ποκτείνῃ τὸν ἐνδοξότατον· τὸν δὲ Ἑρμόλαον ἐπὶ τὴν πρᾶ-
ξιν παροξύνων, ἐκέλευε μὴ δεδιέναι τὴν χρυσῆν κλί-
νην, ἀλλὰ μνημονεύειν ὅτι καὶ νοσοῦντι καὶ τιτρωσκο-
μένῳ πρόσεισιν ἀνθρώπῳ. καίτοι τῶν περὶ Ἑρμόλαον
οὐδεὶς οὐδὲ διὰ τῆς ἐσχάτης ἀνάγκης τοῦ Καλλισθέ-
νους κατεῖπεν· ἀλλὰ καὶ Ἀλέξανδρος αὐτὸς εὐθὺς Κρα-
τερῷ γράφων καὶ Ἀττάλῳ καὶ Ἀλκέτᾳ, φησὶ τοὺς παῖ-

A δας βασανιζομένους ὁμολογεῖν ὡς αὐτοὶ ταῦτα πράξειαν, ἄλλος δὲ οὐδεὶς συνειδείη. ὕστερον δὲ γράφων πρὸς Ἀντίπατρον, καὶ τὸν Καλλισθένη συνεπαιτιασάμενος, Οἱ μὲν παῖδες (φησὶν) ὑπὸ τῶν Μακεδόνων κατελεύσθησαν· τὸν δὲ σοφιστὴν ἐγὼ κολάσω, καὶ τοὺς ἐκπέμψαντας αὐτὸν, καὶ τοὺς ὑποδεχομένους ταῖς πόλεσι τοὺς ἐμοὶ ἐπιβουλεύοντας. ἄντικρυς ἔν γε τούτοις ἀποκαλυπτόμενος πρὸς Ἀριστοτέλην. καὶ γὰρ ἐτέθραπτο Καλλισθένης παρ' αὐτῷ διὰ τὴν συγγένειαν, ἐξ Ἡροῦς γεγονὼς ἀνεψιᾶς Ἀριστοτέλους. ἀποθανεῖν δὲ αὐτὸν, οἱ μὲν ὑπ' Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν, οἱ δὲ, B ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα. Χάρης δὲ, μετὰ τὴν σύλληψιν ἑπτὰ μῆνας φυλάττεσθαι δεδεμένον, ὡς ἐν τῷ συνεδρίῳ κριθείη, παρόντος Ἀριστοτέλους. ἐν αἷς δὲ ἡμέραις Ἀλέξανδρος ἐν Μαλλοῖς Ὀξυδράκαις ἐτρώθη περὶ τὴν Ἰνδίαν, ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα. ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη. Δημάρατος δὲ ὁ Κορίνθιος, ἤδη πρεσβύτερος ὢν, ἐφιλοτιμήθη πρὸς Ἀλέξανδρον ἀναβῆναι. καὶ θεασάμενος αὐτὸν, εἶπε, μεγάλης ἡδονῆς ἐστερῆσθαι τοὺς Ἕλληνας ὅσοι τεθνήκασι πρὶν ἰδεῖν Ἀλέξανδρον C ἐν τῷ Δαρείου θρόνῳ καθήμενον. οὐ μὴν ἐπὶ πλέον γε τῆς πρὸς αὐτὸν εὐνοίας τοῦ βασιλέως ἀπέλαυσεν· ἀλλ' ἐξ ἀρρωστίας ἀποθανὼν, ἐκηδεύθη μεγαλοπρεπῶς, καὶ τάφον ἔχωσεν ὁ στρατὸς ἐπ' αὐτῷ, τῇ περιμέτρῳ μέγαν, ὕψος δὲ πηχῶν ὀγδοήκοντα. τὰ δὲ λείψανα τέθριππον κεκοσμημένον λαμπρῶς ἐπὶ θάλασσαν κατεκόμισε. μέλλων δὲ ὑπερβάλλειν εἰς τὴν Ἰνδικὴν, ὡς ἑώρα πλήθει λαφύρων τὴν στρατιὰν ἤδη βαρεῖαν καὶ δυσκίνητον οὖσαν, ἅμ' ἡμέρᾳ συνεσκευασμένων τῶν ἁμαξῶν, πρώτας μὲν ὑπέπρησε τὰς αὑτοῦ καὶ D τῶν ἑταίρων, μετὰ δὲ ταύτας, ἐκέλευσε καὶ ταῖς τῶν Μακεδόνων ἐνεῖναι πῦρ. καὶ τοῦ πράγματος τὸ βούλευμα μεῖζον ἐφάνη, καὶ δεινότερον ἦν τὸ ἔργον. ὀλίγους μὲν γὰρ ἠνίασεν, οἱ δὲ πλεῖστοι, βοῇ καὶ ἀλαλαγμῷ μετ' ἐνθουσιασμοῦ, τὰ μὲν ἀναγκαῖα τοῖς δεομένοις μεταδιδόντες, τὰ δὲ περιόντα τῆς χρείας αὐτοὶ κατακαίοντες καὶ διαφθείροντες, ὁρμῆς καὶ προθυμίας ἐνεπίμπλασαν τὸν Ἀλέξανδρον. ἤδη δὲ καὶ φοβερὸς ἦν καὶ ἀπαραίτητος κολαστὴς τῶν πλημμελούντων. καὶ γὰρ Μένανδρον ἕνα τῶν ἑταίρων, ἄρχοντα φρουρίου καταστήσας, ὡς οὐκ ἐβούλετο μένειν, ἀπέκτεινεν· E καὶ τῶν ἀποστάντων βαρβάρων Ὀρσοδάτην αὐτὸς κατετόξευσεν. προβάτου δὲ τεκόντος ἄρνα περὶ τῇ κεφαλῇ σχῆμα καὶ χρῶμα τιάρας ἔχοντα, καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ, βδελυχθεὶς τὸ σημεῖον, ἐκαθάρθη μὲν ὑπὸ τῶν Βαβυλωνίων, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ τοιαῦτα· διελέχθη δὲ πρὸς τοὺς φίλους, ὡς οὐ δι' αὐτὸν, ἀλλὰ δι' ἐκείνους ταράττοιτο, μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν ἄνθρωπον, ἐκλιπόντος αὐτοῦ, περιστήσῃ τὸ δαιμόνιον. οὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον F τὴν ἀθυμίαν ἔλυσεν. ὁ γὰρ ἐπὶ τῶν στρωματοφυλάκων τεταγμένος, ἀνὴρ Μακεδὼν, ὄνομα Πρόξενος, τῇ βασιλικῇ σκηνῇ χώραν ὀρύττων παρὰ τὸν Ὦξον ποταμὸν, ἀνεκάλυψεν πηγὴν ὑγροῦ λιπαροῦ καὶ πιμελώδους. ἀπαντλουμένου δὲ τοῦ πρώτου, καθαρὸν ἀνέβλυζεν ἤδη καὶ διαυγὲς ἔλαιον, οὔτε ὀσμῇ δοκοῦν οὔτε γεύσει ἐλαίου διαφέρειν, στιλβότητά τε καὶ λιπαρότητα παντάπασιν ἀπαράλλακτον· καὶ ταῦτα, τῆς χώ-

A ait ſe hoc conſilium per ſe iniſſe, neque fuiſſe alium conſcium quenquam: poſt verò in epiſtola ad Antipatrum idem crimen impingit Calliſtheni. Ac pueri quidem (inquit) lapidibus ſunt à Macedonibus cooperti: in ſophiſtam ego conſulam, & in illos qui eum miſerunt, & oppidis ſuis inſidiātes mihi recipiunt. In quibus animum aduerſus Ariſtotelem ſuum detegit. ſiquidem fuerat apud eū Calliſthenes ob neceſsitudinem educatus, quòd eſſet ex Herone Ariſtotelis cōſobrina editus. Deceſsiſſe eum alii ab Alexandro ſuſ- B penſum dictitant, in vinculis alii morbo afflictum: Chares, poſtquam cōprehenſus fuit, ſeptem menſes in vinculis cuſtoditum, vt in concilio præſente Ariſtotele iudicaretur: ac quo tempore in Mallis Oxydracis Indiæ ſauciatus fuit, ex corpore ſupra modum turgido & morbo pediculari exceſsiſſe. Cæterùm hæc poſtea ſunt inſequuta. Demaratus Corinthius, iam annis grauis, affectauit ad Alexandrum proficiſci, eóque aſpecto, magna ait voluptate Græcos ſpoliatos quotquot C prius fato functi eſſent quàm Alexandrum "in ſolio Darii conſpexiſſent conſidentem." Fructum tamen hic ex regis amicitia alium cepit nullum quàm quòd, morbo abſumptus quum eſſet, elatus ab eo eſt magnificè, tumulúmque ei aggeſsit exercitus ambitu magnū & cubitos octoginta excelſum. Oſſa eius quadriga ſplendidè exornata ad mare deportari curauit. Porro in Indiam tranſiturus, vt vidit prædæ onere exercitum iam grauem & tardum, plauſtris "oneratis: ſimulatque diluxit, ſua & amicorum prima ſuccendit: inde D Macedonum impedimentis imperauit ſubiici ignem. Apparuit autem re conſilium difficilius, magiſque ſtupendum inceptum. Paucos enim torſit: Plerique voce & plangore, ſicut lymphati, neceſſaria impertientes egenis, & quæ vſui ſuperant ibidem concremantes labefactantéſque, impleuerunt alacritate & ardore Alexandrum. Iam "toruus erat & implacabilis in delictis puniendis. quippe ex cohorte amicorum Menandrū, quòd in præſidio, cui eum præfecerat, detrectaret manere, necauit. Ex rebellātibus barbaris Orſodatem E ipſemet confixit iaculis. Quum autem ouis agnum edidiſſet, qui figuram & colorē tiaræ in capite teſticulóſque vtrinque præferebat, auerſatus eſt portentum, atque expiatus per Babylonios, quos de more trahebat ſecum ad talia. Apud amicos verò negauit ſua cauſa ſe inde perculſum eſſe, ſed ipſorum, ne poſt fata ſua imperium deus in hominem degenerem & illaudatum conferret. At oſtentum oblatum lætius conſternationem eius diſcuſsit. Præ- F fectus eorum qui ſtragulis erant appoſiti, vir Macedo (Proxeno nomen erat) dum tabernaculo regio locum fodit iuxta Oxum amnem, fontem detexit pinguis & oleoſi liquoris. Vbi primùm exhauſit, liquidum inde & limpidum oleum emanauit, nec odore in ſpeciem nec guſtu ab oleo abhorrens, ſplendoréque & liquore indiſcreto, idque in illa regione oleas non gignente.

Inſtructis.

Formidabilis erat.

Perhibetur ipſa quoque Oxi molliſsima aqua eſſe, cutémque in colauantium pingueſacere. Mirificè verò erectum eo Alexandrum fuiſſe, ex epiſtolis eius ad Antipatrũ liquet: vbi in maximis hoc à deo ſibi oblatis oſtentis reponit. Vates id pro glorioſi quidẽ ſed operoſi belli grauíſque prodigio habuere. nam ad labores à deo docuerunt datum hominibus oleum lenimentum. Et multa ſanè ei in præliis ibi pericula occurrerunt, & vulnera inconſultè accepit. Maximam autem exercitus ſtragem anguſtiæ neceſſariorum & cœli intemperies inuexere. Ille ſuperare fortunam audacia & vires virtute enitens, nihil cenſebat audentibus inexpugnabile, vel munitũ eſſe animoſis. Fama eſt Siſimethris obſidẽtem petram auiam & inacceſſam, deſpõdentibus animos militibus, de Oxyarte cum exquiſiuiſſe quid animi ipſe haberet Siſimethres. Quum reſpondiſſet Oxyartes, omniũ hominum eum trepidiſsimum eſſe, Profectò tu, dixiſſe, petram nobis oſtendis eſſe ſuperabilem, quando eius non eſt firmum caput. Cepit eam pauore Siſimethri iniecto. Alteram perinde abſciſſam Macedonum iuuẽtute adortus, quendam Alexandrum nomine appellauit, &, Te verò, inquit, fortem eſſe vel nominis cauſa decet. Quum hic iuuenis fortiter pugnans cecidiſſet, haud mediocriter percuiſſus eſt. Nyſam appellatam detrectantibus Macedonibus oppugnare (etenim amnis altus ſublùit eam) ſubſiſtens, Cur ego, inquit, miſerrimus non didici natare? Iámque clypeum tenens tranſmeare parabat. Poſtquam oppugnatione ab eo compreſſa, miſsi à ciuitatibus obſeſsis legati ſupplices eum adiere, primùm obſtupuere, quũ in armis eum ſine vlla pompa contemplarentur. Hinc puluinum qui allatus ſibi erat accipere & cõſidere maximum natu (Acuphi nomen erat) iuſsit. Cuius admiratus benignitatem & humanitatem Acuphis, quæſiuit quibus conditionibus ipſos recipere in amicitiam vellet: reſpondente Alexandro, Vt teipſum patriæ tuæ principem imponamus, & vos centum ad nos viros optimos mittatis, arridens Acuphis, Atqui melius, inquit, imperauero, rex, ſi deterrimos ad te potius quàm optimos miſero. Taxiles perhibetur Indiæ obtinuiſſe AEgypto non anguſtiorẽ laxitate portionem, pabulo autem lætam fœcundámque fructibus imprimis, ac vir ipſe ſapiens fuiſſe, atque quum ſalutaret Alexandrum, dixiſſe, Quid bellis inter nos & prælio Alexander opus eſt, quum neque aquam nobis ademptum neque victum neceſſariũ veneris? pro quibus ſolis neceſſe habent homines ſani decertare. Reliquis opibus & facultatibus, quas vocãt, ſi ego abundantior ſum, impertiar tibi libẽs: ſin inferior, "non recuſo accipere abs te grato animo beneficium. Delectatus ea oratione Alexander, illúmque cõplexus, "An tu inquit, pugna arbitraris ex tali ſermone & comitate colloquium fore immune? at nihil proficis. quippe contendam tecum & depugnabo beneficiis, ne me ſuperes benignitate. Ac muneribus acceptis multis, datíſq; pluribus, denique mille talẽta

Non ſim is qui recuſem, vbi beneficium accepero, gratiam habere.

Nimirum arbitraris, &c. abſque interrog.

A ρας μηδὲ ἐλαίας φερούσης. λέγεται μὲν οὖν καὶ τὸν Ὦξον αὐτὸν εἶναι μαλακώτατον ὕδωρ, ὥστε τὸ δέρμα τοὺς λουομένους ἐπιλιπαίνειν. οὐ μὴν ἀλλὰ θαυμαστῶς Ἀλέξανδρος ἡσθεὶς δῆλός ἐστιν, ἐξ ὧν γράφει πρὸς Ἀντίπατρον, ἐν τοῖς μεγίστοις τοῦτο τῶν ἀπὸ τοῦ θεοῦ γεγονότων αὐτῷ τιθέμενος. οἱ δὲ μάντεις, ἐνδόξου μὲν στρατείας, ἐπιπόνου δὲ καὶ χαλεπῆς, τὸ σημεῖον ἐποιοῦντο. πόνων γὰρ ἀρωγὴν ἔλαιον ἀνθρώποις ὑπὸ θεοῦ δεδόσθαι. πολλοὶ μὲν οὖν κατὰ τὰς μάχας αὐτῷ κίνδυνοι συνέπεσον, καὶ τραύμασι νεανικοῖς ἀπήντησεν. B τὴν δὲ πλείστην φθορὰν ἀπορίαι τῶν ἀναγκαίων καὶ δυσκρασίαι τοῦ περιέχοντος ἀπειργάσαντο τῆς στρατιᾶς. αὐτὸς δὲ τόλμῃ τὴν τύχην ὑπερβαλέσθαι καὶ τὴν δύναμιν ἀρετῇ φιλοτιμούμενος, οὐδὲν ᾤετο τοῖς θαρροῦσιν ἀνάλωτον, οὐδὲ ὀχυρὸν εἶναι τοῖς ἀτόλμοις. λέγεται δὲ τὴν Σισιμήθρου πολιορκῶν πέτραν, ἄβατον οὖσαν καὶ ἀπρόσβατον, ἀθυμούντων τῶν στρατιωτῶν, ἐρωτῆσαι τὸν Ὀξυάρτην ποῖός τις αὐτὸς εἴη τὴν ψυχὴν ὁ Σισιμήθρης. φήσαντος δὲ τοῦ Ὀξυάρτου, δειλότατον ἀνθρώπων, Λέγεις σύ γε (φάναι) τὴν πέτραν ἁλώσιμον C ἡμῖν εἶναι· τὸ γὰρ ἄρχον αὐτῆς, οὐκ ὀχυρόν ἐστι. ταύτην μὲν οὖν, ἐκφοβήσας τὸν Σισιμήθρην, ἔλαβεν. ἑτέρᾳ δὲ ὁμοίως ἀποτόμῳ προσβαλὼν τοὺς νεωτέρους τῶν Μακεδόνων, Ἀλέξανδρον τινὰ καλούμενον προσαγορεύσας, Ἀλλὰ σοί γε εἶπεν ἀνδραγαθεῖν προσήκει καὶ διὰ τὴν ἐπωνυμίαν· ἐπεὶ δὲ λαμπρῶς ἀγωνιζόμενος ὁ νεανίας ἔπεσεν, οὐ μετρίως ἐδήχθη. τῇ δὲ καλουμένῃ Νύσῃ τῶν Μακεδόνων ὀκνούντων προσάγειν (καὶ γὰρ ποταμὸς ἦν πρὸς αὐτῇ βαθύς) ἐπιστὰς, Τί D γὰρ (εἶπεν) ὁ κάκιστος ἐγὼ νεῖν οὐκ ἔμαθον; καὶ ἤδη ἔχων τὴν ἀσπίδα περᾶν ἠθέλησεν. ἐπεὶ δὲ καταπαύσαντος τὴν μάχην αὐτοῦ, παρῆσαν ἀπὸ τῶν πολιορκουμένων πόλεων πρέσβεις δεησόμενοι, πρῶτον μὲν ὀφθεὶς ἀθεράπευτος ἐν τοῖς ὅπλοις, ἐξέπληξεν αὐτούς· ἔπειτα προσκεφαλαίου τινὸς αὐτῷ κομισθέντος, ἐκέλευσε λαβόντα καθίσαι τὸν πρεσβύτατον (Ἄκουφις ἐκαλεῖτο) θαυμάσας οὖν τὴν λαμπρότητα καὶ φιλανθρωπίαν ὁ Ἄκουφις, ἠρώτα τί βούλεται ποιοῦντας αὐτοὺς ἔχειν φίλους. φήσαντος δὲ τοῦ Ἀλεξάν- E δρου, Σὲ μὲν αὐτῶν, ἄρχοντα καταστήσαντας αὐτῶν· πρὸς δὲ ἡμᾶς πέμψαντας ἑκατὸν ἄνδρας τοὺς ἀρίστους, γελάσας ὁ Ἄκουφις, Ἀλλὰ βέλτιον (εἶπεν) ἄρξω βασιλεῦ, τοὺς κακίστους πρὸς σὲ πέμψας μᾶλλον ἢ τοὺς ἀρίστους. ὁ δὲ Ταξίλης λέγεται μὲν τῆς Ἰνδικῆς ἔχειν μοῖραν οὐκ ἀποδέουσαν Αἰγύπτου τὸ μέγεθος, εὔβοτον δὲ καὶ καλλίκαρπον ἐν τοῖς μάλιστα. σοφός δέ τις ἀνὴρ εἶναι· καὶ τὸν Ἀλέξανδρον ἀσπασάμενος, Τί δεῖ πολέμων (φάναι) καὶ μάχης ἡμῖν Ἀλέξανδρε πρὸς ἀλλήλους, εἰ μήτε ὕδωρ ἀφαιρησόμενος ἡμῶν ἀφῖξαι, μήτε τροφὴν ἀναγκαίαν; ὑπὲρ ὧν μόνων ἀνάγκη διαμάχεσθαι νοῦν ἔχουσιν ἀνθρώ- F ποις. τοῖς δὲ ἄλλοις χρήμασι καὶ κτήμασι λεγομένοις, εἰ μὲν εἰμὶ κρείττων, ἕτοιμος εὖ ποιεῖν· εἰ δὲ ἥττων, οὐ φεύγω χάριν ἔχειν, εὖ παθών. ἡσθεὶς οὖν ὁ Ἀλέξανδρος, καὶ δεξιωσάμενος αὐτὸν, Ἦ που νομίζεις (ἔφη) δίχα μάχης ἔσεσθαι τὴν ἔντευξιν ἡμῖν ἀπὸ τοιούτων λόγων καὶ φιλοφροσύνης· ἀλλ' οὐδέν σοι πλέον· ἐγὼ γὰρ ἀγωνιοῦμαι πρὸς σε καὶ διαμαχοῦμαι ταῖς χάρισιν, ὥς μου χρηστὸς ὢν μὴ περιγένῃ. λαβὼν δὲ δῶρα πολλὰ, καὶ δοὺς πλείονα, τέλος χίλια τάλαντα

A νομίσματος αὐτῷ προέπιεν. ἐφ' οἷς τοὺς μὲν φίλους
ἰσχυρῶς ἐλύπησεν, τῶν δὲ βαρβάρων πολλοὺς ἐποίησεν ἡ-
μερωτέρως ἔχειν πρὸς αὐτόν. ἐπεὶ δὲ τῶν Ἰνδῶν οἱ μαχι-
μώτατοι μισθοφοροῦντες ἐπεφοίτων ταῖς πόλεσιν,
ἐρρωμένως ἀμυνόντες, καὶ κατὰ πολλὰ τὸν Ἀλέξαν-
δρον ἐκακοποίουν, σπεισάμενος ἔν τινι πόλει πρὸς αὐ-
τοὺς, ἀπιόντας ἐν ὁδῷ λαβὼν, ἅπαντας ἀπέκτεινεν. καὶ
τοῦτο τοῖς πολεμικοῖς ἔργοις αὐτοῦ, τἆλλα νομίμως καὶ βα-
σιλικῶς πολεμήσαντος, ὡς κηλὶς πρόσεστιν. οὐκ ἔλασ-
σονα δὲ τούτων οἱ φιλόσοφοι πράγματα παρεῖχον αὐτῷ,
B τούς τε προστιθεμένους τῶν βασιλέων κακίζοντες, καὶ τοὺς
ἐλευθέρους δήμους ἀφιστάντες. διὸ καὶ τούτων πολλοὺς
ἐκρέμασεν. τὰ δὲ πρὸς Πῶρον αὐτὸς ἐν ταῖς ἐπιστολαῖς
ὡς ἐπράχθη γέγραφεν. φησὶ γὰρ ἐν μέσῳ τῶν στρατοπέ-
δων τοῦ Ὑδάσπου ῥέοντος, ἀντιπερὰν ἱστάντα τοὺς ἐ-
λέφαντας ἀεὶ τὸν Πῶρον ἐπιτηρεῖν τὴν διάβασιν· αὐ-
τὸν μὲν οὖν καθ' ἡμέραν ἑκάστην ψόφον ποιεῖν καὶ θό-
ρυβον ἐν τῷ στρατοπέδῳ πολὺν, ἐθίζοντα τοὺς βαρβά-
ρους μὴ φοβεῖσθαι· νυκτὸς δὲ χειμερίου καὶ ἀσελήνου, λαβόν-
τα τῶν πεζῶν μέρος, ἱππεῖς δὲ τοὺς κρατίστους, καὶ προελ-
C θόντα πόρρω τῶν πολεμίων, διαπεράσαι πρὸς νῆσον οὐ με-
γάλην. ἐνταῦθα δὲ ῥαγδαίου μὲν ἐκχυθέντος ὄμβρου,
πρηστήρων δὲ πολλῶν καὶ κεραυνῶν εἰς τὸ στρατόπεδον φε-
ρομένων, ὅμως ὁρῶν ἀπολλυμένους τινὰς καὶ συμφλεγο-
μένους ὑπὸ τῶν κεραυνῶν, ἀπὸ τῆς νησῖδος ἄρας, προσφέ-
ρεσθαι ταῖς ἀντιπέρας ὄχθαις. τραχὺν δὲ τὸν Ὑδάσπην ὑπὸ τοῦ
χειμῶνος ἐπιόντα καὶ μετέωρον, ἔκρηγμα ποιῆσαι μέγα, καὶ
πολὺ μέρος ἐκείνῃ φέρεσθαι τοῦ ῥεύματος· αὐτὸς δὲ δέξα-
σθαι τὸ μέσον οὐ βεβαίως, ἅτε δὴ συνολισθάνον καὶ περιρρη-
γνύμενον. ἐνταῦθα δὲ εἰπεῖν φασιν αὐτὸν, Ὦ Ἀθηναῖοι, ἆ-
D ρά γε πιστεύσαιτε ἂν ἡλίκους ὑπομένω κινδύνους ἕνε-
κα τῆς παρ' ὑμῖν εὐδοξίας; ἀλλὰ τοῦτο μὲν Ὀνησίκριτος
εἴρηκεν· αὐτὸς δέ φησιν, τὰς σχεδίας ἀφέντας αὐτοὺς,
μετὰ τῶν ὅπλων τὸ ἔκρηγμα διαβαίνειν, ἄχρι μαστῶν βρε-
χομένους. διαβὰς δὲ, τῶν πεζῶν εἴκοσι σταδίους προϊππεῦσαι
λογιζόμενος, εἰ μὲν οἱ πολέμιοι τοῖς ἵπποις προσβά-
λοιεν, πολὺ κρατήσειν· εἰ δὲ κινοῖεν τὴν φάλαγγα, φθήσεσθαι
τοὺς πεζοὺς αὐτῷ προσγενομένους. θάτερον δὲ συμβῆναι.
τῶν γὰρ ἱππέων χιλίους, καὶ τῶν ἁρμάτων ἑξήκοντα συμ-
πεσόντα τρεψάμενος, τὰ μὲν ἅρματα λαβεῖν ἅπαντα, τῶν
E δ' ἱππέων ἀνελεῖν τετρακοσίους. οὕτω δὴ συμφρονή-
σαντα τὸν Πῶρον ὡς αὐτὸς εἴη διαβεβηκὼς Ἀλέξαν-
δρος, ἐπιέναι μετὰ πάσης τῆς δυνάμεως, πλὴν ὅσον
ἐμποδὼν εἶναι τοῖς διαβαίνουσι τῶν Μακεδόνων ἀπέλι-
πεν. φοβηθεὶς δὲ τὰ θηρία καὶ τὸ πλῆθος τῶν πολεμίων,
αὐτὸς μὲν ἐνσεῖσαι κατὰ θάτερον κέρας, Κοῖνον δὲ τῷ δε-
ξιῷ προσβαλεῖν κελεῦσαι. γενομένης δὲ τροπῆς ἑκατέ-
ρωθεν, ἀναχωρεῖν ἀεὶ πρὸς τὰ θηρία καὶ συνειλεῖσθαι τοὺς
ἐκβιαζομένους. ὅθεν ἤδη τὴν μάχην ἀναμεμιγμένην
εἶναι, καὶ μόλις ὀγδόης ὥρας ἀπειπεῖν τοὺς πολεμίους.
F ταῦτα μὲν οὖν ὁ τῆς μάχης ποιητὴς αὐτὸς ἐν ταῖς ἐ-
πιστολαῖς εἴρηκεν. οἱ δὲ πλεῖστοι τῶν συγγραφέων ὁμολο-
γοῦσι τὸν Πῶρον, ὑπεραίροντα τεσσάρων πηχῶν σπιθα-
μῇ τὸ μῆκος ἱππότου ὄντος, μηδὲν ἀποδεῖν πρὸς τὸν ἐλέφαν-
τα συμμετρίᾳ, διὰ τὸ μέγεθος καὶ τὸν ὄγκον τοῦ σώματος·
καίτοι μέγιστος ἦν ὁ ἐλέφας. σύνεσιν δὲ θαυμαστὴν ἐπε-
δείξατο καὶ κηδεμονίαν τοῦ βασιλέως, ἐρρωμένου μὲν ἔτι,
θυμῷ τοὺς προσμαχομένους ἀμυνόμενος καὶ ἀνακόπτων.
ὡς δὲ ᾔσθετο βελῶν πλήθει καὶ τραυμάτων κάμνοντα,

A argenti ſignati ei propinauit. Qua re tor-
ſit amicos acriter, ſed barbaros multos ſibi
reddidit mãſuetiores. Bellicoſiſsimi Iadi mi-
litabant mercede: hi vrbes ſtrenuè defende-
bant; multiſque modis Alexandrum fatiga-
bant: cum his inducias in oppido quodam
fecit; mox recipientes ſe in itinere oppreſsit.
quæ rebus illius bello geſtis, iuſtè aliàs & re-
galiter bellantis, quaſi labes adhæſit. Nõ mi
nus quàm hi infeſtabãt eum philoſophi, qui
reges Alexandro qui ſe coniunxerãt inſecta-
bãtur, & liberos populos ſolicitabant. qua-
B propter multos ex his ſuſpendit. Cum Po-
ro acta ipſe in epiſtolis, quemadmodum ſũt
geſta, prodidit. Ait enim, interlabente vtra-
que caſtra Hydaſpe, Porum elephantos ſem
per infeſtos tenentem captaſſe tranſitum ſu-
um: ſe verò ſtrepitum in caſtris & tumultum
quotidie ingentem excitaſſe, quo aſſuefacẽ-
ret ſuos non formidare barbaros. Hinc no-
cte brumali & obſcura, cum parte peditum
& lectiſsimis equitibus procul ſe ab hoſtib⁹
progreſſum, in inſulam non magnam tranſ-
C miſiſſe. Ibi imbre ingentibus procellis fuſo,
crebriſque in exercitum preſteribus & fulgu
ribus cadentibus, ſoluiſſe tamen, quamuis in-
terire nonnullos & perſtringi fulminè vide-
ret, & ex inſula ſe ad vlteriorem ripam con-
tendiſſe. Hydaſpem, quum ex illa tempeſta-
te torrẽs & tumidus ferretur, perrupiſſe gran
di eluuie ripam, magnámque partẽ illac vn-
dæ decurriſſe. Terram ſe intermediam cepiſ-
ſe non ſtabili pede, vtpote lubricam, quam
vndique lacerabat vnda. Ibi dixiſſe autumãt
eum, "Quis credat, Athenienſes, quanta pe- «
D ricula veſtri præconij cauſa ſubeam? Cæte- «
rùm hoc prodidit Oneſicritus. Ipſe autem
autor eſt, ratibus relictis, Macedonas ſub ar-
mis eluuiem illam ſuperaſſe, pertingente ad
pectus vnda. Amne traiecto viginti ſtadia
ſe ante peditatum prouectum, ſi hoſtis con-
fligeret ſecum equitatu, multo ſe ratum ſu-
periorem fore: ſin moueret peditatum, matu
rè peditatum ſuum ſe conſequuturum. Eue-
niſſe alterum. nam fudiſſe ſe mille equites &
currus ſexaginta, qui ſecum fuerant congreſ-
E ſi. Currus cepiſſe omnes, ex equitibus qua-
dringentos occidiſſe. Ita aduertente Poro
ipſum tranſmiſiſſe Alexandrum, cum omni-
bus copiis ſe intuliſſe, non pluribus ibi reli-
ctis, quàm qui tranſitum impedirẽt Macedo-
num. Belluarũ & hoſtium multitudinis metu
in alterum cornu inuectum ſe, cæteros immi
ſiſſe omnes in dexterum. Vtroque auerſo cor
nu, eos qui premebantur globo facto ad be-
ſtias ſemper ſe recepiſſe. Inde promiſcuè pu-
gnatum, & vix octaua hora hoſtes terga de-
F diſſe. Hæc ipſe prælij autor recenſuit in epi-
ſtolis. Porum plerique ſcriptores conſen-
tiunt quatuor cubitos palmo excedentem,
ob corporis eminentiam & molem, ele-
phanto, quantumuis fuerit grandis, equi-
tis portione reſpondiſſe. Mirificam ſolet-
tiam hic elephas monſtrauit & ſolicitudi-
nem pro rege. qui cum adhuc valentem a-
dorientes animoſè excepit & reiecit: vt ve-
rò telorum & vulnerum vi ſenſit confectum,

Crediturine eſtis Athen. Vel, An credere poſſitis Athen.

A veritus ne deflueret, genibus leniter humi demiſit ſe, & promuſcide ſingula iacula ſenſim ex corpore eius euulſit. Vt captum Alexander Porum rogauit * quî de ipſo conſuleret, Regaliter, reſpōdit. Adiiciente Alexādro nihílne aliud vellet, Omnia, inquit, verbū Regaliter cōplectitur. Igitur * non modò ei priſtinum regnū ſub ſatrapæ nomine reſtituit, verumetiam adiecit liberorum ibi populorū, quos ſubegit, regionē, in qua nationes quindecim, vrbium non mediocriū quinque millia, & vicos quamplurimos memorāt fuiſſe.

Quomodo tractaturus eum eſſet, Reg.

Non modò illis quorum rex erat, imperare permiſit, quāuis ſatrapa tantum appellaretur, ve rumetiam ad.

B Aliam domuit ter tantam, cuius Philippo vni ex cohorte amicorū præfecturā dedit. Ex prælio cum Poro cōmiſſo, Bucephalas mortuus eſt, non extemplo, ſed pòſt, vt plerique, produnt, ſub vulnerum curatione: vt Oneſicritus eſt autor, ob ſeniū labore cōfectus. Nā triginta annorū ętate ait eū deceſſiſſe. Mortē eius tulit Alexāder grauiter, non aliter exiſtimans quàm ſi familiarē & amicū amiſiſſet. In memoriā eius ſuper Hydaſpē condidit vrbem, quā appellauit Bucephaliā. Ferunt canē C quoque eum, Peritā nomine, alitum ab ipſo atque in deliciis habitū amiſiſſe, vrbémq; erexiſſe ei cognominē. Id Sotion de Potamone ſe Lesbio narrat audiuiſſe. At Macedonas illa cū Poro pugna reddidit ſegniores, repreſſitq; ne peterēt vlteriorē Indiā. Quū enim ęgrè pepuliſſent illū qui viginti millia peditū & duo millia equitū in aciē adduxerat, obnixè reluctati Alexādro ſunt, ſuperate contendenti etiā amnē Gangē: cuius accipiebāt latitudinē duorū & triginta ſtadiorū eſſe, & vlnarū centū profunditatē, ripas vlteriores pe D ditū, equitū, elephantorū agminibus coopertas. Siquidē fama tenebat octoginta equitū millibus, ducētis peditū, curruū octo & elephantorū bellatorum ſex millibus munitos Gādaritarū & Præſiorū reges ibi eū opperiri. neque ea vanè iactata. Androcottus enim, qui nō multo pòſt regnauit, elephātos Seleuco quingētos dono dedit, & ſexcētis millib⁹ militū Indiā peragrās, omnē redegit in poteſtatē. Hîc primùm animi mœrore & ita tabernaculo incluſus abiecit ſe in terrā, pœnitebátq; eū rerū perpetratarū, niſi Gangē ſu- E peraret, * & pro cōfeſſione victū ſe eſſe habebat reditū. At vbi amici eū, prout res erat, ſuadētes, aſſiſtentéſq; foribus cū plāctu & ſtrepitu milites ſupplices orauerūt, infractus parauit ſe ad reditū, multáq; fucata & cōmētitia eſt machinatus. Quippe grādiora arma & equorū pſepia frænáq; fabricatus pōderoſiora, reliquit & diſſeminauit. Poſuit ꝑterea deorū aras, quas hac quoq; memoria Præſiorum reges traiecto flumine venerātur, immolántque hoſtias ibi Græco ritu. Androcottus id F tēporis adoleſcēs ipſum Alexandrū vidit, fertúrque ſæpe poſtea dixiſſe, Nihil factū fuiſſe ꝓpius quàm vt rerū illic Alexāder * potitus fuiſſet, quòd rex ob improbitatem & ignobilitatē inuiſus atq; contēptus eſſet. Inde ꝓgēs Alexāder ad cōtemplandū Oceanū, frequentes naues actuarias & rates parat, iiſq; ſecundo flumine per otiū defertur. Nō fuit inanis ea nauigatio tamē, neque belli exors, nā deſcenſionibus faciendis vrbibúſq; oppugnādis

Ac ſe retrò abire, perinde eſſe exiſtimans, ac ſi victum ſe fateretur. At vbi am.

Potiretur, q.

A δείσας μὴ περιῤῥυῇ, τοῖς μὲν γόνασιν εἰς γῆν ὑφῆκεν πράως ἑαυτόν, τῇ δὲ προνομαίᾳ λαμβάνων ἄρεμα τῶν δορατίων ἕκαστον, ἐξῄρει τοῦ σώματος. ἐπεὶ δὲ ληφθέντα τὸν Πῶρον ὁ Ἀλέξανδρος ἠρώτα πῶς αὐτῷ χρήσηται, Βασιλικῶς (εἶπεν·) προσπυθομένου δὲ μή τι ἄλλο λέγει, Πάντα (εἶπεν) ἐστὶν ἐν τῷ βασιλικῶς. οὐ μόνον οὖν ἀφῆκεν αὐτὸν ἄρχειν ὧν ἐβασίλευεν, σατράπην καλούμενον, ἀλλὰ καὶ προσέθηκε χώραν, καὶ τοὺς αὐτονόμους καταστρεψάμενος, ἐν ᾗ πεντεκαίδεκα μὲν ἔθνη, πόλεις δὲ πεντακισχιλίας ἀξιολόγους, κώμας δὲ παμπόλλας εἶναι B φασίν. ἄλλην δὲ τρὶς τοσαύτην, ἧς Φίλιππον ἕνα τῶν ἑταίρων, σατράπην ἀπέδειξεν. ἐκ δὲ τῆς πρὸς Πῶρον μάχης καὶ ὁ Βουκεφάλας ἐτελεύτησεν, οὐκ εὐθὺς, ἀλλ' ὕστερον, ὡς οἱ πλεῖστοι λέγουσιν, ὑπὸ τραυμάτων θεραπευόμενος· ὡς δὲ Ὀνησίκριτος, διὰ γῆρας ὑπέρπονος γενόμενος. τριάκοντα γὰρ ἐτῶν ἀποθανεῖν αὐτόν. ἐδήχθη δ' ἰσχυρῶς Ἀλέξανδρος, οὐδὲν ἄλλο ἢ συνήθη καὶ φίλον ἀποβεβληκέναι νομίζων· καὶ πόλιν οἰκίσας ἐπ' αὐτῷ παρὰ τὸν Ὑδάσπην, Βουκεφαλίαν προσηγόρευσεν. λέγεται δὲ καὶ κύνα, Περίταν ὄνομα, τεθραμμένον C ὑπ' αὐτοῦ καὶ στεργόμενον ἀποβαλὼν, κτίσαι πόλιν ἐπώνυμον. τοῦτο δὲ Σωτίων φησὶ Ποτάμωνος ἀκοῦσαι τοῦ Λεσβίου. τοὺς μέντοι Μακεδόνας ὁ πρὸς Πῶρον ἀγὼν ἀμβλυτέρους ἐποίησεν, καὶ τὸ πρόσω τῆς Ἰνδικῆς ἔτι προελθεῖν ἐπέσχεν. μόλις γὰρ ἐκεῖνον ὠσάμενοι, δισμυρίοις πεζοῖς καὶ δισχιλίοις ἱππεῦσι παραταξάμενον, ἀντέστησαν ἰσχυρῶς Ἀλεξάνδρῳ βιαζομένῳ καὶ τὸν Γάγγην περάσαι ποταμόν· εὖρος μὲν αὐτοῦ, δύο καὶ τριάκοντα σταδίων εἶναι πυνθανόμενοι, καὶ βάθος ὀργυιὰς ἑκατόν· ἀντιπέραι δὲ τὰς ὄχθας ἀποκεκρύφθαι πλήθεσιν ὅπλων D καὶ ἵππων καὶ ἐλεφάντων. ἐλέγοντο γὰρ ὀκτὼ μὲν μυριάδας ἱπποτῶν, εἴκοσι δὲ πεζῶν, ἅρματα δὲ ὀκτακισχίλια, καὶ μαχίμους ἐλέφαντας ἑξακισχιλίους ἔχοντες οἱ Γανδαριτῶν καὶ Πραισίων βασιλεῖς ὑπομένειν. καὶ κόμπος οὐκ ἦν περὶ ταῦτα. Ἀνδρόκοττος γὰρ ὕστερον οὐ πολλῷ βασιλεύσας, Σελεύκῳ πεντακοσίους ἐλέφαντας ἐδωρήσατο, καὶ στρατοῦ μυριάσιν ἑξήκοντα τὴν Ἰνδικὴν ἐπῆλθεν ἅπασαν καταστρεφόμενος. τὸ μὲν οὖν πρῶτον, ὑπὸ δυσθυμίας καὶ ὀργῆς αὑτὸν εἰς τὴν σκηνὴν καθείρξας ἔκειτο· χάριν οὐδεμίαν εἰδὼς τοῖς δια- E πεπραγμένοις, εἰ μὴ περάσειεν τὸν Γάγγην, ἀλλ' ἐξομολόγησιν ἥττης τιθέμενος τὴν ἀναχώρησιν. ὡς δ' οἵ τε φίλοι τὰ εἰκότα παρηγοροῦντες αὐτόν, οἵ τε στρατιῶται κλαυθμῷ καὶ βοῇ προσιστάμενοι ταῖς θύραις ἱκέτευον, ἐπικλασθεὶς ἀνεζεύγνυεν, πολλὰ πρὸς δόξαν ἀπατηλὰ καὶ σοφιστικὰ μηχανώμενος. καὶ γὰρ ὅπλα μείζονα καὶ φάτνας ἵππων καὶ χαλινοὺς βαρυτέρους κατασκευάσας, ἀπέλιπέ τε καὶ διέῤῥιψεν. ἱδρύσατο δὲ βωμοὺς θεῶν, οὓς μέχρι νῦν οἱ Πραισιαίων βασιλεῖς διαβαίνοντες σέβονται, καὶ θύουσιν Ἑλληνικὰς θυσίας. F Ἀνδρόκοττος δὲ, μειράκιον ὢν, αὐτὸν Ἀλέξανδρον εἶδεν, καὶ λέγεται πολλάκις εἰπεῖν ὕστερον, ὡς παρ' οὐδὲν ἦλθεν τὰ πράγματα λαβεῖν Ἀλέξανδρος, μισουμένου τε καὶ καταφρονουμένου τοῦ βασιλέως διὰ μοχθηρίαν καὶ δυσγένειαν. ἐντεῦθεν ὁρμήσας Ἀλέξανδρος, τὴν ἔξω θάλασσαν ἐπιδεῖν, καὶ πολλὰ πορθμεῖα κωπήρη καὶ σχεδίας πηξάμενος, ἐκομίζετο τοῖς ποταμοῖς ὑποφερόμενος σχολαίως. ὁ δὲ πλοῦς οὐκ ἀργὸς ἦν οὐδὲ ἀπόλεμος, προσβάλλων δὲ ταῖς πόλεσιν, καὶ ἀποβαίνων

ἐχειροῦτο πάντα. πρὸς δὲ τοῖς καλουμένοις Μαλλοῖς, οὕς φασιν Ἰνδῶν μαχιμωτάτους γενέσθαι, μικρὸν ἐδέησεν κατακοπῆναι. τοὺς μὲν γὰρ ἀνθρώπους βέλεσιν ἀπὸ τῶν τειχῶν ἀπεσκέδασεν· πρῶτος δὲ διὰ κλίμακος τεθείσης ἀναβὰς ἐπὶ τὸ τεῖχος, ὡς ἥ τε κλίμαξ συνετρίβη, καὶ τῶν βαρβάρων ὑφισταμένων παρὰ τὸ τεῖχος, ἐλάμβανε πληγὰς κάτωθεν, ὀλιγοστὸς ὤν, συστρέψας ἑαυτὸν εἰς μέσους ἀφῆκεν τοὺς πολεμίους, καὶ κατὰ τύχην ὀρθὸς ἔστη. τιναξαμένου δὲ τοῖς ὅπλοις, ἔδοξαν οἱ βάρβαροι σέλας τι καὶ φάσμα πρὸ τοῦ σώματος φέρεσθαι. διὸ καὶ τὸ πρῶτον ἔφυγον καὶ διεσκεδάσθησαν· ὡς δὲ εἶδον αὐτὸν μετὰ δυεῖν ὑπασπιστῶν, ἐπιδραμόντες, οἱ μὲν ἐκ χειρὸς ξίφεσι καὶ δόρασι διὰ τῶν ὅπλων συνετίτρωσκον ἀμυνόμενον· εἷς δὲ μικρὸν ἀπωτέρω στὰς ἐφῆκεν ἀπὸ τόξου βέλος οὕτως εὔτονον καὶ βίαιον, ὥστε τὸν θώρακα διακόψαν ἐμπαγῆναι τοῖς περὶ τὸν μαστὸν ὀστέοις. πρὸς δὲ τὴν πληγὴν ἐνδόντος αὐτοῦ τὸ σῶμα καὶ κάμψαντος, ὁ μὲν βαλὼν ἐπέδραμεν, ἀνασπασάμενος βαρβαρικὴν μάχαιραν· Πευκέστας δὲ καὶ Λιμναῖος προέστησαν· ὧν πληγέντων ἑκατέρων, ὁ μὲν ἀπέθανεν, Πευκέστας δὲ ἀντεῖχεν. τὸν δὲ βάρβαρον Ἀλέξανδρος ἀπέκτεινεν. αὐτὸς δὲ τραύματα πολλὰ λαμβάνων, τέλος δὲ πληγεὶς ὑπέρῳ κατὰ τοῦ τραχήλου, προσήρεισε τῷ τείχει τὸ σῶμα, βλέπων πρὸς τοὺς πολεμίους. ἐν τούτῳ δὲ τῶν Μακεδόνων περιχυθέντων, ἁρπασθείς, ἀναίσθητος ἤδη τῶν περὶ αὐτὸν ἐπὶ σκηνῆς ἐκομίζετο. καὶ παραυτίκα μὲν ὡς τεθνεῶτος ἦν λόγος ἐν τῷ στρατοπέδῳ· χαλεπῶς δὲ καὶ πολυπόνως τὸν οἰστὸν ἐκπρισάντων ξύλινον ὄντα, καὶ τοῦ θώρακος οὕτω μόλις ἀπολυθέντος, περὶ τὴν ἐκκοπὴν ἐγίνοντο, τῆς ἀκίδος ἐνδεδυκυίας ἐν ἑνὶ τῶν ὀστέων. λέγεται δὲ τὸ μὲν πλάτος, τριῶν δακτύλων εἶναι· τὸ δὲ μῆκος, τεσσάρων. διὸ ταῖς λειποθυμίαις ἔγγιστα θανάτου συνελαυνόμενος, ἐξαιρουμένης αὐτῆς, ὅμως ἀνέλαβεν. καὶ διαφυγὼν τὸν κίνδυνον, ἔτι δὲ ἀσθενὴς ὤν, καὶ πολὺν χρόνον ἐν διαίτῃ καὶ θεραπείαις ἔχων αὐτόν, ἔξω θορυβοῦντας ὡς ᾔσθετο ποθοῦντας αὐτὸν ἰδεῖν τοὺς Μακεδόνας, λαβὼν ἱμάτιον προῆλθεν, καὶ θύσας τοῖς θεοῖς, αὖθις ἀνῆλθεν καὶ παρεκομίζετο, χώραν τε πολλὴν καὶ πόλεις μεγάλας καταστρεφόμενος. τῶν δὲ γυμνοσοφιστῶν τοὺς μάλιστα τὸν Σάββαν ἀναπείσαντας ἀποστῆναι, καὶ κακὰ πλεῖστα τοῖς Μακεδόσι παρασχόντας, λαβὼν δέκα, δεινοὺς δοκοῦντας εἶναι περὶ τὰς ἀποκρίσεις καὶ βραχυλόγους, ἐρωτήματα προὔγραφεν αὐτοῖς ἄπορα, φήσας ἀποκτενεῖν τὸν μὴ ὀρθῶς ἀποκρινόμενον πρῶτον, εἶτα ἐφεξῆς οὕτω τοὺς ἄλλους. ἕνα δὲ τὸν πρεσβύτατον ἐκέλευσε κρίνειν. ὁ μὲν οὖν πρῶτος ἐρωτηθείς, πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας, ἢ τοὺς τεθνηκότας, ἔφη τοὺς ζῶντας. οὐκ ἔτι γὰρ εἶναι τοὺς τεθνηκότας. ὁ δὲ δεύτερος, πότερον τὴν γῆν ἢ τὴν θάλατταν μείζονα τρέφειν θηρία, τὴν γῆν· ταύτης γὰρ ἔφη μέρος εἶναι τὴν θάλατταν. ὁ δὲ τρίτος, ποῖόν ἐστι ζῷον πανουργότατον, Ὃ μέχρι τοῦ νῦν (εἶπεν) ἄνθρωπος οὐκ ἔγνωκεν. ὁ δὲ τέταρτος ἀνακρινόμενος τίνι λογισμῷ τὸν Σάββαν ἀπέστησεν, ἀπεκρίνατο, Καλῶς ζῆν βουλόμενον αὐτόν, ἢ κακῶς ἀποθανεῖν. ὁ δὲ πέμπτος ἐρωτηθείς, πότερον οἴεται τὴν ἡμέραν ἢ τὴν νύκτα προτέραν γεγονέναι, Τὴν ἡμέραν (εἶπεν) ἡμέρᾳ μιᾷ. καὶ προσεῖπεν (οὕτως θαυμάσαντος τοῦ βασιλέως) ὅτι τῶν ἀπόρων ἐρωτήσεων, ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. μεταλαβὼν οὖν, τὸν ἕκ-

A omnia redegit in poteſtatem. In Mallis verò, quos Indorũ perhibent bellicoſiſsimos fuiſſe, penè conciſus eſt. Ciues enim telis à muris reiecit, poſitiſque ſcalis in murum euaſit primus. quæ vbi imminutæ ſunt, atque à barbaris infrà ſtantibus iuxta murum multa tela ingeſta paucis comitato, librato corpore in medios ſaltu ſe immiſit hoſtes, & forte fortuna ſe pedibus excepit. Cuius vibrantibus armis, iubar aliquod & ſpectrum barbaris videbatur pro corpore eius obuerſari. Vnde primùm in fugã effuſi ſunt: cęterùm vt duobus tantùm comitatum armigeris conſpexere, B impreſsione facta, alij cominus gladiis lãceíſque traiecerunt arma eius, pugnantémq; fortiter cõuulnerauerunt. Vnus paulo remotior ſagittam arcu excuſsit tãta vi & impetu, vt adacta per loricam in coſtas eius ſecundũ mammam defigeretur. Ad ictum remittente Alexandro & inclinante corpus, ille qui miſerat ſagittam, enſe diſtricto barbarico, accurrit. Aſsiſtebant ei Peuceſtas & Limnæus, qui vulnerati ambo: alter cecidit, Peuceſtas reſtitit. barbarum Alexander obtruncauit. Mul- C tis confixus vulneribus, tandémque ictus piſtillo in collo, corpus mœnibus applicuit, directa in hoſtes acie. Interea circunfundentibus ſe Macedonibus abreptus, ſemianimíſque iam in tabernaculum eſt relatus: ac mox regem vulgatum eſt in caſtris expiraſſe. ingenti difficultate ac labore ſagittam. quæ lignea erat, abſcindũt. Tum detracto tandem thorace, accingunt ſe ad euellendum ſpiculum, quod vni oſsi erat infixum. Dicitur tres digitos latum fuiſſe, longum quatuor. Vnde animo identidem liquente, penè exanimis, ex- D empto eo tamen *recepit ſe. Quum ex periculo emerſiſſet, eſſet tamen adhuc imbecillis, diúque in victus ratione & cura hæreret, vbi tumultuantes videndi ſui deſiderio Macedonas animaduertit, ſumpto pallio prodiit. & quum diis ſacra feciſſet, iterum conſcendit naues. In tranſitu latum tractum vrbéſque amplas domuit. Ex Gymnoſophiſtis, qui præcipuè Sabbam ad defectionem impulerant, & plurimum fatigauerant Macedonas, decem acres ad reſpondendum & E contractos habitos cepit. His quæſtiones obſcuras poſuit, necem denuntians primo qui parum rectè reſpondiſſet, inde ordine reliquis. vnum natu maximum dedit iudicem. Primus interrogatus, Viuóſne plures » eſſe, an mortuos cenſeret, Viuos, ait. ne- » que enim iam eſſe eos qui mortui ſunt. Se- » cundus, Terram an pelagus grandiores gi- » gnere belluas, Terram. quippe huius, in- » quit, pelagus portio eſt. Tertius, Quod a- » nimal callidiſsimum eſſet, Quod hacte- » nus, inquit, homo non cognouit. Quar- » F tus requiſitus, Quamobrem Sabbam ad re- » bellionem concitaſſet, reſponſum dedit, » Quo honeſtè viueret, aut malè periret. Quin- » tus rogatus, Diem an noctem putaret fuiſ- » ſe priorem, Diem, ait, vno die. Adiecit » autem (quum id rex admiraretur) *impli- » catarum interrogationum, neceſſe eſſe vt » eſſent implicatæ reſponſiones. Ita progre- » diens ſextum percunctatus eſt, Quemadmo »

Recreatus eſt. Quum ex p.

Inſolubiliũ interrogationum neceſſariò inſolubiles & reſponſiones eſſe. Mutato igitur interrogationum genere, ſextum interr.

» dum quis maximè ſe efficiat charũ, Si potentiſsimus, inquit ille, nec formidabilis eſſet. Ex » reliquis alius rogatus, Queádmodũ ex mortali quis deus euadat, Si quid fecerit, inquit, » quod facere denegatũ ſit homini. Alius, De » vita & morte, vtra valentior, reſpondit, Vitã, » tam multa tolerantẽ mala. Poſtremus, Quatenus hominem viuere deceat. Eatenus dum » mori quàm viuere non cenſeat præſtare. Ita » tandem verſus ad iudicem, pronuntiare eum » iuſsit ſententiam. qui quum alium alio dixiſ» ſet ſegnius reſpõdiſſe, Ergo tu, inquit, primus » moriere, qui ita decernis. Minimè verò, rex, » inquit ille: niſi tu mẽtiaris, qui primum dixi» ſti interfecturũ te illum qui peſsimè reſpondiſſet. Hos igitur muneribus honoratos dimiſit. Ad eos verò qui erant clariſsimi, ſolitariã autem quietámq; vitã agebant, Oneſicritum miſit, petitũ ad ſe vt venirent. Fuit Oneſicritus philoſophus ex Diogenis Cynici contubernio. Aiunt Calanum ſanequam ſuperbè & aſperè iuſsiſſe ei, vt poſita veſte audiret ſe nudus: alioquinon congreſſurum cum eo ſe, ne ſi à Ioue miſſus eſſet quidem. Dandamim egiſſe placidius, ac de Socrate, Pythagora, Diogene quum audiuiſſet, dixiſſe magno ingenio ſibi eos viros videri fuiſſe, ſed nimium reuerentes legum. Alij Dandamim nihil memorant niſi ſolum hoc quæſiſſe, Qua de cauſa Alexander eò veniſſet tam immenſo itinere: Calanum tamen, vt ad Alexandrum proficiſceretur, Taxiles induxit. Sphines vocabatur: ſed quòd ſermone Indico Cale pro Salue ſalutans obuios compellaret, Calanus eſt à Græcis nominatus. Hunc referunt exemplum imperij ſui Alexãdro ob oculos poſuiſſe. Corium in medium coniecit ſiccum & retorridum, cuius oram calcauit. Id vno loco preſſum cæteris partibus extulit ſe. Idem circulans vndique & pedibus ſtringens in quaque parte oſtendit euenire, quoad medium pedibus occupauit, tunc omnes partes quieuere. Ea imagine ſignificauit media regni maximè premẽda, neque procul ab iis vagandum Alexandro eſſe. Deſcenſus Alexandri per flumina ad Oceanũ ſeptem menſium ſpatium abſumpſit. Vt verò claſſe ad Oceanum penetrauit, acceſſit ad inſulam, quam ipſe Sciiluſtin, Pſiltucin alij appellauere. Ibi exſcenſione facta, ſacrificauit, pelagíq; & oræ marinæ, quatenus aſſequi valuit, indolem colluſtrauit. Inde precatus nequis poſt ſe mortalium expeditionis ſuæ tranſcenderet terminos, regreſſus eſt. Naues circumuehi iuſſit, relicta ad dexterã India. Claſſi præfecit Nearchum, magiſtrum gubernatorum Oneſicritũ creauit. Ipſe pedeſtri itinere per Oritas pergens, in extremã inopiam recidit, multóſque mortales amiſit: vt militariũ copiarum ne quartam quidẽ partẽ reduceret ex India, quũ peditũ eſſet centũ viginti millia, equitũ ad quindecim millia. Ad hæc graues morbi, prauus victus, feruores torridi, plurimos fames abſumpſere, dum regionẽ peragrant incultã hominũ durã vitam agentium: qui paucas & viles habebãt oues marinis piſcibus aſſuetas veſci, atq; hinc praua carne & putida præditas. Hanc tandẽ dieb' ſexaginta

A τον ἠρώτα, πῶς ἂν τις φιληθείη μάλιστα, Ἂν κράτιστος ὤν (ἔφη) μὴ φοβερὸς ᾖ. τῶν δὲ λοιπῶν, ὁ μὲν ἐρωτηθεὶς πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεός, Εἴ τι πράξειεν (εἶπεν) ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μὴ ἔστιν. ὁ δὲ, περὶ ζωῆς καὶ θανάτου, πότερον ἰσχυρότερον, ἀπεκρίνατο, τὴν ζωὴν, τοσαῦτα κακὰ φέρουσαν. ὁ δὲ τελευταῖος, μέχρι τίνος ἄνθρωπον καλῶς ἔχον ζῆν· μέχρις οὗ μὴ νομίζει τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον. οὕτω δὴ τραπόμενος πρὸς τὸν δικαστὴν, ἐκέλευσεν ἀποφαίνεσθαι. τοῦ δὲ ἕτερον ἑτέρου χεῖρον εἰρηκέναι φήσαντος,
B Οὐκοῦν (ἔφη) καὶ σὺ πρῶτος ἀποθανῇ, τοιαῦτα κρίνων. Οὐκ ἄν γε (εἶπεν) ὦ βασιλεῦ· εἰ μὴ σὺ ψεύδῃ, φήσας πρῶτον ἀποκτενεῖν τὸν ἀποκρινόμενον κάκιστα. τούτους μὲν οὖν ἀφῆκεν δωρησάμενος. πρὸς δὲ τοὺς ἐν δόξῃ μάλιστα καὶ καθ᾽ ἑαυτοὺς ἐν ἡσυχίᾳ ζῶντας ἔπεμψεν Ὀνησίκριτον, ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. ὁ δὲ Ὀνησίκριτος, ἦν φιλόσοφος τῶν Διογένει τῷ κυνικῷ συνεσχολακότων. καί φησι τὸν μὲν Καλανὸν ὑβριστικῶς πάνυ καὶ τραχέως κελεύειν, ἀποδύντα τὸν χιτῶνα, γυμνὸν ἀκροᾶσθαι τῶν λόγων· ἄλλως δὲ οὐ διαλέξεσθαι πρὸς αὐτὸν, οὐδ᾽ εἰ παρὰ τοῦ Διὸς ἀφῖκται. τὸν δὲ Δάν-
C δαμιν, πρᾳότερον, καὶ διακούσαντα περὶ Σωκράτους καὶ Πυθαγόρου καὶ Διογένους, εἰπεῖν ὡς εὐφυεῖς μὲν αὐτῷ γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι. ἄλλοι δέ φασιν τὸν Δάνδαμιν οὐδὲν εἰπεῖν, ἀλλ᾽ ἢ τοσοῦτον μόνον, Τίνος χάριν ὁ Ἀλέξανδρος ὁδὸν τοσαύτην δεῦρ᾽ ἦλθεν; τὸν μέντοι Καλανὸν ἔπεισεν ὁ Ταξίλης ἐλθεῖν πρὸς Ἀλέξανδρον. ἐκαλεῖτο δὲ Σφίνης· ἐπεὶ δὲ κατ᾽ Ἰνδικὴν γλῶτταν τῷ Καλὲ προσαγορεύων ἀντὶ τοῦ χαίρειν, τοὺς ἐντυγχάνον-
D τας ἠσπάζετο, Καλανὸς ὑπὸ τῶν Ἑλλήνων ὠνομάσθη. οὗτος δὲ λέγεται καὶ τὸ παράδειγμα τῆς ἀρχῆς τῷ Ἀλεξάνδρῳ προθέσθαι. καταβαλὼν γὰρ ἐν μέσῳ βύρσαν τινὰ ξηρὰν καὶ κατεσκληκυῖαν, ἐπάτησε τὸ ἄκρον· ἡ δὲ εἰς ἓν πιεσθεῖσα, τοῖς ἄλλοις ἐπήρθη μέρεσιν. καὶ τοῦτο περιιὼν ἐν κύκλῳ καὶ πιέζων, καθ᾽ ἕκαστον ἐδείκνυεν γινόμενον, ἄχρι οὗ τὸ μέσον ἐπιστὰς κατέσχεν, καὶ πάντα οὕτως ἠρέμησεν. ἐβούλετο δὲ ἡ εἰκὼν ἔνδειξις εἶναι τοῦ τὰ μέσα δεῖν μάλιστα τῆς ἀρχῆς πιέζειν, καὶ μὴ μακρὰν ἀποπλανᾶσθαι τὸν Ἀλέξανδρον. ἡ δὲ διὰ τῶν ποταμῶν
E πρὸς τὴν θάλατταν ὑπαγωγὴ μηνῶν ἑπτὰ χρόνον ἀνήλωσεν. ἐμβαλὼν δὲ ταῖς ναυσὶν εἰς τὸν ὠκεανὸν, ἀνέπλευσεν πρὸς νῆσον, ἣν Σκιλλοῦστιν αὐτὸς ὠνόμασεν, ἕτεροι δὲ Ψιλτοῦκιν. ἐνταῦθα δὲ ἀποβὰς, ἔθυεν τοῖς θεοῖς, καὶ τὴν φύσιν ἐπεῖδεν τοῦ πελάγους καὶ τῆς παραλίας, ὅσον ἐφικτὸν ἦν. εἶτα ἐπευξάμενος μηδένα μετ᾽ αὐτὸν ἀνθρώπων ὑπερβῆναι τοὺς ὅρους τῆς στρατείας, ἀνέστρεφεν. καὶ τὰς μὲν ναῦς ἐκέλευσε περιπλεῖν, ἐν δεξιᾷ τὴν Ἰνδικὴν ἐχούσας· ἡγεμόνα μὲν, Νέαρχον ἀποδείξας, ἀρχικυβερνήτην δὲ, Ὀνησίκριτον. αὐτὸς δὲ πεζῇ δι᾽ Ὠρειτῶν πορευόμενος, εἰς ἐσχάτην ἀπορίαν
F προήχθη, καὶ πλῆθος ἀνθρώπων ἀπώλεσεν, ὥστε τῆς μαχίμου δυνάμεως μηδὲ τὸ τέταρτον ἐκ τῆς Ἰνδικῆς ἀπαγαγεῖν. καίτοι δώδεκα μὲν μυριάδες ἦσαν οἱ πεζοὶ, τὸ δ᾽ ἱππικὸν, εἰς μυρίους καὶ πεντακισχιλίους. ἀλλὰ καὶ νόσοι χαλεπαὶ, καὶ δίαιται πονηραὶ, καὶ καύματα ξηρὰ, καὶ πλείστους ὁ λιμὸς διέφθειρεν, ἄσπορον χώραν ἐπιόντας ἀνθρώπων κακοβίων, ὀλίγα καὶ ἀγεννῆ πρόβατα κεκτημένων, ἃ τοὺς θαλαττίους ἰχθύας εἰθισμένα προσφέρεσθαι, σάρκα μοχθηρὰν εἶχε καὶ δυσώδη. μόλις οὖν ἐν ἡμέραις ἑξήκοντα ταύτην

διελθὼν, καὶ τῆς Γεδρωσίας ἁψάμενος, αὖθις ἐν ἀφθόνοις ἦν πᾶσιν, τῶν ἔγγιστα σατραπῶν καὶ βασιλέων παρασκευασάντων. ἀναλαβὼν οὖν ἐνταῦθα τὴν δύναμιν, ἐξώρμησεν κώμῳ χρώμενος ἐφ' ἡμέρας ἑπτὰ διὰ τῆς Καρμανίας. αὐτὸν μὲν οὖν ἵπποι σχέδην ἐκόμιζον ὀκτὼ μετὰ τῶν ἑταίρων ὑπὲρ θυμέλης, ἐν ὑψηλῷ καὶ περιφανεῖ πλαισίῳ πεπηγυίας, εὐωχούμενον συνεχῶς ἡμέρας καὶ νυκτός. ἅμαξαι δὲ παμπληθεῖς, αἱ μὲν ἁλουργοῖς καὶ ποικίλοις περιβολαίοις, αἱ δὲ ὕλης ἀεὶ προσφάτου καὶ χλωρᾶς σκιαζόμεναι κλάδοις, εἵποντο, τοὺς ἄλλους ἄγουσαι φίλους καὶ ἡγεμόνας ἐστεφανωμένους καὶ πίνοντας. εἶδες δ' ἂν οὐ πέλτην, οὐ κράνος, οὐ σάρισαν, ἀλλὰ φιάλαις καὶ ῥυτοῖς καὶ θηρικλείοις παρὰ τὴν ὁδὸν ἅπασαν οἱ στρατιῶται βαπτίζοντες ἐκ πίθων μεγάλων καὶ κρατήρων, ἀλλήλοις προέπινον, οἱ μὲν ἐν τῷ προάγειν ἅμα καὶ βαδίζειν, οἱ δὲ κατακείμενοι. πολλὴ δὲ μοῦσα συρίγγων καὶ αὐλῶν, ᾠδῆς τε καὶ ψαλμοῦ καὶ βακχείας γυναικῶν, κατεῖχε πάντα τόπον. τῷ δὲ ἀτάκτῳ καὶ πεπλανημένῳ τῆς πορείας, παρείπετο τῆς φιάλαις καὶ παιδιὰ βακχικῆς ὕβρεως, ὡς τοῦ θεοῦ παρόντος αὐτοῦ, καὶ συμπαραπέμποντος τὸν κῶμον. ἐπεὶ δὲ ἧκε τῆς Γεδρωσίας εἰς τὸ βασίλειον, αὖθις ἀνελάμβανε τὴν στρατιὰν πανηγυρίζων. λέγεται δὲ, μεθύοντα αὐτὸν θεωρεῖν ἀγῶνας χορῶν, τὸν δὲ ἐρώμενον Βαγώαν, χορηγοῦντα νικῆσαι, καὶ κεκοσμημένον διὰ τοῦ θεάτρου παρελθόντα καθίσαι παρ' αὐτόν· ἰδόντας δὲ τοὺς Μακεδόνας, κροτεῖν καὶ βοᾶν, φιλῆσαι κελεύοντας, ἄχρις οὗ περιβαλὼν κατεφίλησεν. ἐνταῦθα τῶν περὶ Νέαρχον ἀναβάντων πρὸς αὐτὸν, ἡσθεὶς καὶ διακούσας τὰ περὶ τὸν πλοῦν, ὥρμησεν αὐτὸς πλεύσας κατὰ τὸν Εὐφράτην στόλῳ μεγάλῳ, εἶτα περὶ τὴν Ἀραβίαν καὶ τὴν Λιβύην παρακομισθεὶς, διὰ στηλῶν Ἡρακλείων ἐμβαλεῖν εἰς τὴν ἐντὸς θάλασσαν. καὶ πλοῖα παντοδαπὰ περὶ Θάψακον ἐπήγνυτο, καὶ συνήγοντο ναῦται καὶ κυβερνῆται πανταχόθεν. ἡ δὲ ἄνω στρατεία χαλεπὴ γενομένη, καὶ τὸ περὶ Μαλλοὺς τραῦμα, καὶ ἡ φθορὰ πολλὴ λεχθεῖσα τῆς δυνάμεως, ἀπιστίᾳ τῆς σωτηρίας αὐτοῦ, τά τε ὑπήκοα πρὸς ἀποστάσεις ἐπῆρεν, καὶ τοῖς στρατηγοῖς καὶ σατράπαις ἀδικίαν πολλὴν καὶ πλεονεξίαν καὶ ὕβριν ἐποίησεν· καὶ ὅλως διέδραμε σάλος ἁπάντων καὶ νεωτερισμός. ὅπου καὶ πρὸς Ἀντίπατρον Ὀλυμπιὰς καὶ Κλεοπάτρα στασιάσασαι, διείλοντο τὴν ἀρχήν, Ὀλυμπιὰς μὲν Ἤπειρον, Κλεοπάτρα δὲ Μακεδονίαν παραλαβοῦσα. καὶ τοῦτο ἀκούσας Ἀλέξανδρος, βέλτιον ἔφη βεβουλεῦσθαι τὴν μητέρα. Μακεδόνας γὰρ οὐκ ἂν ὑπομεῖναι βασιλευομένους ὑπὸ γυναικός. διὰ ταῦτα Νέαρχον μὲν αὖθις ἐπὶ θάλασσαν ἔπεμψεν, ἐμπλῆσαι πολέμων ἅπασαν ἐγνωκὼς τὴν παραλίαν. αὐτὸς δὲ καταβαίνων ἐκόλαζεν τοὺς πονηροὺς τῶν στρατηγῶν. τῶν δὲ Ἀβουλίτου παίδων ἕνα μὲν, Ὀξυάρτην, αὐτὸς ἀπέκτεινε, σαρίσῃ διελάσας· Ἀβουλίτου δὲ μηδὲν τῶν ἀναγκαίων παρασκευάσαντος, ἀλλ' ἢ τρισχίλια τάλαντα νομίσματος αὐτῷ προσαγαγόντος, ἐκέλευσε τοῖς ἵπποις τὸ ἀργύριον παραβαλεῖν. ὡς δ' οὐκ ἐγεύοντο, φήσας, Τί οὖν ὄφελος ἡμῖν τῆς σῆς παρασκευῆς; καθεῖρξε τὸν Ἀβουλίτην. ἐν δὲ Πέρσαις, πρῶτον μὲν ἀπέδωκε τὸ νόμισμα ταῖς γυναιξὶν, ὥσπερ εἰώθεισαν οἱ βασιλεῖς, ὁσάκις εἰς Πέρσας ἀφίκοιντο, διδόναι χρυσοῦν ἑκάστῃ. καὶ διά τινας

A emenſus, Gedroſiam attigit. Ibi in rerum omnium egit affluentia, quòd proximi ſatrapæ & reges de omnibus prouidiſſent. Igitur refecto hîc exercitu, inceſsit comeſſabundus diebus ſeptem per Carmaniam. Illùm equi octo compoſito gradu vehebant cum amicis ſuper pulpitum, in edito & conſpicuo tabulato erectum quadrato, conuiuiis noctem diebus continuantem. Sequebantur currus frequẽtes partim purpureis & picturatis tapetibus, partim arborum ſemper recentium & virentium inumbrati ramis, quibus alij ve-
B hebantur amici & duces eius coronati potantéſque. Videres non cetram, non galeam, nõ ſariſſam: ſed phialis, pateris, calicibus thericliis milites toto itinere ex grandibus doliis & crateris haurientes, præbibebant inter ſe: alij ſimul inter pergendum & progrediendum, alij recumbentes. Circumſonabant omnia loca fiſtulis, tibiis, carminibus, cantilenis, bacchabundis mulieribus. Tam incompoſito & incondito itinere comitabatur pocula bacchabundæ licentiæ ludus,
C quaſi ipſo præſente Baccho & comeſſationis duce. Poſtquam in regiam Gedroſiæ venit, relaxauit de integro exercitum tempeſtiuis conuiuiis. Ferunt eum temulentum chororũ ludos ſpectaſſe, amaſium eius Bagoam choragum palmam obtinuiſſe, exornatúmque medio theatro tranſiſſe, & ad latus eius conſediſſe: Macedonas, quum id viderent, plaudentes vt oſculum ei ferret conclamaſſe, quoad illum complexus & diſſuauiatus ſit. Huc rediit ad eum Nearchus, letúſque ille intellecta nauigatione, inſtituit ipſe, magna
D claſſe deuectus Euphrate, Arabiam & Africam ambire, atque per columnas Herculis in mare mediterraneum decurrere. Omnis generis nauigia apud Thapſacum parabantur, nauticíque & gubernatores conquirebantur vndique. At fama duræ illius in ſuperioribus prouinciis expeditionis oppugnationíſque Mallorum, atque ingentis ſtragis exercitus, ex diffidentia illius ſalutis concitauit pacatos ad defectionem, ducibúſque & ſatrapis magnæ exercendæ violentiæ, auaritiæ, & fla-
E gitiorum dedit occaſionem: breui fluctus & ſeditio omnes peruaſit. Quando etiã Olympias & Cleopatra cõtra Antipatrum tumultuantes prouinciam eius partitæ ſunt, Olympias Epirũ, Macedoniam Cleopatra ſumpſit. Qua re ad Alexandrum perlata, rectius dixit matrem ſuam conſuluiſſe, neque enim regnum Macedonas fuiſſe fœminæ toleraturos. vnde Nearchum extemplo ad mare miſit, ſtatuitque oram maritimam armis omnẽ implere. In progrediendo ſumpſit de duci-
F bus qui deliquerant ſupplicium. Vnum ipſe ex Abulitis filiis Oxyartem interfecit, quem haſta tranſuerberauit. Abuliti, qui nihil præparauerat commeatus, tantùm argẽti ſignati tria millia talentûm attulit, equis obiicere iuſſit pecuniam. quibus eam non guſtátibus, Quò igitur nobis (inquit) hic paratus? ita Abulitem in vincula compegit. In Perſide nummos primùm fœminis donauit, vt moris erat regibus, quoties inirent Perſidem, ſingulis aureum largiri. Itaque aliquos

Quod credere non poſſent eum incolumem eſſe, concit.

referunt non crebrò, Ochum verò ne ſemel quidem, ob ſordes, Perſas inuiſiſſe, exiliúmque ſibi patriæ indixiſſe. Hinc quum Cyri conditorium apertum comperiſſet, interfecit autorem, quãuis Pellæus eſſet non ex obſcuriſſimis, qui id admiſerat, Polymachus nomine. Titulum quum legiſſet, iuſſit Græcis quoque literis infrà incidi. Is fuit huiuſcemodi, QVISQVIS ES HOMO, ET VNDECVNQVE VENISTI, (NAM VENTVRVM NOVI EGO) CYRVS SVM, PERSIS QVI QVAESIVI IMPERIVM. NE INVIDEAS MIHI, ORO TE, EXIGVAM HANC HVMVM, QVAE CORPVS TEGIT MEVM. Hæc Alexandrum vehementer permouere, reputantem rerum incertitudinem & viciſſitudinem. Eadem tempeſtate Calanus, quum non diu alui fluore laboraſſet, rogum poſtulauit ſibi ſtrui. Ad quem poſtquam eſt equo delatus, deos precatus, libamina ſibi ipſe infudit, capilliſque ſuis rem diuinam fecit. Inde rogum conſcendens, aſſiſtentes Macedonas complexus eſt, rogauítque lætum vt illum diem tranſigerent, & cum rege perpotarent: illum ipſum breui ait Babylone ſe reuiſurum. Ita fatus, decubuit operuitque ſe, neque ſe appropinquante igne mouit, ſed quo compoſuerat ſe habitu eum conſeruans, veteri illorum ſophiſtarum more ſemetipſe immolauit. Hoc multis annis pòſt alius Indus Athenis ex comitatu Cæſaris imitatus eſt: cuius viſitur hac quoque ætate monumẽtum, Indi appellatum. Regreſſus à rogo Alexander, frequentibus amicis & præfectis ad cœnam inuitatis, certamen & præmium propoſuit potandi meri. Qui plurimum hauſit, Promachus ad quatuor congios progreſſus eſt, relatóque pro victoriæ pretio talento, triduum ſuperſtes fuit. Ex cæteris (vt Chares autor eſt) vnus & quadraginta ex violentia exanimati, quum excepiſſet ingens gelu crapulam. Nuptias amicorum Suſis celebrauit, atque ipſe Darij filiam duxit vxorem, Statirã. Clariſſimas clariſſimis iunxit, ac commune Macedonum, qui iam antè contraxerant cõnubia, celebrauit ſplendidè epulum nuptiale: in quo memorant cuique conuiuarum, quorum fuerit nouem millium numerus, auream phialam ad libandum donatam. Iam fuit cùm in cæteris mirificè largus, tum æs alienum exercitus creditoribus de ſuo diſſoluit. Eius impenſæ vniuerſa ſumma, centum & triginta minus, ad decem millia talentûm peruenit. Antigenes autem luſcus obæratum ſimulans ſe, falſò nomẽ dederat, adductóque certo ad menſam qui affirmauit ſe ei dediſſe mutuò, repræſentauit ei pecuniam. Eo poſteà mendacij comperto, exarſit rex, ſummouitque eum aula, atque præfecturam ademit. Fuit bello bonus Antigenes, ac iuuenis etiamnum, quum obſideret Philippus Perinthon, intorto ex catapulta in oculum ſuum telo, nõ paruit eximere telum volentibus, neque pugnam remiſit, priuſquã vrgentis pepuliſſet atque inter muros redegiſſet hoſtes. Non modicè ergo tulit in præ-

A Φασὶν ἐνίους μὴ πολλάκις, Ὦχον δὲ μηδὲ ἅπαξ εἰς Πέρσας παραγίνεσθαι, διὰ μικρολογίαν, ἀποξενώσαντα τῆς πατρίδος ἑαυτόν. ἔπειτα τὸν Κύρου τάφον εὑρὼν διορωρυγμένον, ἀπέκτεινε τὸν ἀδικήσαντα. καίτοι Πελλαῖος ἦν οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα Πολύμαχος. τὴν δὲ ἐπιγραφὴν ἀναγνοὺς, ἐκέλευσεν Ἑλληνικοῖς ὑποχαράξαι γράμμασιν. εἶχε δὲ οὕτως, Ὦ ἌΝΘΡΩΠΕ, ὍΣΤΙΣ ΕἾ, ΚΑῚ ΠΌΘΕΝ ἭΚΕΙΣ, (ὍΤΙ ΜῈΝ ΓᾺΡ ἭΞΕΙΣ, ΟἾΔΑ) ἘΓῺ ΚΥ͂ΡΟΣ ΕἸΜῚ Ὁ ΠΕΡΣΑΙΣ B ΚΤΗΣΑΜΕΝΟΣ ΤῊΝ ἈΡΧΗΝ. ΜῊ ΟΥ͂Ν ΤΗ͂Σ ὈΛΙΓΗΣ ΤΑΥΤΗΣ ΓΗ͂Σ ΦΘΟΝΗΣΗΣ, Ἣ ΤΟΥΜῸΝ ΣΩ͂ΜΑ ΠΕΡΙΚΑΛΥΠΤΕΙ. ταῦτα μὲν οὖν ἐμπαθῆ σφόδρα τὸν Ἀλέξανδρον ἐποίησεν, ἐν νῷ λαβόντα τὴν ἀδηλότητα καὶ τὴν μεταβολήν. ὁ δὲ Κάλανος ἐνταῦθα, χρόνον οὐ πολὺν ὑπὸ κοιλίας ἐνοχληθεὶς, ᾐτήσατο πυρὰν αὐτῷ γενέσθαι. καὶ κομισθεὶς ἵππῳ πρὸς αὐτὴν, ἐπευξάμενος καὶ κατασπείσας ἑαυτοῦ, καὶ τῶν τριχῶν ἀπαρξάμενος, ἀναβαίνων, ἐδεξιοῦτο τοὺς παρόντας τῶν C Μακεδόνων, καὶ παρεκάλει τὴν ἡμέραν ἐκείνην ἡδέως γενέσθαι καὶ μεθυσθῆναι μετὰ τοῦ βασιλέως· αὐτὸν δὲ ἐκεῖνον ἔφη μετ' ὀλίγον χρόνον ἐν Βαβυλῶνι ὄψεσθαι. ταῦτα δὲ εἰπὼν, κατακλιθεὶς καὶ συγκαλυψάμενος, οὐκ ἐκινήθη τοῦ πυρὸς πλησιάζοντος, ἀλλ' ἐν ᾧ κατεκλίθη σχήματι τοῦτο διατηρῶν, ἐκαλλιέρησεν ἑαυτὸν τῷ πατρίῳ νόμῳ τῶν ἐκεῖ σοφιστῶν. τοῦτο πολλοῖς ἔτεσιν ὕστερον ἄλλος Ἰνδὸς ἐν Ἀθήναις Καίσαρι συνὼν ἐποίησεν· καὶ δείκνυται μέχρι νῦν τὸ μνημεῖον, Ἰνδοῦ προσαγορευόμενον. ὁ δὲ Ἀλέξανδρος ἀπὸ τῆς D πυρᾶς γενόμενος, καὶ συναγαγὼν πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἐπὶ δεῖπνον, ἀγῶνα προὔθηκεν καὶ στέφανον ἀκρατοποσίας. ὁ μὲν οὖν πλεῖστον πιὼν Πρόμαχος, ἄχρι χοῶν τεσσάρων προῆλθεν· καὶ λαβὼν τὸ νικητήριον στέφανον τάλαντον, ἡμέρας τρεῖς ἐπέζησεν. τῶν δὲ ἄλλων (ὥς Χάρης φησὶν) τετταράκοντα καὶ εἷς ἀπέθανον πίνοντες, ἰσχυροῦ τῇ μέθῃ κρύους ἐπιγενομένου. τῶν δὲ ἑταίρων γάμον ἐν Σούσοις ἐπιτελῶν, καὶ λαμβάνων μὲν αὐτὸς γυναῖκα τὴν Δαρείου θυγατέρα Στάτειραν, διανέμων δὲ τὰς ἀρίστας τοῖς ἀρί- E στοις, κοινὸν δὲ τῶν ἤδη προγεγαμηκότων Μακεδόνων γάμον καλὸν ἑστιάσας· ἐν ᾧ φασὶν, ἐννακισχιλίων τῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ὄντων, ἑκάστῳ χρυσῆν φιάλην πρὸς τὰς σπονδὰς δοθῆναι. τά τε ἄλλα θαυμαστῶς ἐλαμπρύνατο, καὶ τὰ χρέα τοῖς δανείσασιν ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς διαλύσας, τοῦ παντὸς ἀναλώματος, ἐλάσσονος μυρίων ταλάντων, ἑκατὸν τριάκοντα ταλάντοις γενομένου. ἐπεὶ δὲ Ἀντιγένης ὁ ἑτερόφθαλμος, ὡς ὀφείλων ἀπεγράψατο ψευδῶς, καὶ παραγαγών τινα φάσκοντα δεδανεικέναι πρὸς F τὴν τράπεζαν, ἀπέτισεν τὸ ἀργύριον. εἶτα ἐφωράθη ψευδόμενος, ὀργισθεὶς ὁ βασιλεὺς, ἀπήλασεν τῆς αὐλῆς αὐτὸν, καὶ παρείλετο τὴν ἡγεμονίαν. ἦν δὲ λαμπρὸς ἐν τοῖς πολεμικοῖς ὁ Ἀντιγένης· καὶ ἔτι δὲ νέος ὢν, Φιλίππου πολιορκοῦντος Πέρινθον, ἐμπεσόντος αὐτῷ καταπελτικοῦ βέλους εἰς τὸν ὀφθαλμὸν, οὐ παρέσχεν βουλομένοις ἐξελεῖν τὸ βέλος, οὐδὲ ὑφήκατο, πρὶν ὤσασθαι προσμαχόμενος καὶ κατακλεῖσαι τοὺς πολεμίους εἰς τὸ τεῖχος. οὐ μετρίως οὖν τότε τὴν ἀτι-

μίαν ἔφερεν, ἀλλὰ δῆλος ἦν ἑαυτὸν ὑπὸ λύπης καὶ βαρυθυμίας διαχρησόμενος. καὶ τοῦτο δείσας ὁ βασιλεύς, ἀνῆκεν τὴν ὀργήν, καὶ τὰ χρήματα ἔχειν ἐκέλευσεν αὐτόν. τῶν δὲ παίδων τῶν τρισμυρίων, οὓς ἀσκουμένους καὶ μανθάνοντας ἀπέλιπε, τοῖς τε σώμασιν ἀνδρείων φανέντων, καὶ τοῖς εἴδεσιν εὐπρεπῶν, ἔτι δὲ καὶ τῆς μελέτης εὐχέρειαν καὶ κουφότητα θαυμαστὴν ἐπιδειξαμένων, αὐτὸς μὲν ἥσθη· τοῖς δὲ Μακεδόσι δυσθυμία παρέστη καὶ δέος, ὡς ἧττον αὐτοῖς τοῦ βασιλέως προσέξοντος. διὸ καὶ τοὺς ἀσθενεῖς καὶ πεπηρωμένους αὐτοῦ καταπέμποντος ἐπὶ θάλατταν, ὕβριν ἔφασαν εἶναι καὶ προπηλακισμόν, ἀνθρώποις ἀποκεχρημένον εἰς ἅπαντα, νῦν ἀποτίθεσθαι σὺν αἰσχύνῃ, καὶ προσεῤῥίπτειν ταῖς πατρίσι καὶ τοῖς γονεῦσιν, οὐ τοιούτους παραλαβόντα. πάντας οὖν ἐκέλευον ἀφιέναι, καὶ πάντας ἀχρήστους νομίζειν Μακεδόνας, ἔχοντα τοὺς νέους τούτους πυρριχιστάς, σὺν οἷς ἐπιὼν κατακτήσεται τὴν οἰκουμένην. πρὸς ταῦτα χαλεπῶς ὁ Ἀλέξανδρος ἔσχεν, καὶ πολλὰ μὲν ἐλοιδόρησεν αὐτοὺς πρὸς ὀργήν, ἀπελάσας δὲ, τὰς φυλακὰς παρέδωκε Πέρσαις, καὶ κατέστησεν ἐκ τούτων δορυφόρους καὶ ῥαβδοφόρους· ὑφ' ὧν ὁρῶντες αὐτὸν παραπεμπόμενον, αὐτοὺς δὲ ἀπειργομένους καὶ προπηλακιζομένους, ἐταπεινοῦντο· καὶ διδόντες λόγον, εὕρισκον αὐτοὺς ὀλίγου δεῖν μανέντας ὑπὸ ζηλοτυπίας καὶ ὀργῆς. τέλος δὲ, συμφρονήσαντες ἐβάδιζον ἄνοπλοι καὶ μονοχίτωνες ἐπὶ τὴν σκηνήν, μετὰ βοῆς καὶ κλαυθμοῦ παραδιδόντες ἑαυτούς, καὶ χρήσασθαι κελεύοντες ὡς κακοῖς καὶ ἀχαρίστοις· ὁ δ' οὐ προσίετο, καίπερ ἤδη μαλασσόμενος. οἱ δ' οὐκ ἀπέστησαν, ἀλλ' ἡμέρας δύο καὶ νύκτας οὕτω προεστῶτες καὶ ὀλοφυρόμενοι καὶ κοίρανον ἀνακαλοῦντες ἐκαρτέρησαν. τῇ δὲ τρίτῃ προελθών, καὶ θεασάμενος οἰκτροὺς καὶ τεταπεινωμένους, ἐδάκρυεν πολὺν χρόνον· εἶτα μεμψάμενος μετρίως, καὶ προσαγορεύσας φιλανθρώπως ἀπέλυσε τοὺς ἀχρήστους, δωρησάμενος μεγαλοπρεπῶς, καὶ γράψας πρὸς Ἀντίπατρον, ὅπως ἐν πᾶσι τοῖς ἀγῶσι καὶ τοῖς θεάτροις προεδρίαν ἔχοντες ἐστεφανωμένοι καθίζοιντο. τῶν δὲ τεθνηκότων τοὺς παῖδας ὀρφανοὺς ὄντας, ἐμμίσθους ἐποίησεν. ὡς δὲ ἧκεν εἰς Ἐκβάτανα τῆς Μηδίας, καὶ διῴκησε τὰ κατεπείγοντα, πάλιν ἦν ἐν θεάτροις καὶ πανηγύρεσιν, ἅτε δὴ τρισχιλίων αὐτῷ τεχνιτῶν ἀπὸ τῆς Ἑλλάδος ἀφιγμένων. ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Ἡφαιστίων πυρέσσων· οἷα δὲ νέος καὶ στρατιωτικός, οὐ φέρων ἀκριβῆ δίαιταν, ἀλλὰ τὸν ἰατρὸν Γλαῦκον ἀπελθεῖν εἰς τὸ θέατρον περὶ ἄριστον γενόμενος, καὶ καταφαγὼν ἀλεκτρυόνα ἑφθόν, καὶ ψυκτῆρα μέγαν ἐκπιὼν οἴνου, κακῶς ἔσχεν, καὶ μικρὸν διαλιπὼν ἀπέθανεν. τοῦτο οὐδενὶ λογισμῷ τὸ πάθος Ἀλέξανδρος ἤνεγκεν, ἀλλ' εὐθὺς μὲν ἵππους τε κεῖραι πάντας ἐπὶ πένθει καὶ ἡμιόνους ἐκέλευσεν, καὶ τῶν πέριξ πόλεων ἀφεῖλεν τὰς ἐπάλξεις· τὸν δὲ ἄθλιον ἰατρὸν ἀνεσταύρωσεν. αὐλοὺς δὲ κατέπαυσεν καὶ μουσικὴν ἐν τῷ στρατοπέδῳ πολὺν χρόνον, ἕως ἐξ Ἄμμωνος ἦλθε μαντεία, τιμᾶν Ἡφαιστίωνα, καὶ θύειν ὡς ἥρωϊ παρακελεύουσα. τοῦ δὲ πένθους παρηγορίᾳ τῷ πολέμῳ χρώμενος, ὥσπερ ἐπὶ θήραν καὶ κυνηγέσιον ἀνθρώπων ἐξῆλθεν, καὶ τὸ Κουσσαῖον ἔθνος κατεστρέφετο πάντας ἡβηδὸν ἀποσφάττων. τοῦτο δὲ Ἡφαιστίω-

A ſentia ignominiam, verùm præ ſe tulit dolore & mœrore manus ſibi ipſum allaturũ. Id timens Alexander, iram depoſuit, & ipſum pecuniam eam iuſsit habere. Triginta millia puerorum, quos exercendos & inſtituendos reliquerat, virili corpore inuenit & ſpecie decora. Dederunt inſuper illi miræ dexteritatis & agilitatis documenta. Ea re læto rege, angor Macedonas & metus inceſsit minus regem ipſis addictum fore. Quapropter quũ debiles & inutiles remitteret ille domum, B contumeliam dictitauerunt eam & ſuggillationem eſſe, quòd quibus hominibus abuſus ad omnia fuerat, eos ignominioſe tunc in patriam & ad parentes detruderet, non eo quo acceperat eos ſtatu. Igitur miſsionẽ omnes flagitare conclamaréque, omnes Macedonas pro inutilibus haberet, ſolos iuuenes hos retineret ſaltatores, quibuſcum orbem terræ iret ſubiugatum. Inde concitatus Alexander frendénſque multis conuitiis hos proſcidit, eíſque amotis, corporis ſui cuſtodiam tradidit Perſis, atque ex his ſatellites apparitoréſque delegit. C A quibus quum cernerent illum ſtipari, ſe verò reiici ignominioſe, conciderunt animis, ac colloquuti inter ſe deprehenderunt ſe ipſi ex æmulatione & indignatione penè inſanire. Poſtremò ad ſe reuerſi, perrexerunt ad regis tabernaculum, inermes & tunicati, cum clamore & plangore offerentes ſemetipſi, petentéſque vteretur ipſis quaſi improbis & ingratis. Ille verò, quãuis iam placatior, non admiſit eos. Non abſceſſerunt illi, ſed duos dies & noctes ita pro tabernaculo eius lamentãtes dominúmq; appellantes D perdurauere. Tertio die prodiit, ac quum lamentabiles abiectóſque vidiſſet, in lacrymas longo ſpatio eſt effuſus. Inde modicè caſtigauit eos, tum appellauit humaniter, ac dimiſit inutiles, vbi eos magnificè donauit. Scripſit inſuper ad Antipatrum, vt omnibus in ludis & ſpectaculis primum locum tenerent, & coronati ibi conſiderent. Demortuorum liberis orbis ſtipendia parentum attribuit. Poſtquam Ecbatana Mediæ venit, rebus compoſitis neceſſariis, retulit E ſe ad ſpectacula & tempeſtiua cõuiuia, quòd tria millia artificum ad eum ex Græcia veniſſent. Sub idem tempus Hephæſtion febre correptus eſt. Vt iuuenis & militaris, exactioris impatiens victus, dum medicus Glaucus ad ſpectaculum abiit, prandium ſumpſit, adeſóque gallo gallinaceo aſſo, atque epoto ingenti vini frigefacti cratere, malè habuit, paulóque pòſt deceſſit. Hunc caſum tulit parum ſapienter Alexander, ſed confeſtim equos omnes mulóſque tonderi lugubriter F iuſſit, circumiectorum oppidorum pinnas detraxit, miſerum medicum egit in crucem, tibias muſicámque perdiu in caſtris compeſcuit, quoad ab Ammone allatum oraculũ eſt, vt Hephæſtionem colerent pro deo, eique ſacrificarent. Ad luctus leuationem bellum adhibuit, ac ſicut ad venationem hominum egreſſus, Cuſſæorum gentem excidit, omnémque ad internecionem deleuit. Ea clades, Hephæſtionis parentatio dicta.

In tumbam & monumentũ eius atque in hæc exornanda decẽ millia talentûm intendens expendere, operiſque præſtantia & exquiſita arte ſuperare ſumptum, deſiderauit præter omnes artifices Staſicratem, qui proiectam granditatem & magnificentiam in nouis rebus edendis promittebat. Quippe hic antea iactauerat apud eum in colloquio, ex montibus Thracium Athon configurari & conformari ad hominis effigiem poſſe. Itaque ſi vellet, ſimulacrum ſe ei ex Atho effecturum æternum & ampliſſimum, quod ſiniſtra teneret frequentem mille capitibus vrbem, dextra fundentem largam fluminis vndam in mare decurrentis. verùm hoc repudiauit. At tũc de multo abſurdioribus ſumptuoſioribúſque quotidie agebat cum artificibus commentãdis & machinãdis. Babylonem pergenti Nearchus, qui ab Oceano Euphratem inuectus reuerterat, refert conueniſſe ſe certos Chaldæos, qui monebãt Babylone vt abſtineret. nihil motus tamẽ progreſſus eſt. Poſtquam peruenit ad muros vrbis, coruorũ examen vidit certantium & ſe mutuò cædentium, quorum aliquot iuxta ipſum ſunt delapſi. Inde delato ad eum indicio præfectum Babylonis Apollodorum de ipſo exta conſuluiſſe, aruſpicem Pythagorã acciuit. Non inficiantem factum rogauit quid deprehendiſſet in hoſtia: qui vbi reſpondit trunca exta fuiſſe, Papæ, inquit, fœdum prodigiũ! Nec
* Pythagoram violauit: verùm pœnituit eum quòd fidem non adhibuiſſet Nearcho. ac ferè extra muros Babylonios diuertit, circumuectúſque eſt animi cauſa Euphrate. Terrebant autem eum multa prodigia. Leonem grandiſſimum & ſpecioſiſſimum eorum qui ibi alebantur, domeſticus aſinus adortus calce interfecit. Depoſitis veſtibus vnctus, pila ludebat. Ibi iuuenes qui pila luſerant, vbi reſumenda erant pallia, hominẽ contemplantur tacitum in ſolio ſedentem, diademate & amictu regio ornatum. Hic in quæſtione interrogatus qui eſſet, diu non reddidit vocẽ. Vix tandem quum ad ſe rediſſet, Dionyſium ait dici ſe, eſſe Meſſenium genere: certis autem criminibus accuſatum, atque eò à mari ductum, longo ſpatio in vinculis fuiſſe: modò Serapim adſtitiſſe ſibi, vinculiſque exemptum eò deduxiſſe, atque imperauiſſe vt veſte regia ſumpta & diademate, ſilentio conſideret. His Alexander auditis, illum ex vatũ conſilio ſuſtulit de medio. Cæterùm animo ipſe anxio atque erga deos diffidenti iam euaſit, aduerſus amicos verò ſuſpicioſo. Antipatrum imprimis formidabat eiúſque filios, ex quibus Iolas princeps pincerna erat, Caſſander nuper aduenerat. Qui quum barbaros venerabundos illum ſalutantes conſpexiſſet, vir in libertate enutritus Græca, atque huiuſcemodi ſpectaculi hactenus inſolens, in cachinnum eſt effuſus. Ea re exarſit ita Alexader, vt arreptum crinibus caput eius ambabus manibus vehementer contuderit ad parietem. Aliâs reſpondere Antipatri accuſatoribus aliquid parantem interpellans Caſ-
» ſandrum, Quid ais (inquit) tam longa via ho-
» mines nihil læſos tantùm ad calumniandum

A νος ἐναγισμὸς ἐκαλεῖτο. τύμβον δὲ καὶ τάφον αὐτοῦ καὶ τὸν περὶ ταῦτα κόσμον ἀπὸ μυρίων ταλάντων ἐπιτελέσαι διανοούμενος, ὑπερβαλέσθαι δὲ τῷ φιλοτέχνῳ καὶ περιττῷ τῆς κατασκευῆς τὴν δαπάνην, ἐπόθησεν μάλιστα τῶν τεχνιτῶν Στασικράτην, μεγαλουργίαν τινὰ καὶ τόλμαν καὶ κόμπον ἐν ταῖς καινοτομίαις ἐπαγγελλόμενον. οὗτος γὰρ αὐτῷ πρότερον ἐντυχών, ἔφη, τῶν ὀρῶν μάλιστα τὸν Θρᾴκιον Ἄθων διατύπωσιν ἀνδρείκελον δέχεσθαι καὶ διαμόρφωσιν· ἂν οὖν κελεύῃ, μονιμώτατον ἀγαλμάτων αὐτῷ καὶ περι-
B φανέστατον ἐξεργάσεσθαι τὸν Ἄθων, τῇ μὲν ἀριστερᾷ χειρὶ περιλαμβάνοντα μυριάνδρον πόλιν οἰκουμένην, τῇ δὲ δεξιᾷ σπένδοντα ποταμοῦ ῥεῦμα δαψιλὲς εἰς τὴν θάλασσαν ἀπορρέοντος. ταῦτα μὲν οὖν παρῃτήσατο· πολλῷ δὲ ἀτοπώτερα καὶ δαπανηρότερα τούτων σοφιζόμενος τότε καὶ συμμηχανώμενος τοῖς τεχνίταις διέτριβεν. εἰς δὲ Βαβυλῶνα προάγοντος αὐτοῦ, Νέαρχος (ἀφίκετο γὰρ αὖθις εἰσπλεύσας εἰς τὸν Εὐφράτην διὰ τῆς μεγάλης θαλάσσης) ἔφη τινὰς ἐντυχεῖν αὐτῷ Χαλδαίους, παραινοῦντας ἀπέχεσθαι Βαβυλῶνος
C τὸν Ἀλέξανδρον. ὁ δὲ οὐκ ἐφρόντισεν, ἀλλ' ἐπορεύετο· καὶ πρὸς τοῖς τείχεσι γενόμενος, κόρακας εἶδεν πολλοὺς διαφερομένους καὶ τύπτοντας ἀλλήλους, ὧν ἔνιοι κατέπεσον παρ' αὐτόν· ἔπειτα μηνύσεως γενομένης κατὰ Ἀπολλοδώρου τοῦ στρατηγοῦ τῆς Βαβυλῶνος, ὡς εἴη περὶ αὐτοῦ τεθυμένος, ἐκάλει Πυθαγόραν τὸν μάντιν· οὐκ ἀρνουμένου δὲ τὴν πρᾶξιν, ἠρώτησε τῶν ἱερῶν τὸν τρόπον. φήσαντος δὲ ὅτι τὸ ἧπαρ ἦν ἄλοβον, Παπαὶ (εἶπεν) ἰσχυρὸν τὸ σημεῖον. καὶ τὸν Πυθαγόραν οὐδὲν ἠδίκησεν· ἤχθετο δὲ μὴ πεισθεὶς τῷ Νεάρχῳ, καὶ τὰ πολλὰ τῆς Βαβυλῶνος
D ἔξω κατασκηνῶν καὶ περιπλέων τὸν Εὐφράτην διέτριβεν. ἠνώχλει δὲ αὐτὸν σημεῖα πολλά. καὶ γὰρ λέοντα τῶν τρεφομένων μέγιστον καὶ κάλλιστον ἥμερος ὄνος ἐπελθὼν καὶ λακτίσας ἀνεῖλεν. ἀποδυσαμένου δὲ πρὸς ἄλειμμα καὶ σφαῖραν αὐτοῦ παίζοντος, οἱ νεανίσκοι οἱ σφαιρίζοντες, ὡς ἔδει πάλιν λαβεῖν τὰ ἱμάτια, καθορῶσιν ἄνθρωπον ἐν τῷ θρόνῳ καθεζόμενον σιωπῇ, τὸ διάδημα καὶ τὴν στολὴν τὴν βασιλικὴν περικείμενον. οὗτος ἀνακρινόμενος ὅστις εἴη, χρόνον πολὺν ἄναυδος ἦν· μόλις δὲ συμφρονήσας, Διονύσιος μὲν ἔφη καλεῖ-
E σθαι, Μεσσήνιος δὲ εἶναι τὸ γένος. ἔκ τινος δὲ αἰτίας καὶ κατηγορίας, ἐνταῦθα κομισθεὶς ἀπὸ θαλάσσης, πολὺν χρόνον γεγονέναι ἐν δεσμοῖς· ἄρτι δὲ αὐτῷ τὸν Σάραπιν ἐπιστάντα τοὺς δεσμοὺς ἀνεῖναι, καὶ προαγαγεῖν δεῦρο, καὶ κελεῦσαι λαβόντα τὴν στολὴν καὶ τὸ διάδημα, καθίσαι καὶ σιωπᾶν. ταῦτα ἀκούσας ὁ Ἀλέξανδρος, τὸν μὲν ἄνθρωπον (ὥσπερ ἐκέλευον οἱ μάντεις) ἠφάνισεν· αὐτὸς δὲ ἠθύμει καὶ δύσελπις ἦν πρὸς τὸ θεῖον ἤδη, καὶ πρὸς τοὺς φίλους ὕποπτος. μάλιστα δὲ Ἀντίπατρον ἐφοβεῖτο, καὶ τοὺς παῖδας, ὧν Ἰόλαος μὲν ἀρχιοινοχόος ἦν· ὁ δὲ Κάσανδρος ἀφῖκτο μὲν νεωστί, θεασάμενος δὲ βαρβά-
F ρους τινὰς προσκυνοῦντας, ἅτε δὴ τεθραμμένος Ἑλληνικῶς, καὶ τοιοῦτο πρότερον μηδὲν ἑωρακώς, ἐγέλασεν προπετέστερον. ὁ δὲ Ἀλέξανδρος ὠργίσθη, καὶ δραξάμενος αὐτοῦ τῶν τριχῶν, σφόδρα ταῖς χερσὶν ἀμφοτέραις ἔπαισε τὴν κεφαλὴν πρὸς τὸν τοῖχον. αὖθις δὲ πρὸς τοὺς κατηγοροῦντας Ἀντιπάτρου λέγειν τι βουλόμενον τὸν Κάσανδρον ἐκκρούων, Τί λέγεις; (ἔφη) τοσαύτην ὁδὸν ἀνθρώπους μηδὲν ἀδικουμένους, ἀλλὰ

συκοφαντοῦντας ἐλθεῖν; φήσαντος δὲ τοῦ Κασάνδρου, τοῦτο αὐτὸ σημεῖον εἶναι τοῦ συκοφαντεῖν, ὅτι μακρὰν ἥκουσι τῶν ἐλέγχων, ἀνακαγχάσας ὁ Ἀλέξανδρος, Ταῦτα ἐκεῖνα (ἔφη) σοφίσματα τῶν Ἀριστοτέλους, εἰς ἑκάτερον τῶν λόγων· οἰμωξόμενοι ἂν μικρὸν ἀδικοῦντες φανῆτε τοὺς ἀνθρώπους. τὸ δὲ ὅλον αὐτῷ φασὶ δεινὸν ἐνδῦναι καὶ δυσέκνιπτον ἐγγενέσθαι τῇ ψυχῇ τοῦ Κασάνδρου τὸ δέος, ὥστε ὕστερον χρόνοις πολλοῖς, ἤδη Μακεδόνων βασιλεύοντα, καὶ κρατοῦντα τῆς Ἑλλάδος, ἐν Δελφοῖς περιπατοῦντα καὶ θεώμενον τοὺς ἀνδριάντας, εἰκόνος Ἀλεξάνδρου φανείσης, ἄφνω πληγέντα, φρίξαι καὶ κραδανθῆναι τὸ σῶμα, καὶ μόλις ἀναλαβεῖν ἑαυτὸν ἰλιγγιάσαντα πρὸς τὴν ὄψιν. ὁ δ᾽ οὖν Ἀλέξανδρος ὡς ἐνέδωκεν τότε πρὸς τὰ θεῖα, ταραχώδης γενόμενος καὶ περίφοβος τὴν διάνοιαν, οὐδὲν ἦν μικρὸν οὕτως τῶν ἀήθων καὶ ἀτόπων ὃ μὴ τέρας ἐποιεῖτο καὶ σημεῖον, ἀλλὰ θυομένων καὶ καθαιρόντων καὶ μαντευόντων μεστὸν ἦν τὸ βασίλειον. οὕτως ἄρα δεινὸν μὲν ἀπιστία πρὸς τὰ θεῖα, καὶ καταφρόνησις αὐτῶν· δεινὴ δὲ αὖθις ἡ δεισιδαιμονία, δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον, καὶ ἀναπληροῦν ἀβελτηρίας καὶ φόβου τὸν Ἀλέξανδρον γενόμενον. οὐ μὴν ἀλλά, καίπερ χρησμῶν γε τῶν περὶ Ἡφαιστίωνος ἐκ θεοῦ κομισθέντων, ἀποθέμενος τὸ πένθος, αὖθις ἦν ἐν θυσίαις καὶ πότοις. ἑστιάσας δὲ λαμπρῶς τοὺς περὶ Νέαρχον, εἶτα λουσάμενος ὥσπερ εἰώθει, μέλλων καθεύδειν, Μηδίου δεηθέντος, ᾤχετο κωμασόμενος πρὸς αὐτόν· κἀκεῖ πιὼν ὅλην τὴν ἐπιοῦσαν ἡμέραν, ἤρξατο πυρέττειν, οὔτε σκύφον Ἡρακλέους ἐκπιών, οὔτε ἄφνω διαλγὴς γενόμενος τὸ μετάφρενον, ὥσπερ λόγχῃ πεπληγώς· ἀλλὰ ταῦτα τινὲς ᾤοντο δεῖν γράφειν, ὥσπερ δράματος μεγάλου τραγικὸν ἐξόδιον καὶ περιπαθὲς πλάσαντες. Ἀριστόβουλος δέ φησιν αὐτὸν πυρέττοντα μανικῶς, διψήσαντα δὲ σφόδρα, πιεῖν οἶνον. ἐκ τούτου δὲ φρενιτιάσαι, καὶ τελευτῆσαι τριακάδι Δαισίου μηνός. ἐν δὲ ταῖς ἐφημερίσιν οὕτως γέγραπται περὶ τὴν νόσον. Ὀγδόῃ ἐπὶ δεκάτῃ Δαισίου μηνὸς ἐκάθευδεν ἐν τῷ λουτρῶνι, διὰ τὸ πυρέξαι. τῇ δὲ ἑξῆς λουσάμενος εἰς τὸν θάλαμον μετῆλθεν, καὶ διημέρευε πρὸς Μήδιον κυβεύων. εἶτ᾽ ὀψὲ λουσάμενος, καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθείς, ἐμφαγών, διὰ νυκτὸς ἐπύρεξεν. τῇ εἰκάδι λουσάμενος, πάλιν ἔθυσε τὴν εἰθισμένην θυσίαν· καὶ κατακείμενος ἐν τῷ λουτρῶνι τοῖς περὶ Νέαρχον ἐσχόλαζεν, ἀκροώμενος τὰ περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην θάλατταν. τῇ δεκάτῃ φθίνοντος ταὐτὰ ποιήσας, μᾶλλον ἀνεφλέχθη, καὶ τὴν νύκτα βαρέως ἔσχεν, καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἐπύρεττεν σφόδρα· καὶ μεταρθεὶς κατέκειτο παρὰ τὴν μεγάλην κολυμβήθραν· ὅτε δὴ τοῖς ἡγεμόσι διελέχθη περὶ τῶν ἐρήμων ἡγεμονίας τάξεων, ὅπως καταστήσωσι δοκιμάσαντες. ἑβδόμῃ, σφόδρα πυρέττων ἔθυσεν, ἐξαρθεὶς πρὸς τὰ ἱερά. τῶν δὲ ἡγεμόνων ἐκέλευε τοὺς μεγίστους διατρίβειν ἐν τῇ αὐλῇ, ταξιάρχους δὲ καὶ πεντακοσιάρχους ἔξω νυκτερεύειν. εἰς δὲ τὰ πέραν βασίλεια διακομισθείς, τῇ ἕκτῃ σμικρὸν ὕπνωσεν. ὁ δὲ πυρετὸς οὐκ ἀνῆκεν. ἐπελθόντων δὲ τῶν ἡγεμόνων, ἦν ἄφωνος. ὁμοίως δὲ καὶ τὴν πέμπτην· διὸ καὶ τοῖς Μακεδόσιν ἔδοξεν τεθνάναι, καὶ κατεβόων, ἐλθόντες ἐπὶ τὰς θύρας καὶ διηπειλοῦντο τοῖς ἑταίροις, ἕως ἐβιάσαντο. καὶ τῶν

A venisse? Quum reſpōdiſſet Caſſander, eſſe id ipſum calumniæ indicium, quòd procul probationibus veniſſent, cachinnans Alexāder, Hæc illa (inquit) commenta Ariſtotelis ſunt « in vtranque partem dicendi: pœnam luetis, « ſi parum eos conuincemini læſiſſe. Breui in- « gentem terrorem aiunt Caſſandri animum ſubiſſe & pertinaciter inſediſſe, vſqueadeo vt inſequutis temporibus regnum Macedoniæ obtinens, & Græciæ potiens, quum Delphis inambularet contemplaretúrque ſtatuas, ſimulacro conſpecto Alexandri, ſubito B horrore toto contremuerit corpore, & ad illius imaginis conſpectum æſtuans, ægrè colligeret ſe. Alexander igitur poſtquam ſemel religione obſtrictus eſt, tumultuante & trepidante animo præditus, nulla res inſolita & aliena tam oblata exigua eſt, quam non verteret in prodigium & oſtentum, ſed ſacrificantium, expiantium, & vaticinantium erat regia referta. Adeo res eſt horrenda incredulitas & contemptio deorum: horrenda item C ſuperſtitio, quæ aquæ modo vergit ad demiſſa, impletq; abſurdis opinionibus & metu mortales, vt tunc Alexandrum. At ille oraculis de Hephæſtione à deo allatis luctum depoſuit, iterúmque ad ſacrificia & pocula ſe conuertit. Ac quum ſplendido conuiuio excepiſſet Nearchum, atque inde lotus de more ſuo eſſet iturus cubitum, ad obnixè rogantem Medium iuit comeſſatū. Apud hunc quum diem inſequentem totum perpotaſſet, febre eſt tentatus. Non exhauſit Herculis ſcyphum, neque repentè ſpinæ dolore veluti haſta confixus ingemuit. D Sed hæc putauerunt quidam ſcribenda, quaſi magnæ fabulæ tragicum exodium & lamentabile fingentes. Ariſtobulus narrat eum quum delirio ex febre teneretur, atque ingenti cruciaretur ſiti, vinum potaſſe: hinc in phreneſim incidiſſe, atque trigeſimo menſis Dæſij die deceſſiſſe. In diariis ad hunc modū de morbo eius ſcriptū eſt, Octauodecimo die menſis Dæſij in balneo febris cauſa cubauit. Poſtero die lotus cōtulit ſe in cubiculum, cúmque diem aleæ ludo cum Medio tranſegit. E Inde veſperi lotus & ſacris operatus cibum ſumpſit auidius. Hinc nocte febre afflictus eſt. Die vigeſimo lotus ſolenne ſacrum iterum peregit, decumbénſq; in balneo Nearcho vacauit, nauigationem ſuam & quid vidiſſet in Oceano, exponenti. Vigeſimoprimo quum idem feciſſet, aggrauauit febris, noctémque egit grauem, ac poſtridie eſt acri febre tentatus, trāſlatúſque decubuit iuxta magnum natatorium. Eodem tempore cum ducibus egit, quemadmodum ordinibus F vacuis præficerent ſpectatos. Vigeſimo quarto ingraueſcente vi morbi ſacris operatus eſt, ad quæ eſt deportatus: ac præcipuos duces in aula iuſſit commorari, centuriones & tribunos excubare pro foribus. Delatus in vlteriorē regiam vigeſimoquinto die pauliſper quieuit, febris non remiſit. Quum adiſſent eum duces, iam vocem amiſerat. Pari modo vigeſimoſexto egit. Vnde Macedones mortuum rati ad fores magno ſtrepitu acceſſerunt, miniſque amicos regis coegerūt

vt admitterentur: ac foribus apertis tunicati ad vnum omnes præter lectum eius tranſierunt. Eodem die Python & Seleucus, ad templum Serapis miſſi, conſuluerunt deum an deportarent eò Alexandrũ. Deus, ne eum mouerent loco, reſpondit. Vigeſimooctauo ſub veſperam expirauit. Hæc ferè in diariis ita perſcripta ad verbũ ſunt. Veneni extemplo ſuſpicionem nemo habuit. Sexto demũ anno autumant indicio delato, Olympiada multos necaſſe, oſſa etiam proieciſſe mortui Iolæ, quaſi venenum hic miſcuiſſet. Qui verò autorem Ariſtotelem huius facinoris perhibent Antipatro fuiſſe, atque omnino per illum allatum virus, hi Agnothemim quendam, qui id ex Antigono rege audiſſet, narraſſe referunt. Venenum aquam frigidam fuiſſe & inſtar glaciei gelidam, quæ Nonacride ex petra quadam reſudet. Eam ſicut tenuem rorem excipiẽtes aſini vngula reponere. nullo enim vaſe ferri alio poſſe, verùm erodere rigore ſuo & acrimonia omnia. Maxima pars tamen eam veneni fabulam prorſus exiſtimant commentitiam, habẽtque argumentum non leue, quòd diſſentientibus per multos dies ducibus, corpus quum locis feruidis & æſtuoſis iacuiſſet non curatum, eiuſcemodi veneni nullum veſtigium præ ſe tulerit, verùm ſine liuore & tabe permanſerit recens. Roxane prægnans erat, atque ideo quum à Macedonibus coleretur, Statirã autem æmularetur, literis circumuentã cõmentitiis euocauit. quam, vt venit, cum ſorore necauit, ac cadauera earum in puteum præcipitauit, terrámque ingeſſit, conſciò & adiutore Perdicca. Ille enim mox in ſumma fuit poteſtate, Aridæo, velut regni vmbra, ſtipatus. Natus hic ex obſcura fuit muliere & vulgante corpus Philine, neque mentis compos ex corporis vitio non natiuo neque ſpõtaneo. imò verò perſpicuè ferunt in puero eluxiſſe feſtiuam indolem nec ignauam, pòſt tamen, quum medicamẽtis fuiſſet ab Olympiade vitiatus, mente debilitatum fuiſſe.

A θυρῶν αὐτοῖς ἀνοιχθεισῶν, ἐν τοῖς χιτῶσι καθ' ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον. ταύτης δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον, εἰς τὸ Σαραπεῖον ἀποσταλέντες, ἠρώτων εἰ κομίσωσιν ἐκεῖ τὸν Ἀλέξανδρον· ὁ δὲ θεὸς κατὰ χώραν ἐᾶν ἀνεῖλεν. τῇ δὲ τρίτῃ φθίνοντος πρὸς δείλην ἀπέθανεν. τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς ἐφημερίσιν οὕτω γέγραπται. φαρμακείας δὲ ὑποψίαν αὐτίκα μὲν οὐδεὶς ἔσχεν· ἕκτῳ δὲ ἔτει φασὶ μηνύσεως γενομένης, τὴν Ὀλυμπιάδα πολλοὺς μὲν ἀνελεῖν, ἐκρῖψαι δὲ τὰ λείψανα B τοῦ Ἰόλα τεθνηκότος, ὡς τοῦτον τὸ φάρμακον ἐγχέαντος. οἱ δὲ Ἀριστοτέλη φάσκοντες Ἀντιπάτρῳ σύμβουλον γενέσθαι τῆς πράξεως, καὶ ὅλως δι' ἐκείνου κομισθῆναι τὸ φάρμακον, Ἀγνόθεμίν τινα διηγεῖσθαι λέγουσιν, ὡς Ἀντιγόνου τοῦ βασιλέως ἀκούσαντα. τὸ δὲ φάρμακον, ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἀπὸ πέτρας τινὸς ἐν Νωνακρίδι οὔσης, ἣν ὥσπερ δρόσον λεπτὴν ἀναλαμβάνοντες, εἰς ὄνου χηλὴν ἀποτίθενται. τῶν γὰρ ἄλλων οὐδὲν ἀγγείων στέγειν, ἀλλὰ διακόπτειν ὑπὸ ψυχρότητος καὶ δριμύτητος. οἱ δὲ πλεῖστοι τὸν λόγον C ὅλως οἴονται πεπλάσθαι τὸν περὶ τῆς φαρμακείας· καὶ τεκμήριον αὐτοῖς οὐ μικρόν, ὅτι τῶν ἡγεμόνων στασιασάντων ἐφ' ἡμέρας πολλάς, ἀθεράπευτον τὸ σῶμα κείμενον ἐν τόποις θερμοῖς καὶ πνιγώδεσιν, οὐδὲν ἔσχε τοιαύτης φθορᾶς σημεῖον, ἀλλ' ἔμεινεν καθαρὸν καὶ πρόσφατον. ἡ δὲ Ῥωξάνη κύουσα μὲν ἐτύγχανε, καὶ διὰ τοῦτο τιμωμένη παρὰ τοῖς Μακεδόσι· δυσζήλως δὲ ἔχουσα πρὸς τὴν Στάτειραν, ἐξηπάτησεν αὐτὴν ἐπιστολῇ τινὶ, πεπλασμένῃ παραγενέσθαι, καὶ προσαγαγοῦσα, μετὰ τῆς ἀδελφῆς ἀπέκτεινεν, καὶ τοὺς νεκροὺς D εἰς τὸ φρέαρ κατέβαλε καὶ συνέχωσεν, εἰδότος ταῦτα Περδίκκου καὶ συμπράττοντος. ἦν γὰρ ἐκεῖνος εὐθὺς ἐν δυνάμει μεγίστῃ, τὸν Ἀρριδαῖον, ὥσπερ δορυφόρημα τῆς βασιλείας, ἐφελκόμενος, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξου καὶ κοινῆς Φιλίννης, ἀτελῆ δὲ τῷ φρονεῖν ὄντα διὰ σώματος νόσον, οὐ φύσει προσπεσοῦσαν, οὐδὲ αὐτομάτως· ἀλλὰ καὶ πάνυ φασὶν παιδὸς ὄντος αὐτοῦ διαφαίνεσθαι χάριεν ἦθος, καὶ οὐκ ἀγεννές· εἶτα μέντοι, φαρμάκοις ὑπὸ Ὀλυμπιάδος κακωθέντα, διαφθαρῆναι τὴν διάνοιαν.

FINIS.

ΠΛΟΥΤΑΡΧΟΥ ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Ἢ ἈΡΕΤΗΣ, λόγος α.

A Οὗτος ὁ τῆς τύχης λόγος ἐστίν, ἴδιον καὶ μόνης αὐτῆς ἔργον ἀποφαινομένης Ἀλέξανδρον. δεῖ δὲ ἀντειπεῖν ὑπὲρ φιλοσοφίας, μᾶλλον δὲ ὑπὲρ Ἀλεξάνδρου, δυσχεραίνοντος καὶ ἀγανακτοῦντος εἰ προῖκα δόξει καὶ παρὰ τῆς τύχης λαβεῖν τὴν ἡγεμονίαν, ἣν ὤνιον αἵματος πολλοῦ καὶ τραυμάτων ἐπαλλήλων κτώμενος, πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυεν, ἤματα δ' αἱματόεντα διέπρησεν, πολεμίζων πρὸς ἀμάχους δυνάμεις καὶ ἄπειρα φῦλα· καὶ ποταμοὺς ἀπεράτους, καὶ πέτρας B ἀτοξεύτους, εὐβουλίᾳ καὶ καρτερίᾳ, καὶ ἀνδρίᾳ, καὶ σωφροσύνῃ παραπεμπόμενος. οἶμαι δ' ἂν αὐτὸν εἰπεῖν πρὸς τὴν τύχην τοῖς κατορθώμασιν ἑαυτὴν ἐπιγράφουσαν, Μή μου διάβαλλε τὴν ἀρετήν, μηδὲ ἀφαιροῦ περιισπῶσα τὴν δόξαν. Δαρεῖος ἦν σὸν ἔργον, ὃν ἐκ δούλου καὶ ἀστάνδου βασιλέως, κύριον Περσῶν ἐποίησας· καὶ Σαρδανάπαλος, ᾧ τὸ διάδημα τῆς βασιλείας πορφύραν ξαίνοντι περιέθηκας. ἐγὼ δὲ εἰς Σοῦσα νικῶν δι' Ἀρβήλων ἀναβέβηκα· καὶ Κιλικία μοι πλατεῖαν ἀνέῳξεν Αἴγυπτον, Κιλικίαν δὲ Γράνι-C κος, ὃν Μιθριδάτῃ καὶ Σπιθριδάτῃ νεκροῖς ἐπιβὰς διεπέρασα. κόσμει σεαυτὴν καὶ σεμνύου βασιλεῦσιν ἀτρώτοις καὶ ἀναιμάκτοις. ἐκεῖνοι γὰρ εὐτυχεῖς ἦσαν, Ὦχοι καὶ Ἀρταξέρξαι· οὓς εὐθὺς ἐκ γενετῆς τῷ Κύρου θρόνῳ ἐνίδρυσας. τοὐμὸν δὲ σῶμα πολλὰ σύμβολα φέρει τύχης ἀνταγωνιζομένης, οὐ συμμαχούσης. πρῶτον ἐν Ἰλλυριοῖς λίθῳ τὴν κεφαλήν, ὑπέρῳ δὲ τὸν τράχηλον ἠλοήθην· ἔπειτα περὶ Γράνικον τὴν κεφαλὴν βαρβαρικῇ μαχαίρᾳ διεκόπην, ἐν δὲ Ἰσσῷ ξίφει τὸν μηρόν· πρὸς δὲ Γάζῃ τὸν μὲν σφυρὸν ἐτο-D ξεύθην, τὸν δὲ ὦμον ἐκπεσὼν ἐξ ἕδρας βαρὺς περιεδίνησα. πρὸς δὲ Μαρακαδάρτοις τοξεύματι τὸ τῆς κνήμης ὀστέον διεσχίσθην. τὰ λοιπὰ δὲ Ἰνδῶν πληγαί, καὶ βίαι θυμῶν ἐν ἅπασιν οἷς ἐτοξεύθην τὸν ὦμον· ἐν δὲ Γανδρίδαις τὸ σκέλος, ἐν δὲ Μαλλῶσι βέλει μὲν ἀπὸ τόξου τὸ στέρνον ἐνερεισθέντι καὶ καταδύσαντι τὸν σίδηρον· ὑπέρου δὲ πληγῇ παρὰ τὸν τράχηλον, ὅτε προστεθεῖσαι τοῖς τείχεσιν αἱ κλίμακες ἐκλάσθησαν. ἐμὲ δὲ ἡ τύχη μόνον συνεῖρξεν, οὐδὲ λαμπροῖς ἀνταγωνισταῖς, ἀλλὰ βαρβάροις ἀσήμοις χαριζομένη E τηλικοῦτον ἔργον. εἰ δὲ μὴ Πτολεμαῖος ὑπερέσχε τὴν πέλτην, Λιμναῖος δὲ πρὸ ἐμοῦ μυρίοις ἀπαντήσας βέλεσιν ἔπεσεν, ἤρειψαν δὲ θυμῷ καὶ βίᾳ Μακεδόνες τὸ τεῖχος, ἔδει τάφον Ἀλεξάνδρου τὴν βάρβαρον ἐκείνην καὶ ἀνώνυμον κώμην γενέσθαι. καὶ μὴν τὰ μὲν αὐτῆς τῆς στρατείας, χειμῶνες, αὐχμοί, βάθη ποταμῶν, ἄορνα ὕψη, θηρίων ὑπερφυεῖς ὄψεις, ἄγριοι δίαιται, μεταβολαὶ δυναστῶν, πάλιν προδοσίαι· τὰ δὲ πρὸ τῆς στρατείας, ἐπὶ τοῖς Φιλιππικοῖς πολέμοις ἐπήσπαιρεν ἡ Ἑλλάς, ἀπεσείοντο δὲ αἱ Ἀθῆναι τῶν ὅπλων τὴν Χαιρωνικὴν κόνιν, ἐκ τοῦ πτώματος ἀνιστάμεναι, καὶ

PLVTARCHI DE FORTVNA AVT VIRtute Alexādri, liber prior.

GVLIELMO BVDAEO *interprete.*

A Haec verò fortunæ oratio eſt, proprium ſuúmq; vniuſ opus cenſentis Alexandrū regem eſſe: refellenda verò ex parte philoſophiæ, immò Alexandri potius frementis ſtomachantiſque ſi gratuitum adeptus fortuitúmque imperium videbitur quod ſanguine multo vulneribúſq; aliis ſuper alia acceptis cumulās, noctes complures inſomnes belligeránſque dies traduxit marte cruentos, cum inuictis bello imperiis, B innumeriſque gentibus: amnes idem incommeabiles, editiſſimáſque rupes, conſilio, tolerantia, fortitudine & moderatione ſuperans. Equidē eum exiſtimo egregiis ipſius geſtis ſeſe inſcribentē, fortunam huncin modū alloqui, Apage te à me fortuna: deſine, quæſo, meæ obtrectare virtuti: noli mihi conuulſam adimere gloriam. Tuum erat facinus Darius, quem ex ſeruo & aſtande Perſarum regni cōpotem feciſti. Tuus etiam Sardanapalus, cui regni inſignia purpuram carminanti detuliſti. Ego verò per Arbela aduſque Suſa peruaſi ob-C uia quæque ſubigens: Cilicia mihi AEgyptum latè patētem aperuit, Ciliciámque Granicus: quem, vt ſcis, ipſum per Mithridatis Spithridatiſq; corpora traieci. Mirari tete per me tibi licet in incruentis integriſque regibus. nempe illi fortunati erant, Ochi, Artaxerxæ, quos in lucem ſtatim editos in Cyri ſolio ſtatuiſti. At meum quidem corpus nō pauciſſima veſtigia fert obluctātis fortunæ, non à me ſtantis. Iam primùm in Illyriis caput mihi ſaxum, piſtillum verò collum contudit: ad Granicū caput bar-D baricus enſis diſcidit, vt ad Iſſum femur: apud Maracadartas ſagittā ſuræ oſſe diffiſſo defunctus ſum. reliqua iam Indorū vulnera, tum humero ſagittæ ictu traiecto, tum in Gandridis crure: ad hæc apud Mallotas ſagitta arcu miſſa accepto in pectus vulnere ferro penitiſſimè immerſo: poſtremò piſtillo in ceruicem adacto, quum fractæ ſunt admotæ mœnibus ſcalæ, ibi vnum fortuna me deprehenſum intercepit, non claris ipſa tātum illud facinus, ſed barbaris ignobilibus condonans. Quòd niſi E Ptolemæus cetram mihi ſedulus prætendiſſet, Limnæúſque mille pro me telis exceptis tutabundus cecidiſſet, denique ni Macedones ira animíque impotentia inſtincti mœnia ſubruiſſent, barbarus ille certè ignobiliſque vicus monumentum Alexandri fuiſſet. Ipſa verò expeditio mea quid aliud quàm procellæ, ſqualiores, fluminum voragines, præcipitia auibus inacceſſa, belluarum inuſitatæ ſpecies, feri victus, præfectorū mutationes, ſubindéq; proditiones? Nā quod ad præcedētia ptinet, vniuerſa Græcia poſt Philippica demum bella veluti ab animi deliquio palpitabunda ſubſultabat:

Poſt vocem femur, adde, Ad Gazam malleolus mihi fuit ictus, graui de ſella lapſu luxatus fuit humerus. Apud Marac. &c. Rectius autē τὸ σφυρὸν. & βαρὺς etiam ſuſpectum eſſe poteſt.

Thebæ abiectis armis Chæronicũ puluerem ſuo curſu excitauerãt: Athenæ iunctas manus ſuppliciter protendebãt: Macedonia malè cogitans ad rebellionẽ ſpectabat, Aeropíque filios. Irruperant Illyrij, Scythæ occaſioni imminebant, ſi fortè finitimi res nouas molirentur. Perſicũ aurũ per populares vbiq; homines affluẽs Peloponeſum ſolicitabat. Ad hæc exhauſtis Philippi theſauris, fœnꝰ etiã acceſſerat ducentorũ (vt Oneſicritus inquit) talentorũ. In tanta ille rerum omniũ inopia, tam turbulẽtis rebus, cõmodùm adoleſcens, vixdũ adeò puerili ætate exacta, Babylonẽ auſus eſt Suſáque illa ſperare. Babylonẽ Suſáq; dico? immò verò gentiũ omniũ imperiũ ſpõdere ipſe ſibi, triginta peditũ milliũ, quatuor equitũ numero fretus. Tot enim erãt, ſi Ariſtobulo credimꝰ: ſin Ptolemęo regi, triginta millia peditũ, quinque, equitũ: ſi verò Anaximeni, ad tria & quadraginta, peditũ, quinque, equitũ & quingentos. Egregiũ verò permagnúmque ei fortuna viaticũ in hanc expeditionẽ ſeptuaginta prærogauit talẽta, vt Ariſtobulus ꝓdidit: vt Duris tradidit, triginta dierũ cõmeatus. Atenim incõſultus temerariúſq; Alexãder tam ſpernẽdo apparatu in tãtas opes ꝓfectus? Minimè. Quis enim maioribus vnquã pulchrioribúſq; rerum opportunitatibus fretus ad res gerẽdas profectus eſt? animi magnitudine, rerũ intelligẽtia, moderatione, fortitudine: quibus eũ rebꝰ philoſophia ad hãc obeundã expeditionẽ inſtruxerat. Profectò ab Ariſtotele præceptore pluſculum quàm à Philippo patre habens potiendarũ rerũ inſtrumentũ, in Perſas trãſiit. Verũenimuero ſcribẽtibus Alexandrũ dictitare ſolitũ, Iliadẽ & Odyſſeã vſque ſe quaque ſequutas viatici ſibi inſtar fuiſſe, Homero hoc tribuentes, credimus. Siquis verò dixerit Iliadẽ & Odyſſeã pro laborũ ſolamento fuiſſe, amœnóque otio, viaticũ autẽ ei fuiſſe reuera elogia philoſophiæ, cõmentarióſque ſapientũ de animi fiducia, fortitudine, moderatione, animíq; magnitudine editos, aſpernamur continuò, nimirũ ꝙ ipſe nihil aut de argumẽtis colligendis, aut de effundis ſcripſerit ſententiis, quos ſyllogiſmos, quæq; axiomata vocãt: ꝙ nec in Lyceo Peripateticorũ more ambulauerit, nec in Academia quæſtiones diſceptauerit. his enim rebus philoſophiã finiunt qui in ediſſertandis eã rebus, nõ in gerẽdis eſſe putãt. Quaſi verò Pythagoras & Socrates aliquid in vita ſcriptitarint, aut Arceſilaus & Carneades, philoſophorũ lõgè nobiliſſimi: tametſi nullis illi profligãdis huiuſcemodi diſtringebãtur bellis, nõ barbaris regibus veluti cicurandis, nõ vrbibus Græcis inter feras gentes condendis, non leges fœderúmq; iura docendis illegibus inhumaniſq; gentibus: in otio illi vitã traducentes, ſcribendi tamẽ partes ſophiſtis reliquerũt. Vnde porro tandẽ philoſophari crediti ſunt? ex dictis? vitæ inſtitutis? an verò ex præceptis? Agedũ, ex iiſdẽ Alexãdrũ quoque ſpectemus. Ex iis ſanè quæ dictitauit, actitauit, docuit, philoſophus inuenietur. Iam primùm id quod maximè mirum eſt, ſi tibi ita videtur, æſtimemus. Alexandri diſcipulos cũ Platonis Socratíſq; cõtendamus. Hi igitur dociles homines linguæ quoq; commercio opportunos docebãt, ſi nihil aliud, certè Græcę linguæ gnaros, & ne ſic qdem tamẽ multis pſuaſerũt. nã Critię & Alcibiadę & Clitophõtes, philoſophiæ pſcripta quaſi frenos reſpuentes, quà eos impetus tulit, aliò ſe proripuere. Alexãdri verò diſciplinam ſi attendas, Hyrcanos

A συνῆπλον αἱ Θῆβαι τὰς χεῖρας ὀρέγουσαι· πᾶσα δὲ ὕπου-
λος ἡ Μακεδονία, πρὸς Ἀμύνταν ἀποβλέπουσα καὶ
τοὺς Ἀερόπου παῖδας. ἀνερρήγνυντο δ' Ἰλλυριοί, καὶ τὰ
Σκυθῶν ἐπῃωρεῖτο τοῖς προσοίκοις νεωτερίζουσι. τὸ δὲ
Περσικὸν χρυσίον διὰ τῶν ἑκασταχοῦ δημαγωγῶν ῥέον,
ἐκίνει τὴν Πελοπόννησον. κενοὶ δὲ οἱ Φιλίππου θησαυ-
ροὶ χρημάτων, καὶ προσῆν ἔτι δάνειον (ὡς Ὀνησίκριτος
ἱστορεῖ) διακοσίων ταλάντων. ἐν τοσαύτῃ πενίᾳ, καὶ
πράγμασι ταραχὰς ἔχουσι, μειράκιον ἄρτι τὴν παιδι-
κὴν παραλλάττον ἡλικίαν, ἐθάρρησεν ἐλπίσαι Βαβυλῶ-
B να καὶ Σοῦσα, μᾶλλον δὲ τὴν πάντων ἀνθρώπων ἀρχὴν εἰς
νοῦν ἐμβαλέσθαι, τοῖς τρισμυρίοις (οἶσθα) πεζοῖς καὶ τε-
τρακισχιλίοις ἱππεῦσι πιστεύσας. τοσοῦτοι γὰρ ἦσαν, ὡς
Ἀριστόβουλος φησίν· ὡς δὲ Πτολεμαῖος ὁ βασιλεὺς, τρισ-
μύριοι πεζοὶ, πεντακισχίλιοι δὲ ἱππεῖς· ὡς δὲ Ἀναξιμέ-
νης, τετρακισμύριοι πεζοὶ καὶ τρισχίλιοι, πεντακισχίλιοι δὲ
καὶ πεντακόσιοι ἱππεῖς. τὸ δὲ λαμπρὸν αὐτῷ καὶ μέγα
παρασκευασθὲν ὑπὸ τῆς τύχης ἐφόδιον, ἑβδομήκον-
τα τάλαντα ἦν, ὡς φησιν Ἀριστόβουλος· ὡς δὲ Δοῦρις,
τριάκοντα μόνον ἡμερῶν ἐπισιτισμός. ἄβουλος οὖν καὶ
C προπετὴς Ἀλέξανδρος. ἐξ εὐτελῶν οὕτως ἐπὶ τηλι-
καύτην δύναμιν ὁρμώμενος; οὐμενοῦν. τίς γὰρ ἀπὸ μει-
ζόνων ἢ καλλιόνων ἀφορμῶν ἀνήγετο; μεγαλοψυχίας,
συνέσεως, σωφροσύνης, ἀνδραγαθίας, οἷς αὐτὸν ἐφω-
δίαζε φιλοσοφία πρὸς τὴν στρατείαν· καὶ πλείονας παρὰ
Ἀριστοτέλους τοῦ καθηγητοῦ, ἢ παρὰ Φιλίππου τοῦ πατρὸς
ἀφορμὰς ἔχων, διέβαινεν ἐπὶ Πέρσας. ἀλλὰ τοῖς μὲν
γράφουσιν ὡς Ἀλέξανδρος ἔφη ποτὲ τὴν Ἰλιάδα καὶ
τὴν Ὀδύσσειαν ἀκολουθεῖν αὐτῷ τῆς στρατείας ἐφό-
διον, πιστεύομεν, Ὅμηρον σεμνύνοντες· ἂν δέ τις φῇ τὴν
D Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, παραμύθιον πόνου καὶ δια-
τριβῆς ἕπεσθαι καὶ σχολῆς γλυκείας, ἐφόδιον δὲ ἀληθῶς
γεγονέναι τὸν ἐκ φιλοσοφίας λόγον, καὶ τοὺς περὶ ἀ-
φοβίας καὶ ἀνδρείας, ἔτι δὲ σωφροσύνης καὶ μεγαλοψυ-
χίας ὑπομνηματισμούς, καταφρονοῦμεν. ὅτι δηλα-
δὴ περὶ συλλογισμῶν οὐδὲν, οὐδὲ περὶ ἀξιωμάτων ἔγρα-
φεν, οὐδ' ἐν Λυκείῳ περίπατον ἔσχεν, οὐδ' ἐν Ἀκαδη-
μίᾳ θέσεις εἶπεν. τούτοις γὰρ ὁρίζουσι φιλοσοφίαν οἱ
λόγον αὐτὴν οὐκ ἔργον νομίζοντες. καίτοιγε οὐδὲ Πυθα-
γόρας ἔγραψεν οὐδὲν, οὐδὲ Σωκράτης, οὐδὲ Ἀρκεσίλα-
E ος, οὐδὲ Καρνεάδης, οἱ δοκιμώτατοι τῶν φιλοσόφων· καὶ
οὐκ ἠσχολοῦντο περὶ πολέμοις ἐκεῖνοι τηλικούτοις, οὐδὲ
βασιλεῖς βαρβάρους ἡμεροῦντες, οὐδὲ πόλεις Ἑλληνίδας
ἐπικτίζοντες ἀγρίοις ἔθνεσιν, οὐδὲ ἄθεσμα καὶ ἀνήκοα
φῦλα νόμους διδάσκοντες καὶ εἰρήνην ἐπῄεσαν· ἀλ-
λὰ καὶ σχολάζοντες, τὸ γράφειν παρίεσαν τοῖς σοφι-
σταῖς. πόθεν οὖν ἐπιστεύθησαν ἐκεῖνοι φιλοσοφεῖν; ἀφ'
ὧν εἶπον, ἢ ἀφ' ὧν ἐβίωσαν, ἢ ἀφ' ὧν ἐδίδαξαν; ἀπὸ
τούτων κρινέσθω καὶ Ἀλέξανδρος. ὀφθήσεται γὰρ οἷς
εἶπεν, οἷς ἔπραξεν, οἷς ἐπαίδευσε, φιλόσοφος. καὶ
F πρῶτον τὸ παραδοξότατον, εἰ βούλει, σκόπει, τοὺς Ἀ-
λεξάνδρου μαθητὰς, τοῖς Πλάτωνος, τοῖς Σωκράτους
ἀντιπαραβάλλων. εὐφυεῖς οὗτοι καὶ ὁμογλώσσοις ἐ-
παίδευον. εἰ μηδὲν ἄλλο, φωνῆς Ἑλληνίδος συνιέντας·
καὶ πολλοὺς οὐκ ἔπεισαν, ἀλλὰ Κριτίαι καὶ Ἀλκιβιάδαι καὶ
Κλειτοφῶντες, ὥσπερ χαλινὸν, τὸν λόγον ἐκπτύσαντες,
ἄλλῃ που παρετράπησαν. τὴν δὲ Ἀλεξάνδρου παιδείαν ἂν
ἐπιβλέπῃς, Ὑρκανοὺς γαμεῖν ἐπαίδευσε, καὶ γεωργεῖν

A ἐδίδαξεν Ἀραχωσίους, καὶ Σογδιανοὺς ἔπεισε πατέρας τρέφειν, καὶ μὴ φονεύειν, καὶ Πέρσας σέβεσθαι μητέρας, ἀλλὰ μὴ γαμεῖν. ὢ θαυμαστῆς φιλοσοφίας, δι' ἣν Ἰνδοὶ θεοὺς Ἑλληνικοὺς προσκυνοῦσι. Σκύθαι θάπτουσι τοὺς ἀποθανόντας, οὐ κατεσθίουσι. θαυμάζομεν τὴν Καρνεάδου δύναμιν, εἰ Κλειτόμαχον, Ἀσδρούβαν καλούμενον πρότερον, καὶ Καρχηδόνιον τὸ γένος, ἑλληνίζειν ἐποίησε· θαυμάζομεν τὴν διάθεσιν Ζήνωνος, εἰ Διογένη τὸν Βαβυλώνιον ἔπεισε φιλοσοφεῖν. ἀλλ' Ἀλεξάνδρου τὴν Ἀσίαν ἐξημεροῦντος, Ὅμηρος ἦν ἀνάγνωσμα, καὶ Περσῶν καὶ Σουσιανῶν καὶ Γεδρωσίων B παῖδες τὰς Εὐριπίδου καὶ Σοφοκλέους τραγῳδίας ᾖδον. καὶ Σωκράτης μὲν ξένα παρεισάγων δαιμόνια, δίκην τοῖς Ἀθήνησιν ὦφλισκε συκοφάνταις· διὰ δὲ Ἀλέξανδρον, τοὺς Ἑλλήνων θεοὺς Βάκτρα καὶ Καύκασος προσεκύνησε. Πλάτων μὲν γὰρ μίαν γράψας πολιτείαν, οὐδένα πέπεικεν αὐτῇ χρῆσθαι, διὰ τὸ αὐστηρόν· Ἀλέξανδρος δὲ ὑπὲρ ἑβδομήκοντα πόλεις βαρβάροις ἔθνεσιν ἐγκτίσας, καὶ κατασπείρας τὴν Ἀσίαν Ἑλληνικοῖς τέλεσι, τῆς ἀνημέρου καὶ θηριώδους ἐκράτησε διαί- C της. καὶ τοὺς μὲν Πλάτωνος ὀλίγοι νόμους ἀναγινώσκομεν· τοῖς δὲ Ἀλεξάνδρου, μυριάδες ἀνθρώπων ἐχρήσαντο καὶ χρῶνται. μακαριώτεροι τῶν διαφυγόντων Ἀλέξανδρον οἱ κρατηθέντες γενόμενοι· τοὺς μὲν γὰρ οὐδεὶς ἔπαυσεν ἀθλίως ζῶντας, τοὺς δὲ ἠνάγκασεν εὐδαιμονεῖν ὁ νικήσας. ὥστε ὅπερ εἶπε Θεμιστοκλῆς, ὁπηνίκα φυγὼν ἔτυχε δωρεῶν μεγάλων παρὰ βασιλέως, καὶ τρεῖς πόλεις ὑποφόρους ἔλαβε, τὴν μὲν εἰς σῖτον, τὴν δ' εἰς οἶνον, τὴν δ' εἰς ὄψον· Ὦ παῖδες ἀπωλόμεθα ἄν, εἰ μὴ ἀπωλόμεθα· τοῦτο περὶ τῶν ἁλόντων ὑπ' Ἀλεξάν- D δρου δικαιότερόν ἐστιν εἰπεῖν, Οὐκ ἂν ἡμερώθησαν εἰ μὴ ἐκρατήθησαν· οὐκ ἂν εἶχεν Ἀλεξάνδρειαν Αἴγυπτος, οὐδὲ Μεσοποταμία Σελεύκειαν, οὐδὲ Προφθασίαν Σογδιανοί, οὐδ' Ἰνδία Βουκεφαλίαν, οὐδὲ πόλιν Ἑλλάδα Καύκασος περιοικοῦσαν, αἷς ἐμποδισθεῖσιν ἐσβέσθη τὸ ἄγριον, καὶ μετέβαλε τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος ἐθιζόμενον. εἰ τοίνυν μέγιστον μὲν οἱ φιλόσοφοι φρονοῦσιν ἐπὶ τῷ τὰ σκληρὰ καὶ ἀπαίδευτα τῶν ἠθῶν ἐξημεροῦν καὶ μεθαρμόζειν, μυρία δὲ φαίνεται γένη καὶ φύσεις θηριώδεις μεταβαλὼν Ἀλέξανδρος, εἰκότως ἂν E φιλοσοφώτατος νομίζοιτο. καὶ μὴν ἡ πολὺ θαυμαζομένη πολιτεία τοῦ τὴν Στωϊκῶν αἵρεσιν καταβαλομένου Ζήνωνος, εἰς ἓν τοῦτο συντείνει κεφάλαιον, ἵνα μὴ κατὰ πόλεις μηδὲ κατὰ δήμους οἰκῶμεν, ἰδίοις ἕκαστοι διωρισμένοι δικαίοις, ἀλλὰ πάντας ἀνθρώπους ἡγώμεθα δημότας καὶ πολίτας, εἷς δὲ βίος ᾖ καὶ κόσμος, ὥσπερ ἀγέλης συννόμου νόμῳ κοινῷ συντρεφομένης. τοῦτο Ζήνων μὲν ἔγραψεν ὥσπερ ὄναρ ἢ εἴδωλον εὐνομίας φιλοσόφου καὶ πολιτείας ἀνατυπωσάμενος· Ἀλέξανδρος δὲ τῷ λόγῳ τὸ ἔργον παρέσχεν. οὐ γὰρ, ὡς Ἀριστοτέλης συν- F εβούλευεν αὐτῷ, τοῖς μὲν Ἕλλησιν ἡγεμονικῶς, τοῖς δὲ βαρβάροις δεσποτικῶς χρώμενον· καὶ τῶν μὲν, ὡς φίλων καὶ οἰκείων ἐπιμελούμενον, τοῖς δὲ, ὡς ζώοις ἢ φυτοῖς προσφερόμενον, πολεμοποιῶν φυγῶν ἐνέπλησε καὶ στάσεων ὑπούλων τὴν ἡγεμονίαν, ἀλλὰ κοινὸς ἥκειν θεόθεν ἁρμοστὴς καὶ διαλλακτὴς τῶν ὅλων νομίζων, οὓς τῷ λόγῳ μὴ συνῆγε, τοῖς ὅπλοις βιαζόμενος, εἰς τὸ αὐτὸ συνε-

A cōnubia docuit, vt agriculturam Arachoſios: Sogdianos parẽtes alere perpulit, nec in poſterum interimere, Perſas matres reuereri, earúmq; cōnubiis abſtinere. Admirabilẽ philoſophiã! propter quã Indi Græcos deos colunt. Scythę mortuos iã ſepeliũt, nõ vorant. Et Carneadis eloquentiã miramur, ꝙ Clitomachũ, Aſdrubalẽ prius dictũ, genere Carthaginienſem, ad Græcorũ ſe inſtituta formare perpulerit. Zenonis obſtupeſcimus affectus, ꝙ Diogenem Babyloniũ ad philoſophandũ pellicere potuerit. Alexãdro Aſiã perdomitãte Home- B rus paſſim legebatur. Perſarũ, Suſianorum, ac Gedroſiorũ pueri Euripidis atque Sophoclis tragœdias canebãt. Socrates peregrinos Athenis deos inducẽs, delatorũ crimina vitare non potuit: propter Alexandrũ Bactra & Caucaſus Græcorũ deos adorauere. Denique Plato vnicam reipub. formã præſcribens, nulli vt ea vteretur perſuadere potuit, vt ſupra modũ ſeuera: Alexãder oppidis ſupra ſeptuaginta inter barbaras gentes conditis, diſſeminatis per C Aſiam Græcorũ ritibus, immitẽ tandẽ efferatámq; vitã vt exuerẽt peruicit. Poſtremò Platonis quidẽ leges vnus & alter forſitã legim⁹, Alexãdri verò, hominũ millia permulta vſi ſũt & vtũtur. Proinde beatiores mihi vidẽtur multo qui ab Alexãdro ſubacti ſunt, quàm qui eũ effugerunt: quippe hos nullus perditiſſimè vitam agẽtes arcuit, illos ad feliciorẽ vitã vel inuitos victor traduxit. Itaque vt Themiſtocles dixiſſe fertur, quũ extorris patria ingẽtibus affectus eſt à Perſarũ rege donis, vrbes idem ſtipendiarias tres adeptus, ſingulas in frumentũ, D in vinũ, & in pulmentaria: ſed vt dixiſſe fertur, O pueri, perieramus niſi periiſſemus: hoc itidẽ « mihi videtur, iuſtiúſq; adeò, dici poſſe de iis q « ab Alexãdro in ditionẽ redacti ſunt, Haudquaquã mãſueſcerent, niſi prius vincerẽtur: haudquaquã Alexandriã AEgyptus habuiſſet, nec Meſopotamia Seleuciã, nec Sogdiana Prophthaſiam, nec Bucephaliã India, nec accolam Græcã Caucaſus vrbẽ: quibus vrbibus priſtina exoleta feritate deterrimi quique mores in meliores vſu tranſierunt. Quòd ſi philoſophi in eo ſibi maximè placẽt ꝙ aſperos ſæuóſq; ho- E minũ mores mitiores dexterioréſq; reddere ſe autumẽt, permulta verò populorum millia ad humanitatẽ Alexãder cõmutaſſe, efferatáq;, vt ita dicam, interpolaſſe ingenia reperitur: certè philoſophũ eũ cenſeri exiſtimariq; par eſt. Porro quam in primis admirãtur Zenonis rempublicã, qui ipſe Stoicæ ſectæ fundamenta iecit, hæc in vnã illã ſummã colligitur, ne oppidatim aut ꝑ ſingulos diſcriminatim populos habitem⁹, ſuis quiq; legib⁹ inſtitutíſq; dirẽpti, ſed vt omnes exiſtimem⁹ homines populares no- F ſtros municipéſq; eſſe, vna vt ſit vita, pinde vt mũdus vnus, veluti vnius armẽti cõpaſcuo in agro cõpaſcẽtis. Hoc Zeno ſcriptum reliquit, quaſi inſõniũ quoddã aut ſimulacrũ philoſophicę ciuilitatis legúmve æquabilitatis effingẽs. At verò Alexãder quod verbis traditũ acceperat, re ipſa pſtitit. Non enim, quẽadmodũ Ariſtoteles ei autor fuerat, vt Græcis ſe ducẽ, barbaris dominũ prẽberet, vtque illos vt amicos & neceſſarios honori haberet, cum his verò vt cum belluis atque adeo ſtirpibus ageret, ita ſeſe cõparans, exiliis, quæ plerunque bellorum ſemina ſunt, diſcordiiſque inſidis imperiũ ſuum fœdauit: verùm quũ ſe diuinitus miſſum cõmunẽ vniuerſorũ diſceptatorẽ exiſtimaret, cõſtituendiſq; mũdi reb⁹ arbitrũ, quos verbis inter ſe cõciliare nõ poterat, armorũ vi ſubigẽs, in vnũ omnia cõponẽs, perinde atq;

propinatitio poculo vitas, mores, cõnubia, viuendi inſtituta miſcẽs, patriã quidẽ omnes orbem terrarũ exiſtimare voluit, cognatos verò viros bonos, alienigenáſq; prauos: ad hęc, Gręcos & barbaros non chlamydem, nõ peltam, non acinacem, nõ candyn (*apud Perſas regum capitis geſtamen eſt*) dirimere, ſed Græcos virtute potius, barbaros vitio internoſci: denique veſtes, menſas, matrimonia, viuendi modum, cõmunia exiſtimare, ſanguine vtique inter ſe liberorúmq; pignoribus vincta. Demaratus, vt aiunt, Corinthius, hoſpes amicúſq; Philippi, quum Alexãdrũ Suſis vidiſſet, gaudio perfuſus & illacrymans, ingẽtis dixit gaudij exortes fuiſſe Græcos qui antea obierãt, quandoquidẽ Alexandrũ non vidiſſent in Darij ſolio ſedentẽ. Equidẽ, quod ad me attinet, quib⁹ id Græcis cernere licuit, eos nõ magnopere beatos cenſuerim duntaxat propter hoc ſpectaculum, vtpote quod fortunę fuerit, vulgariúmq; regũ: illa verò viſenda auguſtáq; ſpõſalia auidè mihi ſpectaturus fuiſſe videor, quũ ſub vno auro inſigni tẽtorio coactis in eoſdẽ penates, eandémq; menſam centũ Perſidibus ſpõſis, totidémq; Macedonibus & Gręcis, coronatus ipſe primus hymenæũ orſus, & tanquã philoteſium canticũ accinẽs, maximis potẽtiſſimíſq; populis in amicitiã coeuntib⁹, vnius ipſe ſpõſus, omniũ verò auſpex idem & cõciliator, hos cum illis legitimo cõiugio vinciebat. Præcupidè enim dixiſſem, I nũc barbare ſtolidéque Xerxes, multis te nequicquã laboribus iungẽdo Helleſpõto angito. hoc potius pacto mentis reges cõpotes Aſiam Europæ iungũt: nõ lignis, nõ ratibus, nõ inanimis affectuúmq; expertib⁹ vinculis, ſed amore legitimo, caſtis cõiugiis, liberorũ pignoribus gentes inter ſe vincientes. Ceterùm Alexander, Perſarũ cultu inſpecto, Medicam quidẽ veſtẽ admittere noluit, Perſicam verò ſumpſit, illa lõgè viliorem. Ex barbarico enim ornatu inſolẽtiſſima quæque, &, propè dixerim, tragica, reſpuẽs, vt tiaram, vt candyn, vt ſubligacula, miſcellaneum quoddã geſtamen ex Perſico Macedonicóque habitu inſtituit, vt autor eſt Eratoſthenes: [a] diuerſis quidẽ, vt philoſophus, vtẽs: vt cõmunis autem imperator réxque clementia præditus, honore veſti habito, eorũ quos armis obtinuerat, animos ſibi concilians, quò magis in fide permanerẽt, Macedones vt ſibi imperãtes, amore, nõ, vt hoſtes, odio proſequẽtes. Contrà verò inſulſi rebúſq; ſecũdis inſoleſcẽtis animi erat, purã quidẽ chlamydẽ admirari, purpura verò intextam tunicã grauari: aut rurſus illa aſpernari, hæc verò ſuſpicere, pueri more infantuli mordicus amictũ retentantẽ, quo ipſũ patrius mos veluti nutrix induit. Belluas captantes homines, ceruorũ ſibi tergora obuoluunt: plumatíſq; tuniculis amiciũtur qui ad aucupia exeũt: taurorũ cõſpectũ vitãt qui puniceas veſtes geſtant, vt elephantorũ qui candidas: nimirũ quòd iis coloribus iritentur & efferẽtur belluæ. At ſi magnus ille rex gẽtes indomitas ferarũ in modũ mãſuefaciẽs, vernaculis eas veſtibus aſſuetíſq; viuẽdi inſtitutis demulſit, placidioréſq; reddidit, cùm animi eorũ iniquitatẽ ad obſequiũ reuocãs, tũ verò ægritudinẽ leniens, vitio etiamnũ, ſi diis placet, vertũt, nedũ ſapientiã admirantur, ꝙ leuiculo momẽto in

[a] Ita vertit quaſi legeretur διαφόροις, non ἀδιαφόροις. id eſt Indifferentibus. vt Cic. quoque ad verbum interpr.

A νεϊκῷ τῷ πανταχόθεν, ὥσπερ ἐν κρατῆρι φιλοτησίῳ, μίξας τοὺς βίους καὶ τὰ ἤθη, καὶ τοὺς γάμους καὶ διαίτας, πατρίδα μὲν, τὴν οἰκουμένην προσέταξεν ἡγεῖσθαι πάντας· ἀκρόπολιν δὲ καὶ φρουρὰν, τὸ στρατόπεδον· συγγενεῖς δὲ, τοὺς ἀγαθούς· ἀλλοφύλους δὲ, τοὺς πονηρούς. τὸ δὲ Ἑλληνικὸν καὶ βαρβαρικὸν μὴ χλαμύδι, μὴ πέλτῃ, μηδὲ ἀκινάκῃ, μηδὲ κάνδυϊ διορίζειν, ἀλλὰ τὸ μὲν Ἑλληνικὸν ἀρετῇ, τὸ δὲ βαρβαρικὸν κακίᾳ τεκμαίρεσθαι. κοινὰς δὲ τὰς ἐσθῆτας ἡγεῖσθαι καὶ τραπέζας, καὶ γάμους καὶ διαίτας, δι' αἵματος καὶ τέκνων ἀνακεραννυμένας. Δημάρατος μὲν οὖν ὁ Κορίνθιος, εἷς ὢν τῶν Φιλίππου ξένων καὶ φίλων, ὅτε Ἀλέξανδρον εἶδεν ἐν Σούσοις, B περιχαρὴς γενόμενος καὶ δακρύσας, μεγάλης ἔφη χαρᾶς ἐστερῆσθαι τοὺς ἔμπροσθεν τεθνηκότας Ἕλληνας, ὅτι Ἀλέξανδρον οὐκ εἶδον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον. ἐγὼ δὲ οὐδὲ τούτου μὰ Δία τοῦ θεάματος ζηλῶ τοὺς ἰδόντας, ὃ καὶ τύχης ἦν καὶ κοινοτέρων βασιλέων· ἀλλ' ἐκείνης ἡδέως ἄν μοι δοκῶ γενέσθαι τῆς καλῆς καὶ ἱερᾶς νυμφαγωγίας θεατὴς, ὅτε μιᾷ σκηνῇ χρυσορόφῳ περιλαβὼν, ἐφ' ἑστίας κοινῆς καὶ τραπέζης, ἑκατὸν Περσίδας νύμφας, ἑκατὸν νυμφίοις C Μακεδόνας καὶ Ἕλληνας, αὐτὸς ἐστεφανωμένος, πρῶτος ἀναμέλπων τὸν ὑμέναιον, ὥσπερ φιλοτήσιον ἐπᾴδων μέλος, εἰς κοινωνίαν συνιοῦσι τοῖς μεγίστοις καὶ δυνατωτάτοις γένεσι, μιᾶς νυμφίος, πασῶν δὲ νυμφαγωγὸς ἅμα καὶ πατὴρ καὶ ἁρμοστὴς κατὰ ζυγὰ συνῆπτεν. ἡδέως γὰρ ἂν εἶπον. Ὦ βάρβαρε Ξέρξη καὶ ἀνόητε, καὶ μάτην πολλὰ περὶ τὴν Ἑλλησποντίαν πονηθεὶς γέφυραν, οὕτως ἔμφρονες βασιλεῖς Ἀσίαν Εὐρώπῃ συνάπτουσιν, οὐ ξύλοις, οὐδὲ σχεδίαις, οὐδὲ ἀψύχοις καὶ ἀσυμπαθέσι δεσμοῖς, ἀλλ' ἔρωτι νομίμῳ καὶ γάμοις σώ- D φροσι, καὶ κοινωνίαις παίδων τὰ γένη συνάπτοντες. πρὸς τοῦτον ἀποβλέπων τὸν κόσμον Ἀλέξανδρος, οὐ τὴν ἐσθῆτα προσήκατο τὴν Μηδικὴν, ἀλλὰ τὴν Περσικὴν, πολὺ εὐτελεστέραν οὖσαν. τὰ γὰρ ἔξαλλα καὶ τραγικὰ τοῦ βαρβαρικοῦ κόσμου παραιτησάμενος, οἷον τιάραν καὶ κάνδυν καὶ ἀναξυρίδας, ἐκ τοῦ Μακεδονικοῦ καὶ Περσικοῦ τρόπου μεμιγμένην τινὰ στολὴν ἐφόρει, καθάπερ Ἐρατοσθένης ἱστόρηκεν. ὡς μὲν φιλόσοφος, τοῖς ἀδιαφόροις χρώμενος· ὡς δὲ ἡγεμὼν κοινὸς καὶ βασιλεὺς φιλάνθρωπος, τῇ περὶ τὴν ἐσθῆτα τιμῇ τὴν τῶν E κεκρατημένων ἀνακτώμενος εὔνοιαν, ἵνα βεβαίως παραμένωσιν, ἀγαπῶντες ὡς ἄρχοντας Μακεδόνας, μὴ μισοῦντες ὡς πολεμίους. τοὐναντίον γὰρ ἦν ἀσόφου καὶ τετυφωμένης ψυχῆς, τὴν μὲν αὐτόχροον χλαμύδα θαυμάζειν, τὸν δὲ περιπόρφυρον χιτῶνα δυσχεραίνειν· ἢ πάλιν ἐκεῖνα μὲν ἀτιμάζειν, τούτοις δὲ ἐκπεπλῆχθαι, δίκην νηπίου παιδὸς φυλάττοντα τὴν περιβολὴν ἣν ἡ πάτριος αὐτῷ συνήθεια, καθάπερ τιτθὴ, περιέθηκε. ζῷα θηρεύοντες ἄνθρωποι, δορὰς ἐλάφων περιτίθενται, καὶ πτερωτοῖς ἀμπέχονται χιτωνίσκοις, F ἄγραις ἐπιχειροῦντες ὀρνίθων, καὶ φυλάττονται ταύροις ὀφθῆναι φοινικίδας ἔχοντες, ἐλέφασι δὲ λευκοὺς χιτῶνας· (ἐρεθίζεται γὰρ ὑπὸ τῶν χρωμάτων τὰ ζῷα τούτων καὶ διαθηριοῦται) εἰ δὲ βασιλεὺς μέγας, ἔθνη δυσκάθεκτα καὶ μαχόμενα, καθάπερ ζῷα, τιθασεύων καὶ μειλισσόμενος, ἐσθῆσιν οἰκείαις καὶ συνήθεσιν ἐξεπράϋνε διαίταις καὶ κατέστελλεν, οἰκειούμενος αὐτῶν τὸ δύσθυμον, καὶ παρηγορῶν τὸ σκυθρωπὸν, ἐγκαλοῦσιν οὐχὶ θαυμάζουσι

τὴν σοφίαν, ὅτι τῷ τυχόντι μετασχηματισμῷ τῆς Ἀσίας ἐδημαγώγησε, τοῖς μὲν ὅπλοις τῶν σωμάτων ἐπικρατήσας, τῇ δ' ἐσθῆτι τὰς ψυχὰς προσαγόμενος; καίτοι Ἀρίστιππον θαυμάζουσι τὸν Σωκρατικόν, ὅτι καὶ τρίβωνι λιτῷ καὶ Μιλησίᾳ χλαμύδι χρώμενος, δι' ἀμφοτέρων ἐτήρει τὸ εὔσχημον· Ἀλεξάνδρῳ δ' ἐγκαλοῦσιν ὅτι τὴν πάτριον ἐσθῆτα κοσμῶν, οὐδὲ τὴν δορύκτητον ὑπερεῖδε, μεγάλων πραγμάτων καταβαλλόμενος ἀρχάς; οὐ γὰρ λῃστρικῶς τὴν Ἀσίαν καταδραμών, οὐδὲ ὥσπερ ἅρπαγμα καὶ λάφυρον εὐτυχίας ἀνελπίστου σπαράξαι καὶ ἀνασύρασθαι διανοηθείς, καθάπερ ὕστερον μὲν Ἀννίβας Ἰταλίαν, πρότερον δὲ Τρῆρες Ἰωνίαν, καὶ Σκύθαι Μηδίαν ἐπῆλθον· ἀλλ' ἑνὸς ὑπήκοα λόγου τὰ ἐπὶ γῆς, καὶ μιᾶς πολιτείας ἕνα δῆμον ἀνθρώπους ἅπαντας ἀποφῆναι βουλόμενος, οὕτως ἑαυτὸν ἐσχημάτιζεν. εἰ δὲ μὴ ταχέως ὁ δεῦρο καταπέμψας τὴν Ἀλεξάνδρου ψυχὴν ἀνεκαλέσατο δαίμων, εἷς ἂν νόμος ἅπαντας ἀνθρώποις ἐπέβλεπε, καὶ πρὸς ἓν δίκαιον ὡς πρὸς κοινὸν διώκευτο φῶς· νῦν δὲ τῆς γῆς ἀνήλιον μέρος ἔμεινεν, ὅσον Ἀλέξανδρον οὐκ εἶδεν. οὐκοῦν πρώτη μὲν ἡ τῆς στρατείας ὑπόθεσις φιλόσοφον τὸν ἄνδρα συνίστησιν, οὐχ ἑαυτῷ τρυφὴν καὶ πολυτέλειαν, ἀλλὰ πᾶσιν ἀνθρώποις ὁμόνοιαν καὶ εἰρήνην καὶ κοινωνίαν πρὸς ἀλλήλους παρασκευάσαι διανοηθέντα. δεύτερον δ' αὐτοῦ καὶ τὰς φωνὰς ἴδωμεν, ἐπεὶ καὶ τῶν ἄλλων ἤθη βασιλέων καὶ δυναστῶν μάλιστα ταῖς φωναῖς αἱ ψυχαὶ προβάλλουσιν. Ἀντίγονος ὁ γέρων, σοφιστοῦ τινος αὐτῷ σύγγραμμα προσάδοντος περὶ δικαιοσύνης, Ἀβέλτερος εἶ (εἶπεν) ὃς ὁρῶν με τὰς ἀλλοτρίας πόλεις τύπτοντα, λέγεις περὶ δικαιοσύνης. Διονύσιος δ' ὁ τύραννος ἐκέλευε τοὺς μὲν παῖδας ἀστραγάλοις, τοὺς δ' ἄνδρας ὅρκοις ἐξαπατᾶν. τοῖς δὲ Σαρδαναπάλου μνημείοις ἐπιγέγραπται, Ταῦτ' ἔχω ὅσ' ἔφαγον καὶ ἐφύβρισα. τίς οὐκ ἂν εἴποι τῶν ἀποφθεγμάτων τούτων τῷ μὲν ἀποφαίνεσθαι φιληδονίαν, τῷ δ' ἀθεότητα, τῷ δὲ ἀδικίαν καὶ πλεονεξίαν; τῶν δ' Ἀλεξάνδρου φωνῶν ἂν ἀφέλῃς τὸ διάδημα καὶ τὸν Ἄμμωνα καὶ τὴν εὐγένειαν, Σωκράτους ἢ Πλάτωνος ἢ Πυθαγόρου σοι φανοῦνται. μὴ γὰρ ἃς οἱ ποιηταὶ ταῖς εἰκόσιν αὐτοῦ καὶ τοῖς ἀνδριάσι μεγαληγορίας ἐπέγραφον, οὐ τῆς μετριότητος ἀλλὰ τῆς δυνάμεως τῆς Ἀλεξάνδρου στοχαζόμενοι, σκοπῶμεν.

Αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος εἰς Δία λεύσσων.
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι Ζεῦ, σὺ δ' ὄλυμπον ἔχε.

καὶ, Ἀλέξανδρος ἐγὼ Διὸς μὲν υἱός. ταῦτα μὲν οὖν (ὡς ἔφην) οἱ ποιηταὶ κολακεύοντες αὐτοῦ τὴν τύχην προσεῖπον· τῶν δ' ἀληθινῶν ἀποφθεγμάτων Ἀλεξάνδρου, πρῶτον ἄν τις τὰ παιδικὰ διέλθοι. ποδωκέστατος γὰρ τῶν ἐφ' ἡλικίας γενόμενος νέων, καὶ τῶν ἑταίρων αὐτὸν ἐπ' Ὀλύμπια παρορμώντων, ἠρώτησεν εἰ βασιλεῖς ἀγωνίζονται· τῶν δ' οὐ φαμένων, ἄδικον εἶπεν εἶναι τὴν ἅμιλλαν, ἐν ᾗ νικήσας μὲν ἰδιώτας, νικηθήσεται δὲ βασιλεύς. τοῦ δὲ πατρὸς Φιλίππου λόγχῃ τὸν μηρὸν ἐν Τριβαλλοῖς διαπαρέντος, καὶ τὸν μὲν κίνδυνον διαφυγόντος, ἀχθομένου δὲ τῇ χωλότητι, Θάρρει πάτερ (ἔφη) καὶ πρόιθι φανερῶς, ἵνα τῆς ἀρετῆς κατὰ βῆμα μνημονεύῃς. ταῦτα οὐκ ἔστι διανοίας φιλοσόφου,

A quemlibet habitũ ſe formando, vniuerſę Aſiæ moderatus eſt veluti populariter obſequẽti; corpora quidẽ armis ſubigens, animos verò cultus genere pelliciens. Quid (malum) Ariſtippũ Socraticũ laudibus efferent, quòd ſordido amictu Mileſiáq; viciſſim chlamyde vtens, in vtroque tamen decentiã ſeruabat: Alexãdro crimini dabunt, quòd patria veſte honori habita, nõ etiã eorum aſpernatus eſt quos ditionis ſuæ fecerat? quanquã ingentiũ rerum cœpta moliens, in huiuſmodi ſeſe habitum cõponebat. Haudquaquã enim Aſiã B latrocinij modo perſultans lacerare paſſim diuexaréq; inſtituit, perinde atque prædam ſpoliáq; inſperatæ felicitatis futuram, (quomodo poſtea Annibal Italiã, & antea Treres Ioniã, & Scythæ Mediã inuaſerãt) verùm vni omnino verbo omnia quæ vbique terrarum ſunt audiẽtia, vnũ vnicæ reipub. populum cunctos homines efficere volens, ita ſe cõparabat. Proinde ni deus ille qui Alexandri huc animã demiſerat, eam præpropè reuocaſſet, haud ſcio an lex vna cũctos ho C mines regeret, vnúmq; ius veluti commune lumen ad vniuerſos pertineret: nũc verò terra qua parte cunque Alexandrũ non vidit, perpetuis propè dixerim tenebris damnata eſt. Primum igitur expeditionis eius conſilium philoſophũ fuiſſe virum eum declarat: quippe qui nõ ſibi delicias, non opes cõquiſiuerit, ſed vniuerſo mortaliũ generi concordiam, ſed pacem, ſed inter ſe cõmercium efficere cogitarit. Videamus iam voces eius, quandoquidẽ regum principúmque mores D maximè ex mẽte vocibus deprom ũtur. Antigonus ſenex, ſophiſta quodã ei cõmentariolum de iuſtitia inſcriptum porrigente, Stolidus es, inquit, qui quũ me videas alienas vrbes vexantẽ, nihilominus apud me ſermonẽ de iuſtitia habeas. Dionyſius tyrannus cenſere ſe dictitabat, vt pueros talis, ſic viros iureiurãdo fallẽdos. In Sardanapali inſcriptũ monumẽto hoc viſitur, HAEC HABVI QVAE VORAVI, QVAEQVE PER INIVRIAM ABSTVLI. Quis iſtis dicteriis tum voluptuariã vitã neget, tum im E pietatẽ, tum iniuriã violẽtiſſimámq; improbitatẽ promi? Ab Alexãdri dictis regia modò inſignia, & ab Ammone ortum natalẽſq; tolle: iam Socratis, aut Platonis, aut Pythagoræ videbũtur. Sed nũc nõ illas expẽdimus verborũ inſolentias quas ſimulacris eius poetæ ſtatuíſque adſculpere ſolent, non ad ipſius modeſtiam reſpiciẽtes, ſed opes potius & potentiã attendentes: cuiuſmodi illud eſt,

Aereus in cælum ſuſpectans fare quid aiat:
Iuppiter, aſſerui terram mihi, tu aſſere cælum.

Et rurſus,

F *Alexander ego Ioue natus.* Hæc igitur poetæ, vt diximus, fortunæ ipſius blãdientes affingere ſoliti ſũt. At verò vſurpatorũ ab ipſo reuera dictorũ puerilia primùm percẽſenda ſunt. Hic igitur quũ pedũ pernicitate ęquales omnes facilè præſtaret, amicis vt ad Olympia ſe conferret flagitãtibus, ſciſcitatus eſt num reges Olympiæ certarẽt. Quibus id negantibus, Iniquum, inquit, certamen eſſe oportet, in quo victori quidem priuato eſſe licebit, regi verò victo. Quum pater eius Philippus apud Triballos femore lancea traiecto, periculo defunctus, mœrore tamen angeretur, claudicantis cruris deformitate: Suſtine, inquit ille, pater: ne vereare in publicum te agere, quò magis virtutis ingrediendo memineris. Hæc atque huiuſmodi alia, nónne animi dicta ſunt philoſophiæ præceptis

Certamen eſt, in quo vincet quidem priuatos, vincetur autem qui rex eſt. Fortitudinis tuæ ad ſingulos greſſus recorderis.

imbuti, qui honeſti ſplendore captus, flocci iam faciat corporis detrimenta? Aut num tandem poteſt aliuſmodi eſſe, qui ſuis ipſe vulneribus inſultet, qui in nulla non corporis parte victoriæ monumenta geſtet vrbium expugnatarū, dedētium ſe ſuáq; regū: nō erubeſcens ipſe, nō cicatrices tegens, ſed tanquā virtutis expreſſa ſimulacra ſtrēnūitatiſq; documenta circumferens? At ſiquando Homeri carminum perpenſio aut in ludis literariis, aut ſuper conuiuium fieret, alio aliud (vt fit) præponente, hoc ipſe vt omniū præſtantiſsimum probabat,

Regnatórq; bonus ſimul atq; acerrimus haſta. videlicet interpretatus quām laudē Homerus aliquot antea ſeculis de Agamēnone temerè ſcripſiſſet, legē hanc ſibi latā eſſe. adeo dicere ſolitum ferunt, eodē verſu Homerum Agamemnonis virtutem commēdaſſe, Alexādri verò vaticinatum eſſe. Proinde quū traiecto Helleſponto iam Troiam conſpicatus, heroica geſta cogitabūdus recoleret, ad eúmque indigena quidam veniſſet, pollicēs ſe, ſi vellet, Paridis ei lyram daturum, Minimè, inquit, illa mihi opus eſt, quandoquidē Achillis lyram habeo, ad quam ille recreabatur. Hæc virorum (inquit) fortium laudes canebat: illa verò Paridis mollem quandam & effœminatam harmoniam amatoriis modis pſallebat. Philoſophi porro animi eſt, ſapientiæ amore capi, ſapiētéſque viros in primis ſuſpicere. Hoc in Alexandro autem vt in regum fuit nemine. Et quonam modo apud Ariſtotelem ſe habuerit, ſatis, vt arbitror, dictum eſt. Quòd verò harmonicum Anaxarchum inter paucos amicorum honorificè habuerit, quòd Eleo Pyrrhoni primùm ſibi obuio millia decem aureorum dederit, quòd Xenocrati Platonis familiari quinquaginta dono talenta miſerit: deniq; quòd Oneſicritum Diogenis Cynici diſcipulum gubernatorum præfectura ornauerit, à pleriſque traditum. Iam verò cum Diogene ipſo ad Corinthum agente colloquutus, adeo vitam eius obſtupuit, animúmque eius dignitatem admiratus eſt, vt ſæpe quū in mentionem eius incideret, diceret, Niſi Alexander eſſem, Diogenes forſan eſſem. Id eſt, literarum ſtudiis me addicerem, niſi reapſe philoſopharer. Non dicit, Niſi rex eſſem, Diogenes forſan fuiſſem: nec, Niſi diues, nec, Niſi Argeades. non enim fortunam ſapientiæ præferebat, nec purpuram & diadema manticæ & ſordido amiculo: ſed, Niſi Alexāder eſſem, haud ſcio an Diogenes fuiſſem. Id eſt, Si mihi in animo non eſſet Græca barbaricis confundere, totámque continentem peragrando ad humaniorem victū perducere, ad hæc terræ Oceaníque finibus repertis, Oceano Macedoniā admouere, in omnéque genus hominum diſſeminare Græciam, iuráque & pacem trāſfundere, nequaquam certè in ſegni deliciarū affluētia ſeſſitarē, ſed æmularer, vt opinor, Diogenis inopiam. Nunc mihi bona tua venia, Diogenes, liceat exequi id quod in animo habeo. Ad Herculis imitationem me contuli, ad æmulandum Perſeūm me comparaui: volo Liberi patris, mei progenitoris, generíſque mei proauctoris, veſtigia perſequi: volo rurſus in India victores Græcos feſtiuis choris ſaltabūdos cernere: volo Caucaſi vl-

Quam alius laudem ante ipſius tempora cepiſſet, legē hāc, &c. Sed hic ἄλλως legit pro Temerè, & περιέλαβε retulit ad Homerū.

A καὶ διὰ τὸν ἐπὶ τοῖς καλοῖς ἐνθουσιασμὸν ἤδη τῶν τοῦ σώματος ἐλαττωμάτων καταξανισαμένης; πῶς γὰρ αὐτὸν ἐπὶ τοῖς ἰδίοις ἀγάλλεσθαι τραύμασι, καθ' ἕκαστον μέρος ἔθνους μνημονεύοντα καὶ νίκης, καὶ πόλεων ἁλισκομένων, καὶ βασιλέων παραδιδόντων, οὐκ ἐγκαλυπτόμενον, οὐδὲ κατακρύπτοντα τὰς οὐλάς, ἀλλ' ὥσπερ εἰκόνας ἐγκεχαραγμένας ἀρετῆς καὶ ἀνδραγαθίας περιφέροντα; καὶ μὴν εἴ ποτε γένοιτο τῶν Ὁμήρου σύγκρισις ἐπῶν ἐν ταῖς διατριβαῖς, ἢ παρὰ τὰ συμπόσια, ἄλλον ἄλλου στί-

B χον προκρίνοντος, αὐτὸς ὡς διαφέροντα πάντων ἔκρινε τοῦτον, Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής. ὃν ἄλλος ἔπαινον τῷ χρόνῳ προέλαβε, τοῦτον αὐτῷ νόμον κεῖσθαι λογιζόμενος, ὥστε εἰπεῖν Ὅμηρον ὅτι τῷ αὐτῷ μέτρῳ τὴν μὲν Ἀγαμέμνονος ἀνδραγαθίαν κεκόσμηκε, τὴν δὲ Ἀλεξάνδρου μεμάντευται. διαβὰς τοίνυν τὸν Ἑλλήσποντον, ἐθεᾶτο τὴν Τροίαν, ἀνατυπούμενος τὰς ἡρωϊκὰς πράξεις. καί τινος αὐτῷ τῶν ἐγχωρίων ὑπισχνουμένου τὴν Πάριδος λύραν, εἰ βούλοιτο, δώσειν. Οὐδὲν

C (ἔφη) τῆς ἐκείνου δέομαι· τὴν γὰρ Ἀχιλλέως κέκτημαι, πρὸς ἣν ἐκεῖνος ἀνεπαύετο, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν· ἡ δὲ Πάριδος πάντως μαλακήν τινα καὶ θήλειαν ἁρμονίαν ἐρωτικοῖς ἔψαλλε μέλεσι. φιλοσόφου τοίνυν ἐστὶ ψυχῆς, σοφίας ἐρᾶν, καὶ σοφοὺς ἄνδρας θαυμάζειν μάλιστα. τοῦτο δὲ Ἀλεξάνδρῳ προσῆν, ὡς οὐδενὶ τῶν βασιλέων. καὶ πῶς μὲν εἶχε πρὸς Ἀριστοτέλην εἴρηται· καὶ ὅτι τὸν μὲν ἁρμονικὸν Ἀνάξαρχον, ἐντιμότατον τῶν φίλων ἐνόμιζε, Πύρρωνι δὲ τῷ Ἠλείῳ πρῶτον ἐντυχόντι μυρίους χρυσοῦς ἔδωκε· Ξενοκρά-

D τει δὲ τῷ Πλάτωνος συνήθει πεντήκοντα τάλαντα δωρεὰν ἔπεμψεν· Ὀνησίκριτον δὲ, τὸν Διογένους τοῦ κυνὸς μαθητὴν, ὅτι ἄρχοντα τῶν κυβερνητῶν κατέστησεν, ὑπὸ πλειόνων ἱστόρηται. Διογένει δὲ αὐτῷ περὶ Κόρινθον εἰς λόγους ἐλθὼν, οὕτως ἔφριξε καὶ κατεπλάγη τὸν βίον καὶ τὸ ἀξίωμα τοῦ ἀνδρὸς, ὥστε πολλάκις αὐτοῦ μνημονεύων λέγειν, Εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην. τουτέστιν, ἠσχολούμην ἂν περὶ λόγους, εἰ μὴ δι' ἔργων ἐφιλοσόφουν. οὐκ εἶπεν, Εἰ μὴ βασιλεὺς ἤμην, Διογένης ἂν ἤμην. οὐδ',

E Εἰ μὴ πλούσιος καὶ Ἀργεάδης. (οὐ γὰρ προέκρινε τὴν τύχην τῆς σοφίας, οὐδὲ τὴν πορφύραν καὶ τὸ διάδημα τῆς πήρας καὶ τοῦ τρίβωνος) ἀλλ' εἶπεν, Εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην. τουτέστιν, Εἰ μὴ τὰ βαρβαρικὰ τοῖς Ἑλληνικοῖς κεράσαι διενοούμην, καὶ πᾶσαν ἤπειρον ἐπιὼν ἐξημερῶσαι, καὶ πέρατα γῆς ἀνερευνῶν καὶ θαλάττης, ὠκεανῷ προσερεῖσαι Μακεδονίαν, καὶ τὴν Ἑλλάδα σπεῖραι, καὶ καταχέασθαι γένους παντὸς εὐδικίαν καὶ εἰρήνην, οὐκ ἂν ἐν ἀπράκτῳ τρυφῶν ἐξουσίᾳ καθήμην,

F ἀλλ' ἐζήλουν ἂν τὴν Διογένους εὐτέλειαν. νῦν δὲ σύγγνωθι Διόγενες· Ἡρακλέα μιμοῦμαι, καὶ Περσέα ζηλῶ, καὶ τὰ Διονύσου μετιὼν ἴχνη, θεοῦ γενάρχου καὶ προπάτορος, βούλομαι πάλιν ἐν Ἰνδίᾳ νικῶντας Ἕλληνας ἐγχορεῦσαι, καὶ τοὺς ὑπὲρ Καυ-

ἥκιστον ὀρείοις καὶ ἀγρίοις τῶν Βακχικῶν ἀναμνῆσαι κώμων. κἀκεῖ τινὲς εἶναι λέγονται σεῤῥοὶ καὶ γυμνήτιδος σοφίας ἐθάδες; ἄνδρες ἱεροὶ καὶ αὐτόνομοι, θεῷ σχολάζοντες, εὐτελέστεροι Διογένους, οὐδὲν πήρας δεόμενοι. τροφὴν γὰρ οὐκ ἀποτίθενται, πρόσφατον ἀεὶ καὶ νέαν ἀπὸ γῆς ἔχοντες· ποτὸν δὲ ποταμοὶ ῥέουσι· φύλλα δὲ αὐτοῖς δένδρων ἀποχυθέντων, καὶ πόα γῆς, ἐγκατακλιθῆναι. δι' ἐμὲ κἀκεῖνοι Διογένη γνώσονται, καὶ Διογένης ἐκείνους. δεῖ κἀμὲ νόμισμα παρακόψαι καὶ παραχαράξαι τὸ Βαρβαρικῆ ἤθει κατασκευασμένον, Ἑλληνικῇ πολιτείᾳ. εἶεν· αἱ δὴ πράξεις αὐτοῦ πότερον αὐτοματισμὸν ἐπιφαίνουσι τύχης καὶ βίαν πολεμικὴν καὶ χειροκρασίαν, ἢ πολλὴν μὲν ἀνδρείαν καὶ δικαιοσύνην, πολλὴν δὲ σωφροσύνην καὶ πρᾳότητα, μετὰ κόσμου καὶ συνέσεως, νήφοντι καὶ πεπνυμένῳ τῷ λογισμῷ πάντα πράττοντος; οὐ γάρ ἐστιν εἰπεῖν διακρίναντά με μὰ τοὺς θεοὺς, ὅτι τοῦτο μὲν ἀνδρείας, τοῦτο δὲ φιλανθρωπίας, τοῦτο δὲ ἐγκρατείας, ἀλλὰ πᾶν ἔργον ἐκ πασῶν ἔοικε τῶν ἀρετῶν μεμῖχθαι· βεβαιοῦντος αὐτοῦ τὸν Στωϊκὸν ἐκεῖνον λόγον, ὅτι πᾶν ὃ ἂν δρᾷ σοφὸς, κατὰ πᾶσαν ἀρετὴν ἐνεργεῖ, καὶ μία μὲν (ὡς ἔοικεν) ἀρετὴ πρωταγωνιστεῖ πράξεως ἑκάστης, παρακαλεῖ δὲ τὰς ἄλλας, καὶ συντείνει πρὸς τὸ τέλος. ἰδεῖν γοῦν ἐστιν ἐν Ἀλεξάνδρῳ τὸ μὲν πολεμικὸν, φιλάνθρωπον· τὸ δὲ πρᾶον, ἀνδρῶδες· τὸ δὲ χαριστικὸν, οἰκονομικόν· τὸ δὲ θυμικὸν, εὐδιάλλακτον· τὸ δὲ ἐρωτικὸν, σῶφρον· τὸ δ' ἀνειμένον, οὐκ ἀργόν· τὸ δ' ἐπίπονον, οὐκ ἀπαραμύθητον. τίς ἔμιξε πολέμοις ἑορτὰς, τίς δὲ κώμοις στρατείας, τίς δὲ πολιορκίαις καὶ πράξεσι βακχείας καὶ γάμους καὶ ὑμεναίους; τίς ἀδικοῦσιν ἐχθρότερος, ἢ δυστυχοῦσιν ἡμερώτερος; τίς μαχομένοις βαρύτερος, ἢ δεομένοις εὐγνωμονέστερος; ἔπεισί μοι τὸ τοῦ Πώρου δεῦρο μετενεγκεῖν. ἐκεῖνος γὰρ ὡς ἤχθη πρὸς Ἀλέξανδρον αἰχμάλωτος, πυθομένου πῶς αὐτῷ χρήσεται, Βασιλικῶς (εἶπεν) ὦ Ἀλέξανδρε. πάλιν δ' ἐπερομένου μή τι ἄλλο, Οὐδὲν (εἶπε) πάντα γάρ ἐστιν ἐν τῷ βασιλικῶς. κἀμοὶ δὴ ταῖς Ἀλεξάνδρου πράξεσιν ἔπεισιν ἐπιφωνεῖν ἀεὶ, φιλοσόφως· ἐν τούτῳ γὰρ πάντα ἔνεστι. Ῥωξάνης ἐρασθεὶς τῆς Ὀξυάθρου θυγατρὸς ἐν ταῖς αἰχμαλώτισι χορευούσης, οὐχ ὕβρισεν, ἀλλ' ἔγημε· φιλοσόφως. Δαρεῖον ἰδὼν κατηκοντισμένον, οὐκ ἔθυσεν, οὐδ' ἐπαιάνισεν, ὡς τοῦ μακροῦ πολέμου τέλος ἔχοντος, ἀλλὰ τὴν χλαμύδα τὴν ἑαυτοῦ περιελὼν, ἐπέρριψε τῷ νεκρῷ, καθάπερ τινὰ γένεσιν τύχης βασιλικῆς συγκαλύπτων· φιλοσόφως. ἐπιστολὴν δέ ποτε τῆς μητρὸς ἀπόρρητον διερχόμενος, Ἡφαιστίωνος ὡς ἔτυχε παρακαθημένου, καὶ ἁπλῶς συναναγινώσκοντος, οὐκ ἐκώλυσεν, ἀλλὰ τὸν δακτύλιον ἑαυτοῦ τῷ στόματι προσέθηκεν αὐτοῦ, κατασφραγισάμενος φιλικῇ πίστει τὴν σιωπήν· φιλοσόφως. εἰ γὰρ ταῦτα οὐκ ἔστι φιλοσόφως, τίνα ἐστὶν ἄλλα; παραθῶμεν τὰ τῶν ὁμολογουμένων φιλοσόφων. Σωκράτης ἠνέσχετο συγκοιμηθέντος Ἀλκιβιάδου· Ἀλέξανδρος δὲ, Φιλοξένου τοῦ τῆς παραλίας ὑπάρχου,

A teriores accolas,mõtanos feróſq; homines, Bacchanaliorum admonere. Iam verò viri quidam illic perhibentur eſſe ſolidiori cuidam atque adeò nudæ aſſueti philoſophiæ, ſancti homines, ſuis legibus viuentes, deo prorſus addicti, ſupra Diogenem etiam frugi. ad hæc manticæ non egentes, vt qui in diem horámque viuant, terra ipſis aſſiduè cibaria recentia ſuppeditante, potúmque fluminibus: cubile verò illis ſtrata paſſim arborum folia, herbáque ſolum ſcatens. Per me illi Diogenem noſcent, Diogenéſque il-B los. Percutere habeo barbaris numum Græcæ ciuilitatis nota ſignandũ. Age iam, in geſtis eius fortunæ'ne temeritas, & imperioſa quædam vis impotentiáque bellica eminet, an ſtrenua potius virilitas, iuſtitia, moderatio, clementia, ad hæc in gerendis rebus decentia, ingeniique acrimonia vigilanti ſolertique conſilio omnia tranſigentis? Profectò in actibus eius virtutum diſcrimina neutiquam adnotare licet, vt hoc, fortitu-C dinis fuiſſe dicas: illud, humanitatis, & aliud, continentiæ. ſed vnumquodque eius facinus ex vniuerſis concretum virtutibus videtur: vt veriſsimè de eo Stoicum illud dici decretum poſsit, quicquid ſapiens agit, id omni ex virtute agere: vt in omni actu certæ cuiuſdam virtutis primæ eſſe partes videantur: aduocet autẽ & alias illa eundem in finem contendẽtes. Proinde in Alexandro cernere eſt humanitatem belligerantiſsimam, mitem fortitudinem, frugi liberalitatem, iracundiam exorabilem, amorem modeſtum, animi remiſſio-D nem non vacantem, laſſeſcentiam haud irrecreabilem. Ecquis tandẽ bellis prſter eũ dies feſtos inſeruit? Ecquis inter laſciuas comeſſationes expeditiones ſumpſit? Ecquis inter res gerendas, vrbéſque adeo obſidendas, bacchabundis choris nuptiiſque & hymenæis indulſit? Ecquis denique inimicis laceſſentibus infeſtior, aut miſeris clementior, aut indigis benignior? Hîc mihi ſuccurrit vt referrem illud de Poro rege memoriæ proditum, qui quum ad Alexandrum vinctus adductus eſſet, percontante Alexandro quonam mo-E do de ſe victorem ſtatuere cenſeret, Regio, inquit, modo. Rurſus percontante Alexandro, ecquo alio modo, Prorſus, inquit, nullo. in illo enim omnia inſunt. Haud ſecus nunc mihi ſubit ſingulis Alexandri geſtis ſucclamare, Philoſophicè: in hoc enim omnia. Rhoxanes amore captus Oxyathræ filiæ, quũ inter bello captas ſaltaret, non illi vim attulit, ſed in vxorem accepit: haud dubiè philoſophicé. Darium conſpicatus iaculis multis confoſſum, non continuò ſacra diis fecit, tan-F quam diuturno profligato bello, aut pæana cecinit. Quid igitur? nẽpe adempta ſibi chlamyde defunctum Darium texit, videlicet fortunæ regiæ genituram occulens: philoſophicé. Matris olim arcanam epiſtolam legens, quum Hephæſtion fortè, vt fit, aſsidens, ingenua ſimplicitate adlegeret, hoc animaduerſo ipſum quidem nõ inhibuit, admoto verò ori eius anulo, quaſi obſtricta amici fide, ſilenda obſignauit: id quoque philoſophicé. Nã ſi hæc philoſophicè facta non ſunt, quæ tandem alia ſunt? Agedum contendamus nunc cum huius, aliorum facinora qui ſine controuerſia philoſophi ipſi habiti ſunt. Socrates Alcibiadẽ eodem ſecum lecto cubitantem, illibatum abire perpeſſus eſt. Alexander Philoxeno maritimæ oræ præfecto, ſcribenti ad

eum, puerū in Ionia eſſe inuſitata formæ venuſtate, flore ętatis præſtantiſsimo, ſciſcitantiq; per literas nunquid vellet ad ſe mitti, a- » cerbiſsimè reſcripſit, Operditiſsime hominū, » ecquid vnquā huiuſmodi in me noſti, qui mi » hi hiſce lenocinijs voluptuarijs obſequiis? Xenocratem ſuſpicimus omnes quòd Alexandro talenta ei quinquaginta dono mittente, ipſe illa non attigit: dediſſe verò, non? Quid ni? non perinde quæſo aſpernari pecunias arbitramur eum qui largitur, atque eum qui nō admittit? Illorum memoriā colimus qui cōtemnēdę mortis nobis elogia reliquerunt: hoc quoties autem Alexander telis impetitus, in territātem mortem obnixus vſurpauit? tametſi recta quidem iudicia omnibus ineſſe remur, natura ſuapte ſpōte ducē nobis ſeſe ad honeſtum capeſſendum offerente. Atqui philoſophi vel eo præcipuè vulgo longè præſtāt, φ valida ſolidáq; iudicia habeāt ad adeunda diſcrimina: quippe qui huiuſmodi quædam anticipata in animis habeant quale illud Homeri,

Augurium felix patriam tutarier vnum.

Aut illud Demoſthenis, Finis etenim vitæ mors eſt omnibus, vel ſi ſe quis in conclaue penitus abſtruſerit. Atqui viros bonos egregiis ſemper cœptis incumbere, bonā ſibi ſpē proponētes decet: quicquid verò Deus dederit, id generoſè ferre. Sed hi tum franguntur animorū habitus, quum horrenda inſtare cer nuntur, iudiciáq; elidunt aduentātia pericula. Pauor enim non modò memoriam (vt Thucydides inquit) excutit, ſed quoduis etiam conſtitutum, quemuis conatum, quemuis mentis impetum.

A γράψαντος ὅτι παῖς ἐν Ἰωνίᾳ γέγονεν οἷος οὐκ ἄλλος ὥραν καὶ εἶδος, καὶ πυνθανομένου διὰ τῶν γραμμάτων εἰ ἀναπέμψοι, πικρῶς ἀντέγραψεν, Ὦ κάκιστε ἀνθρώπων, τί μοι πώποτε τοιοῦτο συνέγνως, ἵνα τοιαύταις με κολακεύσῃς ἡδοναῖς; Ξενοκράτην, πεντήκοντα τάλαντα δωρεὰν Ἀλεξάνδρου πέμψαντος, ὅτι οὐκ ἔλαβε, θαυμάζομεν, τὸ δὲ δοῦναι, οὔ; ἢ οὐχ ὁμοίως καταφρονεῖν χρημάτων δοκοῦμεν τὸν μὴ προσιέμενον καὶ τὸν χαριζόμενον; οὐκ ἐδεῖτο πλούτου Ξενοκράτης διὰ φιλοσοφίαν· Ἀλέξανδρος δ' ἐδεῖτο διὰ φιλοσοφίαν, B ἵνα τοιούτοις χαρίζηται.* τοῦτο ποσάκις Ἀλέξανδρος εἶπε βαλλόμενος, ἐκβιαζόμενος. καίτοι κρίσεις μὲν ὀρθὰς πᾶσιν ἐνυπάρχειν ἀνθρώποις νομίζομεν. ἡ γὰρ φύσις ἀγωγός ἐστιν ἀφ' ἑαυτῆς πρὸς τὸ καλόν· οἱ δὲ φιλόσοφοι τῶν πολλῶν διαφέρουσι, τῷ τὰς κρίσεις ἔχειν ἐρρωμένας παρὰ τὰ δεινὰ καὶ πεπηγυίας. ἐπεὶ οὐ μετὰ τῶν τοιούτων προλήψεων, Εἷς οἰωνὸς ἄριστος· καὶ, Πέρας μὲν ἐστὶν ἅπασιν ἀνθρώποις ὁ θάνατος. ἀλλὰ θραύουσιν οἱ καιροὶ παρὰ τὰ δεινὰ τοὺς λογισμοὺς, καὶ τὰς κρίσεις ἐκκρούουσιν C αἱ φαντασίαι τῶν κινδύνων ἐγγὺς γινομένων. Φόβος γὰρ οὐ μόνον μνήμην ἐκπλήττει, κατὰ τὸν Θουκυδίδην, ἀλλὰ καὶ προαίρεσιν πᾶσαν καὶ φιλοτιμίαν καὶ ὁρμὴν, μὴ ἐνδήσῃ φιλοσοφία περιτέθηκεν.

PLVTARCHI DE FORTVNA AVT VIRtute Alexandri, liber poſterior.

ΠΛΟΥΤΑΡΧΟΥ ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝδρου τύχης ἢ ἀρετῆς, λόγος β'.

GVLIELMO BVDAEO *interprete.*

Dubitātis potiꝰ eſt ſermo, & interrogantis, An id nō tam Alex. Q. d. Niſi fortè id non tam Al. Vel, Niſi potius id non tam Al.

EXCIDIT heri nobis, vt opinor, dicere, artificiis multis Alexandri ſeculum clariſq; felix ingenijs fuiſſe: ˚quāquam id non tam Alexandri, quàm fortunæ illorū habēdum eſt, vt quibus teſtē cōtigerit arbitrūmq; nanciſci cūm acri ad æſtimanda artium ſpecimina iudicio, tum verò ſuppeditātibus opibus ad maxima quæq; operæpretia autoribus ipſis perſoluenda. Proinde quū aliquot pòſt annis Archeſtratus, venuſtus admodum poeta, in multa inopia nominiſq; obſcuritate ſeneſceret, ad » eum quidā dixiſſe fertur, At ſi Alexandri cō- » tēporaneus fuiſſes, in ſingulos ille tibi verſus » Cyprum aut Phœnicē daret. Equidem exiſtimo, qui tum fuerunt artifices, eorum præſtātiſsimum quenq; non tam ſub Alexandri tēpora, quàm propter Alexandrum fuiſſe. Vt enim fruges aeris temperie liquidioréq; cælo exuberant, haud ſecius bonę artes eximiáque ingenia benignitate, honorificentia, humanitatéque re-

D ΔΙΕΦΥΓΕΝ ἡμᾶς, ὡς ἔοικε, χθὲς εἰπεῖν ὅτι καὶ τέχνας πολλὰς καὶ φύσεις μεγάλας ὁ κατ' Ἀλέξανδρον χρόνος ἐνεγκεῖν εὐτύχησεν· ἢ τοῦτο μὲν οὐ τῆς Ἀλεξάνδρου τύχης γέγονεν, ἀλλὰ τῆς ἐκείνων, μάρτυρα λαβεῖν καὶ θεατὴν, τὸν ἄριστα κρῖναι τὸ κατορθούμενον καὶ μάλιστα ἀμείψασθαι δυνάμενον. λέγεται γοῦν ὅτι χρόνοις ὕστερον, Ἀρχεστράτου γινομένου ποιητοῦ χαρίεντος, ἐν δὲ πενίᾳ καὶ ἀδοξίᾳ διάγοντος, εἰπέ τις E πρὸς αὐτὸν, Ἀλλ' εἰ κατ' Ἀλέξανδρον ἐγένου, κατὰ στίχον ἄν σοι Κύπρον ἢ Φοινίκην ἔδωκεν. οἶμαι δὲ καὶ τῶν τότε τεχνιτῶν οὐ κατ' Ἀλέξανδρον, ἀλλὰ δι' Ἀλέξανδρον τοὺς πρώτους γενέσθαι. καρπῶν μὲν γὰρ εὐφορίαν εὐκρασία ποιεῖ καὶ λεπτότης τοῦ περιέχοντος ἀέρος, τεχνῶν δὲ καὶ φύσεων ἀγαθῶν αὔξησιν, εὐμένεια καὶ τιμὴ καὶ φιλανθρωπία βασιλέως ἐκ-

A καλεῖται. καὶ τοὐναντίον, ὑπὸ φθόνου καὶ σμικρολογίας ἢ φιλονεικίας τῶν κρατούντων σβέννυται καὶ φθίνει πᾶν τὸ τοιοῦτο. Διονύσιος γοῦν ὁ τύραννος, (ὥς φασι) κιθαρῳδοῦ τινος εὐδοκιμοῦντος ἀκούων, ἐπηγγείλατο δωρεὰν αὐτῷ τάλαντον· τῇ δ' ὑστεραίᾳ τοῦ ἀνθρώπου τὴν ὑπόσχεσιν ἀπαιτοῦντος, Χθὲς (εἶπεν) εὐφραινόμενος ὑπὸ σοῦ παρ' ὃν ᾖδες χρόνον, εὔφραινα κἀγώ σε ταῖς ἐλπίσιν· ὥστε τὸν μισθὸν ὧν ἔτερπες ἀπελάμβανες εὐθύς, ἀντιτερπόμενος. Ἀλέξανδρος δὲ ὁ Φεραίων τύραννος, (ἔδει δὲ τοῦτο μόνον αὐτὸν καλεῖσθαι, καὶ μὴ καταισχύνειν τὴν ἐπωνυμίαν)
B θεώμενος τραγῳδόν, ἐμπαθέστερον ὑφ' ἡδονῆς διετέθη πρὸς τὸν οἶκτον. ἀναπηδήσας οὖν ἐκ τοῦ θεάτρου, θᾶττον ἢ βάδην ἀπῄει, δεινὸν εἶναι λέγων, εἰ τοσούτους ἀποσφάττων πολίτας, ὀφθήσεται τοῖς Ἑκάβης καὶ Πολυξένης πάθεσιν ἐπιδακρύων. οὗτος μὲν οὖν μικροῦ καὶ δίκην ἐπράξατο τὸν τραγῳδόν, ὅτι τὴν ψυχὴν αὐτοῦ καθάπερ σίδηρον ἐμάλαξεν. Ἀρχελάῳ δὲ δοκοῦντι γλισχροτέρῳ περὶ τὰς δωρεὰς εἶναι Τιμόθεος ᾄδων, ἐσήμαινε πολλάκις τουτὶ τὸ σκωμμάτιον, Σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰνεῖς. ὁ δὲ Ἀρ-
C χέλαος οὐκ ἀμούσως ἀντεφώνησε, Σὺ δέ γε αἰτεῖς. ὁ δὲ τῶν Σκυθῶν βασιλεὺς Ἀντέας, Ἰσμηνίαν τὸν αὐλητὴν λαβὼν αἰχμάλωτον, ἐκέλευσε παρὰ πότον αὐλῆσαι. θαυμαζόντων δὲ τῇ αὐλήσει τῶν ἄλλων καὶ κροτούντων, αὐτὸς ὤμοσεν ἀκροᾶσθαι τοῦ ἵππου χρεμετίζοντος ἥδιον. οὕτω μακρὰν ἀπεσκηνώκει τὰ ὦτα τῶν μουσῶν, καὶ τὴν ψυχὴν ἐν ταῖς φάτναις εἶχεν, οὐχ ἵππων ἀλλ' ὄνων ἐπιτηδειοτέραν ἀκούειν. τίς ἂν οὖν παρὰ τοιούτοις βασιλεῦσιν αὔξησις ἢ τιμὴ τέχνης γένοιτο καὶ μούσης τοιαύτης; ἀλλ'
D οὐδὲ παρὰ τοῖς ἀντιτέχνοις ἐθέλουσιν εἶναι, καὶ διὰ τοῦτο βασκανίᾳ καὶ δυσμενείᾳ τοὺς ἀληθῶς τεχνίτας καθαιροῦσιν. οἷος ἦν πάλιν αὖ Διονύσιος ὁ τὸν ποιητὴν Φιλόξενον εἰς τὰς λατομίας ἐμβαλών, ὅτι τραγῳδίαν αὐτοῦ διορθῶσαι κελευσθείς, εὐθὺς ἀπὸ τῆς ἀρχῆς ὅλην μέχρι τῆς κορωνίδος αὐτὴν περιέγραψεν. ἦν δὲ καὶ Φίλιππος ἐν τούτοις ὑπὸ ὀψιμαθίας ἑαυτοῦ καινοπρεπέστερος. ὅθεν καί φασι, πρός τινα ψάλτην περὶ κρουμάτων αὐτοῦ διαφερομένου καὶ δοκοῦντος ἐξελέγχειν, ἀτρέμα μειδιάσαντα τὸν ἄνθρω-
E πον εἰπεῖν, Μὴ γένοιτό σοι, βασιλεῦ, ἀθλίως οὕτως, ἵνα ταῦτα ἐμοῦ βέλτιον εἰδῇς. ἀλλ' Ἀλέξανδρος εἰδὼς τίνων δεῖ θεατὴν εἶναι καὶ ἀκροατήν, καὶ τίνων ἀγωνιστὴν καὶ αὐτουργόν, ἤσκει μὲν ἀεὶ διὰ τῶν ὅπλων δεινὸς εἶναι, καὶ κατὰ τὸν Αἰσχύλον, Βριθὺς ὁπλιτοπάλας, δάιος ἀντιπάλοις. ταύτην ἔχων τέχνην προγονικὴν ἀπ' Αἰακιδῶν, ἀφ' Ἡρακλέους, ταῖς δὲ ἄλλαις τέχναις τὸ τιμᾶν ἄνευ τοῦ ζηλοῦν ἀπεδίδου, καὶ τὸ ἔνδοξον αὐτῶν καὶ χάριεν, τῷ τέρπειν δὲ οὐκ ἦν εὐάλωτος εἰς τὸ
F μιμεῖσθαι. γεγόνασι δὲ κατ' αὐτὸν τραγῳδοὶ μὲν οἱ περὶ Θετταλὸν καὶ Ἀθηνόδωρον, ὧν ἀνταγωνιζομένων ἀλλήλοις, ἐχορήγουν μὲν οἱ Κύπριοι βασιλεῖς, ἔκρινον δὲ οἱ δοκιμώτατοι τῶν στρατηγῶν. ἐπεὶ δὲ ἐνίκησεν Ἀθηνόδωρος, Ἐβουλόμην ἄν, ἔφη, μᾶλλον ἀπολωλέναι μέρος τῆς βασιλείας, ἢ Θετταλὸν ἐπιδεῖν ἡττημένον. ἀλλ' οὔτε ἐνέτυχε τοῖς κριταῖς, οὔτε τὴν κρίσιν

gia euocantur: contráq; inuidia, ſordibus, moroſitate eorũ qui rerum potiuntur, reſtinguntur & langueſcunt. Dionyſius (vt fertur) tyrannus quum quendam citharœdum primi nominis audiret, talentum ei ſe daturum ſpopõdit: poſtero verò die heſternam ſponſionem repoſcenti, Heri, inquit, oblectatus à te tantiſper dum canebas, te quoque viciſſim iniecta ſpe oblectare volui: proinde congruum operæpretium recepiſti, hilarans idem, & mox redhilaratus. Alexander, Pheræorum tyrannus (ſic enim ſolùm appellandus eſt, ne cognomentũ ſuggilletur) tragœdum quendam quum ſpectaret, ſupra modum in miſericordiam verſus eſt, ita afficiente eum aurium voluptate. Proſiliens igitur ex theatro, accelerato gradu abibat, indignum eſſe fremens ſi qui tot ciues excarnificatus ſit, is Hecubę Polyxenæq; caſibus illacrymaſſe videbitur. Nec multum abfuit quin tragœdum malè mulctaret, videlicet quòd animum eius tanquam ferrum mollierat. Archelaus, quum videretur malignè munera dare, non ſemel hoc cauillo à Timotheo cantore taxatus eſt, Scilicet tu terrigenæ pecuniæ faues. Cui Archelaus non inconcinniſſimè, At tute aues. Scytharum rex Anteas Iſmeniam tibicinem bello captum iuſſit ſuper cœnam canere. Omnibus autem admirantibus, & præ voluptate plaudentibus, iureiurando affirmauit, ſuauius ſe interdum equum hinnientẽ audiſſe. Vſqueadeo aures habebat à Muſis abhorrentes, animámq; in præſepiis, immò verò audiendis aſinis quàm equis appoſitiorẽ. Quod igitur artium augmẽtum apud huiuſmodi reges? quis artibus honor, aut Muſis haberi poteſt? Quanquam ne apud illos quidem ius ſuũ obtineant qui artium peritiam ſe tenere profitẽtur, vtpote qui æmulatione & odio iuſtos euertant artifices. Qualis rurſum Dionyſius, qui Philoxenum poetam in latumias demiſit, quòd tragœdiam eius emendare iuſſus, ab exordio totam ad vmbilicũ vna litura circumduxit. Erat autem in huiuſcemodi rebus Philippus quoq; ſeipſo minor, & iuniori ſimilior, vt qui hæc ſerò doceri occepiſſet. Vnde diſceptante eo cum quodam fidicine de pulſandarum fidium ratione, quum ſibi probè hominẽ refellere videretur, renidens (vt inquiunt) ille, Dij melius, ô rex, ait: nec vſqueadeo miſer ſis vt hæc me melius ſcias. At verò Alexãder probè ſciens quarum ſe rerum ſpectatorem atque auſcultatorem præbere oporteret, quarúmque item certatorem, ſuaptéque manu actorem, meditabatur aſſiduè ſtrenuus armis euadere, &, vt inquit AEſchylus, grauis armiluctator, formidoloſus hoſtibus. Hanc auitam artẽ habẽs, & per manus ab AEacidis & Hercule traditam, cæteras etiamnum artes honori habendas cenſebat, non æmulandas quoque: & vt nobilitatem amplectebatur venuſtatémq; artificum, ita earum oblectamento haud temerè ſeſe ad imitationem conferebat. AEquales eius fuerunt tragœdi quidẽ Theſſalus & Athenodorus. Hi quum inter ſe de arte contendentes in certamen aliquando veniſſent, choragorum quidem vice Cypri regibus fungentibus, iudicum verò, præfectorum nobiliſſimis, victórque ad extremum Athenodorus euaſiſſet, Parte, inquit, emptum regni vellem ne Theſſalum victum viderem. nec quicquam vltrà verborum cum iudicibus fecit, aut vllo prorſus modo iudi-

eium improbauit:nimirum dignum eſſe ratus,
cæteris ſe omnibus antecellere, iuri verò con-
cedere. At comœdus erat Lycon Scarpheus.
Huic, quũ in comœdia quadã flagitatoriũ ver-
ſum inſeruiſſet, arridens, decẽ talẽta dedit. Ci-
tharœdi fuerunt cùm alij, tum Ariſtonicus: qui
quũ in pugna ſuppetias cuidam ferret, egregiè
pugnans cecidit. Huic Alexãder ſtatuã Pythiis
æream ponendã curauit, citharam tenentẽ ha-
ſtámq; protẽtã: nõ hoc modò viro illi tribuẽs,
ſed & muſicam quoq; hoc honore proſequẽs,
quæ viros faceret, quæq; inſtinctu lymphatico
impetúq; impleret eos qui in ea ritè educati eſ-
ſent. Nã & ipſe olim Antigenide tibicine Har-
matiõ nomõ modulante, vſq; adeo mente ca-
ptus, modulamenti incitatu exarſit, vt concuſ-
ſis armis proripiens ſeſe, manus in adſtãtes in-
tenderet, teſtimoniũ Spartiatis præbens illud
» canere ſolitis, Vrget enim in ferrum ſcitè fidi-
» bus canere. Erant etiã æquales eius Apelles
pictor, & Lyſippus ſtatuarius. Horũ ille fulmi-
niferum pinxit eouſq; expreſſè ac cõcinnè, vul-
gò vt diceret, duorũ Alexandrorũ illũ quidem
Philippi, nulla vi ſuperabilẽ: hũc verò Apellis,
nulla arte imitabilẽ. At verò Lyſippus quũ pri-
mùm Alexãdrũ finxiſſet ſupina cœlũ facie ſu-
ſpectãtem (quo modo Alexãder ipſe ſuſpicere
ſolitus erat, afflexa leniter ceruice) adſcripſit
quidam haud illepidè,

Aereus in cœlum ſuſpectans fare quid aiat?
Iuppiter, aſſerui terram mihi, tu aſſere cœlum.

Quam ob cauſam Alexander Lyſippũ vnũ ſta-
tuas ſibi fingere voluit. ſolus enim videbatur
affectus eius ære exprimere, Alexandriq; virtu-
tẽ cũ lineamentis referre. Cæteri verò ſupinita-
tẽ ceruicis, oculorũ feſtiuitatẽ, blandámq; ala-
critatẽ imitari ſtudentes, virilẽ leoninúmq; a-
ſpectũ retinere nequiuerunt. Inter aliorũ artifi-
cũ turbam Staſicrates architectus erat: hic ni-
hil lenocinij, nihil lepôris, nihil feſtiui aſſequi
in ſpeciẽ cupiẽs, ad magnificentiſsimum opus
ſe comparabat, dignúmq; quod Alexandri v-
nius opibus faciendum ſuſciperetur. Quodam
igitur tempore ad eum inſinuatus, improbauit
imagines eius pictas, ſtatuáſque tum fuſiles tũ
ſculptas, opera eſſe dictitans inertium ignauo-
» rúmque artificum. Ego enimuerò ô rex (in-
» quit) corporis tui ſimulacrum condere depo-
» neréque conſtitui in viua ac nunquam interi-
» tura materia, & cùm perpetuis radicibus fibra-
» ta, tum verò mole libramentóq; nulla vi agita-
» bilibus. Thracius enim Athos, quà eminentiſ-
» ſimus conſpicuúſque maximè eſt, latitudines
» altitudinéſque habet proportione inter ſe ac-
» commodatas, membráque & artus, & eorum
» interſtitia corporis ſpeciem præbẽtia. hic ſi af-
» formetur elaboretúrque, Alexandri effigies &
» eſſe & vocitari poteſt: vt mare quidem imis ſe-
» dimẽtis attingat, at verò manibus, ſiniſtra qui-
» dem amplum admodum oppidum amplexa-
» bunda geſtet, dextra verò perennem fluuium
» ex ampulla libans effundat in mare. Aurum ve-
» rò, inquit, æs, ebur, ligna, pigmenta, ſigilla mi-
» nuta & venalia abijciamus, quæ aut furto in-
» tercidere, aut igni liqueſcere poſſunt. His Ale-
xander auditis, excelſos artificis ſpiritus fidu-
» ciámq; admiratus collaudauit, Cæterùm, ô Sta-
» ſicrates, inquit, Athon quieſcere ſinito. etenim

A ἐμέμψατο· πάντων οἰόμενος δεῖν περιεῖναι, τοῦ δι-
καίου δὲ ἡττᾶσθαι. κωμῳδοὶ δὲ ἦσαν οἱ περὶ Λύκωνα
τὸν Σκαρφέα· τούτου δὲ εἰς τινα κωμῳδίαν ἐμβαλόν-
τι στίχον αἰτητικὸν, γελάσας ἔδωκε δέκα τάλαντα.
κιθαρῳδοὶ δὲ ἄλλοι, καὶ Ἀριστόνικος, ὃς ἐν μάχῃ τινὶ
προσβοηθήσας, ἔπεσε λαμπρῶς ἀγωνισάμενος. ἐ-
κέλευσεν οὖν αὐτοῦ γενέσθαι καὶ σταθῆναι χαλκοῦν ἀν-
δριάντα Πυθοῖ, κιθάραν ἔχοντα καὶ δόρυ προβεβλη-
μένον· οὐ τὸν ἄνδρα τιμῶν μόνον, ἀλλὰ καὶ μουσικὴν
κοσμῶν, ὡς ἀνδροποιὸν, καὶ μάλιστα δὴ πληροῦσαν
B ἐνθουσιασμοῦ καὶ ὁρμῆς τοὺς γνησίως ἐντρεφομένους.
καὶ γὰρ αὐτὸς, Ἀντιγενίδου ποτὲ τὸν ἁρμάτειον αὐλοῦν-
τος νόμον, οὕτως παρέστη καὶ διεφλέχθη τὸν θυμὸν ὑπὸ
τῶν μελῶν, ὥστε τοῖς ὅπλοις ἀΐξας, ἐπιβαλεῖν τὰς
χεῖρας ἐγγὺς παρακειμένοις, καὶ μαρτυρῆσαι τοῖς
Σπαρτιάταις ᾄδουσιν, Ἕρπει γὰρ ἄντα τῷ σιδάρῳ τὸ
καλῶς κιθαρίσδεν. ἦν δὲ καὶ Ἀπελλῆς ὁ ζωγρά-
φος, καὶ Λύσιππος ὁ πλάστης κατ' Ἀλέξανδρον,
ὧν ὁ μὲν ἔγραψε τὸν κεραυνοφόρον οὕτως ἐναργῶς
καὶ κεκραμένως, ὥστε λέγειν ὅτι δυεῖν Ἀλεξάνδρων,
C ὁ μὲν Φιλίππου, γέγονεν ἀνίκητος· ὁ δὲ Ἀπελλοῦ, ἀμί-
μητος. Λυσίππου δὲ τὸν πρῶτον Ἀλέξανδρον πλά-
σαντος, ἄνω βλέποντα τῷ προσώπῳ πρὸς τὸν οὐ-
ρανὸν (ὥσπερ αὐτὸς εἰώθει βλέπειν Ἀλέξανδρος,
ἡσυχῆ παρεγκλίνων τὸν τράχηλον) ἐπέγραψέ τις οὐκ
ἀπιθάνως,

Αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος εἰς Δία λεύσσων,
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι, Ζεῦ, σὺ δ' ὄλυμπον ἔχε.

διὸ καὶ μόνον Ἀλέξανδρος ἐκέλευε Λύσιππον εἰκόνας
αὐτοῦ δημιουργεῖν. μόνος γὰρ οὗτος, ὡς ἔοικε, κατεμή-
νυε τῷ χαλκῷ τὸ ἦθος αὐτοῦ, καὶ συνεξέφερε τῇ μορ-
D φῇ τὴν ἀρετήν. οἱ δὲ ἄλλοι τὴν ἀποστροφὴν τοῦ τρα-
χήλου, καὶ τῶν ὀμμάτων τὴν διάχυσιν καὶ ὑγρότητα
μιμεῖσθαι θέλοντες, οὐ διεφύλαττον αὐτοῦ τὸ ἀρρενω-
πὸν καὶ λεοντῶδες. ἐν δ' οὖν τοῖς ἄλλοις τεχνί-
ταις καὶ Στασικράτης ἦν ἀρχιτέκτων, οὐδὲν ἀνθη-
ρὸν οὐδὲ ἡδὺ καὶ πιθανὸν τῇ ὄψει διώκων, ἀλλὰ καὶ
χειρὶ μεγαλουργῷ καὶ διαθέσει χορηγίας βασιλικῆς
οὐκ ἀποδεούσῃ χρώμενος. οὗτος ἀναβὰς πρὸς Ἀ-
λέξανδρον, ἐμέμφετο τὰς γραφομένας εἰκόνας
αὐτοῦ καὶ γλυφομένας καὶ πλαττομένας, ὡς ἔργα
E δειλῶν καὶ τεχνιτῶν ἀγεννῶν. Ἐγὼ δὲ (εἶπεν) εἰς ἄ-
φθαρτον, ὦ βασιλεῦ, καὶ ζῶσαν ὕλην καὶ ῥίζας ἐχού-
σαν ἀϊδίους, καὶ βάρος ἀκίνητον καὶ ἀσάλευτον, ἔγνωκα
σοῦ τὴν ὁμοιότητα καταθέσθαι τοῦ σώματος. ὁ γὰρ Θρά-
κιος Ἄθως, ᾗ μέγιστος αὐτοῦ καὶ περιφανέστατος ἐξα-
νέστηκεν, ἔχων ἑαυτῷ σύμμετρα πλάτη καὶ ὕψη, καὶ
μέλη καὶ ἄρθρα καὶ διαστήματα μορφοειδῆ, δύνα-
ται κατεργασθεὶς καὶ σχηματισθεὶς, εἰκὼν Ἀλεξάν-
δρου καλεῖσθαι· καὶ εἶναι, ταῖς μὲν βάσεσιν, ἁπτομένου
τῆς θαλάσσης, τῶν δὲ χειρῶν τῇ μὲν, ἐναγκαλιζομένου
F καὶ φέροντος πόλιν ἐνοικουμένην μυρίανδρον, τῇ
δὲ δεξιᾷ ποταμὸν ἀέναον ἐκ φιάλης σπένδοντα εἰς
τὴν θάλασσαν ἐκχεόμενον. χρυσὸν δὲ καὶ χαλκὸν
καὶ ἐλέφαντα, καὶ ξύλα, καὶ βαφὰς, καὶ ἐκμα-
γεῖα μικρὰ καὶ ὠνητὰ, καὶ κλεπτόμενα καὶ συγχεό-
μενα, καταβάλλωμεν. ταῦτα ἀκούσας Ἀλέξανδρος, τὸ
φρόνημα τοῦ τεχνίτου καὶ τὸ θάρσος ἀγασθεὶς, ἐπή-
νεσεν, Ἔα δὲ μένειν (εἶπε) τὸν Ἄθω κατὰ χώραν. ἀρκεῖ

γὰρ ἑνὸς βασιλέως ἐνυβρίσαντος ἐστὶ μνημεῖον. ἐμὰ δὲ ὁ Καύκασος δείξει, καὶ τὰ Ἠμωδὰ, καὶ Τάναϊς, καὶ τὸ Κάσπιον πέλαγος· αὗται τῶν ἐμῶν ἔργων εἰκόνες. ἀλλὰ φέρε, πρὸς θεῶν, ἐκτελεσθῆναι καὶ φανῆναι τοιοῦτον ἔργον· ἔσθ᾽ ὅστις ἂν ἰδὼν ὑπέλαβε κατὰ τύχην γεγονέναι καὶ αὐτομάτως τὸ σχῆμα καὶ τὴν διάθεσιν καὶ τὸ εἶδος; οὐδεὶς ἂν, οἶμαι. τί δὲ τὸν κεραυνοφόρον; τί δὲ τὸν ἐπὶ τῆς αἰχμῆς προσαγορευόμενον; εἶτα ἀνδριάντος μὲν μέγεθος οὐκ ἂν ἄνευ τέχνης ὑπὸ τῆς τύχης γένοιτο, χρυσὸν καὶ χαλκὸν καὶ ἐλέφαντα, καὶ πολλὴν καὶ πλουσίαν ὕλην καταχεαμένης καὶ παραβαλούσης· ἄνδρα δὲ μέγαν, μᾶλλον δὲ τῶν γενομένων ἁπάντων μέγιστον, ἐνδέχεται χωρὶς ἀρετῆς ἀποτελεσθῆναι διὰ τύχην, ὅπλα καὶ χρήματα καὶ πόλεις καὶ ἵππους παρασκευάσασαν; ἃ τῷ μὴ μαθόντι χρῆσθαι, κίνδυνός ἐστιν, οὐ δύναμις, οὐδὲ κόσμος, ἀλλ᾽ ἔλεγχος τῆς ἀσθενείας καὶ μικρότητος. ὀρθῶς γὰρ Ἀντισθένης ἔλεγεν ὅτι πάντα δεῖ τοῖς πολεμίοις εὔχεσθαι τὰ ἀγαθὰ, πλὴν ἀνδρείας· γίνεται γὰρ οὕτως οὐ τῶν ἐχόντων, ἀλλὰ τῶν κρατούντων. διὰ τοῦτο φασὶ καὶ τὴν φύσιν ἀγεννεστάτῳ ζώῳ τῷ ἐλάφῳ κέρατα θαυμαστὰ τῷ μεγέθει καὶ τραχύτητι πρὸς ἄμυναν ἐμφῦσαι, διδάσκουσαν ἡμᾶς ὡς οὐδὲν ὠφελεῖ τὸ ἰσχύειν καὶ ὡπλίσθαι, τοῖς μένειν καὶ θαρρεῖν μὴ δυναμένοις. οὕτω καὶ ἡ τύχη πολλάκις ἀτόλμοις καὶ ἀνοήτοις περιτιθεῖσα δυνάμεις καὶ ἀρχὰς, αἷς ἐνασχημονοῦσι, κοσμεῖ καὶ συνίστησι τὴν ἀρετὴν, ὡς μόνην μέγεθος ἀνδρὸς καὶ κάλλος οὖσαν. εἰ μὲν γὰρ (ὥς φησιν Ἐπίχαρμος) νοῦς ὁρῇ, καὶ νοῦς ἀκούει, τἆλλα δὲ τυφλὰ καὶ κωφὰ, τυγχάνει λόγου δεόμενα. αἱ γὰρ αἰσθήσεις ἰδίας ἔχειν ἀφορμὰς δοκοῦσιν. ὅτι δὲ νοῦς ὠφελεῖ, καὶ νοῦς κοσμεῖ, καὶ νοῦς τὸ νικῶν καὶ κρατοῦν καὶ βασιλεῦον, τὰ δ᾽ ἄλλα τυφλὰ καὶ κωφὰ καὶ ἄψυχα παρέλκει, καὶ βαρύνει, καὶ καταισχύνει χωρὶς ἀρετῆς τοὺς ἔχοντας, ἀπὸ τῶν πραγμάτων λαβεῖν ἐστι. τῆς γὰρ αὐτῆς δυνάμεως ὑποκειμένης καὶ ἡγεμονίας, Σεμίραμις μὲν, οὖσα γυνὴ, στόλους ἐπλήρου, καὶ φάλαγγας ὥπλιζε, καὶ Βαβυλῶνας ἔκτιζε, καὶ περιέπλει τὴν ἐρυθρὰν θάλασσαν, Αἰθίοπας καταστρεφομένη καὶ Ἄραβας· Σαρδανάπαλος δὲ, ἀνὴρ πεφυκὼς, ἔξαινεν οἴκοι πορφύραν, ἀναβάδην ἐν ταῖς παλλακαῖς καθήμενος. ἀποθανόντος δὲ αὐτοῦ, λιθίνην εἰκόνα κατασκευάσαντες ὀρχουμένην ἑαυτῇ βαρβαρικῶς, καὶ τοῖς δακτύλοις ὑπὲρ κεφαλῆς οἷον ὑποψοφοῦσαν, ἐπέγραψαν, ἔσθιε, πῖνε, ἀφροδισίαζε· τἆλλα δὲ οὐδέν. ὁ μὲν οὖν Κράτης ἰδὼν χρυσῆν εἰκόνα Φρύνης τῆς ἑταίρας ἑστῶσαν ἐν Δελφοῖς, ἀνέκραγεν ὅτι τοῦτο τῆς τῶν Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκε. τὸν δὲ Σαρδαναπάλου βίον ἄν τις ἢ τάφον (οὐδὲν γὰρ οἶμαι διαφέρειν) θεασάμενος, εἴποι τοῦτο τῶν τῆς τύχης ἀγαθῶν τρόπαιον εἶναι. τί οὖν; ἐάσομεν τὴν τύχην Ἀλεξάνδρου μετὰ Σαρδανάπαλον ἅψασθαι, καὶ τοῦ μεγέθους ἐκείνου καὶ τῆς δυνάμεως ἀντιποιεῖσθαι; τί γὰρ αὐτῷ πλέον ἔδωκεν ὧν οἱ λοιποὶ βασιλεῖς ἔλαβον παρ᾽ αὐτῆς; ὅπλων, ἵππων, βελῶν, χρημάτων, δορυφόρων; ποιησάτω τούτοις ἡ τύχη μέγαν Ἀριδαῖον, εἰ δύναται· ποιησάτω τούτοις μέγαν Ἄμασιν, ἢ Ὦχον, ἢ Οὐάρσην, ἢ Τιγράνην τὸν Ἀρμένιον,

A abundè eſt petulantiæ regis vnius cũ eſſe monumentum:me verò Caucaſus oſtendet,& Emoda,& Tanais,& Caſpium pelagus. hæc operum certè meorum ſimulacra erũt. Sed, per deos immortales,éſtne aliquis qui,ſi huiuſmodi opus abſolutum cernat, exiſtimet eius formam, habitum & ſpeciem fortuitu & temerè facta? nullus certè, vt arbitror. Quid fulminiferum? quid quem cuſpide nitentem vocant? quid(malum)ſtatuæ amplitudo ſine arte à fortuna abſolui non poterit,aurum,æs,ebur,mul B tam & pretioſam materiam ſuppeditante affatim, largéque ſuggerente: vir verò amplus, immò vero hominum ampliſſimus,ſine virtute à fortuna effici poterit,arma,ſtipendia, vrbes equóſque comparante? ceu verò imperito hæc duci vires aut ornatum afferant, & nõ inertiæ potius ſocordiæque documentum magno quoque ſuo periculo præbeant. Præclarè enim Antiſthenes hoſtibus optanda omnia à diis eſſe bona dicebat, præter fortitudinem: etenim illa tandem armis præſtantium fore, non illa poſſidentium. Quapropter naturam C inquiunt ceruo animali ignauiſſimo cornua magnitudine viſẽda aſperitatéq; ingeneraſſe: nimirum ſpecimen dantem,qui audere ipſi fiduciámque im perare ſibi nequeunt, nullũ iis armorum apparatum bellíque inſtrumentum vſui eſſe. Hoc ſæpe modo fortuna ſocordibus ſtolidíſque opes & imperia adſciſcens, quibus ipſi demum degeneres arguuntur, adſtruit honeſtátque virtutem,vtpote in qua vna ſita ſint amplitudo decórque viri. Enimuero,vt inquit Epicharmus,mens cernit,mens audit, reliqua D autem ſurda cæcáque ſunt, & rationis indiga. Atqui ſenſus facultates quaſdã peculiares habere vidẽtur: mens verò quòd proſit, quòd ornet, quòd denique vincat,quòd præſtet, quòd imperet:reliqua verò ſurda,cæca, inanima,redundent,& morentur,deforméntque ſe abſq; virtute poſſidentes,ſic reapſe deprehendere licet. Siquidem iiſdem opibus, eodem imperio freta Semiramis fœmina claſſes inſtruebat, phalangas armabat,Babylones condebat,rubrum denique mare nauigio perluſtrabat,AEthiopiæ atque Arabiæ ſubigendis populis:Sar E danapalúſque,vir quidem natus, domi purpuram carminabat,inter pallacarum turbam ſupinus,in humeróſque iacens: cui lapideam ponentes ſtatuam, ſecum ipſam ſaltantem barbarico ritu, argutulíſque digitis ſupra caput veluti concrepitantem,adſcripſerunt, EDE, BIBE, VENERI INDVLGE. NAM CAETERA PRORSVS NIHIL OMNIA. Crates auream Phrynes meretriculę effigiem Delphis poſitam quum vidiſſet, exclamauit,Græcorum id petulantię trophæum F erectum eſſe. At qui Sardanapali aut vitã aut monumentum (nihil enim, vt arbitror, differunt) viderit,hoc fortunæ bonorum trophæũ ſanè eſſe dixerit. Quid igitur tandem? ſinemus fortunam poſt Sardanapalum extremis etiam (quod aiunt) digitis Alexãdrum attingere?aut amplitudinem eius ſibi & potentiam vendicare? Ecquid autem ab illa præcipuum ſuprà quàm cæteri aſſolẽt reges accepit, armorũ, equorũ,telorũ,pecuniarũ, militũ? Quin igitur iſtis fortuna,ſi poteſt,magnũ Aridæum facit? quin magnũ Amaſin, aut Ochon, aut Oarſen, aut Ti-

granē Armeniū,aut Bithyniū Nicomedē?quorū ille candidā faſciam inſigne regni ad Pōpeij pedes abiiciēs,fœdiſsimè regnū depoſuit,veluti in prędā cōcedēs:Nicomedes verò raſo capite pileū aſſumens,Romanorū ſeſe libertū pronūtiauit.Proinde rectius fortunā dixerimus humiles,meticuloſos,animíque demiſſos facere. Quēadmodū porro prauitatē nō rectè infortunio dederis,ita fortitudinē & prudentiā non ſine iniuria accepta felicitati tuleris:tametſi Alexādri imperio pręcipuè fortunæ cēſetur,quippe quæ illuſtris in illo, inulcta,celſa animi,innocētia prædita clemētiáq; fuerit. At verò occūbente eo Leoſthenes dicebat,hāc immēſam potentiā errabundā,& huc illuc incurrentem, Cyclopi ſimilē fuiſſe, qui poſt exoculationem manus quoquoverſus intētabat, nunquā non aberrātes à deſtinato propoſito. Haud abſimi-
» li,inquit, vertigine ſub imperatoris deſiderio
» ferebatur hallucinabūda imperij magnitudo,
» irritis vbiq; conatibus ſe fatigās. Rurſus quēadmodū emortua corpora ab anima deſerta non iā cōcreſcūt coaleſcūntve,ſed deſinūt diſſoluūtúrq; à ſeſe,vaneſcūntq;& exoleſcūt:hūc in modū imperiū amiſſo Alexādro moribūdū palpitabat,motabatur,lāguebat, Perdiccis, Meleagris,Seleucis & Antigonis inter ſe diſſidētibus, tāquam ſpiritibus adhuc calētibus, pulſibúſq; micātibus: ad extremū marceſcēs & iā tabidū, vt obortis vndiq; ſcatuit lūbricis,degeneribus regibus,fractíq; animi ducibus. Enimuero ipſe Hephæſtionē aliquādo caſtigās,vt fertur, cum
» Cratero ſimultates exercentē, Quæ tandē,ait,
» tuæ ſunt opes,aut quod tuū facinus,ſiquis tuū
» tibi Alexandrū demat? Hoc itidē nunc ego ad illius æui fortunā dicere nō dubitarim, Ecqua tua amplitudo?ecqua tuā gloria?nunc vbi tua autē potētia,nunc vbi inuicta virtus, ſiquis tibi Alexandrū dēpſerit?ſiquis(inquā)dēpſerit in armis,peritiā:in opibus,liberalitatē:in magnificētia,moderationē:in certaminibus diſcrimine, fiduciā: in victoria, clemētiā. Age fac,ſi potes, aliū magnū ducē, vt opibus liberaliter nō vtatur,vt nō ante acies ſuas prōgreſſus diſcrimina ſubeat,vt amicos honori nō habeat, vt non in captos miſericordē ſe pbeat,vt in fruēdis voluptibus ſibi tēperare nequeat, vt in occaſion es bene gerēdæ rei nō immineat,vt à victoria exorabilis non ſit, poſtremò vt inceptorū cōpos clementē ſe nō præſtet. Iam verò quis magnus in potētatu cū ſtultitia & flagitiis? Tolle virtutē fortunati hominis, iā vſquequaq; paruus erit:in cōferēdis beneficiis,ob ſordidā parſimoniā:in exudādis laboribus,ob mollitiem: apud deos, ob ſuperſtitionē:erga bonos,ob inuidiā: inter viros,ob ſocordiā:inter mulieres,ob affectus voluptarios. Et vt ignari artifices ſimulacra parua prægrādibus ſedimentis fulciētes, ipſorū breuitatem arguunt:haud aliter fortuna quū exiguū hominis animū cōſpicuis effert rebus,& molē habentibus,conſpectiorē eum, & propè dixerim traductiorē per ora hominū facit, leuitate errabūdū & fluitātē. Idcirco nō in habēdis rebus,ſed in vtēdis potius magnitudo ſita eſt,quandoquidē regni paterni infantes etiamnū pueri hæredes eſſe ſolēt: vt verbi cauſa Charilaus ille, quem vnà cū crepundiis Lycurgus in Phidition delatum loco ſui Spartæ regem renun-

A ἢ τὸν Βιθυνὸν Νικομήδην· ὧν ὁ μὲν τὸ διάδημα τοῖς Πομπηΐου ποσὶν ὑποῤῥίψας, αἰσχρῶς τὴν βασιλείαν ἀπέβαλε, λάφυρον γενομένην· ὁ δὲ Νικομήδης, τὴν κεφαλὴν ξυράμενος, καὶ πίλιον ἐπιθέμενος, ἀπελεύθερον ἑαυτὸν Ῥωμαίων ἀνηγόρευσεν. εἴπωμεν οὖν ὅτι μικροὺς ἡ τύχη καὶ περιδεεῖς ποιεῖ, καὶ ταπεινόφρονας· ἀλλ' οὐ δίκαιον οὔτε κακίαν εἰς ἀτυχίαν, οὔτε ἀνδρίαν καὶ φρόνησιν εἰς εὐτυχίαν τιθέναι. μέγα δὲ τὴν ἀρχὴν Ἀλέξανδρον ἡ τύχη· καὶ γὰρ ἔνδοξος ἐν ἐκείνῳ, καὶ ἀήττητος, καὶ μεγαλόφρων, καὶ ἀνύβριστος, καὶ φιλάνθρωπος. εἶτα ἐκλείποντος εὐ-
B θὺς, ὁ Λεωσθένης ἔλεγε τὴν δύναμιν ἐμπλανωμένην ἑαυτῇ, καὶ περιπίπτουσαν, ἐοικέναι τῷ Κύκλωπι μετὰ τὴν τύφλωσιν ἐκτείνοντι πανταχοῦ τὰς χεῖρας, ἐπ' οὐδένα σκοπὸν φερομένας· οὕτως ἐρέμβετο κενεμβατοῦν καὶ σφαλλόμενον ὑπ' ἀναρχίας τὸ μέγεθος αὐτῆς. μᾶλλον δὲ, ὥσπερ τὰ νεκρὰ σώματα, τῆς ψυχῆς ἐκλειπούσης, οὐκ ἔτι συνέστηκεν οὐδὲ συμπέφυκεν, ἀλλ' ἐξίσταται καὶ διαλύεται ἀπ' ἀλλήλων, καὶ ἄπεισι καὶ φεύγει· οὕτως ἀφεῖσα τὸν Ἀλέξανδρον ἡ δύναμις ἤσπαιρεν, ἐπάλλετο, ἐφλέγμαι-
C νε, Περδίκκαις, καὶ Μελεάγροις, καὶ Σελεύκοις, καὶ Ἀντιγόνοις, ὥσπερ πνεύμασι θερμοῖς ἔτι, καὶ σφυγμοῖς διαπίπτουσι καὶ διαφερομένοις· τέλος δὲ ἀπομαραινομένη καὶ φθίνουσα, περὶ αὑτὴν, οἷον εὐλάς τινας, ἀνέζεσεν ἀγεννῶν βασιλέων καὶ ἡγεμόνων ψυχορραγούντων. αὐτὸς μὲν οὖν ταῦθ', ὡς ἔοικεν, Ἡφαιστίωνι διενεχθέντι πρὸς Κρατερὸν ἐπιτιμῶν, Τίς δὲ (εἶπεν) ἡ σὴ δύναμις ἢ πρᾶξις, ἄν σου τις ἀφέλῃ τὸν Ἀλέξανδρον; ἐγὼ δὲ τοῦτο εἰπεῖν πρὸς τὴν τότε τύχην οὐκ ὀκνήσω, Τί σου τὸ μέγεθος; τίς δὲ ἡ δόξα; ποῦ δὲ ἡ δύναμις; ποῦ δὲ τὸ ἀήττητον, ἄν σου τις ἀφέλῃ τὸν Ἀλέξαν-
D δρον; τουτέστιν, ἄν σου τις ἀφέλῃ τῶν ὅπλων τὴν ἐμπειρίαν· τοῦ πλούτου, τὴν φιλοτιμίαν· τῆς πολυτελείας, τὴν ἐγκράτειαν· ὧν ἀγωνίζῃ, τὸ θάρσος· ἐν οἷς κρατεῖς, τὴν πρᾳότητα. ποίησον ἄλλον (εἰ δύνασαι) μέγαν τοῖς χρήμασι μὴ χαριζόμενον, τοῖς στρατεύμασι μὴ προκινδυνεύοντα, τοὺς φίλους μὴ τιμῶντα, τοὺς αἰχμαλώτους μὴ ἐλεοῦντα, ταῖς ἡδοναῖς μὴ σωφρονοῦντα, τοῖς καιροῖς μὴ ἀγρυπνοῦντα, ταῖς νίκαις μὴ εὐδιάλλακτον, τοῖς κατορθώμασι μὴ φιλάνθρωπον. τίς μέγας ἐν ἐξουσίαις μετὰ ἀβελτηρίας καὶ μοχθη-
E ρίας; ἄφελε τὴν ἀρετὴν τοῦ εὐτυχοῦντος, καὶ πανταχοῦ μικρός ἐστιν· ἐν χάρισι, διὰ σμικρολογίαν· ἐν πόνοις, διὰ μαλακίαν· παρὰ θεοῖς, διὰ δεισιδαιμονίαν· πρὸς ἀγαθοὺς, διὰ φθόνον· ἐν ἀνδράσι, διὰ φόβον· ἐν γυναιξὶ, διὰ φιληδονίαν. ὥσπερ γὰρ οἱ φαῦλοι τεχνῖται, καὶ βάσεις μεγάλας μικροῖς ὑφιστάντες ἀναθήμασιν, ἐλέγχουσιν αὐτῶν καὶ τὰς μικρότητας· οὕτως ἡ τύχη, ὅταν μικρὸν ἦθος ἐξάρῃ πράγμασιν ὄγκον τινὰ καὶ περιφάνειαν ἔχουσιν, ἐπιδείκνυσι μᾶλλον καὶ καταισχύνει, σφαλλόμενον καὶ σαλευόμενον
F ὑπὸ κουφότητος. ὅθεν οὐκ ἐν τῇ κτήσει τῶν ἀγαθῶν ἀλλ' ἐν τῇ χρήσει τὸ μέγα ἐστίν· ἐπεὶ καὶ νήπια βρέφη κληρονομεῖ βασιλείας πατρῴας καὶ ἀρχάς· ὡς Χαρίλαος, ὃν Λυκοῦργος ἅμα τοῖς σπαργάνοις κομίσας εἰς τὸ φιδίτιον, ἀνθ' ἑαυτοῦ βασιλέα τῆς Σπάρτης

ἀνηγό-

ἀνηγόρευσε. καὶ οὐκ ἦν μέγας ὁ νήπιος, ἀλλ' ὁ τῷ νηπίῳ τὸ πατρῷον ἀποδοὺς γέρας, καὶ μὴ σφετερισάμενος μηδὲ ἀποστερήσας. Ἀριδαῖον δὲ τίς ἂν ἐποίησε μέγαν, ὃν οὐδὲν νηπίου διαφέροντα, μόνον δὲ σπαργανώσας τῇ πορφύρᾳ Μελέαγρος, ἐπὶ τὸν Ἀλεξάνδρου θρόνον ἔθηκεν; εὖ γε ποιῶν, ἵνα ὀφθῇ παρ' ἡμέρας ὀλίγας πῶς ἀρετῇ βασιλεύουσιν ἄνθρωποι, καὶ πῶς τύχῃ. ἀγωνιστὴν γὰρ ἡγεμονίας ὑποκριτὴν ἐπεισήγαγε, μᾶλλον δὲ ὡς ἐπὶ σκηνῆς τὸ διάδημα κωφὸν διεξῆλθε τῆς οἰκουμένης,

Καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη.

Τοὐναντίον μὲν οὖν εἴποι τις ἂν, ὅτι λαβεῖν καὶ ἀναθέσθαι δύναμιν, καὶ πλοῦτον καὶ ἀρχὴν, καὶ γυναικός ἐστι καὶ παιδός· (Οάρσῃ καὶ Δαρείῳ Βαγώας ὁ εὐνοῦχος ἀράμενος ἐπέθηκε τὴν Περσῶν βασιλείαν) τὸ δὲ, λαβόντα μεγάλην ἐξουσίαν ἐνεγκεῖν, καὶ μεταχειρίσασθαι, καὶ μὴ συντριβῆναι μηδὲ διαστραφῆναι τῷ βάρει καὶ μεγέθει τῶν πραγμάτων, ἀνδρός ἐστιν ἀρετὴν καὶ νοῦν καὶ φρόνημα ἔχοντος· ἣν Ἀλέξανδρος ἔσχεν, ᾧ μέθην τινὲς ἐγκαλοῦσι καὶ οἴνωσιν. ὁ δὲ ἦν μέγας ἐν τοῖς πράγμασι νήφων, καὶ μὴ μεθυσθεὶς μηδὲ βακχευθεὶς ὑπ' ἐξουσίας καὶ δυνάμεως, ἧς μικρὸν ἕτεροι μεταλαβόντες καὶ ἀπογευσάμενοι, κρατεῖν ἑαυτῶν οὐ δύνανται. κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος, ἢ πόλεως ἐμπεσόντες εἰς τιμάς τινας, σκιρτῶσιν, ἀδόκητα εὐτυχησάντων δόμων. Κλεῖτος ἐν Ἀμοργῷ τρεῖς ἢ τέτταρας Ἑλληνικὰς ἀνατρέψας τριήρεις, Ποσειδῶν ἀνηγορεύθη, καὶ τρίαιναν ἐφόρει. Δημήτριος δὲ (ᾧ τῆς Ἀλεξάνδρου δυνάμεως ἡ τύχη σμικρὸν ἀποσπάσασα προσέθηκε) Καταιβάτης καλούμενος ἐπήκουε, καὶ πρέσβεις πρὸς αὐτὸν οὐκ ἔπεμπον ἀλλὰ θεωροὺς αἱ πόλεις, καὶ τὰς ἀποκρίσεις χρησμοὺς προσηγόρευον. Λυσίμαχος τὰ περὶ Θρᾴκην, ὥσπερ ἐσχατιάς τινας τῆς βασιλείας κατασχὼν, εἰς τοσαύτην ὑπεροψίας ἔφθασε καὶ θρασύτητος, ὥστε εἰπεῖν, Νῦν Βυζάντιοι πρὸς ἐμὲ ἥκουσιν, ὅτε τῇ λόγχῃ τοῦ οὐρανοῦ ἅπτομαι. παρὼν δὲ Πασιάδης ὁ Βυζάντιος, Ὑπάγωμεν (ἔφη) μὴ τῇ ἐπιδορατίδι τὸν οὐρανὸν τρυπήσῃ. καὶ τί ἂν περὶ τούτων λέγοι τις οἷς ἐξῆν δι' Ἀλέξανδρον μέγα φρονεῖν, ὅπου καὶ Κλέαρχος Ἡρακλείας τύραννος γενόμενος, σκῆπτρον ἐφόρει, καὶ τῶν υἱῶν ἕνα, Κεραυνὸν ὠνόμασε; Διονύσιος δὲ ὁ νεώτερος, Ἀπόλλωνος υἱὸν ἑαυτὸν ἀνηγόρευσεν, ἐπιγράψας,

Δωρίδος ἐκ μητρὸς Φοίβου κοινώμασι βλαστών.

ὁ δὲ πατὴρ αὐτοῦ τῶν μὲν πολιτῶν μυρίους, ἢ καὶ πλείους, ἀνελὼν, προδοὺς δὲ τὸν ἀδελφὸν ὑπὸ φθόνου τοῖς πολεμίοις, οὐκ ἀναμείνας δὲ τὴν μητέρα, γραῦν οὖσαν, ὀλίγαις ἡμέραις ἀποθανεῖν ὕστερον, ἀλλ' ἀποπνίξας, ἐν δὲ τραγῳδίᾳ γράψας αὐτὸς, Ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ· ὅμως τῶν θυγατέρων τὴν μὲν, Ἀρετὴν, τὴν δὲ, Σωφροσύνην ὠνόμασεν, τὴν δὲ, Δικαιοσύνην. οἱ δὲ Εὐεργέτας, οἱ δὲ Καλλινίκους, οἱ δὲ Σωτῆρας, οἱ δὲ Μεγάλους ἀνηγόρευσαν ἑαυτούς. γάμους δὲ αὐτῶν ἐπαλλήλους, ὥσπερ ἵππων ἐν ἀγέλαις, γυναικῶν ἀδεῶς ἤδη μεθυόντων, καὶ φθορὰς παίδων, καὶ τυμπανισμοὺς ἐν ἀνδρογύνοις, καὶ κυβείας μεθημερινὰς, καὶ αὐλήσεις ἐν θεάτροις, καὶ νύκτα μὲν ἐν δείπνοις, ἡμέραν δὲ ἐν ἀρίστοις ἐπιλείπουσαν, οὐδεὶς ἂν ἐφίκοιτο τῷ λόγῳ διελθεῖν.

A tiauit. Non enim protinus magnus erat infans, ſed qui infanti potius paternũ regnũ, quũ interuertere poſſet, integra tutelari fide reſtituit. Aridæũ verò quis magnũ facere poſſet, quẽ nihilo ab infante differentẽ, purpura modò infantiliter inuolutũ Meleager in Alexãdri ſolio cõſtituit? Quanquã ô bene factũ, vt pauculos intra dies appareret quo tandem modo virtute regnẽt homines, & quo forte fortuna. Pro imperio enim certãti veluti hiſtrionẽ ipſe ſubmiſit, imo verò diadema orbis terrarum tanquam per ſcenã traduxit,

B *Fœmina onus tulerit, ſcapulis ſi ſuſtulerit uir.*

E cõtrario verò dixerit aliquis, aſſumere potentatũ, & tanquã in humeros tollere opes & imperia, & mulieris fuerit, & pueri fortaſſe (ſiquidẽ Oarſæ & Dario Bagoas eunuch[us] Perſarũ regnũ humeris ſublatũ impoſuit) at magnũ iam aſſumptũ imperiũ veluti cõtento corpore ferre verſareq; ſine magno negotio, nec oneri ſuccumbentẽ cõtundi cõtorquerive põdere moléque rerũ, viri id eſt profectò virtute & ſolertia celſiſq; animis præ- C diti. Quæ quidẽ omnia in Alexãdro fuerunt: cui etiã, ſi diis placet, temulentiã nõnulli obiiciunt. Fuit enim in rebus gerẽdis cùm magnus in primis, tum verò ſobrius & vigilans, nõ temulẽtus, nõ imperij licẽtia bacchabundus: cuius qui minimã partẽ nacti ſunt, tẽperare ſibi nequiuerũt. Leuiſſimus enim quiſq; quũ aut re numaria antecelluerit alios, aut in ciuiles quoquo modo honores incurrerit, inopinata ſtatim felicitate laſciuire ſolet. Ecce tibi Clitus, ad Amorgũ tribus aut ad ſummũ quatuor depreſſis Græcorũ nauibus, vo- D citari ſe Neptunũ paſſus, tridentẽmq; geſtãs. Parte alia Demetrius (cui quotã ipſi partem fortuna ex Alexãdri opibus, duob[us], vt dicitur, digitulis primorib[us] carpẽs, attribuerat?) Iouẽ ſe vocari æquis ſuſtinuit aurib[us]: nec iam ad eũ legati mittebãtur ab vrbibus, ſed theori, *id eſt oracula ſciſcitaturi*: reſponſáq; eius oracula dicebãtur. Iam verò Lyſimachus, qui loca ad Thraciã vergẽtia quaſi regni extrema obtinebat, eouſq; inſolẽtiæ ferociæq; euaſit, vt diceret, Nunc demũ Byzãtij ad me veniũt « E quũ lancea cælũ attigi. Ibi Paſiades Byzan- « tius, qui tum forte aderat, Approperemus, « inquit, ne lanceæ iſte mucronẽ mediũ cælum « pertundat. Tametſi quid in iſtis magnopere « reprehẽdi poteſt, quib[us] licebat ipſis propter Alexandrũ animi eſſe elatiſſimos? quum iam Clearchus Heracleæ tyrannus geſtauerit fulmẽ, vnũmque liberorum Tonitrum appellitarit. Quid quòd Dionyſius Apollinis ſe filium nomĩnauit? in epigrammate ſcribens,

Doride de nympha Phœbi complexibus ortus.

F Quid quod pater eius mille, atque adeò decem millibus ciuiũ interfectis, prodito per inuidiã hoſtibus fratre, matre quoque anicula, nõ expectato vt paucis è vita dieb[us] cederet, truculẽtè præfocata, ad hæc in tragœdia ſcribens, *Etenim tyrannus eſt genitrix iniuriæ*: filiarum tamẽ vnã, Virtutẽ, Temperantiã alterã, & aliam Iuſtitiam nominauit? Sunt qui ſeſe Euergetas vocitarint, *id eſt beneficos*: ſunt qui Callinicos, *id eſt egregiè uictores*: nõnulli Soteras, *id eſt ſeruatores*: quidã Megalos, *id eſt magnos*: atq; eorũ nuptias alias ſuper alias ad miſſariorum more inter mulierũ greges propalã pernoctantiũ, puerorũmq; ſtupra, quis eſt qui ſcribẽdo aſſequi poſſit? ad hęc aleam interdiu, cantus in theatris, noctem cœnas, diémque prandia deficientem? Contrà verò

Alexander prãdio quũ primùm diluculaſſet, accũbebat, cœnæ verò iam appetẽte nocte. Bibebat inter ſacrificandũ, alea ludebat cum Medio febricitãs. Ludebat iter faciẽs, ſimul & ſagittare diſcens, & è curru deſilire. Roxanes amore captus, eam vnã vxorẽ ſoli ſibi duxit: Darij verò Statirã, imperio rebúſq; ita expoſcẽtibus. erat enim operæpretiũ hoc pacto genera inter ſe vinciri. Cæteras omnes Perſides tãto modeſtia præſtitit, quãto fortitudine Perſas. Inuitã nullã vidit: quas vidit autẽ, magis etiã aſpernatus eſt quàm quas nõ vidit. Miréq; quũ cæteris omnibus blandus eſſet, ſolis venuſtis ſuperbũ ſe præbebat. nam de Darij vxore, eleganti in primis forma, nullum vnquam verbũ cõmendandæ eius venuſtate emiſit: defunctæ verò regiè vſqueadeo iuſta fecit, miſericorditérq; fleuit, vt fidẽ eius integritas nõ faceret, præ tanta humanitate, ſummáq; probitas iniuriæ arceſſeretur. Siquidem Darius primùm admodũ cõmotus eſt potentiæ eius ætatiſque licentia: (erat enim tum eorũ vnus qui rerũ potiri Alexandrum fortunæ beneficio rebãtur) ſimulac autẽ accuratè omnia perſcrutatus, id quod erat cõperit, » Non vſqueadeo igitur, inquit, res Perſarum cõploratæ ſunt, hec prorſus ignauos » nos imbelléſq; dixerit qui ab huiuſmodi ho» ſte ſuperatos audierit. Equidẽ quod ad me » attinet, proſperũ rerum euentũ, in ſummám» que belli victoriã à diis opto, vt beneficẽtia » quoque Alexandrũ ſuperẽ. ambitioſa enim » quædã me cepit æmulatio, clementiorẽ eo » videri. Sin de me actũ eſt, Iupiter auite Per» ſarum, vóſque dii regij, oro obteſtórq;, null⁹ » in Cyri ſolio præter vnũ Alexandrũ ſedeat. Ita adſciſcebatur Alexãder teſtib⁹ ipſis diis. Vſqueadeo omnia virtus vincit. Adſcribe, ſi placet, Arbela fortunæ, & Ciliciã, & cætera impotentis manus bellique opera. Fortuna ſanè Tyron ipſi exciderit, fortuna Aegyptũ ei aperuerit, per fortunã Halicarnaſſus ceciderit, & Miletus capta ſit: fac fortunæ beneficio Euphratẽ deſeruiſſe, Mazæum Babyloniámq; planitiẽ cæſorum corporibus ſtratã: num etiam à fortuna tẽperans, aut beneuolente fortuna cõtinens fuit? Aut num fortuna præſidio quodã munitũ animũ eius ſecurum præſtare potuit vt nec à voluptatib⁹ lãcinaretur, neu libidinibus ſauciaretur? Atqui hæc & huiuſmodi erãt quibus Dariũ vicit: cætera armorũ equorúmq; ſtrages erãt, prælia, cædes, fugæq; hominũ. Ingẽti verò & haud dubiè decretoria clade victus eſt Dari⁹, quũ Alexandrũ voluptatibus, laboribus, beneficiis inuictũ admiratus, virtuti eius, animi magnitudini, fortitudini, iuſtitiæq; veluti faſces ſummiſit. Enimuero peltis, ſariſſis, in bellico impetu, in cõſerenda manu, in armorũ dimicatione inuicti erãt, Tarrias Dinomenis, Antigenes Pellenæus, Philotas Parmenionis: at aduerſus libidines, mulieres, aurũ & argẽtũ, nihilo meliores bello captis. Nam Tarrias quidẽ, quo tẽpore Alexãder Macedonas obæratos liberauit, fœneratorib⁹ ære alieno ꝓ omnib⁹ diſſoluto, allegato ex cõpoſito creditore falſo ꝓfeſſus ſe debere, fraudiſq; tãdẽ cõpertus, ſeſe propè ꝑdidit, niſi Alexãder re cognita hoc eũ crimine liberaſſet, ſimul etiã ꝓmiſſo vt argentũ auferret: vtique poſtquã recordatus eſt, Philippo quondã ad Perinthũ pugnãte, ſagitta in oculo ictum, nõ antè ꝙ hoſtes fuſos fugatóſq; cerneret, eximendũ telum præbuiſſe. Antigenes verò

A ἀλλ᾽ Ἀλέξανδρος ἠρίστα μὲν ὄρθρου καθεζόμενος, ἐδείπνει δὲ πρὸς ἑσπέραν βαθεῖαν· ἔπινε δὲ θύσας τοῖς θεοῖς, ἐκύβευε δὲ πρὸς Μήδιον, πυρέττων· ἔπαιζε δὲ ὁδοιπορῶν, ἅμα καὶ μανθάνων τοξεύειν καὶ ἀποβαίνειν ἅρματος. ἔγημε δὲ Ῥωξάνην ἑαυτῷ μόνον ἐρασθείς· τὴν δὲ Δαρείου Στάτειραν, τῇ βασιλείᾳ καὶ τοῖς πράγμασι (συνέφερε γὰρ ἡ τῶν γενῶν ἀνάμιξις)· τῶν δὲ ἄλλων Περσίδων ἐκράτησε τοσοῦτον σωφροσύνῃ, ὅσον ἀνδρείᾳ Περσῶν· ἀκούσας μὲν γὰρ οὐδεμίαν εἶδεν· ἃς δὲ εἶδε, μᾶλλον ἢ ἃς οὐκ εἶδε, παρῆλθε. καὶ πᾶσιν ὢν τοῖς ἄλλοις φιλάνθρωπος, μόνοις ὑπερηφάνως τοῖς καλοῖς ἐχρῆτο.
B περὶ δὲ τῆς Δαρείου γυναικὸς, εὐπρεπεστάτης γενομένης, οὐδὲ φωνὴν ἐπαινοῦσαν τὸ κάλλος ἤκουσεν· ἀποθανοῦσαν δὲ, οὕτω βασιλικῶς ἐκόσμησε καὶ συμπαθῶς ἐδάκρυσεν, ὥστε ἄπιστον αὐτοῦ τὸ σῶφρον ἐν τῷ φιλανθρώπῳ γενέσθαι, καὶ λαβεῖν ἀδικίας ἔγκλημα τὴν χρηστότητα. Δαρεῖος γὰρ οὕτως ἐκινήθη πρὸς τὴν ἐξουσίαν αὐτοῦ καὶ τὴν ἡλικίαν· (εἷς γὰρ ἦν καὶ αὐτὸς ἔτι τῶν νομιζόντων διὰ τύχην κρατεῖν Ἀλέξανδρον) ἐπεὶ δὲ τὸ ἀληθὲς ἔγνω, βασανίσας πανταχόθεν, Οὐ πάντα (εἶπεν) ἄρα φαύλως ἔχει τὰ Περσῶν, οὐδέ τις ἐρεῖ παντάπασι κακοὺς ἡμᾶς
C οὐδὲ ἀνάνδρους, ὑπὸ τοιούτου κρατηθέντας. ἐγὼ δὲ εὐτυχίαν μὲν εὔχομαι, καὶ κράτος πολέμου παρὰ θεῶν, ἵνα εὖ ποιῶν Ἀλέξανδρον ὑπερβάλωμαι· καί με τις ἔχει φιλοτιμία καὶ ζῆλος ἡμερώτερον αὐτοῦ φανῆναι· εἰ δὲ οἴχεται τὰ ἐμὰ, Ζεῦ πάτριε Περσῶν καὶ βασίλειοι θεοὶ, μηδεὶς εἰς τὸν Κύρου θρόνον ἄλλος ἢ Ἀλέξανδρος καθίσειε. οὕτω εἰσποίησις ἦν Ἀλεξάνδρου διὰ θεῶν μαρτύρων· οὕτω νικῶσιν ἀρετῇ. πρόσγραψον (εἰ βούλει) τῇ τύχῃ τὰ Ἄρβηλα, καὶ τὴν Κιλικίαν· καὶ τἄλλα ἃ γέ
D γονε βίας ἔργα καὶ πολέμου. τύχη τὴν Τύρον ἔσεισεν αὐτῷ, καὶ τύχη τὴν Αἴγυπτον ἀνέῳξε· διὰ τύχην Ἁλικαρνασσὸς ἔπεσε, καὶ Μίλητος ἑάλω, καὶ Μαζαῖος Εὐφράτην ἔρημον ἀπέλιπε, καὶ νεκρῶν τὸ Βαβυλώνιον ἐπλήσθη πεδίον· ἀλλ᾽ οὔτι γε σώφρων ἀπὸ τύχης, οὔτε ἐγκρατὴς διὰ τύχην, οὔτι ἀνάλωτον ὑφ᾽ ἡδονῆς ἡ τύχη καὶ ἄτρωτον ἐπιθυμίαις κατακλείσασα τὴν ψυχὴν ἐφρούρει. καὶ μὴν ταῦτα ἦν οἷς αὐτὸν ἐξέψατο Δαρεῖον· τἄλλα δὲ, ὅπλων ἦσαν ἧτται καὶ ἵππων, καὶ μάχαι καὶ φόνοι, καὶ φυγαὶ ἀνδρῶν. τὴν δὲ μεγάλην καὶ ἀναντίρρητον ἧτταν ἡττήθη Δαρεῖος, καὶ ἐνέκλινεν ἀρετῇ καὶ μεγα-
E λοφροσύνῃ καὶ ἀνδρίᾳ καὶ δικαιοσύνῃ, θαυμάσας τὸ ἐν ἡδονῇ καὶ πόνοις καὶ χάρισιν ἀνίκητον. ἐπεὶ ἔν γε πέλταις καὶ σαρίσαις, καὶ ἀλαλαγμοῖς, καὶ συρράξεσιν ὅπλων, ἀνίκητος ἦν καὶ Ταρρίας ὁ Δεινομένους, καὶ Ἀντιγένης ὁ Πελληναῖος, καὶ Φιλώτας ὁ Παρμενίωνος, ἀλλὰ πρὸς ἡδονὰς καὶ γύναια καὶ χρυσίον καὶ ἀργύριον, οὐθέν τι βελτίους τῶν αἰχμαλώτων· ἀλλὰ Ταρρίας μὲν, ὅτε τῶν χρεῶν ἠλευθέρου Μακεδόνας Ἀλέξανδρος, καὶ διελύετο τοῖς δανείσασιν ὑπὲρ πάν-
F των, ψευσάμενος ὀφείλειν, καὶ δανειστήν τινα φάσκοντα εἶναι τῇ τραπέζῃ προσαγαγὼν, εἶτα φωραθεὶς, ὀλίγου διέφθειρεν αὐτὸς ἑαυτόν· εἰ μὴ γνοὺς Ἀλέξανδρος ἀφῆκε τῆς αἰτίας αὐτὸν, καὶ συνεχώρησεν ἔχειν τὸ ἀργύριον, ἀναμνησθεὶς ὅτι Φιλίππου προσμαχομένου Περίνθῳ, βέλει πληγεὶς εἰς τὸν ὀφθαλμὸν, οὐ παρέσχεν, οὐδ᾽ ὑπέμεινεν ἐξαιρεθῆναι τὸ βέλος αὐτοῦ πρὶν ἢ τρέψασθαι τοὺς πολεμίους. Ἀντιγένης δὲ τις

ἀποπεμφθεῖσιν εἰς Μακεδονίαν διὰ νόσον καὶ πήρω- A
σιν ἀναμίξας ἑαυτόν, καὶ ἀπογραψάμενος, ὡς ἐλήφθη
μηδὲν κακὸν ἔχων, ἀλλὰ προσποιούμενος ἀρρωστίαν τι-
νά, ἀνὴρ πολεμικὸς καὶ τραυμάτων τὸ σῶμα μεστὸν ὀ-
φθείς, ἐλύπησε τὸν Ἀλέξανδρον. πυνθανομένου δὲ τὴν
αἰτίαν, ὡμολόγησε Τελεσίππης ἐρᾶν, καὶ συνακολου-
θεῖν ἐπὶ θάλασσαν ἀπιούσῃ μὴ δυνάμενος ἀπολει-
φθῆναι. Καὶ τίνος, ἔφη, τὸ γύναιόν ἐστιν, ὁ Ἀλέξαν-
δρος, καὶ πρὸς τίνα δεῖ διαλέγεσθαι; τοῦ δὲ Ἀντιγένους εἰ-
πόντος ὡς ἐλευθέρα ἐστίν, Οὐκοῦν (εἶπε) πείθωμεν
αὐτὴν καταμένειν, ἐπαγγελλόμενοι καὶ διδόντες. οὕτω B
παντὶ μᾶλλον ἐρῶντι συγγνώμην εἶχεν ἢ ἑαυτῷ. καὶ μὴν
Φιλώτας ὁ Παρμενίωνος τρόπον τινὰ τῶν κακῶν ἔσχε τῆς
ἀκρασίας. Ἀντιγόνα γὰρ ἦν Πελλαῖον γύναιον ἐν τοῖς
περὶ Δαμασκὸν αἰχμαλώτοις· ἡλώκει δὲ ὑπὸ Αὐτο-
φραδάτου πρότερον εἰς Σαμοθρᾴκην διαπλεύσα-
σα. τὴν δὲ ὄψιν ἦν ἱκανή, καὶ τοῦ Φιλώτου ἁψάμενον αὐ-
τῆς, εἶχε μάλα· καὶ δὴ ὁ σιδήρεος ἔκ τινος πεπαινόμε-
νος, οὐκ ἐκράτει τῶν λογισμῶν ἐν ταῖς ἡδοναῖς, ἀλλ' ἀ-
νοιγόμενος ἐξέφερε πολλὰ τῶν ἀπορρήτων πρὸς αὐτήν.
Τί γὰρ ἦν ἐκεῖνος ὁ Φίλιππος, εἰ μὴ Παρμενίων; τί δὲ C
Ἀλέξανδρος οὗτος, εἰ μὴ Φιλώτας; ποῦ δὲ ὁ Ἄμμων, ποῦ
δὲ οἱ δράκοντες, ἂν ἡμεῖς μὴ θέλωμεν; τούτους τοὺς
λόγους ἡ Ἀντιγόνα ἐξήνεγκε πρός τινα τῶν συνήθων
γυναικῶν, ἐκείνη δὲ πρὸς Κρατερόν· Κρατερὸς δὲ
πρὸς Ἀλέξανδρον αὐτὴν εἰσήγαγε τὴν Ἀντιγόναν κρύ-
φα· καὶ τοῦ μὲν σώματος οὐκ ἔθιγεν, ἀλλ' ἀπέσχετο·
τὸν δὲ Φιλώταν ὑποικουρῶν δι' αὐτῆς ὅλον ἐφώρα-
σε, καὶ πλέον ἢ ἑπτὰ ἐτῶν διαγινομένων, οὐκ ἐν οἴνῳ
ποτὲ τὴν ὑπόνοιαν ταύτην ἐξέφηνεν ὁ μεθύων, οὐ δι'
ὀργὴν ὁ θυμοειδής, οὐ πρὸς φίλον ὁ πάντα πιστεύων D
Ἡφαιστίωνι, καὶ πάντων μεταδιδούς. λέγεται γὰρ ὅτι καὶ
τῆς μητρὸς ἀπόρρητον ἐπιστολὴν λύσαντος αὐτοῦ, καὶ
σιωπῇ πρὸς ἑαυτὸν ἀναγινώσκοντος, Ἡφαιστίων ἀτρέ-
μα παραβάλλων τὴν κεφαλὴν συναναγίνωσκεν· ὁ
δὲ κωλῦσαι μὲν οὐχ ὑπέμεινεν, ἐξελὼν δὲ τὸν δακτύ-
λιον, προσέθηκε τὴν σφραγῖδα τῷ στόματι τοῦ Ἡφαι-
στίωνος. ἀλλὰ ταῦτα μὲν ἄν τις ἀπείποι λέγων οἷς
ἀποδείκνυται κάλλιστα καὶ βασιλικώτατα τὴν ἐξουσίαν
διαθέμενος. καὶ γὰρ εἰ διὰ τύχην μέγας γέγονε,
μείζων ἐστὶν ὅτι τῇ τύχῃ καλῶς κέχρηται· καὶ ὅσῳ E
τις ἂν μᾶλλον αὐτοῦ τὴν τύχην ἐπαινεῖ, τοσούτῳ μᾶλ-
λον αὔξει τὴν ἀρετήν, δι' ἣν ἄξιος τῆς τύχης ἐγένετο.
οὐ μὴν ἀλλ' ἤδη πρὸς τὰ πρῶτα τῆς αὐξήσεως αὐ-
τοῦ καὶ τὰς ἀρχὰς τῆς δυνάμεως βαδίζω, καὶ σκο-
πῶ τί τὸ τῆς τύχης ἔργον ἐν ἐκείνοις γέγονε, δι' ὅ φα-
σιν Ἀλέξανδρον ὑπὸ τῆς τύχης μέγαν γεγονέναι. πῶς
γὰρ οὐχὶ τὸν ἄτρωτον, ὦ Ζεῦ, τὸν ἀναίμακτον, τὸν ἀστρά-
τευτον; ὃν χρεμετίσας ἵππος εἰς τὸν Κύρου θρόνον ἐ-
κάθισεν, ὡς Δαρεῖον τὸν Ὑστάσπου πρότερον; ἢ κολα-
κευθεὶς ἀνὴρ ὑπὸ τῆς γυναικός, ὡς Ξέρξην Δα- F
ρεῖος ὑπὸ Ἀτόσσης; ἐπὶ θύρας αὐτοῦ τὸ διάδημα τῆς
βασιλείας ἦλθεν, ὡς Παρύσατις διὰ Βαγώαν; καὶ
στολὴν ἐκδυσάμενος ἀστάνδου, περιέθετο τὴν βασιλι-
κὴν καὶ ὀρθοπαγῆ κίταριν, ἐξαίφνης καὶ ἀπροσδοκή-
τως κλήρῳ λαχὼν τῆς οἰκουμένης ἐβασίλευσεν, ὡς
Ἀθήνησι κληρωθέντες θεσμοθετοῦσι καὶ ἄρχουσι; βούλει μα-
θεῖν πῶς βασιλεύουσιν ἄνθρωποι διὰ τύχην; ἐξέλιπεν

inter cauſarios qui in Macedoniam remittebantur, fallere ſperans, quũ in turba profiteretur, manifeſtus ſimulatæ valetudinis fuit, integris ipſe viribus, vir cùm bello ſtrenuus, tum corpore cicatricibus obſito. Quam ob cauſam ſtomachante Alexandro, cauſamque percõtante, Teleſippes ſe amore deperire faſſus eſt: à qua quum diuelli perpeti nõ potuiſſet, abeuntem ad mare proſequi conſtituiſſe. Rurſus cuius eſſet muliercula Alexandro rogitante, & quicum de ea agendũ eſſet: quum ille ingenuã eſſe dixiſſet, Quin igitur, inquit, donis illam & promiſſis vt reſiſtat perpellimus? Vſqueadeo nulli nõ amãti indulgẽtior quàm ſibi ipſe fuit. Iam verò Philotas, Parmenionis filius, neſcio quomodo & ipſe incõtinentia lapſus eſt. Antigona, in captiuorum turba ad Damaſcũ captorũ, Pellæa quędam muliercula erat ſpecie cõmendabilis, eadẽ olim ab Autophradate capta quum in Samothraciã nauigaret. Huius amore vecors Philotas, vir alioqui ferreus, ita tum mollis fluxúſq; fuit, vt præ voluptate cõpos mentis non eſſet, atque adeò incautus ſilenda pleraque mulierculæ effutiret. Quid enim, inquit, Philippus ille, niſi Parmenio? quid hic Alexãder, niſi Philotas? vbi porro Ammon, vbi dracones, ſi nolimus ipſi? Huiuſmodi mulier ſermones ad quandã familiarium detulit, illa rurſus ad Craterum, ſubindéq; Craterus Antigonam clam captiuam ad Alexandrum admiſit, qui Philotæ quidem manum neutiquã adiecit, opera verò mulierculæ totum eum clàm excuſſit, plúſque ſeptẽ annis nuſquam ſuſpicionem prodidit, non in vino temulentus, non ob iram iracundus, deniq; non ad amicum, qui nihil non credere Hephæſtioni ſolitus eſſet, nullorúmque non cõſiliorum conſcium eum facere. Quippe ferunt olim matris eum epiſtolam reſignantẽ, lectitantémque ſecum muſſitabundè, quum admoto ſenſim capite Hephæſtion adlegeret, inhibere eum non ſuſtinuiſſe: exempto verò è digito anulo, ſignaculum ori eius appreſſiſſe. Vocem certè obtuderim ſi omnia percenſeam quibus ipſe optimè imperium adminiſtraſſe, maximéque è dignitate regia probatur. Vt enim magnus propter fortunã fuerit, maior certè vel ob idipſum quòd fortuna rectè vſus eſt: quóque magis fortunam eius extuleris, virtutem eo magis cõmendaris, nempe propter quã dignus fortuna fuit. Age iam incrementicius primordia, imperiique auſpicatũ repetamus, videamúſq; quod tandem in ipſis fortunæ facinus fuerit: propter quod Alexandrũ fortunæ beneficio magnum euaſiſſe cõtendant. Prò dij immortales, quin igitur eum integrum, incruentum, ſarctum, vt dicitur, & tectum, nullis denique copiis, adhinniens modò equus in Cyri ſolium erexit, vt Darium olim Hyſtaſpæ filium? aut quin id ei mulier eblãdiebatur à viro, vt Atoſſa quondam Xerxi à Dario eblandita eſt, ita vt ad veſtibulũ ei diadema accederet vltro? Aut vt Paryſatis Diabagæ, qui poſito habitu tabellarij regiã arrectámq; citarim ſumpſit? Huic enim repentè necopinatũ orbis ſorte imperiũ obtigit, haud ſecus atque Athenis Theſmothetæ & Archontes ſortitò creari ſolent. Vis igitur doceam quónam pacto homines propter fortunam imperant? Deficiente olim

A Argiuis Heraclidarũ familia, ex qua regẽ cre-
ari mos illis antiquus erat, ſciſcitantibuſque
illis Deus reſpõdit, aquilã oſtenſurã: paucíſ-
que dieb⁹ aquila ſupernè deuolãs ſuper AE-
gonis domo ſedit. ſic rex creatus eſt AEgon.
Rurſus in Papho, rege ob flagitia ab Alexan-
dro eiecto, quũ rex alter nõ reperiretur, quòd
Cinyradarum gens funditus deleta exiſtima-
retur, vnũ tandem tradunt iuuẽtũ inopem,
vltimíq; nominis hominẽ in hortulo quodã
neglectũ, víxque ſe ex eo tolerantẽ. Ad hunc
qui miſſi erant quũ veniſſent, aquam elicibus
B deducentẽ offenderunt. Terrore verò percul
ſus eſt, militibus manũ in eum iniicientibus,
præireq; porrò iubentibus, quoad ad Alexã-
drũ deductus, obſoleta plagula amictus, rex
eſt pronuntiatus, aſſumptáq; purpura vnus
eorũ eſſe cœpit qui regis ſodales vocitaban-
tur. Erat tum ei nomen Alynomo. Sic reges
efficiunt fortunæ beneficia, ad noua honorũ
inſignia promouẽtia nec opinãtes, celeritér-
que tranſcribentia nihil minus q̃ id ſperãtes.
Alexãdro verò quid ſupra dignationẽ? quid
C citra ſudorẽ? quid incruenta victoria? quid
citra pulueris, vt dicitur, tactum? poſtremò
quid inelaboratũ obtigit? Amnes ſanguine
mixtos bibebat, quos cæſorũ corporibus iũ-
ctos traiiciebat: herbã fame enectus edebat,
quam primã offendiſſet: obrutas altis niui-
bus gentes adiit: vrbes ſub terrã merſas excî-
dit: pugnãtia maria nauigauit, arida Gedro-
ſiorum Arachoſiorúmq; littora permenſus:
in mari prius etiã quàm in terra ſtirpes vidit.
Quòd ſi vt hominẽ, ita fortunã affari liceat,
ita ſanè dixerim, Nunc vbi tu, aut ecquando
D Alexandri rebus geſtis aditum præbuiſti? ec-
quod tandẽ ſaxum incruento per te marte
cepit? ecquã ei vrbem præſidio vacuam ob-
iecisti? ecquã inermem phalangẽ? ecquis aut
rex ignauus, aut imperator ſocors, aut dormi-
tabundus cuſtos inuẽntus? ecquis amnis fa-
cilè cõmeabilis? ecqua mediocris hyems? ec-
qua æſtas nõ infeſta? Apageſis hinc fortuna,
faceſſe ad Antiochũ Seleuci, faceſſe ad Arta
xerxem Cyri fratrẽ, proripe te ad Ptolemæũ
Philadelphũ. illos enim ſuperſtites etiam pa
tres, reges appellitarunt, prœliis illi vincebãt
E illamentabilibus: feſtos illi dies per pompas
& ſpectacula ad extremũ vitę agebant, deni-
que illorum quiſque per ſummã felicitatẽ in
regno cõſenuit. En tibi Alexandri corpus, ſi
nihil aliud, certè ab imis vnguibus ad verti-
cem ſauciũ, acciſum, cõtuſum, ab hoſtib⁹ de-
nique cæſum & iaculo & gladio & torti li-
bramine ſaxi. Propter amnẽ Granicum enſe
diſſecta galea capillo tenus. Ad Gazã ſagitta
humero ſaucius. In Maracãdis ſagittæ ictu ſu-
ra, ita vt à tibiæ radio fractũ os diſſiliret. In
Hyrcania oblæſo lapide collo, quo ictu te-
F nebris ob oculos offuſis ad dies multos cæ-
citatẽ timuit. Propter Aſſacanos talo Indi-
co telo icto, quo tẽpore ad aſſentatores re-
» nidẽs dixiſſe fertur, Hic quidẽ ſanguis meus,
» non ſanioſum quid, quale ex deorum vulne-
» ribus effluere creditur. Ad Iſſum enſe femo-
re traiecto à Dario, vt Chares inquit, manus
cum eo conſerente. Ipſe verò Alexander
magna cum fide ad Antipatrum ſcribens,
Contigit, inquit, mihi pugione ſauciari in femur adacto, ſed vnde nulla pnicies aut illico aut poſt-

A Ἀργείοις ποτὲ τοῦ Ἡρακλειδῶν γένους, ἐξ οὗ βασιλεύεσθαι
πάτριον ἦν αὐτοῖς. ζητοῦσι δὲ καὶ διαπυνθανομένοις ὁ
θεὸς ἔχρησεν, ἀετὸν δείξειν· καὶ μεθ' ἡμέρας ὀλίγας
ἀετὸς ὑπερφανεὶς καὶ καταίρας ἐπὶ τὴν Αἴγωνος οἰκίαν
ἐκάθισε, καὶ βασιλεὺς ᾑρέθη Αἴγων. πάλιν ἐν Πάφῳ
τοῦ βασιλεύοντος ἀδίκου καὶ πονηροῦ φανέντος, ἐκβα-
λὼν τοῦτον Ἀλέξανδρος, ἕτερον ἐζήτει, τοῦ Κινυραδῶν γένους
ἤδη φθίνειν καὶ ἀπολείπειν δοκοῦντος. ἕνα δ' οὖν ἔ-
φασαν περιεῖναι πένητα καὶ ἄδοξον ἄνθρωπον ἐν κή-
πῳ τινὶ παρημελημένως διαφερόμενον. ἐπὶ τοῦτον
B οἱ πεμφθέντες ἧκον, εὑρέθη δὲ πρασιαῖς ὕδωρ ἐπαν-
τλῶν. καὶ διεταράχθη τῶν στρατιωτῶν ἐπιλαμβανομέ-
νων αὐτοῦ, καὶ βαδίζειν κελευόντων· ἀχθεὶς δὲ πρὸς Ἀ-
λέξανδρον ἐν εὐτελεῖ σινδονίσκῃ, βασιλεὺς ἀνηγορεύ-
θη, καὶ πορφύραν ἔλαβε, καὶ εἷς ἦν τῶν ἑταίρων προσαγο-
ρευομένων. ἐκαλεῖτο δὲ ἄρα Ἀλυνόμος. οὕτως αἱ τύ-
χαι ποιοῦσι βασιλεῖς, μεταμφιέζουσι, μεταγράφου-
σι ταχὺ ῥᾳδίως, μὴ προσδεχομένους μηδὲ ἐλπίζον-
τας. Ἀλεξάνδρῳ δὲ τί παρ' ἀξίαν; τί ἀνιδρωτί; τί ἀναι-
μωτί; τί προῖκα; τί μὴ πονήσαντι τῶν μεγάλων; αἵματι
C κεκραμένους ποταμοὺς ἔπιε, καὶ νεκροῖς γεγεφυρωμέ-
νους διέβη· καὶ πόαν ἔφαγε διὰ λιμόν, ἣν πρῶτον εἶ-
δε, καὶ βάθεσι χιόνων κατακεχωσμένα ἔθνη, καὶ πόλεις
ὑπὸ γῆν ἐνδεδυκυίας διώρυξε, καὶ θάλατταν μαχο-
μένην ἔπλευσε, καὶ θῖνας ἀνύδρους τὰς Γεδρουσίων καὶ
Ἀραχωσίων ὁδεύων, ἐν θαλάσσῃ πρότερον ἢ ἐν γῇ
φυτὸν εἶδεν. εἰ γὰρ ἦν ὡς πρὸς ἄνθρωπον ἀγαγεῖν
παρρησίαν ὑπὲρ Ἀλεξάνδρου πρὸς τὴν τύχην, οὐκ
ἂν εἴποι, Ποῦ σὺ καὶ πότε ταῖς Ἀλεξάνδρου πράξεσιν
ὁδὸν ἔδωκας; ποίαν πέτραν ἀναιμωτὶ διὰ σὲ εἷλε;
D ποίαν πόλιν ἀφρούρητον αὐτῷ παρέδωκας; ἢ ποίαν
ἄοπλον φάλαγγα; τίς εὑρέθη βασιλεὺς ῥᾴθυμος,
ἢ στρατηγὸς ἀμελής, ἢ κοιμώμενος πυλωρός; ἀλλ' οὐ-
δὲ εὔβατος ποταμός, οὐδὲ χειμὼν μέτριος, οὐδὲ θέρος
ἄλυπον. ἄπιθι πρὸς Ἀντίοχον τὸν Σελεύκου, πρὸς
Ἀρταξέρξην τὸν Κύρου ἀδελφόν· ἄπελθε πρὸς
Πτολεμαῖον τὸν Φιλάδελφον. ἐκείνους ζῶντες οἱ πα-
τέρες βασιλεῖς ἀνηγόρευσαν, ἐκεῖνοι μάχας ἀδακρύ-
τους ἐνίκων, ἐκεῖνοι πανηγυρίζοντες ἐν πομπαῖς καὶ
θεάτροις διετέλεσαν, ἐκείνων ἕκαστος δι' εὐτυχίαν βα-
σιλεύων ἐγήρασεν. Ἀλεξάνδρου δὲ εἰ μηδὲν ἄλλο, τὸ
E σῶμα ἰδοὺ κατατετρωμένον ἐξ ἄκρας κεφαλῆς,
ἄχρι ποδῶν διακέκοπται, καὶ περιτέθλασται τυπτό-
μενον ὑπὸ τῶν πολεμίων, ἔγχει τ' ἄορί τε μεγάλοι-
σί τε χερμαδίοισι. ἐπὶ Γρανίκου ξίφει διακοπεὶς
τὸ κράνος ἄχρι τῶν τριχῶν, ἐν Γάζῃ βέλει πληγεὶς τὸν ὦ-
μον, ἐν Μαλλοῖς τοξεύματι τὴν κνήμην, ὥστε τῆς κερ-
κίδος τὸ ὀστέον ἀποκλασθὲν ὑπὸ τῆς πληγῆς ἐξα-
λέσθαι· περὶ τὴν Ὑρκανίαν λίθῳ τὸν τράχηλον, ἐξ οὗ καὶ
τὰς ὄψεις ἀμαυρωθεὶς, ἐφ' ἡμέρας πολλὰς ἐν φό-
βῳ πηρώσεως ἐγένετο· πρὸς Ἀσσακάνοις Ἰνδικῷ βέ-
F λει τὸ σφυρόν, ὅτε καὶ πρὸς τοὺς κόλακας εἶπεν ἐπι-
μειδιάσας, Τουτὶ μὲν αἷμα, οὐκ ἰχώρ, οἷός πέρ τε ῥέει
μακάρεσσι θεοῖσι. ἐν Ἰσσῷ ξίφει τὸν μηρόν, ὡς Χά-
ρης φησίν, ὑπὸ Δαρείου τοῦ βασιλέως εἰς χεῖρας αὐτῷ
συνδραμόντος. αὐτὸς δὲ Ἀλέξανδρος ἁπλῶς γράφων
καὶ μετὰ πάσης ἀληθείας πρὸς Ἀντίπατρον, Συνέβη δέ
μοι (φησὶ) καὶ αὐτῷ ἐγχειριδίῳ πληγῆναι εἰς τὸν μηρόν·
ἀλλ' οὐδὲν ἄτοπον οὔτε παραχρῆμα οὔτε ὕστερον ἐκ

τῆς πληγῆς ἀπήντησεν. ἐν Μαλλοῖς τοξεύματι διπή- A
χει διὰ τοῦ θώρακος εἰς τὸ στῆθος ὑπελάσας, ἔλαβε κατὰ
τοῦ αὐχένος, ὡς Ἀριστόβουλος ἱστόρηκε. διαβὰς δὲ τὸν
Τάναϊν ἐπὶ τοὺς Σκύθας, καὶ τρεψάμενος, ἐδίωξεν ἵπ-
πῳ πεντήκοντα καὶ ἑκατὸν σταδίους, ὑπὸ διαῤῥοίας
ἐνοχλούμενος. εἶγε ὦ τύχη τὸν Ἀλέξανδρον αὔξεις
καὶ μέγαν ποιεῖς, διορύττουσα πανταχόθεν, ὑπερείδου-
σα, πᾶν μέρος ἀνοίγουσα τοῦ σώματος· οὐχ ὥσπερ ἡ Ἀ-
θηνᾶ περὶ τοῦ Μενελάου τὸ βέλος εἰς τὰ καρτερώτατα τῶν
ὅπλων ὑπάγουσα, θώρακι καὶ μίτρᾳ καὶ ζωστῆρι τῆς πλη
γῆς τὸν τόνον ἀφεῖλε, θιγούσης τοῦ σώματος ὅσον αἵ- B
ματι πρόφασιν ῥυῆναι, ἀλλὰ γυμνὰ παρέχουσα τοῖς
βέλεσι τὰ καίρια, καὶ δι' ὀστέων ἐλαύνουσα τὰς πληγὰς,
καὶ περιέχουσα κύκλῳ τὸ σῶμα, καὶ πολιορκοῦσα τὰς
ὄψεις, τὰς βάσεις ἐμποδίζουσα, τὰς διώξεις, περι-
σπῶσα τὰς νίκας, ἀνατρέπουσα τὰς ἐλπίδας. ἐμοὶ
μὲν οὐδεὶς βαρυτέρᾳ δοκεῖ κεχρῆσθαι τύχῃ τῶν βασι
λέων, καίτοι πολλοῖς ἐνέπεσε σκληρὰ καὶ βάσκανος·
ἀλλ' ὡς σκηπτὸς ἀπέκοψε τοὺς ἄλλους καὶ διέφθειρε,
πρὸς δὲ Ἀλέξανδρον αὐτῆς τὸ δυσμενὲς γέγονε φιλό-
νεικον καὶ δύσερι καὶ δυσεκβίαστον, ὥσπερ πρὸς τὸν Η- C
ρακλέα. ποίους γὰρ Τυφῶνας ἢ πελωρίους γίγαντας
οὐκ ἀνέστησεν ἀνταγωνιστὰς ἐπ' αὐτόν; ἢ τίνας οὐκ
ὠχύρωσε τῶν πολεμίων πλήθεσιν ὅπλων, ἢ βάθεσι πο-
ταμῶν, ἢ τραχύτησι κρημνῶν, ἢ θηρίων ἀλκαῖς ἀλλο-
φύλων; εἰ δὲ μὴ μέγα ἦν τὸ Ἀλεξάνδρου φρόνημα,
μηδὲ ἀπ' ἀρετῆς ὁρμώμενον μεγάλης ἐξανέφερε, καὶ
δὴ διηρείδετο πρὸς τὴν τύχην, οὐκ ἂν ἔκαμε καὶ ἀπη-
γόρευσε παραταττόμενος, ἐξοπλιζόμενος, πολιορ-
κῶν, διώκων, ἀποστάσεσι, μυρίαις ἀποτροπαῖς, σκιρ-
τήσεσιν ἐθνῶν, βασιλέων ἀφηνιασμοῖς, Βάκτρα, Μα- D
ράκανδα, Σογδιανοῖς, ἐν ἔθνεσιν ἀπίστοις καὶ ἐπιβού-
λοις, ὕδραν τέμνων ἀεὶ ἑτέροις πολέμοις ἐπιβλαστάνου-
σαν; ἄτοπόν τι δόξω λέγειν, ἐρῶ δὲ ἀληθές· παρὰ μικρὸν
διὰ τὴν τύχην Ἀλέξανδρος ἀπώλεσε τὸ δοκεῖν Ἄμμω
νος εἶναι. τίς γὰρ ἂν ἐκ θεῶν γεγονὼς, ἐπισφαλεῖς οὕ-
τω καὶ πολυπόνους καὶ τλήμονας ἐξεμόχθησεν ἄθλους,
πλὴν ὁ Διὸς Ἡρακλῆς; ἀλλ' ἐκείνῳ μὲν εἷς ἀνὴρ ὑ-
βριστὴς ἐπέταττε λέοντας αἱρεῖν, καὶ κάπρους διώκειν,
καὶ σοβεῖν ὄρνιθας· (ἵνα μὴ σχολάζῃ τοῖς μείζοσι περιϊ-
ὼν, Ἀνταίους κολάζειν, καὶ Βουσίριδας παύειν μιαιφο- E
νοῦντας) Ἀλεξάνδρῳ δὲ, ἐπέταττε μὲν ἡ ἀρετὴ τὸν βα
σιλικὸν καὶ θεῖον ἄθλον, οὗ τέλος ἦν, οὐ χρυσὸς ὑπὸ μυ-
ρίων καμήλων περικομιζόμενος, οὐδὲ τρυφαὶ Μηδι-
καὶ καὶ τράπεζαι, καὶ γυναῖκες, οὐδὲ Καλυδώνιος οἶνος,
οὐδὲ Ὑρκανικοὶ ἰχθύες· ἀλλ' ἑνὶ κόσμῳ κοσμήσαντα
πάντας ἀνθρώπους, μιᾶς ὑπηκόους ἡγεμονίας, καὶ μιᾶς
ἐθάδας διαίτης καταστῆσαι. οὗτον ἐκ παιδὸς ἔμφυ
τον ἔχων ἔρωτα συνεκτρεφόμενον καὶ συναυξανόμενον, ὡς
ἀφίκοντο πρέσβεις παρὰ τοῦ Περσῶν βασιλέως πρὸς
Φίλιππον, ὁ δὲ οὐκ ἔνδημος ἦν, φιλοφρονούμενος καὶ ξενί F
ζων αὐτοὺς Ἀλέξανδρος, οὐδὲν ἠρώτα παιδικὸν, οἷον
ἄλλοι, περὶ τῆς χρυσῆς ἀναδενδράδος, ἢ τῶν κρεμαστῶν κή
πων, ἢ πῶς ὁ βασιλεὺς κεκόσμηται· ἀλλ' ὅλος ἐν τοῖς
κυριωτάτοις ἦν τῆς ἡγεμονίας, ἰδίᾳ πυνθανόμενος πῶς

ea ſequuta ſit. Apud Mallos tripedanea ſagitta ictus, ſpiculo per loricam & pectus ad ceruicē pertingente, vt autor eſt Ariſtobulus. Traiecto Tanai Scythas in fugam verſos, equo etiā ad centū & quinquaginta ſtadia inſectatus eſt, infeſto alui profluuio remorante. Euge fortuna, quæ Alexandrū magnum facis, nouiſq; ſubinde macte eſſe incrementis iubes, vndique corpus eius lancinans, omnē corporis partē vulneribus pate faciens: non vt Minerua quondam pro Menelao ſtans, tela in firmiſſima quæq; armorum veluti manu dirigēs, obiectiſq;, lorica, faſcia & balteo, tenorē iactus frangēs, ſummum tantùm corpus ſcarificās, eliciendo in ſpeciē cruore: ſed nuda potius telis vitalia prębens, vulnera per media oſſa infligēs, deprehenſo vndiq; corpore, viſum inſuper ingreſſumq; obſidēs, inſequentē interpellans, vincentē diſtringens, ſpes deniq; eius ludificans. Profectò nullus mihi regū infeſtiore fortuna vſus eſſe videtur, etſi in multos ingruit aſpera ac inuidēs. Siquidē quum alios fulminis inſtar abſcidiſſet, & ad internecionem perdidiſſet, aduerſus hūc vnū pertinax & inexpiabile odium ineluctabileq; exercere obſtinauerat, vt aduerſus Herculē antea. Quos enim Typhonas ei prodigioſóſq; gigantas nō allegauit cum ipſo dimicaturos? Quos hoſtes autē aduerſus eum non muniuit armorū apparatu, amniū altitudine, pręcipitiorum ſalebris, inuſitata belluarum feritate? An, niſi celſi eſſent eius animi, maioréque virtute ſubnixi quàm vt fortunæ præſidio fretus eſſe, ex eáque pēdere videretur, poſſet nō de ſtatu deiici? nō tantæ rerū moli ſuccūbere? toties inſtruēda acie, toties armādis copiis, tot obſidēdis vrbibus, tot inſectādis hoſtibus, deniq; toties deſciſcentibus populis, & mox ſuſceptū regē auerſantibus? poſtremò populis cōtempto rectore equorū more laſciuientibus, regibúſq; improbiſſimè ferociētibus, emorſis, vt dicitur, frenis, Bactra, Maracāda, Sogdianos, gentes infidas hydræ inſtar excīdēs, aſſiduè ſoboleſcētis aliis atq; aliis bellis? Dicā aliquid abſurdū fortaſſe, ſed dicā tamē, ídque verum. Non pridē Alexander hac opinione ꝑpter fortunā excidit, vt crederetur Ammonis filius eſſe. Quis enim diis genitus periculoſa æquè & moleſta & operoſa exātlauit certamina, præter Iouis Herculē? tametſi illi quidem vir improbus leones prehēdere, apros inſectari, aues abſterrere imperitabat: videlicet his eū diſtinēs, ne maioribus perluſtrando orbe vacaret, aut vlciſcēdis Antæis, aut Buſiridibus ab hominū cædibus inhibēdis. Alexādro verò virtus diuinū & è dignitate regia certamē imperabat, cuius erat finis nō aurū illud quod mille camelis circūferebatur, nō deliciæ Medicę, aut mēſæ, aut mulieres, nō Calydoniū vinū, aut Hyrcani piſces, ſed vt iiſdē inſtitutis vniuerſos inſtitutos homines, vni quoq; imperio audiētes, vnique viuēdi rationi aſſuetos redderet. Hunc quū à teneris, vt aiunt, vnguiculis inſitum amorē coalitúmq; haberet, venientibus olim à Perſarū rege legatis ad Philippum, (& ierat tum peregrè Philippus) feſtiuè eos Alexander admodúmq; hoſpitaliter excipiens, nihil quicquā puerile ab eis percōtatus eſt, qualia multa ſolēt alii, aut de aureo arbuſto, aut de penſilibus hortis, aut quibus rex vtitur inſignibus: ſed totus in ea verſus quibus imperia cenſeri maximè ſolent, rogitabat quantæ Perſarum co-

piæ, quo in loco rex acie inſtructa dimicaret (quale illud Vlyſſis,

Arma ubi ſunt illi mauortia, & unde caballi?)

quæ viarum compēdia ſurſum verſus à mari tendentibus: ita vt ſtupeſcentes peregrini
» dicerent, Puer hic, rex magnus: noſter verò,
» opulentus. Quum autem mortuo Philippo in animo haberet Helleſpontum traiicere, totúſque in ſpem apparatúmque gerendarum rerū verſus, copias Aſiæ admouere geſtiret, ecce tibi fortuna diſtinere eum auertereque adeò inſiſtit, & retrorſus inhibere, exhibitiſque identidem negotiis moras vndique nectere. Iam primùm finitimis barbarorum ſolicitatis, Illyrica Triballicáque bella commenta eſt: quibus à ſuperioribus bellis ad Scythiam vſque & Iſtrum reuulſus, longè latéque procurrens, omnibus periculis ingentibus dimicationibúſque perdomitis, porro denuo profectus ad tranſitū feſtinabat: quū illa rurſus ei Thebas ob pedes incuſſit, Græciæq; bellum pro offenſaculo obiecit, acerba illi triſtiſſimíque exitus neceſſitate impoſita, cum quibus ei gentibus generis cognationiſque neceſſitudo intercederet, eas cæde, ferro, ignéque propulſandi. Inde iam tranſiit, vt Philarchus autor eſt, ſumptis triginta dierum commeatibus: vt Ariſtobulus, ſeptuaginta talentis. Quo tempore quum domeſticas poſſeſſiones regióſque reditus maxima ex parte inter amicos diſtribueret, Perdiccas vnus, offerente eo, nihil quicquam accipere voluit: per-
» contatúſque ab eo, Tibi verò Alexāder ec-
» quid ipſe recepiſti? quum ille ſpes ſe ſibi re-
» linquere diceret, Et nos igitur (inquit) ha-
» rū participes erim⁹. Indignū enim eſt tua potius accipere, quàm quæ Darij ſunt ſperare. Sed quæ tandem ſpes erant quibus ille fretus in Aſiam exercitum tranſmittere conſtituit? Nempe non opes erant ampliſſimis vrbium mœnibus metiendæ, non claſſes per medios montes velificantes, non flagra, nō compedes, barbarica cruciamenta maris. Quid igitur? nimirum quod ad externa pertinet, oppidò quàm generoſus in paucis armis ambitioſiſſimúſque conatus, æqualium æmulatio, certaménque ſeſe contendentis cum gloria & virtute ſodalium. Ipſe verò in ſeſe ingētes ſpes habebat, pietatem in deos, fidem erga amicos, frugalitatem, continentiam, beneficentiam, aduerſus mortem intrepidam expectationem, robur animi, humanitatem, appellandi dexteritatem, ingenii candorem, in explicandis conſiliis conſtantiam, in gerendis rebus celeritatem, & in primis adipiſcendæ gloriæ propoſitum, quod luculenta exempla per decus abſolue re ſolet. Quocirca nec concinnè Homerus, nec vt par erat, qui Agamemnonis ſpeciem tribus ex imaginibus aptam coalitámque ſimilitudine illa finxit,

Aſſimilis caput atque oculos patri altitonanti,
Balteus eſt Martis, Neptunum pectus adæquat.

Etenim Alexandri ingenium, ſi quidem ex multis ab ipſo creante Deo aptum & conſertum virtutibus eſt, nónne Cyri ſpiritus, Ageſilai temperantiam, Themiſtoclis ſolertiam, Philippi experientiam, Braſidæ fiduciam, Periclis dicendi vim, adminiſtrandæq; reipublicæ ſcientiā habere, iure dixerimus? Quanquā ſi vetuſtiores repetamus, Agamēnone tēperātior erat: quippe ille ca-

A ἡ δύναμις ἡ Περσῶν, ποῦ τεταγμένος ὁ βασιλεὺς ἐν ταῖς μάχαις ἀγωνίζεται), (καθάπερ Ὀδυσσεὺς ἐκεῖνος,

Ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήϊα, ποῦ δὲ οἱ ἵπποι;)

τίνες ὁδοὶ βραχύταται τοῖς ἄνω πορευομένοις ἀπὸ θαλάττης. ὥστε τοὺς ξένους ἐκπεπλῆχθαι, καὶ λέγειν, Ὡς ὁ παῖς οὗτος, βασιλεὺς μέγας· ὁ δὲ ἡμέτερος, πλούσιος. ἐπεὶ δὲ Φιλίππου τελευτήσαντος ὥρμητο διαβαλεῖν, καὶ ταῖς ἐλπίσιν ἤδη καὶ ταῖς παρασκευαῖς ἐμπεφυκὼς, ἔσπευδεν ἅψασθαι τῆς Ἀσίας· ἐνίστατο δὲ ἡ τύχη, καὶ ἀπέστρεφε καὶ ἀνθεῖλκεν ὀπίσω, καὶ μυρίας περιέβαλλεν ἀσχολίας καὶ διατριβὰς ἐπιλαμ-
B βανομένη· πρῶτον αὐτῷ τὰ βαρβαρικὰ τῶν προσοίκων διετάραξεν, Ἰλλυρικοὺς καὶ Τριβαλλικοὺς μηχανωμένη πολέμους· οἷς μέχρι Σκυθίας τῆς παρ' Ἴστρον ἀποσπασθεὶς ἀπὸ τῶν ἄνω πράξεων, καὶ περιδραμὼν καὶ κατεργασάμενος πάντα κινδύνοις καὶ ἀγῶσι μεγάλοις, αὖθις ὥρμητο καὶ ἔσπευδε πρὸς τὴν διάβασιν πάλιν. ἡ δὲ πάλιν αὐτῷ τὰς Θήβας ἐνέσεισε, καὶ πόλεμον Ἑλληνικὸν ἐμποδὼν κατέβαλε, καὶ δεινὴν πρὸς ἄνδρας ὁμοφύλους καὶ συγγενεῖς διὰ φόνου καὶ σιδήρου καὶ πυρὸς ἀνάγκην ἀμύνης, ἀτερ-
C πέστατον τέλος ἔχουσαν. ἐκ τούτου διέβαινεν, ὡς μὲν Φύλαρχος φησὶν, ἡμερῶν τριάκοντα ἔχων ἐφόδιον· ὡς δὲ Ἀριστόβουλος, ἑβδομήκοντα τάλαντα. τῶν δὲ οἴκοι κτημάτων καὶ προσόδων βασιλικῶν διένειμε τὰς πλείστας τοῖς ἑταίροις· μόνος δὲ Περδίκκας οὐδὲν ἔλαβε διδόντος, ἀλλ' ἠρώτησε, Σαυτῷ δὲ τί καταλείπεις Ἀλέξανδρε; τοῦ δ' εἰπόντος ὅτι τὰς ἐλπίδας, Οὐκοῦν (ἔφη) καὶ ἡμεῖς τούτων μεθέξομεν. οὐ γὰρ δίκαιον τὰ σὰ λαμβάνειν, ἀλλὰ τὰ Δαρείου περιμένειν. τίνες οὖν ἦσαν ἐλπίδες ἐφ' αἷς διέβαινεν εἰς Ἀ-
D σίαν Ἀλέξανδρος; οὐ τείχεσι πόλεων μυριάνδρων ἐκμετρουμένη δύναμις, οὐδὲ στόλοι δι' ὀρῶν πλέοντες, οὐδὲ μάστιγες, οὐδὲ πέδαι, μανικὰ καὶ βάρβαρα κολαστήρια θαλάσσης· ἀλλὰ τὰ μὲν ἐκτὸς, ἐν ὀλίγοις ὅπλοις φιλοτιμία πολλὴ, καὶ ζῆλος ἡλικίας παρ' ἀλλήλου, καὶ ἅμιλλα περὶ δόξης καὶ ἀρετῆς ἑταίρων· αὐτὸς δ' εἶχεν ἐν ἑαυτῷ τὰς μεγάλας ἐλπίδας, εὐσέβειαν περὶ θεοὺς, πίστιν πρὸς φίλους, εὐτέλειαν, ἐγκράτειαν, ἐμπειρίαν, ἀφοβίαν πρὸς θάνατον, εὐψυχίαν, φιλανθρωπίαν, ὁμιλίαν εὐάρμοστον, ἀψευδὲς ἦθος, εὐστά-
E θειαν ἐν βουλαῖς, τάχος ἐν πράξεσι· πρῶτα δόξης προαίρεσιν ἐν τῷ καλῷ τελεσιουργεῖν. Ὅμηρος μὲν γὰρ οὐ πρεπόντως οὐδὲ πιθανῶς τὸ Ἀγαμέμνονος κάλλος ἐκ τριῶν συνήρμοσεν εἰκόνων, ὁμοιώσας,

Ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ,
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.

τὴν δὲ Ἀλεξάνδρου φύσιν, εἴπερ ἐκ πολλῶν συνήρμοσε καὶ συνέθηκεν ἀρετῶν ὁ γεννήσας θεὸς, ἆρα οὐκ ἂν
F εἴποιμεν ἔχειν φρόνημα μὲν τὸ Κύρου, σωφροσύνην δὲ τὸ Ἀγησιλάου, σύνεσιν δὲ τὸ Θεμιστοκλέους, ἐμπειρίαν δὲ τὸ Φιλίππου, τόλμαν δὲ τὸ Βρασίδου, δεινότητα δὲ καὶ πολιτείαν τὸ Περικλέους; τῶν δὲ ἔτι παλαιοτέρων, σωφρονέστερος μὲν Ἀγαμέμνονος· (ὁ μὲν γὰρ προέκρινε τὸ

νομίμου κουριδίης τὴν αἰχμάλωτον· ὁ δέ, καὶ πρὶν ἢ γῆμαι, τῶν ἁλισκομένων ἀπείχετο) μεγαλοψυχότερος δὲ Ἀχιλλέως (ὁ μὲν γὰρ χρημάτων ὀλίγων τὸν Ἕκτορος νεκρὸν ἀπελύτρωσεν, ὁ δὲ πολλοῖς χρήμασι Δαρεῖον ἔθαψε· καὶ ὁ μὲν παρὰ τῶν φίλων δῶρα καὶ μισθὸν αὐτὰ τῆς ὀργῆς διαλλαγεὶς ἔλαβεν, ὁ δὲ τοὺς πολεμίους κρατῶν, ἐπλούτιζεν) εὐσεβέστερος δὲ Διομήδους (ὁ μὲν γὰρ θεοῖς μάχεσθαι ἦν ἕτοιμος, ὁ δὲ πάντα τοὺς θεοὺς ἐνόμιζε κατορθοῦν) ποθεινότερος δὲ τοῖς προσήκουσιν Ὀδυσσέως. ἐκείνου μὲν γὰρ ἡ τεκοῦσα διὰ λύπην ἀπέθανε· τούτῳ δὲ ἡ τοῦ πολεμίου μήτηρ ὑπ᾽ εὐνοίας συναπέθανε. τὸ δ᾽ ὅλον, εἰ μὲν καὶ Σόλων διὰ τύχην ἐπολιτεύσατο, καὶ Μιλτιάδης διὰ τύχην ἐστρατήγησε, καὶ Ἀριστείδης ἀπὸ τύχης ἦν δίκαιος, οὐδὲν ἄρα τῆς ἀρετῆς ἔργον ἐστὶν, ἀλλ᾽ ὄνομα τοῦτο καὶ λόγος ἔχων δόξαν ἄλλως διέξεισι τοῦ βίου, πλαττόμενος ὑπὸ τῶν σοφιστῶν καὶ τῶν νομοθετῶν. εἰ δὲ τούτων καὶ τῶν ὁμοίων ἀνδρῶν ἕκαστος πένης μὲν ἢ πλούσιος, ἢ ἀσθενὴς ἢ ἰσχυρὸς, ἢ ἄμορφος ἢ καλὸς, ἢ εὔγηρως ἢ ὠκύμορος διὰ τύχην γέγονε· μέγαν δὲ στρατηγὸν, καὶ μέγαν νομοθέτην, καὶ μέγαν ἐν ἀρχαῖς καὶ πολιτείαις ἕκαστος ἑαυτὸν ἀρετῇ καὶ λόγῳ παρέσχηκε, φέρε θεῶ τὸν Ἀλέξανδρον ἅπασι παραβάλλων. Σόλων χρεῶν ἀποκοπὴν ἐν Ἀθήναις ἐποίησε, σεισάχθειαν προσαγορεύσας· Ἀλέξανδρος δὲ τοῖς τὰ χρέα δανείσασιν, ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς ἐξέτισε. Περικλῆς φορολογήσας τοὺς Ἕλληνας, ἐκ τῶν χρημάτων ἐκόσμησεν ἱεροῖς τὴν ἀκρόπολιν· Ἀλέξανδρος δὲ τὰ τῶν βαρβάρων χρήματα λαβὼν, ἔπεμψεν εἰς τὴν Ἑλλάδα, ναοὺς τοῖς θεοῖς ἀπὸ μυρίων ταλάντων οἰκοδομῆσαι κελεύσας. Βρασίδαν ἐν τῇ Ἑλλάδι περιβόητον ἐποίησε τὸ πρὸς Μεθώνην διαδραμεῖν τὸ στρατόπεδον τῶν πολεμίων, βαλλόμενον παρὰ τὴν θάλατταν· Ἀλεξάνδρου δὲ ἐν Ὀξυδράκαις τὸ δεινὸν ἐκεῖνο πήδημα καὶ ἄπιστον ἀκούουσι, καὶ θεωμένοις φοβερὸν, ἐκ τειχῶν ἀφέντος ἑαυτὸν εἰς τοὺς πολεμίους, δόρασι καὶ βέλεσι καὶ ξίφεσι γυμνοῖς ἐκδεχομένους, τίνι ἄν τις εἰκάσειεν; ἢ πυρὶ κεραυνίῳ ῥαγέντι, καὶ φερομένῳ μετὰ πνεύματος, οἷον ἐπὶ γῆν κατέσκηψε φάσμα Φοίβου φλογοειδέσιν ὅπλοις περιλαμπόμενον; οἱ δὲ τὸ πρῶτον ἐκπλαγέντες ἅμα φρίκῃ διέτρεσαν καὶ ἀνεχώρησαν· εἶτα ὡς ἑώρων ἄνθρωπον ἕνα πολλοῖς ἐπιφερόμενον, ἀντέστησαν. ἐνταῦθα ἄρα ἡ τύχη μεγάλα καὶ λαμπρὰ διέφηνεν ἔργα τῆς πρὸς Ἀλέξανδρον εὐμενείας, ὅτι αὐτὸν μὲν εἰς χωρίον ἄσημον καὶ βάρβαρον ἐμβαλοῦσα, κατέκλεισε καὶ περιετείχισε, τοὺς δ᾽ ὑπὸ σπουδῆς ἐπιβοηθοῦντας ἔξωθεν καὶ τῶν τειχῶν ἐφιεμένους, κλάσασα καὶ συντρίψασα τὰς κλίμακας, ὑπεσκέλισε καὶ κατεκρήμνισε. τριῶν δὲ, οἵπερ ἔφθησαν μόνοι τοῦ τείχους λαβέσθαι, καὶ καταθέντες ἑαυτοὺς παραστῆναι τῷ βασιλεῖ, τὸν μὲν εὐθὺς ἀνήρπασε καὶ προανεῖλεν· ὁ δὲ, τοξεύμασι πολλοῖς διαπεπαρμένος, ὅσον ὁρᾶν καὶ συναισθάνεσθαι μόνον ἀπεῖχε τοῦ τεθνάναι. κεναὶ δὲ ἔξωθεν προσδρομαὶ καὶ ἀλαλαγμοὶ Μακεδόνων, οὐ

ptiuam iuſtæ vxori prætulit, hic à captis abſtinere, ſibi imperare ſuſtinuit, antequã iuſtè nuptæ fuerunt. Animi verò magnitudine vel magnum Achillem præſtitit: quippe ille parua pecunia Hectoris defunctũ vẽdidit, hic verò grandi ære Darium funerauit. Rurſus ille munera ab amicis, iræque ponẽdæ pretium accepit, hic hoſtes armis victos, etiamnum opibus cumulauit. Nam Diomedem quidem pietate antecelluit. etenim ille cum diis pugnare confidentiſſimè ſuſtinuit: hic autem omnia deorum cœpta per decus euadere ſemper arbitratus eſt. Poſtremò charior neceſſariis Vlyſſe quoque fuit: ſiquidem illius mater mortem mœrore obiit, huius verò hoſtis mater pre deſiderio eius commori obſtinauit. Ad ſummam, ſi & Solon è fortuna in adminiſtranda domi republica verſatus eſt, & Miltiades foris militiæque rem geſſit, ſi denique Ariſtides innocens fortunæ benignitate fuit, nullum iam protinus virtutis opus erit, hócque nominis verbique inane quiddam vitæ nequicquam gloriam meretur, nimirum id ſophiſtis commẽtis, legúmque latoribus. Sin horum vnuſquiſque omniúmque ſimilium egens aut diues, debilis aut validus, deformis aut pulcher, lõgæuus aut breuis æui, pro fortunæ ipſius varietate eſſe ſolet: at magnum imperatorem, aut magnum legum latorem, aut denique magnum in magiſtratibus & publicè fungendis officiis ſeſe quiſquis virtute rationéq; præſtat: agedum Alexandrũ cõſideremus vniuerſorum cõtentione. Iam primùm igitur Solon Athenis tabulas nouas inſtituit, quam Siſachthiam nuncupauit, *quaſi dicas oneris excuſſum*: Alexander pro iis qui verſurã fecerant, fœneratoribus diſſoluit. Pericles Græcis tributorũ collatione exhauſtis, extructis paſſim fanis arcẽ Athenarum adornauit: Alexander barbarorum opes raptas in Græciã importãdas curauit, templáq; diis extruenda locari decẽ talentorũ milibus iuſſit. Braſidan in Græcia famigeratũ fecit auditũ ad Methonẽ cum ferociter percurſaſſe, diſiecto circa maritimã oram hoſtiũ exercitu: Alexãdri verò atrocẽ illũ ſaltũ, & auditu incredibilẽ, & viſu horrendum, præcipiti ſaltu ſeſe è muro librantis in hoſtes, haſtis, ſpiculis, enſibus protinus illũ excepturos, cui æquius quàm fulmineo igni aſſimilare poſſumus erumpenti è nube, & à turbine rapto? cuiuſmodi quondam viſa ignitis armis offulgẽtia deorſum ferri videntur. Cæterùm illi ſtupore primùm perculſi, quà cuique proximum fuit, trepidi refugerunt: deinde quum hominem vnum animaduertiſſent multos ferociter impetentem, reſtitere. Ibi verò fortuna, magna egregiáque beneuolẽtiæ exempla in Alexãdrum edidit. Quippe ipſum ignobili in vico deprehenſum, muriſque interceptum incluſit: hos verò qui ſuppetias ei ferre properabant, ob idque in muros iam ſcandentes, ſuffractis cõtritíſque ſcalis deturbatos peſſundedit. Ex iis autem qui tres omnino mœnibus arrepẽtes, indéq; ſeſe librantes, Alexandrũ ſeduli circunſteterãt, vnũ cõfeſtim abripuit, nullóq; dum tẽtato certamine è medio ſuſtulit. Crebris alter ſagittis cõfixus, hoc modò à morte aberat ꝙ & viſus & ſenſus cõpos erat. At verò foris irritæ Mace-

donum vociferationes nequicquam mœnia offenſantiũ,quum in promptu nec machina nec tormentum vllum eſſet:quinimò opitulandi ſtudio enſibus mœnia tundentium,inermique adeò manu cæmenta perrumpere, tantúmq; nõ mordicus cõuellere adluctãtiũ. Ibi ille verò rex fortunatus,ille fortunæ aſsiduæ cuſtodia & propè dixerim ſatellitio tutus, feræ tũ beſtiæ modo indagine cinctus,proditus,auxilii inops,non de Suſis aut Babylo ne,nõ deBactris expugnãdis,aut Poro vincẽdo,dignis ſatis operæpretiis,dimicabat.Nam ingentia claráque certamina vt ſucceſſum non habeant, dedecoris certè nullam notam inurunt. Verùm infeſta vſqueadeò fortuna fuit, & barbarorũ fautrix, contráque Alexandrum peroſa, vt nomen etiam eius,quãtum in ipſa fuit, deleuerit,tótque rerum geſtarum gloriam deformarit, nedum corpus vitámq; peremerit. Haud enim pœnitenda fortuna fuiſſet, ſi propter Euphratis ripas,aut ad Hydaſpẽ mortem ipſe oppetiiſſet: nec pudẽdus exitus,ſi ad manus cum Dario veniens, Perſarum impetu opprimeretur, equis, enſibus, copidibus (*falcati gladij genus eſt*) confeſtim pro rege pugnantium: aut ſi Babylonis muros ſuperare nixus,ab ingenti ſpe deuolueretur.Sic Pelopidas,ſic Epaminõdas, quorũ certè interitus virtuti decus poti⁹ quàm aduerſæ fortunæ teſtimonium attulerunt. Huius verò fortunæ de qua nunc agimus, cuiuſmodi tandẽ piæ illis exemplum fuit? In extrema barbarie, intra ignobilis oppiduli mœnia orbis terrarum dominum intercipientis occulẽtiſque, pudendiſq; eundem armis,temeréque inuento miſsili pulſatum diu & impetitum,ad extremum conficientis.Etenim diſciſſa copide galea, vulnus etiam in capite accepit.excuſſa arcu ſagitta, perfracto thorace,papillaribus oſsibus adacta eſt, haſtili prælongo eminente, & vulnus aggrauante. cuſpidis verò ferro quadrantali latitudine, trientali ſiciliquo minus longitudine. Porro (quod ſummum aduerſorum eſt) quum rectà & cõtemptim graſſantem in ſe quendam enſe territabundum exceptum ipſe pugione confodiſſet, trepidus interim quidam piſtillum ex piſtrino raptum in ceruicẽ illi inflixit: quo ictu tenebris ob oculos offuſis,ſenſibus quoque conturbatus eſt.Ipſa verò virtus prẹſto tum illi affuit,quæ cùm fiduciam ei,tum verò robur acréque opitulandi ſtudium circumſiſtẽtibus eum accẽdit. Lemnæi enim, & Ptolemẹi,& Leõnati,& qui mœnia cunque aut ſuperauerant aut perruperant, circunſtantes eum,veluti virtutis munimentũ erant, charitate amoréque regis, corpora, facies,animas diſcrimini obiicientes.Haud enim pro ſeruandis bonis regibus, fortunæ fauore cẹteri diſcrimina ſubeunt,aut etiam mortem oppetunt: ſed virtutis amore potius,haud ſecus atque apes regi ſeſe ſuo philtrorum vi comites addere, eúmque ſtipare cernimus. Quotus enim quiſq; qui huius rei ſpectator ſui ipſe ſecurus fuiſſet,non hoc dixiſſet, ingens ſe fortunæ certamẽ cũ virtute ſpectare,in quo barbariæ partes indignißimè per fortunam præualerẽt, Græciæ verò ſupra vires per virtutem obſiſterent? Quòd ſi illi ad extremum ſuperiores euaſerint, fortunæ nimirum, inuidiq; genii, Nemeſiſq; opus id fore:ſin hi tandem præualuerint, virtutem, fortitudinem, charitatem, fidémque, palmam reportaturas, vt quæ ſolæ Alexandro adfuerint.

A μηχανῆς τινος, οὐκ ἐργαλείων παρόντων, ἀλλ᾽ ὑπὸ σπουδῆς ξίφεσι τυπτόντων τὰ τείχη, καὶ χερσὶ γυμναῖς παραρρῆξαι καὶ μονονοὺ διαφαγεῖν βιαζομένων. ὁ δ᾽ εὐτυχὴς βασιλεὺς, καὶ ὑπὸ τῆς τύχης φυλαττόμενος ἀεὶ καὶ δορυφορούμενος, ὥσπερ θηρίον ἀρκύσιν ἐνσχεθεὶς, ἔρημος καὶ ἀβοήθητος, οὐχ ὑπὲρ Σούσων, οὐδὲ Βαβυλῶνος, οὐδὲ Βάκτρα λαβεῖν, οὐδὲ τὸ μέγα τοῦ Πώρου κρατῆσαι, (τοῖς γὰρ ἐνδόξοις καὶ μεγάλοις ἀγῶσι, κἂν δυστυχῶνται, τὸ γοῦν αἰσχρὸν οὐ πρόσεστιν) ἀλλ᾽ οὕτω δύσερις ἦν καὶ βάσκανος ἡ τύχη καὶ
B φιλοβάρβαρος καὶ μισαλέξανδρος, ὥστε μὴ τὸ σῶμα μόνον αὐτοῦ μηδὲ τὸν βίον, ἀλλὰ καὶ τὴν δόξαν ἀνελεῖν, ὅσον ἐφ᾽ ἑαυτῇ, καὶ διαφθεῖραι τὴν εὔκλειαν. οὐ γὰρ παρ᾽ Εὐφράτην Ἀλέξανδρον ἢ Ὑδάσπην πεσόντα κεῖσθαι, δεινὸν ἦν, οὐδ᾽ ἀγεννὲς, ἐν χερσὶ Δαρείου γενόμενον, καὶ ἵπποις καὶ ξίφεσι καὶ κοπίσι Περσῶν ἀμυνομένων ὑπὲρ τοῦ βασιλέως ἀποθανεῖν. οὐδὲ τῶν Βαβυλῶνος ἐπιβαίνοντα τειχῶν σφαλῆναι, καὶ πεσεῖν ἀπ᾽ ἐλπίδος μεγάλης. οὕτως Πελοπίδας, καὶ Ἐπαμινώνδας, ἀρετῆς ὁ τούτων θάνατος ἦν, οὐ δυστυχίας ἐ-
C πὶ τηλικούτοις. τῆς δὲ νῦν ἐξεταζομένης τύχης οἷον τὸ ἔργον; ἐσχατιὰ βαρβάρου παραποταμίας καὶ τείχεσιν ἀδόξου πολίχνης περιβαλούσης καὶ ἀποκρυψάσης τὸν τῆς οἰκουμένης βασιλέα καὶ κύριον, ὅπλοις ἀτίμοις καὶ σκεύεσι τοῖς παρατυχοῦσι τυπτόμενον καὶ βαλλόμενον ἀπολέσθαι. καὶ γὰρ κοπίδι τὴν κεφαλὴν διὰ τοῦ κράνους ἐπλήγη, καὶ βέλει τις ἀπὸ τόξου τὸν θώρακα διέκοψεν· οὗ τοῖς περὶ τὸν μαστὸν ἐνερεισθέντος ὀστέοις καὶ καταπαγέντος, ὁ μὲν καυλὸς ἐξεῖχε βαρύνων, τῆς δὲ ἀκίδος ὁ σίδηρος τεσσάρων δακτύλων εὖρος ἔ-
D σχε, καὶ πέντε μῆκος. ἔσχατον δὲ τῶν δεινῶν, ὁ μὲν ἠμύνετο τοὺς κατὰ στόμα, καὶ τὸν βαλόντα καὶ πελάσαι τολμήσαντα μετὰ ξίφους, αὐτὸς τῷ ἐγχειριδίῳ φθάσας κατέβαλε καὶ ἀπέκτεινεν. ἐν τούτῳ δέ τις δραμὼν ἐκ μύλωνος ὑπέρῳ κατὰ τοῦ αὐχένος ὄπισθεν πληγὴν κατήνεγκεν, ἣ συνέχεε τὴν αἴσθησιν αὐτοῦ σκοτωθέντος. ἡ δ᾽ ἀρετὴ παρῆν, θάρσος μὲν αὐτῷ, ῥώμην δὲ καὶ σπουδὴν τοῖς περὶ αὐτὸν ἐμποιοῦσα. Λιμναῖοι γὰρ καὶ Πτολεμαῖοι, καὶ Λεοννάτοι, καὶ ὅσοι τὸ τεῖχος ὑπερκαταβάντες ἢ ῥήξαντες ἔστησαν πρὸ αὐτοῦ, τεῖχος ἀρετῆς
E ἦσαν, εὐνοίᾳ καὶ φιλίᾳ τοῦ βασιλέως τὰ σώματα καὶ τὰ πρόσωπα καὶ τὰς ψυχὰς προβαλλόμενοι. οὐ γὰρ διὰ τύχην ἀγαθῶν βασιλέων ἕτεροι προαποθνήσκουσιν ἑκουσίως καὶ προκινδυνεύουσιν, ἀλλ᾽ ἔρωτι τῆς ἀρετῆς, ὥσπερ ὑπὸ φίλτρων μέλιτται, τῷ ἄρχοντι προσέρχονται καὶ προσπεφύκασι. τίς οὖν οὐκ ἂν εἴποι τότε παρὼν ἀκίνδυνος θεατὴς, ὅτι τύχης μέγαν ἀγῶνα κατ᾽ ἀρετῆς θεᾶται; καὶ τὸ μὲν βάρβαρον παρ᾽ ἀξίαν ἐπικρατεῖ διὰ τύχην, τὸ δ᾽ Ἑλληνικὸν ἀντέχει παρὰ δύναμιν δι᾽ ἀρετήν; κἂν μὲν
F ἐκεῖνοι περιγένωνται, τύχης καὶ δαίμονος φθονεροῦ καὶ νεμέσεως ἔσται τὸ ἔργον· ἂν δὲ οὗτοι κρατήσωσιν, ἀρετὴ καὶ τόλμα καὶ φιλία καὶ πίστις ἐξοίσεται τὸ νικητήριον. ταῦτα γὰρ μόνα παρῆν Ἀλεξάνδρῳ· τῆς

A δι' ἄλλης δυνάμεως καὶ παρασκευῆς, καὶ στόλων, καὶ ἱππέων, καὶ στρατοπέδων, μέσον ἔθηκεν ἡ τύχη τὸ τεῖχος. ἐτρέψαντο μὲν οὖν τοὺς βαρβάρους οἱ Μακεδόνες, καὶ πεσοῦσιν αὐτοῖς ἐπικατέσκαψαν τὴν πόλιν· Ἀλεξάνδρῳ δὲ οὐδὲν ἦν ὄφελος. ἥρπαστο γὰρ μετὰ τοῦ βέλους, καὶ τὸν πόλεμον ἐν τοῖς σπλάγχνοις εἶχε, καὶ δεσμὸς ἦν αὐτῷ καὶ ἧλος τὸ τόξευμα τοῦ θώρακος πρὸς τὸ σῶμα· καὶ σπάσαι μὲν ὥσπερ ἐκ ῥίζης τοῦ τραύματος βιαζομένοις, οὐχ ὑπήκουεν ὁ σίδηρος, ἕδραν ἔχων τὰ πρὸ τῆς καρδίας στερεὰ τοῦ στήθους· ἐκπρίσαι δὲ τοῦ δόνακος οὐκ ἐθάρρουν τὸ προὖχον, B ἀλλ' ἐφοβοῦντο μήπως σπαραγμῷ σχιζόμενον τὸ ὀστέον, ὑπερβολὰς ἀλγηδόνων παράσχῃ, καὶ ῥῆξις αἵματος ἐκ βάθους γένηται. πολλὴν δὲ ἀπορίαν καὶ διατριβὴν ὁρῶν αὐτός, ἐπεχείρησεν ἐν χρῷ τοῦ θώρακος ἀποτέμνειν τῷ ξιφιδίῳ τὸν οἰστόν· ἠτόνει δὲ ἡ χείρ, καὶ βάρος εἶχε ναρκῶδες ὑπὸ φλεγμονῆς τοῦ τραύματος. ἐκέλευεν οὖν ἅπτεσθαι, καὶ μὴ δεδιέναι, τοὺς ἀτρώτους θαρρύνων. καὶ τοῖς μὲν ἐλοιδορεῖτο κλαίουσι καὶ περιπαθοῦσι, τοὺς δέ, λειποτάκτας ἀπεκάλει, μὴ τολμῶντας αὐτῷ βοηθεῖν. ἐβόα δὲ πρὸς τοὺς ἑταίρους, C Μηδεὶς ἔστω μηδὲ ὑπὲρ ἐμοῦ δειλός. ἀπιστοῦμαι μὴ φοβεῖσθαι θάνατον, εἰ τὸν ἐμὸν φοβεῖσθε ὑμεῖς.

Quippe reliquam potẽtiam & apparatum, claſſes & equitatum, & omnino exercitus medio fortuna muro interſepſerat. Cæterùm barbaros in fugam verſos Macedones, ſubindéque occidione occiſos, vrbis etiam excidio ſepelierunt: Alexandri verò nullus iam vſus erat, vt qui raptim exportatus, telum, atque adeò bellum in præcordiis haberet, vinclíque & claui inſtar erat ſagitta thorace cum corpore traiecto. Telum autem ex vulnere conuellere conantes ferrum nõ ſequebatur. penitus enim inſederat in pectoris ſolidiſſimis; quæ cordi prætendũtur. Sed rurſus arundinem quatenus extabat excindere cunctabantur, veriti ne penitus os diſcuneatum intolerabiles cruciatus cieret, ac ſanguinis multa vis imitus erumperet. Quam cunctationem Alexander quum videret, ipſe primùm conatus quà è thorace prominebat arundinem execare: deficiente deinde manu, ex vulneriſque tumore torpido pondere graueſcente, medicos iuſſit intrepidos id agere, animum integris ſaucius ipſe addens, imò verò circumſiſtentium partim grauiter increpitans flentes & præter modum condolentes, partim deſertores appellans, opem ei afferre non ſuſtinentes: interim ipſe ad amicos inclamitans, Quid, malum, tãtopere pro me meticuloſi eſtis? Fidem ergo non facio, mortem me non timere, ſi quidem mihi timetis.

T. LIVII DECADIS PRIMAE, LIB. IX,

IVDICIVM DE ALEXANDRO, SI ASIA PERDOMITA ARMA IN EVROpam vertiſſet.

HAVD dubiè illa ætate, qua nulla virtutum feracior fuit, nemo vnus erat vir, quo magis innixa res Romana ſtaret. quin eum parem deſtinant animis magno Alexandro ducem: ſi arma Aſia perdomita in Europam vertiſſet. Nihil minus quæſitum à principio huius operis videri poteſt quàm vt plus iuſto ab rerum ordine declinarem, varietatibúſque diſtinguendo opera, & legentibus velut diuerticula amœna, & requiem animo meo quærerem: tamen tanti regis ac ducis mentio, quibus ſæpe tacitis cogitationibus volutauit animum, eas euocat in medium: vt quærere libeat, quinam euentus Romanis rebus, ſi cum Alexandro foret bellatum, futurus fuerit. Plurimum in bello pollere videntur, militum copia & virtus, ingenia imperatorum, fortuna per omnia humana maximè in res bellicas potens. Ea & ſingula intuenti & vniuerſa, ſicut ab aliis regibus gentibúſque, ita ab hoc quoque facilè præſtāt inuictum Romanum imperium. Iam primùm vt ordiar ab ducibus comparandis: haud equidē abnuo egregium ducem fuiſſe Alexādrum: ſed clariorē tamen eum facit, quòd vnus fuit, quòd adoleſcens in incremento rerum nondum alteram fortunam expertus deceſsit. Vt alios reges claros ducéſque omittam, magna exempla caſuum humanorum, Cyrum, (quem maximè Græci laudibus celebrāt) quid niſi longa vita, ſicut magnum modò Pompeium, vertenti prębuit fortunæ? Recēſeam duces Romanos, nec omnes omnium ætatū, ſed ipſos eos cū quibus conſulibus aut dictatoribus Alexādro fuit bellandum, M. Valerium Coruinum, C. Martium Rutilium, C. Sulpitium, T. Manlium Torquatum, Q. Publium Philonem, L. Papyrium Curſorem, Q. Fabium Maximum, duos Decios, L. Volumnium, M. Curium. Deinceps ingentes ſequuntur viri: ſi Punicum Romano præuertiſſet bellum, ſeniórque in Italiam traiceciſſet. Horum in quolibet tum indoles eadē quæ in Alexandro erat, animi ingeniíque: tum diſciplina militaris iam inde ab initiis vrbis tradita per manus, in artis perpetuis præceptis ordinatæ modum venerat. Ita reges geſſerant bella: ita deinde exactores regum Iunii, Valeriíque: ita deinceps Fabij, Quintij, Cornelij: ita Furius Camillus, quem iuuenes duo quibus cū Alexandro dimicandum erat, ſenem viderant. Militaria opera pugnando obeunti Alexādro (nam ea quoque haud minus clarum eum faciunt) ceſsiſſet videlicet in acie oblatus par Mālius Torquatus, aut Valerius Coruinus, inſignes ante milites quàm duces? ceſsiſſent Decij deuotis corporibus in hoſtem ruentes? ceſsiſſet Papyrius Curſor illo corporis robore, illo animi? victus eſſet conſiliis iuuenis vnius, ne ſingulos nominem, ſenatus ille? quem qui ex regibus conſtare dixit, vnus veram ſpeciem Romani ſenatus cepit. Id verò erat periculum, ne ſolertius quàm quiuis vnus ex iis quos nominaui, caſtris locum caperet, commeatus expediret, ab inſidiis præcaueret, tempus pugnæ eligeret, aciem inſtrueret, ſubſidiis firmaret. non iam cum Dario rem eſſe dixiſſet: quem mulierū ac ſpadonum agmen trahentem, inter purpurā atque aurum eneruatum fortunæ ſuæ apparatibus, prædam verius quàm hoſtem, nihil aliud quàm bene auſus vana cōtemnere, incruentus deuicit. Longè alius Italię quàm Indiæ, per quā temulento agmine comeſſabundus inceſsit, viſus illi habitus eſſet: ſaltus Apuliæ ac montes Lucanos cernenti, & veſtigia recentia domeſticæ cladis: vbi auunculus eius nuper Epiri rex Alexander abſumptus erat. Et loquimur de Alexandro nōdum merſo ſecundis rebus, quarum nemo intolerantior fuit. qui ſi ex habitu nouæ fortunæ, nouíque (vt ita dicam) ingenij quod ſibi victor induerat, ſpectetur: Dario magis ſimilis quàm Alexandro in Italiam veniſſet, & exercitum Macedoniæ oblitum, degenerantémque iam in Perſarum mores adduxiſſet. Referre in tanto rege piget ſuperbam mutationem veſtis, & deſideratas humi iacentium adulationes, etiā victis Macedonibus graues, nedum victoribus, & fœda ſupplicia, & inter vinum & epulas cædes amicorum, & vanitatē ementiendæ ſtirpis. Quid, ſi vini amor in dies fieret acrior? quid, ſi trux ac præferuida ira? (nec quicquam dubium inter ſcriptores refero) nullàne hæc damna imperatoriis virtutibus ducimus? Id verò periculum erat (quod leuiſsimi ex Græcis, qui Parthorum quoque contra nomen Romanum gloriæ fauent, dictitare ſolent) ne maieſtatem nominis Alexandri, quem ne fama quidem illis notum arbitror fuiſſe, ſuſtinere nō potuerit populus Romanus, & aduerſus quem Athenis in ciuitate fracta Macedonum armis, cernente tum maximè propè fumantes Thebarum ruinas, concionari liberè auſi ſint homines (id quod ex monumentis orationum patet) aduerſus eum nemo ex tot proceribus Romanis vocem liberam miſſurus fuerit. Quantalibet magnitudo hominis concipiatur animo, vnius tamen ea magnitudo hominis erit, collecta paulo plus decem annorum felicitate, quam qui eo extollunt, quòd populus Romanus etſi nullo bello multis tamē præliis victus ſit, Alexandro nullius pugnæ non ſecunda fortuna fuerit, non intelligunt ſe hominis res geſtas, & eius iuuenis, cum populi iam octingenteſimum bellantis annum rebus conferre. miremur, ſi, quū ex hac parte ſecula plura numerētur quàm ex illa anni: plus in tam longo ſpatio

quàm in ætate XIII annorum fortuna variauerit. Quin tu hominis cum homine, & ducis cum duce, fortunã cum fortuna confers? Quot Romanos duces nominem, quibus nunquam aduerſa fortuna pugnæ fuit? paginas in annalibus magiſtratuum faſtiſque percurrere licet, conſulum dictatorúmque: quorum nec virtutis, nec fortunæ vllo die populum Romanum pœnituit. Et quo ſint mirabiliores quàm Alexãder, aut quiſque alius rex: denos, vicenóſque dies quidam dictaturam, nemo pluſquam annum conſulatum geſſit. ab Tr. pl. delectus impediti ſunt: poſt tempus ad bella ierunt: ante tempus, comitiorũ cauſa reuocati ſunt: in ipſo conatu rerũ circumegit ſe annus: collegæ nunc temeritas, nunc prauitas impedimento aut damno fuit: malè geſtis rebus alterius ſucceſſum eſt: tironem, aut mala diſciplina inſtitutũ exercitum acceperunt. At Hercule reges non liberi ſolùm impedimentis omnibus, ſed domini rerum temporúmque, trahunt conſiliis cuncta, non ſequuntur. Inuictus ergo Alexander cum inuictis ducibus bella geſſiſſet: & eadem fortunæ pignora in diſcrimen detuliſſet: imo etiam eo plus periculi ſubiſſet, quòd Macedones vnum Alexandrum habuiſſent, multis caſibus non ſolùm obnoxium, ſed etiam offerentem ſe: Romani multi fuiſſent Alexandro vel gloria, vel rerum magnitudine pares: quorum ſuo quiſque fato ſine publico diſcrimine viueret, moreretúrque. Reſtat vt copiæ copiis comparentur vel numero, vel militum genere, vel multitudine auxiliorum. Cenſebantur eius ætatis luſtris ducena quinquagena millia capitũ. Itaque in omni defectione ſociorũ Latini nominis vrbano propè delectu decem ſcribebantur legiones. quaterni, quiníque exercitus ſæpe per eos annos, in Hetruria, in Vmbria, Gallis hoſtibus adiunctis, in Samnio, in Lucanis gerebant bellum. Latium deinde omne cum Sabinis, & Volſcis, & AEquis, & omni Campania, & parte Vmbriæ Hetruriæque, & Picentibus, & Marſis, Peligniſque ac Veſtinis atque Apulis, adiunctáque omni ora Græcorum inferi maris à Thuriis Neapolim & Cumas, & inde Antio atque Hoſtia tenus Samnites, aut ſocios validos Romanis, aut fractos bello inueniſſet hoſtes. Ipſe traieciſſet mare cum veteranis Macedonibus, non plus triginta millibus hominum, & quatuor millibus equitum, maximè Theſſalorum. hoc enim roboris erat. Perſas, Indos, aliáſque ſi adiunxiſſet gentes, impedimentum maius quàm auxilium traheret. Adde quod Romanis ad manum domi ſupplementum eſſet: Alexandro (quod poſtea Annibali accidit) alieno in agro bellanti exercitus conſenuiſſet. Arma, clypeus, ſariſſæque illis: Romano ſcutum, maius corpori tegumentum, & pilum, haud paulo quàm haſta vehementius ictu miſſuque telum. ſtatarius vterque miles, ordines ſeruans: ſed illa phalanx immobilis & vnius generis: Romana acies diſtinctior ex pluribus partibus conſtans: facilis partienti quacunque opus eſſet, facilis iungẽti. Iam in opere quis par Romano miles? quis ad tolerandũ laborem melior? Vno prælio victus Alexãder, bello victus eſſet. Romanum, quem Caudium, quem Cannæ non fregerunt, quæ fregiſſet acies? Næ ille ſæpe, etiamſi primã proſperè euenisſent, Perſas & Indos, & imbellẽ Aſiam quęſiſſet: & cum fœminis ſibi bellum fuiſſe dixiſſet: quod Epiri regem Alexandrum mortifero vulnere ictum dixiſſe ferunt, ſortem bellorum in Aſia geſtorum ab hoc ipſo iuuene cum ſua conferentem. Equidẽ quũ per annos quatuor & viginti primo Punico bello claſſibus certatum cum Pœnis recordor: vix ætatem Alexandri ſuffecturam fuiſſe reor ad vnum bellũ. & forſitan quum & fœderibus vetuſtis iuncta Punica res Romanæ eſſet, & timor par aduerſus communem hoſtem duas potẽtiſſimas armis viriſque vrbes armaret, ſimul Punico Romanóque obrutus bello eſſet. Non quidem Alexandro duce, nec integris Macedonum rebus, ſed experti tamen ſunt Romani Macedonem hoſtem, aduerſus Antiochum, Philippum & Perſen, non modò cum clade vlla, ſed ne cũ periculo quidẽ ſuo. Abſit inuidia verbo, & ciuilia bella ſileant, nunquam ab equite hoſte, nunquam à pedite, nunquam aperta acie, nunquam æquis vtique, nunquam iniquis locis laborauimus. Equitem, ſagittas, ſaltus impeditos, auia commeatibus loca, grauis armis miles timere poteſt. mille acies grauiores quàm Macedonum atque Alexãdri auertit auertétque, modò ſit perpetuus huius qua viuimus pacis amor, & ciuilis cura concordiæ.

PHILIPPI MACEDONVM REGIS, ET ALEXANDRI MAGNI COMPARATIO,

EX IVSTINI HISTORICI LIBRO IX.

DECESSIT Philippus XL & VII annorum, quum annis XXV regnaſſet. Genuit ex Lariſſæa ſaltatrice filium Aridęum, qui poſt Alexandrum regnauit. Habuit & multos alios filios ex variis matrimoniis regio more ſuſceptos, qui partim fato partim ferro periere. Fuit rex armorum quàm conuiuiorum apparatus ſtudioſior, cui maximæ opes erãt inſtrumenta bellorum: diuitiarum quæſtu quàm cuſtodia ſolertior. Itaque inter quotidianas rapinas ſemper inops erat. Miſericordia in eo & perfidia pari iure dilectæ. nulla apud eum turpis ratio vincendi: blandus pariter & in gratia offenſam ſimulare: inſidioſus alloquio: qui plura promitteret, quàm præſtaret. In ſeria & iocos artifex: amicitias vtilitate, non fide colebat. Gratiam fingere in odio, inſtruere inter concordantes odia, apud vtrunque gratiam quærere, ſolennis illi conſuetudo. Inter hæc eloquentia & inſignis oratio acuminis & ſolertiæ plena, vt nec ornatui facilitas, nec facilitati inuentionũ deeſſet ornatus. Huic Alexander ſucceſsit, & virtute & vitiis patre maior. Itaque vincendi ratio vtriq; diuerſa: Hic aperta vi, ille artibus bella tractabat: deceptis ille gaudere hoſtibus, hic palàm fuſis: prudentior ille conſilio, hic animo magnificentior: iram pater diſsimulare, plerunque & vincere: hic vbi exarſiſſet, nec dilatio vltionis, nec modus erat. Vini nimis vterque auidus, ſed ebrietatis diuerſa vitia. Patri mos erat & de conuiuio in hoſtem procurrere, manum conſerere, periculis ſe temerè offerre: Alexãder non in hoſtem, ſed in ſuos ſæuiebat. quamobrem Philippum ſæpe vulneratũ prælia remiſere: hic amicorum interfector conuiuio frequenter exceſsit. Regnare ille cum amicis volebat, hic in amicos regna exercebat: amari pater malle, hic metui. Literarum cultus vtriq; ſimilis: ſolertiæ pater maioris, hic fidei: verbis atque oratione Philippus, hic rebus moderatior. Parcẽdi victis filio animus & promptior & honeſtior: frugalitati pater, luxurię filius magis deditus erat. Quibus artibus orbis imperij fundamenta pater iecit, operis totius gloriam filius conſummauit.

Q. CVRTII LIB. X, DE ALEXANDRI MAGNI VITA, MORIBVS AC MORTE IVDICIVM.

ET HERCVLE, iuſtè æſtimantibus regem, liquet bona, naturę eius fuiſſe: vitia, vel fortunæ vel ætatis: vis incredibilis animi, laboris patientia propemodum nimia. Fortitudo non inter reges modò excellẽs, ſed inter illos quoque quorum hæc ſola virtus fuit. Liberalitas ſæpe maiora tribuentis quàm à diis petuntur: clementia in deuictos: tot regna aut reddita quib⁹ ea dempſerat bello, aut donó data. Mortis, cuius metus cęteros exanimat, perpetua cõtemptio: gloriæ laudíſque vt iuſto maior cupido, ita & iuueni & in tantis admittenda rebus. Iam pietas erga parentes, quorum Olympiada immortalitati cõſecrare decreuerat, Philippum vltus erat. Iam in omnes ferè amicos benignitas, erga milites beneuolentia: conſilium par magnitudini animi, & quãtam vix poterat ætas eius capere, ſolertia. Modus immodicarum cupiditatum, veneris iuxta naturale deſiderium vſus: nec vlla niſi ex permiſſo voluptas. ingentes profectò dotes erant. Vitia fortunę, diis æquare ſe, & cœleſtes honores acceſſere, & talia ſuadẽtibus oraculis credere, & dedignãtibus venerari ipſum vehementius quàm par eſſet iraſci, in externũ habitũ mutare corporis cultum, imitari deuictarum gentium mores, quas ante victoriam ſpreuerat. Nam iracũdiam & cupidinem vini ſicuti iuuenta irritauerat, ita ſenectus mitigare potuiſſet. Fatendum eſt tamen, quũ plurimum virtuti debuerit, plus debuiſſe fortunæ, quam ſolus omniũ mortaliũ in poteſtate habuit. Quoties illum à morte reuocauit? quoties temerè in pericula vectũ perpetua fœlicitate protexit? Vitæ quoque finem eundem illi, quem gloriæ ſtatuit. Expectauere eum fata, dum, oriẽte perdomito aditóque Oceano, quicquid mortalitas capiebat impleret. Huic regi duciq; ſucceſſor quærebatur: ſed maior moles erat, quàm vt vnus ſubire eam poſſet. Itaque nomen quoque eius, & fama rerum in totum propemodum orbem reges ac regna diffudit: clariſsimique ſunt habiti, qui etiam minimæ parti tantæ fortunæ adhæſerunt.

IN ARRIANI LIBROS
de rebus geſtis Alexandri,
INDEX.

A

ABaſtani, libera Indorũ gens 133,c
Abiſſares Indorum rex ad Alex. vocatur 115,b. ad Alex.dona mittit 122,f
Acceſines apud Mallos cum Indo committitur 171,c
acceſines amnis ab Alexand. traiectus 115,c
acceſinis magnitudo 115,d
Achillis tumulus ab Alexand.coronatus 12, d
achilles felix Alexandro viſus,quòd Homerum præconem haberet 12,d
Acuphis Nyſæorum principis ad Alex. oratio 101,c
acuphis prudens ad Alex. reſponſum 102, b
Ada Cariæ ab Alexandro præfecta 23,f
ada Alexãdrũ in filium ſuum adoptat 24,a
adæ Alindam vrbem Alexander dedit 24,a
ada à Pexodaro regno eiecta 24,a
Adorationis & humani cultus differentia 86,a
adoratio ab Alex. affectata excuſatur 168,b
Adraiſtæ,Indica gens 116,c
Adulatores, ſumma regum pernicies 83,b
Ægypti politia ab Alexandro adminiſtrata 54,f
ægypti imperium Alexander in plures præſides partitus eſt 55,b
ægypti regioni nomen ab Ægypto flu. inditum 105,c. ægyptum Herodotus fluminis donum appellat 105,c
ægyptii Arabiæ conterminí 197,d
ægyptii ſacerdotes in ſacrificiis ſale foſſili apud Ammonem Lybicum nato vtuntur 54,d
Æſtus marinus in Indo flumine Græcis admirationi fuit 136, b
Æthiopum legati ad Alexandrum miſſi 158,a
Africa ab Aſia Nilo flu.ſeparatur 76,c
africa ab Europa Gaditano mari diuiditur 76,c
Afrorum legati ad Alexandrum miſſi 157,f
Agenorium, locus ita in Tyro vrbe dictus 49,c
Aginis Suſiorum pagus 197,a
Agmina in Perſas partita 153,f
Agoranis, Indiæ fl. 171,a
Agrianorum rex Langarus 5,c
Agriaſpæ poſtea Euergetæ dicti 73,b
agriaſpæ ob beneficia Cyro præſtita ab Alex.honore affecti 73,b
agriaſpæ non tam barbarorum quàm Græcorum moribus viuebant 73,c
Agricolas belli tempore capere, aut agrum eorum vaſtare nefas 176,d
agricolæ, ſecundum apud Indos hominum genus 176,c
Alexander ab Argiuis oriundus 33,c
alexandri mater Olympias ab Alexandro contempta 55,f. alex. acerbum dictum de Olympiadis arrogantia 155,c
alexander ortum ſuum ad Ammonem referebat 53,d
alexandri & amicorum nuptiæ 148,d
alexandri variæ vxores 148,d
alexander à ſolis conſanguineis ſe deoſculari paſſus 153,f
alexandri hiſtoria à plurimis ſcripta, iiſque valde inter ſe diſſentientibus 1,a. alexandri res geſtæ à Ptolemæo Lagi Ægypti rege conſcriptæ 1,a. Item ab Aſclepiade, & ab Ariſto 158, b. alexandri res geſtę breuiter comprehenſæ 153,c
alexandri in Macedones beneficia 152, c. alexander omne Macedonum æs alienum ſoluit 149,a. alexandri ad Macedones tumultuantes & ſacramento abſolui volentes oratio 151,e. alexãder Macedonibus reditum pollicetur 122, c. alexand. ira aduerſus Macedones militiam detrectantes 122,a. alexander Macedonibus ſua patriſque ſui beneficia exprobrat 151,e
alexandri longinqua profectio multis ſceleribus anſam præbuit 148,b. alex.in Drapſaca profectio 74,d. alexandri ad Ammonem Libycum profectio 53.d. alexandri ad Thapſacum aduentus 56,c. alexandri in Ecbatana aduentus 67,a. alexandri in Bactra profectio 92,f. poſt. alex.ad Indum fl. profectio 100,c. alexander quo pacto Indum fl. ponte iunxerit 105,f. alexandri ad Hydaſpem fl.profectio 106, f. alex. per Hydaſpem fl. ad Oceanum nauigare ſtatuit 123, b. alex. cataractas Tigritis rumpit 150, f. alex. ad Acceſinis & Indi confluentem nauigatio 133, c. alex. ad confluentem Acceſinis & Indi vrbem condit 133, d. alex. Acceſinem amnẽ traiicit,115,c. alex. Oceanum ad Indi fauces explorat 136, e. & 137, a. alex. Neptuno tauros ad Indi flu. oſtia in mare proiicit 136, f. alexander Olympiadi matri ſuæ Nili fontes ab ſe repertos falſò ſcripſit 123, d. alexander Iſtro ſacrificat 4, f. alex. per Carmaniam ludibundus & bacchabundus iter fecit 143,c. alex. de adeũda Sicilia & Iapygio promontorio conſilium 146,b. alex. per Euphratẽ & Tigrim in Perſicum mare nauigatio 146,a. alex. Pallacopã fluuium in gratiam Aſſyriorum obſtruit 163,c. alexandri in Triballos & Illyrios expeditio 2,a. alex. in Getas trans Iſtrũ expeditio 4,b. alex.in Agrianos & Pæonas expeditio 5,b. alex.in Thebanos expeditio 8,b. alex. in Mediã expeditio 66,c. alex. in Hyrcaniam expeditio 69,c. alex.in Parthos expeditio 67,d. alex.in Mardos expeditio 70,c. alex. in Bactra aduerſus Beſſum expeditio 71,c. alex. in Areos expeditio 72,a. alex. ad Caucaſum montem profectio 73,c. alex. in Sogdianos ſecunda expeditio 89, e. alex. in Indos expeditio 93,a. alex. expeditio in petram Sogdianorũ 91, f pr. alex.in Aſſacenos expeditio 95, f. alex.in Aſſacanos expeditio 100,c alex.expeditio aduerſus Porum 106, f. alex. in Glaucanicas Indos Pori regno finitimos expeditio 114, f. alexander ad Hydraotem Indiæ flu. profectio 116,b. alex.ad Hyphaſim amnem expeditio 119,a. alex.vltra Hyphaſim in India progreſſus non eſt 170,e. alex.in Gadroſos expeditio 138,c. alex. in Oritas expeditio 138,b. alex.in Carmaniam expeditio 142,d. alexander agmina in Perſas partitur 153,f. alex. in Coſſæos expeditio 157,e. alex.in Arabes expeditio 161,d
alexandri cum Dario apud Iſſum pugna 37,d. alexander quibus de cauſis bellum Perſis intulerit 41,d. alexandri in pugna cum Dario ad Arbelam exercitus quo pacto inſtructus fuerit 59,f. alexandri cum Dario ad Arbelam pugna 61,c. alex. Babylonem ingreſſus templa à Xerxe diruta inſtaurat 63,e. alex. apud Scythas Abios ſeptem vrbes expugnat 78,e. alex.cum Scythis ad Tanaim flu. pugna 79,f. alex.cum Indis tripartito exercitu pugna 95,b. alex. nouæ copiæ in Scythia adueniunt 82,d. alex. aciem aduerſus Porum inſtruit 109, f. alex.cum Poro ad Hydaſpem fl. pugna 112, a. alexander Porum ob fortitudinem ſaluum cupiẽs Meroen Indum ad eum mittit 113,e. alexan. Poro regnum reſtituit 114,b. alex. ſolus in muri faſtigio cum Indis pugnat 129,b. alexander primus Indos bello adortus, ſubegit 175,a
alexander vaticiniis Ariſtandri reluctatur 79,d
alex. claſſis duces ad Hydaſpem fluuiũ 181,a
alexander equitatum in duas partes diuidit 73,b
alex. apud Gadroſos factum memorabile 141,f
alexandri de Romanis opinio 158,b
alexander vrbem de ſuo nomine ad Tanaim fl.condit 77, b. alexander apud Sogdianos vrbem condit 313, e. alexander Ægypti imperium vni præſidi committendum non cenſuit 55,b
alex.apophthegma 167,a
alexandri ad Darium epiſtola 41,c. alex.ad Cleomenem hominem improbum epiſtola, de templis Hephęſtioni exſtruendis 165,b
alexandri & Nearchi ex ſinu Perſico reducis colloquium 193,c. alexandri & Pori colloquium 114,b. Celtarum legati ad Alex.miſſi 158,a. alex. cum legatis Scytharum amicos mittit, qui naturam regionis explorent 77,a. alexandri oratio ad milites cum Dario apud Iſſum conflicturos 34,c. alex.ad milites cũ Dario ad Arbela conflicturos oratio, 58,c. alexandri oratio ad Macedones militiam detrectantes 119,c
alex. epulum pub. vniuerſis exercitus ducibus curat 154,c
alexander plura quàm militum quiſquam vulnera accepit 152,f. alexãder in pugna aduerſus Porum vulneratus 110, c.
alexander ſagitta crus traiicitur 76, d

alex. grauiſſimum apud Mallos in pectore vulnus accipit 129,e. alexander ſaxo ad caput & ceruicem Cyripoli ictus 78,e. alexand. in Gazæ obſidione catapulta ictus 51,b. de alexandri apud Mallos, vel Oxydracas vulnere variç ſententiæ 130,d & 131. alex. in humero vulneratus 94,a.
alexander à Peloponneſiis imperator exercitus aduerſus Perſas creatur 1, b. alexander armis ſuis in templo Palladis Troianç fixis, alia ex Troiano bello ſalua, ibíque ſuſpenſa ſumpſit 12,c. alex. ſcutum ex Palladis Iliacæ templo ſumptum in omnibus præliis antè ſe geſtari curabat 129,b. alexander Ilium conſcendens coronatus 12,d
alexander non abſque numine diuino terris datus 168,e
alexander Perſei & Herculis æmulator 53,d. alex. Achillem à puero imitatus eſt 156,f. alex. Minoe, Æaco, aut Rhadamantho non inferior 168,b
alexander, ſe vt Ammonis filium adorari vult 85,a. alex. ab adulatoribus pro deo colendus eſſe iudicatur potius quàm Bacchus aut Hercules 85, d. alexander adoratione cultus 87, a. alexander ſe apud Arabas duos tantùm deos colentes pro tertio deo coli cupiebat 161,e. alexander, quòd diuinos honores affectarit, excuſatur 168,b
alexandri laus 13,a. 168,e
alexandri virtutes ſingulares 167,e. alex. liberalitas 149,a. alexandri cōtinentia 92,f. pr. alexandri erga captiuos benignitas 39,d. alexandri de amicis fiducia 32,c. alexander laborū tolerantiſſimus 141,e. alexan. vrbis Brachmanorum obſeſſæ murum primus conſcendit 127,e. alexander furtiuam victoriam turpem iudicabat 58,f. alex. ſubditos à præfectis iniuria affici nulla ratione patiebatur 143,a
Vitia alex. ab Arriano excuſata 167,f
alexander ad iram procliuior 151,d. alexander delationibus nimium fidei tribuit 148,c. alexander præ immenſa gloriæ cupiditate, ſumma etiā pericula negligebat 132,c. alex. inexplebilis curioſitas & dominandi cupiditas ab Indorum ſophiſtis reprehenſa 146,e. alexandri temeritas in adeundis periculis ab amicis reprehenſa 132,e. alexandri audax & temerarium facinus 129,d
alexandri perpetua felicitas 91,f. poſt. alexandri fiducia in rebus difficillimis ob perpetuam felicitatem 91,f. poſt. alexandri felicitati hoc defuit quod paucos laudum ſuarum præcones habuerit 12,f. alexander Syræ mulieris diuinç monitu ab inſidiis ſeruatus 88,a. & 6. alex. quo pacto nobilium iuuenum qui ad eius cubiculum excubabant inſidias euaſerit 88,a & b
alex. ad pœnitentiam pronus 168,a. alex. de cæde Cliti pœnitentia 84,a. alex. luctus ex morte Hephæſtionis 156,d. alex. gaudium nuntiato reditu Nearchi ex ſinu Perſico 191,b. alex. Antipatrum Macedonia euocat 155,b. alex. recentes ab Antipatro copias ad Memphin accipit 54,e
alexandri portus 183,d
alex. morbus à conuiuio 166,a. alexandri morbus ex natatu in Cydno flumine 32,a. alexandri mors, quo tempore acciderit 167,d. alex. an veneno obierit 167,a
alexander Aeropus Alex. vitæ inſidiatur 24,f
Alexandria ad Caucaſum montem ab Alex. condita 73,e. alexandria in Ægypto ab Alexandro condita 52,c. alexandriæ ſitus Alex. percommodus ad negotiationem viſus 52, e. alexādria ad Tanaim à Græcis mercenariis habitata 79,c. alexandria apud Parapamiſadas condita 93,a
Alinda munitiſſima Cariæ vrbs 24,a
Amaniæ pylæ 34,b
Amaſtrine Oxyartis Darii fratris filia Crateri vxor 148,d
Amazonum habitus 155,e
amazones ab Athenienſibus duce Theſeo victæ 156,b
amazones ab Alex. domū remiſſç, nequid à Macedonibus aut barbaris probri acciperent 155,f
amazones ab Atropate ad Alex. miſſæ 155,e
amazones Alexādri tempore non fuiſſe 156,a
Ambiſarus Indorum montanorum rex 106,e
apud Ammonem Libycum ſal foſſilis ſuapte natura gignitur 54,e
Via ad ammonem Libycum deſerta ſabulóque impeditiſſima 53,e
ammonis templum vndequaque vaſtis ſolitudinibus cinctum, in medio ſui locum habet XL ſtadiorum cultis arboribus refertum 54,b
ammon Hephæſtioni, vt heroi, ſacrificari iubet 164,f
ammonis templum apud Meſogabam vrbem eſt 53,e
ammonis Libyci oracula certiſſima 53,d
Amphoterus ad Peloponnenſes tumultus ſedandos è Tyro miſſus 55,d
Amyntas ob ſuſpicionem inſidiarum ſagitta in oppugnatione cuiuſdam vrbis occiſus 73,b
Amyntas inſidiarum Alex. ſtructarum falſò accuſatus 73,b
Amyſtis, Indiæ fl. 171,a
Anamis Carmaniæ fluuius 191,e
Anaxarchus ſophiſta Alex. de cæde Cliti conſolatur 84,e
anaxarchus ſophiſta omnia regum facta iuſta eſſe contendebat 84,e
Anchialon opp. Ciliciæ à Sardanapalo conditum 32,e
Ancyra Galatiæ vrbs 31,d
Andaeæ Indicæ vrbis deditio 94,c
Andomatis, Indiæ fl. 171,a
Androſthenes Arabiam Alex. iuſſu explorauit 162,e
Animus humanus inuictus, ſi aliquid ſibi firmiter proponat 148,b
animi moderatio optima ad felicitatem conſequendam via 83,a
Antigonus Phrygiç ſatrapa ab Alex. factus 28,e
antipater Macedoniæ & Græciæ ab Alex. præficitur 12,a
Antipater ab Alex. matre accuſatus 155,
antipatri cum Olympiade Alex. matre diſſenſio 155,c
Aornos vrbs in Bactris capta 74,e
aornos petra ingens Indiæ munimentū 98,a. aorni petræ deſcriptio 98,b. aornos petra Herculi inexpugnabilis 98,a. aorni petræ oppugnatio 99,a. aorni petræ deditio 100,b. aornos petra 172,b
Apophthegma Bœoti ſenis ad Alexand. 132,d
Apoſtani gens Perſidis 194,e
Arabes, populoſa natio 161,e
arabes duos tātùm deos colunt, cœlum & Dionyſum 161,d
Arabia inſulis ac portubus frequens 161,f
arabia maritima, India non minor 161,f
arabia ab Archia iuſſu Alex. explorata 162,e
arabia ab Androſthene Alex. iuſſu explorata 162,e
arabia ab Hierone Alex. iuſſu explorata 162,c
arabia opulentiſſima regio 161,e
Arabius, Indiæ amnis 137, & 138, a. & 184,c
Arabicus ſinus Ægypto vicinus 162, c
Arabitæ, libera Indiæ gens 138,a
Arachoti ſubacti 73,c
Arx XII. ab Alex. exſtructæ 122,d
Aradi deditio 41,a
Araxes in Caſpium mare fluit 158,e
Arboris cuiuſdam altiſſimæ odoratiſſimæque apud Gadroſos deſcriptio 139,a
Archias ab Alexandro ad explorandam Arabiam miſſus 162,c
Arenoſis locis quibus notis viç cognoſcantur 142,a
Areorum defectio 71,f. areorum ſecunda defectio 73, d. areorum regio ab Areo fl. dicta 82,b
Areus fluuius ſub arenis ſe condit 82,b
Arigæum Indiæ vrbs ab Indis incenſa 94,f. arigæum Alexand. inſtaurat 95,a
Ariobarzanes Pylas Perſidis inſidēs ab Alexandro fugatus 66,a
Arma Alex. in templo Palladis Troianæ fixa 12,e
Armatura Indica 180,a
Armentariorum apud Indos conditio 176,d
Aromata quæ apud Arabes naſcuntur 161,e
Aroſes fluuius Perſidis 195,d
Arriani de ſeipſo honorificum teſtimonium 13,b
Arrianus qua occaſione ad Alex. res geſtas conſcribendas ſe contulerit 13,b. arrianus in Alex. hiſtoria Ptolemæū Lagi filium & Ariſtobulum ſecutus eſt, 1,a. arriani ad eos qui hiſtoriā ſcribunt admonitio, 131,c
arrianus Alexandri admirator 168,f. arrianus Alexandrum ob animi altitudinem laudat 59,e. arriani de Alex. tolerantia iudicium 141,f. arrianus Alex. continentiam laudat 92,f. pr. arriani de habitu Medico ab Alex. aſſumpto ſententia 82,e. arriani de Alex. vitiis iudicium 167,f. arrianus de Cyri regia ab Alexandro ſuccenſa iudicium 66,c. arriani de Cliti cæde iudicium 84,b. arriani de Alexandri morte iudicium 159, b. arriani de honoribus Hephæſtioni poſt mortem ab Alex. tributis iudicium 165,a. arriani de atroci ſupplicio quo Beſſus ab Alex. affectus eſt, ſententia 82,e. arriani de Darii ingenio ac moribus iudicium 69,b. arriani de fatali neceſſitate transferendi imperii Perſici ad Græcos, ſententia 34, a. arriani de fabulis deorum ſententia 101,b. arriani de Amazonibus iudiciū 156,b. arriani de Romanis iudicium 158,e.

arriani de Anaxarchi ſententia, qua omnia regum facta iuſta eſſe aſſerebat, iudicium 84,f. arriani de cliti intemperantia linguę inter pocula, iudicium 83,d. arriani de Calliſthene circa adorationem Alexand. iudicium 87,c. arriani de Calano, qui viuus ſe in rogum immiſit, ſententia 148,b
Ariſtander Telmiſſenſis optimus Alex. vates 52,e
Ariſtobuli & Ptolemæi de Calliſthenis morte diuerſæ ſententiæ 88,e
ariſtobulus Ariſtobuli filius hiſtoriam Alexandri ſcripſit 1,a. ariſtobulus & Ptolemæus cæteris hiſtoriæ Alex. ſcriptoribus fide digniores 1,a
Ariſtonicus citharœdus & miles ſtrenuus in pugna cum Spitamene cęſus 92,e
ariſtonicus in portum Chiorũ delatus. à Perſis teneri eum ratus, capitur 53,b
Ariſtoteles ob Calliſthenis necem Alex. ſuſpectum habebat 167,b
Ariſtus Alexandri res geſtas ſcripſit 158,b
Artabazus ob fidem erga Dariũ ut Alex. charus 70,c
Artacoana Areorum vrbs & regia 71,f
Aſcania Phrygiæ palus 28,b
Aſclepiades Alexand. res geſtas ſcripſit 158,b
Aſia ab Europa Tanai fluuio ſeparatur 76,c
In aſia vxores etiam regnant 24,a
aſia ab Africa Nilo flu. ſeparatur 76,c. aſia præcipuè Tauro & Caucaſo mõtibus diuiditur 104,e. aſiæ diuiſio 104,e
Aſiaticorum fluuiorum diuerſi in mare exitus 104,d
aſpendi vrbis ſitus 26,d
aſpendi obſidio & deditio 26,e & f
aſpendiorum defectio 26,d
Aſpendiorum deditio 26,a
Aſſaceni Indiæ populi 100,d
aſſaceni, ôlim Aſſyriis ſubditi 169,b
aſſacenorum defectio 115,c
aſſaceni & Aſtaceni, Indica natio 169,b
Aſſyria Euphrate & Tigride fl. terminatur 150,c
aſſyria nullas arbores nauibus conſtruendis idoneas habet, præter cupreſſos 161,b. aſſyria cupreſſis abundat 161,b
aſſyriorum regum ſepulcra in paludib' extructa 163,f
Aſtis Indi defectio 93,d
Athenienſium clades apud Siciliam 10,a. athenienſium clades ad Ægos fluenta 10,b
athenienſium expugnatis Thebis ad Alex. legatio 11,e. athenienſes ciues ſuos ad Granicum captos ab Alex. repetunt 28,e. athenienſium ſacra nauis ad Alex. Tyrum miſſa 55,e. athenienſes ciues ad Granicum capti ab Alex. Tyri dimittuntur 55,d.
athenienſes Bacchum Iouis & Proſerpinæ filium coluerunt 43,b.
Atropates Medorum ſatrapa cẽtũ Amazonas Alex. mittit 155,e
Augurium aquilæ 19,a
Autariatæ parum bellicoſi 5,d
Auſtanes à Cratero victus 92,f poſt.
Azelmicus Tyriorum rex 47,f

B

Babylonii Belum præcipue colunt 63,e
babyloniorum deditio 63,d
Bacchus Iouis & Proſerpinæ filius 43,b
bacchi feſtum, Dioſcuris ab Alex. tributum 83,b
bacchus varias artes Indos docuit 173,e. bacchus Indos ſerendi rationem docuit 173,d. bacchus Indis leges condidit 173,d
Bactra vrbs in Bactris capta 74,e
Badichorus Carmaniæ locus 190,e
Bagia, rupes apud Indos ſoli ſacra 188,b
Bagiſara Ichthyophagorum locus 186,c
Balænæ apud Ichthyophagos immenſæ magnitudinis 189,c
Balomum littus apud Ichthyophagos 187,a
Barbas Indi variis coloribus fucant 179,f
Barſine Darii filia, Alexandri vxor 148,d
Baryaxes ob affectatum imperium Medicum necatus 144,c
Barzaëntis aduerſus Darium perfidia ab Alex. capite mulctata 72,b
Batis eunuchus Gazæ vrbis præfectus ſolus in Syria Palæſtina Alex. reſiſtit 50,c
Bazira Indiæ opp. 97,c
bazira ab Alexandro inſtaurata 98,c
bazirenſium clades 97,e
Belum Babylonii præcipuè colunt 63,e
beli templum apud Babylonios à Xerxe ſubuerſum 159,c
Bellum aduerſus Lacedæmonios 64,b
Beſſus aliique Perſæ Darium captiuum tenent 68,a. beſſus mutato nomine ſe Artaxerxem vocat 71,d. beſſus Aſiæ regem ſe vocat 73,d
beſſus regionem Caucaſo vicinam vaſtat, ne Alex inde eum inſequatur 74,e. beſſus nudus ad Alex. in itinere adducitur 75,e. beſſus à barbaris Ptolemæo traditur 75,e. beſſus ob perfidiam in Darium flagris cæſus occiditur 76,a. beſſo ob perfidiam in Darium ſummitas narium & aurium præſciuditur 82,d
Bibacta, Indiæ inſula 183,e
Bibli deditio 42,e
Bœotorum & Arcadum clades ab Epaminonda accepta 10,c
bœoti ſenis ad Alexand. apophthegma 132,d
Boſphorus à Dario ponte iunctus 106,a
Boues apud Indos clauam inuſtam habentes 103,e
Brachmani ſophiſtæ Indi 134,e
brachmanorum vrbs obſeſſa 127,d
brachmani quòd defectionis autores Sambis fuiſſent, interfecti 134,e
Bucephalus à Pori filio vulneratus interiit 110,e. bucephalus non ex vulnere, ſed ætate & laboribus fractus interiit 114,c
bucephalus Alexandri equus neminem præter Alexandrum ſeſſorem admittebat 114,c
bucephalus in Vxiis amiſſus 114,d. bucephalus à capitis bouini nota ei impreſſa dictus 114,d
Bucephala vrbs in Bucephali memoriam ab Alexandro condita 114,e
Budyas Indiæ rex, quot annos regnarit 173,f

C

Cabana, Ind. inſula 184,d
Cacuthis, Ind. fl. 171,a
Caicandrus inſula exigua 194,d
Caici campus in Myſia à Caico flu. dictus 105,c
caicus fl. in Myſia Caico campo nomen dedit 105,e
Cainas Ind. fl. 170,f
Calanæ Ichthyophagorum locus 186,d
calanus ſophiſta Alexand. ſequutus 147,c. calanus à reliquis Indiæ ſophiſtis reprehenſus 147,c
calani de Alexandri morte vaticinium 160,e
calanus vt ſenectutis incommoda vitaret, viuus ſe in rogum mittit 147,d
Callinis oratio ad Alex. pro Macedonibus 154,b
Calliſthenes Olynthius Ariſt. diſcipulus 85,a
calliſthenis in loquendo licentia, ei damnoſa 87,d. calliſthenis loquendi licentia & inepta arrogantia Alexandro meritò odioſa 87,c.
calliſthenes ob familiaritatem cum Hermolao ſuſpectus 88,d
calliſthenis aduerſus Anaxarchum oratio de adoratione Alexandri 85,f
calliſthenis auſteritas 85,a
calliſthenes Alexandrum eiúſque facta ſuis ſcriptis inferiora iudicabat 85,b.
calliſthenes adorationi Alex. repugnat 85,a.
calliſthenes Alexandrum oſculari voluit, adorare noluit 87,b.
calliſthenes inſidiarum accuſatus 87,d
Campus Neſſæus in quo C L. M. equarũ paſci ſolent 155,e
Canates, Indiæ portus 188,c
Canaſida, vrbs Indiæ deſerta 188,c
Cappadocia ſubacta 31,d
Carbis littus Cyſæ pagi 186,e
Carmaniæ regionis natura 190,e
carmaniæ longitudo 194,d
carmani Perſarum more viuunt 193,d
Carnes ſuillæ elephantorum vlcera curant 178,e
Carnine Ichthyophagorum inſula 186,e
In carnine inſula pecudes, vt & aues, piſcoſas carnes habent, quòd piſces tantùm edant 186,e
carnine inſula gramen non habet 186,e
Carthaginienſium legati ad Alex. miſſi 158,a
Cárum promiſcua cum ſororibus ſuis matrimonia 23,f
Caſia paluſtribus locis apud Arabes naſcitur 161,e
Caſpii maris initia à nemine inuenta 158,e
caſpium mare ab Alexandro exploratum 158,d
caſpium mare, quos fluuios in ſe recipiat 158,e

Caſſander Antipatri filius 167,b
Cataderbis lacus 196,c
Catadupa, Indiæ vrbs 171,a
Catalogus ducum Perſarum primo bello 13,d
Catanes à Cratero victus 92,f
Cataractæ Tigritis ab Alexand. ruptæ 150,f
Cathæorum Indiæ populorum bellum aduerſus Alex. 116,d
Caucaſi montis deſcriptio 74,a
Caumana Indiæ locus 183,b
Cayſtri campus Lydius à Lydo flumine dictus 105,b
Celænę Phrygiæ opp. 28,b
celænarũ deditio certis conditionibus facta 28,c
Celtæ bellicoſiſſima natio 3,e
celtę proceræ ſtaturę 5,a
celtæ Ionicum ſinum incolentes 5,a
celtæ arrogantes 5,a & b
Celceæ Dianæ ſimulacrum Babylone Athenas ab Alex. remiſſum 151,a
Chaldæos Alex. apud Babylonem conſulit 63,e. chaldæi Alexandro Babylonicam profectionem diſſuadent 158,f. chaldęorum oraculum ab Alex. neglectum 163,d
Charidemus Athenienſis ab Alex. in exilium miſſus 11,e
Chiorum deditio 53,a
Choes Indiæ fl. 93,f
Choraſmeni Colchis finitimi 89,c
Chorienes petram Chorienis dictã dedit 92,d. chorienis petræ apud Paratacas deſcriptio 91,e. poſt. chorienis petræ difficillima oppugnatio 92,a
Cilluta inſula in Indo fl. 136,d
Cimon citatur 156,b
cimon Atheniẽſium cum Amazonibus pugnam deſcripſit 156,b
Claſſis ex cupreſſis conſtructa 161,b
claſſis Alexan. quum per Hydaſpem ad Oceanum nauigaret, nauium 1 1. M. 124,c
claſſis Alex. ad Hydaſpem fl. 181,f
Cleander & Sitalces ob templa ſpoliata necati 142,e
Cleomenes templa Hephæſtioni extruere iubetur, 165,a
Cliſobora, Indiæ vrbs 174,a
Cliti Bardilei defectio 5,e
clitus ſecuris ictum ab Alex. capite auertit 16,b. cliti in Alex. inter pocula conuitia 83,e. clitus ab Alex. ob intemperantiam linguæ inter pocula interfectus 84,b. cliti cædes ad Bacchi iram ob ſacrificium eius neglectũ relata 84,d.
Cocala, Indiæ inſula 184,e
Cœlum ab Arabibus pro deo colitur 161,d
Cœni cum Spitamenis copiis pugna 91,b pr.
cœni Polemocratis F. ad Alexand. oratio pro Macedonibus militiã detrectantibus 120,f
cœnus Bazirenſes cędit 97,e
Colloquium Alex. & Pori 114,a & b
Coltæ Ichthyophagorum locus 186,d
Colchi & Amazones finitimi 89,c
Commenaſes, Indiæ flu. 171,a
Condochates, Indiæ flu. 171,a
Coniugia apud Indos inter æquales fiunt 177,b
Conſilium Alexand. de adeunda Sicilia, 146,b
Conſultatio Perſarum, de pugna cum Alex. committenda 13,e
Cophantes portus Ind. 187,b
Cophenes Indiæ flu. 93,b
Cordax, ſatyrica ſaltatio 173,e
Coreatis Ind. locus 182,b
Cos inſula ab Amphotero recuperata 53,c
Coſſei, gens bellicoſa 157,e
Coſſoanus, Ind. fluuius 170,f
Cradeuas Ind rex 173,f
Crateri aduerſus Catanem & Auſtanẽ pugna 92,f poſt.
craterus Alex. amiciſſimus 154,f
Critodemus Alexandri medicus 130,c
Crocala, Ind. flu. inſula 183,c
Crocodili in Indo flumine viſi 123,c
Cteſias ab Arriano citatur 177,d
Cultus diuini contemptus damnoſus 84,d
cultus diuini & humani differentia 85,f. cultus diuinus & humanus nõ ſunt confundendi 86,b
Cupreſſorum in Aſſyria magna copia 161,b
Curioſitas Alex. à ſophiſtis reprehenſa 146,e
Cuſtodum corporis Alexand. nomina 143,e
Cydni fluminis origo & natura 32,a
Cyiza Ind. portus 187,c
Cyna Alexandri magni ſoror Langaro Agrianorum regi deſtinata 5,e
Cypriorum regum deditio 45,f
Cyrenæ, Libyæ vrbs, herboſæ, fertiles, & irriguę 178,b
cyrenęi greges ouium quamlongiſſimè poſſunt à ſilphio arceri 74,b
Cyri res geſtę à Xenophonte illuſtriores ſunt effectę 13,a
cyri ſepulcrum apud Paſargadas 144, c. cyri ſepulcrum ſpoliatum 145, a. cyri ſepulcrum ab Alex. inſtauratũ 145,b
cyri regia ab Alexandro ſuccenſa 66,b
cyro ſingulis menſibus equus ſacrificabatur à Magis 144,f
Cyrus primus omnium mortalium adoratione cultus 86,e
cyrus, Cambyſæ filius ab Agriaſpis adiutus 73,b
Cyropolis à Cyro condita 78,d. cyropolis maxima vrbs 77,d. cyropolis expugnatio 78,d
Cyſa Ichthyoph. pagus 186,a

D

Dandamis Indorum ſapientũ apud Taxilam vrbem natu maximus 147,a
Danubius à Dario ponte iunctus 106,a
Darii ad Iouem precatio 91,c poſt.
darii caſtra ad Sochos 33,c. darius Iſſum capit 34,b. darius Macedones apud Iſſum inuentos crudeliter necat 34,b. darii apud Iſſum exercitus 35,f. darii apud Iſſum fuga 38, b. darii apud Iſſum cladis cauſa fuit anguſtia locorum 57,e
darii mater, vxor, & liberi capti 38,f. darius ad Euphratem fugit 40,b. darius legatos ad Alex. mittit, vxorem ac liberos reddi petens 41,b, darius legatos ad Alex. mittit 49,f. darii exercitus ad Arbelam quantus fuerit 57,d. darii exercitus apud Arbelam quo pacto inſtructus fuerit 59, d. dario apud Arbelam longa in armis mora damno fuit 59,c. darius in pugna ad Arbelam primus omniũ terga vertit 61,f. darii in Mediam fuga 63,b. darius à Perſis captus 68,a. darius à Perſis occiſus 69,a. darius perpetuis calamitatibus exercitus 69,c. darius poſt mortem quàm in vita felicior 69,d
darii cladium enumeratio 69,c
darii clades, quibus quæque locis contigerint, hiſtoricè inquiritur 130,e
darius Alexand. continentiam laudat 9?,c poſt.
darius Boſphorum ponte iunxit 106,a
Delta Ægyptium Indorum lingua Patala vocatur 103,c
Dendroboſa Ichthyophagorum portus 187,b
Dianæ Celceæ ſimulacrum Babylone Athenas ab Alexandro remiſſum 16 ,a
dianæ templum ad Euphratis oſtia 161,f
Diffidentia militum ab Alex. reprehenſa 149,b
Dii in alto poſiti adoratione tantùm, nõ oſculis, coluntur 86,a
Diogenes Sinopeus admirationi Alex. fuit 146,c. diogenis Sinopei liberum aduerſus Alexandrum dictum 146,c
Dionyſus ab Arabibus colitur 161,d. dionyſus, qui Nyſam condidit. quiſnam fuerit 101,e. dionyſius Nyſam peregrinationis ſuæ victoriæque ab Indis reportatæ monimentum extruxit 101,d. dionyſus, deuictis Indis, ludibundus magnam Aſiæ partẽ peragrauit 143,c. dionyſus, Triumphus vocatus 143,c. dionyſum Indi Hercule ſeniorem xv ſeculis faciunt 175,b
Diophantus & Achilles legati ab Athenienſibus ad Alex. Tyrum miſſi 55,c
Diridotis pagus Babylonicæ regionis 196,e
Doma, Indiæ inſula 183,e
Donarium Athenas ab Alex. ex clade apud Granicum miſſum 17,a
Dotis nuptialis apud Indos vſus non eſt 180,e
Dragoſi ſubacti 73,c
Drangi ſubacti 73,c
Drypetis Darii filia Hephæſtionis vxor 148,d
Dyria Indię vrbs 100,d

E

Eclipſes vnde fiant 56,f
εἵλωτες ſiue mancipia Lacedęmoniorum 175,f
Elephantorum venatio 100,e
elephas venerem vere appetit 178,d
elephas fœtum XVI. menſes vtero fert 178,d
elephantorum intelligentia 178,c
elephanti oculorum ægritudini obnoxii 178,e. elephantorum vitio oculorum lac bubulum medetur 178,e. elephantorum vlcera carnes ſuillæ curant 178,e
elephanti ad CC. annos viuunt 178,e
elephanto vehi apud Indos regiũ eſt 180,d
Emaon nonnullis Taurus mons dicitur 169,e
Embolima Indiæ vrbs 98,c
Emodus nonnullis Taurus mons dicitur 169,e

Eordaicum flumen 5,e
Epardus Mardorum flu. ſub arenis ſe condit 82,b
Epheſus ex oligarchia in democratiam redacta 18,a
Epidauriorum legati ad Alexand. miſſi 157,a
Epiſcopos apud Indos falſa pro veris, regibus denuntiare nefas 177,a
epiſcoporum ſiue inquiſitorũ apud Indos conditio 177,a
Epitaphium ſardanapali ſepulcro Anchiali inſcriptum 32,f
Epulum publicũ ab Alex. vniuerſis exercitus ducibus datum 154,c
epulum I x. M. conuiuarum 154,d
Equæ Neſſeæ 155,e
Equitatus ab Alexandro diuiſus 73,b
Equo vno vehi apud Indos vile 180,d
equus ſingulis menſibus Cyro ſacrificabatur 144,f
Erannoboas, Indiæ flu. 170,f
Eratoſthenes Cyrenæus citatus ab Arriano 102,e
eratoſthenes Indiæ hiſtoriam ſcripſit 104,b. eratoſthenes citatus 170,b. eratoſthenes Indiæ longitudinem finibus menſus 170,b
Erineſes, Indiæ fluuius 171,a
Erythræum mare ab Erythro primo Organæ inſulæ principe dictum 194,a
Eteſiæ apud Indos non à ſeptentrione, ſed ex auſtro oriuntur 137,d. eteſiis in India ſpirantibus tempus nauigationi ineptum 137,d
Etymandrus flu. per Euergetas fluens, ſub arenis ſe condit 2,b
Euaſpla Indiæ flu. 94,d
Euergetæ vnde dicti 73,b. euergetæ antea agriaſpæ dicti 73,b
Eulæus amnis in Tigritem fluie 150,c
Euphrates & Tigris fluuii Aſſyriam interiectam terminant 150,e. euphrates multos ex ſe alucos deriuat 150,d. euphrates flu. per paluſtria loca ſe condit 104,e. euphrates hyeme, leni curſu: æſtate, vehementi fertur 163,a. euphrates in Pallacopam fl. & in paludes ac ſtagna ſe æſtate exonerat 163,a. euphratis oſtia à Babylone diſtant ſtadiis I I I. M. C C C 199,f
Europa ab Aſia Tanai flu. ſeparatur 76,e. europa ab Africa Gaditano mari diuiditur 76,c
Enus fluuius in Iſtrum fluens 171,d
Euripides citatus 159,a
Exemplum memorabile boni imperatoris ab Alex. editum 141,f
Exercitus inſtructio aduerſus Darium apud Iſſum 35,d. exercitus Alexan. ad Granicum amnem quo pacto inſtructus fuerit 14,d
Epigoni ſiue poſteri Alexandri, vocati adoleſcentes apud barbaros nati 149,e
Exoda vrbs ab Alexandro capta 18,d
Expeditio Alex. in Perſiam, ab Helleſponto 12,a. expeditio Alexandri ex Mileto in Cariam 20,f. expeditio Alexãdri gnLyciam & Pamphyliam 24,c. expeditio Alex. in Siden 26, b. expeditio Alexandri in Phrygiã 28,b. expeditio Alexand. in Tyrios 42,f. expeditio Alex. in Ægyptum 51,a. expeditio Alexandri in Vxios montanos 64,c. expeditio Alex. in Mediam 66,c. expeditio Alexandri in Hyrcaniam 69,c. expeditio Alexand. in Mardos 70,e. expeditio Alex. in Bactra aduerſus Beſſum 71,e. expeditio Alexandri in Parthos 67,d. expeditio ſecunda Alex. in Sogdianos 89,e. expeditio Alexandri in petram Sogdianorum 91, f. pr. expeditio Alexandri in Indos 93,a. expeditio Alexandri in Aſſacenos 95,f. expeditio Alexandri in Aſſacenos 100,c. expeditio Alexandri aduerſus Porum 106,f. expeditio Alexandri in Glaucanicas Indos Pori regno finitimos 114,f. expeditio Alexandri ad Hydraotem Indiæ flu. 116,b. expeditio Alexandri ad Hyphaſim Indiæ fl. 119,a. expeditio Alexandri in Gadroſos 138,e. expeditio Alexandri in Oritas 138,b. expeditio Alexandri in Carmaniam 142,d. expeditio Alexandri in Coſſæos 157,e. expeditio Alex. in Arabes 161,d.

F

Fabulis deorum quatenus fides adhibẽda ſit 101,b
Felix nemo ante obitum dici poteſt 159,b
Fluminum eluuiones regionem planam faciunt 105,b
fluminum Indiæ confluentes deſcribuntur 131,b
Fluuii aliquot Peneo Theſſ fl. maiores, qui ſe ſub arenis in Scythia condunt 82,b
fluuii Indiæ ſolſtitio æſtiuo ex Caucaſi niuibus ſolutis vehementer exereſcunt 107,e
fluuii, qui in Caſpium mare fluunt 158,e
fluuiorum Aſiaticorum curſus in diuerſa maria 104,d
Fœminæ apud Indos ſeptimo ætatis anno nubiles ſunt 174,d
Fons ad Ammonis templum eſt meridie frigidus, media nocte calidiſſimus 54,b
Formicæ Indicæ vulpibus maiores 179,b
Frenorum Indicorum ratio 180,b

G

Gabæ opp. Sogdianorum 91,b
Gaditanum fretum Africam ab Europa diuidit 76,c
Gadroſi Oritis vicini 186,c. gadroſi myrrha abundant 138,e. gadroſi nardo abundant 138,f. gadroſorum regia, Pura 140,a gadroſorum regio ob æſtum & arenarum altitudinem inacceſſa 140,c. gadroſorũ regio mare verſus deſerta 139,c. per gadroſos nemo ante Alexandrũ ſaluum exercitum duxerat 140,b. gadroſorum regio flantibus Eteſiis, imbribus obnoxia 141,b
Gangis latitudo 171,b
Garæas, Indiæ fluuius 171,c
Gaugamela quid ſit 131,a
Gazæ vrbis Scythicæ expugnatio 78, a. gaza Scytharum Aſiaticorum vrbs 77,d
Gazæ vrbis ſitus 50,c. gazæ expugnatio 51, d. gazenſium fortitudo & clades 51,e
gazæ obſidio 50,e
Generoſo viro nullus laborum finis, quàm glorioſi labores 115,f.
Geryon quis fuerit 43,c. geryonis boues vnde ab Hercule abductæ 43,c
Getæ, Celtica natio 3,f
Glaucaniçæ, ſiue Glauſæ Indi Pori regno finitimi 114,f
Gloriæ cupiditas Alex. ab optimarum rerum conſideratione abripiebat 147 a. gloriæ immẽſa cupiditas in Alex. 132,c
Gogana 194,f
Gordium Phrygiæ vrbs 28,d. gordiũ vrbs Midæ regia illuſtris 30,d. gordii nodus 30,d. gordium nodum Alex ſoluit 31,b
Granides, fluuius Perſidis 195,e
Græci Thebanorum clade vehementer perculſi 11,b
græci æſtu marino in Indo fl. viſo attoniti 136,b
græci Alex. ex Indis reduci apud Babylonem gratulantur 160,f
græcorum mercenariorum qui Dario militarant deditio 70,d
Guræi Indiæ populi 96,a
guræus Indiæ fl. 96,a

H

Habitus patrii mutatio in Alex. ab Arriano reprehenſa 82
Halicarnaſſi obſidio 20,f
halicarnaſſi expugnatio 23,e. halicarnaſſæi vrbem ſuam incendunt 23, d. halicarnaſſus ſolo adæquata 23,e
Hannonis Afri nauigatio 198,b
Harmodius & Ariſtogiton ob tyrannum interfectum celebres 85,c
harmodii & Ariſtogitonis æneæ ſtatuæ è Babylone Athenas remiſſæ 64,a, 161,a
Harmozia Carmaniæ locus 191,c
Hecatęus, de rebus Ægypti hiſtoriam ſcripſit 105,c
hecatęus citatur 43,c. 105,c
Hedera nuſquam apud Indos præterquam Nyſæ naſcitur 101,e
Heliopolis Ægypti vrbs 52,b
Helleſpontus à Xerxe ponte iunctus 105,f
Hephæſtion Peucelaotidem regionem Indorum ſubiugat 93,d
hephęſtionis morbus Alexandro in Ecbatanis ludos celebranti nuntiatus 156,d. hephæſtionis mors 156,d. hephæſtioni ludi gymnici I I I. M. certantium ab Alexandro facti 157, d. hephæſtioni vt heroi ab Alexandro parentatum 157,b. hephæſtioni, vt heroi, Ammonis iuſſu ſacrificatum 194,f. hephęſtioni funus ab Alexandro paratum x. M. talentũm 157, c. hephæſtionis nomen tabulis contractuum ab Alex. inſcribi iuſſum 165,b
Heratemis fluuius Perſidis 195,b
Hercius Iupiter 12,d
Hercules Ammonis oraculũ petere ſolitus 53,d
hercules Argiuus 43,a
hercules diuerſi 43,a
herculis templum Tyri 42,f. hercules Tyrius 44,a, & d.
herculi omnia quę difficilia ſunt tribuuntur, vt difficiliora eſſe videantur 98,b
herculem Indi Indigetem vocant 174, a. hercules qui ad Indos penetraſſe dicitur, quiſnam fuerit 98,a

hercules ad Indos non penetrauit 98. b. herculis ad Indos profectio vnde nata ſit 103,a. hercules in Tarteſſo ab Iberis colitur 43,b. hercules neminem filiæ ſuæ Pandeæ matrimonio dignum iudicans, ſobolem in reges Indiæ ex ea procreauit 174,e. herculeæ colúnæ apud Tarteſſum 43,b
Hercules in Amazonas miſſus 156,b.
Hercules Hippolytes Amazonum reginæ balteum in Græciam reportauit 156,b
Hermi campus ab Hermo fl. dictus 105,b.
Hermolaus Sopolidis f. Alexandro inſidias ſtruit 87,e. hermolaus & alii ob inſidias Alex. ſtructas, lapidibus obruuntur 88,e.
Hermus fluuius vbinam oriatur, & in mare fluat 105,b.
Herodoti locus 43,a. herodotus citatus 76,c. herodotus citatur 105,c. herodotus citatus 155,c. herodotus citatur 156,e.
herodotus Ægyptum fluminis donum vocat 105.c.
Heroum vrbs
Hieratis oppidum Perſidis 195,b.
Hieron Solenſis ad Arabiam explorandam miſſus, longiſſimè omnium proceſſit 162,c.
Himacus Indiæ mons 172,e.
Hippolytes Amazonum reginæ balteus ab Hercule in Græciam reportatus 156,b.
Hiſtoricorum qui Alex. res geſtas ſcripſerunt error 131,c.
Homerus citatus 75,a.
homerus Nilum communi cum regione nomine Ægyptum vocauit 123,d. homeri teſtimonio probatur Nilum olim Ægyptum vocatum fuiſſe 105,c.
Hominum ſiue regum qui ſe adorari paſſi ſunt, inſolētia quo pacto repreſſa fuerit 86,e.
Honoris diuini & humani apud ethnicos diſcrimen 85,f
Hoſtium etiam virtus laudatur 9,c.
Hydaſpis & Aceſinis confluentes ingentem ſonum edunt 125,d
Hydraotes in Aceſinem fluens nomen ſuum amittit 133,b. hydraotes, quos fluuios in ſe recipiat 171,b
Hydrax Gadruſius Nearcho dux in Carmaniam ex Ichthyophagis 187,a
Hyparna oppidum 24,b
Hyrcaniæ ſitus 69,e. hyrcania ab Alex. ſubacta 70. hyrcanorum ſatrapæ ſeſe Alex. dedunt 72,b
hyrcanium mare ab Alex. perluſtratum 158,d.

I

Iacchus myſtica cui Baccho ſit ſacra 43,b
Iazyges, Celtica natio 3,f
Iberi in Tarteſſo Herculem colunt 43,b
iberorum legati ad Alexandrum miſſi 158,a
Icarus inſula ad Euphratis oſtia ita ab Alex. vocata 162,a
icarus inſula in Ægeo mari 162,a
Icarium mare 162,b
Ichthyophagi vnde dicti 188,e. ichthyophagorum regionis longitudo 188,e. ichthyophagi retia ex libris palmarum conficiunt 188,f. ichthyophagi farinam ex toſtis piſcibus conficiunt 189,a. ichthyophagorum regio nullam herbam gignit 189,a. ichthyophagi domos ex balænarum oſſibus conſtruunt 189,c. ichthyophagi oleum ex ſale conficiunt 189,b. ichthyophagi Gadroſiis vicini 186,c
Ila Perſidis locus 194,d
Imperia & regna nihil ad felicitatē conſequendam proſunt, niſi moderatio animi accedat 83,a
imperium magni alicuius regni periculoſè vni committitur 55,b
Indathyrſis Scytha multas Aſiæ gentes debellauit 172,a
Indi quos Alexander adiit aurum non habebant 103,f. indi quinque cubitos alti 103,f. indi quo pacto inter ſe matrimonia ineant 180,e. indi ante aduentum Bacchi crudis feris veſcebantur 173,d. indi maximi Aſiæ populorum 103,f. indi cæteris mortalibus, exceptis Æthiopibus, nigriores 104,a. indi ferarum exuuiis ſe veſtiunt 173,c. indi olim paſtores fuerunt, vt Scythæ 173,c. indi meridionales Æthiopibus vultu ſimiles 173,6. indi, Pori regni finitimi, Glaucanicæ dicti 114,f. indi hyeme nauigant 117,e. indi graciles, proceri, multóque cæteris mortalibus leuiores atque expeditiores 180,c. indi omnium Aſiæ populorum bellicoſiſſimi 104,a. indi nihil dantes aut accipientes inter ſe matrimonia ineunt 180,e. indi Alex. ob elephantorum venationem chari 100,f. indi arboris Talæ corticibus veſcuntur 173,d. indi monimenta mortuis non condunt 175,c. indi tympana ac cymbala pulſantes pugnam ineunt 172,a. indi trans Hyphaſim opulenti & bellicoſi 119,a. indi obſeſſi vrbem quandam ſuccendunt, in eáque incendio etiam ipſi pereunt 127,f. indi muſices ſtudioſi 125,a. indi equos nauibus vehi mirantur 124,f. indi ſaltationibus addicti 125,a. indi Herculem Indigetem vocant 174,a. indi quadrageſimum vitæ annum non excedunt 174,d. indi omnes liberi, nullus ſeruus 175,f. indi in eo cum Lacedæmoniis conueniunt, quòd nulli apud eos ſunt ſerui 175,f indi Dionyſum Hercule ſeniorem quindecim ſeculis faciunt 175,b. indi domos ex lignea materia, propter frequentes eluuiones faciunt 175,c. indi elephantis vehuntur 180,d. indi in ſex genera hominum diuiduntur 175,f. indi quo pacto elephantos venentur 177,c. indi vmbracula portatilia geſtant 179,f. indi linea veſte vtuntur 179,e. indi barbas fucant 179,f. indi qua armatura vtantur 180,a.
india ob fluminum eluuionem plana eſt 105,b. india, quænam propriè vocetur 169,d. india occidentalis 169,f india Oceano, Caucaſo monte & Indo fluuio terminatur 105,a. india maxima ex parte plana & cāpeſtris 105,b. indiam orientalem Alex. nō adiit 170,a. in india creberrimi ſolſtitio æſtiuo imbres 107,d. india tot habet flumina, quot Aſia 170,d. indiæ hederam non fert, 02,d
indicorum ſerpentum morſum Græci medici curare non potuerunt 179,d. indicarum vrbium numerus infinitus 175,c. indicarum vrbium XXXVII deditio 115,a. indicæ hiſtoriæ pleræq; fabuloſæ 103,e. indicæ gentes CXVIII 173,b. indiæ regum nomina 173,f. indiæ flumina Aſiæ fluminibus maiora 103,d. indiæ fluuii ſolſtitio æſtiuo vehemēter creſcunt 107.e. indiæ fluuij crocodilos & piſces eoſdem quos Nilus gignūt, excepto equo fluuiatili 173,b. indi plerique elephantorum venatores 100,e. indiæ fluuiorum cōfluētes deſcribuntur 133,b. indiæ flumina pleraque hyeme vado tranſiri poſſunt 10;,e. indiæ fluuii nauigabiles LVIII 171,e. indiæ ſapientes nudi incedebant 147,a. indiæ flumina tanto ſunt Indo fl. minora quanto Indus Gange minor eſt 103,d.
Indicæ fœminæ ſeptimo ætatis anno nubiles 174,d.
Indiæ longitudo & latitudo 170,b
Indiæ natura ab Æthiopia parum diſſimilis 173,a
Indorum vltimi Oritæ 186,a
Indorum apud Tomerum fluuium lanceæ cuſpides habent igne toſtas atque acutas 185,a
Indorum ſapientum frugalitas 147,b
Indorum clades 95,e
Indorum habitus 179,e
Indos nunquam ante Alex. bellum geſſiſſe, ſcribit Megaſthenes 171,f
Indus fluuius duobus oſtiis in Oceanum Indicum fertur 103,c. indus fluuius curſu ſuo delta Ægyptii figuram in regione Indorum facit 103,c. indus amnis quo pacto ab Alexandro ponte iunctus fuerit 105,f. indus fluuius XV maiora Aſiæ flumina in ſe recipiens nomen ſuum retinet 105,e. indus fluuius quos amnes in ſe recipiat 171,c. indus omnium Aſiæ atque Europæ fluuius maximus, excepto Gāge 103,b. indus fluuius apud Pattala in duos ingētes fluuios ſcinditur 135,e. indus fluuius crocodilos gignit, vt Nilus 123,c. inſulæ in indo fluuio ſitæ 136,d. indi fluminis magnitudo 105,e. indi fluuii latitudo 103,d. 115,d. indi fontes vbinam oriantur 103,c
Iollas Alex. à poculis venenum ei miniſtraſſe creditur 167,b
Ioui Olympico & Muſis ſacrificium ab Alex. factum 11,f
Irus mons Indiæ 183,d
Iſter per quinque oſtia in Euxinum pōtum profluit 3,f. iſter omnium Europæ fluuiorum maximus 3,e. & 4,e. iſter & Nilus coniuncti, Indo vel Gāgi comparari nequeunt 171,d
Iſtri fontes apud Celtas oriuntur 3,e
Italorum legati ad Alexandrum miſſi 158,a
Iupiter Hercius 12,d
Iuſtitia cur Ioui aſſideat ex Anaxarchi ſententia 84,e

L

Laboris commendatio 120,b
Lac bubulum vitia oculorum in elephantis curat 178,e
Lacedæmoniorum legati ad Darium miſſi 71,a
lacedæmonii in eo cū Indis conueniunt quòd nulli apud eos ſint ſerui 175,f
lacedæmoniorum ad Leuctra & Mātineam clades 10,e
Lade inſula Mileto proxima 18,e
Λαμπάς ſiue ſacrum lucentibus facibus editum ab Alexandro apud Suſas 64,a
Langarus Agrianorum rex 5,c
Largitio Alexandri exercitui facta 149,c
Legati Grecorum ad Alex. Babylonem miſſi, vt eum pro deo colant 164,d

legati Afrorum ad Alexandrum miſſi 157,f
legati Carthaginienſes ad Alexandrum miſſi 158,a
legati Epidauriorum ad Alexandrum 157,a
legati à Scythis Europæis ad Alexandrum miſſi 89,a
legati à nonnullis nationibus ad Alex. vt priuatas eorum controuerſias dirimeret 158,a
legati Iberorum ad Alex.miſſi 158 a
legati à Scythis Aſiaticis ad Alex. miſſi 77,a
legati Æthiopum ad Alexandrum miſſi 158,a
legati Nyſæorum ad Alex.101,c
legati Celtarum ad Alex.miſſi 158, a
legati Romanorum ad Alex.miſſi 158.b
legati Græcorum qui ad Darium miſſi erant ab Alex.capti 42,c
legati Italorum ad Alex.miſſi 158,a
Leonnatus Alex. ex vulnere collapſum protegit 130,a
Lepores quo pacto apud Gadroſos capiantur 139,b
Leucadis vada fabuloſa 196,d
Liberalitas Alexandri 149 a
Linum apud Indos e x arboribus fit 179,e
Luctus Alex.ex morte Hephęſtionis 156,d
Ludi gymnici III.M certātium Hephęſtioni facti 157,d
Lunæ defectio, Alex. victoriam aduerſus Darium portendere iudicata 56,f
Lydus fluuius Lydio campo nomen dedit 105,c
Lydius campus à Lydo fluuio dictus 105,c
Lyginus fluuius apud Triballos 3,a
Lyſippum Alexander præ reliquis ſtatuariis dignum iudicauit à quo fingeretur 16,e
lyſippus Macedonum XXV qui in pugna ad Granicum amnem cæſi ſunt ſtatuas finxit 16,e

M

Macedones in Alex. Perſicos mores ægrè ferunt 149,e
macedones diem quendam Baccho ſacrum habebant 83,b
macedones Nyſæ Bacchico furore correpti 102,e
macedones ἀγάμοι ex Caria hybernatum cum ſuis vxoribus mittuntur 24,8
macedones omnes ſacramento ſe abſolui petunt 151,c
macedones apud Gadroſos mulorum carnibus præ fame veſcuntur 140,c. macedones apud Gadroſos ſummos labores perpeſſi 140,a. macedonū apud Gadroſos ex ſubito imbre calamitas 141,c. macedonum nuptiæ Perſico more celebratæ 148,e. macedonum ex ponte ruina 96,f. macedonum clades 76,d. macedonum qui Aſiaticas vxores duxerunt numerus X.M 148,f. macedonum per Gadroſos proficiſcentium ſitis & fames 139,c
macedones militiam detrectant 119,b
macedones Promethei antrum apud Parapamiſadas eſſe in Alex.gratiam finxerunt 102.f
macedones ab Alex.dimiſſi 154,d
macedonum clades à Scythis accepta 81,c
macedonum nobilium filii quæ miniſteria regibus præſtarent 87,d. macedonum nobilium pueri Alex. vitæ inſidiantur 87,f
macedonum viſo Alex. poſt vulnus apud Mallos acceptum lætitia 132 b
macedonum ex rumore de Alex. obitu ſparſo mœror 131,d
macedonum filios ex Aſiaticis mulieribus natos, Alex. in Macedoniam ire paſſus non eſt 154,d
macedonum indignatio aduerſus Alexandrum,quòd ſe contemni ab eo arbitrarentur 151,b
Maceta Arabiæ promontorium creditū 190,f
Mæander fl.Cariæ Mæandro campo nomen dedit 105,c
mæandri campus in Caria, à Mæandro fl.dictus 105,c
Magarſis Minerua 33,b
Magarſum opp. 33, b
Magi ſepulcrum Cyri cuſtodiebant 144, e. magorum qui ſepulcrum Cyri cuſtodiebant ſtipendium 144,f. magi cuſtodes ſepulcri Cyri in quæſtionem ab Alex.dati 14ſ,b
Magni regis titulus, Perſarum regibus non conuenire Alex.viſus eſt 146,b
Magon,Indiæ fl. 171,a
Malamantus,Indiæ fluuius 171,c
Malana,vltimus Oritarum regionis locus 185,e
Malli Argiuorum coloni 33,c
mallorum vrbes ab Alex. obſeſſæ & captæ 126,d. mallorum clades 127,b. mallorum deditio 1:2,d
Mandiadini,Indica gens 171,a
Maracanda Sogdianorum regia 76,b
Marathi deditio 41,a
Marcomanni,Celtica natio 3,f
Mardi ob aſperitatem locorum à nemine vnquam ante Alex.bello laceſſiti 70,f. mardi ab Alex.victi 71,a
Mare rubrum vnde dictum 194,a
Margaritarum natura & piſcatio apud Indos 174,c. margaritæ pretium apud Indos 174,d
Margaſtana inſula 196,c
Mariamnes deditio 41,a
Maſſaca Aſſacenorum vrbs 169,d
Maſſaga Guræorum apud Indos vrbs maxima 96,b. maſſigæ vrbis oppugnatio 96,c. maſſigæ deditio 97,b.
Mathæ,Indiæ gens 171,a
Medius Alexandrum à cœna inuitat 165,f
Megaſthenes indicam hiſtoriā ſcripſit 104,b. megaſthenes ſcribit, Indos nunquam bellum geſſiſſe 171,f
megaſthenes indiam perluſtrauit 105,a
megaſthenes citatus 147,c
Memnon Chium inſulam proditione capit 29,a
memnon claſſis Darii præfectus 29,a
memnon moriens Autophradati & Pharnabazo præfecturam maritimæ oræ commendat 29,b
memnon Lesbum inſulam, Mitylenis exceptis,occupat 29,a
memnonis Rhodii conſilium aduentante in Perſiam Alexandro 13,e
Mercatorum apud Indos conditio 176,e
Mercenarii milites ad Granicum capti ad ergaſtula miſſi 17,a
Merus mons Nyſæ vicinus 169,d. merus mons vnde dictus 101,e. merus hedera & lauris refertus 102,d
Meſambria,Perſidis tractus 195,b
Meſopotamia vnde dicta ſit 150,c
Methora,Indiæ vrbs 174,a
Midas Gordii filius 30,f. midas quo pacto Phrygiæ rex euaſerit 30,f. midæ regia in oppido Gordio 30,d
Mileti obſidio 18,e. mileti oppugnatio 19,f
Milium diffidentia ab Alex. reprehenſa 149,b
militum apud Indos conditio 176,e
Minerua Magarſis 33,b
Mitylenæi Alexandri ſtelas diruunt 29, b. mitylenæi Dario deditionem faciunt 29,b. mitylenæ recuperatæ 53,b
Moderatio animi in ſecūdis rebus,præclara res eſt 121,f
Mæotis palus 76,c
Morontobati Indiæ inſ. 184, a
Moſarna portus apud Ichthyophagos 187,a
Muſicani regis deditio 134,b. muſicani defectio 134,c. muſicanus captus in crucem actus 134,f
muſicanum regnum apud Indos opulentiſſimum 134,a
Mycale mons Samo inſulæ oppoſitus 104,c
Mylias regio, Phrygiæ pars 24,e. Lydiæ contributaria.
Myndi vrbis Halicarnaſſo vicinæ oppugnatio 21,b
Myriandrus vrbs Aſſyriæ 33,d
Myrrha apud Gadroſos frequens 138, e. myrrha & thus ex arboribus apud Arabes leguntur 161,e

N

Nardus apud Gadroſos frequens 138,f
Naues in Indo fluuio tempeſtate colliſæ 136,a
Nauigatio Alex. per Hydaſpē fluuium ad Oceanum 125,b. nauigatio in Hydaſpis & Aceſinis confluentes difficillima 125,f. nauigatio apud Indos commoda ab initio hyemis ad ſolſtitium hybernum vſque 137, e. nauigatio incommoda apud Indos ſpirantibus Eteſiis 137,d
Nautæ quibus notis itinerum rationē cognoſcant 142,a
Nearchus Indiæ hiſtoriā ſcripſit 104,b nearchus ab Alex. coronatus 149,d nearchus ab Alex.ad ſinum Perſicum explorandum mittitur 182 b. nearchus ex longinqua nauigatione adeò ſqualidus vt à ſuis non agnoſcatur 1:2,d. nearchus ab exercitu floribus ac ſertis obrutus 197,c
Neoptana Carmaniæ locus 191,c
Neoptolemus primus Gazæ muros cōſcendit 51, d
Neſſæ equæ 155,e
Neſſæus campus in quo CL.M.iumētorum paſci ſolent 155,e
Neus, Thraciæ flumen 2,b
Neudrus,Indiæ flumen,171,b
Nicæa Indorū vrbs,93,b. nicæa vrbs ad Hydaſpem flu.ob victoriam contra Porum partam ab Alex. condita 114,c
Nili caput falsō ab Alex. inuentum fuiſſe creditum eſt 123,d
Nili natura 172,f. nilus Aſiam ab Africa ſeparat 76,c. nilus olim Ægyptus vocatus fuit 105,d
Ninus vrbs magna & opulenta inter Euphratem & Tigrim ſita 197,a
Nocturni conflictus periculoſi 58,f
Noſala, Indiæ inſula ſoli ſacra 190,a
Notæ quibus viarum ratio arenoſis in locis cognoſcitur 142,a
Nubendi modus apud Indos 180,e
Nuptiæ Alexandri & amicorum 148.d nuptiæ Macedonum Perſico more celebratæ 148 e

Nyſa Indiæ vrbs 101,a. nyſa vrbs vnde dicta 101.e. nyſa inter Cophenẽ & Indum fluuios ſita 101, a. nyſa à Dionyſo condita 101,a
Nyſæi aſpectu Alex. armati perterriti 101,c. nyſæi, non ſunt Indi natione 169,c. nyſæis libertas ab Alex. cõceſſa 102, a. nyſæorum reſpub. ex optimatibus conſtitura Alex. placuit 102,b
Nyſſa Dionyſi nutrix 101,e

O

Oaracta Carmaniæ portus 193,f
Obſides mille à Mallis ſumpti 132,f
Ochus mons 194,c
Olympias Alex. mater à Philippo contempta 55,c
Olympias Antipatrum apud Alex. accuſat 155,c. Olympiadis & Antipatri diſſenſio 155,c
Omalis, Indiæ fluuius 171,a
Oneſicritus nauis Alex. gubernator 124,b
Opificum apud Indos conditio 176,c
Opinio ſubditorum de ſuo rege qualis eſſe debeat 149,b
Opis vrbs ad Tigritem ſita 150,f
Orę Indiæ oppidi oppugnatio 97,c
Oraculum Serapidis de morbo Alex. 166,f
Oratio Acuphis Nyſæorum principis ad Alex. 101,c. oratio Calliſthenis aduerſus Anaxarchum de adoratione Alexandri 85, f. oratio Cœni Polemocratis F. ad Alex. pro Macedonibus militiam detrectantibus 120,f. oratio Alex. ad milites cum Dario apud Iſſum conflicturos 34,c. oratio Alexãdri ad Macedones ad Tyri obſidionem perſuadendam 43,f. oratio Alex. ad milites cum Dario ad Arbela conflicturos, 58,c. oratio Alexandri ad Macedones militiam detrectãtes 119,c. oratio Alex. ad Macedones, tumultuantes & ſacramento abſolui petentes 151, e. oratio Parmenionis ad Alex. & reſponſum Alexandri 14,b
Orbelus mons 2,b
Organa Carmaniæ inſula 193,f
Oritæ Indorum vltimi 186,a. oritæ libera Indorum gens 138,a. oritarum deditio 138,d
Orobatis Indiæ vrbs ab Alex. inſtaurata 98,c
Orphei ſtatua ſudans quid Alex. portẽderit, 11,f
Orxines ob templa ſpoliata in crucem actus 145,c
Oſcula, cuiuſ hominibus proprius 86,a
Oſculis dii non coluntur 86,a
Oſſadii, libera Indorum gens 133,c
Oxi fluuii rapiditas 74,f. oxus fluuius omniũ Aſiæ fluminũ, India excepta, maximus 74,c. oxus fluuius in Caſpium mare fluit 158,c. oxus è Caucaſo fluit 74,c. oxus iuxta Hyrcaniam in Oceanum fluit 74,f. oxum fluuium quo pacto Alex. traiecerit 75,a
Oxyartes Alexandri continentia erga filiam ſuam captiuam motus ſeſe dedit, 93,d. oxyartes Roxanes pater ad Alex. venit 133,c
Oxycanus Curtio Porticanus dicitur 134,c. oxycanus captus 134,c
Oxymagis, Indiæ fluuius 171,a

P

Padargus fluuius Perſidis 195,b
Pagala, Indiæ inſula 184,d
Palimbothra maxima Indorum vrbs 175, d. palimbothræ Indicæ vrbis magnitudo inaudita 175,c. Palimbothra maxima Indorum ad Gangẽ vrbs 170,a
Pallacopas Aſſyriæ fluuius 162,f pallacopas ex Euphrate deriuatur 162, f. pallacopas ab Alex. in gratiam Aſſyriorũ obſtructus 163, c. pallacopas niſi obſtruatur ita Euphratem exhaurit, vt Aſſyriorum campi ab eo irrigari nequeant 163,b
Pandęa Herculis, quem Indi Indigetem vocant, filia 174,b. pandæa Indiæ regio à Pandæa Herculis filia ita dicta 174,b
Paphlagonum deditio 31,d
Parapamiſus mons Caucaſus à Macedonibus in Alex. gratiã vocatus 103, a. parapamiſus qua ratione Caucaſus ab Arriano vocetur 104,d. parapamiſum Macedones Caucaſum vocarunt, ſtudio amplificandi res ab Alex. geſtas 104,d
Paritacæ ab Alex. ſubacti 66,e
Paritaceni rebelles à Cratero victi 92,f
Parmenionis ad Alexandrum oratio, & ad eam reſponſum Alexandri 14,b
Parthia ab Alex. ſubacta 69,a
Paryſatis Ochi filia, Alex. vxor 148,d
Paſira Ichthyoph. portus 186,c
Paſitigris amnis 64,c
Patala Indorum lingua, delta Ægyptiũ vocatur 103,c
Pattala ab Indis deſerta 135,c
Pattalorum reguli deditio 135,a. pattali libertate propoſita reuocati in vrbem 135,d.
Patara Lyciæ vrbs dedita 24,d
Pazalæ, Indiæ gens 171,a
Peccati agnitio, peccati medicina 168,b
Pellion Agrianorum vrbs 5,c
Pellæ Indicæ 180,a
Peluſium Ægypti vrbs 52, d. peluſii deditio à Mazace Perſa facta 52,b
Peneus Theſſaliæ amnis 82,c
Peripolus triremis Rhodia 45,f
Perdiccas in oppugnatione Thebarum grauiter læſus 9,b
apud Pergas iter fieri niſi vento à ſeptẽtrione flante non poteſt 26.a
Perſæ Athenas ſubuerterant 66,c
Perſæ Macedonibus accenſi 164,d
perſæ, quorum virtute Cyrus Aſiæ imperium Medis abſtulit, Indis comparandi non ſunt 104,a
Perſarum reges in medio exercitus ſunt 36, d. perſarũ de pugna cũ Alex. cõmittenda conſultatio, 13,c. perſarũ ad Granicum amnem clades 16,a. perſarum apud Iſſum clades 38,c. perſarum apud Arbela clades 63,b. perſarum in Scythia cladis quænam cauſa fuerit 104,a
perſarum & Medorum reges, indigni viſi Alexandro titulo Magni regis 146,b
Perſeus Ammonem conſulere ſolitus 53,d
Perſicum agema ab Alex. inſtitutum 154, a. perſicus mos celebrandi nuptias 148 c
perſicus ſinus à Nearcho iuſſu Alex. exploratus 183, b. perſicũ mare per hyemem tranquillum 144, a. perſicus ſinus æquè opulẽtus atque Phœnicia 161,c
Perſidis natura 195, f. perſidis longitudo 195,e
Peucela Aſſacenorum vrbs 169,d
Peucelaotis Indiæ regio 93,d
Peuceliotis Indiæ vrbis deditio 98,d
Peuceſtes Alex. ex vulnere collapſum ſcuto Palladis Iliacæ protegit 130,a peuceſtes Perſiæ ab Alex. præfectus, linguam Perſicam didicit 145,d
Peuceſtæ barbarica affectatio Alex. grata, Macedonibus odioſa 149,f
Pharęmanes Choraſmenorum rex ad Alex. venit 89,b
Pharnabazus captus à Chiis 53,a
Phaſelitæ Alex. aurea corona coronãt 24,c
Philippus Macedo cõtemta Olympiade, Eurydicem vxorem duxit 55,f
philippi Macedonis mors 1,b
philippi erga Macedones beneficia 151.e
philippi Thraciæ vrbs 2,a
philippus Alexandri medicus falſò inſidiarum accuſatur 32,b
Philotas ob ſtructas Alex. inſidias accuſatur 72,c
Pimprama Indiæ vrbs, 116,c
Pinara Lyciæ vrbs deditione accepta 24,d
Pindari domus & ſtirps ab Alexandro expugnatus Thebis ſeruata, 11,b
Piſidæ bellicoſi 27,d
Pithagoras vates 160,a. pithagoræ de Perdiccæ & Antigoni morte vaticinium 160,d. pithagoræ de Hephæſtionis & Alex. morte vaticinium 160,b
Platæenſium clades 10,d
Pœnitentia Alex. de cæde Cliti ab Arriano laudata 84,b. pœnitentia peccati, Alex. propria 168,a. pœnitentia peccati medicina 168,b
Polytimetus fluuius Scythiæ 81,b. polytimetus fluuius multam aquam trahens ſub arenis ſe condens euaneſcit 82,b
Pompæ quæ ob bellicas victorias fiunt, cur triumphi dicantur 143,c
Pontium iungendorum ratio facillima à Romanis vſitata 106,b
Portus mille nauium apud Babylonem ab Alex. factus 161,c
Portus fœminarum in India 184,a
Pori fortitudo 113,c. pori & Alexandri colloquiũ 114,a,& b. pori duo 115.b,& f. porus aciem aduerſus Alex. inſtruit 111,b. porus quo tempore victus fuerit 114,c. porus quinque cubitos altus 114,a. porus Indorum rex in alium quendam Porum hominem malum mittitur 115,a
Poſteri ſiue Epigoni Alex. vocati adoleſcentes apud barbaros in vrbibus ab ipſo conditis nati 149,e
Præda militibus data 134,c
Præfectos ſubditis iniuriam inferre Alex. non ferebat 143,a
Pręmia virtutis ab Alex. dignis collata 149,c
Priamo ſacrificium ad Iouis Hercij arã ab Alex. factum 12,d
Prodigium hirundinis Alex. dormiẽntis caput circumuolitantis 25,d. prodigium Herculis Alexandro per ſomnum viſi 44,c. prodigium auis carniuorę aram ſuperuolantis 50,f. prodigium in deſignandis terminis vrbis Alexandrinę editum 52,c. prodigium draconum qui Alex. duces itineris ad Ammonem Libycum fuerunt 53,f. prodigium, diadematis Alexandri capiti vento ablati 161, f. prodigium obſcuri cuiuſdam hominis qui ſolium Alex. conſcenderat 165,d
Promethei antrum 172,b. promethei

antrũ apud Parapamiſadas eſſe à Macedonibus in Alex. gratiam fictum 102,f
Proſactium flumen 13,c
Proteas Datami Perſæ octo naues eripit 30,c
Proteſilao ſacrificium in Eleunte ab Alex. factum 12,b
Ptarenus, Indiæ fluuius 171,c
Ptolemæus Lagi filius hiſtoriam Alex. ſcripſit 1,a. ptolemæus & Ariſtobulus cæteris hiſtoriæ Alex. ſcriptoribus fide digniores 1,a
Ptolemæi Lagi cum Indis pugna 94,e
Pugnæ cum Dario commiſſæ quibus quæque locis contigerint, hiſtoricè inquiritur 130,e
Pura, Gadroſorum regia 140,a
Pylæ Ciliciæ obſeſſæ 31,e
Pylæ Amanicæ 34,b
Pylæ Perſidis ab Alexãdro obſeſſę 65,b
Pylæ Caſpię 66,d
Pylora Carmaniæ inſula deſerta 194,b
Pyramus fluuius 33,b

Q

Quadi, Celtica natio 3,f

R

Rambacia, Arabitarũ pagus maximus 138,b
Re malè geſta, omnis culpa in ducem conſeritur 81,e
Regiones à fluminibus appellatæ 105,b
Remigantium deſcriptio 124,e
Regum facta omnia iuſta eſſe, Anaxarchi impia ſententia 84,e
regum negotia quo magis occultantur eo magis quidam euulgare concupiſcunt 155,b
regum negotia ſemper in deteriorem partem rapiuntur 155,b
regum Indicorum numerus 175,b
Res difficiles Herculi tribuuntur, vt difficiliores eſſe videantur 98,b
Rex erga ſubditos ſuos verax eſſe debet 149,b
Rhagæ 67 e
Rogonis fluu. Perſidis 195,a
Romani Alexandri conſilium in tuenda Ægypto ſecuti 55,b
Romani quo pacto magna flumina quoties neceſſe fuit pontibus iunxerint 106, a. romanorum facillima ratio iungendi pontes 106,b
romanorum nomen Alexandrum commouere ceperat 146,b. romanorũ legati ad Alex. miſſi 158, b. romanorum potentia ab Alex. præuiſa 158,b
Roxane Oxyartis filia capta 92,e. pr. roxane omniũ mulierum Aſiaticarũ poſt Darii vxorem pulcherrima 92,f pr. Roxane Oxyartis Bactrii filia, Alex. vxor 148, d
Rubrum mare vnde dictum 194,a

S

Sacala locus Indiæ deſertus 184,a
Sacrificium Muſis ab Alex. factum 11,f ſacrificium Ioui deſcenſori & Mineruæ & Herculi ab Alex. factum 12, c. ſacrificium Æſculapio Solis ab Alex. factum 33, ſacrificium Ioui regi ab Alex. apud Memphim factũ 54,e. ſacrificium Herculi factum 55,c. ſacrificium ſoli, lunæ ac terræ factum, 56,f. ſacrificium Herculi ab Alex. factum 49, e. ſacrificium Apollini ab Alex. factum 73, c. ſacrificium Palladi Nicææ factum, 93, b. ſacrificia fluminibus Indicis facta 124,e. ſacrificia Cyro à Magis ſepulcri ſui cuſtodibus fieri ſolita 144,f. ſacrificium Alex. in Ecbatanis profelici rerum ſucceſſu 156,c
Sal foſſilis apud Ammonem Libycum ſuapte natura gignitur 54,e. ſal foſſilis cryſtalli inſtar purus apud Ammonem Libycum 54,d
Sal apud Ichthyophagos gignitur, ex quo oleum conficiunt 189,b
Salagaſſum Piſidarum vrbs 27,d. ſalagaſſi oppugnatio 27,d
Saltationes diis fiunt 86,a.
Sambi deditio 134,d
Sambus, Indiæ fluuius 171,a
Sandracotus Indorum rex 105,a
Sangada, Indiæ regio 183,e
Sangala Cathæorum Indorum vrbs 116,d. ſangalæ oppugnatio 116,f. ſangalæ expugnatio 118,d. ſangala ſolo æquata 119,a
Sangarius amnis Phrygiæ 28,d
Saparnus, Indiæ fluuius 171,c
Saranga, Indiæ inſula 183,f
Saranges, Indiæ fluuius 171,b
Sardanapalus Anchialon Ciliciæ opp. condidit 32, e. ſardanapali ſepulcrum Anchiali Aſſyriis literis inſcriptum 32,c
Satibarzanes Areorum præfectus cęſus 73,e
Sauromatę, Celtica natio 3,f
Saus fluuius in Iſtrum fluens 171,d
Scutum ex Palladis Iliacæ templo ſumptum Alex. in omnibus prælijs ante ſe geſtari curabat 129,b
Scythę, Celtica natio 3, f. ſcythę ad oſtia Iſtri 3,f. ſcythæ Europei, maxima natio 77, a. ſcythę Aſiatici ἄβιοι dicti 77,a. ſcythas Aſiaticos Homer. iuſtiſſimos mortalium appellat 77,a. ſcythę Aſiatici legatos ad Alex. mittunt 77,a. ſcythę Europęi legatos ad Alex. mittunt 89,c. ſcytharum Aſiaticorum defectio 77, c. ſcytharum in Alex. ludibria 79,d ſcytharum ad Tanaim clades 80,c. ſcytharum Europæorum rex filiam ſuam Alex. per legatos nuptui dare cupit 89,b. ſcytharum & Maſſagetarum clades 90,f.
Seditio militaris ab Alex. acriter punita 151,d
Seleuci mors in pugna apud Iſſum 38,a
Selgei veteres Telmiſſenſium hoſtes 27,e
Semiramis Aſſyria exercitum in Indiã ducere tentauit 172,a
Sepulcri Cyri deſcriptio 144,c. ſepulcri Cyri inſcriptio 144,f
Serapidis de Alex. morbo oraculum 166,f
Serpentes XVI cubitorum in India 179,c
ſerpentum Indicorum morſum, nemo Græcorum medicorum curare potuit 179,d
Seſoſtris Ægyptius magnam Aſiæ partẽ ſubegit 172,a
Sibæ, Indica gens, pellibus amicti degũt 172,c. ſibæ clauam geſtant 172,e ſibæ clauæ notam bubus inurunt 172,c
Side vrbs 26,c
Sidetæ, Cumæi origine ſunt 26,b. ſidetæ è Cumis Æolicis Sidẽ delati, Æolicæ linguæ repentè obliti 26,c
Sidodone vrbs Carmaniæ 194,b
Sidoniorum in Perſas odium 42,e
Sidonis deditio 42,c
Sidonicæ claſſis deditio 45,c
Silas Indię fluuius 172,d. ſilę fluuii Indici aqua adeo ſubtilis atque euanida, vt nihil ei innatare poſſit, ſed omnia in fundum mergantur 172,e
Silphio pecudes & armenta gaudent 74,b. ſilphium & terminthum in Caucaſo monte naſcitur 74,a
Sinarus, Indię fluuius 171,b
Sindomanę Indię vrbis deditio 134,d
Sinopei cum Grȩcorum repub. nihil cõmune habent 71,b
Siſicoptus Indus Aorno petrę ab Alex. pręfectus 100,e
Sitacus fluuius Perſidis 195,a
Sitalces & Cleander ob templa ſpoliata necati 142 e
Sittocatis, Indię fluuius 171,a
Soamus Indię flu. 171,e
Soaſtus, Indię amnis 171,c
Sochi Aſſyrię locus 33,c
Sogdianę petrę oppugnatio 92,b. pr. ſogdianę petrę deditio, 92,e. pr.
Sogdiani ſeſe Scythis aduerſus Alex cõiungunt 74, . ſogdianorum clades 76,e
Soli vrbs Cilicię deditione capta 32,f
Solomatis. Indię fluuius 171,a
Solonis ſententia 159,b
Solſtitio ęſtiuo Indię fluuii vehementer creſcunt 107,e
Sonus Indię fluuius 170,f
Sophiſtę ſiue ſapiẽtes Brachmani 134,e. ſophiſtę Indi, Alexandri immodicam dominandi cupiditatem reprehendunt 146,e. ſophiſtarum apud Indos frugalitas 147,b. ſophiſtę diuinandi periti 176,a. ſophiſtarum apud Indos officium 176, a. ſophiſtę de priuatis rebus non vaticinantur, ſed de publicis 176,b. ſophiſtę apud Indos nudi degunt 176,b. ſophiſtę, ſiue vati Indico qui ter in vaticinando falſus fuerit, ſilentium indicitur 176,b. ſophiſtę apud Indos ſerpentum morſus, & quicquid medicabile eſt, curant, 179,e. ſophiſtarum ſiue ſapientum apud Indos pręcipua eſt dignitas 176,a. ſophiſtarũ apud Indos victus 176,c
Spartembas Indorum rex, à Baccho inde diſcedente cõſtitutus 173,e. ſpartembas rerum Bacchicarum peritiſſimus 173, e. ſpartembas quot annos apud Indos regnarit 173.f
Spitamenes arcẽ quãdam in Bactrianis occupat, & pręſidia interficit 90,b. ſpitamenes Macedones clade afficit 90,e. ſpitamenis cum Cœni copiis pugna 91,b. pr. ſpitamenis cęſi caput ad Alex. mittitur 91,d. pr.
Statuę clarorum virorum aut deorum ſimulacra quę Xerxes Babylonem aduexerat, ab Alex. remiſſę, 161,a
Stura Indiæ amnis 183,b
Subditos à pręfectis iniuria affici Alex. nulla ratione ferebat 143,a
Subditorum de rege ſuo opinio qualis eſſe debeat 149 b
Saraſeni, Indica gens 174,a
Suſii omnem Darii gazam Alex. dedunt 63,f
in Syene Ægyptia puteus eſt qui meridie nullam vmbram facit 186,b
Syllium vrbs 26,e
Syncope ex vulnere, ſanguinem ſiſtit 130,d
Syra mulier numine agitata Alexandrũ ab inſidiis ſeruat 88,a, & b
Syrmus Triballorum rex 5,a

T

Tala arbor, cuius corticibus Indi veſcũtur 173,d
Talmena, Indiæ portus 188,c
Tanais fluuius, aliâs Orxantes à barbaris dictus 76,b. tanais Sogdianorũ flumen, differt à Tanai Scythico flu-

mine 76,c
Tanais Aſiam ab Europa ſeparat 76,c
Tapuri, Hyrcaniæ populus 69,f
Tarſium promontorium 194,c
Tarſus Ciliciæ vrbs capta 32,a
Tarteſſus columnis Herculis celebris 43,b. tarteſſus à Phœnicibus condita 43,b. tarteſſi templũ Herculi Phœnicu in more ſtructum 43,b
Tauri montis deſcriptio 104,c
Taurus aliis Parapamiſus, aliis Emodus, aliis Emaon dicitur 169,e
Taurunus, locus vbi Enus & Saus in Iſtrum fluunt 171,d
Taxila Indiæ vrbs omnium quæ inter Indum & Hydaſpem fluuium ſunt maxima 106,c. taxilæ vrbis deditio 106,e
Taxilis Indi deditio 93,c
Telmiſſi à Piſidis oriundi 27,a. telmiſſi vrbis ſitus 27,a
Telmiſſenſes natura & origine vates 30,c. telmiſſenſium obſidio 27,b. telmiſſenſium vatum vxores & liberi vaticinandi periti 30,e
Templum Ioui Olympio in Lydia ab Alex. ſtructum 17,e
Templorum ſpoliatores in crucem acti 142,c. & 143,a. & 145,c
Tenedii ſeſe Perſis dedunt 30,b
Terminthus & ſilphium in Caucaſo naſcitur 74,a
Thapſacus oppidum 40,b
Thebanorum defectio 7,f
Thebanorum expugnatio 9,e
thebanorum clades cum aliis Græcorũ cladibus confertur 10,a
Thebanorum clades ad diuini numinis iram refertur 10,e
Theſeus Athenienſium dux Amazonas primo prælio vicit, 156,b
Thoes nonnulli tigres putant 179,a
Thus & myrrha ex arboribus apud Arabes leguntur 161,e
Tigris Euphrate humilior 150,c. tigris in pontum Perſicum fluit, 150,d tigris nuſquam vado tranſiri poteſt 150,d. tigritis cataractæ ab Alex. ruptæ 150,f
Tigris elephanto fortior 178,e. tigris apud Indos, magnitudine maximo equo par 178,e. tigris velocitate & robore nulli feræ comparari poteſt 178,f. tigris elephantum ſtrangulat 178,f. tigres nonnulli thoas putant 179,a
Tonierus, Indiæ fluuius 185,b
Trœzi Indiæ portus 188,d
Triballi ab Alexandro victi 3,d
triballorum rex Syrmus 5,a
Tripudia diis fiunt 86,a
Triumphi, cur dicantur pompæ ob victoriam factæ 143,c
Triumphus, Dionyſus dictus 143,c
Tylus Arab. vrbs & inſula ad Euphratis oſtia 162,b
Tyri vrbis eiúſque portus deſcriptio 44,d. tyri obſidio 44,e. tyri expugnatio 49, b. tyriorum clades 49, d. & e

V

Vatum monita ab Alex. neglecta 51,a
Venatio elephãtorum apud Indos quo pacto fiat 177,e
Veritas regem decet 149,b
Viæ, arenoſis in locis, quibus notis dignoſcantur 142,a
Viri apud Indos quadrageſimum vitæ annum non excedunt 174,d
Virtus etiam in hoſtibus laudatur 91,c. poſt.
Vlcera elephantorum carnes ſuillæ curant 178,e
Vmbraculorum portatilium apud Indos vſus 179,f
Vmbrarũ diuerſitas apud Oritas 186,a
Vxii gens libera apud Suſios 195,e. vxiis victis Alex. graue tributum imperat 65,a

X

Xathri, libera Indorum gens 137,c
Xanthum Lyciæ vrbs dedita 24,d
Xanthus fluuius Lyciæ 24,d
Xenophon citatur 56,d. 156,a
Xenophon ante Alex. tempora Amazonum mentionem non facit 156,a
Xerxes Helleſpontum ponte ex nauigiis facto iunxit 105, f. xerxes Beli templum apud Babylonios ſubuertit 159,c. xerxes Helleſpontum compedibus vinxit 157, a. xerxis impietas in deos 157,a

Z

Zadracarta Hyrcaniæ vrbs 70,c
Zadracarta aliàs Zeudracarta, Hyrcaniæ regia 71,c

Nomina autorum qui ab Arriano citantur,

ARISTOBVLVS.

ARISTVS.

ASCLEPIADES.

CIMON.

CTESIAS.

ERATOSTHENES.

EVRIPIDES.

HERODOTVS.

HECATAEVS.

HOMERVS.

MEGASTHENES.

NEARCHVS.

ONESICRITVS.

PTOLEMAEVS.

XENOPHON.

Quo autem quiſque loco vel quibus citetur locis, oſtendet tibi Index.

BIBLIOTECA NAZ.
ROMA
VITTORIO EMANUELE